5. φησὶ γὰρ ὡς προιὼν ἐς ἡλικίαν γράμματά τε καὶ μνήμης ἰσχὺν ἐδήλου καὶ μελέτης κράτος καὶ ἡ γλῶττα αὐτῷ Ἀττικῶς εἶχεν. Ἐ (436). ὁ. Σ. v. ἀπήχθη· ὁ δὲ Ἀπολλώνιος τὴν γλῶτταν Ἀττικῶς εἶχεν, οὐδὲ ἀπήχθη τὴν φωνὴν ὑπὸ τοῦ ἔθνους, ἐς Ταρσοὺς τῆς Κιλικίας ἀναστρεφόμενος. idem usque ad ἔθνους habet Zων. s. v. ib. ὀφθαλμοὶ δὲ πάντες ἐς (Β πρὸς) αὐτὸν ἐφέροντο. Φ (331, b, 16). ὀφθαλμοὶ δὲ πάντων. Σ. v. Εὐθύδημος. — ἐπ' αὐτὸν. l. 8. Σ. v. Εὐθύδημος· Εὐθύδημος διδάσκαλος Ἀπολλωνίου τοῦ Τυανέως, ἐκ Ταρσῶν τῆς Κιλικίας. ὁ γὰρ Ἀπ. προιὼν εἰς ἡλικίαν, ἐν ᾗ συγγράμματα, μνήμης — ἔτη (sic. A, cett. ἐτῶν) ιδ' παρ' Εὐθύδημον ἄγει ἐς Ταρσοὺς τῆς Κιλικίας, ὃς τοῦτον ἐπαίδευεν. ὁ δὲ — ὀρνίθων οἱ ὑγρότατοι μεθύοντες τῷ ὕδατι. μεθίστησιν — ἱερὸν Ἀσκληπιοῦ ἐπίδηλον — περιπάτου. οὐδὲ τῶν Ἐπικούρου λόγων ἀπεσπούδαζε. διδάσκαλος δὲ ἦν αὐτῷ τῶν Πυθαγόρου λόγων Εὔξενος. ib. Εὐθύδημος. o. 9. τῆς χώρας. ΣV, b, c. ib. ἔθος. p. 10. οὐδαμοῦ om. f, v, s (ubi erasum), a, m. ib. Σ. v. σκωπτόλαι· σκωπτόλαι — μᾶλλον ἢ σοφίᾳ Ἀθ. idem Σ. v. ὀθόνη, ubi omisit πάντες, et Φ. ubi deest in AB. μᾶλλον, et legitur πάντες ἢ σοφίᾳ Ἀθ. (331, b, 17). 11. αὐτοὺς. l. ib. Σ. v. Κύδνιον ῥεῦμα· ποταμός τε — διαρρεῖ, ᾧ π. κ. τ. ὀρνίθων οἱ ὑγρότατοι μεθύοντες τῷ ὕδατι. 12. τῷ τοι l et s (ante corr. marg.) E. ib. παυσασθαι p. ante corr. 13. αὐγὰς. π. 14. φιλοσοφήσαντι. E, Σ b, c. ib. καὶ σπουδαὶ νεανικώτεραι Σ. om. praeter A. 16. Πλατώνιοι. l. ib. διήκουε. Ἐ. διήκουσε C, E. 17. Σ. v. ἀπεσπούδαζε· οὐδὲ τῶν Ἐπικούρου λόγων ἀπεσπούδαζεν Ἀπολλώνιος. Ζων. v. ead. οὐδὲν — Ἀπολλώνιος. ib. τοὺς δέ τε. a, m. ib. σοφίᾳ. Ἐ, B, o. φιλοσοφίᾳ. C, a, m. ib. ξυνελάμβανε. Ἐ. ib. διδάσκολος μὲν ἦν. Ἐ. (438). 19. γαστρός τε ἥττων καὶ. Ἐ. ib. Σ. v. Εὔξενος· Εὔξενος οὐ πάνυ σπουδαῖος — ἐσχημάτιστο. τὰς δὲ — ἐπαύσατο ἀγαπῶν, ἀλλ' εἰς προάστειον ἐν ᾧ — πηγαί, τοῦτον ἀγαγών, ἔφη, σὺ μὲν ζῆθι τὸν — ζήσομαι. ib. εὔξυνος. v. 20. γνώμας. Ἐ. ib. οἱ om. l. 21. ἀπὸ τῶν. ΣV, b. ib. εὖ πράττε (sic) ΣA, (celeri πράττειν,) E. 22. ἔχονται. v. 23. ἐρυθμισμένοι. π. ib. Σ. v. μελετώμενοι· μελετώμενοι, διδασκόμενοι, ἐκμανθάνοντες. ὥσπερ οἱ νέοι — πετομένους. ib. ἁπλῷ ΣV. 24. αὐτοὺς. Σ. v. Εὔξενος. om. praeter A. ib. αὐτῶν πτῆσιν. Σ. ib. δύνωνται. Σ (in A. δύνανται). 25. ἄλλως κἂν. ΣV, b, c. ib. κνίσης. 1, Σ. κνίσσης. 2, E. 26. καὶ αὐτὸς πρ. o. ib. προσεῖχε τῷ. 1, Σ. προσεῖχέ τε τῷ. 2, E.

1. 7. p. 8. 9.

ἐπὶ τοῦ λόγου, προελθὼν δὲ ἐς ἔτος δέκατον καὶ ἕκτον ὥρμησεν ἐπὶ τὸν τοῦ Πυθαγόρου βίον, πτερωθεὶς ἐπ᾽ αὐτὸν ὑπό τινος κρείττονος. οὐ μὴν τόν γε Εὔξενον ἐπαύσατο ἀγαπῶν, ἀλλ᾽ ἐξαιτήσας αὐτῷ προάστειον παρὰ τοῦ πατρός, ἐν ᾧ κῆποί τε ἅπαλοὶ ἦσαν καὶ πηγαί, „σὺ μὲν ζῆθι τὸν σεαυτοῦ τρόπον“ ἔφη „ἐγὼ δὲ τὸν Πυθαγόρου ζήσομαι“. ἡγουμένου δὲ αὐτὸν τοῦ Εὐξένου VIII μεγάλης διανοίας ἅπτεσθαι καὶ ἐρομένου, ὁπόθεν ἄρξοιτο „ὅθεν περ οἱ ἰατροί“, ἔφη „καὶ γὰρ 5 ἐκεῖνοι καθαίροντες τὰς γαστέρας τοὺς μὲν οὐδὲ νοσεῖν ἐῶσι, τοὺς δὲ ἰῶνται.“ καὶ εἰπὼν τοῦτο τὰς μὲν ἐμψύχους βρώσεις ὡς οὔτε καθαρὰς καὶ τὸν νοῦν παχυνούσας παρῃτήσατο, τραγήματα δὲ 10 καὶ λάχανα ἐσιτεῖτο, καθαρὰ εἶναι φάσκων, ὁπόσα ἡ γῆ αὐτὴ δίδωσι, καὶ τὸν οἶνον καθαρὸν μὲν ἔφασκεν εἶναι πόμα ἐκ φυτοῦ οὕτως ἡμέρου τοῖς ἀνθρώποις ἥκοντα, ἐναντιοῦσθαι δὲ τῇ τοῦ νοῦ συστάσει διαθολοῦντα τὸν ἐν τῇ ψυχῇ αἰθέρα. μετὰ δὲ τὴν κάθαρσιν τῆς γαστρὸς τοιαύτην γενο- 10 μένην ἀνυποδησίαν τε ποιεῖται κόσμημα καὶ λίνου ἐσθῆτα ἀμπίσχεται παραιτησάμενος τὴν ἀπὸ τῶν ζῴων, ἀνῄκέ τε τὴν κόμην καὶ ἐν τῷ ἱερῷ ἔζη. ἐκπεπληγμένων δὲ αὐτὸν τῶν περὶ τὸ ἱερὸν καὶ τοῦ Ἀσκληπιοῦ ποτε πρὸς τὸν ἱερέα φήσαντος, ὡς χαίροι θεραπεύων τοὺς νοσοῦντας ὑπὸ Ἀπολλωνίῳ μάρτυρι, ξυνῆεσαν ἐς τὰς Αἰγὰς ἐφ᾽ ἱστορίᾳ Κίλικές τε αὐτοὶ καὶ οἱ πέριξ, ὅ τε Κιλίκιος λόγος ποῖ τρέχεις; ἢ ἐπὶ τὸν ἔφηβον; ἐπ᾽ ἐκείνῳ τε ἐλέγετο καὶ παροιμιώδη τιμὴν ἔσχεν. 15

Ἄξιον δὲ μηδὲ τὰ ἐν τῷ ἱερῷ παρελθεῖν βίον γε ἀφηγούμενον ἀνδρός, ὃς καὶ τοῖς θεοῖς ἦν IX ἐν λόγῳ· μειράκιον γὰρ δὴ Ἀσσύριον παρὰ τὸν Ἀσκληπιὸν ἦκον ἑτρύφα νοσοῦν καὶ ἐν πότοις ἔζη, μᾶλλον δὲ ἀπέθνησκεν· ὑδέρῳ δὲ ἄρα εἶχετο καὶ μέθῃ χαῖρον αὐχμοῦ ἠμέλει. ἠμελεῖτο δὲ ὑπὸ τοῦ Ἀσκληπιοῦ διὰ ταῦτα καὶ οὐδὲ ὄναρ αὐτῷ ἐφοίτα. ἐπιμεμφομένῳ δὲ ταῦτα ἐπιστὰς ὁ θεὸς „εἰ Ἀπολλωνίῳ“ ἔφη „διαλέγοιο, ῥᾴων ἔσῃ“. προσελθὼν οὖν τῷ Ἀπολλωνίῳ „τί ἄν“ ἔφη „τῆς σῆς 20 σοφίας ἐγὼ ἀπολαύσαιμι; κελεύει γάρ με ὁ Ἀσκληπιὸς συνεῖναί σοι.“ „ὦ“ ἢ δ᾽ ὅς „ἔσται σοι πρὸς τὰ παρόντα πολλοῦ ἄξιον· ὑγιείας γάρ που δέῃ;“ „νὴ Δί᾽“ εἶπεν „ἣν γε ὁ Ἀσκληπιὸς ἐπαγγέλ- XI λεται μέν, οὐ δίδωσι δέ.“ „εὐφήμει“, ἔφη „τοῖς γὰρ βουλομένοις δίδωσι, σὺ δὲ ἐναντία τῇ νόσῳ πράττεις, τρυφῇ γὰρ διδοὺς ὀψοφαγίαν ἐπεσάγεις ὑγροῖς καὶ διεφθορόσι τοῖς σπλάγχνοις καὶ ὕδατι ἐπαντλεῖς πηλόν.“ ταυτὶ μὲν σαφέστερα, οἶμαι, τῆς Ἡρακλείτου σοφίας ἐχρησμῴδει· ὁ μὲν γὰρ 25 δεῖσθαι ἔφη τοῦ ποιήσοντος ἐξ ἐπομβρίας αὐχμόν, ἐσελθόντος αὐτὸν τουτουὶ τοῦ πάθους, οὐκ εὐξύνετά που λέγων, οὐδὲ δῆλα, ὁ δ᾽ ἤγαγεν ἐς ὑγίειαν τὸ μειράκιον τὰ σοφὰ σαφῶς ἑρμηνεύσας. ἰδὼν δὲ ἀθρόον ποτὲ ἐν τῷ βωμῷ αἷμα καὶ διακείμενα ἐπὶ τοῦ βωμοῦ τὰ ἱερὰ τεθυμένους τε βοῦς X Αἰγυπτίους καὶ σῦς μεγάλους, καὶ τὰ μὲν δέροντας αὐτούς, τὰ δὲ κόπτοντας, χρυσίδας τε ἀνακειμένας δύο καὶ λίθους ἐν αὐταῖς τῶν ἰνδικωτάτων καὶ θαυμασίων, προσελθὼν τῷ ἱερεῖ „τί ταῦτα“; 30 ἔφη „λαμπρῶς γάρ τις χαρίζεται τῷ θεῷ“. ὁ δὲ „θαυμάσῃ“ ἔφη „μᾶλλον, ὅτι μήτε ἱκετεύσας ποτὲ ἐνταῦθα μήτε διατρίψας, ὃν οἱ ἄλλοι χρόνον, μήτε ὑγιάνας πω παρὰ τοῦ θεοῦ, μηδ᾽ ἅπερ αἰτήσων ἦλθεν ἔχων, χθὲς γὰρ δὴ ἀφιγμένῳ ἔοικεν, ὁ δ᾽ οὕτως ἀφθόνως θύει. φησὶ δὲ πλείω μὲν θύσειν, πλείω δὲ ἀναθήσειν, εἰ πρόσοιτο αὐτὸν ὁ Ἀσκληπιός. ἔστι δὲ τῶν πλουσιωτάτων· κέκτηται

1. ὑπὸ τοῦ λόγου. 2, a, m. ib. προσελθὼν. l. ib. δέκατον καὶ ἕκτον. 1. ἕκτον καὶ δέκατον. 2, E. ις'. Σ. ib. τοῦ. om. l, Σ. ib. Πυθαγορείου. ΣV. 2. ὑπ᾽ αὐτὸν. ΣV. ib. τὸν Εὔξενον. Σ. 3. αὐτῷ. π. ἑαυτῷ. p, 2, E. ib. προάστειον ἐν ᾧ κῆποι ἁπαλοὶ ἦσαν. Φ (331, b, 18). ib. καὶ πηγαί. om. ΣV. 4. τὸν σεαυτοῦ τρόπον ἔφη. 1. ἔφη τὸν σ. τρ. 2, E. ib. σεαυτὸν. l. 5. ἐρωμένου. v. ib. ὅθεν οἱ. p. 6. τοὺς μὲν om. p. ib. νοσοῦντας in mg. p. 8. αὐτὴ. 1, o. αὐτῷ. 2, a, m. ib. μὲν. om. v. 14. ξυνίεσαν. E. ib. εἰς. l. ib. ἐφιστορίαν. v. ib. Σ. v. ἔφηβος· Κιλίκιος λόγος· ποῖ τρίχεις; ἢ ἐπὶ τὸν ἔφηβον; ἐπὶ Ἀπολλωνίῳ ἐλέγετο καὶ παροιμιώδη τιμὴν ἔσχε. idem Φ (331, b, 19) ὅ τε Κιλίκιος — Ἀπολλωνίῳ τε ἐλέγετο κ. π. τ. ἔσχε. 15. ἢ ἐπὶ. π, o. ἢ ἐπὶ. p, 2, a, m. ib. Ἔφηβον. a, m.

16. μὴ δὲ. p, s. 17. γὰρ. om. l. ib. νοσῶν. v. 18. χαίρων. (supra posita o.) v. 19. Ἀσκληπιοῦ διὸς. v. 20. ῥᾷον. a. 21. σοφίας ἐγὼ. 1. ἐγὼ σοφίας. 2, E. ἐγὼ om. l. ib. κελεύει (sic) s. ib. ᾗδ᾽ ὅς. l. 22. Δία. p. 23. ἔφη. om. l. ib. ἐναντία. π. 24. σπλάγχνοις. v. 26. δεῖσθαι τοῦ. p. 27. ὅδ'. a, m. ib. ὑγείαν. l. ib. σοφῶς. m, o. 29. μεγάλους. τὰ μέν. l, s, a, m. ib. δαίροντας. v. 31. λαμπρῶς. 1, f, v. λαμπρὸς l, s, E. 32. ὃν οἱ ἄλλοι. π, 2, E. ὃν ἄλλοι. p. ib. ὑγίειαν. p. ὑγιάνας. l. 33. ὅδ'. E. 34. προσοῖτο. π, l. πρόσοιτο. E. πρόσειτο. p, f, v, s.

1. 8. 9. 10. p 10. 11.

γοῦν ἐν Κιλικίᾳ βίον πλείω ἢ Κίλικες ὁμοῦ πάντες· ἱκετεύει δὲ τὸν θεὸν ἀποδοῦναί οἱ τὸν ἕτερον τῶν ὀφθαλμῶν ἐξερρυηκότα." ὁ δὲ Ἀπολλώνιος, ὥσπερ γεγηρακὼς εἰώθει, τοὺς ὀφθαλμοὺς ἐς τὴν γῆν στήσας „τί δὲ ὄνομα αὐτῷ"; ἤρετο. ἐπεὶ δὲ ἤκουσε „δοκεῖ μοι," ἔφη „ὦ ἱερεῦ, τὸν ἄνθρωπον τοῦτον μὴ προσδέχεσθαι τῷ ἱερῷ, μιαρὸς γάρ τις ἥκει καὶ κεχρημένος οὐκ ἐπὶ χρηστοῖς τῷ πάθει, καὶ αὐτὸ δὲ τὸ πρὶν εὑρίσθαί τι παρὰ τοῦ θεοῦ πολυτελῶς θύειν οὐ θύοντός ἐστιν, ἀλλ' ἑαυτὸν παραιτουμένου σχετλίων τε καὶ χαλεπῶν ἔργων." ταῦτα μὲν ὁ Ἀπολλώνιος. ὁ δ' Ἀσκληπιὸς ἐπιστὰς νύκτωρ τῷ ἱερεῖ „ἀπίτω" ἔφη „ὁ δεῖνα τὰ ἑαυτοῦ ἔχων, ἄξιος γὰρ μηδὲ τὸν ἕτερον τῶν
12 ὀφθαλμῶν ἔχειν." ἀναμανθάνων οὖν ὁ ἱερεὺς τὸν ἄνθρωπον, γυνὴ μὲν τῷ Κίλικι τούτῳ ἐγεγόνει θυγατέρα ἔχουσα προτέρων γάμων, ὁ δὲ ἦρα τῆς κόρης καὶ ἀκολάστως εἶχε ξυνῆν τε οὐδ' ὡς λαθεῖν· ἐπιστᾶσα γὰρ ἡ μήτηρ τῇ εὐνῇ τῆς μὲν ἄμφω, τοῦ δὲ τὸν ἕτερον τῶν ὀφθαλμῶν ἐξέκοψεν
XI ἐναράξασα τὰς περόνας. τό γε μὴν θύοντας ἢ ἀνατιθέντας μὴ ὑπερβάλλειν τὸ μέτριον ὧδε αὐτῷ ἐφιλοσοφεῖτο· πλειόνων γάρ ποτε ξυνελήλυθότων ἐς τὸ ἱερὸν ἄρτι ἐξεληλαμένου τοῦ Κίλικος ἤρετο τὸν ἱερέα οὑτωσί· „ἆρα" ἔφη „οἱ θεοὶ δίκαιοι"; „δικαιότατοι μὲν οὖν" εἶπε. „τί δέ· ξυνετοί;" „καὶ τί" ἔφη „ξυνετώτερον τοῦ θείου;" „τὰ δὲ τῶν ἀνθρώπων ἴσασιν, ἢ ἄπειροι αὐτῶν εἰσι;" „καὶ μὴν τοῦτ'" ἔφη „πλεονεκτοῦσι μάλιστα οἱ θεοὶ τῶν ἀνθρώπων, ὅτι οἱ μὲν ὑπ' ἀσθενείας οὐδὲ τὰ ἑαυτῶν ἴσασι, τοῖς δὲ γιγνώσκειν ὑπάρχει τὰ ἐκείνων τε καὶ τὰ αὑτῶν." „πάντα" ἔφη „ἄριστα, ὦ ἱερεῦ, καὶ ἀληθέστατα. ἐπεὶ τοίνυν πάντα γιγνώσκουσι, δοκεῖ μοι τὸν ἥκοντα ἐς θεοῦ καὶ χρηστὰ ἑαυτῷ ξυνειδότα τοιάνδε εὐχὴν εὔχεσθαι· ὦ θεοί, δοίητέ μοι τὰ ὀφειλόμενα· ὀφείλεται γάρ που, ὦ ἱερεῦ, τοῖς μὲν ὁσίοις τὰ ἀγαθά, τοῖς δὲ φαύλοις τἀναντία, καὶ οἱ θεοὶ οὖν εὖ ποι-
20 οῦντες, ὃν μὲν ἂν ὑγιᾶ τε καὶ ἄτρωτον κακίας εὕρωσι, πέμπουσι δήπου στεφανώσαντες οὐ χρυσοῖς στεφάνοις, ἀλλ' ἀγαθοῖς πᾶσιν, ὃν δ' ἂν κατεστιγμένον ἴδωσι καὶ διεφθορότα, καταλείπουσι τῇ δίκῃ, τοσοῦτον αὐτοῖς ἐπιμηνίσαντες, ὅσον ἐτόλμησαν καὶ ἱερὰ ἐσφοιτᾶν μὴ καθαροὶ ὄντες." καὶ ἅμα ἐς τὸν Ἀσκληπιὸν βλέψας „φιλοσοφεῖς," ἔφη „ὦ Ἀσκληπιέ, τὴν ἄρρητόν τε καὶ συγγενῆ σαυτῷ φιλοσοφίαν μὴ συγχωρῶν τοῖς φαύλοις δεῦρο ἥκειν, μηδ' ἂν πάντα σοι τὰ ἀπὸ Ἰνδῶν καὶ
13 25 Σαρδόνων ξυμφέρωσιν· οὐ γὰρ τιμῶντες τὸ θεῖον θύουσι ταῦτα καὶ ἀνάπτουσιν, ἀλλ' ὠνούμενοι τὴν δίκην, ἣν οὐ ξυγχωρεῖτε αὐτοῖς δικαιότατοι ὄντες." πολλὰ τοιαῦτα ἐν τῷ ἱερῷ ἐφιλοσόφει
XII ἐν ἐφήβῳ ἔτι. κἀκεῖνα τῆς ἐν Αἰγαῖς διατριβῆς· Κιλίκων ἦρχεν ὑβριστὴς ἄνθρωπος καὶ κακὸς τὰ ἐρωτικά· ἐς τοῦτον ἦλθε λόγος τῆς τοῦ Ἀπολλωνίου ὥρας, ὁ δὲ ἐρρῶσθαι φράσας οἷς ἔπραττεν, ἐν Ταρσοῖς δὲ ἄρα ἀγορὰν ἦγεν, ἐξωρμήθη ἐς τὰς Αἰγὰς νοσεῖν τε ἑαυτὸν φήσας καὶ τοῦ Ἀσκληπιοῦ δεῖσθαι, καὶ προσελθὼν τῷ Ἀπολλωνίῳ βαδίζοντι ἰδίᾳ „σύστησόν με" ἔφη „τῷ θεῷ". ὁ δὲ ὑπολαβὼν „καὶ τί σοι δεῖ τοῦ συστήσοντος", εἶπεν „εἰ χρηστὸς εἶ; τοὺς γὰρ σπουδαίους οἱ θεοὶ καὶ ἄνευ τῶν προξενούντων ἀσπάζονται." „ὅτι νὴ Δί'," ἔφη „Ἀπολλώνιε, σὲ μὲν ὁ θεὸς πεποίηται ξένον, ἐμὲ δὲ οὔπω". „ἀλλὰ κἀμοῦ" ἔφη „καλοκαγαθία προὐξένησεν, ᾗ χρώμενος, ὡς δυνατὸν νέῳ, θεράπων τέ εἰμι τοῦ Ἀσκληπιοῦ καὶ ἑταῖρος· εἰ δὲ καὶ σοὶ καλοκαγαθίας μέλει, χώρει θαρρῶν
35 παρὰ τὸν θεὸν καὶ εὖχου, ὅ τι ἐθέλεις." „νὴ Δί'," „εἶπεν „ἦν σοί γε προτέρῳ εὔξωμαι." „καὶ τί" ἔφη „ἐμοὶ εὖξῃ;" ὃ" ἦ δ' ὅς „εὔχεσθαι δεῖ τοῖς καλοῖς· εὐχόμεθα δὲ αὐτοῖς κοινωνεῖν τοῦ

1. τῶν ἕτερον. l. 3. τί δὲ ὄνομα. π. τί δὲ δὴ τὸ ὄνομα. p. τί δὲ δὴ ὄνομα. 2, E. ib. δοκεῖ, ἔφη. a, m. 4. προσέρχεσθαι. a, m. 5. πάθει. π. mg. πλούτῳ. ib. αὐτὸ δὲ πρὶν. p, a, m. 6. ὁ δὲ Ἀ. p. 7. αὐτοῦ. V. ib. μὴ δὲ. p, s, a. 8. ἐγεγόνει. π. γεγόνει. p, 2, E. 9. ξυνεῖν. v. 11. τὰς περόνας. l. ταῖς περόναις. 2, E. 13. οὕτωσι. l, l. οὑτοσίν. v. οὑτοσί. f, s, E. ib. ἆρα. π, E. ἆρα. p, v. 16. ἑαυτῶν. C. αὑτῶν. E. ib. αὐτῶν. v. 17. μοι. om. l. 19. τὰ ἀγαθά. C. τἀγαθά. E. 20. ὃν μὲν ὑγ. 2, a, m. 22. ἐπιμηνύσαντες. v. 23. ἔφη. om. p. 24. ἀπὸ τῶν. E. ib. Ἰνδῶν. l. Ἰνδῶν τε. 2, E. 25. Σαρδόνων. C, a, m. Σαρδιανῶν. B, Bo. ad Eunap. 448. Σάρδων o. 26. ξυγχωρεῖται. v. ib. αὐτοῖς. l. αὐτοί. 2, E. ib. πολλὰ. om. l. ib. ἐφιλοσόφει. ἐν ἐφ. p. sic distinct. 7. ἔτι (supra positis ει.) f. ἔτει. v, s. 28. ἦλθεν. f. ib. τοῦ. om. 2, a, m. 29. ἐξορμήθη. v. ib. αὐτὸν. l. 31. δοκεῖ. mg. δεῖ. π. ib. εἰ, εἶπεν. o. 32. Δία. p. 33. καμὲ (supra positis οῦ). π. κἀμὲ p, 2, E. ib. προὐξένισεν. v. 34. Θεραπεύων (supra positis πων.) π. 35. Δία. p. ib. πρότερον. o. ib. εὔξομαι. m. 36. ὃδ' ὃς. a, m. ib. δεῖ. om. l.

l. 11 12. p. 12. 13.

κάλλους καὶ μὴ φθονεῖν τῆς ὥρας.“ ἔλεγε δὲ ταῦτα ὑποθρύπτων ἑαυτὸν καὶ τοὺς ὀφθαλμοὺς ὑγραίνων καὶ τί γὰρ οὐχ ἑλίττων τῶν οὕτως ἀσελγῶν τε καὶ ἐπιρρήτων; ὁ δὲ ταυρηδὸν ὑποβλέψας 14
αὐτὸν „μαίνῃ“, ἔφη „ὦ κάθαρμα.“ τοῦ δ' οὐ μόνον πρὸς ὀργὴν ταῦτα ἀκούσαντος, ἀλλὰ καὶ ἀπειλήσαντος, ὡς ἀποκόψοι αὐτοῦ τὴν κεφαλήν, καταγελάσας ὁ Ἀπολλώνιος „ὦ ἡ δεῖνα ἡμέρα“ ἀνεβόησε· τρίτη δὲ ἄρα ἦν ἀπ' ἐκείνης, ἐν ᾗ δήμιοι κατὰ τὴν ὁδὸν ἀπέκτειναν τὸν ὑβριστὴν ἐκεῖ- 5
νον, ὡς ξὺν Ἀρχελάῳ τῷ Καππαδοκίας βασιλεῖ νεώτερα ἐπὶ Ῥωμαίους πράττοντα. Ταῦτα καὶ πολλὰ τοιαῦτα Μαξίμῳ τῷ Αἰγιεῖ ξυγγέγραπται, ἠξιώθη δὲ καὶ βασιλείων ἐπιστολῶν οὗτος εὐδοκιμῶν τὴν φωνήν.

Ἐπεὶ δὲ τεθνεῶτα τὸν πατέρα ἤκουσεν, ἔδραμεν ἐς τὰ Τύανα, κἀκεῖνον μὲν ταῖς ἑαυτοῦ χερσὶν ἔθαψε πρὸς τῷ τῆς μητρὸς σήματι, ἐτεθνήκει δὲ κἀκείνη οὐ πάλαι, τὴν δὲ οὐσίαν λαμπρὰν 10
οὖσαν διέλαχε πρὸς τὸν ἀδελφὸν ἀκόλαστόν τε καὶ φιλοπότην ὄντα. καὶ τῷ μὲν τρίτον τε καὶ εἰκοστὸν ἦν ἔτος καὶ ἡλικία οἵα μὴ ἐπιτροπεύεσθαι, ὁ δ' αὖ εἴκοσι γεγόνει καὶ οἱ νόμοι αὐτὸν ὑπεῖχον τοῖς ἐπιτρόποις. διατρίψας οὖν ἐν Αἰγαῖς πάλιν καὶ τὸ ἱερὸν Λύκειόν τε ἀποφήνας καὶ Ἀκα- XIII
δημίαν, φιλοσοφίας γὰρ ἠχὼ πάσης ἐν αὐτῷ ἦν, ἐπανῆλθεν ἐς τὰ Τύανα ἀνὴρ ἤδη καὶ κύριος τῶν ἑαυτοῦ, εἰπόντος δὲ πρὸς αὐτόν τινος, ὡς σωφρονίσαι τὸν ἀδελφὸν προσήκοι αὐτῷ καὶ μεταβα- 15
λεῖν τοῦ τρόπου, „τουτὶ μὲν θρασὺ“ ἔφη „δόξει, πρεσβύτερον γὰρ νέος πῶς ἂν σωφρονίζοιμι; 15
ὡς δέ μοι δυνατόν, ἰάσομαι αὐτὸν τουτωνὶ τῶν παθῶν·“ δίδωσι δὴ αὐτῷ τὴν ἡμίσειαν τῆς ἑαυτοῦ μοίρας, τὸν μὲν πλειόνων δεῖσθαι φήσας, ἑαυτὸν δὲ ὀλίγων, ἐφιστὰς δὲ αὐτὸν καὶ σοφῶς ὑπαγόμενος ἐς τὸ σωφρονίζοντι πείθεσθαι „ὁ μὲν πατὴρ“ ἔφη „μεθέστηκεν, ὃς ἐπαίδευέ τε ἡμᾶς καὶ ἐνουθέτει, λοιπὸς δὲ σὺ ἐμοὶ καὶ σοὶ δήπου ἐγώ· εἶτ' οὖν ἐγώ τι ἁμαρτάνοιμι, σύμβουλος 20
γίγνου καὶ ἰῶ ταμά, εἴτ' αὐτός τι ἁμαρτάνοις, ἀνέχου διδάσκοντος.“ κἀκεῖνον μέν, ὥσπερ οἱ καταψῶντες τοὺς δυσηνίους τε καὶ μὴ εὐαγώγους τῶν ἵππων, ἐς πειθὼ ἤγαγε καὶ μετερρύθμισε τῶν ὁμαρτημάτων πολλῶν ὄντων, καὶ γὰρ κύβων ἥττητο καὶ οἴνου καὶ ἐφ' ἑταίραις ἐκώμαζεν ἐπαιρούσης αὐτὸν κόμης, ἣν καὶ βαφαῖς ἤσκει, σοβῶν τε καὶ ἄνω βαίνων. ἐπεὶ δὲ καὶ τὰ πρὸς τὸν ἀδελφὸν αὐτῷ εὖ εἶχεν, ἐπὶ τοὺς ἄλλους ἤδη συγγενεῖς ἐτράπετο καὶ τοὺς δεομένους σφῶν 25
ἀνεκτήσατο τῇ λοιπῇ οὐσίᾳ μικρὰ ἑαυτῷ ὑπολιπόμενος, ὅτε δὴ τὸν μὲν Κλαζομένιον Ἀναξαγόραν ἀγέλαις τε καὶ μήλοις τὰ ἑαυτοῦ ἀνέντα προβάτοις ἔφη μᾶλλον ἢ ἀνθρώποις φιλοσοφῆσαι, τὸν δὲ Θηβαῖον Κράτητα κατάποντώσαντα τὴν οὐσίαν οὔτε ἀνθρώποις γενέσθαι ἐπιτήδειον οὔτε προβάτοις. εὐδοκιμήσαντος δὲ τοῦ Πυθαγόρου ἐπὶ τῷ λόγῳ, ὃν ἔλεγε περὶ τοῦ μὴ δεῖν παρ' ἄλλην ἰέναι γυναῖκα ἢ τὴν ἑαυτοῦ, τουτὶ μὲν ἑτέροις ἔφη ὑπὸ Πυθαγόρου προειρῆσθαι, αὐτὸς δὲ μήτ' ἂν γῆμαι 30
μήτ' ἂν ἐς ὁμιλίαν ἀφικέσθαι ποτὲ ἀφροδισίων, ὑπερβαλλόμενος καὶ τὸ τοῦ Σοφοκλέους· ὁ μὲν 16
γὰρ λυττῶντα ἔφη καὶ ἄγριον δεσπότην ἀποφυγεῖν ἐς γῆρας ἐλθών, ὁ δ' ὑπ' ἀρετῆς τε καὶ σω-

2. τί γὰρ οὐχ ἑλίττων. π (sic). τί γὰρ οὐ λέγων. ρ, p. ex corr. u, o. τί γὰρ οὐκ ἑλάττων. 2, a, m. ib. ἐπιρρήτων πραγμάτων. u. 4. ὦ. f, v. 5. ἦν ἄρα. 2, a, m. 7. καὶ πολλὰ τοιαῦτα. om. p. ib. ξυγγέγραπται. π. 9. τὰ om. l. ib. τοῖς. v. 10. ἔθαψεν. f. ib. τὸ. v. ib. τὴν δὲ — ἀδελφὸν. Φ (331, b, 21). 12. οἱ μὴ. v. ib. ὃδ' E. ib. γεγόνει. 1, s. ἐγεγόνει. E. ib. ὑπῆχον. v. 14. φιλοσοφίας — ἦν. Φ (331, b, 22). ib. πάσης ἠχὼ. p, Φ. 15. ἑαυτοῦ. 1. αὐτοῦ. 2, a, m. αὑτοῦ. l, o. ib. τινος πρὸς αὐτὸν. 2, a, m. ib. προσήκοι. π, f, s. προσήκει. p, l, v, E. ib. αὐτῷ. 1 (u, ρ). αὐτὸν. 2, a, m. 17. δίδωσι δὲ (supra posita δὴ). π. δίδωσι δὲ. p, 2, E. 18. ἀφιστὰς. p. 19. σοφρονίζοντι. v. ib. ἔπαιε. π. 20. λοιπὸς. π, l. λοιπὸν. p, f, v, s, E. λοιποὶ. conj. o. ex versione Rb. tu mihi relictus es. 21. τ' ἁμά. π. ib. διδάσκοντα (supra posita ος). π. διδάσκοντα. p, 2, E. 22. μετερύθμισε. v. 23. κύβης. p. ib. ἥπτετο. v. ib. ἐφ' αἱτέραις. v. 24. δὲ τὰ. p. δὲ πρὸς. l. 25. ἐτέραπτο. l, s, a, m. 26. μικρὰ δὲ. p. ib. ὑπολειπόμενος. p, l. 26. Σ. v. Ἀναξαγόρας· οὗτος Κλαζομένιος ὢν ἀγέλαις τε καὶ καμήλοις τὰ ἑαυτοῦ ἀνῆκε. περὶ τούτου ἔφη Ἀπολλώνιος ὁ Τυανεύς, προβάτοις μᾶλλον ἢ ἀνθρώποις φιλοσοφῆσαι. ὁ δὲ Θηβαῖος Κράτης κατεπόντωσε τὴν οὐσίαν, οὔτε προβάτοις ποιήσας ἐπιτήδειον οὔτε ἀνθρώποις. idem v. Ἀπολλώνιος· ὅτι Ἀπολλώνιος οὗτος τάδε περὶ Ἀναξαγόρου ἔφη· καὶ γὰρ Κλαζομένιον ὄντα καὶ ἀγέλαις καὶ καμήλοις τὰ ἑαυτοῦ ἀναθέντα εἰπεῖν προβάτοις μᾶλλον ἢ ἀ. φ. ὁ δὲ — ἀνθρώποις. 27. ἀγρίαις. π. ib. καὶ καμήλοις C, a, m, Σ. καὶ μήλοις. M. Casaub. ad Diog. II, 9. 29. ἄλλων. p. 31. ὑπερβαλόμενος. f, v, s, l. 32. γὰρ λυττῶντα. 1, o. γὰρ τὸν λ. 2, a, m. ib. ἐς γῆρας ἐλθών. 1. ἐλθὼν εἰς γῆρας. 2, E.

1, 13. p. 14. 15. 16.

φροσυνης οὐδ' ἐν μειρακίῳ ἡττήθη τούτου, ἀλλὰ καὶ νέος ὢν καὶ τὸ σῶμα ἐρρωμένος ἐκράτει τε καὶ λυττῶντος ἐδέσποζεν. ἀλλ' ὅμως συκοφαντοῦσί τινες ἐπὶ ἀφροδισίοις αὐτόν, ὡς διαμαρτίᾳ ἐρωτικῇ χρησάμενον καὶ διὰ τοῦτο ἀπενιαυτίσαντα ἐς τὸ Σκυθῶν ἔθνος, ὃς οὔτε ἐφοίτησέ ποτε ἐς Σκύθας οὔτε ἐς ἐρωτικὰ πάθη ἀπηνέχθη· οὔκουν οὐδὲ Εὐφράτης ποτὲ ἐσυκοφάντησεν ἐπὶ ἀφροδισίοις τὸν ἄνδρα, καίτοι ψευδῆ γράμματα κατ' αὐτοῦ ξυνθείς, ὡς ἐν τοῖς περὶ Εὐφράτου λόγοις δείξομεν, διεφέρετο δὲ πρὸς τὸν Ἀπολλώνιον, ἐπειδὴ πάνθ' ὑπὲρ χρημάτων αὐτὸν πράττοντα ἐπέσκωπτεν οὗτος καὶ ἀπῆγε τοῦ χρηματίζεσθαί τε καὶ τὴν σοφίαν καπηλεύειν. ἀλλὰ ταῦτα μὲν ἐς τοὺς αὐτῶν χρόνους ἀναβεβλήσθω μοι.

XIV Ἐρομένου δέ ποτε τὸν Ἀπολλώνιον τοῦ Εὐξένου, τί δῆτα οὐ ξυγγράφοι καίτοι γενναίως δοξάζων καὶ ἀπαγγελίᾳ χρώμενος δοκίμῳ καὶ ἐγηγερμένῃ „ὅτι" ἔφη „οὔπω ἐσιώπησα." καὶ ἐνθένδε ἀρξάμενος σιωπᾶν ᾠήθη δεῖν, καὶ τὴν μὲν φωνὴν κατεῖχεν, οἱ δ' ὀφθαλμοὶ καὶ ὁ νοῦς πλεῖστα μὲν ἀνεγίγνωσκον, πλεῖστα δὲ ἐς μνήμην ἀνελέγοντο· τό τοι μνημονικὸν ἑκατοντούτης γενόμενος καὶ
17 ὑπὲρ τὸν Σιμωνίδην ἔρρωτο, καὶ ὕμνος αὐτῷ τις ἐς τὴν μνημοσύνην ᾖδετο, ἐν ᾧ πάντα μὲν ὑπὸ τοῦ χρόνου μαραίνεσθαί φησιν, αὐτόν γε μὴν τὸν χρόνον ἀγήρω τε καὶ ἀθάνατον παρὰ τῆς μνημοσύνης εἶναι. οὐ μὴν ἄχαρις τά γε ἐς ξυνουσίας ἦν παρ' ὃν ἐσιώπα χρόνον, ἀλλὰ πρὸς τὰ λεγόμενα καὶ οἱ ὀφθαλμοί τι ἐπεσήμαινον καὶ ἡ χεὶρ καὶ τὸ τῆς κεφαλῆς νεῦμα, οὐδὲ ἀμειδὴς ἢ σκυθρωπὸς ἐφαίνετο, τὸ γὰρ φιλέταιρόν τε καὶ τὸ εὐμενὲς εἶχε. τοῦτον ἐπιπονώτατον αὐτῷ φησι γενέσθαι τὸν βίον ὅλων πέντε ἐτῶν ἀσκηθέντα, πολλὰ μὲν γὰρ εἰπεῖν ἔχοντα μὴ εἰπεῖν, πολλὰ δὲ πρὸς ὀργὴν ἀκούσαντα μὴ ἀκοῦσαι, πολλοῖς δ' ἐπιπλῆξαι προαχθέντα τέτλαθι δὴ κραδίη τε καὶ γλῶττα
XV 20 πρὸς ἑαυτὸν φάναι, λόγων τε προσκρουσάντων αὐτῷ παρεῖναι τὰς ἐλέγξεις τότε. διέτριψέ τε τοὺς τῆς σιωπῆς χρόνους τὸν μὲν ἐν Παμφύλοις, τὸν δὲ ἐν Κιλικίᾳ, καὶ βαδίζων δι' οὕτω τρυφώντων ἐθνῶν οὐδαμοῦ ἐφθέγξατο, οὐδ' ὑπήχθη γρύξαι. ὁπότε μὴν στασιαζούσῃ πόλει ἐντύχοι, πολλαὶ δὲ ἐστασίαζον ὑπὲρ θεαμάτων οὐ σπουδαίων, παρελθὼν ἂν καὶ δείξας ἑαυτὸν καί τι καὶ μελλούσης ἐπιπλήξεως τῇ χειρὶ καὶ τῷ προσώπῳ ἐνδειξάμενος ἐξῄρητ' ἂν ἀταξία πᾶσα καὶ ὥσπερ ἐν μυστη-
25 ρίοις ἐσιώπων. καὶ τὸ μὲν τοὺς ὀρχηστῶν τε καὶ ἵππων ἕνεκα στασιάζειν ὁρμηκότας ἀνασχεῖν οὕτω μέγα, οἱ γὰρ ὑπὲρ τοιούτων ἀτακτοῦντες, ἂν πρὸς ἄνδρα ἴδωσιν, ἐρυθριῶσί τε καὶ αὐτῶν ἐπιλαμβάνονται καὶ ῥᾷστα δὴ ἐς νοῦν ἥκουσι, λιμῷ δὲ πεπιεσμένην πόλιν οὐ ῥᾴδιον εὐηνίῳ καὶ πι-
18 θανῷ λόγῳ μεταδιδάξαι καὶ ὀργῆς παῦσαι. ἀλλ' Ἀπολλωνίῳ καὶ ἡ σιωπὴ πρὸς τοὺς οὕτω διακειμένους ἦρκει. ἀφίκετο μὲν γὰρ ἐς Ἄσπενδον τὴν Παμφύλων — πρὸς Εὐρυμέδοντι δὲ οἰκεῖται πο-
30 ταμῷ ἡ πόλις αὕτη, τρίτη τῶν ἐκεῖ — ὄροβοι δ' ὤνιοι καὶ τὰ ἐς βρῶσιν ἀναγκαῖα διέβοσκεν

1. μειρακείῳ. f. ib. καὶ σῶμα. p. 2. ἐσπούδαζεν. l. pr. m. ib. Σ. v. ἀπενιαυτίσαι· Ἀπολλώνιόν φασι τὸν Τυανέα ἀπενιαυτίσαι εἰς τὸ Σκυθῶν ἔθνος διαμαρτίᾳ ἐ. χρ. et Zon. s. v. ἀπενιαυτίσαι εἰς τὸ τῶν Σκυθῶν ἔθνος. 3. ἀπενιαυτήσαντα. v. ποτε. p, f. ποτ'. E. 4. οὐκοῦν. v. ib. ἐπ' ἀφρ. l. 5. περὶ Εὐφράτου. π. πρὸς Εὐφράτην. p, 2, E. 6. πρὸς Ἀπολλώνιον. 2, a, m. ib. χρημάτων αὐτῶν. v. 8. αὐτῶν. l. 9. ὅτι ἐρομένου — ἐσιώπησα. Φ (331, b, 23). ib. ἐρωμένου. v. ib. δὲ τὸν. Φ. ib. γενναίως δοξάζων. om. Φ. 10. δοκίμῳ τε καὶ διεγηγερμένῃ. Φ. ib. οὔπω, ἔφη. Φ. ib. ἐνθένδε. p. ἔνθεν δή. π, 2, E. 11. σιωπᾶν, ᾠήθη δεῖν. E. 12. Σ. v. Σιμωνίδης· οὗτος ὁ Σιμωνίδης μνημονικός τις ἦν, εἴπερ τις ἄλλος. τούτῳ δ' ἦν ἐοικὼς Ἀπολλώνιος ὁ Τ. (cf. ἀνελέγετο). ὃς τὴν μὲν — ἀνελέγετο. τό τε μνημονικὸν ἐ. γ. ἔρρωτο ὑπὲρ τὸν Σ. καὶ ὑ. α. τ. ε. τ. μνημοσύνην (sic A, V, al. μνήμην) ᾖδετο — εἶναι. Idem v. Ἀπολλώνιος· οὗτος ὁ Ἀ. ὁ Τ. διαμνημονητικός τις ἦν, εἴπερ τις ἄλλος, ὃς τὴν μὲν φωνὴν σιωπῇ κατεῖχε, πλεῖστα δὲ ἀνελέγετο, καὶ τὸ μνημονικὸν ἐ. γ. ἔρρ ὑ. τ. Σ. καὶ ὕμνος αὐτῷ τις ἐστὶν εἰς μνημοσύνην, ὃν ᾖδεν, ἐν ᾧ πάντα — ἀθάνατον ὑπὸ τῆς μνημοσύνης εἶναι. 13. ᾖδετο. s. 15. παρὸν. v. 17. φιλέταιρον. l, I. ad Athen. ai ε 144. φιλέταιρον. l. φιλαίτερον. f, v, s, E. ib. τε εἶχε καὶ τὸ εὐμενές. 2, a, m. ib. αὐτῷ. a, m. 18. ὅλον. p, 2 (praeter l), a, m. ib. γὰρ. om. a, m. 19. πολλοῖς δ'. π. πολλοῖς δὲ. E. 20. διέτριψε. 1, f, m, o. διέπρεψε. l, v, s, a. ib. δ. δὲ. ρ, o. 21. τὸν μὲν. 1, l. τοὺς μὲν. 2, a, m. τὸ μὲν. o ex ρ, u, qui tamen videntur τὸν habere. ib. τὸ δὲ o. τοὺς δὲ s. ante corr. ib. δὲ οὕτω. a. ib. τρυφόντων. v. 24. ἐξῃρεῖτ' ἄν. p. c corr. rec. ib. ἀταξίαν πᾶσαν. p. c corr. rec. 25. ὀρχιστᾶν. v. ib. ὁρμηκότας v. 26. ὑπὲρ τῶν τοιούτων. v. περὶ τοιούτων. p. ib. αὐτῶν. E. αὐτῶν. l. 27. εἰς νοῦν. l. ib. εὐθηνίᾳ. v. ib. οὐ ῥᾷστα. l. 28. Ἀπολλωνίου. p, ρ, r. 29. ἦρκει. s. ib. Ἄσποδον. a. ib. Εὐρυμέδοντα. (supra posita ι.) π. ib. ποταμὸν. (supra posita ῳ.) π. 30. καὶ λιμὸς ἦν, ὄροβοι δὲ — αὐτοὺς. Φ (331, b. 26).

1, 14. 15. p. 17. 18.

αὐτούς, τὸν γὰρ σῖτον οἱ δυνατοὶ ξυγκλείσαντες εἶχον, ἵν' ἐκκαπηλευθείη τῆς χώρας. ἀνηρέθιστο δὴ ἐπὶ τὸν ἄρχοντα ἡλικία πᾶσα καὶ πυρὸς ἐπ' αὐτὸν ἥπτοντο καίτοι προσκείμενον τοῖς βασιλείοις ἀνδριάσιν, οἳ καὶ τοῦ Διὸς τοῦ ἐν Ὀλυμπίᾳ φοβερώτεροι ἦσαν τότε καὶ ἀσυλότεροι, Τιβερίου γε ὄντες, ἐφ' οὗ λέγεταί τις ἀσεβῆσαι δόξαι τυπτήσας τὸν ἑαυτοῦ δοῦλον φέροντα δραχμὴν ἀργυρᾶν νενομισμένην ἐς Τιβέριον. προσελθὼν οὖν τῷ ἄρχοντι ἤρετο αὐτὸν τῇ χειρί, ὅ τι εἴη τοῦτο, τοῦ δὲ ἀδικεῖν μὲν οὐδὲν φήσαντος, ἀδικεῖσθαι δὲ μετὰ τοῦ δήμου, λόγου δ' εἰ μὴ τύχοι, ξυναπολεῖσθαι τῷ δήμῳ, μετεστράφη τε εἰς τοὺς περιεστηκότας ὁ Ἀπολλώνιος καὶ ἔνευσεν ὡς χρὴ ἀκοῦσαι, οἱ δὲ οὐ μόνον ἐσιώπησαν ὑπ' ἐκπλήξεως τῆς πρὸς αὐτόν, ἀλλὰ καὶ τὸ πῦρ ἔθεντο ἐπὶ τῶν βωμῶν τῶν αὐτόθι. ἀναθαρρήσας οὖν ὁ ἄρχων „ὁ δεῖνα" ἔφη „καὶ ὁ δεῖνα" πλείους εἰπὼν „τοῦ λιμοῦ τοῦ καθεστηκότος αἴτιοι, τὸν γὰρ σῖτον ἀπολαβόντες φυλάττουσι κατ' ἄλλος ἄλλο τῆς χώρας." διακελευομένων δὲ τῶν Ἀσπενδίων ἀλλήλοις ἐπὶ τοὺς ἀγροὺς φοιτᾶν, ἀνένευσεν ὁ Ἀπολλώνιος μὴ πράττειν τοῦτο, μετακαλεῖν δὲ μᾶλλον τοὺς ἐν τῇ αἰτίᾳ καὶ παρ' ἑκόντων εὑρίσθαι τὸν σῖτον. ἀφικομένων δὲ μικροῦ μὲν ἐδέησε καὶ φωνὴν ἐπ' αὐτοὺς ῥῆξαι, παθών τι πρὸς τὰ τῶν πολλῶν δάκρυα — καὶ γὰρ παιδία ξυνερρυήκει καὶ γύναια, καὶ ὠλοφύροντο οἱ γεγηρακότες, ὡς αὐτίκα δὴ 19
ἀποθανούμενοι λιμῷ — τιμῶν δὲ τὸ τῆς σιωπῆς δόγμα γράφει ἐς γραμματεῖον ἐπίπληξιν καὶ δίδωσιν ἀναγνῶναι τῷ ἄρχοντι· ἡ δὲ ἐπίπληξις ὧδε εἶχεν· „Ἀπολλώνιος σιτοκαπήλοις Ἀσπενδίων. ἡ γῆ πάντων μήτηρ, δικαία γάρ, ὑμεῖς δὲ ἄδικοι ὄντες πεποίησθε αὐτὴν [αὐτῶν] ὑμῶν μόνων μητέρα, καὶ εἰ μὴ παύσεσθε, οὐκ ἐάσω ὑμᾶς ἐπ' αὐτῆς ἑστάναι." ταῦτα δείσαντες ἐνέπλησαν τὴν ἀγορὰν σίτου καὶ ἀνεβίω ἡ πόλις.

Ἐπεφοίτησε καὶ Ἀντιοχείᾳ τῇ μεγάλῃ πεπαυμένος τοῦ σιωπᾶν, καὶ παρῆλθεν ἐς τὸ ἱερὸν τοῦ 20 XVI
Δαφναίου Ἀπόλλωνος, ᾧ περιάπτουσιν Ἀσσύριοι τὸν μῦθον τὸν Ἀρκάδα· τὴν γὰρ τοῦ Λάδωνος Δάφνην ἐκεῖ μεταφῦναι λέγουσι καὶ ποταμὸς αὐτοῖς ῥεῖ Λάδων, καὶ φυτὸν τιμᾶται παρ' αὐτοῖς δάφνης, τοῦτο δὴ τὸ ἀντὶ τῆς παρθένου, κυπαρίττων τε ὕψη ἀμήχανα περιέστηκε κύκλῳ τὸ ἱερὸν καὶ πηγὰς ἐκδίδωσιν ὁ χῶρος ἀφθόνους τε καὶ ἠρεμούσας, αἷς τὸν Ἀπόλλω φασὶ ῥαίνεσθαι. ἐνταῦθα κυπαρίττου τι ἔρνος ἡ γῆ ἀναδίδωκεν ἐπὶ Κυπαρίττῳ φασὶν ἐφήβῳ Ἀσσυρίῳ, καὶ πιστοῦται 25
τὴν μεταβολὴν ἡ ὥρα τοῦ φυτοῦ. καὶ ἴσως νεανικώτερον ἅπτεσθαι δοκῶ τοῦ λόγου διαμυθολογῶν τὰ τοιαῦτα· ἀλλ' οὐχ ὑπὲρ μυθολογίας ταῦτα. τί δέ μοι ὁ λόγος βούλεται; ὁ Ἀπολλώνιος ἰδὼν τὸ ἱερὸν χαρίεν μέν, σπουδὴν δ' ἐν αὐτῷ οὐδεμίαν, ἀλλ' ἀνθρώπους ἡμιβαρβάρους καὶ ἀμούσους „Ἄπολλον," ἔφη „μετάβαλε τοὺς ἀφώνους ἐς δένδρα, ἵνα κἂν ὡς κυπάριττοι ἠχῶσιν." τὰς δὲ πηγὰς ἐπισκεψάμενος, ὡς γαλήνην ἄγουσι καὶ κελαρύζει σφῶν οὐδεμία, „ἡ ἀφωνία" εἶπεν „ἡ 30 20
ἐνταῦθα οὐδὲ ταῖς πηγαῖς ξυγχωρεῖ φθέγγεσθαι." πρὸς δὲ τὸν Λάδωνα ἰδὼν „οὐχ ἡ θυγάτηρ" ἔφη „σοὶ μόνη μετέβαλεν, ἀλλὰ καὶ σὺ τῷ δόξαι βάρβαρος ἐξ Ἕλληνός τε καὶ Ἀρκάδος." Ἐπεὶ δὲ ἔγνω διαλέγεσθαι, τὰ μὲν ὁμιλούμενα τῶν χωρίων καὶ ἀτακτοῦντα παρῃτεῖτο φήσας οὐκ ἀνθρώπων ἑαυτῷ δεῖν, ἀλλ' ἀνδρῶν, τὰ δὲ σεμνότερα ἐσεφοίτα καὶ ᾤκει τῶν ἱερῶν τὰ μὴ κλιστά. ἡλίου μὲν δὴ ἀνίσχοντος ἐφ' ἑαυτοῦ τινα ἔπραττεν, ἃ μόνοις ἐποίει δῆλα τοῖς ἐτῶν τεττάρων σιωπᾶν γεγυ- 35
μνασμένοις, τὸν δὲ μετὰ ταῦτα καιρόν, εἰ μὲν Ἕλλας ἡ πόλις εἴη καὶ τὰ ἱερὰ γνώριμα, ξυγκαλῶν

3. ἦσαν τότε καὶ ἀσ. π. τότε καὶ ἀσ. ἦσαν. p, 2, E. ib. τε ὄντες p. 4. ἀργυρᾶν. v, a. 7. ἐνένευσεν. π. 10. κατ' ἄλλο ἄλλος. o 11. ἀνένευσεν. π, l. ἀνέ ευκεν. v. ἀνένευεν. p, f, s, E. 13. μικροῦ. p, ρ, u, o. μικρὸν. π, 2, a, m. ib. παθών τι. E. παθών τι p. ex corr. 15. γραμμάτιον. p. 16. ὧδε. om. π. ib. Ἀσπενδίων. om. Maz. 17. δικαία. ὑμεῖς. Maz. ib. αὐτὴν αὐτῶν ὑμῶν μόνων. l. (ρ, u). αὐτὴν αὐτῶν (αὐτῶν l) μόνων. 2, a, m. αὐτῶν αὐτὴν μόνων. o Fo: αὐτὴν ὑμῶν μόνων. 18. παύσαισθε. f, s. παύσαισθαι. v. ib. ἐν αὐτῇ. Maz. 21. δαφναίου. a. 22. μεταφῦναι. a. 24. Ἀπόλλωνα. p. 25. τε ἔρνος. E. ib. φησιν. p. 27. τὰ om. π. 28. σπουδὴν δ' ἐν α. π. σπουδὴν δὲ ἑαυτῷ. p. ib. ἀμούσους. h. 30. κελαρίζει. l, v. 31. συγχωρεῖ. l. ib. οὐχὶ θ. v. 32. ἐπεὶ δ'. π. 33. ἀμελούμενα. a, m. 34. ἀλλ' ἀνδρῶν. π, l. 35. τοῖς ἐκ τῶν. 2, a. (τοὶς ἐκ τεττάρων. l.) ib. τεσσάρων. π, v. 36. ξυγκαλῶν. π.

ἂν τοὺς ἱερέας ἐφιλοσόφει περὶ τῶν θεῶν καὶ διωρθοῦτο αὐτούς, εἴ που τῶν νομιζομένων ἐξαλλάττοιεν, εἰ δὲ βάρβαρά τε καὶ ἰδιότροπα εἴη, διεμάνυανε τοὺς ἱδρυσαμένους αὐτὰ καὶ ἐφ' ὅτῳ ἱδρύθη, πυθόμενός τε, ὅπη θεραπεύεται ταῦτα καὶ ὑποθέμενος, εἴ τι σοφώτερον τοῦ δρωμένου ἐνθυμηθείη, μετῄει ἐπὶ τοὺς ὁμιλητὰς καὶ ἐκέλευεν ἐρωτᾶν, ἃ βούλονται. ἔφασκε γὰρ χρῆναι τοὺς οὕτω φιλοσοφοῦντας ἠοῦς μὲν ἀρχομένης ξυνεῖναι θεοῖς, προιούσης δὲ περὶ θεῶν, τὸν δὲ μετὰ ταῦτα καιρὸν ἀνθρωπείων πέρι τὰς ξυνουσίας ποιεῖσθαι. εἰπὼν δ' ἂν πρὸς τοὺς ἑταίρους, ὁπόσα ἠρώτων, καὶ ἱκανῶς τῆς τοιαύτης ξυνουσίας ἔχων ἐπὶ τὴν διάλεξιν ἀνίστατο λοιπὸν τὴν ἐς πάντας, οὐ πρὸ μεσημβρίας, ἀλλ' ὑπότε μάλιστα ἡ ἡμέρα ἑστήκοι. καὶ διαλεχθεὶς ἂν ὡς ἀπαρκεῖν ᾤετο, ἠλείφετό τε καὶ τριψάμενος ἴει ἑαυτὸν ἐς ὕδωρ ψυχρὸν γῆρας ἀνθρώπων καλῶν τὰ βαλανεῖα· τῆς
21 γοῦν Ἀντιοχείας ἀποκλεισθείσης ἐς αὐτὰ ἐπὶ μεγάλοις ἁμαρτήμασιν „ἔδωκεν ὑμῖν" ἔφη „ὁ βασιλεὺς κακοῖς οὖσι βιῶναι πλείονα ἔτη." Ἐφεσίων δὲ βουλομένων καταλιθῶσαι τὸν ἄρχοντα ἐπὶ τῷ μὴ ἐκπυροῦν τὰ βαλανεῖα „ὑμεῖς μὲν τὸν ἄρχοντα" ἔφη „αἰτιᾶσθε, ἐπειδὴ πονηρῶς λοῦσθε, ἐγὼ δὲ
XVII ὑμᾶς, ὅτι λοῦσθε." λόγων δὲ ἰδέαν ἐπήσκησεν οὐ διθυραμβώδη καὶ φλεγμαίνουσαν ποιητικοῖς ὀνόμασιν, οὐδ' αὖ κατεγλωττισμένην καὶ ὑπεραττικίζουσαν, ἀηδὲς γὰρ τὸ ὑπὲρ τὴν μετρίαν Ἀθίδα ἡγεῖτο, οὐδὲ λεπτολογίᾳ ἐδίδου, οὐδὲ διῆγε τοὺς λόγους, οὐδὲ εἰρωνευομένου τις ἤκουσεν ἢ περιπατοῦντος ἐς τοὺς ἀκροωμένους, ἀλλ' ὥσπερ ἐκ τρίποδος ὅτε διαλέγοιτο „οἶδα" ἔλεγε καὶ „δοκεῖ
22 μοι" καὶ „ποῖ φέρεσθε;" καὶ „χρὴ εἰδέναι." καὶ αἱ ὀξεῖαι βραχεῖαι καὶ ἀδαμάντινοι κυριά τε ὀνόματα καὶ προσπεφυκότα τοῖς πράγμασι, καὶ τὰ λεγόμενα ἠχὼ εἶχεν, ὥσπερ ἀπὸ σκήπτρου θεμιστευόμενα. ἐρομένου δὲ αὐτὸν τῶν στενολεσχούντων τινός, ὅτου ἕνεκα οὐ ζητοίη, „ὅτι" ἔφη „μειράκιον ὢν ἐζήτησα, νῦν δὲ οὐ χρὴ ζητεῖν, ἀλλὰ διδάσκειν ἃ εὕρηκα." „πῶς οὖν, Ἀπολλώνιε, διαλέξεται ὁ σοφός;" πάλιν ἐπερομένου αὐτὸν „ὡς νομοθέτης," ἔφη „δεῖ γὰρ τὸν νομοθέτην, ἃ πέπεικεν ἑαυτόν, ταῦτα ἐπιτάγματα ἐς τοὺς πολλοὺς ποιεῖσθαι." ὧδε αὐτῷ τὰ ἐν Ἀντιοχείᾳ ἐσπουδάζετο καὶ ἐπέστρεφεν ἐς ἑαυτὸν ἀνθρώπους ἀμουσοτάτους.

XVIII Μετὰ δὲ ταῦτα λογισμὸν ἑαυτῷ διδοὺς ἀποδημίας μείζονος, ἐνθυμεῖται τὸ Ἰνδικὸν ἔθνος καὶ τοὺς ἐν αὐτῷ σοφούς, οἳ λέγονται Βραχμᾶνές τε καὶ Ὑρκάνιοι εἶναι, προσήκειν φήσας νέῳ ἀνδρὶ ἀποδημεῖν τε καὶ ὑπερορίῳ αἱρεσθαι. εὕρημα δὲ τοὺς μάγους ἐποιεῖτο, οἳ Βαβυλῶνα καὶ Σοῦσα οἰκοῦσι, καὶ γὰρ ἂν καὶ τὰ ἐκείνων διαμαθεῖν ὁδῷ χρώμενος. καὶ πρὸς τοὺς ὁμιλητὰς ἑπτὰ ὄντας ἀνέφηνε τὴν γνώμην. πειρωμένων δὲ αὐτῶν ξυμβουλεύειν ἕτερα, εἴ πῃ ἀφελχθείη τῆς ὁρμῆς ταύτης, „ἐγὼ μὲν θεοὺς" ἔφη „συμβούλους πεποίημαι καὶ τὰ δεδογμένα εἴρηκα, ὑμῶν δὲ βάσανον
23 ἐποιούμην, εἰ πρὸς ἅπερ ἐγὼ ἔρρωσθε· ἐπεὶ τοίνυν μαλακῶς ἔχετε, ὑμεῖς μὲν ὑγιαίνετε" ἔφη „καὶ φιλοσοφεῖτε· ἐμοὶ δὲ βαδιστέα, οἷ σοφία τε καὶ δαίμων με ἄγει." ταῦτα εἰπὼν ἐξελαύνει τῆς Ἀν-

1. περὶ τῶν θεῶν. π, 2, E. πρὸ τῶν θυρῶν. p, u. παρὰ τῶν θυρῶν. ρ. ib. εἴ που τῶν νομιζομένων. π. εἴ πῃ τοῦ νομιζομένου. p, 2, E. (εἴ που τι νομιζομένου. l.) 2. ἱδρύσθη. π. 4. μετὰ ταῦτα μετῄει. o. 5. μετὰ ταῦτα. π, v. μεταταῦτα. E. 6. ὁπόσα. om. l. 7. διάστασιν. v. 8. ὁπότε μάλιστα ἡ ἡμέρα ἑστ. l. (u, ρ) o. ὑπότε ἡμέρα μάλιστα ἑστ. 2, a, m. (ἑστήκει. l.) 9. εἰς ὕδωρ. π. 12. ὑμεῖς μὲν ἔφη, τὸν ἄρχοντα. 2, a, m. (μὲν om. l.) ib. αἰτιᾶσθαι. v. 13. Σ. v. κατεγλωττισμένον· ὁ δὲ Ἀπολλώνιος λόγων — ἰδέαν — θεμιστευόμενα. Φ· ὅτι ὁ Ἀπολλώνιος — ἡγεῖτο. (331, b, 29). ib. ἐπήσκει. Σ. (v. διθύραμβος.) ἐπίσχει. ΣVC. ib. τὴν διθυραμβώδη. Σ. 14. κατεγλωτισμένην. s. ib. ὑπερακοντίζουσαν. ΣB, E. ἀττικίζουσαν. Φ praeter AB. ib. Ἀττιθίδα. l. 15. οὐδὲ — λόγους habet Σ. v. λεπτολογία et v. διάγειν idem usque ad ἤκουσε. ib. τίς. E. ib. ἤκουσε. π. ib. οὔτε περιπατοῦντος. Σ. 16. Σ. v. ἀδάμας. ἀλλ' ὥσπερ εἰ ἑαυτῷ διελέγετο, οἶδα — ἀδαμάντιναι. 17. πῇ. l. ib. φέρεσθαι. v. ib. Φ: καὶ αἱ ὀξεῖαι — θεμιστευόμενα. (331, b, 33.) ib. καὶ ὀξεῖαι. Σ, o. ib. ἀδαμάντιναι. Σ. 18. Σ. v. ἠχώ et θεμιστεύσαντος: καὶ τα λεγόμενα — θεμιστευόμενα. ib. εἶχον. ΣV v. ἠχώ. εἶχεν. ΣE. ib. σκήπτου. Φ praeter A, B. 19. αὐτῶν δὲ τῶν. f. ib. ζητοῖ. v. 20. Ἀπολλώνιος. p, v. 22. πεποίηκεν. v, l. 23. εἰς. E. 24. μετὰ — μείζονος. h. ib. δίδωσι. h. ib. ἐνθυμεῖ ταυτὸ. m. 25. αὐτοῦ. v. ib. Γερμᾶνες. o. Fo: Σαρμᾶνες. ib. προσήκει. a. 26. ὑπερόριον. v. ib. Σ. v. εὕρημα· εὕρημα — οἰκοῦσιν. ib. δὲ τοὺς. π, Σ. δὲ καὶ τοὺς. p, 2, E. 27. τὰ ἐκείνων. p. τἀκείνων. π, 2, E. 28. συμβουλεύειν. p. ib. εἴ πει. π. 30. ὑμεῖς δὲ. v. 31. φιλοσοφεῖται. v. ib. βαδιστέον. l. ib. δαίμωνες. v. ib. ταῦτ' εἰπών. p.

I, 17. 18. p. 21. 22. 23.

τιοχείας μετὰ δυοῖν θεραπόντοιν, οἵπερ αὐτῷ πατρικὼ ἦστην, ὁ μὲν ἐς τάχος γράφων, ὁ δὲ ἐς κάλλος. καὶ ἀφικνεῖται ἐς τὴν ἀρχαίαν Νίνον, ἐν ᾗ ἄγαλμα ἵδρυται τρόπον βάρβαρον, ἔστι δὲ ἄρα Ἰὼ ἡ Ἰνάχου καὶ κέρατα τῶν κροτάφων ἐκκρούει μικρὰ καὶ οἷον μέλλοντα. ἐνταῦθα διατρίβοντι καὶ πλείω ξυνιέντι περὶ τοῦ ἀγάλματος ἢ οἱ ἱερεῖς καὶ προφῆται, προσεφοίτησε Δάμις ὁ Νίνιος, ὃν καταρχὰς ἔφην ξυναποδημῆσαί οἱ καὶ ξυνέμπορον γενέσθαι τῆς σοφίας πάσης καὶ πολλὰ τοῦ ἀνδρὸς διασώσασθαι. ὃς ἀγασθεὶς αὐτὸν καὶ ζηλώσας τῆς ὁδοῦ „ἴωμεν," ἔφη „Ἀπολλώνιε, σὺ μὲν θεῷ ἑπόμενος, ἐγὼ δὲ σοί, καὶ γάρ με καὶ πολλοῦ ἄξιον εὕροις ἄν· εἰ μὲν ἄλλο τι οὐκ οἶδα, τὸ δ' οὖν ἐς Βαβυλῶνα ἄγον, πόλεις τε, ὁπόσαι εἰσίν, οἶδα ἀνελθὼν οὐ πάλαι καὶ κώμας, ἐν αἷς πολλὰ ἀγαθά, καὶ μὴν καὶ τὰς φωνὰς τῶν βαρβάρων, ὁπόσαι εἰσίν, εἰσὶ δὲ ἄλλη μὲν Ἀρμενίων, ἄλλη δὲ Μήδων τε καὶ Περσῶν, ἄλλη δὲ Καδουσίων, μεταλαμβάνω δὲ πάσας." „ἐγὼ δέ," εἶπεν „ὦ ἑταῖρε, πασῶν ξυνίημι, μαθὼν μηδεμίαν." θαυμάσαντος δὲ τοῦ Νινίου „μὴ θαυμάσῃς," εἶπεν „εἰ πάσας οἶδα φωνὰς ἀνθρώπων· οἶδα γὰρ δὴ καὶ ὅσα σιωπῶσιν ἄνθρωποι." ὁ μὲν δὴ Ἀσσύριος προσηύξατο αὐτόν, ὡς ταῦτα ἤκουσε, καὶ ὥσπερ δαίμονα ἔβλεπε, συνῆν τε αὐτῷ ἐπιδιδοὺς τὴν σοφίαν καὶ ὅ τι μάθοι μνημονεύων. φωνὴ δὲ ἦν τῷ Ἀσσυρίῳ ξυμμέτρως πράττουσα, τὸ γὰρ λογοειδὲς οὐκ εἶχεν, ἅτε παιδευθεὶς ἐν βαρβάροις, διατριβὴν δὲ ἀναγράψαι καὶ συνουσίαν καὶ ὅ τι ἤκουσεν ἢ εἶδεν ἀνατυπῶσαι καὶ ὑπόμνημα τῶν τοιούτων ξυνθεῖναι σφόδρα ἱκανὸς ἦν καὶ ἐπετήδευε τοῦτο ἄριστα ἀνθρώπων. ἡ γοῦν δέλτος ἡ τῶν ἐκφατνισμάτων τοιοῦτον τῷ Δάμιδι νοῦν εἶχεν· ὁ Δάμις ἐβούλετο μηδὲν τῶν Ἀπολλωνίου ἀγνοεῖσθαι, ἀλλ' εἴ τι καὶ παρεφθέγξατο ἢ εἶπεν, ἀναγεγράφθαι καὶ τοῦτο, καὶ ἄξιόν γε εἰπεῖν, ἃ καὶ πρὸς τὸν μεμψάμενον τὴν διατριβὴν ταύτην ἀπεφθέγξατο· διασύροντος γὰρ αὐτὸν ἀνθρώπου ῥᾳθύμου τε καὶ βασκάνου καὶ τὰ μὲν ἄλλα ὀρθῶς ἀναγράφειν φήσαντος, ὁπόσαι γνῶμαί τέ εἰσι καὶ δόξαι τοῦ ἀνδρός, ταυτὶ δὲ τὰ οὕτω μικρὰ ξυλλεγόμενον παραπλήσιόν που τοῖς κυσὶ πράττειν τοῖς σιτουμένοις τὰ ἐκπίπτοντα τῆς δαιτός, ὑπολαβὼν ὁ Δάμις „εἰ δαῖτες" ἔφη „θεῶν εἰσι καὶ σιτοῦνται θεοί, πάντως που καὶ θεράποντες αὐτοῖς εἰσιν, οἷς μέλει τοῦ μηδὲ τὰ πίπτοντα τῆς ἀμβροσίας ἀπόλλυσθαι." Τοιοῦδε μὲν ἑταίρου καὶ ἐραστοῦ ἔτυχεν, ᾧ τὸ πολὺ τοῦ βίου συνεπορεύθη. παριόντας δὲ αὐτοὺς ἐς τὴν μέσην τῶν ποταμῶν ὁ τελώνης ὁ ἐπιβεβλημένος τῷ Ζεύγματι πρὸς τὸ πινάκιον ἦγε καὶ ἠρώτα, ὅ τι ἀπάγοιεν, ὁ δὲ Ἀπολλώνιος „ἀπάγω" ἔφη "σωφροσύνην δικαιοσύνην ἀρετὴν ἐγκράτειαν ἀνδρίαν ἄσκησιν," πολλὰ καὶ οὕτω θήλεα εἶρας ὀνόματα. ὁ δ' ἤδη βλέπων τὸ ἑαυτοῦ κέρδος ἀπογράψαι οὖν ἔφη τὰς δούλας. ὁ δὲ „οὐκ ἔξεστιν," εἶπεν „οὐ γὰρ δούλας ἀπάγω ταύτας, ἀλλὰ δεσποίνας." τὴν δὲ τῶν ποταμῶν μέσην ὁ Τίγρις ἀποφαίνει καὶ ὁ Εὐφράτης ῥέοντες μὲν ἐξ Ἀρμενίας καὶ Ταύρου λήγοντος, περιβάλλοντες δὲ ἤπειρον, ἐν ᾗ καὶ πόλεις μέν, τὸ δὲ πλεῖστον κῶμαι, ἔθνη τε Ἀρμένια καὶ Ἀράβια, ἃ ξυγκλείσαντες οἱ ποταμοὶ ἔχουσιν, ὧν καὶ νομάδες οἱ πολλοὶ στείχουσιν, οὕτω τι νησιώτας ἑαυτοὺς νομίζοντες, ὡς ἐπὶ θάλαττάν τε καταβαίνειν φάσκειν, ὅτ' ἐπὶ τοὺς ποταμοὺς

XIX

XX

1. δύειν. p. ex corr. ib. πατρικῶ. v, l, s. ib. εἰς τάχος γράφει λέγε καὶ εἰς κάλλος γράφει. μὴ ταχυγράφος ἴσθι, μηδὲ καλλιγράφος. Θ. 2. καὶ ἀφικνεῖται – μέλλοντα. Φ (331, b, 36). ib. εἰς E. ib. ἀρχαῖαν. l. ib. Νίννον. v. 3. δὲ ἄρα om. Φ AB. ib. Ἰνὼ. Φ praeter A. ib. οἷα. Φ. 4. ξυνέντι. p. ib. ἱερεῖς. l. ib. Νίνος. l, f, l, s, a, m. Νίννος. v. Νίνιος. o. 5. συναποδημῆσαι. p. ib. σοφίας. π. φιλοσοφίας. p, 2, E. 7. δέ σοι. o. 10. δήμων. l. ib. Καδδουσίων. p, u. ib. μεταλαμβάνω πάσας. 2, a, m. 11. μὴ δὲ μίαν. l. οὐδεμίαν. 2, E. ib. θαυμάσοιτος. l. ib. Νίνου. l, f, l, s, a, m. Νίννου. v. 12. Φ. ὁ μὲν δὴ Δάμις ὥσπερ δαίμονα – οὐκ εἶχεν. (331, b, 39.) 13. Σ. v. Δάμις· προσεφοίτησε δὲ αὐτῷ Δάμις ὁ Νίνος καὶ συνῆν αὐτῷ ὅτι μάθοι μνημονεύων – ἱκανὸς ἦν. ib. δὲ αὐτῷ. p. 14. τε ἦν. p. ib. αὐτῷ Ἀσσυρίῳ. Σ praeter A, B, E. ib. συμμέτρως. ΦΛ. σὺν μέτρῳ. ΦΒ. 15. ξυνουσίαν. Σ. 16. ὑπομνήματα. Σ. ib. τῶν τοιῶνδε. p. τοιάδε. Σ. ib. σφόδρα om. ΣE. ib. ἱκανῶς. s. 17. ἐπαίδευε. v. ib. ἡ οὖν. p. ib. ἡ ἐκ τῶν φατνισμάτων. p. ib. Δάμιδι νουν. v. 19. ᾗ εἶπεν. C, E. Fo: ἢ ἀμελῶς εἶπεν. 21. ὁπόσα τοῦ ἀνδρός. o cett. om. 22. ξυλλεγόμενα. l. 24. εἰσὶν. s. ib. τοῦ om. p. 25. ὦ. v. ib. τὴν om. m. 27. δὲ om. o. ib. ἀνδρίαν. p. ἀνδρείαν. π, 2, E. 28. ὅθ' E. 30. Τίγρης. p. ib. καὶ Εὐφράτης l. 31. περιβαλόντες. p. ib. Ἀρμενιά τε. p. 32. Ἀρράβια. p. ib. οἱ πολλοὶ. l. οἱ πλεῖστοι. 2, E. ib. στοίχουσι. v. ib. οὕτω τι. π, 2, a, m. οὕτω τοι. p, u et m: ἴσ. τοι. οὕτω τε o ex ρ. 33. θάλατταν δὲ. a et m ubi ἴσ. τε.

1, 19. 20. p. 24. 25.

βαδίζοιεν, ὅπον τε ποιεῖσθαι τῆς γῆς τὸν τῶν ποταμῶν κύκλον· ἀποτορνεύσαντες γὰρ τὴν προειρημένην ἤπειρον ἐπὶ τὴν αὐτὴν ἴενται θάλατταν. εἰσὶ δ', οἳ φασιν ἐς ἕλος ἀφανίζεσθαι τὸ πολὺ τοῦ Εὐφράτου καὶ τελευτᾶν τὸν ποταμὸν τοῦτον ἐν τῇ γῇ. λόγου δ' ἔνιοι θρασυτέρου ἐφάπτονται, φάσκοντες αὐτὸν ὑπὸ τῇ γῇ ῥέοντα ἐς Αἴγυπτον ἀναφαίνεσθαι καὶ Νείλῳ συγκεράννυσθαι. ἀκριβολογίας μὲν δὴ ἕνεκα καὶ τοῦ μηδὲν παραλελεῖφθαί μοι τῶν γεγραμμένων ὑπὸ τοῦ Λάμιδος ἐβουλόμην ἂν καὶ τὰ διὰ τῶν βαρβάρων τούτων σπουδασθέντα εἰπεῖν, ξυνελαύνει δὲ ἡμᾶς ὁ λόγος ἐς τὰ μείζω τε καὶ θαυμασιώτερα, οὐ μὴν ὡς δυοῖν γε ἀμελῆσαι τούτοιν, τῆς τε ἀνδρίας, ᾗ χρώμενος ὁ Ἀπολλώνιος διεπορεύθη βάρβαρα ἔθνη καὶ λῃστρικά, οὐδ' ὑπὸ Ῥωμαίοις πω ὄντα, τῆς τε σοφίας, ᾗ τὸν Ἀράβιον τρόπον ἐς ξύνεσιν τῆς τῶν ζῴων φωνῆς ἦλθεν. ἔμαθε δὲ τοῦτο διὰ τουτωνὶ τῶν Ἀραβίων πορευόμενος ἄριστα γιγνωσκόντων τε αὐτὸ καὶ πραττόντων. ἔστι γὰρ τῶν Ἀραβίων ἤδη κοινὸν καὶ τῶν ὀρνίθων ἀκούειν μαντευομένων, ὁπόσα οἱ χρησμοί, ξυμβάλλονται δὲ τῶν ἀλόγων σιτούμενοι τῶν δρακόντων οἱ μὲν καρδίαν φασίν, οἱ δὲ ἧπαρ.

xxi 26 Κτησιφῶντα δὲ ὑπερβαλὼν καὶ παριὼν ἐς τὰ Βαβυλῶνος ὅρια φρουρὰ μὲν αὐτόθι ἦν ἐκ βασιλέως, ἣν οὐκ ἂν παρῆλθέ τις μὴ οὐκ ἐρωτηθεὶς ἑαυτόν τε καὶ πόλιν καὶ ἐφ' ὅ τι ἥκοι. σατράπης δὲ τῇ φρουρᾷ ταύτῃ ἐπετέτακτο, βασιλέως τις, οἶμαι, ὀφθαλμός, ὁ γὰρ Μῆδος ἄρτι ἐς τὸ ἄρχειν ἥκων οὐ ξυνεχώρει ἑαυτῷ ἀδεῶς ζῆν, ἀλλὰ ὄντα τε καὶ οὐκ ὄντα δεδιὼς ἐς φόβους κατεπεπτώκει καὶ πτοίας. ἄγονται τοίνυν παρὰ τὸν σατράπην Ἀπολλώνιός τε καὶ οἱ ἀμφ' αὐτόν, ὁ δὲ ἔτυχε μὲν σκηνὴν ἐφ' ἁρμαμάξης πεποιημένος καὶ ἐξελαύνων ποι, ἰδὼν δὲ ἄνδρα αὐχμοῦ πλέων ἀνέκραγέ τε ὥσπερ τὰ δειλὰ τῶν γυναίων καὶ ξυνεκαλύψατο, μόγις τε ἀναβλέψας ἐς αὐτόν, πόθεν ἡμῖν ἐπιπεμφθεὶς ἥκεις; οἷον δαίμονα ἠρώτα. ὁ δὲ „ὑπ' ἐμαυτοῦ," ἔφη „εἴ πη καὶ ἄκοντες ἄνδρες γένοισθε." πάλιν ἤρετο, ὅστις ὢν ἐσφοιτᾷ τὴν βασιλέως χώραν, ὁ δὲ „ἐμὴ" ἔφη „πᾶσα ἡ γῆ καὶ ἀνεῖταί μοι δι' αὐτῆς πορεύεσθαι." τοῦ δὲ „βασανιῶ σε," εἰπόντος „εἰ μὴ λέγοις" „εἰ γὰρ ταῖς σαυτοῦ χερσίν," εἶπεν „ὡς αὐτὸς βασανισθείης, θιγὼν ἀνδρός." ἐκπλαγεὶς δὲ αὐτὸν ὁ εὐνοῦχος, ἐπεὶ μηδὲ ἑρμηνέως ἑώρα δεόμενον, ἀλλ' ὑπολαμβάνοντα τὴν φωνὴν ἀλύπως τε καὶ εὐκόλως „πρὸς
27 θεῶν" εἶπε „τίς εἶ;" λιπαρῶν ἤδη καὶ μεταβαλὼν τοῦ τόνου. ὑπολαβὼν δὲ ὁ Ἀπολλώνιος „ἐπειδὴ μετρίως" ἔφη „ταῦτα καὶ οὐκ ἀπανθρώπως ἤρου, ἄκουε, ὅς εἰμι· εἰμὶ μὲν ὁ Τυανεὺς Ἀπολλώνιος, ἡ δὲ ὁδὸς παρὰ τὸν Ἰνδῶν βασιλέα καθ' ἱστορίαν τῶν ἐκεῖ, βουλοίμην δ' ἂν καὶ τῷ σῷ βασιλεῖ ἐντυχεῖν· φασὶ γὰρ αὐτὸν οἱ ξυγγεγονότες οὐ τῶν φαύλων εἶναι, εἰ δὴ Οὐαρδάνης οὗτος, ὁ τὴν ἀρχὴν ἀπολωλυῖάν ποτ' αὐτῷ νῦν ἀνακεκτημένος." „ἐκεῖνος," ἔφη „θεῖε Ἀπολλώνιε· πάλαι γάρ σε ἠκούομεν. σοφῷ δὲ ἀνδρὶ κἂν αὐτοῦ παραχωρήσειε τοῦ χρυσοῦ θρόνου καὶ πέμποι δ' ἂν ὑμᾶς ἐς Ἰνδοὺς ἐπὶ καμήλου ἕκαστον. ἐγὼ δὲ καὶ ξένον ἐμαυτοῦ ποιοῦμαί σε καὶ δίδωμί σοι τούτων τῶν χρημάτων," ἅμα θησαυρὸν χρυσοῦ δείξας „ὁπόσα βούλει δράττεσθαι, καὶ μὴ ἐς ἅπαξ, ἀλλὰ δεκάκις." παραιτησαμένου δὲ αὐτοῦ τὰ χρήματα „σὺ δ' ἀλλὰ οἶνου" ἔφη „Βαβυλωνίου,

1. τῷ — κύκλῳ. v. 2. εἰς. o. ib. ἔαινται. v. ἴενται a. 3. θρασύτερον. v. 4. εἰς Αἴγυπτον ἀναφαίνεσθαι. π. εἰς Αἴγυπτόν τε ἀναφαίνεσθαι. p, 2, E. 5. γεγραμμένων. 1, l. ἐγγεγραμμένων. f, v, s, E. ib. παρὰ τοῦ Δ. v. ib. ἐβουλόμην δ' ἄν. v. 6. τούτων. 1. τούτῳ. 2, E. ib. ἐξελαύνει. v. 7. Σ v. Δάμις· οὐ μὴν — πορευόμενος. ib. οὐ μὴν ἐς. p. οὐ μὴν οὐ. v. ib. ἀμελεῖται. a, m. ib. ἀνδρίας. p et Σ A. 8. ὁ om. Σ. ib. Ῥωμαίοις. Σ. 9. καὶ ἐς ξύνεσιν δὲ τῆς — ἧπαρ. Ε. 437. ib. Ἀράβων. Σ. ib. καὶ ἔμαθε. Ε. ib. τουτωνὶ. om. Ε. 10. Ἀράβων. Σ. ib. γιγνωσκόντων τε καὶ πραττόντων αὐτὸ. Ε. 11. κύκνων ἤδη καὶ ὀρνίθων. Ε. ib. τῶν ὀρνίθων. 1, v. τὸ ὀρνίθων. f, l, s, E. 13. Βαβυλώνια. p. 14. μὴ οὐκ ἐρωτηθεὶς. π. μὴ ἐρωτηθεὶς. p, 2, E. 15. ἐπετέτακτο. 1, (u, ρ), o. ἐπέτακτο. 2, a, m. ib. τίς. a. 16. καταπεπτώκει. p. 18. ἁρμάξης. v. ib. πεποιημένης. p. v. ib ποι. E. 19. συνηὶ ε
εκαλύψατο. p. ib. μόλις. v. 21. ἤρετο. p, m, o. ἐροιτο. π. ἔροιτο. 2, a. ib. ἐς φοιτᾷ. a. ib. πᾶσα ἡ γῆ. 1. πᾶσα γῆ. 2, E. 22. βανιῶ. v. ib. ταῖς αὐτοῦ. s, a, m. 23. θίγων. C, E. Scr. θιγών. ib. ἐκπλαγείς. l. 25. λιπαρῶν p ex corr. et l. λιπαρῶς. π, f, v, s, E. ib. δὲ om. a, m. ib. ἐπειδὴ. p, u, ρ, o. ἐπεὶ. π, 2, a, m, 29. ἀπολωλυῖαν τότ'. 2, a. ἀπολωλυῖαν πότ'. m, o. ib. Φιλόστρατος ἐν τῷ τοῦ Ἀπολλωνίου βίῳ· ὁ τὴν ἀρχὴν ἀπολωλυῖαν ἀνεκτημένος. Θ. v. κέκτημαι. 30. τοῦ χρυσοῦ θρόνου. 1 (u, r.) τοῦ θρόνου. 2, E. 31. ἐπ' Ἰνδούς. v. 33. σοὶ δ'. p.

1. 21. p. 26. 27.

προπίνει δὲ αὐτοῦ βασιλεὺς δέκα ἡμῖν σατράπαις, ἀμφορέα ἔχε, συῶν τε καὶ δορκάδων τεμάχη ὀπτὰ ἄλευρά τε καὶ ἄρτους· καὶ ὅ τι ἐθέλεις. ἡ γὰρ μετὰ ταῦτα ὁδὸς ἐπὶ πολλὰ στάδια κωμαί εἰσιν οὐ πάνυ εὔσιτοι." καὶ λαβόμενος ἑαυτοῦ ὁ εὐνοῦχος, „οἷον," ἔφη „ὦ θεοί, ἔπαθον· ἀκούων γὰρ τὸν ἄνδρα μήτ' ἀπὸ ζῴων σιτεῖσθαι μήτε οἴνου πίνειν, παχέως αὐτὸν καὶ ἀμαθῶς ἐστιῶ." „ἀλλ' ἔστι σοι" ἔφη „καὶ λεπτῶς με ἑστιᾶν, ἢν ἄρτους τε δῷς καὶ τραγήματα." „δώσω" ἔφη „ξυμίτας τε ἄρτους καὶ φοίνικος βαλάνους ἠλεκτρώδεις τε καὶ μεγάλας. δώσω καὶ λάχανα, ὁπόσα ὁ Τίγρις κηπεύει." „ἀλλ' ἡδίω" εἶπεν ὁ Ἀπολλώνιος „τὰ ἄγρια καὶ αὐτόματα λάχανα τῶν ἠναγκασμένων καὶ τεχνητῶν." „ἡδίω μέν," ἔφη ὁ σατράπης „ἡ χώρα δὲ ἡμῖν ἡ ἐπὶ Βαβυλῶνος ἀψινθίου πλήρης οὖσα ἀηδῆ αὐτὰ φύει καὶ πικρά." πλὴν ἀλλὰ τοῦ σατράπου γε ἀπεδέξατο, καὶ ἀπιὼν ἤδη 28
„ὦ λῷστε," ἔφη „μὴ λῆγε μόνον καλῶς, ἀλλὰ καὶ ἄρχου" νουθετῶν που αὐτὸν ἐπὶ τῷ „βασανιῶ σε," καὶ οἷς ἐν ἀρχῇ βαρβαρίζοντος ἤκουσε.

Προελθόντες δὲ εἴκοσι στάδια λεαίνῃ ἐντυγχάνουσιν ἀπεσφαγμένῃ ἐν θήρᾳ, καὶ ἦν τὸ θηρίον XXII
μέγα καὶ ὅσον οὔπω εἶδον, ἐβόων τε οἱ ἐκ τῆς κώμης συνερρυηκότες, καί, νὴ Δί', οἱ τεθηρακότες, ὡς τι μέγα θαῦμα ἐν αὐτῷ ὁρῶντες· καὶ ἦν ἀτεχνῶς θαῦμα· σκύμνους γὰρ ἀνατμηθεῖσα ὀκτὼ εἶχεν. ὁ δὲ τῆς λεαίνης τόκος, αἱ λέαιναι μηνῶν μὲν κυίσκουσιν ἓξ, τρὶς δὲ ἀποτίκτουσιν, ἀριθμὸς δὲ τῶν σκύμνων παρὰ μὲν τὴν πρώτην τρεῖς, ἐπὶ δὲ τῆς δευτέρας δύο, τρίτου δὲ ἀπτυμένη τόκου μονήρη σκύμνον ἀποτίκτει μέγαν, οἶμαι, καὶ ἀγριώτερον τῆς φύσεως. οὐ γὰρ προσεκτέα τοῖς λέγουσιν, ὡς ξήναντες οἱ σκύμνοι τὰς τῶν λεαινῶν μήτρας ἐκδίδονται τοῦ σπλάγχνου. δοκεῖ γὰρ τῇ φύσει τῷ τικτομένῳ πρὸς τὸ τίκτον ἐπιτήδεια εἶναι ὑπὲρ σωτηρίας τοῦ γένους. ἐνιδὼν οὖν ὁ Ἀπολλώνιος τῷ θηρίῳ καὶ πολὺν χρόνον ἐπισχὼν „ὦ Δάμι," ἔφη „ὁ χρόνος τῆς παρὰ βασιλέα ἀποδημίας ἐνιαυτοῦ ἔσται καὶ μηνῶν ὀκτώ, οὔτε γὰρ ἐκεῖνος ἀνήσει θᾶττον, οὔτε ἡμῖν λῷον ἀπελθεῖν πρὸ τούτου. τεκμαίρεσθαι δὲ χρὴ τῶν μὲν σκύμνων ἐς μῆνας, τῆς λεαίνης δὲ ἐς ἐνιαυτόν, τέλεια γὰρ τελείοις παραβλητέα." „οἱ δὲ δὴ στρουθοὶ" ἔφη ὁ Δάμις „οἱ παρὰ τῷ Ὁμήρῳ τί φήσουσιν, οὓς ὁ δράκων μὲν ἐν τῇ Αὐλίδι ἐδαίσατο ὀκτὼ ὄντας ἐννάτην ἐπ' αὐτοῖς τὴν μητέρα ἑλών; Κάλχας δ' ἐξηγούμενος ταῦτα ἐννέα ἐνιαυτοῖς ἀνεῖπε καταπολεμήσεσθαι τὴν Τροίαν· καὶ ὅρα μὴ καθ' Ὅμηρόν τε καὶ Κάλχαντα ἐς ἐννέα ἡμῖν ἔτη ἡ ἀποδημία τείνῃ." „καὶ εἰκότως," ἔφη „ὦ Δάμι, καὶ τοὺς νεοττοὺς Ὅμηρος ἐνιαυτοῖς εἰκάζει, γεγόνασι γὰρ ἤδη καί εἰσιν, ἐγὼ δὲ ἀτελῆ θηρία καὶ μήπω γεγονότα, ἴσως δὲ μηδ' ἂν γενόμενα, πῶς ἂν ἐνιαυτοῖς εἰκάζοιμι; τὰ γὰρ 29
παρὰ φύσιν οὔτ' ἂν γένοιτο, ταχείάν τε ἴσχει διαφθοράν, κἂν γένηται. ἀλλ' ἔπου δὴ τῷ λόγῳ, καὶ ἴωμεν εὐξόμενοι τοῖς θεοῖς, οἳ ταῦτα φαίνουσι." προελθόντι δὲ αὐτῷ ἐς τὴν Κισσίαν χώ- 30 XXIII
ραν καὶ πρὸς Βαβυλῶνι ἤδη ὄντι δόξα ἐννυπνίου ἐφοίτησεν ὧδε τῷ φήναντι θεῷ ξυντεθεῖσα· ἰχθῦς ἐκπεπτωκότες τῆς θαλάττης ἐν τῇ γῇ ἥσπαιρον θρῆνον ἀνθρώπων ἱέντες καὶ ὀλοφυρόμενοι τὸ ἐκβεβηκέναι τοῦ ἤθους, δελφινά τε τῇ γῇ παρανέοντα ἱκέτευον ἀμῦναί σφισιν ἐλεεινοὶ ὄντες, ὥσπερ

2. ἐθέλοις. l, l. θέλοις. f, v, E. θέλεις s. ante corr. Scr. ἐθέλεις. 3. ἀπὸ οἴνου. l. 5. ζυμίτας. v. ζυμήτας. l, f, l, s, E. 6. φοίνικας. p, u, ρ. ib. μεγάλας. 1, o. μεγάλους. 2, a, m. ib. καὶ om. m. ib. τίγρης. f, v, l. 7. ἀλλὰ. p. ib. ἡδίω, εἶπεν. π. ἡδίω μοι εἶπεν. p, 2, E. 8. τεχνητῶν. 1, s, l, a. τεχνιτῶν. f, v, r, m, o. 9. ἀηδῶς. v. 10. λέγε. v. ib. ποῦ. v. 12. ἐντυγχάνουσι. E. 13. κόμης. m. 14. ὥστε. v. ib. μέγα om. p, u, ρ et π pr. m. habet margo a sec. m. 15. μὲν om. l, a, m. ib. τρὶς ἀποτίκτουσιν δὲ. v. 17. ἀπτομένου. a, m. 18. λεαίνων. E. ib. ἐκδέδονται. a. 19. τὸ τικτόμενον πρὸς τὸ τίκτον. 1. τὸ τικτόμενον καὶ τὸ τίκτον. 2, E. Scr τῷ τικτομένῳ πρὸς τὸ τίκτον, omisso ἀλλήλοις. ib. εἶναι ἀλλήλοις. C, E. 20. Δάμιε. v. 21. παρὰ βασιλέα. π, 2. περὶ βασιλέα. E. παρὰ βασιλέως. p, u, ρ. ib. ἔστι s ante corr. 22. τεκμαίρεσθαι χρὴ. p. τεκμαίρεσθαι γὰρ χρὴ. v. 23. ἐνιαυτὸν om. v. ib. παραβλητέον. p. 24. ἑνάτην. E. 25. ἐνιαυτοῖς. 1. ἐνιαυτοὺς. 2, E. ib. εἶπε. l. ib. πολεμήσασθαι. π. sic. πολεμήσεσθαι. p, 2, E. Scr. καταπολεμήσεσθαι. 26. τείνει. v. ib. εἰκότος. a. 27. εἰκάζειν. a, m. 28. οὔπω. v. 29. διαφθοράν. π. φθοράν. p, 2, E. 30. προελθόντι. π. προσελθόντι. p, 2, E. 31. πρὸς Βαβυλῶνι. l. πρὸς Βαβυλῶνα. 2, E. 32. θαλάττης. p. θαλάσσης. E. ib. ἔσπαιρον. o. ib. ἱέντες. l. 33. ἐκπεπτωκέναι. u. ἐκπεπτωκείναι. p. ab ead. m. ib. ἀμύναι. E.

1. 22. 23. p. 28. 29.

τῶν ἀνθρώπων οἱ ἐν τῇ ξένῃ κλαίοντες. ἐκπλαγεὶς δὲ οὐδὲν ὑπὸ τοῦ ἐνυπνίου ξυμβαλλεται μὲν αὐτοῦ πῶς καὶ ὅπη εἶχε, διαταράττειν δὲ βουλόμενος τὸν Δάμιν, καὶ γὰρ τῶν εὐλαβεστέρων αὐτὸν ἐγίγνωσκεν, ἀπαγγέλλει πρὸς αὐτὸν τὴν ὄψιν δέος πλασάμενος ὡς ἐπὶ πονηροῖς, οἷς εἶδεν, ὁ δὲ ἀνεβόησέ τε ὡς αὐτὸς ἰδὼν ταῦτα καὶ ἀπῆγε τὸν Ἀπολλώνιον τοῦ πρόσω „μή πη“ ἔφη „καὶ ἡμεῖς ὥσπερ ἰχθύες ἐκπεσόντες τῶν ἡθῶν ἀπολώμεθα καὶ πολλὰ ἐλεεινὰ ἐν τῇ ἀλλοδαπῇ εἴπωμεν, καί που καὶ ἐς ἀμήχανον ἐμπεσόντες ἱκετεύσωμεν δυνάστην τινὰ ἢ βασιλέα, ὁ δὲ ἡμᾶς ἀτιμάσῃ, καθάπερ τοὺς ἰχθῦς οἱ δελφῖνες.“ γελάσας δὲ ὁ Ἀπολλώνιος „σὺ μὲν οὔπω φιλοσοφεῖς,“ εἶπεν „εἰ δέδιας ταῦτα, ἐγὼ δὲ οἶ τὸ ἐνύπνιον τείνει δηλώσω· Ἐρετριεῖς γὰρ τὴν Κισσίαν ταύτην χώραν οἰκοῦσιν οἱ ἐξ Εὐβοίας ποτὲ Δαρείῳ ἀναχθέντες ἔτη ταῦτα πεντακόσια, καὶ λέγονται, ὥσπερ ἡ ὄψις ἐφάνη, ἰχθύων πάθει περὶ τὴν ἅλωσιν χρήσασθαι· σαγηνευθῆναι γὰρ δὴ καὶ ἁλῶναι πάντας. ἐοίκασιν οὖν οἱ θεοὶ κελεύειν με ἐς αὐτοὺς παρελθόντα ἐπιμεληθῆναι σφῶν, εἴ τι δυναίμην. ἴσως δὲ καὶ αἱ ψυχαὶ τῶν Ἑλλήνων, οἵπερ ἔλαχον τὴν ἐνταῦθα μοῖραν, ἐπάγονταί με ἐπ' ὠφελείᾳ τῆς γῆς· ἴωμεν οὖν ἐξαλλάξαντες τῆς ὁδοῦ περὶ μόνου ἐρωτῶντες τοῦ φρέατος, πρὸς ᾧ οἰκοῦσι.“ λέγεται δὲ τοῦτο κεκρᾶσθαι μὲν ἀσφάλτου καὶ ἐλαίου καὶ ὕδατος, ἐκχέαντος δὲ τοῦ ἀνιμήσαντος ἀποχωρεῖν ταῦτα καὶ ἀπ' ἀλλήλων κρίνεσθαι. παρελθεῖν μὲν δὴ ἐς τὴν Κισσίαν καὶ αὐτὸς ὡμολόγηκεν ἐν οἷς πρὸς τὸν Κλαζομένιον σοφιστὴν γράφει, χρηστὸς γὰρ οὕτω τι καὶ φιλότιμος ἦν, ὡς ἐπειδὴ Ἐρετριέας εἶδε, σοφιστοῦ τε ἀναμνησθῆναι καὶ γράψαι πρὸς αὐτὸν ἅ τε εἶδεν ἅ τε ὑπὲρ αὐτῶν ἔπραξεν· καὶ παρακελεύεται οἱ παρὰ τὴν ἐπιστολὴν πᾶσαν ἐλεεῖν τοὺς Ἐρετριέας, καὶ ὁπότε μελετῴη τὸν περὶ αὐτῶν λόγον, μηδὲ τὸ κλάειν ἐπ' αὐτοῖς παραιτεῖσθαι. ξυνῳδὰ δὲ τούτοις καὶ ὁ Δάμις περὶ τῶν Ἐρετριέων ἀναγέγραφεν· οἰκοῦσι γὰρ ἐν τῇ Μηδικῇ, Βαβυλῶνος οὐ πολὺ ἀπέχοντες, ἡμέρας δρομικῷ ἀνδρί, ἡ χώρα δὲ ἄπολις, ἡ γὰρ Κισσία κῶμαι πᾶσα καί τι καὶ νομάδων ἐν αὐτῇ γένος μικρὰ τῶν ἵππων ἀποβαίνοντες. ἡ δὲ τῶν Ἐρετριέων οἰκεῖται μὲν τῶν ἄλλων μέση, περιβέβληται δὲ ποταμοῦ τάφρον, ἣν αὐτοὶ βαλέσθαι περὶ τῇ κώμῃ λέγονται τεῖχος αὐτὴν ποιούμενοι πρὸς τοὺς ἐν τῇ Κισσίᾳ βαρβάρους. ὕπομβρος δὲ ἀσφάλτῳ ἡ χώρα καὶ πικρὰ ἐμφυτεῦσαι, βραχυβιώτατοί τε οἱ ἐκείνῃ ἄνθρωποι, τὸ γὰρ ἀσφαλτῶδες ποτὸν ἐς πολλὰ τῶν σπλάγχνων ἰζάνει. τρέφει δ' αὐτοὺς λόφος ἐν ὁρίοις τῆς κώμης, ὃν ὑπεραίροντα τοῦ παρεφθορότος χωρίου σπείρουσί τε καὶ ἠγοῦνται γῆν. φασὶ δὲ ἀκοῦσαι τῶν ἐγχωρίων, ὡς ἑπτακόσιοι μὲν τῶν Ἐρετριέων πρὸς τοῖς ὀγδοήκοντα ἥλωσαν, οὔτι που μάχιμοι πάντες, ἦν γάρ τι καὶ θῆλυ ἐν αὐτοῖς γένος καὶ γεγηρακός, ἦν δ', οἶμαι, τι καὶ παιδία, τὸ γὰρ πολὺ τῆς Ἐρετρίας τὸν Καφηρέα ἀνέφυγε καὶ ὅ τι ἀκρότατον τῆς Εὐβοίας. ἀνήχθησαν δὲ ἄνδρες μὲν ἀμφὶ τοὺς τετρακοσίους, γύναια δὲ ἴσως δέκα, οἱ δὲ λοιποὶ ἀπ' Ἰωνίας τε καὶ Λυδίας ἀρξάμενοι διεφθάρησαν ἐλαυνόμενοι ἄνω. λιθοτομίαν δὲ αὐτοῖς παρεχομένου τοῦ λόφου καί τινες καὶ λιθουργοὺς εἰδότες τέχνας ἱερά τε ἐδείμαντο Ἑλληνικὰ καὶ ἀγοράν, ὁπόσην εἰκὸς ἦν, βωμούς τε ἱδρύσαντο Δαρείῳ μὲν δύο, Ξέρξῃ δὲ ἕνα, Δαριδαίῳ δὲ πλείους. διετέλεσαν δὲ ἐς Δαριδαῖον ἔτη μετὰ τὴν ἅλωσιν ὀκτὼ καὶ ὀγδοήκοντα γράφοντες τὸν Ἑλλήνων τρόπον, καὶ οἱ τάφοι δὲ οἱ ἀρχαῖοι σφῶν „ὁ δεῖνα τοῦ δεῖνος“ γεγράφαται, καὶ τὰ γράμματα Ἑλλήνων μέν, ἀλλ' οὔπω ταῦτα ἰδεῖν φασι. καὶ ναῦς ἐγκεχαραγμένας τοῖς τάφοις, ὡς ἕκαστος ἐν Εὐβοίᾳ ἔζη πορθ-

XXIV

31

6. ἀμήχανον. 1. ἀμηχανίαν. 2, E. ib. ἱκετεύωμεν. l. ib. ἀτιμάσει. l. 7. ἢ δέδιας. m, o. 9. ἀνεχθέντες. a, m. 10. ὄψις ἐφάνη. 1 (u, ρ). ὄψις. 2, a, m. ib. πάθη. (supra posita ει.) π. ib. ἁλ. δέξασθαι. v. 12. οἵπερ ἔλαχον. om. 2, a, m. αἵπερ ἔλαχον. o. ex u. ρ. (?) 15. κεκρᾶσθαι. l, E. ib. μὲν. om. l. ib. ἐλέου. l. 15. μὲν ἐς. v. 16. ἐπειδάν. o. ἐπειδὴ. om. l. 17. Ἐρετριέας. om. a, m. ib. σοφιστοῦ ἀναμνησθῆναι. 2, a, m. ib. ἔπραξε. 1 (u, ρ.) ἔγραφε. 2, E. 19. μὴ δὲ. a. ib. ξυνῳδὰ. s. 20. οἰκοῦσι γὰρ Ἐρετριεῖς ἐν τῇ — ἀπέχοντες δρομικῷ ἀνδρὶ. Φ. (332, a, 4.) ib. Fo: ἡμέρας ὁδὸν. 21. καί τοι. E. 22. τῆς ἄλλω. a. τῆς ἄλλης. m, o. 23. δὲ. om. v. ib. αὐτοῖ. f. ib. λέγεται 1 pr. m. 24. ἐν Κισσίᾳ. p. ib. βραχυβιώτατοί τε οἱ. C, praeter v. βρ. οἱ. a. καὶ βρ. οἱ. m. βρ. γε οἱ. v, o. 25. ἐκεῖνοι. v, o. 27. Ἐρετρίων. v. 28. οὔτε. v. ib. οὔτιπω. a. ib. γένος γεγηρακός. p. 29. τι καὶ παιδία. 1. τινα καὶ π. 2, E. ib. Ἐρετριέας. l. 33. Δαριδαίω. 1. Δαρείω. v. Δαριδαίῳ. f, l, s, E. 34. τῶν Ἑλλήνιον. π, l. ib. οἱ. om. l. 35. τῆς δεῖνος. a. 36. ἴσ. τοιαῦτα. m. ib. γραφὰς ἐγκ. o. ib. πορθμεύων ἢ πορφυρεύων. uncis incl. o.

1, 21. p. 30. 31.

μεύων ἢ πορφυρεύων ἢ Θαλάττιον ἢ καὶ ἀλουργὸν πράττων, καί τι καὶ ἐλεγεῖον ἀναγνῶναι γεγραμμένον ἐπὶ ναυτῶν τε καὶ ναυκλήρων σήματι·

Οἵδε ποτ' Αἰγαίοιο βαθύῤῥοον οἶδμα πλέοντες
Ἐκβατάνων πεδίῳ κείμεθ' ἐνὶ μεσάτῳ.
χαῖρε κλυτὴ ποτε πατρὶς Ἐρέτρια, χαίρετ' Ἀθῆναι,
γείτονες Εὐβοίης, χαῖρε θάλασσα φίλη.

τοὺς μὲν δὴ τάφους διεφθορότας ἀναλαβεῖν τε αὐτὸν ὁ Δάμις φησὶ καὶ ξυγκλεῖσαι χέασθαί τε καὶ ἐπενεγκεῖν σφισιν, ὁπόσα νόμιμα, πλὴν τοῦ τεμεῖν τι ἢ καθαγίσαι, δακρύσαντά τε καὶ ὑποπλησθέντα ὀργῆς τάδε ἐν μέσοις ἀναφθέγξασθαι· „Ἐρετριεῖς οἱ κλήρῳ τύχης δεῦρ' ἀπενεχθέντες, ὑμεῖς μέν, εἰ καὶ πόρρω τῆς αὐτῶν, τέθαφθε γοῦν· οἱ δ' ὑμᾶς ἐνταῦθα ῥίψαντες ἀπώλοντο περὶ τὴν ὑμετέραν νῆσον ἄταφοι δεκάτῳ μεθ' ὑμᾶς ἔτει· τὸ γὰρ ἐν κοίλῃ Εὐβοίᾳ πάθος θεοὶ φαίνουσιν." Ἀπολλώνιος δὲ πρὸς τὸν σοφιστὴν ἐπὶ τέλει τῆς ἐπιστολῆς „καὶ ἐπεμελήθην," φησὶν „ὦ Σκοπελιανέ, τῶν σῶν Ἐρετριέων νέος ὢν ἔτι καὶ ὠφέλησα ὅ τι ἐδυνάμην καὶ τοὺς τεθνεῶτας αὐτῶν καὶ τοὺς ζῶντας." τί δῆτα ἐπεμελήθη τῶν ζώντων; οἱ πρόσοικοι τῷ λόφῳ βάρβαροι σπειρόντων τῶν Ἐρετριέων αὐτὸν ἐληΐζοντο τὰ φυόμενα περὶ τὸ θέρος ἥκοντες καὶ πεινὴν ἔδει γεωργοῦντας ἑτέροις. ὁπόθ' οὖν παρὰ βασιλέα ἀφίκετο, εὗρετο αὐτοῖς τὸ χρῆσθαι μόνους τῷ λόφῳ.

Τὰ δὲ ἐν Βαβυλῶνι τοῦ ἀνδρὸς τούτου καὶ ὁπόσα Βαβυλῶνος πέρι προσήκει γιγνώσκειν, τοιάδε εὗρον· ἡ Βαβυλὼν τετείχισται μὲν ὀγδοήκοντα καὶ τετρακόσια στάδια, τοσαύτη κύκλῳ, τεῖχος δὲ αὐτῆς τρία μὲν τὸ ὕψος ἡμιπλέθρια, πλέθρου δὲ μεῖον τὸ εὖρος, ποταμῷ δὲ Εὐφράτῃ τέμνεται ξὺν ὁμοιότητι τοῦ εἴδους, ὃν ἀπόῤῥητος ὑποστείχει γέφυρα τὰ βασίλεια τὰ ἐπὶ ταῖς ὄχθαις ἀφανῶς ξυνάπτουσα. γυνὴ γὰρ λέγεται Μήδεια τῶν ἐκείνῃ ποτὲ ἄρχουσα τὸν ποταμὸν ὑποζεῦξαι τρόπον, ὅν μήπω τις ποταμὸς ἐξεύχθη. λίθους γὰρ δὴ καὶ χαλκὸν καὶ ἄσφαλτον καὶ ὁπόσα ἐς ἔφυδρον ξύνδεσιν ἀνθρώποις εὕρηται, παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ νήσασα τὸ ῥεῦμα ἐς λίμνας ἔτρεψε, ξηρόν τε ἤδη τὸν ποταμὸν ὤρυγεν ὀρυγιὰς ἐς δύο σήραγγα ἐργαζομένη κοίλην, ἵν' ἐς τὰ βασίλεια τὰ παρὰ ταῖς ὄχθαις ὥσπερ ἐκ γῆς ἀναφαίνοιτο, καὶ ἤρεψεν αὐτὴν ἴσως τῷ τοῦ ῥεύματος δαπέδῳ. οἱ μὲν δὴ θεμέλιοι ἐβεβήκεσαν καὶ οἱ τοῖχοι τῆς σήραγγος, ἅτε δὲ τῆς ἀσφάλτου δευμένης τοῦ ὕδατος ἐς τὸ λιθοῦσθαί τε καὶ πήγνυσθαι ὁ Εὐφράτης ἐπαφείθη ὑγρῷ τῷ ὀρύφῳ καὶ ὧδε ἔστη τὸ ξεῦγμα. τὰ δὲ βασίλεια χαλκῷ μὲν ἥρεπται καὶ ἀπ' αὐτῶν ἀστράπτει, θάλαμοι δὲ καὶ ἀνδρῶνες καὶ στοαί, τὰ μὲν ἀργύρῳ, τὰ δὲ χρυσοῖς ὑφάσμασι, τὰ δὲ χρυσῷ αὐτῷ καθάπερ γραφαῖς ἠγλάισται, τὰ δὲ ποικίλματα τῶν πέπλων ἐκ τῶν Ἑλληνικῶν σφίσιν ἥκει λόγων, Ἀνδρομέδαι καὶ Ἀμυμώναι καὶ Ὀρφεύς πολλαχοῦ. χαίρουσι δὲ τῷ Ὀρφεῖ, τιάραν ἴσως καὶ ἀναξυρίδα τιμῶντες, οὐ γὰρ μουσικήν γε, οὐδὲ ᾠδάς, αἷς ἔθελγεν. ἐνύφανταί που καὶ ὁ Δάτις τὴν Νάξον ἐκ τῆς θαλάττης ἀναδῶν καὶ Ἀρταφέρνης περιεστηκὼς τὴν Ἐρέτριαν καὶ τῶν ἀμφὶ Ξέρξην, ἃ νικᾶν ἔφασκεν· Ἀθῆναι γὰρ δὴ ἐχόμεναί εἰσι καὶ Θερμόπυλαι καὶ τὰ Μηδικώτερα ἔτι, ποταμοὶ ἐξαιρούμενοι τῆς γῆς καὶ θαλάττης ζεῦγμα καὶ ὁ Ἄθως ὡς ἐτμήθη. φασὶ δὲ καὶ ἀνδρῶνι ἐντυχεῖν, οὗ τὸν ὄροφον ἐς θόλου ἀνῆχθαι

1. ἀλουργὸν. s. ib. καίτοι. l. ib. ἐστιν ἀναγνῶναι. o. 2. ναυτῶν καὶ. v. 3. οἵ δὲ. m, o. οἵδε. a. 4. ἐκ Βατάων. a. ib. ἐνὶ μεσάτῳ. p, ἐνμεσάτῳ. s, v. 5. Ἐρέτρια. f. 7. τοὺς μὲν οὖν. v. ib. διεφθαρότας. o. 10. αὐτῶν. p, s. ib. τέταφθε. o. 11. δὲ κάτω. p. ib. ἔτι. f, v. ib. Εὐβοίας. o. εὐοία. v. εὐροία. s. 12. ὦ σκοπελιανέ. a. 14. ἐπεμελήθησαν. p. ἐπεμελήθην. v. ib. προσήκοι. v. ib. πειρόντων. a. 15. περὶ θέρος. o. 16. βασιλέα. π, v, l. βασιλέως. p, f, E. 17. ὅτι Βαβυλῶνά φησι τετειχίσθαι ὀγδοήκοντα – θεῶν γλώττας. Φ. 323, b, 35. 18. ἡ Βαβυλών. π. Βαβυλών. p, 2, E. ib. τοσαύτη. om. Φ, o. 20. ὑπὸ τείχει. p. ib. συνάπτουσα. p, l. 21. ἐκείνῃ. π, Φ. ἐκεῖ. p. post corr. 2, E. 22. μήπω. π, Φ. μήπου. p, 2, E. ib. ποταμὸς. l, f, l, s, E. ποταμῶν. v, Φ. ib. ξύνθεσιν. p. 24. ὤρυγεν. Φ. ὤρυττεν. C, E. ib. σήραγκα. π. ib. ἴτα. Φ. ib περὶ ταῖς. p, Φ. 25. ἴσω. l. eraso s. ib. τὸ τοῦ. s. 26. τοίχοι. l. ib. ἅτε δὲ. l, s, a, m. ἅτε δὴ. v, ΦA, B, o. 27. ἐπαφήθη. v. ib. ὧδε. E. ib. ἔστι p. 29. τὰ δὲ – ἐτμήθη 35. om. Φ. 30. ἥκει σφίσι. p, l. ib. Ὀρφεὺς. p. ex corr. B, o. Ὀρφέως. π, 2, a, m. 31. χαίρουσι δὲ τῷ. π. χαίρουσι γὰρ δὴ τῷ. p, 2, b. 32. Δάτις. E 33. Ἐρετρίαν. E ib. ἔφασκον. o. 35. φησὶ δὲ φῆσαι τὸν Ἀπ. καὶ ἀνδρῶνι. Φ. (324, a, 13.) φασὶ δὲ καὶ – ἰδεῖν. idem (332. a, 8).

1, 25. p. 32. 34. 44.

σχῆμα οὐρανῷ τινι εἰκασμένον, σαπφειρίνῃ δὲ αὐτὸν κατηρέφθαι λίθῳ — κυανωτάτη δὲ ἡ λίθος καὶ οὐρανία ἰδεῖν — καὶ θεῶν ἀγάλματα, οὓς νομίζουσιν, ἵδρυται ἄνω καὶ χρυσᾶ φαίνεται, καθάπερ ἐξ αἰθέρος. δικάζει μὲν δὴ ὁ βασιλεὺς ἐνταῦθα, χρυσαῖ δὲ ἴυγγες ἀποκρέμανται τοῦ ὀρόφου τέτταρες τὴν Ἀδράστειαν αὐτῷ παρεγγυῶσαι καὶ τὸ μὴ ὑπὲρ τοὺς ἀνθρώπους αἴρεσθαι. ταύ-
35 5 τας οἱ μάγοι αὐτοί φασιν ἁρμόττεσθαι φοιτῶντες ἐς τὰ βασίλεια, καλοῦσι δὲ αὐτὰς θεῶν γλώττας.
XXVI περὶ δὲ τῶν μάγων Ἀπολλώνιος μὲν τὸ ἀποχρῶν εἴρηκε, συγγενέσθαι γὰρ αὐτοῖς καὶ τὰ μὲν μαθεῖν, τὰ δὲ ἀπελθεῖν διδάξας, Δάμις δὲ τοὺς μὲν λόγους, οἷοι ἐγένοντο τῷ ἀνδρὶ πρὸς τοὺς μάγους, οὐκ οἶδεν, ἀπαγορεῦσαι γὰρ αὐτῷ μὴ συμφοιτᾶν παρ' αὐτοὺς ἰόντι, λέγει δ' οὖν φοιτᾶν αὐτὸν τοῖς μάγοις μεσημβρίας τε καὶ ἀμφὶ μέσας νύκτας, καὶ ἔρεσθαί ποτε „τί οἱ μάγοι;" τὸν δὲ
XXVII 10 ἀποκρίνασθαι „σοφοὶ μέν, ἀλλ' οὐ πάντα." Ταυτὶ μὲν ὕστερον. ἀφικομένῳ δὲ αὐτῷ ἐς Βαβυλῶνα ὁ σατράπης ὁ ἐπὶ τῶν μεγάλων πυλῶν μαθὼν ὅτι ὑπὲρ ἱστορίας ἥκοι, ὀρέγει χρυσῆν εἰκόνα τοῦ βασιλέως, ἣν εἰ μὴ προσκυνήσειέ τις, οὐ θεμιτὸν ἦν ἐσφοιτᾶν ἔσω. πρεσβεύοντι μὲν οὖν παρὰ τοῦ Ῥωμαίων ἄρχοντος οὐδεμία ἀνάγκη τούτου, παρὰ βαρβάρων δὲ ἥκοντι ἢ ἀφιστοροῦντι τὴν χώραν, εἰ μὴ τὴν εἰκόνα προθεραπεύσειεν, ἄτιμον διειλῆφθαι· καὶ σατραπεύεται παρὰ τοῖς βαρβάροις τὰ οὕτως εὐήθη.
15 ἐπεὶ τοίνυν τὴν εἰκόνα εἶδε „τίς" ἔφη „οὗτος;" ἀκούσας δὲ ὅτι ὁ βασιλεύς „οὗτος," εἶπεν „ὃν ὑμεῖς προσκυνεῖτε, εἰ ἐπαινεθείη ὑπ' ἐμοῦ καλὸς κἀγαθὸς δόξας, μεγάλων τεύξεται·" καὶ εἰπὼν ταῦτα διὰ πυλῶν ᾔει. θαυμάσας δὲ ὁ σατράπης αὐτὸν ἐπηκολούθησέ τε καὶ κατασχὼν τὴν χεῖρα τοῦ Ἀπολλωνίου δι' ἑρμηνέως ἤρετο ὄνομά τε αὐτοῦ καὶ οἶκον καὶ ὅ τι ἐπιτηδεύοι καὶ ἐφ' ὅ τι φοιτῴη, καὶ ἀπογραψάμενος ταῦτα ἐς γραμματεῖον στολήν τε αὐτοῦ καὶ εἶδος ἐκεῖνον μὲν περιμεῖ-
XXVIII 20 ναι κελεύει, δραμὼν δὲ αὐτὸς παρὰ τοὺς ἄνδρας, οἳ δὴ νομίζονται βασιλέως ὦτα, ἀνατυποῖ τὸν Ἀπολλώνιον προειπών, ὅτι μήτε προσκυνεῖν βούλεται μήτε τι ἀνθρώπῳ ἔοικεν· οἱ δὲ ἄγειν κελεύ-
36 ουσι τιμῶντά τε καὶ μηδὲν ὕβρει πράττοντα. ἐπεὶ δὲ ἦλθεν, ἤρετο αὐτὸν ὁ πρεσβύτατος ὅ τι μαθὼν καταφρονήσειε τοῦ βασιλέως, ὁ δὲ „οὔπω" ἔφη „κατεφρόνησα." „καταφρονήσειας δ' ἄν;" πάλιν ἐρομένου „νὴ Δί'" εἶπεν „ἦν γε ξυγγενόμενος μὴ καλόν τε καὶ ἀγαθὸν εὕρω αὐτόν." „ἀπά-
25 γεις δὲ δὴ τίνα αὐτῷ δῶρα;" τοῦ δὲ αὖ τήν τε ἀνδρίαν καὶ δικαιοσύνην καὶ τὰ τοιαῦτα φήσαντος „πότερον," ἔφη, „ὡς οὐκ ἔχοντι;" „μὰ Δί'," εἶπεν „ἀλλ' ὡς μαθησομένῳ χρῆσθαι, ἣν ἔχῃ αὐτάς." „καὶ μὴν χρώμενος τούτοις" ἔφη „τήν τε βασιλείαν, ἣν ὁρᾷς, ἀπολωλυῖαν αὐτῷ ἀνέλαβε τόν τε οἶκον ἐπανήγαγε τοῦτον οὐκ ἀπόνως, οὐδὲ ῥᾳθύμως·" „ποστὸν δὲ δὴ τοῦτο ἔτος τῇ ἀνακτηθείσῃ ἀρχῇ;" „τρίτου" ἔφη „ἀρχόμεθα, δύο ἤδη που μῆνες." ἀναστήσας οὖν, ὥσπερ εἰώθει,
30 τὴν γνώμην „ὦ σωματοφύλαξ," εἶπεν „ἢ ὅ τί σε προσήκει καλεῖν, Δαρεῖος ὁ Κύρου καὶ Ἀρταξέρξου πατὴρ τὰ βασίλεια ταῦτα κατασχὼν ἑξήκοντα, οἶμαι, ἔτη λέγεται τελευτὴν ὑποπτεύσας τοῦ βίου τῇ δικαιοσύνῃ θῦσαι, καὶ „ὦ δέσποινα," εἰπεῖν, „ἥ τίς ποτε εἶ·" ὥσπερ ἐπιθυμήσας μὲν πάλαι τῆς δικαιοσύνης, οὔπω δὲ αὐτὴν γιγνώσκων, οὐδὲ δοκῶν κεκτῆσθαι, τῷ παιδέ τε

2. καὶ θεῶν. π. θεῶν τε. p, 2, E, Φ. 4. Ἀδραστείαν. m, o. ib. παρεγγυῶσαν. f. ex corr. et l. ib. οὐρανοὺς Φ praeter Λ. 5. γλώττας. p, Φ. γλώσσας. E. 7. οἷοι ἐγένοντο. π. οἳ ἐγένοντο. p, 2, E. 8. συμφοιτᾶν αὐτὸν, med. om. p. 9. μεσημβρίαις. v. ib. τι οἱ μ. a. 10. ἀποκρίνεσθαι s, a, m. ib. πάντες. π, v. ib. αὐτῶν. l. 11. περὶ ἱστορίας. l. 12. προσκυνήσειε. π. προσεκύνησε. p, 2, E. 13. οὐδὲ μία. s. ib. τούτου. 1, m, o. τοῦτο. 2. τούτῳ. a. ib. βαρβάρῳ. s, a, m. ubi mg. ῖσ. βαρβάρων. ib. ἐφιστοροῦντι. o. 14. θεραπεύσειεν. l. ib. ἄτοπον διειλῆφθαι. v. ib. τὸ οὕτως. v. 16. προσκυνεῖτε; l. 18. ἐπιτηδεύοι. 1, f, s. ἐπιτηδεύει. v. ἐπιτηδεύων. E. 19. φοιτῴη. p, 2. φοιτῶν (sic) π. φοιτῶν. E. ib. στολὴν αὐτοῦ. a, m. ib. παραμεῖναι. p, s, a, m. 20. οἳ μὴν. π. 21. μήτε τι. 1 (u), o. μήτε τινὶ. 2, a, m. ib. οἱ δὲ ἄγειν. B. οἳ δὴ ἄγειν. π. οἱ διάγειν. p, 2, E. 22. δὲ διῆλθεν. l. ib. μαθὼν. p, π 2. μαθὼν. π. παθὼν. E. 23. δ' ἄν. om. v 24. Δία. p. 25. δή τινα. C, E. Scr. δὴ τίνα. ib. αὖ τήν τε. π. αὐτήν τε. p, 2, E. ib. ἀνδρίαν. p. ib. τὴν δικαιοσύνην. f, l, v. 26. Δία. p. ib. ἣν ἔχῃ. C, a. ἂν ἔχῃ. m, o. 27. αὐτῷ. 1, o ex r. αὐτὸς. f, l, s, a, m. αὐτὸ καὶ. v. 28. ἀπόνῳ. f, s. ib. ποστὸν δὴ. p. ὅσον δὲ δή. v. ποστὸν μὲν δή. l. 29. ἀρχόμεθα. 1. ἁπτόμεθα. 2, E. ib. ὡς. p. ib. εἰώθει. π. εἰωθε. p, 2, E. 30. εἴ τι σε. p. 32. Θῦσαι. m, o. ib. εἴ τις. 2, a. 33. μὴ πάλαι. s, a. ib. ἐκτῆσθαι. v, l, s.

1, 26. 27. 28. p. 15. 36.

οὕτως ἀμαθὼς ἐπαίδευσεν, ὡς ὅπλα ἐπ' ἀλλήλους ἄρασθαι, καὶ ὁ μὲν τρωθῆναι, ὁ δὲ ἀποθανεῖν ὑπὸ τοῦ ἑτέρου, σὺ δ' ἤδη τοῦτον ἴσως οὐδ' ἐν τῷ βασιλείῳ θρόνῳ καθῆσθαι εἰδότα ξυνειληφέναι ὁμοῦ πάσας ἀρετὰς βούλει καὶ ἐπαίρεις αὐτὸν σοὶ φέρων, οὐκ ἐμοί, κέρδος, εἰ βελτίων γένοιτο." βλέψας οὖν ὁ βάρβαρος ἐς τὸν πλησίον „Ἕρμαιον" ἔφη „θεῶν τις ἄγει τουτονὶ τὸν ἄνδρα ἐνταῦθα, ἀγαθὸς γὰρ ξυγγενόμενος ἀγαθῷ πολλῷ βελτίω τὸν βασιλέα ἡμῖν ἀποφανεῖ καὶ σωφρονέστερον καὶ ἡδίω, ταντὶ γὰρ διαφαίνεται τοῦ ἀνδρός." ἐσίθεον οὖν εὐαγγελιζόμενοι πᾶσιν, ὅτι ἀνὴρ ἐπὶ ταῖς βασιλέως θύραις ἑστήκοι σοφός τε καὶ Ἕλλην καὶ ξύμβουλος ἀγαθός. ἐπεὶ δὲ τῷ βασιλεῖ ἀνηγγέλη ταῦτα, ἔτυχε μὲν θύων παρόντων αὐτῷ τῶν μάγων, τὰ γὰρ ἱερὰ ὑπ' ἐκείνοις δρᾶται, καλέσας δὲ αὐτῶν ἕνα „ἥκει" ἔφη „τὸ ἐνύπνιον, ὃ διηγούμην σοι τήμερον ἐπισκοπουμένῳ με ἐν τῇ εὐνῇ." ὄναρ δὲ ἄρα τῷ βασιλεῖ τοιοῦτον ἀφίκτο· ἐδόκει Ἀρταξέρξης εἶναι ὁ τοῦ Ξέρξου καὶ μεθεστηκέναι ἐς ἐκεῖνον τὸ εἶδος, περιδεὴς τε εἶχε, μὴ ἐς μεταβολὴν ἤδη τὰ πράγματα ἥκῃ αὐτῷ· ἐς τοῦτο ἐξηγουμένῳ τὴν μεταβολὴν τοῦ εἴδους. ἐπεὶ δὲ ἤκουσεν Ἕλληνά τε καὶ σοφὸν εἶναι τὸν ἥκοντα, ἐσῆλθεν αὐτὸν Θεμιστοκλῆς ὁ Ἀθηναῖος, ὃς ἀπὸ Ἑλλήνων ποτὲ ἥκων ξυνεγένετο τῷ Ἀρταξέρξῃ καὶ πολλοῦ ἄξιον ἐκείνου τε ἐποίησεν ἑαυτόν τε παρέσχετο. καὶ προτείνας τὴν δεξιὰν „κάλει," ἔφη „καὶ γὰρ ἂν καὶ ἀπὸ τοῦ καλλίστου ἄρξαιτο ξυνθύσας τε καὶ ξυνευξάμενος." εἰσῄει μὲν δὴ παραπεμπόμενος ὑπὸ πλειόνων, τουτὶ γὰρ ᾤοντο καὶ τῷ βασιλεῖ χαρίζεσθαι μαθόντες ὡς χαίροι ἀφιγμένῳ, διιὼν δὲ ἐς τὰ βασίλεια οὐ διέβλεψεν ἐς οὐδὲν τῶν θαυμαζομένων, ἀλλ' ὥσπερ ὁδοιπορῶν διῄει αὐτά, καὶ καλέσας τὸν Δάμιν „ἥρου με" ἔφη „πρώην, ὅ τι ὄνομα ἦν τῇ Παμφύλῳ γυναικί, ἣ δὴ Σαπφοῖ τε ὁμιλῆσαι λέγεται καὶ τοὺς ὕμνους, οὓς ἐς τὴν Ἄρτεμιν τὴν Περγαίαν ᾄδουσι, ξυνθεῖναι τὸν Αἰολέων τε καὶ Παμφύλων τρόπον." „ἠρόμην," ἔφη „τὸ δὲ ὄνομα οὐκ ἄπας." „οὐκ, ὦ χρηστέ, εἶπον, ἀλλ' ἐξηγούμην σοι τοὺς νόμους τῶν ὕμνων καὶ τὰ ὀνόματα καὶ ὅπη τὰ Αἰολέων ἐς τὸ ἀκρότατόν τε καὶ τὸ ἴδιον Παμφύλων παρήλλαξε· πρὸς ἄλλῳ μετὰ ταῦτα ἐγενόμεθα, καὶ οὐκέτ' ἤρου με περὶ τοῦ ὀνόματος· καλεῖται τοίνυν ἡ σοφὴ αὕτη Λαμοφύλη, καὶ λέγεται τὸν Σαπφοῦς τρόπον παρθένους τε ἡμιλητρίας κτήσασθαι ποιήματά τε ξυνθεῖναι τὰ μὲν ἐρωτικά, τὰ δὲ ὕμνους. τά τοι ἐς τὴν Ἄρτεμιν καὶ παρῴδηται αὐτῇ καὶ ἀπὸ τῶν Σαπφῴων ᾄσται." ὅσον μὲν δὴ ἀπεῖχε τοῦ ἐκπεπλῆχθαι βασιλέα τε καὶ ὄγκον, ἐδήλου τῷ μηδὲ ὀφθαλμῶν ἄξια ἡγεῖσθαι τὰ τοιαῦτα, ἀλλὰ ἑτέρων πέρι διαλέγεσθαι κἀκεῖνα δήπου ἡγεῖσθαι ὁρᾶν. προιδὼν δὲ ὁ βασιλεὺς προσιόντα, καὶ γάρ τι καὶ μῆκος ἡ τοῦ ἱεροῦ αὐλὴ εἶχε, διελάλησέ τε πρὸς τοὺς ἐγγύς, οἷον ἀναγιγνώσκων τὸν ἄνδρα, πλησίον τε ἤδη γιγνομένου μέγα ἀναβοήσας „οὗτος" ἔφη „ὁ Ἀπολλώνιος, ὃν Μεγαβάτης ὁ ἐμὸς ἀδελφὸς ἰδεῖν ἐν Ἀντιοχείᾳ φησὶ θαυμαζόμενόν τε καὶ προσκυνούμενον ὑπὸ τῶν σπουδαίων, καὶ ἀπεζωγράφησέ μοι τότε τοιοῦτον αὐτόν, ὁποῖος ἥκει." προσελθόντα δὲ καὶ ἀσπασάμενον προσεῖπέ τε ὁ βασιλεὺς φωνῇ Ἑλλάδι καὶ ἐκέλευσε θύειν μετ' αὐτοῦ· λευκὸν

2. ἑταίρου. f. corr. al. m. ib. ξυναληφέναι. v. 3. ὁμοῦ πάσας. Bo. ad Heroica 278. ὁμοῦ τὰς. C, E ib. φέρω. s, a, m. ib. γένοιτο βελτίων. l. 4. βλέψας — πλησίον. om. l. 5. βασιλέα ἀποφανεῖ. s, a, m. ib. σωφρ. καὶ ἡδίω. π. σωφρ. τε καὶ. p, 2, E. 6. εἰσῆλθε οὖν εὐαγγελιζόμενος. p. 7. ἥκοι. p. 8. ἀνηγγέλη. π. ἀνήγγελε. p, 2, E. ib. παρόντων αὐτῷ τῶν μάγων. l, o. παρόντων τῶν μ. αὐτῷ. 2, a, m. 9. αὐτῷ. s. ib. σήμερον. p. ib. ἐπισκοπουμένῳ με. l. ἐπισκ. μοι. s, v. ἐπ. μὲν. l. ἐπ. μου. E. 10. ἐφίκτο. p, v. ib. ἐδόκει γάρ. v. 11. εἰς ἑαῦτο. v. ib. ἤδη τὰ πρ. ἥκῃ αὐτῷ. l. ἥκει τὰ πρ. αὐτῷ ἤδη. f, l, v, et s. ubi ἥκῃ ab al. m. τὰ πρ. αὐτῷ ἥκῃ om. ἤδη. a, m. ἤδη τὰ πρ. αὐτῷ ἥκῃ. o. 12. ἐπεὶ ἤκουσεν. p. ib. τὸν. om. v. 13. ἄνδρα pro ἥκοντα ex erasione l. ib. αὐτῷ. E. ib. συνεγένετο. p. 14. τι. om. p. 15. συνευξάμενος. p. 17. διὼν. v. ib. οὐ διέβλεψεν. π οὐδὲ ὁ. p, 2, E. 18 αὐτὸς. v. ib. Παμφύλῳ. B, o, qui C. suos ita habere narrat. Παμφύλου. C, a, m. 19. ᾗ δὴ. v. 20. ξυνθεῖναι. l. ib. τῶν Αἰολέων. π. 21. οὐκ ὦ χ. εἶπεν. a (sic) et εἶπεν. E. ib. ὦ χρ. v. ib. ἐξηγουμένου. v. ἐξηγούμενος. p. 22. μεταταῦτα. a, m. 23. ἡ σοιρία. 2, a, et m. ubi ἴσ. σοφὴ. 24. παρθένους γε. f, l. παρθένους τε γάρ. v. a. 25. Σαπφῴων. p. Σαπφοῦς. π, 2, E. 26. βασιλέα τε καὶ. l. βασιλέα καὶ. 2, E. ib. μὴ δὲ. p, a. 27. καὶ ἑτέρων. v. ib. προιὼν. π. 28. διελάλησέ τε. f, a, m. διελάλησέ τι. f, s. δ. τι. o. 29. ἀνεβόησεν. l ib. ὁ Ἀπολλώνιος. l. Ἀπολλώνιος. 2, E. 32. δὲ. om. v. ib. προσεῖπεν ὁ. l. ib. καὶ διεκέλευσε. l. καὶ ἐκέλευσε. 2, E. Fo: καὶ δὴ ἐκέλευσε.

δὲ ἅρα ἵππον τῶν σφόδρα Νισαίων καταθύσειν ἔμελλε τῷ Ἡλίῳ φαλάροις κοσμήσας, ὥσπερ ἐς πομπήν. ὁ δ' ὑπολαβὼν „σὺ μέν, ὦ βασιλεῦ, θῦε," ἔφη, „τὸν σαυτοῦ τρόπον, ἐμοὶ δὲ ξυγχώρησον θῦσαι τὸν ἐμαυτοῦ·" καὶ δραξάμενος τοῦ λιβανωτοῦ, „Ἥλιε," ἔφη, „πέμπε με ἐφ' ὅσον τῆς γῆς
40 ἐμοί τε καὶ σοὶ δοκεῖ, καὶ γιγνώσκοιμι ἄνδρας ἀγαθούς, φαύλους δὲ μήτε ἐγὼ μάθοιμι μήτε ἐμὲ
5 φαῦλοι." καὶ εἰπὼν ταῦτα τὸν λιβανωτὸν ἐς τὸ πῦρ ἧκεν, ἐπισκεψάμενος δὲ αὐτὸ ὅπη διανίσταται καὶ ὅπη θολοῦται καὶ ὁπόσαις κορυφαῖς ἅττει καὶ ὅπου, καὶ ἐφαπτόμενος τοῦ πυρός, ὅπη εὔσημόν τε καὶ καθαρὸν φαίνοιτο „θῦε," ἔφη, „λοιπόν, ὦ βασιλεῦ, κατὰ τὰ σαυτοῦ πάτρια, τὰ γὰρ
XXXII πάτρια τἀμὰ τοιαῦτα." καὶ ἀνεχώρησε τῆς θυσίας, ὡς μὴ κοινωνοίη τοῦ αἵματος. μετὰ δὲ τὴν θυσίαν προσῆλθε καὶ „ὦ βασιλεῦ," ἔφη „τὴν φωνὴν τὴν Ἑλλάδα πᾶσαν γιγνώσκεις, ἢ σμικρὰ αὐ-
10 τῆς ὑπὲρ τοῦ εὐξυμβόλου ἴσως καὶ τοῦ μὴ ἀηδὴς δοκεῖν, εἴ τις ἀφίκοιτο Ἕλλην;" „πᾶσαν" εἶπεν „ἴσα τῇ ἐγχωρίῳ ταύτῃ, καὶ λέγε ὅ τι βούλει, διὰ τοῦτο γάρ που ἐρωτᾷς·" „διὰ τοῦτο" ἔφη „καὶ ἄκουε· ἡ μὲν ὁρμή μοι τῆς ἀποδημίας Ἰνδοί εἰσι, παρελθεῖν δὲ οὐδ' ὑμᾶς ἐβουλήθην, σέ τε ἀκούων ἄνδρα, οἷον ἐξ ὄνυχος ἤδη ὁρῶ, σοφίαν τε, ἥπερ ὑμῖν ἐστιν ἐπιχώριος μελετωμένη μάγοις ἀν-
15 δράσι, κατιδεῖν δεόμενος, εἰ τὰ θεῖα, ὡς λέγονται, σοφοί εἰσι· σοφία δὲ ἐμοὶ Πυθαγόρου Σαμίου ἀνδρός, ὃς θεούς τε θεραπεύειν ὧδέ με ἐδιδάξατο καὶ ξυνιέναι σφῶν ὁρωμένων τε καὶ οὐχ ὁρω-
41 μένων φοιτᾶν τε ἐς διάλεξιν θεῶν καὶ γηίνῳ τούτῳ ἑρίῳ ἐστάλθαι, οὐ γὰρ προβάτου ἐπέχθη, ἀλλ' ἀκήρατος ἀκηράτων φύεται ὕδατός τε καὶ γῆς ὥρα ὀθόνη· καὶ αὐτὸ δὲ τὸ ἄνετον τῆς κόμης ἐκ Πυθαγόρου ἐπήσκησα, καὶ τὸ καθαρεύειν ζῴου βορᾶς ἐκ τῆς ἐκείνου μοι σοφίας ἧκει. ξυμπότης μὲν δὴ καὶ κοινωνὸς ῥᾳστώνης ἢ τρυφῆς οὔτ' ἄν σοι γενοίμην οὔτ' ἂν ἑτέρῳ οὐδενί, φροντίδων
20 δὲ ἀπόρων τε καὶ δυσευρέτων δοίην ἂν λύσεις οὐ γιγνώσκων τὰ πρακτέα μόνον, ἀλλὰ καὶ προγιγνώσκων." ταῦτα ὁ Δάμις μὲν διαλεχθῆναί φησι τὸν ἄνδρα, Ἀπολλώνιος δὲ ἐπιστολὴν αὐτὰ πεποίηται, πολλὰ δὲ ἄλλα τῶν ἑαυτῷ ἐς διάλεξιν εἰρημένων ἐς ἐπιστολὰς ἀνετυπώσατο.

XXXIII Ἐπεὶ δὲ χαίρειν ὁ βασιλεὺς ἔφη καὶ ἀγάλλεσθαι ἥκοντι μᾶλλον, ἢ εἰ τὰ Περσῶν καὶ Ἰνδῶν
25 πρὸς τοῖς οὖσιν αὐτῷ ἐκτήσατο, ξένον τε ποιεῖσθαι καὶ κοινωνὸν τῆς βασιλείου στέγης, „εἰ ἐγώ σε, ὦ βασιλεῦ," εἶπεν „ἐς πατρίδα τὴν ἐμὴν Τύανα ἥκοντα ἠξίουν οἰκεῖν οὐ ἐγώ, ᾧκησας ἂν ἅρα;" „μὰ Δί'" εἶπεν „εἰ μὴ τοσαύτην γε οἰκίαν οἰκήσειν ἔμελλον, ὁπόσην δορυφόρους τε καὶ σωματοφύλακας ἐμοὺς αὐτόν τε ἐμὲ λαμπρῶς δέξασθαι." „ὁ αὐτὸς οὖν" ἔφη „καὶ παρ' ἐμοῦ λόγος· εἰ γὰρ ὑπὲρ ἐμαυτὸν οἰκήσω, πονήρως διαιτήσομαι, τὸ γὰρ ὑπερβάλλον λυπεῖ τοὺς σοφοὺς μᾶλλον ἢ ὑμᾶς τὸ ἐλλεῖπον· ξενιζέτω με οὖν ἰδιώτης ἔχων ὁπόσα ἐγώ, σοὶ δὲ ἐγὼ ξυνέσομαι ὁπόσα βού-
30 λει." ξυνεχώρει ὁ βασιλεύς, ὡς μὴ ἀηδές τι αὐτῷ λάθοι πράξας, καὶ ᾤκησε παρ' ἀνδρὶ Βαβυλωνίῳ χρηστῷ τε καὶ ἄλλως γενναίῳ. δειπνοῦντι δὲ ἤδη εὐνοῦχος ἐφίσταται τῶν τὰς ἀγγελίας διαφερόντων καὶ προσειπὼν τὸν ἄνδρα „βασιλεὺς" ἔφη „δωρεῖταί σε δέκα δωρεαῖς καὶ ποιεῖται κύριον τοῦ ἐπαγγεῖλαι αὐτάς, δεῖται δέ σου μὴ μικρὰ αἰτῆσαι, μεγαλοφροσύνην γὰρ ἐνδείξασθαι σοί τε καὶ ἡμῖν βούλεται." ἐπαινέσας δὲ τὴν ἐπαγγελίαν „πότε οὖν χρὴ αἰτεῖν;" ἤρετο, ὁ δὲ „αὔριον"

1. καταθύσειν. 1. καταθύειν. 2, E. 2. ὃδ'. E. ib. θύε. E. ib. δὲ. om. l. ib. ξυγχώρησον θῦσαι τὸν ἐμαυτοῦ. l. (p. συγχ.) τὸν ἐμαυτοῦ συγχώρησον θῦσαι. 2, E. 4. καί σοι. o. ib. γιγνώσκοιμι. f. ib. μή τε. o. 5. τὸ λιβ. π. ib. αὐτῷ. v. 7. θύε. E. 9. προῆλθε. 2, a. ib. γινώσκεις. l. 10. εὐξυμβούλου. p. ante corr. l, s, a. m. ib. τοῦ. om. v. ib. εἴτις. o. 12. οὐδ'. om. π. 13. μελετωμένοις. π. 14. Ἑ (438) σοφία δέ μοι — διαλέξεις θεῶν. ib. σοφία δέ μοι. Ἑ. 15. θεούς τε θ. 1, Ἑa. θεοὺς θ. 2, E, Ἑ. ib. με. om. p. ἐμὲ. Ἑa. ib. ὡς ξυνιέναι Ἑ (non Λ). 16. εἰς διαλέξεις. Ἑ. ib. τούτῳ ἑρίῳ. 1, f. o. ἑρίῳ τούτῳ. l, v, s, a, m. 17. αὐτό τε. v. 18. ἥκοι. l, s, a, m. 19. φροντίδων τε. v. 20. οὐ γιγνώσκων. 1, l. οὐ γιγνώσκω. f, v, r. οὐ γὰρ γιγνώσκω. s, E. ib. προγιγνώσκων. 1, l. προγιγνώσκω. f, v, r, s, E. 21. μὴ διαλεχθῆναι. s, a. ib. τὸν ἄνδρα φησί. p. ib. ἐπιστολὴν δὲ. m. 22. δὲ ἄλλα o. ib. τῶν ἐν αὐτῷ. v. ib. εἰρημένην. (supra posita ω.) s. corr. a m. rec. ib. ἀνετοπώσατο. o. 23. ἢ τὰ. s (ubi εἰ a m. rec. in mg.) et a. 24. τε ποιεῖσθαι f. l, v et s ante corr. τε πεποιῆσθαι. 1, E. 25. ᾤκησας ἂν ἅρα. π. ᾤκησας ἂν ἅρα. p. ᾤκησας ἅρα. l, s. Fo: ἆρ' ἂν ᾤκησας. 26. οὐ μά. o ex conj. Salm. ib. Δία. p. 27. δέξασθαι λαμπρῶς. v. 28. πονήρως. l, v, s, a. πονηρῶς. p. 29. με οὖν. 1, o. μὲν οὖν. 2, a, m. ubi ἴσ. με γοῦν. ib. ἐγὼ. om. l. 30. λάθη. 1. ib. παρὰ ἀνδρὶ. v. 31. εὐχνοῦχος. l. 32. σοι. l. 33. σοί γε. l.

1, 32 33. p. 40. 41.

ἔφη, καὶ ἅμα ἐφοίτησε παρὰ πάντας τοὺς βασιλέως φίλους τε καὶ ξυγγενεῖς, παρεῖναι κελεύων αὐ- 42
τοῦντι καὶ τιμωμένῳ τῷ ἀνδρί. φησὶ δὲ ὁ Δάμις ξυνιέναι μέν, ὅτι μηδὲν αἰτήσοι, τόν τε τρόπον αὐτοῦ καθεωρακὼς καὶ εἰδὼς εὐχόμενον τοῖς θεοῖς εὐχὴν τοιαύτην· „ὦ θεοί, δώητε μοι μικρὰ ἔχειν καὶ δεῖσθαι μηδενός.“ ἐφεστηκότα μέντοι ὁρῶν καὶ ἐνθυμουμένῳ ὅμοιον οἴεσθαι ὡς αἰτήσοι μέν, βασανίζοι δέ, ὅ τι μέλλει αἰτήσειν. ὁ δὲ ἐσπέρας ἤδη „ὦ Δάμι,“ ἔφη „θεωρῶ πρὸς ἐμαυτόν, ἐξότου ποτὲ οἱ βάρβαροι τοὺς εὐνούχους σώφρονας ἡγοῦνται καὶ ἐς τὰς γυναικωνίτιδας ἐσάγονται.“ „ἀλλὰ τοῦτο,“ ἔφη „ὦ Ἀπολλώνιε, καὶ παιδὶ δῆλον· ἐπειδὴ γὰρ ἡ τομὴ τὸ ἀφροδιάζειν ἀφαιρεῖται σφᾶς, ἀνεῖνταί σφισιν αἱ γυναικωνίτιδες, κἂν ξυγκαθεύδειν ταῖς γυναιξὶ βούλωνται.“ „τὸ δὲ ἐρᾶν“ εἶπεν „ἦ τὸ ξυγγίγνεσθαι γυναιξὶν ἐκτετμῆσθαι αὐτοὺς οἴει;“ „ἄμφω,“ ἔφη „εἰ γὰρ σβεσθείη τὸ μόριον ὑφ' οὗ διοιστρεῖται τὸ σῶμα, οὐδ' ἂν τὸ ἐρᾶν ἐπέλθοι οὐδενί.“ ὁ δὲ βραχὺ ἐπισχὼν „αὖριον,“ ἔφη „ὦ Δάμι, μάθοις ἄν, ὅτι καὶ εὐνοῦχοι ἐρῶσι καὶ τὸ ἐπιθυμητικόν, ὅπερ ἐσάγονται διὰ τῶν ὀφθαλμῶν, οὐκ ἀπομαραίνεται σφῶν, ἀλλ' ἐμμένει θερμόν τε καὶ ζώπυρον, δεῖ γάρ τι περιπεσεῖν, ὃ τὸν σὸν ἐλέγξει λόγον. εἰ δὲ καὶ τέχνη τις ἦν ἀνθρωπία τύραννός τε καὶ δυνατὴ τὰ τοιαῦτα ἐξωθεῖν τῆς γνώμης, οὐκ ἄν μοι δοκῶ τοὺς εὐνούχους ποτὲ ἐς τὰ τῶν σωφρονούντων ἤθη προσγράψαι κατηναγκασμένους τὴν σωφροσύνην καὶ βιαίῳ τέχνῃ ἐς τὸ μὴ ἐρᾶν ἠγμένους. σωφροσύνη γὰρ τὸ ὀρεγόμενόν τε καὶ ὁρμῶντα μὴ ἡττᾶσθαι ἀφροδισίων, ἀλλ' ἀπέχεσθαι καὶ κρείττω φαίνεσθαι τῆς λύττης ταύτης.“ ὑπολαβὼν οὖν ὁ Δάμις „ταῦτα μὲν καὶ αὖθις ἐπισκεψόμεθα,“ ἔφη „ὦ Ἀπολλώνιε, ἃ δὲ χρὴ ἀποκρίνασθαι αὔριον πρὸς τὴν τοῦ βασιλέως ἐπαγγελίαν λαμπρὰν οὖσαν διεσκέφθαι προσήκει. αἰτήσεις μὲν γὰρ ἴσως οὐδέν, τὸ δ' ὅπως ἂν μὴ ἄλλῳ, φασί, τύφῳ παραιτεῖσθαι δοκοίης, ἅπερ ἂν ὁ βασιλεὺς διδῷ, τοῦτο ὅρα καὶ φυλάττου αὐτό, ὁρῶν οἳ τῆς γῆς εἶ καὶ ὅτι ἐπ' αὐτῷ κείμεθα. δεῖ δὲ φυλάττεσθαι διαβολάς, ὡς ὑπερονίᾳ χρώμενον, γιγνώσκειν τε ὡς νῦν μὲν ἐφύδιά ἐστιν ἡμῖν ὁπόσα ἐς Ἰνδοὺς πέμψαι, ἐπανιοῦσι δὲ ἐκεῖθεν οὔτ' ἂν ἀποχρήσαι ταῦτα, γένοιτο δὲ οὐκ ἂν ἕτερα.“ καὶ τοιάδε ὑπέθαλπεν αὐτὸν τέχνῃ, μὴ ἀπαξιῶσαι λαβεῖν, ὅ τι διδοίη, ὁ δὲ Ἀπολλώνιος ὥσπερ ξυλλαμβάνων αὐτῷ τοῦ λόγου XXXV
„παραδειγμάτων δὲ,“ εἶπεν „ὦ Δάμι, ἀμελήσεις; ἐν οἷς ἐστιν, ὡς Λισχίνης μὲν ὁ τοῦ Λυσανίου παρὰ Διονύσιον ἐς Σικελίαν ὑπὲρ χρημάτων ᾤχετο, Πλάτων δὲ τρὶς ἀναμετρῆσαι λέγεται τὴν Χάρυβδιν ὑπὲρ πλούτου Σικελικοῦ, Ἀρίστιππος δὲ ὁ Κυρηναῖος καὶ Ἐλίκων ὁ ἐκ Κυζίκου καὶ Φύτων, ὅτ' ἔφυγε Ῥήγιον, οὕτω τι ἐς τοὺς Διονυσίου κατέδυσαν θησαυρούς, ὡς μόγις ἀνασχεῖν ἐκεῖθεν. καὶ μὴν καὶ τὸν Κνίδιόν φασιν Εὔδοξον, ἐς Αἴγυπτόν ποτε ἀφικόμενον ὑπὲρ χρημάτων τε ὁμολογεῖν ἥκειν καὶ διαλέγεσθαι τῷ βασιλεῖ ὑπὲρ τούτου, καὶ ἵνα μὴ πλείους διαβάλλω, Σπεύσιππον τὸν Ἀθηναῖον οὕτω τι ἐρασιχρήματον γενέσθαι φασίν, ὡς ἐπὶ τὸν Κασάνδρου γάμον ἐς Μα-

1. ἐφοίτησε. l. ἐφοίτα 2, E. ib. παρὰ. s, E. περὶ. l, f, v et s ante rec. corr. 3. εἰδὼς εὐχόμενον. l. εἰδὼς αὐτὸν εὐχ. 2, E. ib. δώητε. π. 4. μὴ δεῖσθαι. l. ib. αἰτήσῃ. v. 5. βασανίζοι. π, f, l. βασανίζει p, v, E. ib. μέλλει. l. μέλλοι. 2, E. 5. θεωρῶν. ante corr. s. 6. ἐξ ὅτου. ante corr. s. ib. σώφρονας ἡγοῦνται. π. σώφρονάς τε ἡγ. p, 2, E. 7. ἀφροδιάζειν. p. 8. ἀνεῖνται σφίσιν. a, m. ib. βούλονται. m, o. 9. ξυγγίγνεσθαι. a. 10. οὐδένα. (supra posita i.) π. οὐδένα. p, 2, E. 11. Φ. (332, a, 12): ὁ δὲ βραχὺ — γνώμης. 12. ἀλλὰ μένει. E. ib. θερμόν τι. s, a, m. 13. δεῖ — λόγον. om. Φ. ib. περιπεσεῖν s, E. παραπεσεῖν. l, f, v, l. 14. τύραννος καὶ. Φ. τυραννὶς. B. 15. εἰς. l. ib. προστρέψαι. v. 16. εἰς. l. ib. τὸ. (ante ὀρεγόμενον) om. p. ib. ὀργῶντα. B. 17. λύσσης. π. λύττης o et m in mg. γρ. λύπης. λύπης. p, 2, a. 18. ἐπισκεψώμεθα. (supra posita o.) f. ἐπισκ. a. ib. ἔφη. om. p. ib. ὦ Ἀπ. l. Ἀπολλώνιε. 2, E. 19. οὖσαν λαμπρὰν. p. 20. μὴ ἄλλῳ, φασὶ, τύφῳ. π, B. μὴ ἄλλως φασὶ τύφῳ. p, 2, a, m. μὴ ἄλλοις τύφῳ. o. ib. ἄρα καὶ. r. 21. δεῖ δὲ φ. π. δεῖ δὲ καὶ φ. p, 2, E. 22. ἐφόδια ἐστὶν. p. 23. ἀποχρῆσθαι. p. δι
ἀποχρῆσαι. E. Scr. ἀποχρήσαι. ib. τοιάδε. l, v, s. 24. ὅτι διδοίη. l. ὁ, τι δῴη. v, s, a, m. δῴη. f. ὁ, τι διδῴη. l, o. 25. Σ v Λισχίνης· οὗτος παρὰ Διονύσιον — χρημάτων ᾤσαι. 26. Διονυσίῳ. ΣV. ib. τρεῖς. ΣV. 27. πλοῦτοῦ. v. ib. Ἐλίκων ἐκ. p, Σ. ib. καὶ Φοίτων. Σ praeter A: ἐφοίτων. 28. ἔφυγε. l. ἔφευγε. 2, E. ib. οὕτω τοι. v. et m: ἴσ. τοι. ΣB, E. οὕτω τί. π, a. ib. ἐς τοῦ. v, r. 29. εἰς. l, o. ib. Αἴγυπτόν τε. p. ib. ἀφικνούμενον. v. 30. καὶ. om. ΣBE. ib. διαβάλλω. f. διαβαλῶ. ΣA, B, V, E. 31. οὕτω τοι. v. et m. ἴσ. τοι. οὕτω τί π, a. ib. Κασάνδρου. o, Σ praeter E. ib. Μακεδο. ΣA. Μακεδονά. (supra posita ç.) ΣE. Μακεδόνα. ΣM.

κεδονίαν κωμάσαι ποιήματα ψυχρὰ ξυνθέντα, καὶ δημοσίᾳ ταῦθ' ὑπὲρ χρημάτων ᾄσαι. ἐγὼ δὲ ἡγοῦμαι, ὦ Δάμι, τὸν ἄνδρα τὸν σοφὸν πλείω κινδυνεύειν ἢ οἱ πλέοντές τε καὶ ξὺν ὅπλοις μαχόμενοι, φθόνος γὰρ ἐπ' αὐτὸν στείχει καὶ σιωπῶντα καὶ φθεγγόμενον καὶ ξυντείνοντα καὶ ἀνιέντα κἂν παρέλθῃ τι κἂν προσέλθῃ τῷ κἂν προσείπῃ κἂν μὴ προσείπῃ. δεῖ δὲ πεφράχθαι τὸν ἄνδρα γιγνώσκειν τε ὡς ἀργίας μὲν ἡττηθεὶς ὁ σοφὸς ἢ χολῆς ἢ ἔρωτος ἢ φιλοποσίας ἢ ἑτοιμότερόν τι τοῦ καιροῦ πράξας ἴσως ἂν καὶ ξυγγνώμην φέροιτο, χρήμασι δὲ ὑποθεὶς ἑαυτὸν οὔτ' ἂν ξυγγινώσκοιτο καὶ μισοῖτ' ἄν, ὡς ὁμοῦ πάσας κακίας συνειληφώς· μὴ γὰρ ἂν ἡττηθῆναι χρημάτων αὐτόν, εἰ μὴ γαστρὸς ἥττητο καὶ ἀμπεχόνης καὶ οἴνου καὶ τοῦ ἐς ἑταίρας φέρεσθαι. σὺ δ' ἴσως ἡγῇ τὸ ἐν Βαβυλῶνι ἁμαρτεῖν ἧττον εἶναι τοῦ Ἀθήνησιν ἢ Ὀλυμπίασιν ἢ Πυθοῖ, καὶ οὐκ ἐνθυμῇ ὅτι σοφῷ ἀνδρὶ Ἕλλας πάντα καὶ οὐδὲν ἔρημον ἢ βάρβαρον χωρίον οὔτε ἡγήσεται ὁ σοφὸς οὔτε νομιεῖ ζῶν γε ὑπὸ τοῖς τῆς ἀρετῆς ὀφθαλμοῖς, καὶ βλέπει μὲν ὀλίγους τῶν ἀνθρώπων, μυρίοις δ' ὄμμασιν αὐτὸς ὁρᾶται. εἰ δὲ καὶ ἀθλητῇ ξυνῆσθα τούτων τινί, ὦ Δάμι, οἳ παλαίειν τε καὶ παγκρατιάζειν ἀσκοῦσιν, ἆρα ἂν ἠξίους αὐτόν, εἰ μὲν Ὀλύμπια ἀγωνίζοιτο καὶ ἐς Ἀρκαδίαν ἴοι, γενναῖόν τε καὶ ἀγαθὸν εἶναι, καὶ νὴ Δί', εἰ Πύθια ἄγοιτο ἢ Νέμεα, ἐπιμελεῖσθαι τοῦ σώματος, ἐπειδὴ φανεροὶ οἱ ἀγῶνες καὶ τὰ στάδια ἐν σπουδαίῳ τῆς Ἑλλάδος, εἰ δὲ θύοι Φίλιππος Ὀλύμπια πόλεις ῥηγκὼς ἢ ὁ τούτου παῖς Ἀλέξανδρος ἐπὶ ταῖς ἑαυτοῦ νίκαις ἀγῶνα ἄγοι, χεῖρον ἤδη παρασκευάζειν τὸ σῶμα καὶ μὴ φιλονείκως ἔχειν, ἐπειδὴ ἐν Ὀλύνθῳ ἀγωνιεῖται ἢ Μακεδονίᾳ ἢ Αἰγύπτῳ, ἀλλὰ μὴ ἐν Ἕλλησι καὶ σταδίοις τοῖς ἐκεῖ;" ὑπὸ μὲν δὴ τῶν λόγων τούτων ὁ Δάμις οὕτω διατεθῆναί φησιν, ὡς ξυγκαλύψασθαί τε ἐφ' οἷς αὐτὸς εἰρηκὼς ἔτυχε παραιτεῖσθαί τε τὸν Ἀπολλώνιον ξυγγνώμην αὐτῷ ἔχειν, εἰ μήπω κατανενοηκὼς αὐτὸν ἐς ξυμβουλίαν τε καὶ πειθὼ τοιαύτην ὥρμησεν. ὁ δὲ ἀναλαμβάνων αὐτὸν „θάρρει," ἔφη „οὐ γὰρ ἐπίπληξιν ποιούμενος, ἀλλὰ τοὺμὸν ὑπογράφων σοι ταῦτα εἶπον." ἀφικομένου δὲ τοῦ εὐνούχου καὶ καλοῦντος αὐτὸν παρὰ τὸν βασιλέα XXXVI 45 „ἀφίξομαι," εἶπεν „ἐπειδὰν τὰ πρὸς τοὺς θεοὺς εὖ μοι ἔχῃ." θύσας οὖν καὶ εὐξάμενος ἀπῄει περιβλεπόμενός τε καὶ θαυμαζόμενος τοῦ σχήματος. ὡς δὲ ἔσω παρῆλθε, " δίδωμί σοι " ἔφη ὁ βασιλεὺς „δέκα δωρεὰς ἄνδρα σε ἡγούμενος, οἷος οὔπω τις ἀπὸ Ἑλλήνων δεῦρ' ἦλθεν." ὁ δὲ ὑπολαβὼν „οὐ πάσας," εἶπεν „ὦ βασιλεῦ, παραιτήσομαι „μίαν δέ, ἣν ἀντὶ πολλῶν δεκάδων αἱροῦμαι, προθύμως αἰτήσω·" καὶ ἅμα τὸν περὶ τῶν Ἐρετριέων διῆλθε λόγον ἀναλαβὼν ἀπὸ τοῦ Δάτιδος. „αἰτῶ οὖν" ἔφη „μὴ περικόπτεσθαι τοὺς ἀθλίους τούτους τῶν ὁρίων τε καὶ τοῦ λόφου, ἀλλὰ νέμεσθαι σφᾶς μέτρον τῆς γῆς, ὃ Δαρεῖος ἐνόμισε, δεινὸν γάρ, εἰ τῆς αὐτῶν ἐκπεσόντες μηδ' ἣν ἀντ' ἐκείνης ἔχουσιν, ἕξουσι." ξυντιθέμενος οὖν ὁ βασιλεὺς „Ἐρετριεῖς" εἶπεν „ἐς μὲν τὴν χθὲς ἡμέραν ἐμοῦ τε πολέμιοι καὶ πατέρων ἐμῶν ἦσαν, ἐπειδὴ ὅπλων ποτὲ ἐφ' ἡμᾶς ἦρξαν, καὶ παρεωρῶντο, ὡς τὸ γένος αὐτῶν ἀφανισθείη, λοιπὸν δὲ φίλοι τε ἀναγεγράψονται καὶ σατραπεύσει αὐτῶν ἀνὴρ ἀγαθός, ὃς δικαιώσει τὴν χώραν. τὰς δὲ ἐννέα δωρεὰς" ἔφη „διὰ τί οὐ λήψῃ;" „ὅτι, ὦ βασιλεῦ" εἶπεν „οὔπω φίλους ἐνταῦθα ἐκτησάμην." „αὐτὸς δὲ οὐδενὸς δέῃ;" φήσαντος· „τῶν γε XXXVII 55 τραγημάτων" ἔφη „καὶ τῶν ἄρτων, ἃ με ἡδέως τε καὶ λαμπρῶς ἑστιᾷ." τοιαῦτα δὴ λαλούντων

1. καὶ ποιήματα. Σ praeter A, B, E. ib. ξυνθέντα δημοσίᾳ. Σ. ib. ἐγὼ δὲ ἡγοῦμαι, ὦ Δ., τὸν ἄνδρα τὸν σοφὸν. l. ἐγὼ δέ, ὦ Δάμι, τὸν ἄνδρα ἡγοῦμαι τὸν σοφὸν. 2, E. 2. ξὺν ὅπλων. p. 4. τῷ. f 5. σχολῆς. l. 7. ὃς ὁμοῦ. m. 8. τοὶ ἐν B, v. 9. Ὀλυμπιάσιν. l, E. 10. Ἕλλας πανταχοῦ. B. 11. ἔζων γε — ὀφθαλμοῖς. Φ. (332, a, 17.) ib. ἢ βλέπει. o. ib. μυρίους. f. 12. αὐτὸς ὁρᾶται. π, B. αὐτοὺς ὁρᾷ. p, 2, E. ib. τούτων τινί, ὦ Δ. l. ὦ Δάμι, τούτων τινί. 2, E. 13. ἆρα. p. ib. εἰ μὴ. m. ubi in mg πρ. γρ. μὲν. ib. ἀρδίαν. v. Ἀρκαδίην. E. 14. εἶναι; l. ib. Δία. p. 15. ἐν σπουδῇ. p. 17. Αἰγύπτῳ. l. Αἰγ. ὁ ἀθλητὴς. 2, E. 18. τῶν ἐκεῖ. p. ib. διατεθεῖναι. supra posita η. f. corr. al. m. διατεθεῖναι. E. 19. ξυγκαλύπτεσθαι. v. ib. αὐτὸν. v. 22. αὐτὸν. om. l. 23. ἐπειδὴ. o. ib. τά. om. l. ib ἔχοι. π. 25. οἷον. p. ib. δεῦρ' ἦλθεν. π. ἦλθεν. p, 2, E. 26. ἦν. om. m. 27. τῶν. om. l. 29. αὐτᾶν. p, v, s. ib. μήδ' ἂν ᾖ. E. 30. συντιθέμενος. p, l. 31. ὅπλων τε. p. ib. καὶ. om v. 32. ἀναγράψονται. π. v. 33. διατί. l. E. 34. δέῃ φήσαντος. a, m. 35. ἅμα ἡδέως. π, v. ib. δὴ λαλούντων. π. διαλαλούντων. p, 2, E.

1. 36. 37. p. 44. 45.

πρὸς ἀλλήλους κραυγὴ τῶν βασιλείων ἐξεφοίτησεν εὐνούχων καὶ γυναικῶν ἅμα· εἵληπτο δὲ ἄρα εὐνοῦχός τις ἐπὶ μιᾷ τῶν τοῦ βασιλέως παλλακῶν ξυγκατακείμενός τε καὶ ὁπόσα οἱ μοιχοὶ πράττων, καὶ ἦγον αὐτὸν οἱ ἀμφὶ τὴν γυναικωνῖτιν ἐπισπῶντες τῆς κόμης, ὃν δὴ ἄγονται τρόπον οἱ βασιλέως δοῦλοι. ἐπεὶ δὲ ὁ πρεσβύτατος τῶν εὐνούχων ἐρῶντα μὲν τῆς γυναικὸς πάλαι ᾐσθῆσθαι ἔφη καὶ προειρηκέναι οἱ, μὴ προσδιαλέγεσθαι αὐτῇ, μηδὲ ἅπτεσθαι δέρης ἢ χειρός, μηδὲ κοσμεῖν ταύτην μόνην τῶν ἔνδον, νῦν δὲ καὶ ξυγκατακείμενον εὑρηκέναι καὶ ἀνδριζόμενον ἐπὶ τὴν γυναῖκα, ὁ μὲν Ἀπολλώνιος ἐς τὸν Δάμιν εἶδεν, ὡς δὴ τοῦ λόγου ἀποδεδειγμένου, ὃς ἐφιλοσοφεῖτο αὐτοῖς περὶ τοῦ καὶ εὐνούχων τὸ ἐρᾶν εἶναι, ὁ δὲ βασιλεὺς πρὸς τοὺς παρόντας „ἀλλ' αἰσχρόν γε" εἶπεν „ὦ ἄνδρες, παρόντος ἡμῖν Ἀπολλωνίου περὶ σωφροσύνης ἡμᾶς, ἀλλὰ μὴ τοῦτον, ἀποφαίνεσθαι· τί οὖν κελεύεις, Ἀπολλώνιε, παθεῖν αὐτόν;" „τί δὲ ἄλλο ἢ ζῆν;" εἶπε παρὰ τὴν πάντων ἀποκρινάμενος δόξαν. ἀνερυθριάσας οὖν ὁ βασιλεὺς „εἶτα οὐ πολλῶν" ἔφη „θανάτων ἄξιος ὑφέρπων οὕτως τὴν εὐνὴν τὴν ἐμήν;" „ἀλλ' οὐχ ὑπὲρ ξυγγνώμης" ἔφη „βασιλεῦ, ταῦτα εἶπον, ἀλλ' ὑπὲρ τιμωρίας, ἣ ἀποκναίσει αὐτόν· εἰ γὰρ ζήσεται νοσῶν καὶ ἀδυνάτων ἁπτόμενος καὶ μήτε σῖτα μήτε ποτὰ ἥσει αὐτὸν μήτε θεάματα, ἃ σέ τε καὶ τοὺς σοι συνόντας εὐφρανεῖ, πεδήσεταί τε ἡ καρδία θαμὰ ἐκθρώσκοντος τοῦ ὕπνου, ὃ δὴ μάλιστα περὶ τοὺς ἐρῶντάς φασι γίγνεσθαι. καὶ τίς μὲν οὕτω φθόη τήξει αὐτόν, τίς δὲ οὕτω λιμὸς ἐπιθρύψει τὰ σπλάγχνα; εἰ δὲ μὴ τῶν φιλοψύχων εἴη τις, αὐτός, ὦ βασιλεῦ, δεήσεταί σού ποτε καὶ ἀποκτεῖναι αὐτὸν ἢ ἑαυτόν γε ἀποκτενεῖ πολλὰ ὀλοφυρόμενος τὴν παροῦσαν ταύτην ἡμέραν, ἐν ᾗ μὴ εὐθὺς ἀπέθανε." τοῦτο μὲν δὴ τοιοῦτον τοῦ Ἀπολλωνίου καὶ οὕτω σοφόν τε καὶ ἥμερον, ἐφ' ᾧ ὁ βασιλεὺς ἀνῆκε τὸν θάνατον τῷ εὐνούχῳ.

XXXVIII

Μέλλων δέ ποτε πρὸς θήρᾳ γίγνεσθαι τῶν ἐν τοῖς παραδείσοις θηρίων, ἐς οὓς λέοντές τε ἀπόκεινται τοῖς βαρβάροις καὶ ἄρκτοι καὶ παρδάλεις, ᾐξίου τὸν Ἀπολλώνιον παρατυχεῖν οἱ θηρῶντι. ὁ δὲ „ἐκλέλησαι, ὦ βασιλεῦ," ἔφη „ὅτι μηδὲ θύοντί σοι παρατυγχάνω; καὶ ἄλλως οὐχ ἡδὺ θηρίοις βεβασανισμένοις καὶ παρὰ τὴν φύσιν τὴν ἑαυτῶν δεδουλωμένοις ἐπιτίθεσθαι." ἐρομένου δὲ αὐτὸν τοῦ βασιλέως, πῶς ἂν βεβαίως καὶ ἀσφαλῶς ἄρχοι, „πολλοὺς" ἔφη „τιμῶν, πιστεύων δὲ ὀλίγοις." πρεσβευομένου δέ ποτε τοῦ τῆς Συρίας ἄρχοντος περὶ κωμῶν, οἶμαι, δύο προσοίκων τῷ Ζεύγματι καὶ φάσκοντος ὑπακηκοέναι μὲν αὐτὰς Ἀντιόχῳ καὶ Σελεύκῳ πάλαι, νῦν δὲ ὑπ' αὐτῷ εἶναι Ῥωμαίοις προσηκούσας, καὶ τοὺς μὲν Ἀραβίους τε καὶ Ἀρμενίους μὴ ἐνοχλεῖν τὰς κώμας, αὐτὸν δὲ ὑπερβαίνοντα τοσαύτην γῆν καρποῦσθαι σφᾶς, ὡς αὐτοῦ μᾶλλον ἢ Ῥωμαίων οὔσας, μεταστησάμενος ὁ βασιλεὺς τοὺς πρέσβεις „τὰς μὲν κώμας ταύτας," ἔφη „Ἀπολλώνιε, ξυνεχώρησαν τοῖς ἐμοῖς προγόνοις οἱ βασιλεῖς, οὓς εἶπον, τροφῆς ἕνεκα τῶν θηρίων, ἃ παρ' ἡμῖν ἁλισκόμενα φοιτᾷ ἐς τὴν ἐκείνων διὰ τοῦ Εὐφράτου, οἱ δ', ὥσπερ ἐκλαθόμενοι τούτου καινῶν τε καὶ ἀδίκων ἅπτονται. τίς οὖν φαίνεταί σοι τῆς πρεσβείας ὁ νοῦς;" „μέτριος, ὦ βασιλεῦ," ἔφη „καὶ ἐπιεικής, εἰ, ἃ δύνανται καὶ ἄκοντος ἔχειν ἐν τῇ ἑαυτῶν ὄντα, βούλονται παρ' ἑκόντος εὑρίσκεσθαι μᾶλλον." προσετίθει δὲ καὶ τὸ μὴ δεῖν ὑπὲρ κωμῶν, ὧν μείζους κέκτηνται τάχα καὶ ἰδιῶται, διαφέρεσθαι πρὸς

2. παλακῶν. l. 3. οἱ ἀμφὶ. 1, B. Abresch. ad Cattier Gazophyl. p. 6. ἀμφὶ. 2, E. ib. γυναικωνίτιν. E 4. οἱ τοῦ β. Γ. o. ib. μὲν τῆς π. μὲν αὐτὸν τῆς. p, 2, E. 5. προσδιαλέγεσθαι. 1, f, v, l. διαλέγεσθαι. s, E. ib. μὴ δὲ. E. 6. αὐτὴν. p. ib. νῦν δὲ — γυναῖκα. Φ. (332, a, 18.) 9. ἀλλ' αἰσχρόν γε. p, u, o. ἀλλὰ αἰσχρόν. π, 2, s, m. 11. ἀποκρινόμενος. p. 12. οὕτως. 1. οὕτος. 2, E. ib. τὴν εὐνὴν ἐμὴν. p. ib. συγγνώμης. p. s. 14. τοὺς σὺν σοὶ ξυνόντας. s, a, m. 15. πεδῆσαι. v. 16. φασὶ γενέσθαι. E. ib. φθόη. π, o. φθόα. p, 2, a, m. ib. τὶς δὲ. m, o. ib. λιμὸς. π, l. λοιμὸς. p, 2, E. ib. ἐπιτρύψει. m. ἐπιτρίψει. l. 17. σπλάγχνα. v. ib. ποτε ἀποκτεῖναι. p. 18. ἑαυτόν τε. a. ib. παροῦσαν ταύτην ἡμ. C. παροῦσαν. E. 19. τοσοῦτον Ἀπ. p. 21. μέλλον. (supra posita ω.) f. ib. δή ποτε. v. ib. πρὸς θήρα, (eraso ν) f. et l. pr. m. πρὸς θήραν 1, v, s. ib. τῷ παραδείσῳ. p. ex corr. ib. θηρίων. π, Hu. χωρίων. p, 2, E. 22. παρδάλεις. l. ib. παρατυγχάνειν. p. 23. μὴ δὲ. ib. περιτυγχάνω. s. ubi fuerat περιτυγχάνων) a, m. 26. περὶ τῶν κωμῶν. π. ib. οἶμαι. om. π. 28. Ἀραβίους. E. 30. ἔφη Ἀπ. 1. Ἀπ. ἔφη. 2, E. ib. ξυνεχώρησε. s. 31. φοιτᾷ. 1. f, v, l. φοιτᾶν ex φοιτῶ corr. s. φοιτῶσιν. E. 32. οἵδ'. E. 34. τῇ ἑαυτῶν. 1. τῇ αὐτῶν. 2, E.

1. 38. p. 46. 47

Ῥωμαίους καὶ πόλεμον οὐδ' ὑπὲρ μεγάλων αἵρεσθαι. νοσοῦντι δὲ τῷ βασιλεῖ παρὼν τοσαῦτά γε καὶ οὕτω θεῖα περὶ ψυχῆς διεξῆλθεν, ὡς τὸν βασιλέα ἀναπνεῦσαι καὶ πρὸς τοὺς παρόντας εἰπεῖν, „ὅτι Ἀπολλώνιος οὐχ ὑπὲρ τῆς βασιλείας μόνης ἀφροντιστεῖν εἴργασταί με, ἀλλὰ καὶ ὑπὲρ τοῦ
XXXIX θανάτου." τὴν δὲ σήραγγα τὴν ὑπὸ τῷ Εὐφράτῃ δεικνύντος αὐτῷ ποτε τοῦ βασιλέως καὶ „τί σοι φαίνεται τὸ θαῦμα;" εἰπόντος καταβάλλων τὴν τερατουργίαν ὁ Ἀπολλώνιος „θαῦμα ἂν ἦν, ὦ βασιλεῦ," ἔφη, „εἰ διὰ τοῦ ποταμοῦ βαθέος οὕτω καὶ ἀπόρου ὄντος πεζῇ ἐβάδιζετε." δείξαντος δὲ καὶ τὰ ἐν Ἐκβατάνοις τείχη καὶ θεῶν φάσκοντος ταῦτα εἶναι οἴκησιν „θεῶν μὲν οὐκ ἔστιν ὅλως οἴκησις," εἶπεν „εἰ δὲ ἀνδρῶν, οὐκ οἶδα· ἡ γὰρ Λακεδαιμονίων, ὦ βασιλεῦ, πόλις ἀτείχιστος ᾤκισται." καὶ μὴν καὶ δίκην τινὰ δικάσαντος αὐτοῦ κώμαις καὶ μεγαλοφρονουμένου πρὸς τὸν Ἀπολλώνιον, ὡς δυοῖν ἡμερῶν ἠκροαμένος εἴη τῆς δίκης „βραδέως γ'" ἔφη „τὸ δίκαιον εὗρες." χρημάτων δὲ ἐκ τῆς ὑπηκόου φοιτησάντων ποτὲ ἀθρόων ἀνοίξας τοὺς θησαυροὺς ἐδείκνυ τῷ ἀνδρὶ τὰ
48 χρήματα ὑπαγόμενος αὐτὸν ἐς ἐπιθυμίαν πλούτου, ὁ δὲ οὐδὲν ὢν εἶδε θαυμάσας „σοὶ ταῦτα," ἔφη „ὦ βασιλεῦ, χρήματα, ἐμοὶ δὲ ἄχυρα·" „τί ἂν οὖν" ἔφη „πράττων καλῶς αὐτοῖς χρησαίμην;" „χρώμενος," ἔφη „βασιλεὺς γὰρ εἶ."

XL Πολλὰ τοιαῦτα πρὸς τὸν βασιλέα εἰπὼν καὶ τυχὼν αὐτοῦ προθύμου πράττειν ἃ ξυνεβούλευεν, ἔτι καὶ τῆς πρὸς τοὺς μάγους ξυνουσίας ἱκανῶς ἔχων „ἄγε, ὦ Δάμι," ἔφη „ἐς Ἰνδοὺς ἴωμεν. οἱ μὲν γὰρ τοῖς Ἀωτοφάγοις προσπλεύσαντες ἀπήγοντο τῶν οἰκείων ἠθῶν ὑπὸ τοῦ βρώματος, ἡμεῖς δὲ μὴ γευόμενοί τινος τῶν ἐνταῦθα καθήμεθα πλείω χρόνον τοῦ εἰκότος τε καὶ ξυμμέτρου." „κἀμοὶ" ἔφη ὁ Δάμις „ὑπερδοκεῖ ταῦτα· ἐπεὶ δὲ ἐνεθυμούμην τὸν χρόνον, ὃν ἐν τῇ λεαίνῃ διεσκέψω, περιέμενον ἀνυσθῆναι αὐτόν· οὕπω μὲν οὖν ἐξήκει πᾶς, ἐνιαυτὸς γὰρ ἡμῖν ἤδη καὶ μῆνες τέτταρες· εἰ δὲ ἤδη κομιζοίμεθα, εὖ ἂν ἔχοι; „οὐδὲ ἀνήσει ἡμᾶς," ἔφη „ὦ Δάμι, ὁ βασιλεὺς πρότερον ἢ
XLI τὸν ὄγδοον τελευτῆσαι μῆνα· χρηστὸν γάρ που ὁρᾷς αὐτὸν καὶ κρείττω ἢ βαρβάρων ἄρχειν." ἐπεὶ δὲ ἀπαλλάττεσθαι λοιπὸν ἐδόκει καὶ ξυνεχώρησέ ποτε ὁ βασιλεὺς ἀπιέναι, ἀνεμνήσθη τῶν δωρεῶν ὁ Ἀπολλώνιος, ἃς ἀνεβάλλετο ἔς τ' ἂν φίλοι αὐτῷ γένωνται, καὶ „ὦ βέλτιστε" ἔφη „βασιλεῦ, τὸν ξένον οὐδὲν εὖ πεποίηκα καὶ μισθὸν ὀφείλω τοῖς μάγοις· σὺ οὖν ἐπιμελήθητι αὐτῶν καὶ τούμὸν προθυμήθητι περὶ ἄνδρας σοφούς τε καὶ σοὶ σφόδρα εὔνους." ὑπερησθεὶς οὖν ὁ βασιλεὺς „τούτους μὲν αὖριον ζηλωτοὺς" ἔφη „καὶ μεγάλων ἠξιωμένους ἀποδείξω σοι, σὺ δ' ἐπεὶ μηδενὸς δέῃ τῶν ἐμῶν, ἀλλὰ τούτοις γε ξυγχώρησον χρήματα παρ' ἐμοῦ λαβεῖν καὶ ὅ τι βούλονται," τοὺς ἀμφὶ τὸν Δάμιν δείξας. ἀποστραφέντων οὖν κἀκείνων τὸν λόγον τοῦτον „ὁρᾷς," ἔφη „ὦ βασιλεῦ, τὰς
30 ἐμὰς χεῖρας, ὡς πολλαί τέ εἰσι καὶ ἀλλήλαις ὅμοιαι;" „σὺ δὲ ἀλλὰ ἡγεμόνα ἄγου" ὁ βασιλεὺς ἔφη „καὶ καμήλους, ἐφ' ὧν ὀχήσεσθε, τὸ γὰρ μῆκος τῆς ὁδοῦ κρεῖττον ἢ βαδίσαι πᾶσαν." „γιγνέσθω," ἔφη „ὦ βασιλεῦ, τοῦτο, φασὶ γὰρ τὴν ὁδὸν ἄπορον εἶναι μὴ οὕτως ὀχουμένῳ, καὶ ἄλλως τὸ ζῷον εὔσιτόν τε καὶ ῥᾴδιον βόσκειν, ὅπου μὴ χιλὸς εἴη. καὶ ὕδωρ δέ, οἶμαι, χρὴ ἐπισιτίσασθαι καὶ ἀπάγειν αὐτὸ ἐν ἀσκοῖς, ὥσπερ τὸν οἶνον." „τριῶν ἡμερῶν" ἔφη ὁ βασιλεὺς „ἄνυδρος ἡ χώρα, μετὰ ταῦτα δὲ πολλὴ ἀφθονία ποταμῶν τε καὶ πηγῶν, βαδίζειν δὲ τὴν ἐπὶ Καυκάσου, τὰ

1. Ῥωμαίοις. v. ib. παρῆν. p. ib. τοσαῦτά γε. π. et p ante corr. τοσαῦτα δὲ. p ex corr. τοσαῦτά τε. f, v, s, E. τε om. l. 3. μοι. v. 4. αὐτῷ ποτε. π. ποτε om. p. ποτε αὐτῷ. 2, E. 5. καταβάλλων. π. καταμαθών. p. καταβαλών. 2, E. ib. θαῦμα ἦν π. 6. διὰ τοῦ. l. δι' αὐτοῦ. 2, E. 7. φάσκοντος ταῦτα εἶναι. π. φάσκοντος εἶναι ταῦτα. 2, E. εἶναι φάσκοντος τὰ τοιαῦτα. p. ib. οὐκ ἔστιν. π. et l ad lmag. 236. οὐκ εἰσίν. p, 2, E. 10. ἡμερῶν. l. ἡμέραιν. 2, E. ib. βραδέως γ'. π. βραδέως γε. p, m, o. βραδέως γάρ. 2, a. 11. ἀθρόων. l. et m. ἴσ. ἀθρόων. ἀθρόον. 2, E. ib. τοὺς. om. m. 12. εἰς. l. ib. τοῦ πλούτου. p. ib. ὢν οὐδὲν εἶδε. l. 13. τί οὖν ἂν. p. 15. ξυνεβούλευεν. l, v. ξυνεβούλευσεν. f, s, l, E. 17. προσπελάσαντες. p, u. ib. ἐθῶν. p, v. 18. μὴ γευόμενοι. l. οὐδὲ γευόμενοι. 2, E. 19. ἐνθυμούμην. s. a rec. m. ib. τὸν χρόνον. om. s, a, m. τὸν om. f. 20. οὖν. om. p. ib. ἐν ἡμῖν. s, a, m. ἡμῖν. om. v. ib. μῆνες. om. m, o. 22. τελευτῆσαι. l. τελέσαι. 2, E. 23. συνεχώρεσε. s. 27. ἔφη ζηλωτοὺς. p. 28. ξυγχώρησον. p. 30. ὦ βασιλεῦ. v. 31. ὀχήσεσθαι. v. ib. γενέσθω. s. γινέσθω. v. l. 33. ἐπισιτήσασθαι. l. 34. ἄσκοις. m, o. 35. μεταταῦτα. E. ib. ποταμῶν καὶ. v.

1, 39. 40. 41. p. 48. 49.

γὰρ ἐπιτήδεια ἄφθονα καὶ φίλη ἡ χώρα." ἐρομένου δὲ αὐτὸν τοῦ βασιλέως ὅ τι αὐτῷ ἀπάξει ἐκεῖθεν· „χαρίεν" ἔφη „ὦ βασιλεῦ, δῶρον· ἦν γὰρ ἡ συνουσία τῶν ἀνδρῶν σοφώτερόν με ἀποφήνῃ, βελτίων ἀφίξομαί σοι ἢ νῦν εἰμι." περιέβαλεν ὁ βασιλεὺς ταῦτα εἰπόντα καὶ „ἀφίκοιο," εἶπε „τὸ γὰρ δῶρον μέγα."

Β'.

Ἐντεῦθεν ἐξελαύνουσι περὶ τὸ θέρος αὐτοί τε ὀχούμενοι καὶ ὁ ἡγεμών, ἱπποκόμος δὲ ἦν τῶν 5 1
καμήλων καὶ τὰ ἐπιτήδεια, ὁπόσων ἐδέοντο, ἦν ἄφθονα βασιλέως δόντος, ἥ τε χώρα, δι' ἧς ἐπορεύοντο, εὖ ἔπραττεν, ἐδέχοντο δὲ αὐτοὺς αἱ κῶμαι θεραπεύουσαι· χρυσοῦ γὰρ ψάλιον ἡ πρώτη κάμηλος ἐπὶ τοῦ μετώπου ἔφερε, γιγνώσκειν τοῖς ἐντυγχάνουσιν, ὡς πέμποι τινὰ ὁ βασιλεὺς τῶν ἑαυτοῦ φίλων. προσιόντες δὲ τῷ Καυκάσῳ φασὶν εὐωδεστέρας τῆς γῆς αἰσθέσθαι· τὸ δὲ ὄρος τοῦτο 11
ἀρχὴν ποιώμεθα Ταύρου τοῦ δι' Ἀρμενίας τε καὶ Κιλίκων ἐπὶ Παμφύλους καὶ Μυκάλην στείχον- 10 50
τος, ἣ τελευτῶσα ἐς θάλατταν, ἣν Κᾶρες οἰκοῦσι, τέρμα τοῦ Καυκάσου νομίζοιτ' ἄν, ἀλλ' οὐχ, ὡς ἔνιοί φασιν, ἀρχή, τό τε γὰρ τῆς Μυκάλης ὕψος οὔπω μέγα καὶ αἱ ὑπερβολαὶ τοῦ Καυκάσου τοσοῦτον ἀνεστᾶσιν, ὡς σχίζεσθαι περὶ αὐτὰς τὸν ἥλιον. περιβάλλει δὲ Ταύρῳ ἑτέρῳ καὶ τὴν ὄμορον τῇ Ἰνδικῇ Σκυθίαν πᾶσαν κατὰ Μαιῶτίν τε καὶ ἀριστερὸν Πόντου, σταδίων μάλιστα δισμυρίων μῆκος, τοσοῦτον γὰρ ἐπέχει μέτρον τῆς γῆς ὁ ἀγκὼν τοῦ Καυκάσου, τὸ δὲ περὶ τοῦ ἐν τῇ 15
ἡμεδαπῇ Ταύρου λεγόμενον, ὡς ὑπὲρ τὴν Ἀρμενίων πορεύοιτο, χρόνῳ ἀπιστηθὲν πιστοῦνται λοιπὸν αἱ παρδάλεις, ἃς οἶδα ἁλισκομένας ἐν τῇ Παμφύλων ἀρωματοφόρῳ. χαίρουσι γὰρ τοῖς ἀρώμασι κἀκ πολλοῦ τὰς ὀσμὰς ἕλκουσαι φοιτῶσιν ἐξ Ἀρμενίας διὰ τῶν ὀρῶν πρὸς τὸ δάκρυον τοῦ στύρακος, ἐπειδὰν οἵ τε ἄνεμοι ἀπ' αὐτοῦ πνεύσωσι καὶ τὰ δένδρα ὀπώδη γένηται. καὶ ἁλῶναί ποτέ φασιν ἐν τῇ Παμφυλίᾳ πάρδαλιν στρεπτῷ ἅμα, ὃν περὶ τῇ δέρῃ ἔφερε, χρυσοῦς δὲ ἦν καὶ 20
ἐπεγέγραπτο Ἀρμενίοις γράμμασι ΒΑΣΙΛΕΥΣ ΑΡΣΑΚΗΣ ΘΕΩΙ ΝΥΣΙΩΙ. βασιλεὺς μὲν δὴ 51
Ἀρμενίας τότε ἦν Ἀρσάκης, καὶ αὐτός, οἶμαι, ἰδὼν τὴν πάρδαλιν ἀνῆκε τῷ Διονύσῳ διὰ μέγεθος τοῦ θηρίου. Νύσιος γὰρ ὁ Διόνυσος ἀπὸ τῆς ἐν Ἰνδοῖς Νύσης Ἰνδοῖς τε ὀνομάζεται καὶ πᾶσι τοῖς πρὸς ἀκτῖνα ἔθνεσιν. ἡ δὲ χρόνον μέν τινα ὑπεξεύχθη ἀνθρώπῳ καὶ χεῖρα ἠνέσχετο ἐπαφωμένην τε καὶ καταψῶσαν, ἐπεὶ δὲ ἀνοίστρησεν αὐτὴν ἔαρ, ὅτε δὴ ἀφροδισίων ἥττους καὶ παρδά- 25
λεις, ἀνέθορεν ἐς τὰ ὄρη πόθῳ ἀρσένων, ὡς εἶχε τοῦ κόσμου καὶ ἦλω περὶ τὸν κάτω Ταῦρον ὑπὸ τοῦ ἀρώματος ἑλχθεῖσα. ὁ δὲ Καύκασος ὁρίζει μὲν τὴν Ἰνδικήν τε καὶ Μηδικήν, καθήκει δὲ ἐπὶ τὴν Ἐρυθρὰν θάλατταν ἑτέρῳ ἀγκῶνι. μυθολογεῖται δὲ ὑπὸ τῶν βαρβάρων τὸ ὄρος, ἃ καὶ Ἕλληνες 111

2. χάριεν. l. 5. ἐντεῦθ' ἐνεξελαύνουσι. p. ib. αὐτοὶ ὀχούμενοι. 2, a, m. ὀρχούμενοι. v. 6. δόντος. 1. ἐνδόντος. 2, E. 7. κῶμαι. E. ib. χρυσοῦ. π. χρυσοῦν. p, 2, E. ib. ψάλιον. π, f. ψαλλίον. v, l. ψέλιον. p, s, E. 8. γιγνώσκειν. a. γινώσκειν. m, o. 9. ὅτι φησὶν Ἀπολλώνιον καὶ τοὺς μετ' αὐτὸν ἐξιόντας τῆς Περσῶν ἀρχῆς καὶ προσιόντας τῷ Κ. εὐωδεστέρας — ἀγκῶνι. Φ. (324, a, 25.) 10. ποιώμεθα. C praeter v, a, m. ποιούμεθα. v, Φ. o. 11. θάλασσαν. p, s, l. 13. ἀνιστᾶσιν. o. ib. περὶ αὐτάς. 1, f, l, v, h, o. παρ' αὐτάς. s, a, m. περὶ αὐτὸν. Φ in AB. ib. παραβάλλει. p. 16. Ἀρμενίαν. 1. (u.) Φ. Ἀρμενίων. 2, E. 17. παρδάλεις. 1, s, l, E. Φ. πορδάλεις. f. ib. Παμφύλῳ. a, m. ib. τῆς ἀρώμασι. o. 18. καὶ ἐκ. Φ. 19. Στύρακος. E. ib. ἀπ' αὐτῶν. Φ. 20. ποτέ φασιν ἐν. Φ. ποτε ἐν τῇ. C, a, m. ποτέ φασιν ἐν τῇ. o. ib. πάρδαλιν. 1, l, E. πόρδαλιν. 2. πορδάλιον. Φ. ib. χρυσοῦν. Φ. 21. Ἀρμενίων. p. ib. βασιλεὺς — Νυσίῳ. om. a. βασιλεὺς — Νισαίῳ. m. Rex Arsaces Deo Nysaeo. Rh. 22. πόρδαλιν. 2, a, m. Φ. (B. πάρδαλιν). ib. Διονυσίῳ. l pr. m. s, v, E, Φ. 23. Διονύσιος. v, s, E, non Φ. ib. Νύσσης. Φ. 25. ὅτε — παρδάλεις. om. Φ. ib. ἀφροδισίων . . . τοὺς πορδάλεις. a. m. ib. πορδάλεις. 2, a, m. 27. τὴν Μηδικὴν. Φ, o. 28. θάλασσαν. p, f, s.

11. 1. 2. 3. p. 50. 51.

ἐπ' αὐτῷ ᾄδουσιν, ὡς Προμηθεὺς μὲν ἐπὶ φιλανθρωπίᾳ δεθείη ἐκεῖ, Ἡρακλῆς δὲ ἕτερος, οὐ γὰρ τὸν Θηβαῖόν γε βούλονται, μὴ ἀνάσχοιτο τοῦτο, ἀλλὰ τοξεύσειε τὸν ὄρνιν, ὃν ἔβοσκεν ὁ Προμηθεὺς τοῖς σπλάγχνοις· δεθῆναι δὲ αὐτὸν οἱ μὲν ἐν ἄντρῳ φασίν, ὃ δὴ ἐν πρόποδι τοῦ ὄρους δείκνυται, καὶ δεσμὰ ὁ Δάμις ἀνῆφθαι τῶν πετρῶν λέγει οὐ ῥᾴδια ξυμβαλεῖν τὴν ὕλην, οἱ δ' ἐν κορυφῇ τοῦ ὄρους· δικόρυμβος δὲ ἡ κορυφὴ καί φασιν, ὡς τὰς χεῖρας ἀπ' αὐτῶν ἐδέθη διαλειπουσῶν οὐ μεῖον ἢ στάδιον, τοσοῦτος γὰρ εἶναι. τὸν δὲ ὄρνιν τὸν ἀετὸν οἱ τῷ Καυκάσῳ προσοικοῦντες ἐχθρὸν ἡγοῦνται καὶ καλιάς γε, ὁπόσας ἐν τοῖς πάγοις οἱ ἀετοὶ ποιοῦνται, καταπιμπρᾶσιν ἔντες βέλη πυρφόρα, θήρατρά τε ἐπ' αὐτοὺς ἵστανται τιμωρεῖν τῷ Προμηθεῖ φάσκοντες· ὧδε γὰρ τοῦ μύθου ἤττηνται.

IV Παραμείψαντες δὲ τὸν Καύκασον τετραπήχεις ἀνθρώπους ἰδεῖν φασιν, οὓς ἤδη μελαίνεσθαι, καὶ πενταπήχεις δὲ ἑτέρους ὑπὲρ τὸν Ἰνδὸν ποταμὸν ἐλθόντες. ἐν δὲ τῇ μέχρι τοῦ ποταμοῦ τούτου ὁδοιπορίᾳ τάδε εὗρον ἀφηγήσεως ἄξια· ἐπορεύοντο μὲν γὰρ ἐν σελήνῃ λαμπρᾷ, φάσμα δὲ αὐτοῖς ἐμπούσης ἐνέπεσε τὸ δεῖνα γινομένη καὶ τὸ δεῖνα αὖ καὶ οὐδὲν εἶναι, ὁ δὲ Ἀπολλώνιος ξυνῆκεν, ὅ τι εἴη, καὶ αὐτός τε ἐλοιδορεῖτο τῇ ἐμπούσῃ, τοῖς τε ἀμφ' αὐτὸν προσέταξε ταὐτὸ πράττειν, τουτὶ γὰρ ἄκος εἶναι τῆς προσβολῆς ταύτης· καὶ τὸ φάσμα φυγῇ ᾤχετο τετριγός, ὥσπερ τὰ εἴδωλα.

V Κορυφὴν δ' ὑπερβάλλοντες τοῦ ὄρους καὶ βαδίζοντες αὐτήν, ἐπειδὴ ἀποτόμως εἶχεν, ἤρετο οὕτωσὶ τὸν Δάμιν· „εἰπέ μοι," ἔφη „ποῦ χθὲς ἦμεν;" ὁ δὲ „ἐν τῷ πεδίῳ" ἔφη. „τήμερον δέ, ὦ Δάμι, ποῦ;" „ἐν τῷ Καυκάσῳ," εἶπεν „εἰ μὴ ἐμαυτοῦ ἐκλέλησμαι." „πότε οὖν κάτω μᾶλλον ἤσθα;" πάλιν ἤρετο, ὁ δὲ „τουτὶ μὲν" ἔφη „οὐδὲ ἐπερωτᾶν ἄξιον·" χθὲς μὲν γὰρ διὰ κοίλης τῆς γῆς ἐπορευόμεθα, τήμερον δὲ πρὸς τῷ οὐρανῷ ἐσμέν." „οἶει οὖν," ἔφη „ὦ Δάμι, τὴν μὲν χθὲς ὁδοιπορίαν κάτω εἶναι, τὴν δὲ τήμερον ἄνω;" „νὴ Δί'," εἶπεν „εἰ μὴ μαίνομαί γε." „τί οὖν ἦγῇ" ἔφη „παραλλάττειν τὰς ὁδοὺς ἀλλήλων ἢ τί τήμερον πλέον εἶναί σοι τοῦ χθές;" „ὅτι χθὲς" ἔφη „ἐβάδιζον οὖπερ πολλοί, σήμερον δέ, οὖπερ ὀλίγοι." „τί γάρ," ἔφη „ὦ Δάμι, οὐ καὶ τὰς ἐν ἄστει λεωφόρους ἐκτρεπομένῳ βαδίζειν ἐστὶν ἐν ὀλίγοις τῶν ἀνθρώπων;" „οὐ τοῦτο" ἔφη „εἶπον, ἀλλ' ὅτι χθὲς μὲν διὰ κωμῶν ἐκομιζόμεθα καὶ ἀνθρώπων, σήμερον δὲ ἀστιβές τι ἀναβαίνομεν χωρίον καὶ θεῖον, ἀκούεις γὰρ τοῦ ἡγεμόνος, ὅτι οἱ βάρβαροι θεῶν αὐτὸ ποιοῦνται οἶκον" καὶ ἅμα ἀνέβλεπεν ἐς τὴν κορυφὴν τοῦ ὄρους. ὁ δὲ ἐμβιβάζων αὐτὸν ἐς ὃ ἐξ ἀρχῆς ἠρώτα „ἔχεις οὖν εἰπεῖν, ὦ Δάμι, ὅ τι ξυνῆκας τοῦ θείου βαδίζων ἀγχοῦ τοῦ οὐρανοῦ;„ "οὐδὲν" ἔφη. „καὶ μὴν ἐχρῆν γε" εἶπεν „ἐπὶ μηχανῆς τηλικαύτης καὶ θείας οὕτως ἑστηκότα περί τε τοῦ οὐρανοῦ σαφεστέρας ἤδη ἐκφέρειν δόξας περί τε τοῦ ἡλίου καὶ τῆς σελήνης, ὧν γε καὶ ῥᾴβδῳ ἴσως ἦγῇ ψαύσειν προσεστηκὼς τῷ οὐρανῷ τούτῳ." „ἃ χθὲς" ἔφη „περὶ τοῦ θείου ἐγίγνωσκον, γιγνώσκω καὶ τήμερον καὶ οὔπω μοι ἕτερα προσέπεσε περὶ αὐτοῦ δόξα." „οὐκοῦν," ἔφη „ὦ Δάμι, κάτω τυγχάνεις ὢν ἔτι καὶ οὐδὲν παρὰ τοῦ ὕψους εἴληφας ἀπέχεις τε τοῦ οὐρανοῦ ὁπόσον χθές· καὶ εἰκό-

3. δεθῆναι δὲ. 1. δεθῆναι δ'. 2, E. ib. πρόποδι. π, 2, E. πρόποσι. p, u. 4. δάμανις. π. ib. ξυμβαλεῖν. π. ξυμβάλλειν. p, 2, E. ib. οἷδ'. E. 6. τοσοῦτος. p, f, v, l. τοσοῦτον. π, s, E. 8. πόρφυρα. v. 10. ὅτι παραμείψαντας τὸν. Φ. ib. φησιν. Φ. 11. πενταπήχεις δὲ ἑ. Φ. πενταπήχεις ἑ. l, l, o. πεντεπήχεις (supra posita α.) f. πεντεπήχεις. v, s, a, m. ib. ἑλθόντας. l. 12. τάδε. C, a. τά δε. m, o. 13. Θ. v. ὁ δεῖνα· Φιλόστρατος ἐν τῷ τοῦ Α. βίῳ. τὸ δεῖνα — αὖ. ib. γιγνομένη. p, Θ. τὸ δὲ γινομένη. m. ib. συνῆκεν. p. 14. ταυτὸ. l, s, a. 15. τετριγός. l, f, l, v, B. τετρυγὸς. s, E. 19. ἐμαυτὸν ex corr. pro ἐμαυτοῦ. p. ἐμαυτῶ. v. ib. μᾶλλον κάτω. p. 20. ἤσθα μᾶλλον. v. 22. Δία. p. 23. ἢ τι τήμερον. l, o. ἢ τήμερον τί. 2. ἢ τήμερόν τι. a, m. ib. ὅποι. m. 26. ὅποι. a, m. ib. ἀστιβές τι. π, r, v, o. ἀστιβές τε. p, f, s, l, a, m 28. ἀνέβλεπεν. 1. ἐνέβλεπεν. 2, a, m. ib. τοῦ ὄρος. (supra posita ως.) p. ib. εἰς ὃ. p. 29. εἰπεῖν, ὦ Δάμι. l, o. ὦ Δάμι εἰπεῖν. 2, E. 30. οὕτως. p, f, v. 31. ῥάβδῳ ἴσως ἦγῇ ψαύσειν. C, o. ῥάβδῳ ἦγῇ ψαύσῃ a, m. ψαύσειν B. 33. προσέπεσε περὶ αὐτοῦ. 1. περὶ αὐτοῦ προσέπεσε. 2, C. (εἰσέπεσε. v.) 34. παρὰ τοῦ ὑ. l, r, v, B, o. περὶ τοῦ ὑ. 1, s, a, m. ib. εἰκότος. π.

II, 4. 5. p. 52. 53.

τως σε ἠρόμην, ἃ ἐν ἀρχῇ· σὺ γὰρ ᾤου γελοίως ἐρωτᾶσθαι." „καὶ μὴν" ἔφη „καταβήσεσθαί γε σοφώτερος ᾠμην ἀκούων, Ἀπολλώνιε, τὸν μὲν Κλαζομένιον Ἀναξαγόραν ἀπὸ τοῦ κατὰ Ἰωνίαν Μίμαντος ἐπεσκέφθαι τὰ ἐν τῷ οὐρανῷ, Θαλῆν τε τὸν Μιλήσιον ἀπὸ τῆς προσοίκου Μυκάλης, λέγονται δὲ καὶ τῷ Παγγαίῳ ἔνιοι φροντιστηρίῳ χρήσασθαι καὶ ἕτεροι τῷ Ἄθῳ. ἐγὼ δὲ μέγιστον τούτων ἀνελθὼν ὕψος οὐδὲν σοφώτερος ἑαυτοῦ καταβήσομαι." „οὐδὲ γὰρ ἐκεῖνοι," ἔφη „αἱ γὰρ 5 54
τοιαίδε περιωπαὶ γλαυκότερον μὲν τὸν οὐρανὸν ἀποφαίνουσι καὶ μείζους τοὺς ἀστέρας καὶ τὸν ἥλιον ἀνίσχοντα ἐκ νυκτός, ἃ καὶ ποιμέσιν ἤδη καὶ αἰπόλοις ἐστὶ δῆλα, ὅπη δὲ τὸ θεῖον ἐπιμελεῖται τοῦ ἀνθρωπείου γένους καὶ ὅπη χαίρει ὑπ' αὐτοῦ θεραπευόμενον, ὅ τί τε ἀρετὴ καὶ ὅ τι δικαιοσύνη τε καὶ σωφροσύνη, οὔτε Ἄθως ἐκδείξει τοῖς ἀνελθοῦσιν οὔτε ὁ θαυμαζόμενος ὑπὸ τῶν ποιητῶν Ὄλυμπος, εἰ μὴ διορῴη αὐτὰ ἡ ψυχή, ἦν, εἰ καθαρὰ καὶ ἀκήρατος αὐτῶν ἅπτοιτο, πολλῷ μεῖζον 10
ἐγωγ' ἂν φαίην ἅττειν τουτουὶ τοῦ Καυκάσου."

Ὑπερβάντες δὲ τὸ ὄρος ἐντυγχάνουσιν ἐπ' ἐλεφάντων ἤδη ὀχουμένοις ἀνδράσιν, εἰσὶ δ' οὗτοι VI
μέσοι Καυκάσου καὶ ποταμοῦ Κωφῆνος ἄβιοί τε καὶ ἱππόται τῆς ἀγέλης ταύτης, καὶ κάμηλοι δὲ ἐνίους ἦγον, αἷς χρῶνται Ἰνδοὶ ἐς τὰ δρομικά, πορεύονται δὲ χίλια στάδια τῆς ἡμέρας γόνυ οὐδαμοῦ κάμψασαι. προσελάσας οὖν τῶν Ἰνδῶν εἷς ἐπὶ καμήλου τοιαύτης ἠρώτα τὸν ἡγεμόνα οὗ 15
στείχοιεν, ἐπεὶ δὲ τὸν νοῦν τῆς ἀποδημίας ἤκουσεν, ἀπήγγειλε τοῖς νομάσιν, οἱ δὲ ἀνεβόησαν ὥσπερ ἡσθέντες ἐκέλευόν τε πλησίον ἥκειν καὶ ἀφικομένοις οἴνόν τε ὤρεγον, ὃν ἀπὸ τῶν φοινίκων σοφίζονται καὶ μέλι ἀπὸ ταὐτοῦ φυτοῦ καὶ τεμάχη λεόντων καὶ παρδάλεων, ὧν καὶ τὰ δέρματα νεόδαρτα ἦν, δεξάμενοι δὲ πλὴν τῶν κρεῶν πάντα διήλασαν τοὺς Ἰνδοὺς καὶ ἐχώρουν πρὸς ἕω.

Ἀριστοποιουμένων δὲ αὐτῶν πρὸς πηγῇ ὕδατος ἐγχέας ὁ Δάμις τοῦ παρὰ τῶν Ἰνδῶν οἴνου 20 VII
„Διὸς" ἔφη „Σωτῆρος ἥδε σοι Ἀπολλώνιε, διὰ πολλοῦ γε πίνοντι. οὐ γὰρ, οἶμαι, παραιτήσῃ 55
καὶ τοῦτον, ὥσπερ τὸν ἀπὸ τῶν ἀμπέλων" καὶ ἅμα ἔσπεισεν, ἐπειδὴ τοῦ Διὸς ἐπεμνήσθη. γελάσας οὖν ὁ Ἀπολλώνιος „οὐ καὶ χρημάτων" ἔφη „ἀπεχόμεθα, ὦ Δάμι;" „νὴ Δί'" εἶπεν „ὡς πολλαχοῦ ἐπεδείξω." „ἆρ' οὖν" ἔφη „χρυσῆς μὲν δραχμῆς καὶ ἀργυρᾶς ἀφεξόμεθα, καὶ οὐχ ἡττησόμεθα τοιούτου νομίσματος καίτοι κεχηνότας ἐς αὐτὸ ὁρῶντες οὐκ ἰδιώτας μόνον, καὶ βασιλέας, 25
εἰ δὲ χαλκοῦν τις ὡς ἀργυροῦν ἢ ὑπόχρυσόν τε καὶ κεκιβδηλευμένον ἡμῖν διδοίη, ληψόμεθα τοῦτο, ἐπεὶ μὴ ἐκεῖνό ἐστιν, οὗ οἱ πολλοὶ γλίχονται; καὶ μὴν καὶ νομίσματά ἐστιν Ἰνδοῖς ὀρειχάλκου τε καὶ χαλκοῦ μέλανος, ὧν δεῖ δήπου πάντα ὠνεῖσθαι πάντας ἥκοντας ἐς τὰ Ἰνδῶν ἤθη· τί οὖν; εἰ χρήματα ἡμῖν ὤρεγον οἱ χρηστοὶ νομάδες, ἆρ' ἄν, ὦ Δάμι, παραιτούμενόν με ὁρῶν ἐνουθέτεις τε καὶ ἐδίδασκες, ὅτι χρήματα μὲν ἐκεῖνά ἐστιν, ἃ Ῥωμαῖοι χαράττουσιν ἢ ὁ Μήδων βασιλεύς, ταυτὶ 30
δὲ ὕλη τις ἑτέρα κεκομψευμένη τοῖς Ἰνδοῖς; καὶ ταῦτα πείσας τίνα ἂν ἡγήσω με; ἆρ' οὐ κίβδηλόν τε καὶ τὴν φιλοσοφίαν ἀποβεβληκότα μᾶλλον ἢ οἱ πονηροὶ στρατιῶται τὰς ἀσπίδας; καίτοι ἀσπίδος μὲν ἀποβληθείσης ἑτέρα γένοιτ' ἂν τῷ ἀποβαλόντι κακίων οὐδὲν τῆς προτέρας, ὡς Ἀρχιλόχῳ δοκεῖ, φιλοσοφία δὲ πῶς ἀνακτητέα τῷγε ἀτιμάσαντι αὐτὴν καὶ ῥίψαντι; καὶ νῦν μὲν ἂν ξυγγιγνώσκοι ὁ 56

σὺ

1. οὐ γὰρ. π. οὐ γὰρ. f. ib. καὶ μὴν ἔφη καταβήσεσθαί γε σοφώτερος. 1. καὶ μὴν σοφώτερος ἔφη καταβήσεσθαι. 2, E. 3. Θαλῆν τε. 1. Θαλῆν δὲ. 2, E. ib. προσοίκου. C, B, o. προσήκου. a, m. 4. παλαίω. π. ἴσ: ὑπογαίω. m. ex Rh: subterranea loca. ib. φροντισεηρίῳ χρήσασθαι. 1. χρήσασθαι φροντιστηρίῳ. 2, E. 5. ἑαυτοῦ. π, f, s, l, E. ἐμαυτοῦ. p. ex corr. et v. 6. μὲν τὸν οὐρανὸν. 1. μέντοι τὸν οὐρανὸν. 2, E. ib. ἀποφαίνουσι. π. ἀναφαίνουσι. p, 2, E. 9. οὔτε Ἄ. 1. οὔτε ὁ Ἄ. 2, E. 10. ὅπτοιτο. f, v. 11. ἄγειν. v. 12. ἐντυγχάνουσι δὴ ἐλεφάντων ἤδη ἐγρημένοις. v. ἐ. ἐπ' ἐλεφάντων ὀχουμένοις ἀνθρώποις. Φ. (332, a, 21. sed 324, b, 23. non discrepat.) 13. εὖιοι. v. ib. ἱπτόται. f. 14. οὐδαμοῦ Φ. οὐδαμῶς. C, (π, p, l. cett.) E. 15. καὶ προσελάσας. v. 17. ὄρεγον. π. 18. τοῦ αὐτοῦ. p. ib. τεμμάχη. v. ib. παρδάλεων. f, v, l. 20. ἐγχέας. v. 21. τε πίνοντι. f. γε om. l, v. ib. ὡς γὰρ. v. ὡς τὸν. l. 22. ἅμ' ἔσπεισεν. p. 23. οὐ δὲ. p. 24. χρηστῆς δραχμῆς. v. 25. ἐς ταὐτὸ. f, v et l pr. m. ib. ὁρῶντα. v. 26. κεκιβδηλωμένον. p. ib. ὑμὶν. o. 27. ἐκεῖνο ὅ ἐστιν. v. 28. χαλκοῦ τε καὶ χαλκοῦ. v. ib. ὠνεῖσθαι πάντα πάντας. p. 31. ὕλη τίς. l, a, m. ὕλη τις. o. ib. τάχ' ἂν ἡγήσω. v. τίνα ἂν, ἡγήσωμαι. l. ib. ἆρ' οὖν οὐ. l. 33. ἀποβήοντι. s. a sec m. mut. in ἀποβαλόντι. 34. ἀνεκτητέα. v. ἂν ἀνακτητέα. l. ib. τῷ ἀτιμάσαντι. p. ib. μὲν οὖν ξυγγινώσκει. l.

Διόνυσος οὐδενὸς οἴνου ἡττημένῳ, τὸν δὲ ἀπὸ τῶν φοινίκων εἰ πρὸ τοῦ ἀμπελίνου αἱροίμην, ἀχθέσεται, εὖ οἶδα, καὶ περιυβρίσθαι φήσει τὸ ἑαυτοῦ δῶρον. ἐσμὲν δὲ οὐ πόρρω τοῦ θεοῦ, καὶ γὰρ τοῦ ἡγεμόνος ἀκούεις, ὡς πλησίον ἡ Νύσα τὸ ὄρος, ἐφ' οὗ ὁ Διόνυσος πολλά, οἶμαι, καὶ θαυμαστὰ πράττει. καὶ μὴν καὶ τὸ μεθύειν, ὦ Δάμι, οὐκ ἐκ βοτρύων μόνων ἐσφοιτᾷ τοὺς ἀνθρώπους, ἀλλὰ καὶ ἀπὸ τῶν φοινίκων παραπλησίως ἐκβακχεύει· πολλοῖς γοῦν ἤδη τῶν Ἰνδῶν ἐνετύχομεν κατεσχημένοις τῷ οἴνῳ τούτῳ, καὶ οἱ μὲν ὀρχοῦνται πίπτοντες, οἱ δὲ ᾄδουσιν ὑπονυστάζοντες, ὥσπερ οἱ παρ' ἡμῖν ἐκ πότου νύκτωρ τε καὶ οὐκ ἐν ὥρᾳ ἀναλύοντες. ὅτι δὲ οἶνον ἠγῇ καὶ τοῦτο τὸ πόμα, δηλοῖς τῷ σπένδειν τε ἀπ' αὐτοῦ τῷ Διὶ καὶ ὁπόσα ἐπὶ οἴνῳ εὔχεσθαι. καὶ εἴρηταί μοι, ὦ Δάμι, πρὸς σὲ ὑπὲρ ἐμαυτοῦ ταῦτα· οὔτε γὰρ σὲ τοῦ πίνειν ἀπάγοιμ' ἂν οὔτε τοὺς ὀπαδοὺς τούτους, ξυγχωροίην δ' ἂν ὑμῖν καὶ κρεῶν σιτεῖσθαι, τὸ γὰρ ἀπέχεσθαι τούτων ὑμῖν μὲν ἐς οὐδὲν ὁρῶ προβαῖνον, ἐμαυτῷ δὲ ἐς ἃ ὡμολόγηταί μοι πρὸς φιλοσοφίαν ἐκ παιδός." ἐδέξαντο τὸν λόγον τοῦτον οἱ περὶ τὸν Δάμιν καὶ ἠσπάσαντο εὐωχεῖσθαι, ῥᾷον ἡγούμενοι πορεύσεσθαι, ἢν ἀφθονώτερον διαιτῶνται.

VIII Διαβάντες δὲ τὸν Κωφῆνα ποταμὸν αὐτοὶ μὲν ἐπὶ νεῶν, κάμηλοι δὲ πεζῇ τὸ ὕδωρ, ὁ γὰρ ποταμὸς οὔπω μέγας, ἐγένοντο ἐν τῇ βασιλευομένῃ ἠπείρῳ, ἐν ᾗ ἀνατεῖνον πεφύτευται Νύσα ὄρος ἐς κορυφὴν ἄκραν, ὥσπερ ὁ ἐν Λυδίᾳ Τμῶλος, ἀναβαίνειν δ' αὐτὸ ἔξεστιν, ὡδοπεποίηται γὰρ ὑπὸ
57 τοῦ γεωργεῖσθαι. ἀνελθόντες οὖν ἱερῷ Διονύσου ἐντυχεῖν φασιν, ὃ δὴ Διόνυσον ἑαυτῷ φυτεῦσαι, δάφναις περιεστηκυίαις κύκλῳ, τοσοῦτον περιεχούσαις τῆς γῆς, ὅσον ἀπόχρη νεῷ ξυμμέτρῳ, κιττόν τε περιβαλεῖν αὐτὸν καὶ ἀμπέλους ταῖς δάφναις, ἄγαλμά τε ἑαυτοῦ ἔνδον στήσασθαι γιγνώσκοντα ὡς ξυμφύσει τὰ δένδρα ὁ χρόνος καὶ δώσει τινὰ ἀπ' αὐτῶν ὄροφον, ὃς οὕτω ξυμβέβληται νῦν, ὡς μήτε ὗεσθαι τὸ ἱερὸν μήτ' ἀνέμῳ ἐσπνεῖσθαι. δρέπανα δὲ καὶ ἄρριχοι καὶ ληνοὶ καὶ τὰ ἀμφὶ ληνοὺς ἀνάκειται τῷ Διονύσῳ χρυσᾶ καὶ ἀργυρᾶ καθάπερ τρυγῶντι. τὸ δὲ ἄγαλμα εἴκασται μὲν ἐφήβῳ Ἰνδῷ, λίθου δὲ ἔξεσται λευκοῦ. ὀργιάζοντος δὲ αὐτοῦ καὶ σείοντος τὴν Νύσαν ἀκούουσιν αἱ πόλεις αἱ ὑπὸ τῷ ὄρει καὶ ξυνεξαίρονται. διαφέρονται δὲ περὶ τοῦ Διονύσου τούτου καὶ Ἕλ-
IX ληνες Ἰνδοῖς καὶ Ἰνδοὶ ἀλλήλοις· ἡμεῖς μὲν γὰρ τὸν Θηβαῖον ἐπ' Ἰνδοὺς ἐλάσαι φαμὲν στρατεύοντά τε καὶ βακχεύοντα τεκμηρίοις χρώμενοι τοῖς τε ἄλλοις καὶ τῷ Πυθοῖ ἀναθήματι, ὃ δὴ ἀπόθετον οἱ ἐκεῖ θησαυροὶ ἴσχουσιν· ἔστι δὲ ἀργύρου Ἰνδικοῦ δίσκος, ᾧ ἐπιγέγραπται· ΔΙΟΝΥΣΟΣ Ὁ ΣΕΜΕΛΗΣ ΚΑΙ ΔΙΟΣ ΑΠΟ ΙΝΔΩΝ ΑΠΟΛΛΩΝΙ ΔΕΛΦΟΙ. Ἰνδῶν δὲ οἱ περὶ Καύκασον καὶ Κωφῆνα ποταμὸν ἐπηλύτην Ἀσσύριον αὐτόν φασιν ἐλθεῖν τὰ τοῦ Θηβαίου εἰδότα· οἱ δὲ τὴν Ἰνδοῦ τε καὶ Ὑδραώτου μέσην νεμόμενοι καὶ τὴν μετὰ ταῦτα ἤπειρον, ἣ δὴ ἐς ποταμὸν Γάγγην τελευτᾷ, Διόνυσον γενέσθαι ποταμοῦ παῖδα Ἰνδοῦ λέγουσιν, ᾧ φοιτήσαντα τὸν ἐκ Θηβῶν ἐκεῖνον θύρσου τε ἅψασθαι καὶ δοῦναι ὀργίοις, εἰπόντα δέ, ὡς εἴη Διὸς καὶ τῷ τοῦ πατρὸς ἐμβιώῃ μηρῷ τόκου ἕνεκα, Μηρόν τε εὑρέσθαι παρ' αὐτοῦ ὄρος, ᾧ προσβέβηκεν ἡ Νύσα, καὶ τὴν
58 Νύσαν τῷ Διονύσῳ ἐκφυτεῦσαι ἀπάγοντας ἐκ Θηβῶν τὸ γόνυ τῆς ἀμπέλου, οὗ καὶ Ἀλέξανδρος

1. ἡττωμένῳ. f, v, l. ib. πρὸς τοῦ. v. ib. ἀχθέσεται. (supra posita ησθ.) p. ἀχθήσεται. v. 4. μόνων. 1. μόνον. 2, E. 5. παραπλήσιος. m. 6. ἀπονυστάζοντες. p. 7. παρ' ὑμῖν. π. ib. καὶ οὐκ ἐν ὥρᾳ. π et s a rec m. E. καὶ ἐν ὥρᾳ. p, f, v, l. 8. τὸ σπένδειν. v. 9. πρός σε. o. ib. ἐμαυτοῦ. 1. ἐμοῦ. 2, E. ib. γάρ σε. E. 10. ὑμὶ κρεῶν. m. ib. ἐς οὐδὲν ὁρῶ προβαῖνον. 1, l. (ex corr. ἐς.) o, qui προβαίνων tribuit u. ὡς οὐδὲν ὁρῶ προβαίνων. r, v. ὡς ὀ. ὀ. προβαῖνον. s. ὡς ὀ. ὀ. προσβαῖνον. a, m. 12. πορεύσεσθαι. π. πορεύεσθαι. p, 2, E. 14. τὸν ποταμὸν. m. ib. καμῆλοι. m, o. 15. ἐν ᾗ πεφύτευται. p, u. 16. κορυφὴν τε. p. ib. Τμῶλος. ἀναβαίνειν. π, 2, E. Τμῶλος ἀνατεῖνον. ἀναβαίνειν. p, u. ib. ὡδοποίηται. 1, f, s, l, a. ὁδοιποίηται. v. ὡδοπεποίηται. m, o. 17. Διόνυσος. v. 18. περιεχούσαις. π, o. περιεχούσης. p, 2, a, m. ib. ναῷ. o. 19. θήσεσθαι. v. ib. γιγνώσκων ὡς. s. 21. ἀνέμῳ. 1, v. ἀνέμων. f, l, s, E 23. νύσσαν. s. 24. πόλεις ὑπὸ τ. v. ib. συνεξαίρονται. p. 25. ἐλθόντα. s, a. (m. γρ.) 27. ἀργύρου. p, f, l, s. ἀργύριον. π, s, m. 29. Ἀσσύριον αὐτόν. 1. αὐτὸν Ἀσσύριόν. s, E. αὐτὸν Ἀσσύριοι. f, v. Ἀσύριοι. l. 31. Ἰνδοὶ. l, v. 32. ὀργίους. a. ib. εἰπόντα δὲ ὡς. 1. εἰπόντα ὡς. 2, E. ib. καὶ τοῦ. o. 33. μηρόν. m, o. ib. Fo: τὸ ὄρος. ib. νύσαν. a. etsi antea Νύσα. ib. καὶ τὴν Νύσσαν αὐτῷ Διονύσῳ. φασὶν ἐκφυτεῦσαι ἀπάγοντα ἐκ Θηβῶν τὸ γόνυ τῆς ἀμπέλου. Φ. 34. ἀπάγοντας. C. (praeter ἀπάγοιτος. v.) E. ib. Ἀλέξανδρος. l. Ἀλέξανδρον. 2, E.

II. S. 9. p. 57. 58.

ὀργιάσαι. οἱ δὲ τὴν Νύσαν οἰκοῦντες οὔ φασι τὸν Ἀλέξανδρον ἀνελθεῖν ἐς τὸ ὄρος, ἀλλ' ὁρμῆσαι μέν, ἐπειδὴ φιλότιμός τε ἦν καὶ ἀρχαιολογίας ἥττων, δείσαντα δὲ μὴ ἐς ἀμπέλους παρελθόντες οἱ Μακεδόνες, ἃς χρόνου ἤδη οὐχ ἑωράκεσαν, ἐς πόθον τῶν οἴκοι ἀπενεχθῶσιν ἢ ἐπιθυμίαν τινὰ οἴνου ἀναλάβωσιν εἰθισμένοι ἤδη τῷ ὕδατι, παρελάσαι τὴν Νύσαν, εὐξάμενον τῷ Διονύσῳ καὶ θύσαντα ἐν τῇ ὑπωρείᾳ. καὶ γιγνώσκω μὲν οὐκ ἐς χάριν ταῦτα ἐνίοις γράφων, ἐπειδὴ οἱ ξὺν Ἀλεξάνδρῳ στρατεύσαντες οὐδὲ ταῦτα ἐς τὸ ἀληθὲς ἀνέγραψαν. δεῖ δὲ ἀληθείας ἐμοὶ γοῦν, ἢν εἰ κἀκεῖνοι ἐπήνεσαν, οὐκ ἂν ἀφείλοντο καὶ τοῦδε τοῦ ἐγκωμίου τὸν Ἀλέξανδρον· τοῦ γὰρ ἀνελθεῖν ἐς τὸ ὄρος καὶ βακχεῦσαι αὐτόν, ἃ ἐκεῖνοι λέγουσι, μεῖζον, οἶμαι, τὸ ὑπὲρ καρτερίας τοῦ στρατοῦ μηδὲ ἀναβῆναι.

Τὴν δὲ Ἄορνον πέτραν οὐ πολὺ ἀπέχουσαν τῆς Νύσης ἰδεῖν μὲν οὔ φησιν ὁ Δάμις, ἐν ἐκ- 10 x
βολῇ γὰρ κεῖσθαι τῆς ὁδοῦ καὶ δεδιέναι τὸν ἡγεμόνα ἐκτρέπεσθαί ποι παρὰ τὸ εὐθύ, ἀκοῦσαι δέ, ὡς ἁλωτὸς μὲν Ἀλεξάνδρῳ γένοιτο, Ἄορνος δὲ ὀνομάζοιτο οὐκ ἐπειδὴ στάδια πεντεκαίδεκα ἀνέστηκε, πέτονται γὰρ καὶ ὑπὲρ τοῦτο οἱ ἱεροὶ ὄρνιθες, ἀλλ' ἐν κορυφῇ τῆς πέτρας ῥῆγμα εἶναί φασι τοὺς ὑπερπετομένους τῶν ὀρνίθων ἐπισπώμενον, ὡς Ἀθήνησί τε ἰδεῖν ἐστιν ἐν προδόμῳ τοῦ 59
Παρθενῶνος καὶ πολλαχοῦ τῆς Φρυγῶν καὶ Λυδῶν γῆς, ὑφ' οὗ τὴν πέτραν Ἄορνον κεκλῆσθαί 15
τε καὶ εἶναι.

Ἐλαύνοντες δὲ ἐπὶ τὸν Ἰνδὸν παιδὶ ἐντυγχάνουσι τρισκαίδεκά που ἔτη γεγονότι ἐπ' ἐλέφαντος xi
ὀχουμένῳ καὶ παίοντι τὸ θηρίον. ἐπεὶ δὲ ἐθαύμασαν ὁρῶντες „τί ἔργον," ἔφη „ὦ Δάμι, ἀγαθοῦ ἱππέως;" „τί δ' ἄλλο γε," εἶπεν, „ἢ ἰζήσαντα ἐπὶ τοῦ ἵππου ἄρχειν τε αὐτοῦ καὶ τῷ χαλινῷ στρέφειν καὶ κολάζειν ἀτακτοῦντα καὶ προυρᾶν, ὡς μὴ ἐς βόθρον ἢ τάφρον ἢ χάσμα κατενεχθείη 20
ὁ ἵππος, ὅτε γε δι' ἕλους ἢ πηλοῦ χωροίη;" „ἄλλο δὲ υὐδέν, ὦ Δάμι, ἀπαιτήσομεν" ἔφη „τὸν ἀγαθὸν ἱππέα;" „νὴ Δί'," εἶπε „τό τε ἀναπηδῶντι μὲν τῷ ἵππῳ πρὸς τὸ σιμὸν ἐφεῖναι τὸν χαλινόν, κατὰ πρανοῦς δὲ ἴοντί οἱ μὴ ξυγχωρεῖν, ἀλλ' ἀνθέλκειν, καὶ τὸ καταψῆσαι δὲ τὰ ὦτα ἢ τὴν χαίτην, καὶ μὴ ἀεὶ ἡ μάστιξ σοφοῦ ἔμοιγε δοκεῖ ἱππέως, καὶ ἐπαινοίην ἂν τὸν ὧδε ὀχούμενον." „τῷ δὲ δὴ μαχίμῳ τε καὶ πολεμιστηρίῳ τίνων δεῖ;" „τῶν γε αὐτῶν," ἔφη „ὦ Ἀπολλώνιε, 25
καὶ πρός γε τούτοις τοῦ βάλλειν τε καὶ φυλάττεσθαι, καὶ τὸ ἐπελάσαι δὲ καὶ τὸ ἀπελάσαι καὶ τὸ ἀνειλῆσαι πολεμίους καὶ μὴ ἐᾶν ἐκπλήττεσθαι τὸν ἵππον, ὅτε δουπήσειεν ἀσπὶς ἢ ἀστράψειαν αἱ 60
κόρυθες ἢ παιανιζόντων τε καὶ ἀλαλαζόντων βοὴ γένοιτο, σοφίᾳ, οἶμαι, ἱππικῇ πρόσκειται." „τοῦτον οὖν" ἔφη „τὸν ἐπὶ τοῦ ἐλέφαντος ἱππέα τί φήσεις;" „πολλῷ" ἔφη „θαυμασιώτερον, Ἀπολλώνιε, τὸ γὰρ θηρίῳ τηλικούτῳ ἐπιτετάχθαι τηλικόνδε ὄντα καὶ εὐθύνειν αὐτὸ καλαύροπι, ἣν ὁρᾷς 30
αὐτὸν ἐμβαλόντα τῷ ἐλέφαντι, ὥσπερ ἄγκυραν, καὶ μήτε τὴν ὄψιν τοῦ θηρίου δεδιέναι μήτε τὸ ὕψος μήτε τὴν ῥώμην τοσαύτην οὖσαν, δαιμόνιον ἔμοιγε δοκεῖ, καὶ οὐδ' ἂν ἐπίστευσα, μὰ τὴν Ἀθηνᾶν, εἰ ἑτέρου ἤκουσα." „τί οὖν," ἔφη „εἰ ἀποδόσθαι τις ἡμῖν τὸν παῖδα βούλοιτο, ὠνήσῃ αὐτόν, ὦ Δάμι;" „νὴ Δί'," εἶπε „τῶν γε ἐμαυτοῦ πάντων. τὸ γὰρ ὥσπερ ἀκρόπολιν κατειλη-

1. Νύσσαν. p. ib. ἐς τὸ ὄρος. E. εἰς τὸ ὀ. p, f, s, l. 2. εἰς ἀμπέλους. m, o. 4. εἰθισμένοι τῷ ὑ. p. ib. Νύσσαν. p. ib. εὐξάμενοι π, m. 5. ὑπερορείᾳ. v. ib. γινώσκω. s. 6. ἐμοιγ' οὖν. p, f, s, l. 8. εἰς τὸ ὄρος. p. 9. μὴ δὲ. p, s, l, a. 10. Νύσσης. p. ib. οὗ φασιν. l. 12. ἀνέστηκεν. p. 13. τοῦτο ἱεροὶ. π. 14. ὑπερπετομένους. l, l, o. ὑπιρπετωμένους. v. ὑποπετομένους. f, s, a, m. ib. προδομῳ e corr. f. fuerat προδρόμῳ. 17. ἐνδὸν. a. ib. τρισκαιδεκάτου. π. 18. ἐπεὶ δ'. p. ib. ὁρῶντες. 1. ἰδόντες. 2, E. 19. ἄρχειν δὴ. v. ib. τῶν χαλινῶν. f, l. τὸν χαλινὸν s. (e corr.) a, m. 21. ἀπαιτήσομεν τὸν. p. ἔφη ἀπαιτήσομεν. v. 22. Δία. p. ib. τό γε. s, a, m. ib. τὸν ἵππον e corr. s. fuerat τῷ ἵππῳ. 23. καταπρανοῦς δὲ. f. κατὰ πρανοῦς μὲν. l. ib. ἰόντι μὴ. v. ib. συγχωρεῖν. p, s. ib. δὲ ὦτα. a, m. 24. ἐμοίγε. o. ib. τὸν ὧδε ὀχ. 1. αὐτὸν ὧδε. 2, E. 25. δὴ eras. l. ib. τίνων δεῖ. C. τίνων δή. E. 26. καὶ τὸ ἐπελάσαι δὲ. π, f, l, s, a. καὶ τὸ ἐπελάσαι. p. καὶ τὸ ἐπελάσαι τε. v, o. Desunt haec in m. r et u. dicuntur habere καὶ τὸ μὴ ἐπελάσαι. et u omittere τε. (cf. Ol.) 28. καὶ παιανιζόντων. s, E. 29. πολλῶν. s, a, m. 30. τηλικόνδε. 1, f, l, s. τηλικοῦτον. v. τηλίκον τὲ. a, m. τηλίκον τε. o. ib. εὐθύνει (εὐθύνειν V, E) τὸ θηρίον καλάβροπι, ἣν ὁρᾷς αὐτὸν (ὁρᾷ σαυτὸν B, E) ἐμβάλλοντα τῷ θηρίῳ ὡς ἄγκυραν. Σ. v. καλάβροψ. 32. ἐμοί γε. o, qui idem habet 28, 1. 33. τίς. l, a, m. τὶς. o. 34. Δία. p.

II, 10. 11. p. 59. 60.

φότα δεσπόζειν θηρίου μεγίστου ὧν ἡ γῆ βόσκει, ἐλευθέρας ἔμοιγε δοκεῖ φύσεως καὶ λαμπρᾶς εἶναι." τί οὖν χρήσῃ τῷ παιδί," ἔφη „εἰ μὴ καὶ τὸν ἐλέφαντα ὠνήσῃ;" „τῇ τε οἰκίᾳ" ἔφη „ἐπιστήσω τῇ ἐμαυτοῦ καὶ τοῖς οἰκέταις καὶ πολλῷ βέλτιον τούτων ἢ ἐγὼ ἄρξει." „σὺ δὲ οὐχ ἱκανὸς" ἔφη „τῶν σεαυτοῦ ἄρχειν;" „ὅν γε" εἶπε „καὶ σὺ τρόπον, ὦ Ἀπολλώνιε· καταλιπὼν γὰρ τἀμὰ περίειμι, ὥσπερ σύ, φιλομαθῶν καὶ περιφρονῶν τὰ ἐν τῇ ξένῃ." „εἰ δὲ δὴ πρίαιο τὸν παῖδα, καὶ ἵππῳ σοι γενοίσθην ὁ μὲν ἀμιλλητήριος, ὁ δὲ πολεμικός, ἀναθήσῃ αὐτόν, ὦ Δάμι, ἐπὶ τοὺς ἵππους;" „ἐπὶ μὲν τὸν ἀμιλλητήριον" εἶπεν „ἴσως ἄν, ἐπειδὴ καὶ ἑτέρους ὁρῶ, τὸν δὲ μάχιμόν τε καὶ ὁπλιτεύοντα πῶς ἂν ἀναβαίνοι οὗτος; οὔτε γὰρ ἀσπίδα δύναιτ' ἂν φέρειν, ἧς δεῖ τοῖς ἱππεύουσιν, οὔτ' ἂν θώρακα ἢ κράνος, αἰχμὴν δὲ πῶς οὗτος, ὃς οὐδὲ ἄτρακτον βέλους ἢ τοξεύματος κραδαίνοι ἂν ψελλιζόμενος ὡς τὸ εἰκὸς ἔτι;" „ἕτερον οὖν τι," ἔφη „ὦ Δάμι, ἐστίν, ὃ τὸν ἐλέφαντα τοῦτον ἡνιοχεῖ καὶ πέμπει, καὶ οὐχ ὁ ἡνίοχος οὗτος, ὃν σὺ μονονοὺ προσκυνεῖς ὑπὸ θαύματος." τοῦ δὲ εἰπόντος „τί ἂν εἴη τοῦτο, Ἀπολλώνιε; ὁρῶ γὰρ ἐπὶ τοῦ θηρίου πλὴν τοῦ παιδὸς οὐδὲν ἕτερον." „τὸ θηρίον" ἔφη „τοῦτο εὐπαιδευτόν τε παρὰ πάντα ἐστί, κἀπειδὰν ἅπαξ
61 ἀναγκασθῇ ὑπὸ ἄνθρωπον ζῆν, ἀνέχεται τὰ ἐκ τοῦ ἀνθρώπου πάντα καὶ ὁμοήθειαν ἐπιτηδεύει τὴν πρὸς αὐτόν. χαίρει τε σιτούμενον ἀπὸ τῆς χειρός, ὥσπερ οἱ μικροὶ τῶν κυνῶν, προσιόντα τε τῇ προνομαίᾳ αἰκάλλει καὶ τὴν κεφαλὴν ἐς τὴν φάρυγγα ἐσωθοῦντα ἀνέχεται καὶ κέχηνεν ἐφ' ὅσον τῷ ἀνθρώπῳ δοκεῖ, καθάπερ ἐν τοῖς νομάσιν ἑωρῶμεν. νύκτωρ δὲ λέγεται τὴν δουλείαν ὀλοφύρεσθαι, μὰ Δί', οὐ τετριγός, ὁποῖον εἴωθεν, ἀλλ' οἰκτρόν τε καὶ ἐλεινὸν ἀνακλᾶον, εἰ δὲ ἄνθρωπος ἐπισταίη ὀδυρομένῳ ταῦτα, ἴσχει τὸν θρῆνον ὁ ἐλέφας, ὥσπερ αὐδούμενος. αὐτὸς δὴ ἑαυτοῦ, ὦ Δάμι, ἄρχει καὶ ἡ πειθὼ αὐτὸν ἡ τῆς φύσεως ἄγει μᾶλλον ἢ ὁ ἐπικείμενός τε καὶ ἀπευθύνων."

XII Ἐπὶ δὲ τὸν Ἰνδὸν ἐλθόντες ἀγέλην ἐλεφάντων ἰδεῖν φασι περαιουμένους τὸν ποταμὸν καὶ τάδε ἀκοῦσαι περὶ τοῦ θηρίου· ὡς οἱ μὲν αὐτῶν ἔλειοι, οἱ δ' αὖ ὄρειοι, καὶ τρίτον ἤδη γένος πεδινοί εἰσιν, ἁλίσκονταί τε ἐς τὴν τῶν πολεμικῶν χρείαν. μάχονται γὰρ δὴ ἐπεσκευασμένοι πύργους οἵους κατὰ δέκα καὶ πεντεκαίδεκα ὁμοῦ τῶν Ἰνδῶν δέξασθαι, ἀφ' ὧν τοξεύουσί τε καὶ ἀκοντίζουσιν οἱ Ἰνδοί, καθάπερ ἐκ πυλῶν βάλλοντες. καὶ αὐτὸ δὲ τὸ θηρίον χεῖρα τὴν προνομαίαν ἡγεῖται καὶ χρῆται αὐτῇ ἐς τὸ ἀκοντίζειν. ὅσον δὲ ἵππου Νισαίου μεῖζων ὁ Λιβυκὸς ἐλέφας, τοσοῦτον τῶν
62 ἐκ Λιβύης οἱ Ἰνδοὶ μείζους. περὶ δὲ ἡλικίας τοῦ ζῴου καὶ ὡς μακροβιώτατοι, εἴρηται μὲν καὶ ἑτέροις, ἐντυχεῖν δὲ καὶ οὗτοί φασιν ἐλέφαντι περὶ Τάξιλα μεγίστην τῶν ἐν Ἰνδοῖς πόλιν, ὃν μυρίξειν τε οἱ ἐπιχώριοι καὶ ταινιοῦν· εἶναι γὰρ δὴ τῶν πρὸς Ἀλέξανδρον ὑπὲρ Πώρου μεμαχημένων εἷς οὗτος, ὃν, ἐπειδὴ προθύμως ἐμεμάχητο, ἀνῆκεν ὁ Ἀλέξανδρος τῷ Ἡλίῳ. εἶναι δὲ αὐτῷ καὶ χρυσοῦ ἕλικας περὶ τοῖς εἴτ' ὀδοῦσιν εἴτε κέρασι καὶ γράμματα ἐπ' αὐτῶν Ἑλληνικὰ λέγοντα ΑΛΕΞΑΝΔΡΟΣ Ο ΔΙΟΣ ΤΟΝ ΑΙΑΝΤΑ ΤΩΙ ΗΛΙΩΙ. ὄνομα γὰρ τοῦτο τῷ ἐλέφαντι ἔθετο μεγάλου ἀξιώσας μέγαν. ξυνεβάλοντο δὲ οἱ ἐπιχώριοι πεντήκοντα εἶναι καὶ τριακόσια ἔτη μετὰ τὴν μάχην
XIII οὕπω λέγοντες καὶ ὁπόσα γεγονὼς ἐμάχετο. Ἰόβας δέ, ὃς ἦρξέ ποτε τοῦ Λιβυκοῦ ἔθνους, φησὶ

2. χρήσῃ. C. χρήσει. E. 3. πολλῶν. l. pr. m. 5. περιήμι. π. ib. εἰ δὲ πρίαιο. s, a. 6. ἵππῳ. s. ib. ἀναθήσῃ αὐτόν, ὦ Δάμι. π. ἀναθήσῃ, ὦ Δ. αὐτόν. 2, E. ἀναθήσῃ, ὦ Δάμι. p. 7. ἴσως εἶπεν, ἄν. p. 8. ἀναβαίνοι. 1, f. l, s. ἀναβαίνει (supra posita η) v. ἀναβαίνει. E. 9. καὶ κράνος. v. 10. ἕτερόν τι. v. 11. οὐχ ἡν. v. ib. μονονοὺ. l. μονονουχί. 2, E. 13. εὐπαιδόν τε. s, a. εὐπαίδευτον τε. m. ubi γρ. ἀπαίδευτόν τε. ἀπαίδευτόν τε. l. ib. παρὰ πάντας. 2, a, m. ubi γρ. παρὰ πάντα. 14. ἀνθρώπων. π. ἄνθρωπον. p (ex corr. pro ἀνθρωπου), 2, E. Fo: ἀνθρώπῳ. ib. τῶν ἀνθρώπων. l. (m. γρ.) 15. ὁμοήθειάν τε. p. 18. Δία. p. ib. τετριγὸς. 1, f, l. τετρυγὸς. v. τετρυγὸς. s, E. ib. ἀλλὰ. p. 19. ἀνακλάον. l, a, m. ἀνακλαῖον. Hu. ib. εἰ δὲ ἄνθρωπος. l. εἰ δὲ ὁ ἄνθρωπος. 2, E. 20. αὐτὸς δέ. p. ib. ἑαυτῷ. v. ib. αὐτὸν τῆς. m, o. 22. τῶν ἰνδῶν. π. 23. ἂν. o. 24. ἀπεσκευασμένοι. l. ib. πύργοις. v. 26. βαλόντες. f, s. 27. λυβικὸς. v et l ante corr. 28. μακροβιώτατοι. 2, a. μακροβιώτατον. l. m, o. 29. Τάξιλα. π. Τάξιλαν. p, 2, a. (Μάξιλαν. v.) Τάξιλλαν. m, o. 30. ὑπὸ Πώρου. l, s, a, m. 32. χρυσοῦ ἕλικας. l. χρυσοῦς ἑ. 2, E. ib. κέρασιν. f. ib. αὐτῷ. v. 34. ξυνεβάλλοντο. p. 35. ὡς ἦρξε. s, a, m.

11, 12. 13. p. 61. 62.

μὲν ξυμπεσεῖν ἀλλήλοις ἐπ᾽ ἐλεφάντων πάλαι Λιβυκοὺς ἱππέας — εἶναι δὲ τοῖς μὲν πύργον ἐς τοὺς ὀδόντας κεχαραγμένον, τοῖς δὲ οὐδέν — νυκτὸς δὲ ἐπιλαβούσης τὴν μάχην. ἡττηθῆναι μὲν τοὺς ἐπισήμους φησί, φυγεῖν δὲ ἐς τὸν Ἄτλαντα τὸ ὄρος, αὐτοὺς δὲ ἑλεῖν τετρακοσίων μήκει ἐτῶν ὕστερον τῶν διαφυγόντων ἕνα καὶ τοὐπίσημον εἶναι αὐτῷ κοῖλον καὶ οὔπω περιτετριμμένον ὑπὸ τοῦ χρόνου. οὗτος ὁ Ἰόβας τοὺς ὀδόντας κέρατα ἡγεῖται τῷ φύεσθαι μὲν αὐτοὺς ὥσπερ οἱ κρόταφοι, παραθήγεσθαι δὲ μηδενὶ ἑτέρῳ, μένειν δ᾽ ὡς ἔφυσαν καὶ μή, ὅπερ οἱ ὀδόντες, ἐκπίπτειν 63
εἶτα φύεσθαι· ἐγὼ δ᾽ οὐ προσδέχομαι τὸν λόγον· κέρατά τε γὰρ εἰ μὴ πάντα, τά γε τῶν ἐλάφων ἐκπίπτει καὶ ἀναφύεται, ὀδόντες δὲ οἱ μὲν τῶν ἀνθρώπων ἐκπεσοῦνται καὶ ἀναφύσονται πάντες, ζῴων δ᾽ ἂν οὐδενὶ ἑτέρῳ χαυλιόδους ἢ κυνόδους αὐτομάτως ἐκπέσοι, οὐδ᾽ ἂν ἐπανέλθοι ἐκπεσών, ὄπλου γὰρ ἕνεκα ἡ φύσις ἐμβιβάζει αὐτοὺς ἐς τὰς γένυς. καὶ ἄλλως τὰ κέρατα γραμμὴν ἀποτορνεύει κύκλῳ πρὸς τῇ ῥίζῃ κατ᾽ ἐνιαυτὸν ἕκαστον, ὡς αἰγές τε δηλοῦσι καὶ ποῖμναι καὶ βόες, ὀδοὺς δὲ λεῖος ἐκφύεται καὶ ἢν μὴ πηρώσῃ τι αὐτόν, τοιόσδε ἀεὶ μένει, μετέχει γὰρ τῆς λιθώδους ὕλης τε καὶ οὐσίας. καὶ μὴν καὶ τὸ κερασφορεῖν περὶ τὰ δίχηλα τῶν ζῴων μόνα ἕστηκε, τὸ δὲ ζῷον τοῦτο πεντώνυχον καὶ πολυσχιδὲς τὴν βάσιν, ἢ διὰ τὸ μὴ ἐσφίγχθαι χηλαῖς ὥσπερ ἐν ὑγρῷ ἕστηκε. καὶ τοῖς μὲν κερασφόροις ἅπασιν ὑποβάλλουσα ἡ φύσις ὀστᾶ σηραγγώδη περιφύει τὸ κέρας ἔξωθεν, τὸ δὲ τῶν ἐλεφάντων πλῆρες ἀποφαίνει καὶ ὅμοιον, ἀναπτύξαντι δὲ σύριγξ αὐτὸ λεπτὴ διέρπει μέσον, ὥσπερ τοὺς ὀδόντας. εἰσὶ δὲ οἱ μὲν τῶν ἐλείων ὀδόντες πελιδνοὶ καὶ μανοὶ μεταχειρίσασθαί τε ἄτοποι, πολλαχοῦ γὰρ αὐτῶν ὑποδεδύκασι σήραγγες, πολλαχοῦ δὲ ἀνεστᾶσι χάλαζαι μὴ ξυγχωροῦσαι τῇ τέχνῃ, οἱ δὲ τῶν ὀρείων μείους μὲν ἢ οὗτοι, λευκοὶ δὲ ἱκανῶς καὶ δύσεργον περὶ αὐτοὺς οὐδέν. ἄριστοι δὲ οἱ τῶν πεδινῶν ὀδόντες, μέγιστοί τε γὰρ καὶ λευκότατοι καὶ ἀναπτύξαι ἡδεῖς 64
καὶ γίγνονται πᾶν ὅ τι θέλει ἡ χείρ. εἰ δὲ καὶ ἤθη ἐλεφάντων χρὴ ἀναγράφειν, τοὺς μὲν ἐκ τῶν ἑλῶν ἁλισκομένους ἀνοήτους ἡγοῦνται καὶ κούφους Ἰνδοί, τοὺς δὲ ἐκ τῶν ὀρῶν κακοήθεις τε καὶ ἐπιβουλευτὰς καὶ ἢν μὴ δέωνταί τινος, οὐ βεβαίους τοῖς ἀνθρώποις, οἱ πεδινοὶ δὲ χρηστοί τε εἶναι λέγονται καὶ εὐάγωγοι καὶ μιμήσεως ἐρασταί· γράφουσι γοῦν καὶ ὀρχοῦνται καὶ παρενσαλεύουσι πρὸς αὐλὸν καὶ πηδῶσιν ἀπὸ τῆς γῆς ἐκεῖνοι.

Ἰδὼν δὲ τοὺς ἐλέφαντας ὁ Ἀπολλώνιος τὸν Ἰνδὸν περαιουμένους, ἦσαν δέ, οἶμαι, τριάκοντα, XIV
καὶ χρωμένους ἡγεμόνι τῷ σμικροτάτῳ σφῶν, καὶ τοὺς μείζους αὐτῶν ἀνειληφότας τοὺς αὐτῶν πώλους ἐπὶ τὰς τῶν ὀδόντων προβολὰς τάς τε προνομαίας ἐπεζευχότας δεσμοῦ ἕνεκα „ταῦτα μέν,“ ἔφη „ὦ Δάμι, οὐδὲ ἐπιτάττοντος οὐδενὸς αὐτοῖς, ἀφ᾽ ἑαυτῶν οὗτοι διὰ ξύνεσίν τε καὶ σοφίαν πράττουσι, καὶ ὁρᾷς, ὡς παραπλησίως τοῖς σκευαγωγοῦσιν ἀνειλήφασι τοὺς πώλους καὶ καταδησάμενοι αὐτοὺς ἄγουσιν;“ „ὁρῶ,“ ἔφη „ὦ Ἀπολλώνιε, ὡς σοφῶς τε αὐτὸ καὶ ξυνετῶς πράττουσι. τί οὖν βούλεται τὸ εἴθισθες ἐκεῖνο φρόντισμα τοῖς ἐρεσχελοῦσι φυσικὴν ἢ μὴ τὴν πρὸς τὰ τέκνα εἶναι εὔνοιαν; τουτὶ γὰρ καὶ ἐλέφαντες ἤδη βοῶσιν, ὡς παρὰ τῆς φύσεως αὐτοῖς ἥκει· οὐ γὰρ δὴ παρὰ

1. εἶναι μὲν. l. ib. πύργον. E. 3. αὐτὸς δ᾽ ἑλεῖν. f. αὐτὸς ἑλεῖν. s, a. 4. εἶναι αὐτὸ. l. ib. περιτετριμμένον. π, 2, a, m. τετριμμένον. p. παρατετριμμένον. o. 5. τὸ φύεσθαι. v. 6. παραθίγεσθαι. o. 7. τὸν λόγον τῶν ἐλεφάντων. f, l, v. ib. κέρατα — γε. s. in mg. ib. τῶν ἐλεφάντων. s, a, m. 9. οὐδὲν. v. ib. χαυλιόδους ἢ κ. p. ex corr. χαυλιόδους ἂν ἢ κ. π. f, l, s, E. χαυλιόδους δ᾽ ἂν ἢ κ. v. ib. συνόδους. m. ib. πεσὼν. l. 11. ποιμένες. v. ποίμναι. l. 13. καὶ. (ante τὸ) p. om. a pr. m. ib. διχηλὰ. m, o. ib. τὸ — τοῖς μὲν. π. om. 14. πεντόνυχον. v. ib. διὰ τὸ μὴ ἐ. C., a. διὰ τὸ ἐ. m, o. ib. ἐσφίγχθαι. p, Hu. ἐσφίχθαι. π, 2, E. 15. μὲν. om. l. ib. πᾶσιν. p. ib. συραγγώδη. m. 16. σύριξ. l. 17. μεταχειρίσασθαί τε. 1, o. μεταχειρίσασθαι δὲ. 2, a. μεταχειρίζεσθαι δὲ. m. 18. πολλαχοῦ γὰρ. 1, f, l, v. πολλαχοῦ δὲ γὰρ. s. πολλαχοῦ μὲν γὰρ. E. ib. σύραγγες. π. ib. ξυγχωρουσαι. (sic) s. 21. πᾶν ὅτι θέλει. l. πᾶν ὅτι ἂν θέλῃ. f, l, s. πᾶν ὅτι ἂν θέλοι. v. πᾶν ὅτι ἂν ἐθέλῃ. a. πᾶν ὅτι ἐθέλῃ. m, o. ib. μὲν τῶν. p. 22. τοὺς δ᾽ ἐκ. p. ex corr. 23. τινὸς. (supra posita ε.) π. 25. πρὸς ἀγρὸν. p. 26. οἶμαι λ΄. p. 27. σμικροτάτῳ. π. μικροτάτῳ. p, 2, E. ib. αὐτῶν. E. 28 προσβολὰς. v. ib. προνομένας. π. ib. ἐπεζευκότας. l. ἀπεζευκότας. l 29. ἐφ᾽ αὑτῶν. π, f, l, v, et m. γρ. ἀφ᾽ αὑτῶν. s, E. ib. ἑαυτῶν. p. ib. οὗτοι. om. l. 31. ἔφη Ἀπολλώνιε. v, s, a, m. 32. πρὸς τάκνα. v. πρὸς τέκνα. o. 33. εἶναι εὔνοιαν. l. εὔνοιαν εἶναι. 2, E. ib. περὶ ἀνθρώπων μεμαθήκασιν. s, a, m.

ἀνθρώπων γε μεμαθήκασιν αὐτό, ὥσπερ τὰ ἄλλα, οἵ γε μηδὲ ξυμβεβιώκασί πω ἀνθρώποις, ἀλλὰ φύσει κεκτημένοι τὸ φιλεῖν, ἃ ἔτεκον, προκήδονταί τε αὐτῶν καὶ παιδοτροφοῦσι." „καὶ μὴ τοὺς ἐλέφαντας εἴπῃς, ὦ Λάμι· τοῦτο γὰρ τὸ ζῷον δεύτερον ἀνθρώπου τάττω κατὰ ξύνεσίν τε καὶ βουλάς, ἀλλὰ τάς τε ἄρκτους ἐνθυμοῦμαι μᾶλλον, ὡς ἀγριώταται θηρίων οὖσαι πάνθ' ὑπὲρ τῶν σκύμνων πράττουσι, τοὺς τε λύκους, ὡς ἀεὶ προσκείμενοι τῷ ἁρπάζειν ἡ μὲν θήλεια φυλάττει, ἃ ἔτεκεν, ὁ δὲ ἄρρην ὑπὲρ σωτηρίας τῶν σκυλάκων ἀπάγει αὐτῇ σῖτον, τάς τε παρδάλεις ὡσαύτως, αἳ διὰ θερμότητα χαίρουσι τῷ γίγνεσθαι μητέρες, δεσπόζειν γὰρ δὴ τότε βούλονται τῶν ἀρρένων καὶ τοῦ οἴκου ἄρχειν, οἱ δὲ ἀνέχονται τὸ ἐξ αὐτῶν πᾶν ἡττώμενοι τοῦ τόκου. λέγεται δέ τις καὶ περὶ τῶν λεαινῶν λόγος, ὡς ἐρασταὶ μὲν ποιοῦνται τοὺς παρδάλεις καὶ δέχονται αὐτοὺς ἐπὶ τὰς εὐνὰς τῶν λεόντων ἐς τὰ πεδία, τῆς δὲ γαστρὸς ὥραν ἀγούσης ἀναφεύγουσιν ἐς τὰ ὄρη καὶ τὰ τῶν παρδάλεων ἤθη, στικτὰ γὰρ τίκτουσιν, ὅθεν κρύπτουσιν αὐτὰ καὶ θηλάζουσιν ἐν σκολιαῖς λόχμαις πλασάμεναι ἀφημερεύειν πρὸς θήραν. εἰ γὰρ φωράσειαν τουτὶ οἱ λέοντες, διασπῶνται τοὺς σκύμνους καὶ ξαίνουσι τὴν σπορὰν ὡς νόθον. ἐνέτυχες δήπου καὶ τῶν Ὁμηρείων λεόντων ἑνί, ὡς ὑπὲρ τῶν ἑαυτοῦ σκύμνων δεινὸν βλέπει καὶ ῥώννυσιν ἑαυτὸν μάχης ἅπτεσθαι. καὶ τὴν τίγριν δὲ χαλεπωτάτην οὖσάν φασιν ἐν τῇδε τῇ χώρᾳ καὶ περὶ τὴν θάλατταν τὴν Ἐρυθρὰν ἐπὶ τὰς ναῦς ἴεσθαι, τοὺς σκύμνους ἀπαιτοῦσαν, καὶ ἀπολαβοῦσαν μὲν ἀπιέναι χαίρουσαν, εἰ δὲ ἀποπλεύσαιεν, ὠρύεσθαι αὐτὴν πρὸς τῇ θαλάττῃ καὶ ἀποθνήσκειν ἐνίοτε. τὰ δὲ τῶν ὀρνίθων τίς οὐκ οἶδεν; ὡς ἀετοὶ μὲν καὶ πελαργοὶ καλιὰς οὐκ ἂν πήξαιντο μὴ πρότερον αὐταῖς ἐναρμόσαντες ὁ μὲν τὸν ἀετίτην λίθον, ὁ δὲ τὸν λυχνίτην ὑπὲρ τῆς ᾠογονίας καὶ τοῦ μὴ πελάζειν σφίσι τοὺς ὄφεις. κἂν τὰ ἐν τῇ θαλάττῃ σκοπῶμεν, τοὺς μὲν δελφῖνας οὐκ ἂν θαυμάσαιμεν, εἰ χρηστοὶ ὄντες φιλοτεκνοῦσι, φαλαίνας δὲ καὶ φώκας καὶ τὰ ζωοτόκα ἔθνη πῶς οὐ θαυμασόμεθα, εἰ φώκη μέν, ἣν εἶδον ἐγὼ ἐν Αἰγαῖς καθειργμένην ἐς κυνήγια, οὕτως ἐπένθησεν ἀποθανόντα τὸν σκύμνον, ὃν ἐν τῷ οἰκίσκῳ ἀπεκύησεν, ὡς μὴ προσδέξασθαι τριῶν ἡμερῶν σῖτον, καίτοι βορωτάτη θηρίων οὖσα, φάλαινα δὲ ἐς τοὺς χηραμοὺς τῆς φάρυγγος ἀναλαμβάνει τοὺς σκύμνους, ἐπειδὰν φεύγῃ τι ἑαυτῆς μεῖζον; καὶ ἔχιδνα ὤφθη ποτὲ τοὺς ὄφεις, οὓς ἀπέτεκε, λιχμωμένη καὶ θεραπεύουσα ἐκείνη τῇ γλώττῃ. μὴ γὰρ δεχώμεθα, ὦ Λάμι, τὸν εὐήθη λόγον, ὡς ἀμήτορες οἱ τῶν ἐχιδνῶν τίκτονται, τουτὶ γὰρ οὐδὲ ἡ φύσις ξυγκεχώρηκεν, οὔτε ἡ πεῖρα." ὑπολαβὼν οὖν ὁ Λάμις „ξυγχωρεῖς οὖν" ἔφη „τὸν Εὐριπίδην ἐπαινεῖν ἐπὶ τῷ ἰαμβείῳ τούτῳ, ᾧ πεποίηται αὐτῷ ἡ Ἀνδρομάχη λέγουσα

ἅπασι δ' ἀνθρώποις ἆρ' ἦν
ψυχὴ τέκνα;"

1. καὶ τὰ ἄλλα. v. ib. συμβεβιώκασι. s. 2. κεκτημένοι τε. v. 3. τουτὶ. p. ib. παρ' ἀνθρώπου. u, r teste o. ib. γρ. βουλὴν. m. 4. ἐνθυμοῦσθαι. v. 6. παρδάλεις. 1, s in mg. E. πορδάλεις. f, l, v. 7. γίνεσθαι. f. s. ἀναδέχονται. s, ante correctionem. 9. λεαίνων. E. ib. τὰς παρδάλεις. p. ib. πορδάλεις f, l, s. ib. δέχονταί τε. p. 10. παιδία. s, a, et m (γρ. παιδία). ib. εἰς τὰ ὄρη. p. ib. πορδαλέων. 2, a. 11. στικτὰ τίκτουσιν. o. ib. λοχμαῖς. m, o. 12. εἰ γὰρ φωράσειαν οἱ λέοντες τὰς λεαίνας ἐκ τῶν πορδάλεων τεκεῖν, διασπῶνται — νόθον. Φ. (332, a, 29.) 13. ξένουσι. l, a. ξαίουσι. m. 14. ἑαυτῶν. l. ib. καὶ τίγριν τε. o. 15. περὶ μὲν θάλασσαν. s. 16. ἵεσθαι. l, E. ib. ἀπολαβοῦσα. s. ib. μὴ ἀπιέναι. v. ib. ἀποπλευσειεν. p. 17. τὴν θάλατταν. v. 18. ἀετίτην ὁ δὲ. 2. 19. καὶ μὴ. π. ib. σφίσιν. s. 20. θαλάσσῃ. l, s. ib. τοὺς μὲν δ. f, v, l, B, o. τοὺς δὲ δ. s, a, m. τοὺς δ. 1. ib. οἱ χρηστοί. v. ib. καὶ φιλοτεκνοῦσι. l. 21. φαλαίνας. p. φαλλαίνας. π, 2, E. ib. φῶκας. E. ib. ζωοτόκα. 1, v, l, s, a, m. et Rh.: quae foetus vivos edunt. ζωοκτόνα. f. ζωοκόνα. o. (idem ζωοκτόνα in nota). ib. ἡ φώκη μὲν. p. ib. ἐγὼ εἶδον. 1. εἶδον ἐγὼ. 2, E. 23. μὴ δὲ. v. ib. ὡς μὴ προσδέξασθαι τριῶν ἡμερῶν σῖτον διὰ τὸν θάνατον τοῦ σκύμνου καίτοι βορωτάτη θηρίων οὖσα. Φ. (332, a, 32). ib. φάλλαινα. p, l, E. φάλαινα. v. 24. ἐπειδὴ. o. 25. ἐκείνη. C, a, m. ἐκείνους. o. Fo: ἐκκειμένη. 26. ἀμήτορες. s ex corr.; fuerat ἀπομήτορες. ib. ἐχιχνῶν. l. ib. οὐδὲ. 1. οὔτε. 2, E. 27. πεῖρα. E. ib. ἔφη, οὖν. p. 28. Ἰαμβείῳ. m, o. ib. ὃ. π. (sic). ὃ. p, 2, E. m: γρ. ὃ, ipse recepit ᾧ. ib. πεποίηται ἡ. p. 29. ἅπασιν δ' ἀνθρώποισιν ἆρα ἦν ψυχὴ τέκνα. 1. ἅπασι δ' ἂν ἀνθρώποις ἆρα ἦν ἡ ψυχὴ τέκνα. 2 praeter l. a. ἅπασι δ' ἀνθρώποις ἆρ' ἦν ψυχὴ τέκνα. l, m. πᾶσι δ' ἀνθρώποις ἆρ' ἦν ψυχὴ τέκν'. o.

II, 14. p. 65. 66.

„ξυγχωρῶ, ἔφη „σοφῶς γαρ καὶ δαιμονίως εἴρηται, πολλῷ δ' ἂν σοφώτερον καὶ ἀληθέστερον εἶχεν, εἰ περὶ πάντων ζῴων ὕμνητο." „ἔοικας," ἔφη „Ἀπολλώνιε, μεταγράφειν τὸ ἰαμβεῖον, ἵν' οὕτως ᾄδοιμεν·

ἅπασι δὲ ζῴοις ἄρ' ἦν
ψυχὴ τέκνα.

καὶ ἕπομαί σοι, βέλτιον γάρ. „ἀλλ' ἐκεῖνο μοι εἰπέ· οὐκ ἐν ἀρχῇ τῶν λόγων ἔφαμεν σοφίαν εἶναι 67 XV
περὶ τοὺς ἐλέφαντας καὶ νοῦν περὶ ἃ πράττουσι;" „καὶ εἰκότως," εἶπεν „ὦ Δάμι, ἔφαμεν, εἰ γὰρ μὴ νοῦς ἐκυβέρνα τόδε τὸ θηρίον, οὔτ' ἂν αὐτὸ διεγίγνετο οὔτ' ἂν τὰ ἔθνη, ἐν οἷς γίγνεται." „τί οὖν" ἔφη „οὕτως ἀμαθῶς καὶ οὐ πρὸς τὸ χρήσιμον ἑαυτοῖς τὴν διάβασιν ποιοῦνται; ἡγεῖται μὲν γάρ, ὡς ὁρᾷς, ὁ μικρότατος, ἕπεται δὲ αὐτῷ τις ὀλίγῳ μείζων, εἶτα ὑπὲρ τοῦτον ἕτερος, καὶ οἱ μέγιστοι κατόπιν πάντες. ἔδει δέ που τὸν ἐναντίον τρόπον αὐτοὺς πορεύεσθαι καὶ τοὺς μεγίστους τείχη καὶ προβλήματα ἑαυτῶν ποιεῖσθαι." „ἀλλ', ὦ Δάμι," ἔφη „πρῶτον μὲν ὑποφεύγειν ἐοίκασι δίωξιν ἀνθρώπων, οἷς που καὶ ἐντευξόμεθα ἑπομένοις τῷ ἴχνει, πρὸς δὲ τοὺς ἐπικειμένους ἔδει τὰ κατὰ νώτου πεφράχθαι μᾶλλον, ὥσπερ ἐν τοῖς πολέμοις, καὶ τοῦτο τακτικώτατον ἡγοῦ τῶν θηρίων, ἔπειτα ἡ διάβασις, εἰ μὲν προδιέβαινον οἱ μέγιστοι σφῶν, οὕπω τεκμαίρεσθαι παρεῖχον ἂν τοῦ ὕδατος εἰ διαβήσονται πάντες, τοῖς μὲν γὰρ εὔπορός τε καὶ ῥᾳδία ἡ περαίωσις ὑψηλοτάτοις οὖσι, τοῖς δὲ χαλεπή τε καὶ ἄπορος, μὴ ὑπεραίρουσι τοῦ ῥεύματος, διελθὼν δὲ ὁ σμικρότατος τὸ ἄλυπον ἤδη καὶ τοῖς λοιποῖς ἑρμηνεύει. καὶ ἄλλως οἱ μὲν μείζους προεμβαίνοντες κοιλότερον ἂν τὸν ποταμὸν ἀποφαίνοιεν τοῖς σμικροῖς, ἀνάγκη γὰρ συνιζάνειν τὴν ἰλὺν ἐς βόθρους διά τε βαρύτητα τοῦ θηρίου διά τε παχύτητα τῶν ποδῶν, οἱ δ' ἐλάττους οὐδὲν ἂν βλάπτοιεν τὴν τῶν μειζόνων διαπορείαν ἧττον ἐμβοθρεύοντες." Ἐγὼ δὲ εὗρον ἐν τοῖς Ἰόβα λόγοις, ὡς καὶ ξυλλαμβάνουσιν XVI
ἀλλήλοις ἐν τῇ θήρᾳ καὶ προίστανται τοῦ ἀπειπόντος, κἂν ἐξέλωνται αὐτόν, τὸ δάκρυον τῆς ἀλόης 68
ἐπαλείφουσι τοῖς τραύμασι περιεστῶτες ὥσπερ ἰατροί. πολλὰ τοιαῦτα ἐφιλοσοφεῖτο αὐτοῖς ἀφορμὰς ποιουμένοις τὰ λόγου ἄξια.

Τὰ δὲ Νεάρχῳ τε καὶ Πυθαγόρᾳ περὶ τοῦ Ἀκεσίνου ποταμοῦ εἰρημένα, ὡς ἐσβάλλει μὲν ἐς XVII
τὸν Ἰνδὸν οὗτος, τρέφει δὲ ὄφεις ἑβδομήκοντα πηχῶν μῆκος, τοιαῦτα εἶναί φασιν, ὁποῖα εἴρηται, καὶ ἀνακείσθω μοι ὁ λόγος ἐς τοὺς θράκοντας, ὧν ὁ Δάμις ἀφηγεῖται τὴν θήραν. ἀφικόμενοι δὲ ἐπὶ τὸν Ἰνδὸν καὶ πρὸς διαβάσει τοῦ ποταμοῦ ὄντες ἤροντο τὸν Βαβυλώνιον, εἴ τι τοῦ ποταμοῦ οἶδε, διαβάσεως πέρι ἐρωτῶντες, ὁ δὲ οὔπω ἔφη πεπλευκέναι αὐτόν, οὐδὲ γιγνώσκειν, ὁπόθεν πλεῖται. „τί οὖν" ἔφασαν „οὐκ ἐμισθώσω ἡγεμόνα;" „ὅτι ἔστιν" ἔφη „ὁ ἡγησόμενος" καὶ ἅμα ἐδείκνυ τινὰ ἐπιστολὴν ὡς τοῦτο πράξουσαν, ὅτε δὴ καὶ τὸν Οὐαρδάνην τῆς τε φιλανθρωπίας καὶ τῆς ἐπιμελείας ἀγασθῆναί φασι· πρὸς γὰρ τὸν ἐπὶ τοῦ Ἰνδοῦ σατράπην ἔπεμψε τὴν ἐπιστολὴν ταύτην καίτοι μὴ ὑποκείμενον τῇ ἑαυτοῦ ἀρχῇ, εὐεργεσίας ἀναμιμνήσκων αὐτόν, καὶ χάριν μὲν οὐκ ἂν ἐπ' ἐκείνῃ ἀπαιτῆσαι φάσκων — οὐ γὰρ εἶναι πρὸς τοῦ ἑαυτοῦ τρόπου τὸ ἀνταπαιτεῖν — Ἀπολ-

1. σοφώτερον καὶ ἀ. 1. οσφώτερόν τε καὶ ἀ. 2, E. 2. ὕμνοιτο. m, o. 4. ἅπασι δὲ ζῴοις ἄρα ψυχὴ τέκνα. 1. ἅπασι δὲ ζῴοις ἄρα ἦν ἡ ψυχὴ τέκνα. 2, a. ἅπασι δὲ ζῴοις ἄρ' ἦν ψυχὴ τέκνα. m. πᾶσι δὲ ζῴοις ἄρ' ἦν ψυχὴ τέκν' o. 6. μοι εἰπέ. 1, f, l, v. με εἰπέ. s. μὲν εἰπέ. E. 9. ἡγεῖται γάρ. p. 10. ὁρᾷς μικρότατος. π. ib. αὐτῷ. 1, f, v, l. αὐτῶν. s, E. ib. ὀλίγῳ. 1, f, v, l. ὀλίγον. s, E. ib. εἶθ' ὑ. p. ib. ὑπὲρ τοῦτον. 1, f, l, o. ὑπὸ τοῦτον. s. ὑπὸ τούτων. a, m. 13. ἑπομένους. s, a. 15. παρεῖχεν. o. et m: ἴσ. παρεῖχεν. 16. εὔπορος. l. 18. προεμβαίνοντες. 1. προεκβαίνοντες. 2, a, m. (qui γρ. προεμ.) προουμβαίνοντες. o. 19. ἀποφαίνοι ἐν. (sic). s. ib. μικροῖς. C. σμικροῖς. E. ib. εἰλὺν. a. 20. οἱ δὲ ἐλάττους τῶν ἐλαφάντων προπορευόμενοι οὐδὲν — ἐμβοθρεύοντες. Φ. (332, a, 34.) 21. διατριβὴν. mg. γρ. διαπορείαν. p. διὰ πορείαν. s. 23. ὡς οἱ ἰατροί. v, l. 24. ποιούμενοι. v. 25. Πυθαγόρᾳ. C, a, m. Πύθωνι. o. ib. Ἀρκεσίμου. 1. Ἀρκεσίνου. 2, a, m. Ἀκεσίνου. o. ib. εἰσβάλλει. 1, m, o. ἐκβάλλει. f, v, r, s, a, m. γρ. ἐκβα. 26. ὅτι ὁ Ἰνδὸς τρέφει ὄφεις πηχῶν ἑβδομήκοντα. Φ. (332, b, 2.) 29. οἶδε. 1, f, l, v. εἶδε. s, E. ib. οὔπω ἔφησε. v. ib. γινώσκειν. E. 30. ἡγησάμενος. v. 31. ὅτι δή. v. ib. καὶ Οὐαρδάνην. s, a. 32. ἀγασθῆναι. 1 et l. pr. m: ὑπειραγασθῆναι. 2, E. 33. ὑποκειμένου. s. ib. ἑαυτοῦ. π, 2, a, m. αὐτοῦ. p, o. 34. πρὸς. s. (corr. a. sec. m.)

II, 15. 16. 17. p. 67. 68.

λώνιον δὲ ὑποδεξαμένῳ καὶ πέμψαντι οἳ βούλεται χάριν ἂν γνῶναι. χρυσίον δὲ τῷ ἡγεμόνι ἔδωκεν, ἵν' εἰ δεηθέντα τὸν Ἀπολλώνιον αἴσθοιτο, δοίη τοῦτο καὶ μὴ ἐς ἄλλου χεῖρα βλέψειεν. ἐπεὶ δὲ τὴν ἐπιστολὴν ὁ Ἰνδὸς ἔλαβε, μεγάλων τε ἀξιοῦσθαι ἔφη καὶ φιλοτιμήσεσθαι περὶ τὸν ἄνδρα μεῖον οὐδὲν ἢ εἰ ὁ βασιλεὺς τῶν Ἰνδῶν ὑπὲρ αὐτοῦ ἔγραφε, καὶ τήν τε ναῦν τὴν σατραπίδα ἔδω-
69 κεν αὐτῷ ἐμβῆναι πλοιά τε ἕτερα, ἐφ' ὧν αἱ κάμηλοι ἐκομίζοντο, ἡγεμόνα τε τῆς γῆς πάσης, ἣν ὁ Ὑδραώτης ὁρίζει, πρός τε τὸν βασιλέα τὸν ἑαυτοῦ ἔγραψε μὴ χείρω αὐτὸν Οὐαρδάνου γενέσθαι περὶ ἄνδρα Ἕλληνά τε καὶ θεῖον.

XVIII Τὸν μὲν δὴ Ἰνδὸν ὧδε ἐπεραιώθησαν σταδίους μάλιστα τεσσαράκοντα, τὸ γὰρ πλόιμον αὐτοῦ τοσοῦτον, περὶ δὲ τοῦ ποταμοῦ τούτου τάδε γράφουσι· τὸν Ἰνδὸν ἄρχεσθαι μὲν ἐκ τοῦ Καυκάσου
10 μείζω αὐτόθεν ἢ οἱ κατὰ τὴν Ἀσίαν ποταμοὶ πάντες, προχωρεῖν δὲ πολλοὺς τῶν ναυσιπόρων ἑαυτοῦ ποιούμενον, ἀδελφὰ δὲ τῷ Νείλῳ πράττοντα τῇ τε Ἰνδικῇ ἐπιχεῖσθαι γῆν τε ἐπάγειν τῇ γῇ καὶ παρέχειν Ἰνδοῖς τὸν Αἰγυπτίων τρόπον σπείρειν. χιόσι δ' Αἰθιόπων τε καὶ Καταδούπων ὀρῶν ἀντιλέγειν μὲν οὐκ ἀξιῶ διὰ τοὺς εἰπόντας, οὐ μὴν ξυντίθεμαί γε λογιζόμενος τὸν Ἰνδόν, ὡς ταὐ-
τὸν τῷ Νείλῳ ἐργάζεται μὴ νιφομένης τῆς ὑπὲρ αὐτὸν χώρας, καὶ ἄλλως τὸν θεὸν οἶδα κέρατα
15 τῆς γῆς ξυμπάσης Αἰθίοπάς τε καὶ Ἰνδοὺς ἀποφαίνοντα μελαίνοντά τε τοὺς μὲν ἀρχομένου ἡλίου, τοὺς δὲ λήγοντος, ὃ πῶς ἂν ξυνέβαινε περὶ τοὺς ἀνθρώπους, εἰ μὴ καὶ τὸν χειμῶνα ἐθέροντο; ἢν δὲ ἀνὰ πᾶν ἔτος θάλπει γῆν ἥλιος, πῶς ἄν τις ἡγοῖτο νίφεσθαι, πῶς δ' ἂν τὴν χιόνα χορηγὸν τοῖς ἐκείνῃ ποταμοῖς γίγνεσθαι τοῦ ὑπεραίρειν τὰ σφῶν αὐτῶν μέτρα; εἰ δὲ καὶ φοιτᾶν χιόνα
70 ἐς τὰ οὕτω πρόσειλα, πῶς ἂν αὐτὴν ἐς τοσόνδε ἀναχυθῆναι πέλαγος; πῶς δ' ἂν ἀποχρῆσαι πο-
XIX 20 ταμῷ βυθίζοντι Αἴγυπτον; κομιζόμενοι δὲ διὰ τοῦ Ἰνδοῦ πολλοῖς μὲν ποταμίοις ἵπποις ἐντυχεῖν φασι, πολλοῖς δὲ κροκοδείλοις, ὥσπερ οἱ τὸν Νεῖλον πλέοντες, λέγουσι δὲ καὶ ἄνθη τῷ Ἰνδῷ εἶναι, οἷα τοῦ Νείλου ἀναφύεται, καὶ τὰς ὥρας, αἳ περὶ τὴν Ἰνδικήν εἰσι, χειμῶνος μὲν ἀλεεινὰς εἶναι, θέρους δὲ πνιγηράς. πρὸς δὲ τοῦτο ἄριστα μεμηχανῆσθαι τῷ δαίμονι, τὴν γὰρ χώραν αὐτοῖς θαμὰ ὖεσθαι. φασὶ δὲ καὶ ἀκοῦσαι τῶν Ἰνδῶν, ὡς ἀφικνοῖτο μὲν ὁ βασιλεὺς ἐπὶ τὸν ποταμὸν τοῦτον,
25 ὅτε ἀναβιβάζοιεν αὐτὸν αἱ ὧραι, θύοι δὲ αὐτῷ ταύρους τε καὶ ἵππους μέλανας — τὸ γὰρ λευκὸν ἀτιμότερον Ἰνδοὶ τίθενται τοῦ μέλανος δι', οἶμαι, τὸ ἑαυτῶν χρῶμα — θύσαντα δὲ καταποντοῦν φασι τῷ ποταμῷ χρυσοῦν μέτρον, εἰκασμένον τῷ ἀπομετροῦντι τὸν σῖτον, καὶ ἐφ' ὅτῳ μὲν τοῦτο πράττει ὁ βασιλεύς, οὐ ξυμβάλλεσθαι τοὺς Ἰνδούς, αὐτοὶ δὲ τεκμαίρεσθαι τὸ μέτρον καταποντοῦσθαι τοῦτο ἢ ὑπὲρ ἀφθονίας καρπῶν, οὓς γεωργοὶ ἀπομετροῦσιν, ἢ ὑπὲρ ξυμμετρίας τοῦ ῥεύμα-
30 τος, ὡς μὴ κατακλύσειε τὴν γῆν πολὺς ἀφικόμενος.

XX Πορευθέντας δὲ αὐτοὺς ὑπὲρ τὸν ποταμὸν ἦγεν ὁ παρὰ τοῦ σατράπου ἡγεμὼν εὐθὺ τῶν Ταξίλων, οὗ τὰ βασίλεια ἦν τῷ Ἰνδῷ. στολὴν δὲ εἶναι τοῖς μετὰ τὸν Ἰνδὸν λίνου φασὶν ἐγχωρίου
71 καὶ ὑποδήματα βύβλου καὶ κυνῆν, ὅτε ὗοι, καὶ βύσσῳ δὲ τοὺς φανερωτέρους αὐτῶν φασιν ἐστάλ-

1. πέμψαι τι. v. 2. δοίη τοῦτο. (supra posita ω.) s. (corr. a sec. m.) 3. μεγάλου. v. 4. ἢ εἰ. v. om. cum lac. ib. ἔπραττε. v. (supr. pos. ἔγραφε) 5. ἡγεμόνα τῆς σῆς. v. 6. ὁρίζει. 2, a. ἐρίζει. p. ὁρίζοι. π, m, o. ib. ἔγραψε. 1. ἔγραφε. 2, E. ib. Οὐαρδάνης. l. 8. γὰρ δὴ. v. ib. Ἰηδὸν. o. ib. ὅτι Ἰνδὸν ἐπεραιώθησαν οἱ περὶ Ἀπολλώνιον σταδίους μάλιστα μ'. τὸ γὰρ πλώιμον αὐτοῦ τοσοῦτον· ἄρχεσθαι δὲ αὐτὸν φασιν ἐκ τοῦ Καυκάσου — ἑαυτοῦ ποιούμενον (duo ult. om. A, B.) Φ. (334, b, 28). ib. πλόιμον. π, l, v, a. πλώιμον. p, f, s, m, o, Φ. ib. αὐτὸ. v. 9. τοῦ Ἰνδοῦ ποταμοῦ. p. 10. μείζων. s, a. ib. Ἀσίαν πάντες. p. 11. δὲ πράττοντα. p. ib. πράττοντα τῇ Ἰηδ. f, v, l. πράττοντα τῇ Ἰνδ. et τε mg. s. inde πράττοντά τε τῇ Ἰνδ. a. 12. χίοσι. o. 13. οὐκ ἀπαξιῶ. p. 14. αὐτῶν v, et s ante corr. ib. τέρατα. a. πέρατα. B. 16. λήγοντος. om. l. ib. ὅπως. l, v, a. ib. ἐθείροντο. v. 17. ἢ δὲ. π. ἤνδε. s. ἣν δὲ. p, f, l, v, a. ἦν δὲ. m, o. ib. πῶς ἄν. f. om. δ'. et s ante corr. 18. γίγνεσθαι. p. 19. πρόσηλα. v, m 21. ἄνθει. l. 22. ἃς περὶ τὴν Ἰ. φασὶ. v. 24. ἀφικνεῖται. v. 25. ἀναβιβάζοιεν ὧραι. 2, a. ib. θύει. p, l. ib. τὸν γὰρ. π, λ. 26. ἀτιμώτερον τίθενται τοῦ μέλανος Ἰνδοὶ. v. ib. τιμιότερον δὲ οἶμαι. a. τιμιώτερον δὲ οἶμαι. m. (qui mg. γρ. δι' οἶμαι.) et o. ib. διὰ οἶμαι. p. 27. τοῦ ποταμοῦ. v. 28. τοῦ μέτρου. l. 29. ἢ γὰρ ὑπὲρ. v. 31. ὅτι φησὶ πορευθέντας — ἀρχὴν ἄρχοντος. Φ. (324, b, 33). ib. πορευθέντες. a. ib. τὸν Ἰνδὸν ποταμὸν. Φ. ib. τῶν Ταξίλων. 1, Φ. Ταξίλων. 2, E. 32. τῶν Ἰνδῶν. 2, a et m. γρ. ib. δ' εἶναι. Φ. 33. καὶ κυνῆν ὁπότε ὗοι om. Φ. ib. ὅτε. π. ὁπότε. p, 2, E. ib. ὗει. v. ib. φανερωτέρους. l. ib. αὐτῶν ἐστάλθαι. Φ.

II, 18. 19. 20. p. 69. 70. 71.

θαι, τὴν δὲ βύσσον φύεσθαι δένδρου φασὶν ὁμοίου μὲν τῇ λεύκῃ τὴν βάσιν, παραπλησίου δὲ τῇ ἰτέᾳ τὰ πέταλα. καὶ ἡσθῆναι τῇ βύσσῳ φησὶν ὁ Ἀπολλώνιος, ἐπειδὴ ἔοικε φαιῷ τρίβωνι. καὶ ἐς Αἴγυπτον δὲ ἐξ Ἰνδῶν ἐς πολλὰ τῶν ἱερῶν φοιτᾷ ἡ βύσσος. τὰ δὲ Τάξιλα μέγεθος μὲν εἶναι κατὰ τὴν Νῖνον, τετειχίσθαι δὲ ξυμμέτρως, ὥσπερ αἱ Ἑλλάδες, βασίλεια δὲ εἶναι ἀνδρὸς τὴν Πώρου τότε ἀρχὴν ἄρχοντος, νεὼν δὲ πρὸ τοῦ τείχους ἰδεῖν φασιν οὐ παρὰ πολὺ τῶν ἑκατομπόδων λίθου κογχυλιάτου, καὶ κατεσκευάσθαι τι ἱερὸν ἐν αὐτῷ ἧττον μὲν ἢ κατὰ τὸν νεὼν τοσοῦτόν τε ὄντα καὶ περικίονα, θαυμάσαι δὲ ἄξιον· χαλκοῖ γὰρ πίνακες ἐγκεκρότηνται τοίχῳ ἑκάστῳ, γεγραμμένοι τὰ Πώρου τε καὶ Ἀλεξάνδρου ἔργα· γεγράφαται δὲ ὀρειχάλκῳ καὶ ἀργύρῳ καὶ χρυσῷ καὶ χαλκῷ μέλανι ἐλέφαντες ἵπποι στρατιῶται κράνη ἀσπίδες, λόγχαι δὲ καὶ βέλη καὶ ξίφη σιδήρου πάντα, καὶ ὥσπερ λόγος εὐδοκίμου γραφῆς, οἷον εἰ Ζεύξιδος εἴη τι ἢ Πολυγνώτου τε καὶ Εὐφράνορος, οἳ τὸ εὔσκιον ἠσπάσαντο καὶ τὸ ἔμπνουν καὶ τὸ ἐσέχον τε καὶ ἐξέχον, οὕτως, φασί, κἀκεῖ 72
διαφαίνεται, καὶ ξυντετήκασιν αἱ ὕλαι καθάπερ χρώματα. ἡδὺ δὲ καὶ αὐτὸ τὸ ἦθος τῆς γραφῆς· ἀναθεὶς γὰρ ταῦτα μετὰ τὴν τοῦ Μακεδόνος τελευτὴν ὁ Πῶρος νικᾷ ἐν αὐτοῖς ὁ Μακεδὼν καὶ τὸν Πῶρον ἀνακτᾶται τετρωμένον καὶ δωρεῖται τὴν Ἰνδικὴν ἑαυτοῦ λοιπὸν οὖσαν. λέγεται δὲ καὶ πενθῆσαι τὸν Ἀλέξανδρον ἀποθανόντα ὁ Πῶρος ὁλοφύρασθαί τε ὡς γενναῖον καὶ χρηστὸν βασιλέα, ζῶντός τε Ἀλεξάνδρου μετὰ τὴν ἐκ τῆς Ἰνδικῆς ἀναχώρησιν μήτε εἰπεῖν τι ὡς βασιλεὺς καίτοι ξυγχωροῦντος, μήτε προστάξαι τοῖς Ἰνδοῖς, ἀλλ' ὥσπερ σατράπης σωφροσύνης μεστὸς εἶναι καὶ πράττειν ἐς χάριν τὴν ἐκείνου πάντα. οὐ ξυγχωρεῖ μοι ὁ λόγος παρελθεῖν, ἃ περὶ τοῦ Πώρου τού- XXI
του ἀναγράφουσι· πρὸς διαβάσει γὰρ τοῦ Μακεδόνος ὄντος καὶ ξυμβουλευόντων αὐτῷ ἐνίων τοὺς ὑπὲρ τὸν Ὕφασίν τε καὶ τὸν Γάγγην ποταμὸν ποιεῖσθαι ξυμμάχους, οὐ γὰρ ἂν πρὸς τὴν Ἰνδικὴν πᾶσαν ξυμφρονοῦσαν παρατάξεσθαί ποτε αὐτόν „εἰ τοιοῦτόν ἐστί μοι" ἔφη „τὸ ὑπήκοον, ὡς μὴ σώζεσθαι ἄνευ ξυμμάχων, ἐμοὶ βέλτιον τὸ μὴ ἄρχειν." ἀπαγγείλαντος δὲ αὐτῷ τινος, ὅτι Δαρεῖον ῥηκε „βασιλέα," ἔφη „ἄνδρα δὲ οὔ." τὸν δὲ ἐλέφαντα, ἐφ' οὗ μάχεσθαι ἔμελλε, κοσμήσαντος 73
τοῦ ὀρεωκόμου καὶ εἰπόντος „οὑτός σε, ὦ βασιλεῦ, οἴσει," „ἐγὼ μὲν οὖν„ ἔφη „τοῦτον, ἢν γε ἀνὴρ ἐμαυτῷ ὅμοιος γένωμαι." γνώμην δὲ ποιουμένων θῦσαι αὐτὸν τῷ ποταμῷ, ὡς μὴ δέξαιτο τὰς Μακεδόνων σχεδίας, μηδὲ εὔπορος τῷ Ἀλεξάνδρῳ γένοιτο, „οὐκ ἔστιν" ἔφη „τῶν ὅπλα ἐχόντων τὸ καταρᾶσθαι." μετὰ δὲ τὴν μάχην, ὅτε καὶ τῷ Ἀλεξάνδρῳ θεῖός τε καὶ ὑπὲρ τὴν φύσιν τὴν ἀνθρωπείαν ἔδοξεν, εἰπόντος τῶν ξυγγενῶν τινος „εἰ δὲ προσηκύνησας διαβάντα, ὦ Πῶρε, οὔτ' ἂν ἡττήθης μαχόμενος οὔτ' ἂν τοσοῦτοι Ἰνδῶν ἀπώλοντο, οὔτ' ἂν αὐτὸς ἐτέτρωσο," „ἐγὼ τὸν Ἀλέξανδρον" εἶπε „φιλοτιμότατον ἀκούων ξυνῆκα, ὅτι προσκυνήσαντα μὲν δοῦλόν με ἡγήσεται, πολεμήσαντα δὲ βασιλέα, καὶ θαυμάζεσθαι μᾶλλον ἠξίουν ἢ ἐλεεῖσθαι, καὶ οὐκ ἐψεύσθην· παρασχὼν γὰρ ἐμαυτόν, οἷον Ἀλέξανδρος εἶδε, πάντα ἐν ἡμέρᾳ μιᾷ καὶ ἀπώλεσα καὶ ἐκτησάμην." τοιοῦτον μὲν τὸν Ἰνδὸν τοῦτον ἐξιστοροῦσι, γενέσθαι δέ φασιν αὐτὸν κάλλιστον Ἰνδῶν καὶ μῆκος, ὅσον

1. δένδρον. v. ib. μὲν λεύκῃ. Φ. ib. δὲ ἰτέᾳ. Φ. 2. φησὶ τῇ βύσσῳ. Φ. 3. Αἴγυπτον καὶ ἐξ. π. 4. δὲ. om. l. τότε ib. ἀνδρὸς. C, o. μανδρὸς. a et m ubi γρ. ἀνδρὸς. regia Mandri. Rh. 5. ποτὲ. (sic.) π. ποτέ. p, 2, E. ib. περὶ τοῦτ. v. ib. ἑκατὸν ποδῶν. C, E. Scr. ἑκατομπόδων. 6. κογχυλίτου. l, s, a. ib. κατεσκευάσθαί τι. a. ib. τὸ ἱερὸν. a. ib. κατὰ νεών. 2, a. ib. τοσοῦτόν γε. o. 7. περὶ κίονα. π, l. ib. χαλκοῖ δὲ. a. 8. τὰ Πώρου. 1. τὰ δὲ Πώρου. 2, E. ib. γεγράφαται δὲ. 1. γεγράφαται. 2, E. 9. κράνη καὶ ἀσπίδες. o. 10. λόγου. π. ib. εἴη τί. l, a, m. εἴη τι. o. ib. Πολυγνώτου τε καὶ Εὐφρ. 1, f, v. Πολ. ἢ Εὐφρ. l, s, E. 11. ἔμπνουν. I. ad Im. 514. εὔπνουν. C, E. ib. οὕτως. C. οὕτω. E. 12. Fo: διαφαίνεσθαι. 13. τὴν Μακεδόνος. p. ib. νικᾷ δὲ. o. 15. ὁλοφύρεσθαί τε. l. ib. χρηστὸν καὶ γενναῖον. p. 18. τὴν. om. l. 20. Ὕφασίν γε. f, v, l. ib. καὶ Γάγγην. 2, a. 21. παρατάξεσθαι. 1, m, o. παρατάξασθαι. f, l, s, a. παραδέξασθαι. v. ib. ἔσει μοι. l, a. 22. τινος αὐτῷ. p. 23. εἴρηκε. a, m. (mg. ἴσ. βασιλέα εἰρ.) ib. κοσμήσαντος τοῦ. π. κοσμήσαντός ποτε τοῦ. p, 2, E. 24. μὲν ἔφη. p. 25. γένωμαι. π. γίγνωμαι. p, f, v, m, o. γίνομαι. s. γίνωμαι. l, a. ib. ποιουμένῳ. s, E. ib. δέξοιτο. p. 26. μὴ δὲ. E. 29. ἐγὼ δὲ. p. 30. φιλοτιμώτατον. p. 31. ἠξίουν. π. et m. γρ. ἄξιον. p, 2. E. 32. οἷδε. (supra posita εἰ.) f, sic al. m.

οὔπω τινὰ ἀνθρώπων τῶν μετὰ τοὺς Τρωικοὺς ἄνδρας, εἶναι δὲ κομιδῇ νέον, ὅτε τῷ Ἀλεξάνδρῳ ἐπολέμει.

XXII Ὅν δὲ διέτριβεν ἐν τῷ ἱερῷ χρόνον, πολὺς δὲ οὗτος ἐγένετο, ἔστ' ἂν ἀγγελθῇ τῷ βασιλεῖ ξένους ἥκειν „ὦ Δάμι" ἔφη ὁ Ἀπολλώνιος, „ἔστι τι γραφική;" „εἴ γε" εἶπε „καὶ ἀληθεια." „πράττει δὲ τί ἡ τέχνη αὕτη;" „τὰ χρώματα" ἔφη „ξυγκεράννυσιν, ὁπόσα ἐστί, τὰ κυανᾶ τοῖς 74 βατραχείοις καὶ τὰ λευκὰ τοῖς μέλασι καὶ τὰ πυρσὰ τοῖς ὠχροῖς." „ταυτὶ δὲ" ἦ δ' ὅς „ὑπὲρ τίνος μίγνυσιν; οὐ γὰρ ὑπὲρ μόνου τοῦ ἄνθους, ὥσπερ αἱ κήριναι." „ὑπὲρ μιμήσεως" ἔφη „καὶ τοῦ κύνα τε ἐξεικάσαι καὶ ἵππον καὶ ἄνθρωπον καὶ ναῦν καὶ ὁπόσα ὁρᾷ ὁ ἥλιος, ἤδη δὲ καὶ τὸν ἥλιον αὐτὸν ἐξεικάζει τοτὲ μὲν ἐπὶ τεττάρων ἵππων, οἷος ἐνταῦθα λέγεται φαίνεσθαι, τοτὲ δ' αὖ καὶ διαπυρσεύοντα τοῦ οὐρανοῦ, ἐπειδὰν αἰθέρα ὑπογράφῃ καὶ θεῶν οἶκον." „μίμησις οὖν ἡ γραφική, ὦ Δάμι;" „τί δὲ ἄλλο;" εἶπεν „εἰ γὰρ μὴ τοῦτο πράττοι, γελοία δόξει χρώματα ποιοῦσα εὐήθως." „τὰ δ' ἐν τῷ οὐρανῷ" ἔφη „βλεπόμενα, ἐπειδὰν αἱ νεφέλαι διασπασθῶσιν ἀπ' ἀλλήλων, τοὺς κενταύρους καὶ τραγελάφους καὶ, νὴ Δί', οἱ λύκοι τε καὶ οἱ ἵπποι, τί φήσεις, ἆρ' οὐ μιμητικῆς εἶναι ἔργα;" „ἔοικεν," ἔφη, „ζωγράφος οὖν ὁ θεός, ὦ Δάμι, καὶ καταλιπὼν τὸ πτηνὸν ἅρμα, ἐφ' οὗ πορεύεται διακοσμῶν τὰ θεῖά τε καὶ ἀνθρώπεια, κάθηται τότε ἀθύρων τε καὶ γράφων ταῦτα, ὥσπερ οἱ παῖδες ἐν τῇ ψάμμῳ;" ἠρυθρίασεν ὁ Δάμις ἐς οὕτως ἄτοπον ἐκπεσεῖν δόξαντος τοῦ λόγου. οὐχ ὑπεριδὼν οὖν αὐτὸν ὁ Ἀπολλώνιος, οὐδὲ γὰρ πικρὸς πρὸς τὰς ἐλέγξεις ἦν, „ἀλλὰ μὴ τοῦτο" ἔφη „βούλει λέγειν, ὦ Δάμι, τὸ ταῦτα μὲν ἄσημά τε καὶ ὡς ἔτυχε διὰ τοῦ οὐρανοῦ φέρεσθαι τόγε ἐπὶ τῷ θεῷ, ἡμᾶς δὲ φύσει τὸ μιμητικὸν ἔχοντας ἀναρρυθμίζειν τε αὐτὰ καὶ ποιεῖν;" „μᾶλλον" ἔφη „τοῦτο ἡγώμεθα, ὦ Ἀπολλώνιε, πιθανώτερον γὰρ καὶ πολλῷ βέλτιον." „διττὴ ἄρα ἡ μιμητική, ὦ Δάμι, καὶ τὴν μὲν ἡγώμεθα οἵαν τῇ χειρὶ ἀπομιμεῖσθαι καὶ τῷ νῷ, γραφικὴν δὲ εἶναι ταύτην, τὴν δ' αὖ μόνῳ τῷ νῷ εἰκάζειν." „οὐ διττήν," ἔφη ὁ Δάμις „ἀλλὰ 75 τὴν μὲν τελεωτέραν ἡγεῖσθαι προσήκει γραφικήν γε οὖσαν, ἣ δύναται καὶ τῷ νῷ καὶ τῇ χειρὶ ἐξεικάσαι, τὴν δὲ ἑτέραν ἐκείνης μόριον, ἐπειδὴ ξυνίησι μὲν καὶ μιμεῖται τῷ νῷ καὶ μὴ γραφικός τις ὤν, τῇ χειρὶ δὲ οὐκ ἂν ἐς τὸ γράφειν αὐτὰ χρήσαιτο." „ἆρα," ἔφη „ὦ Δάμι, πεπηρωμένος τὴν χεῖρα ὑπὸ πληγῆς τινος ἢ νόσου;" „μὰ Δί'" εἶπεν „ἀλλ' ὑπὸ τοῦ μήτε γραφίδος τινὸς ἥφθαι, μηδὲ ὀργάνου τινὸς ἢ χρώματος, ἀλλ' ἀμαθῶς ἔχειν τοῦ γράφειν." „οὐκοῦν," ἔφη „ὦ Δάμι, ἅμφω ὁμολογοῦμεν μιμητικὴν μὲν ἐκ φύσεως τοῖς ἀνθρώποις ἥκειν, τὴν γραφικὴν δὲ ἐκ τέχνης. τουτὶ δ' ἂν καὶ περὶ τὴν πλαστικὴν φαίνοιτο. τὴν δὲ δὴ ζωγραφίαν αὐτὴν οὔ μοι δοκεῖς μόνον τὴν διὰ τῶν χρωμάτων ἡγεῖσθαι, καὶ γὰρ ἓν χρῶμα ἐς αὐτὴν ἤρκεσε τοῖς γε ἀρχαιοτέροις τῶν γραφέων καὶ προιοῦσα τεττάρων εἶτα πλειόνων ἥψατο, ἀλλὰ καὶ γραμμὴν καὶ τὸ ἄνευ χρώματος, ὃ δὴ σκιᾶς τε ξύγκειται καὶ φωτός, ζωγραφίαν προσήκει καλεῖν· καὶ γὰρ ἐν αὐτοῖς ὁμοιότης τε ὁρᾶται εἰδός τε καὶ νοῦς καὶ αἰδὼς καὶ θρασύτης, καίτοι χηρεύει χρωμάτων ταῦτα, καὶ οὔτε αἷμα

3. διέτριβεν. 1. διέτριβον. 2, E. ib. ξένος. p. 4. ἔστι γάρ τι. v. ἔστι τί. l, a, m. ἔστι τι. o. 5. δέ τι. s. ib. ὁπόσα εἰσί. l, s, a, m. ib. τοῖς τράχεσι. p. 6. ἦδ' ὅς. E. 7. κήριναι. Toup. ad Suid. II, 226. ed. Lips. κορῖναι. 1, f, v, l, m, o. κορίναι. s, a. 9. τοτὲ μὲν. π, f, v, l, s. ποτὲ μὲν. p, E. ib. τοτὲ δ' αὖ. f, v, l, s. τό δὲ δ' αὖ. π. ποτὲ δ' αὖ. p, E. 10. διαπυρσεύοντα. p. διαπυρσαίνοντα. π, f, v, l, s, ubi mg. διαπυρσεύοντος τοῦ οὐρανοῦ. E. 11. τί δαὶ ἄλλο. f. ib. εἰ μὴ γάρ. v. ib. γελοία. 1, B. γελοῖα. 2, E. 12. ἐπειδὴ. o. ib. διασπασθῶσι. l. 13. Δία. p. ib. οἱ ἵπποι. 1. ἵπποι. 2, E. 14. ἔργα εἶναι. p. ib. ζωγράφους. v. ib. καὶ καταλιπὼν. 1. καταλιπὼν. ὡς 2, E. 15. ἀνθρώπεια. 1, v. καὶ τὰ ἀνθρ. f, l, s, E. ἀνθρώπινα. l. ib. τότε ὁ ἀθ. s. (sic.) τότε ὡς ὁ ἀθ. v, a, m. τότε ὁ ἀθύρων. l. ib. ἀθύρων καὶ. p. 16. ἐρυθρίασεν. l. 17. οὐ γὰρ πικρὸς. v. οὐδὲ. π. a. 18. τὸ ταῦτα. 1, f, v. τοσαῦτα. l, s, E. 19. φαίνεσθαι. p et π. ante corr. ib. τῷ γε. v. ib. τε μιμητικὸν. a. ib. ἀναρυθμίζειν. p. ib. τε καὶ ποιεῖν. π. 20. πιθανώτερα. v. 21. ὦ Δάμι ἡ μιμητικὴ. p. ib. ἡγούμεθα. v. ib. μιμεῖσθαι. p. 23. γραφικήν γε. m, o. γραφικήν τε. C, a. ib. ἢ δύναται. 1, m. (γρ. τε οὖσαν ἢ δύναται) ἢ δύναιτο. 2, E. 24. δὲ ἑτέραν. p, l. 25. ἆρα. p. ib. πεπηρωμένος — Δάμι. om. 2, a, Rh. 26. Δία. p. 28. ἥκειν τοῖς ἀνθρώποις. l. ib. om. τὴν. l. ib. τέχνης. a. 29. δὲ ζωγραφίαν. l, s, a. 32. ὃ δὴ ξύγκειται. p. ib. οὐ γὰρ. p. 33. χηρεύοι. v.

II, 22. p. 71. 76.

ἐνσημαίνει οὔτε κόμης τινὸς ἢ ὑπήνης ἄνθος, ἀλλὰ μονοτρόπως ξυντιθέμενα τῷ τε ξανθῷ ἀνθρώπῳ ἔοικε καὶ τῷ λευκῷ, κἂν τούτων τινὰ τῶν Ἰνδῶν λευκῇ τῇ γραμμῇ γράψωμεν, μέλας δήπου δόξει, 76
τὸ γὰρ ὑπόσιμον τῆς ῥινὸς καὶ οἱ ὀρθοὶ βόστρυχοι καὶ ἡ περιττὴ γένυς καὶ ἡ περὶ τοῖς ὀφθαλμοῖς οἷον ἔκπληξις μελαίνει τὰ ὁρώμενα καὶ Ἰνδὸν ὑπογράφει τοῖς γε μὴ ἀνοήτως ὁρῶσιν. ὅθεν εἴποιμ' ἂν καὶ τοὺς ὁρῶντας τὰ τῆς γραφικῆς ἔργα μιμητικῆς δεῖσθαι· οὐ γὰρ ἂν ἐπαινέσειέ τις τὸν γεγραμμένον ἵππον ἢ ταῦρον μὴ τὸ ζῷον ἐνθυμηθείς, ᾧ εἴκασται, οὐδ' ἂν τὸν Αἴαντά τις τὸν Τιμομάχου ἀγασθείη, ὃς δὴ ἀναγέγραπται αὐτῷ μεμηνώς, εἰ μὴ ἀναλάβοι τι ἐς τὸν νοῦν Αἴαντος εἴδωλον καὶ ὡς εἰκὸς αὐτὸν ἀπεκτονότα τὰ ἐν τῇ Τροίᾳ βουκόλια καθῆσθαι ἀπειρηκότα, βουλὴν ποιούμενον καὶ ἑαυτὸν κτεῖναι. ταυτὶ δέ, ὦ Δάμι, τὰ τοῦ Πώρου δαίδαλα μήτε χαλκευτικῆς μόνον ἀποφαινόμεθα, γεγραμμένοις γὰρ εἴκασται, μήτε γραφικῆς, ἐπειδὴ ἐχαλκεύθη, ἀλλ' ἡγώμεθα σοφίσασθαι αὐτὰ γραφικόν τε καὶ χαλκευτικὸν ἕνα ἄνδρα, οἷον δή τι παρ' Ὁμήρῳ τὸ τοῦ Ἡφαίστου περὶ τὴν τοῦ Ἀχιλλέως ἀσπίδα ἀναφαίνεται. μεστὰ γὰρ καὶ ταῦτα ὀλλύντων τε καὶ ὀλλυμένων, καὶ τὴν γῆν ᾑματῶσθαι φήσεις χαλκῆν οὖσαν."

Τοιαῦτα σπουδάζοντι τῷ ἀνδρὶ ἐφίστανται παρὰ τοῦ βασιλέως ἄγγελοι καὶ ἑρμηνεύς, ὡς ποιοῖτο αὐτὸν ὁ βασιλεὺς ξένον ἐς τρεῖς ἡμέρας, μὴ γὰρ πλειόνων νενομίσθαι τοὺς ξένους ἐνομιλεῖν τῇ πόλει, καὶ ἡγοῦντο αὐτῷ ἐς τὰ βασίλεια. ἡ πόλις δ' ὡς μὲν ἔχει τοῦ τείχους, εἴρηκα, φασὶ δ' ὡς ἀτάκτως τε καὶ Ἀττικῶς τοὺς στενωποὺς τέτμηται κατεσκεύασταί τε οἰκίαις, εἰ μὲν ἔξωθεν 77
ὁρῴη τις αὐτάς, ἕνα ἐχούσαις ὄροφον, εἰ δ' ἔσω παρέλθοι τις, ὑπογείοις ἤδη καὶ παρεχομέναις ἴσα τοῖς ἄνω τὰ ὑπὸ τῇ γῇ. ἱερὸν δὲ ἰδεῖν Ἡλίου φασίν, ᾧ ἀνεῖτο Λῖας ἐλέφας, καὶ ἀγάλματα Ἀλεξάνδρου χρυσᾶ καὶ Πώρου ἕτερα, χαλκοῦ δ' ἦν ταῦτα μέλανος. οἱ δὲ τοῦ ἱεροῦ τοῖχοι, πυρσαῖς λίθοις ὑπαστράπτει χρυσὸς αὐγὴν ἐκδιδοὺς ἐοικυῖαν ἀκτῖνι. τὸ δὲ ἔδος αὐτὸ μαργαρίτιδος ξύγκειται ξυμβολικὸν τρόπον, ᾧ βάρβαροι πάντες ἐς τὰ ἱερὰ χρῶνται.

Περὶ δὲ τὰ βασίλεια οὔτε ὄγκον ἰδεῖν φασιν οἰκοδομημάτων, οὔτε δορυφόρους ἢ φύλακας, ἀλλ' οἷα περὶ τὰς τῶν λαμπρῶν οἰκίας, ὀλίγους οἰκέτας καὶ διαλεχθῆναι τῷ βασιλεῖ δεομένους τρεῖς, οἶμαι, ἢ τέτταρας καὶ τὸν κόσμον τοῦτον ἀγασθῆναι μᾶλλον ἢ τὰ ἐν Βαβυλῶνι φλεγμαίνοντα, καὶ πολλῷ πλέον ἔσω παρελθόντες· καὶ γὰρ τοὺς ἀνδρῶνας καὶ τὰς στοὰς καὶ τὴν αὐλὴν πᾶσαν κεκολάσθαι φασίν. ἔδοξεν οὖν τῷ Ἀπολλωνίῳ φιλοσοφεῖν ὁ Ἰνδὸς καὶ παραστησάμενος τὸν ἑρμηνέα „χαίρω," εἶπεν „ὦ βασιλεῦ, φιλοσοφοῦντά σε ὁρῶν." ἐγὼ δὲ ὑπερχαίρω" ἔφη „ἐπειδὴ οὕτω περὶ ἐμοῦ οἴει." „τουτὶ δὲ νενόμισται παρ' ὑμῖν," εἶπεν „ἢ σὺ πρὸς τὸ ἐπιεικὲς τοῦτο τὴν ἀρχὴν κατεστήσω;" „σωφρόνως" ἔφη „νενομισμένῳ σωφρονέστερον χρῶμαι, καὶ πλεῖστα μὲν ἔχω ἀνθρώπων, δέομαι δὲ ὀλίγων, τὰ γὰρ πολλὰ τῶν φίλων τῶν ἐμαυτοῦ ἡγοῦμαι." „μακάριε τοῦ θησαυροῦ," εἶπεν, „εἰ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύῃ τοὺς φίλους, ἐξ ὧν ἀναφύεταί σοι πολλά τε καὶ ἀγαθά." „καὶ μὴν καὶ τοῖς ἐχθροῖς" ἔφη „κοινωνῶ τοῦ πλούτου. τοὺς γὰρ ἀεί ποτε διαφόρους τῇ χώρᾳ ταύτῃ βαρβάρους προσοικοῦντας, καὶ καταδρομαῖς χρωμένους ἐς τἀμὰ ὅρια ὑποποιοῦμαι τουτοισὶ τοῖς χρήμασι καὶ δορυφορεῖταί μοι ὑπ' αὐτῶν ἡ χώρα, καὶ οὔτε αὐτοὶ ἐπὶ τἀμὰ φοιτῶσι τούς τε ὁμόρους αὐτοῖς βαρβάρους ἀνείργουσι, χαλεποὺς ὄντας." ἐρομένου δὲ αὐτὸν τοῦ

XXIII

XXIV

XXV

XXVI

1. ξυντιθέμεθα. v. 3. ὑπόσημον. p. ib. περὶ τοὺς ὀφθαλμοὺς. p. et s ante corr. l. ex corr. 5. οὐ γὰρ ἂν ἐπ. 1, m, o. οὐ γὰρ ἐπ. 2, a. 7. τιμιμάχου. a. Timmachi. Rh. ib. ἀναλάβοι τί. l. 8. καθεῖσθαι. v. 9. ἀποκτεῖναι. l. 10. ἀποφαινόμεθα. π. ἀποφαινώμεθα. p, 2, E. ib. ἀγώμεθα. a. 11. παρὰ. f, l. παρὰ τοῦ χαλκέως. v. 12. μετὰ. l. ib. γὰρ ταῦτα. π. ib. ὀλύντων. l. 15. ἐνοχλεῖν. v. 16. ἡ πόλεις. l. ib. ἔχει. C. ἔχοι. E. 17. ἀτάκτως. p, f, v. εὐτάκτως. π, l ex corr. s, E, Rh: ordinate. 18. ὑπογείως. a, m. 19. ταῖς ἄνω. v. ib. τὴν γῆν. p. ib. ᾧ ἀνεῖπεν. p. 20. πάρου. π. 21. ἀστράπτει. l, s, a. 23. οὐδὲ ὄγκον. 2, a. 25. καὶ τὸν κόσμον ἀγασθῆναι μᾶλλον ἢ τὰ ἐν Βαβυλῶνι φλεγμαίνοντα. Φ. (332, b, 3.) ib. ἀγασθῆναι ἢ. C, E. ἀγασθῆναι μᾶλλον ἢ. Φ. 28. ἐγὼ δέ γε. f. 29. τουτὶ γὰρ. l. ib. παρ' ἡμῖν. l. 32. χρυσοῦ τε καὶ. 1. χρυσοῦ καὶ. 2, E. ib. ἀντερύῃ. m, o. ἀνταρύῃ. p, (ex. corr.) π, f, s, l. ἀνταρρύῃ. v, a. 33. καὶ μὲν. o. 34. προσηκοῦντας. a. ib. καὶ καταδρομαῖς. 1. καταδρομαῖς. 2, E. ib. ταμὰ. 1, f, v. τὰ ἐμὰ. s, E. ib. ὅρια. s. 35. αὐτὰ. v. ib. ταμὰ. f.

11, 21. 24. 25. 28. p. 76. 77. 78.

Ἀπολλωνίου, εἰ καὶ Πῶρος αὐτοῖς ἐτέλει χρήματα, „Πῶρος“ εἶπε „πολέμου ἦρα, ἐγὼ δὲ εἰρήνης.“ πάνυ τοῖς λόγοις τούτοις ἐχειροῦτο τὸν Ἀπολλώνιον καὶ οὕτως αὐτοῦ ἡττήθη, ὡς Εὐφράτῃ ποτὲ ἐπιπλήττων μὴ φιλοσοφοῦντι „ἡμεῖς δὲ ἀλλὰ τὸν Ἰνδὸν Φραώτην αἰδώμεθα,“ φάναι, ὄνομα γὰρ τῷ Ἰνδῷ τοῦτο ἦν, σατράπου δέ, ἐπειδὴ μεγάλων παρ' αὐτοῦ ἠξιώθη, βουληθέντος αὐτὸν ἀναδῆσαι μίτρᾳ χρυσῇ κεκοσμημένῃ λίθοις ποικίλοις „ἐγώ,“ ἔφη „εἰ καὶ τῶν ζηλούντων τὰ τοιαῦτα ἦν, παρῃτησάμην ἂν αὐτὰ νῦν καὶ ἀπέρριψα τῆς κεφαλῆς Ἀπολλωνίῳ ἐντυχών, οἷς δὲ μήπω πρότερον ἀναδεῖσθαι ἠξίωσα, πῶς ἂν νῦν κοσμοίμην τὸν μὲν ξένον ἀγνοήσας, ἐμαυτοῦ δὲ ἐκλαθόμενος;“ ἤρετο αὐτὸν καὶ περὶ διαίτης ὁ Ἀπολλώνιος. ὁ δὲ „οἴνου μὲν“ ἔφη „πίνω τοσοῦτον, ὅσον τῷ Ἡλίῳ σπένδω, ἃ δ' ἂν ἐν θήρᾳ λάβω, ταῦτα σιτοῦνται ἕτεροι, ἐμοὶ δ' ἀπόχρη τὸ γε-
γυμνάσθαι. τὰ δὲ ἐμὰ σιτία λάχανα καὶ φοινίκων ἐγκέφαλοι καὶ ὁ καρπὸς τῶν φοινίκων καὶ ὁπόσα
79 ὁ ποταμὸς κηπεύει. πολλὰ δέ μοι καὶ ἀπὸ δένδρων φύεται, ὧν γεωργοὶ αἵδε αἱ χεῖρες.“ ταῦτα ἀκούων ὁ Ἀπολλώνιος ὑπερήδετό τε καὶ ἐς τὸν Δάμιν θαμὰ ἐώρα.

XXVII Ἐπεὶ δὲ ἱκανῶς διελέχθησαν περὶ τῆς ὁδοῦ τῆς παρὰ τοὺς Βραχμᾶνας, τὸν μὲν παρὰ τοῦ Βαβυλωνίου ἡγεμόνα ἐκέλευσε ξενίζειν, ὥσπερ εἰώθει τοὺς ἐκ Βαβυλῶνος ἥκοντας, τὸν δὲ παρὰ τοῦ σατράπου ἀπιέναι λαβόντα ἐφόδια, αὐτὸς δὲ λαβόμενος τῆς τοῦ Ἀπολλωνίου χειρός, καὶ κελεύσας ἀπελθεῖν τὸν ἑρμηνέα „ἆρ' ἂν“ ἔφη „ποιήσαιό με συμπότην;“ ἤρετο δ' αὐτὸν φωνῇ Ἑλλάδι. ἐκπλαγέντος δὲ τοῦ Ἀπολλωνίου καὶ „τοῦ χάριν οὐκ ἐξ ἀρχῆς οὕτω διελέγου;“ φήσαντος „ἔδεισα“ ἔφη „θρασὺς δόξαι μὴ γιγνώσκων ἐμαυτόν, μηδ' ὅτι βάρβαρον εἶναί με δοκεῖ τῇ τύχῃ, σοῦ δὲ ἡττηθείς, ἐπειδὴ καὶ σὲ ὁρῶ ἐμοὶ χαίροντα, οὐκ ἠδυνήθην ἐμαυτὸν κρύπτειν, ὡς δὲ μεστός εἰμι τῆς Ἑλλήνων φωνῆς, ἐν πολλοῖς δηλώσω.“ „τί οὖν“ εἶπεν „οὐκ αὐτὸς ἐπήγγειλας ἐμοὶ τὸ συμπόσιον, ἀλλ' ἐμέ σοι κελεύεις ἐπαγγέλλειν;“ „ὅτι σε“ ἔφη „βελτίω ἐμαυτοῦ ἡγοῦμαι, τὸ γὰρ βασιλικώτερον σοφία ἔχει.“ καὶ ἅμα ἦγεν αὐτόν τε καὶ τοὺς ἀμφ' αὐτόν, οὗπερ εἰώθει λοῦσθαι. τὸ δὲ βαλανεῖον παράδεισος ἦν σταδίου μῆκος, ᾧ μέση κολυμβήθρα ἐνωρώρυκτο πηγὰς ἐκδεχομένη ποτίμου τε καὶ ψυχροῦ ὕδατος, τὰ δὲ ἐφ' ἑκάτερα δρόμοι ἦσαν, ἐν οἷς ἀκοντίῳ τε καὶ δίσκῳ τὸν Ἑλληνικὸν τρόπον ἑαυτὸν ἐξήσκει, καὶ γὰρ τὸ σῶμα ἔρρωτο ὑπό τε ἡλικίας — ἑπτὰ γὰρ καὶ εἴκοσιν ἔτη γεγονὼς ἦν — ὑπό τε τοῦ ὧδε γυμνάζεσθαι. ἐπεὶ δὲ ἱκανῶς ἔχοι, ἐπήδα ἐς τὸ ὕδωρ καὶ ἐγύμναζεν ἑαυτὸν τῷ νεῖν. ὡς δὲ ἐλούσαντο, ἐβάδιζον ἐς τὸ συσσίτιον ἐστεφανωμένοι, τοῦτο δὲ νενόμισται Ἰνδοῖς, ἐπειδὰν ἐς τοῦ βασιλέως πίνωσιν.

XXVIII Ἄξιον δὲ μηδὲ τὸ σχῆμα παραλιπεῖν τοῦ πότου σαφῶς γε ἀναγεγραμμένον ὑπὸ τοῦ Δάμιδος· εὐωχεῖται μὲν γὰρ ἐπὶ στιβάδος ὁ βασιλεὺς καὶ τῶν ξυγγενῶν μέχρι πέντε οἱ ἐγγύς, οἱ δὲ λοιποὶ
80 πάντες ἐν θάκοις συσσιτοῦσι. τράπεζα δέ, ὥσπερ βωμὸς ὕψος ἐς γόνυ ἀνδρὸς ἐξῳκοδόμηται μέση, κύκλον ἐπέχουσα χοροῦ ξυμβεβλημένου ἀνδρῶν τριάκοντα, ἐφ' ἧς δάφναι τε διαστρώννυνται καὶ κλῶνες ἕτεροι παραπλήσιοι μὲν τῇ μυρρίνῃ, φέροντες δὲ Ἰνδοῖς μύρον. ἐνταῦθα διάκεινται ἰχθῦς μὲν καὶ ὄρνιθες, διάκεινται δὲ λέοντές τε ὅλοι καὶ δορκάδες καὶ σύες καὶ τίγρεων ὀσφύες, τὰ γὰρ λοιπὰ τοῦ θηρίου παραιτοῦνται ἐσθίειν, ἐπειδὴ τὸ ζῷον τοῦτό φασιν, ὅταν πρῶτον γένη-

2. οὕτως ἡττήθη. m. 4. ἐπειδὴ. 1. ἐπεὶ. 2, E. ib. ἠξιώθη. 1. ἠξίωτο. 2, E. 6. ἂν αὐτὰ. π. ἂν αὐτὸν. p. αὐτὰ. 2, E. 7. ἀναδήσασθαι. p. ib. ἑαυτοῦ. p. 8. τοῦτον ἤρετο περὶ διαίτης – Δᾶμιν θαμὰ ἐώρα. Σ. v. Πῶρος. ib. αὐτὸν περὶ. π. ib. οἴνου μὲν. 1, Σ. οἴνου. 2, E. 9. γεγυμνᾶσθαι. m, o, Σ. 10. τὰ δ' ἐμὰ. l. ib. καὶ καρπὸς. Σ. ib. ὁπόσα ὁ π. 1. ὁπόσα μοι ὁ π. 2, Σ, E. 11. δ' ἐμοὶ p. 12. Δᾶμιν. Σ. 13. διελέχθη. p. διηλέχθησαν. a. ib. περὶ τοὺς. p. 16. ἂν ποιήσαιο. o. ib. ἤρετο δ' αὐτὸν. v. ἤρετο αὐτὸν. C. cett. et E. ib. ἑλλάδι. l. 17. ἐξ ἀρχῆς. f, s. 18. μηδ'. E. ib. τέχνῃ. l. 19. καί σε. o. 21. ἐμοί σε. p. ib. ὅτι σὲ. f, v. ὅτι σε. E. ib. καὶ βελτίω. p. 22. ἔχοι. a. ib. αὐτόν τε καὶ. 1. αὐτὸν καὶ. 2, E. ib. ἀμφ' αὐτόν. l, s. ἀμφ' αὐτὸν. E. 23. ἀνωρώρυκτο. v. 24. ἀκοντίῳ τε καὶ. 1. ἀκοντίῳ καὶ. 2, E. 25. εἴκοσιν ἔτη γεγονὼς ἦν 1. εἴκοσι γεγονὼς ἔτη ἦν. 2, E. 26. ἐπειδὴ. p. ἐδὴ δὲ. π. ib. ἔχει. v. 28. ἐπειδὴ. o. 29. δὲ. om. p. ib. μὴ δὲ. s, a. ib. γε. om. p. 30. συγγενῶν. p. 32. ξυμβεβλημένου τριάκοντα. p. ib. ἐφ' οἷς. l, s, a, m. ib. διαστρώννυνται. C. διαστερωννύεται. E. 33. μύρον. E. 34. τέγρεων. a. 35. ὅτ' ἂν. f.

11, 27. 28. p 79. 80.

ται, τοὺς ἐμπροσθίους τῶν ποδῶν ἀνίσχοντι αἴρειν τῷ Ἡλίῳ. καὶ ἀνιστάμενος ὁ δαιτυμὼν φοιτᾷ πρὸς
τὴν τράπεζαν καὶ τὰ μὲν ἀνελόμενος τούτων, τὰ δὲ ἀποτεμὼν ἀπελθὼν ἐς τὸν ἑαυτοῦ θᾶκον ἐμ-
πίπλαται θαμινὰ ἐπεσθίων τοῦ ἄρτου. ἐπειδὰν δὲ ἱκανῶς ἔχωσιν, ἐσφέρονται κρατῆρες ἀργυροῖ τε
καὶ χρυσοῖ, δέκα συμπόταις ἀποχρῶν εἷς, ἀφ' ὧν πίνουσι, κύψαντες, ὥσπερ ποτιζόμενοι. μεταξὺ
δὲ πίνοντες ἐπεσάγονται ἀγερωχίας ἐπικινδύνους καὶ οὐκ ἔξω τοῦ σπουδάζειν· παῖς γάρ τις, ὥσπερ
ὁ τῶν ὀρχηστρίδων, ἀνερριπτεῖτο κούφως συναφιεμένου αὐτῷ βέλους ἐς τὸ ἄνω, καὶ ἐπειδὴ πολὺ
ἀπὸ τῆς γῆς γένοιτο, ἐκυβίστα ὁ παῖς ὑπεραίρων ἑαυτὸν τοῦ βέλους, καὶ ἁμαρτόντι τοῦ κυβιστᾶν 81
ἕτοιμα ἦν βεβλῆσθαι· ὁ γὰρ τοξότης πρὶν ἀφιέναι περιῆει τοὺς ξυμπότας ἐπιδεικνὺς τὴν ἀκίδα
καὶ διδοὺς ἔλεγχον τοῦ βέλους. καὶ τὸ διὰ σφενδόνης δὲ τοξεῦσαι καὶ τὸ ἐς τρίχα ἱέναι καὶ τὸν
υἱὸν τὸν ἑαυτοῦ σκιαγραφῆσαι βέλεσιν ἀνεστῶτα πρὸς σανίδα σπουδάζουσιν ἐν τοῖς πότοις καὶ
κατορθοῦσιν αὐτὰ μεθύοντες. οἱ μὲν δὴ περὶ τὸν Λάμιν ἐξεπλήττοντο αὐτὰ ὡς εὔσκοπα καὶ XXIX
τὴν ξυμμετρίαν τῆς τοξείας ἐθαύμαζον, ὁ δὲ Ἀπολλώνιος, ξυνεσίτει γὰρ τῷ βασιλεῖ ὁμοδιαίτῳ ὄντι,
τούτοις μὲν ἧττον προσεῖχε, πρὸς δὲ τὸν βασιλέα „εἰπέ μοι, ὦ βασιλεῦ," ἔφη „πόθεν οὕτως ἔχεις
φωνῆς Ἑλλάδος φιλοσοφία τε ἡ περί σε πόθεν ἐνταῦθα; οὐ γὰρ ἐς διδασκάλους γε οἶμαι ἀναφέ-
ρειν, ἐπεὶ μηδὲ εἶναί τινας ἐν Ἰνδοῖς εἰκὸς διδασκάλους τούτου." γελάσας οὖν ὁ βασιλεὺς „οἱ μὲν
παλαιοὶ" ἔφη „τὰς ἐρωτήσεις τῶν καταπλεόντων ἐποιοῦντο, εἰ λῃσταί εἰσιν, οὕτως αὐτὸ καίτοι
χαλεπὸν ὂν κοινὸν ἡγοῦντο, ὑμεῖς δέ μοι δοκεῖτε τοὺς ἐπιφοιτῶντας ὑμῖν ἐρωτᾶν, μὴ φιλόσοφοί
εἰσιν, οὕτως αὐτὸ καίτοι θειότατον τῶν κατ' ἀνθρώπους ὂν καὶ τοῖς ἐπιτυχοῦσιν ὑπάρχειν οἴεσθε.
καὶ ὅτι μὲν παρ' ὑμῖν ταὐτὸν τῷ λῃστεύειν ἐστίν, οἶδα, ὁμοίῳ μὲν γὰρ σοὶ ἀνδρὶ οὔ φασιν εἶναι
ἐντυχεῖν, τοὺς δὲ πολλούς, ὥσπερ σκυλεύσαντας αὐτὸ ἑτέρων περιβεβλῆσθαί τε ἀναρμόστως καὶ
σοβεῖν ἀλλοτρίαν ἐσθῆτα ἐπισύροντας· καὶ νὴ Δί', ὥσπερ οἱ λῃσταὶ τρυφῶσιν εἰδότες ὅτι ὑπὸ τῇ
δίκῃ κεῖνται, οὕτω κἀκείνους φασὶ γαστρί τε διδόναι καὶ ἀφροδισίοις καὶ ἀμπεχόνῃ λεπτῇ. τὸ δὲ
αἴτιον· νόμοι ὑμῖν, οἶμαι, εἰσίν, εἰ μὲν τὸ νόμισμα παραφθείροι τις, ἀποθνήσκειν αὐτόν, καὶ παι- 82
δίον εἴ τις παρεγγράφοιτο, ἢ οὐκ οἶδ' ὅ τι ἐπὶ τούτῳ, τοὺς δὲ τὴν φιλοσοφίαν ὑποβαλλομένους
ἢ παραφθείροντας οὐδείς, οἶμαι, νόμος παρ' ὑμῖν ἴσχει, οὐδὲ ἀρχή τις ἐπ' αὐτοὺς τέτακται. παρ' XXX
ἡμῖν δὲ ὀλίγοι μὲν τοῦ φιλοσοφεῖν ἅπτονται, δοκιμάζονται δὲ ὧδε· χρὴ τὸν νέον, ἐπειδὰν ὀκτω-
καίδεκα ἔτη γεγονὼς τύχῃ, τουτὶ δ', οἶμαι, καὶ παρ' ὑμῖν ἐφήβου μέτρον, ὑπὲρ τὸν Ὕφασιν πο-
ταμὸν ἐλθεῖν παρὰ τοὺς ἄνδρας, οὓς σὺ ὥρμηκας, εἰπόντα δημοσίᾳ πρότερον ὅτι φιλοσοφήσοι, ἵν'
ᾖ τοῖς βουλομένοις ἐξείργειν αὐτόν, εἰ μὴ καθαρὸς φοιτῴη. καθαρὸν δὲ λέγω πρῶτον μὲν τὸ ἐς
πατέρα καὶ μητέρα ἥκον, μὴ περὶ αὐτοὺς ὄνειδός τι ἀναφαίνοιτο, εἶθ' οἱ τούτων γονεῖς καὶ τρίτον
γένος ἐς ἄνω, μὴ ὑβριστής τις ἢ ἀκρατὴς ἢ χρηματιστὴς ἄδικος. ὅταν δὲ μηδεμία οὐλὴ περὶ τού-
τους ἀναφαίνηται, μηδὲ στίγμα ὅλως μηδέν, αὐτὸν ἤδη διορᾷν τὸν νέον καὶ βασανίζειν, πρῶτον
μέν, εἰ μνημονικός, εἶτα, εἰ κατὰ φύσιν αἰδήμων, ἀλλὰ μὴ πλαττόμενος τοῦτο μὴ μεθυστικὸς μὴ

1. πρὸς τὴν τράπεζαν φοιτᾷ. v. 2. τὰ μὲν τούτων. p. ib. Θάκον. E. 3. ἐσθιών. p. ib. ἐπειδή. o. ib. δὴ ἱκανῶς. f. 4. ἀποχρῶν εἷς. f. ἀποχρῶντες, εἷς. m. 5. πῶς γάρ τις. a. ib. ὥσπερ ὁ τῶν. f, l, s, a. ὥσπερ τῶν. l, v, m, o. 6. ἀνερριπτεῖτο. π. ib. συναφιεμένου αὐτῷ β. 1. (u). συναφιεμένου β. 2, E. ib. ἐς τὰ ἄνω. p, v. 7. αὐτὸν. p. ib. m: γρ. ὑπαίρων. 9. τὸ σφενδόνης. m, o. ib. ἱέναι. a. ib. καὶ τὸν υἱὸν τὸν. om. v. cum lacuna. 10. σὺν βέλεσιν. v. 11. οἱ μὲν δὴ. C. οἱ μὲν. E. 12. συνεσίτει. p, l. 13. εἰπέ μοι, ἔφη ὁ Ἀπολλώνιος, ὦ βασιλεῦ – διδασκάλους τούτου. E. (442.) ib. φωνῆς ἔχεις. l. 14. ἐνταῦθεν. v. ib. οἶμαί γε. E. sed A: γε οἶμαι. ib. ἀναφέρειν. E. 15. ἐπειδή. p. ib. μὴ δὲ. π, a. μὴ. E. sed A: μηδὲ. ib. ἐν Ἰνδοῖς διδ. E. 17. ἡμῖν. v. ἡμῖν. l. corr. sec. m. 18. κατ' ἐνίους. v. 19. γὰρ σοὶ. v, l. γάρ σοι. E. ib. εἶναι ἐντυχεῖν. 1. ἐντυχεῖν. 2, E. 20. ὧν τὸ ἐ. o. ib. τε ἀναρμόστως. π. τε αὐτὸ ἀναρμ. p, 2, E. 21. ἀλλοτρίους ἐσθῆτας. v. ib. Δία. p. 22 γραστρὶ. a. ib. ἐμπεχόνῃ. v. 24. παρεγγράφοιτο. 1 et m. γρ. o. παραγράψαιτο. 2, a, m. Scr. παρεγγράφοιτο. 26. ἡμῖν μὲν. v. 27. τύχοι. v. ib. παρ' ὑμῶν. s, a. 28. οὓς. π. inde m: οἷς. (mg. γρ. οὕς.) ib. περὶ τοὺς. p. ib. φιλοσοφήσει. m. (mg. γρ. φιλοσοφήσοι.) o. 30. ὄνειδός τις. l, s, a, m. 31. ἀκροατὴς. v. ib. μὴ δὲ μία. l. 32. ἀναφαίνεται. v.

λίχνος μὴ ἀλαζὼν μὴ φιλόγελως μὴ θρασὺς μὴ φιλολοίδορος, εἰ πατρὸς ὑπήκοος εἰ μητρὸς εἰ δι-
83 δασκάλων εἰ παιδαγωγῶν, ἐπὶ πᾶσιν, εἰ μὴ κακὸς περὶ τὴν ἑαυτοῦ ὥραν. τὰ μὲν δὴ τῶν γειναμέ-
νων αὐτὸν καὶ οἷ ἐκείνους ἐγείναντο, ἐκ μαρτύρων ἀναλέγονται καὶ γραμμάτων, ἃ δημοσίᾳ κεῖται.
ἐπειδὰν γὰρ τελευτήσῃ ὁ Ἰνδός, φοιτᾷ ἐπὶ θύρας αὐτοῦ μία ἀρχὴ τεταγμένη ὑπὸ τῶν νόμων ἀνα-
γράφειν αὐτόν, ὡς ἐβίω, καὶ ψευσαμένῳ ἢ ψευσθέντι τῷ ἄρχοντι ἐπιτιμῶσιν οἱ νόμοι μὴ ἄρξαι
αὐτὸν ἔτι ἀρχὴν μηδεμίαν, ὡς παραποιήσαντα βίον ἀνθρώπου, τὰ δὲ τῶν ἐφήβων ἐς αὐτοὺς ὁρῶν-
τες ἀναμανθάνουσι· πολλὰ μὲν γὰρ ὀφθαλμοὶ τῶν ἀνθρωπείων ἠθῶν ἑρμηνεύουσι, πολλὰ δ' ἐν
ὀφρύσι καὶ παρειαῖς κεῖται γνωματεύειν τε καὶ θεωρεῖν, ἀφ' ὧν σοφοί τε καὶ φυσικοὶ ἄνδρες, ὥσπερ
ἐν κατόπτρῳ εἴδωλα, τοὺς νοῦς τῶν ἀνθρώπων διαθεῶνται. μεγάλων γὰρ δὴ ἀξιουμένης φιλοσο-
φίας ἐνταῦθα καὶ τιμὴν τούτου παρ' Ἰνδοῖς ἔχοντος ἀνάγκη πᾶσα ἐκβασανίζεσθαί τε τοὺς ἐπ' αὐ-
τὴν ἰόντας ἐλέγχοις τε ὑποβεβλῆσθαι μυρίοις. ὡς μὲν δὴ ἐπὶ διδασκάλοις αὐτὸ ποιούμεθα καὶ ἐς
XXXI δοκιμασίαν ἡμῖν τὸ φιλοσοφεῖν ἥκει, σαφῶς εἴρηκα, τοὐμὸν δὲ ὧδε ἔχει· ἐγὼ μὲν πάππου βασι-
λέως ἐγενόμην, ὃς ἦν μοι ὁμώνυμος, πατρὸς δὲ ἰδιώτου· καταλειφθεὶς γὰρ κομιδῇ νέος ἐπίτροποι
μὲν αὐτῷ ἐγένοντο δύο τῶν ξυγγενῶν κατὰ τοὺς τῶν Ἰνδῶν νόμους, ἔπραττον δὲ ὑπὲρ αὐτοῦ τὰ
βασιλικὰ οὐ χρηστῶς, μὰ τὸν Ἥλιον, οὐδὲ ξυμμέτρως, ὅθεν βαρεῖς τοῖς ὑπηκόοις ἐφαίνοντο καὶ ἡ
ἀρχὴ κακῶς ἤκουε. ξυστάντες οὖν ἐπ' αὐτοὺς τῶν δυνατῶν τινες ἐπιτίθενται σφισιν ἐν ἑορτῇ καὶ
κτείνουσι τῷ Ἰνδῷ θύοντας, αὐτοί τε ἐπεσπηδήσαντες τῷ ἄρχειν ξυνέσχον τὰ κοινά. δείσαντες οὖν
οἱ ξυγγενεῖς περὶ τῷ πατρὶ μήπω ἐκκαίδεκα ἔτη γεγονότι πέμπουσιν αὐτὸν ὑπὲρ τὸν Ὕφασιν παρὰ
τὸν ἐκεῖ βασιλέα. πλειόνων δὲ ἢ ἐγὼ ἄρχει καὶ εὐδαίμων ἡ χώρα παρὰ πολὺ τῆς ἐνταῦθα. βου-
λομένου δ' αὐτὸν τοῦ βασιλέως παῖδα ποιεῖσθαι, τουτὶ μὲν παρῃτήσατο φήσας μὴ φιλονεικεῖν τῇ
84 τύχῃ ἀφῃρημένῃ αὐτὸν τὸ ἄρχειν, ἐδεήθη δ' αὐτοῦ ξυγχωρῆσαι οἱ φιλοσοφῆσαι βαδίσαντι παρὰ
τοὺς σοφούς, καὶ γὰρ ἂν καὶ ῥᾷον καρτερῆσαι τὰ οἴκοι κακά. βουλομένου δὲ τοῦ βασιλέως καὶ
κατάγειν αὐτὸν ἐπὶ τὴν πατρῴαν ἀρχήν „εἰ γνησίως" ἔφη „φιλοσοφοῦντα αἴσθοιο, κάταγε. εἰ δὲ
μή, ἔα με οὕτως ἔχειν." αὐτὸς οὖν ὁ βασιλεὺς ἥκων παρὰ τοὺς σοφοὺς μεγάλων ἂν ἔφη παρ' αὐ-
τῶν τυχεῖν, εἰ τοῦ παιδὸς ἐπιμεληθεῖεν γενναίου τὴν φύσιν ἤδη ὄντος, οἱ δὲ κατιδόντες τι ἐν
αὐτῷ πλέον ἠσπάσαντο προσδοῦναί οἱ τῆς αὑτῶν σοφίας καὶ προθύμως ἐπαίδευον προσκείμενον
πάνυ τῷ μανθάνειν. ἑβδόμῳ δὲ ἔτει νοσῶν ὁ βασιλεύς, ὅτε δὴ καὶ ἐτελεύτα, μεταπέμπεται αὐτὸν
καὶ κοινωνὸν τῆς ἀρχῆς ἀποφαίνει τῷ υἱῷ τήν τε θυγατέρα ὁμολογεῖ πρὸς ὥραν οὖσαν, ὁ δέ,
ἐπειδὴ τὸν τοῦ βασιλέως υἱὸν εἶδε κολάκων καὶ οἴνου καὶ τῶν τοιούτων κακῶν ἥττω μεστόν τε
ὑποψιῶν πρὸς αὐτόν, „σὺ μὲν" ἔφη „ταῦτ' ἔχε καὶ τῆς ἀρχῆς ἁπάσης ἐμφοροῦ, καὶ γὰρ εὖ ἥκεις
μηδὲ τὴν προσήκουσαν ἑαυτῷ βασιλείαν κτήσασθαι δυνηθέντα θρασέως δοκεῖν ἐπὶ τὴν μὴ προσή-
κουσαν ἥκειν, ἐμοὶ δὲ τὴν ἀδελφὴν δίδου, τουτὶ γὰρ μόνον ἀπόχρη μοι τῶν σῶν." καὶ λαβὼν τὸν
γάμον ἔζη πλησίον τῶν σοφῶν ἐν κώμαις ἑπτὰ εὐδαίμοσιν, ἃς ἐπέδωκε τῇ ἀδελφῇ ὁ βασιλεὺς ἐς
ζώνην. γίγνομαι τοίνυν ἐγὼ τοῦ γάμου τούτου καί με ὁ πατὴρ τὰ Ἑλλήνων παιδεύσας ἄγει παρὰ
τοὺς σοφοὺς πρὸ ἡλικίας ἴσως, δώδεκα γάρ μοι τότε ἦν ἔτη, οἱ δὲ ἔτρεφον ἴσα καὶ ἑαυτῶν παῖδα,

1. ἢ μητρὸς ἢ δ. m, o. 2. παιδευτῶν. v. 3. γείναντο. m, o. ib. κεῖνται. l, s, a, m. 4. ἐπειδὴ. o. ib. ἐπὶ θύρας. 2, a. ἐπὶ θύραις. 1, m, o. 5. ψευσαμένῳ ἢ. π. ψευσαμένῳ τι ἢ. p, 2, E. 7. ἀνθρωπείων. 1. ἀνθρωπίνων. 2, E. ib. πολλὰ δὲ. p. 10. τούτου παρ' Ἰνδοῖς ἔχοντος. π. παρ' Ἰνδοῖς τούτου ἔχοντος. 2, E. παρ' Ἰνδοῖς ἐχούσης. p. 12. τοὐμὸν — ἔχει. om. l, s, a. habet Rh. 13. καταληφθεὶς. v, a. 18. περὶ τῷ πατρὶ. f, l, s, E. ἐπὶ τῷ πατρὶ. 1. παρὰ τῷ πατρὶ. v. ib. τὸ. v. τῶν. l. 20. αὐτὸν βασιλέως. v. ib. δὲ μὴ. p. 21. ἀφιγμένῃ. v. ib. ἐδεήθη αὐτοῦ. p. 22. βουλευομένου. f, v et l ante corr. 24. παρὰ τοὺς σοφοὺς ἥκων. π, 2, a, m. ἥκων. om. cett. p. ἥκων παρὰ τοὺς σοφούς. o. (β α) 25. τυχεῖν παρ' αὐτῶν. l. sic restituto ordine. ib. κατιδόντες τί. l, s, E. 26. προσδοῦναι. l. ib. αὐτῶν. E. αὑτῶν. s. 27. δ' ἔτει. p. ib. ὅτε δὲ. v, l. 28. τήν τε θ. 1. τὴν δὲ θ. 2, E. 29. υἱὸν τοῦ βασιλέως. p. ib. οἷδε. v. ib. οἶνων. v. 31. μὴ δὲ. s, a, m. 32. μοι. om. v. 33. ἔπλει. l, s, a, m. ἐτέλει. B. ἔξη. u, r. 34. γείνομαι. f, l, s, a. ib. καί γε. v. 35. πρὸς ἡλικίας. l, a.

II, 31. p. 83. 84.

οὓς γὰρ ἂν ὑποδέξωνται τὴν Ἑλλήνων φωνὴν εἰδότας, ἀγαπῶσι μᾶλλον, ὡς ἐς τὸ ὁμόηθες αὐτοῖς ἤδη προσήκοντας. ἀποθανόντων δέ μοι καὶ τῶν γονέων οὐ μεταπολὺ ἀλλήλων αὐτοί με βαδίσαντα xxxii
ἐπὶ τὰς κώμας ἐκέλευσαν ἐπιμεληθῆναι τῶν ἐμαυτοῦ γεγονότα ἐννεακαίδεκα ἔτη. τὰς μὲν οὖν κώμας ἀφῃρητό με ἤδη ὁ χρηστὸς θεῖος καὶ οὐδὲ τὰ γήδιά μοι ὑπελίπετο τὰ κεκτημένα τῷ πατρί, πάντα γὰρ τῇ ἑαυτοῦ ἀρχῇ προσήκειν αὐτά, ἐμὲ δ' ἂν μεγάλων παρ' αὐτοῦ τυχεῖν, εἴ με ἐφῇ ζῆν. 5
ἔρανον οὖν ξυλλεξάμενος παρὰ τῶν τῆς μητρὸς ἀπελευθέρων ἀκολούθους εἶχον τέτταρας. καί μοι 85
ἀναγιγνώσκοντι τοὺς Ἡρακλείδας τὸ δρᾶμα ἐπέστη τις ἐντεῦθεν ἐπιστολὴν φέρων παρὰ ἀνδρὸς ἐπιτηδείου τῷ πατρί, ὃς με ἐκέλευσε διαβάντα τὸν Ὑδραώτην ποταμὸν ξυγγίγνεσθαί οἱ περὶ τῆς ἀρχῆς τῆς ἐνταῦθα, πολλὰς γὰρ ἐλπίδας εἶναί μοι ἀνακτήσασθαι αὐτὴν μὴ ἐλινύοντι. τὸ μὲν δὴ δρᾶμα θεῶν τις οἶμαι ἐπὶ νοῦν ἤγαγε καὶ εἰπόμην τῇ φήμῃ, διαβὰς δὲ τὸν ποταμὸν τὸν μὲν ἕτε- 10
ρον τῶν βεβιασμένων ἐς τὴν ἀρχὴν τεθνάναι ἤκουσα, τὸν δὲ ἕτερον ἐν τοῖς βασιλείοις πολιορκεῖσθαι τούτοις. ἐχώρουν δὴ ξυντείνων καὶ βοῶν πρὸς τοὺς ἐν ταῖς κώμαις, δι' ὧν ἔστειχον, ὡς ὁ τοῦ δεῖνος εἴην υἱὸς καὶ ἐπὶ τὴν ἀρχὴν τὴν ἐμαυτοῦ ἴοιμι, οἱ δὲ χαίροντές τε καὶ ἀσπαζόμενοί με προὔπεμπον παραπλήσιον ἡγούμενοι τῷ πάππῳ, ἐγχειρίδιά τε ἦν αὐτοῖς καὶ τόξα καὶ πλείους ἀεὶ ἐγιγνόμεθα, καὶ προσελθόντα ταῖς πύλαις οὕτω τι ἄσμενοι ἐδέξαντο οἱ ἐνταῦθα, ὡς ἀπὸ τοῦ βω- 15
μοῦ τοῦ Ἡλίου δᾷδας ἀψάμενοι πρὸ πυλῶν τε ἧκειν καὶ ἡγεῖσθαι δεῦρο ἐφυμνοῦντες πολλὰ τῷ πατρὶ καὶ τῷ πάππῳ, τὸν δὲ ἔσω κηφῆνα περὶ τὸ τεῖχος εἶρξαν καίτοι ἐμοῦ παραιτουμένου μὴ τοιῷδε τρόπῳ ἀποθανεῖν αὐτόν." Ὑπολαβὼν οὖν ὁ Ἀπολλώνιος „Ἡρακλειδῶν" ἔφη „κάθοδον xxxiii
ἀτεχνῶς διελήλυθας, καὶ ἐπαινετέοι οἱ θεοὶ τῆς διανοίας. ὅτι γενναίῳ ἀνδρὶ ἐπὶ τὰ ἑαυτοῦ στείχοντι ξυνήραντο τῆς καθόδου. ἀλλ' ἐκεῖνό μοι περὶ τῶν σοφῶν εἰπέ· οὐ καὶ ὑπὸ Ἀλεξάνδρῳ ποτὲ 20
ἐγένοντο οὗτοι καὶ ἀναχθέντες αὐτῷ περὶ τοῦ οὐρανοῦ ἐφιλοσόφησαν;" „Ὀξυδράκαι" ἔφη „ἐκεῖ- 86
νοι ἦσαν, τὸ δὲ ἔθνος τοῦτο ἐλευθεριάζει τε ἀεὶ καὶ πολεμικῶς ἐξήρτυται, σοφίαν τε μεταχειρίζεσθαί φασιν οὐδὲν χρηστὸν εἰδότες· οἱ δὲ ἀτεχνῶς σοφοὶ κεῖνται μέντοι τοῦ Ὑφάσιδος καὶ τοῦ Γάγγου μέσοι, τὴν δὲ χώραν ταύτην οὐδὲ ἐπῆλθεν ὁ Ἀλέξανδρος, οὔτι που τὰ ἐν αὐτῇ δείσας, ἀλλ', οἶμαι, τὰ ἱερὰ ἀπεσήμηνεν αὐτῷ. εἰ δὲ καὶ διέβη τὸν Ὕφασιν καὶ τὴν περὶ αὐτοὺς γῆν ἠδυνήθη 25
ἑλεῖν, ἀλλὰ τήν γε τύρσιν, ἣν ἐκεῖνοι κατοικοῦσιν, οὐδ' ἂν μυρίους μὲν Ἀχιλλέας, τρισμυρίους δὲ Αἴαντας ἄγων ποτὲ ἐχειρώσατο· οὐ γὰρ μάχονται τοῖς προσελθοῦσιν, ἀλλὰ διοσημίαις τε καὶ σκηπτοῖς βάλλοντες ἀποκρούονται σφᾶς ἱεροὶ καὶ θεοφιλεῖς ὄντες· τὸν γοῦν Ἡρακλέα τὸν Αἰγύπτιον καὶ τὸν Διόνυσον ξὺν ὅπλοις διαδραμόντας τὸ Ἰνδῶν ἔθνος φασὶ μέν ποτε ἐλάσαι ἐπ' αὐτοὺς ἅμα μηχανάς τε παλαμήσασθαι καὶ τοῦ χωρίου ἀποπειρᾶσθαι, οἱ δὲ ἀντιπράττειν οὐδέν, ἀλλ' ἀτρε- 30
μεῖν, ὡς ἐκείνοις ἐφαίνοντο, ἐπεὶ δ' αὐτοὶ προσῆσαν, πρηστῆρες αὐτοὺς ἀπεώσαντο καὶ βρονταὶ κάτω στρεφόμεναι καὶ ἐμπίπτουσαι τοῖς ὅπλοις, τήν τε ἀσπίδα χρυσῆν οὖσαν ἀποβαλεῖν ἐκεῖ λέγεται ὁ Ἡρακλῆς, καὶ πεποίηνται αὐτὴν ἀνάθημα οἱ σοφοὶ διά τε τὴν τοῦ Ἡρακλέους δόξαν, διά τε τὸ ἐκτύπωμα τῆς ἀσπίδος· αὐτὸς γὰρ πεποίηται ὁ Ἡρακλῆς ὁρίζων τὰ Γάδειρα καὶ τὰ ὄρη στή- 35
λας ποιούμενος τόν τε Ὠκεανὸν ἐς τὰ ἔσω ἐπισπώμενος, ὅθεν δηλοῦται μὴ τὸν Θηβαῖον Ἡρακλέα,

ἦν
1. τῶν. π. 2. καὶ τῶν γ. 1. τῶν γ. 2, E. ib. βαδίσαντα. p. ex corr. I. βαδίσαντες. π, 2, E. 3. τῶν ἑαυτοῦ. l. 4. ὑπελείπετο. v. ib. ἐκτημένα. 2, a. 5. γὰρ τῇ. l, a. γὰρ δὴ τῇ. m, o. ib. ἑαυτῇ. l. 6. συλλεξάμενος. p, l. ib. εἶχον. p, u, o. ἔχων. π, 2, a, m. 7. ἀναγιγνώσκοντι Ἡρακλ. 2, a. ib. ἐνταῦθα. p. 8. ξυγγίγνεσθαί οἱ. π. ξυγγενέσθαι οἱ. p, 2, E. 12. ξυντείνας. (supra posita ων) π. ξυντείνας. p, 2, E. 13. ἴεμαι. p. ex corr. 15. οὕτω τοι. p. οὕτω τί. l, a. ib. προσεδέξαντο. v. 17. πέρι. o. Fo: περὶ δὲ τὸν ἔσω κηφῆνα τὸ τεῖχος. ib. εἶρξαν. p. ex corr. fuerat ἤρξαν. 20. συνήραντο. p, s, l. ib. εἰ καὶ. v. 21. περὶ οὐρανοῦ. p. περί τε οὐρανοῦ. π. 22. ἐξήρτηται. l. ib. μεταχειρίζεσθαί φ. 1. μεταχειρίσασθαί φ. 2, a, m. μεταχειρίσασθαι φασίν. o. 23. εἰδότας. o. ib. Fo: μὲν τοῦ.
οἱ
24. οὐ δὲ. f, v. οὐ δὲ. s. 25. ἐδυνήθη. l. 26. Τύρσιν. a. 27. διοσημίαις. a. διοσημείαις. m, o. 29. ἰνδὸν. v. 31. ἐφαίνοντο. π, f, l, s, E. ἐφαίνετο. p, u, v. ib. δὲ αὐτοῖς. l. 34. ἐντύπωμα. o. 35. ἐς τὸ. v, s, a, m. ib. ἔσω. B. ἴξω. C, E.

11, 32. 33. p. 85. 86.

XXXIV 87 τὸν δὲ Αἰγύπτιον ἐπὶ τὰ Γάδειρα ἐλθεῖν καὶ ὁριστὴν γενέσθαι τῆς γῆς.“ τοιαῦτα διαλεγομένων αὐτῶν ἐπῆλθεν ὁ ὕμνος αὐλῷ ἅμα, ἐρομένου δὲ τοῦ Ἀπολλωνίου τὸν βασιλέα, ὅ τι ἐθέλοι ὁ κῶμος, „Ἰνδοὶ“ ἔφη „παραινέσεις τῷ βασιλεῖ ᾄδουσιν, ἐπειδὰν πρὸς τῷ καθεύδειν γίγνηται, ὀνείρασί τε ἀγαθοῖς χρῆσθαι χρηστόν τε ἀνίστασθαι καὶ εὐξύμβολον τοῖς ὑπηκόοις.“ „πῶς οὖν,“ ἔφη „ὦ βασιλεῦ, διάκεισαι πρὸς ταῦτα; σὲ γάρ που αὐλοῦσιν.“ „οὐ καταγελῶ,“ ἔφη „δεῖ γὰρ προσίεσθαι αὐτὰ τοῦ νόμου ἕνεκεν, παραινέσεως μέντοι μηδεμιᾶς δεῖσθαι, ὅσα γὰρ ἂν ὁ βασιλεὺς μετρίως τε καὶ χρηστῶς πράττῃ, ταῦτα ἑαυτῷ δήπου χαριεῖται μᾶλλον ἢ τοῖς ὑπηκόοις.“ Τοιαῦτα XXXV διαλεχθέντες, ἀνεπαύσαντο, ἐπεὶ δὲ ἡμέρα ὑπεφαίνετο, αὐτὸς ὁ βασιλεὺς ἀφίκετο ἐς τὸ δωμάτιον, ᾧ ἐκάθευδον οἱ περὶ τὸν Ἀπολλώνιον, καὶ τὸν σκίμποδα ἐπιψηλαφήσας προσεῖπέ τε τὸν ἄνδρα, καὶ ἤρετο αὐτόν, ὅ τι ἐνθυμοῖτο, „οὐ γάρ που καθεύδεις“ εἶπεν „ὕδωρ πίνων καὶ καταγελῶν τοῦ οἴνου.“ „οὐ γὰρ καθεύδειν ἠγῇ“ ἔφη „τοὺς τὸ ὕδωρ πίνοντας;“ „καθεύδειν μέν,“ ἔφη „λεπτὸν δὲ ὕπνον, ὅνπερ ἄκροις αὐτῶν τοῖς ὀφθαλμοῖς ἐφιζάνειν φῶμεν, οὐ τῷ νῷ.“ „ἀμφοτέροις“ εἶπε, „καὶ ἴσως τῷ νῷ μᾶλλον· εἰ γὰρ μὴ ἀτρεμήσει ὁ νοῦς, οὐδὲ ὑποδέξονται οἱ ὀφθαλμοὶ τὸν ὕπνον· οἱ γοῦν μεμηνότες οὐδὲ καθεύδειν δύνανται διὰ τὴν τοῦ νοῦ πήδησιν, ἀλλ' ἐς ἄλλα καὶ ἄλλα ἀπιούσης τῆς ἐννοίας γοργότερόν τε ἀναβλέπουσι καὶ ἀναιδέστερον, ὥσπερ οἱ ἄυπνοι τῶν δρακόντων.“ „ἐπεὶ τοίνυν, ὦ βασιλεῦ,“ εἶπε „σαφῶς ἡρμήνευται τὸ τοῦ ὕπνου ἔργον καὶ ἅττα δηλοῦται τοῖς ἀνθρώποις, σκεψώμεθα, τί μειονεκτήσει ἐν τῷ ὕπνῳ τοῦ μεθύοντος ὁ τὸ ὕδωρ πίνων.“ „μὴ σοφίζου,“ ἔφη ὁ βασιλεὺς „εἰ γὰρ μεθύοντα ὑποθήσῃ, οὐ καθευδήσει τοῦτο, βακχεύουσα γὰρ ἡ γνώμη στροβήσει τε αὐτὸν καὶ ταραχῆς ἐμπλήσει· δοκοῦσί τοι πάντες οἱ ἐκ μέθης καταδαρθεῖν πειρώμενοι ἀναπέμπεσθαί τε ἐς τὸν ὄροφον, καὶ αὖ ὑπόγειοι εἶναι δίνην τε ἐμπεπτωκέναι σφίσιν, οἷα δὴ περὶ τὸν Ἰξίονα λέγεται ξυμβαίνειν. οὔκουν ἀξιῶ τὸν μεθύοντα, ἀλλὰ τὸν πεπωκότα μὲν τοῦ οἴνου, νήφοντα δὲ θεωρεῖν, ὡς καθευδήσει, καὶ ὡς πολλῷ βέλτιον τοῦ ἀοίνου. XXXVI καλέσας οὖν ὁ Ἀπολλώνιος τὸν Δάμιν „πρὸς δεινὸν ἄνδρα“ ἔφη „ὁ λόγος καὶ σφόδρα γεγυμνασμένον τοῦ διαλέγεσθαι.“ „ὁρῶ,“ ἔφη „καὶ τοῦτ' ἴσως ἦν τὸ μελαμπύγου τυχεῖν. κἀμὲ δὲ πάνυ αἱρεῖ ὁ λόγος, ὃν εἴρηκεν· ὥρα οὖν σοι ἀφυπνίσαντι ἀποτελεῖν αὐτόν. ἀνακουφίσας οὖν τὴν κεφαλὴν ὁ Ἀπολλώνιος „καὶ μὴν ὅσον“ ἔφη „πλεονεκτοῦμεν οἱ τὸ ὕδωρ πίνοντες πρὸς τὸ καθεύδειν ἥδιον, ἐγὼ δηλώσω τοῦ γέ σου λόγου ἐχόμενος· ὡς μὲν γὰρ τετάρακται ἡ γνώμη τοῖς μεθύουσι καὶ μανικώτερον διάκεινται, σαφῶς εἴρηκας, ὁρῶμεν γὰρ τοὺς μέθῃ κατεσχημένους διττὰς μὲν σελήνας δοκοῦντας βλέπειν, διττοὺς δὲ ἡλίους, τοὺς δὲ ἧττον πεπωκότας, κἂν πάνυ νήφωσιν, οὐδὲν μὲν τούτων ἡγουμένους, μεστοὺς δὲ εὐφροσύνης καὶ ἡδονῆς, ἣ δὴ προσπίπτει σφίσιν οὐδὲ ἐξ εὐπραγίας πολλάκις, καὶ μελετῶσι δὲ οἱ τοιοῦτοι δίκας οὐδὲ φθεγξάμενοί πω ἐν δικαστηρίῳ καὶ πλουτεῖν φασιν οὐδὲ δραχμῆς αὐτοῖς ἔνδον οὔσης. ταῦτα δέ, ὦ βασιλεῦ, μανικὰ πάθη· καὶ γὰρ αὐτὸ τὸ ἥδεσθαι διακινεῖ τὴν γνώμην καὶ πολλοὺς οἶδα τῶν σφόδρα ἡγουμένων εὖ πράττειν οὐδὲ καθεύδειν δυναμένους, ἀλλ' ἐκπηδῶντας τοῦ ὕπνου, καὶ τοῦτ' ἂν εἴη τὸ παρέχειν φροντίδας καὶ τἀγαθά. ἔστι δὲ καὶ φάρμακα ὕπνου μεμηχανημένα τοῖς ἀνθρώποις, ὧν πιόντες τε καὶ ἀλειψάμενοι καθεύ-

2. ἐπῆλθεν. 1. ἐπεισῆλθεν. 2, E. ib. δὲ τοῦ. 1. δὲ αὐτὸν τοῦ. f, v, l. δὲ αὐτοῦ τοῦ. s, E. 3. ἐπειδὴ. o. ib. πρὸς τὸ. κ. γίνεται. v. γίγνηται. p. ib. ὀνείρασί τε. 1. ὀνείρασί γε. 2, E. 4. εὐξύμβολον. π. ξύμβολον corr. s. σύμβουλον. p. ξύμβουλον. f, v, E. et pr. s. 6. γὰρ ὁ β. a, m. 7. πράττοι. a, m. ib. δήπου χαριεῖται. 1. χαριεῖται δήπου. 2, E. 8. ἐπαύσαντο. p. ib. ἐς τὰ δώματα. v. 9. ἐκάθευδον. C, E. Fo: ἐνεκάθευδον. ib. προσεῖπε τὸν. o. 10. ἐνθυμεῖτο. l. ἐνεθυμεῖτο. 1, f, v, s. Sc. ἐνθυμοῖτο. ib. οὐ γάρ πω. o. ib. πίνων καταγελῶν. o. 11. τοὺς ὕδωρ. π, l, s, a. 12. αὐτὸν τοῖς. l. 13. ἀτρεμήσει. 1, f, v. ἀτρεμήσειεν. s, E. 15. γοργότερόν τε. π. γοργότερόν τι. p. γοργότερον. 2, E. 16. ἑρμήνευε. v. 17. δηλοῦται. C, E. Fo: δηλοῖ. ib. τοὺς ἀνθρώπους. f, v, et s. ante corr. ib. μειονεκτήσει ἐν. p. μειονεκτήσειε. π, 2, E. ib. ὕπνῳ μεθύοντος. l, o. 18. τούτῳ. p. ib. βακχεύουσα ἡ — ἐμπλήσει. h. 20. ὑπόγαιοι. v. ib. δίνην τε. 1. δίνην. 2, a, m. καὶ δίνην. o. 21. οἵ δὴ. v. οἷα δὴ. l. ib. ἀξιοῦν. v. ib. πεπτωκότα. a, m. 24. τοῦ διαλέγεσθαι. 1. τῷ δ. f, s, E. τὸ δ. v. 25. ἀφυπνήσαντι. π. ib. om. αὐτὸν. π. 28. μὲν σελήνας. 1. σελήνας. 2, E. 29. πεπτωκότας. l, a, m. 30. οὐδ' ἐξ. p. 34. ἐκπηδῶντα. v. 35. οἶνου. π et m. γρ. οἴνου. ib. πιόντες τε. 1, m, o. πιόντες. 2, a.

II, 34. 35. 36. p. 87. 88.

δουσιν ἐκτείναντες αὐτοὺς ὥσπερ ἀποθανόντες, ὅθεν μετά τινος λήθης ἀνίστανται καὶ ἄλλοσέ ποι μᾶλλόν εἰσιν ἢ οὗπερ εἶναι δοκοῦσιν. ὅτι μὲν δὴ τὰ πινόμενα, μᾶλλον δὲ τὰ ἐπαντλούμενα τῇ ψυχῇ καὶ τῷ σώματι οὐ γνήσιον οὐδὲ οἰκεῖον ἐπεσάγεται τὸν ὕπνον, ἀλλ' ἢ βαθὺν καὶ ἡμιθνῆτα ἢ βραχὺν καὶ διασπώμενον ὑπὸ τῶν ἐντρεχόντων, κἂν χρηστὰ ᾖ, ξυνθήσῃ τάχα, εἰ μὴ τὸ δύσερι μᾶλλον ἢ τὸ ἐριστικὸν σπουδάζεις. οἱ δὲ ἐμοὶ ξυμπόται τὰ μὲν ὄντα ὁρῶσιν ὡς ὄντα, τὰ δὲ οὐκ 5 89
ὄντα οὔτ' ἀναγράφουσιν αὐτοῖς οὔθ' ὑποτυποῦνται, κοῦφοί τε οὔπω ἔδοξαν, οὐδὲ μεστοὶ βλακείας οὐδὲ εὐηθείας ἢ ἱλαρώτεροι τοῦ προσήκοντος, ἀλλ' ἐφεστηκότες εἰσὶ καὶ λογισμοῦ πλέῳ, παραπλήσιοι δείλης τε καὶ ὁπότε ἀγορὰ πλήθει, οὐ γὰρ νυστάζουσιν οὗτοι, κἂν πόρρω τῶν νυκτῶν σπουδάζωσιν. οὐ γὰρ ἐξωθεῖ αὐτοὺς ὁ ὕπνος ὥσπερ δεσπότης βρίσας ἐς τὸν αὐχένα δεδουλωμένον ὑπὸ τοῦ οἴνου, ἀλλ' ἐλεύθεροί τε καὶ ὀρθοὶ φαίνονται, καταβαρθέντες δὲ καθαρᾷ τῇ ψυχῇ δέχονται τὸν 10
ὕπνον οὔτε ὑπὸ τῶν εὐπραγιῶν ἀνακουφιζόμενοι αὐτοὶ οὔτε ὑπὸ κακοπραγίας τινὸς ἐκθρώσκοντες. ξύμμετρος γὰρ πρὸς ἄμφω ταῦτα ψυχὴ νήφουσα καὶ οὐδετέρου τῶν παθῶν ἥττων, ὅθεν καθεύδει ἥδιστα καὶ ἀλυπότατα μὴ ἐξισταμένη τοῦ ὕπνου. καὶ μὴν καὶ τὸ μαντικὸν τὸ ἐκ τῶν ὀνειράτων, XXXVII
ὃ θειότατον τῶν ἀνθρωπίνων δοκεῖ, ῥᾷον διορᾷ μὴ ξυντεθολωμένη ὑπὸ τοῦ οἴνου, ἀλλ' ἀκήρατος δεχομένη αὐτὸ καὶ περιαθροῦσα· οἱ γοῦν ἐξηγηταὶ τῶν ὄψεων, οὓς ὀνειροπόλους οἱ ποιηταὶ καλοῦ- 15
σιν, οὐδ' ἂν ὑποκρίναιντο ὄψιν οὐδεμίαν μὴ πρότερον ἐρόμενοι τὸν καιρόν, ἐν ᾧ εἶδεν. ἂν μὲν γὰρ ἑῷος ᾖ καὶ τοῦ περὶ τὸν ὄρθρον ὕπνου, ξυμβάλλονται αὐτὴν ὡς ὑγιῶς μαντευομένης τῆς ψυχῆς, ἐπειδὰν ἀπορρύψηται τὸν οἶνον, εἰ δ' ἀμφὶ πρῶτον ὕπνον ἢ μέσας νύκτας, ὅτε βεβύθισταί. τε καὶ ξυντεθόλωται ἔτι ὑπὸ τοῦ οἴνου, παραιτοῦνται τὴν ὑπόκρισιν σοφοὶ ὄντες. ὡς δὲ καὶ τοῖς θεοῖς δοκεῖ ταῦτα καὶ τὸ χρησμῶδες ἐν ταῖς νηφούσαις ψυχαῖς τίθενται, σαφῶς δηλώσω· ἐγένετο, 20
ὦ βασιλεῦ, παρ' Ἕλλησιν Ἀμφιάρεως ἀνὴρ μάντις." „οἶδα," εἶπε „λέγεις γάρ που τὸν τοῦ Οἰκλέους, ὃν ἐκ Θηβῶν ἐπανιόντα ἐπεσπάσατο ἡ γῆ ζῶντα." „οὗτος, ὦ βασιλεῦ," ἔφη „μαντευόμενος 90
ἐν τῇ Ἀττικῇ νῦν ὀνείρατα ἐπάγει τοῖς χρωμένοις, καὶ λαβόντες οἱ ἱερεῖς τὸν χρησόμενον σίτου τε εἴργουσι μίαν ἡμέραν καὶ οἴνου τρεῖς, ἵνα διαλαμπούσῃ τῇ ψυχῇ τῶν λογίων σπάσῃ· εἰ δὲ ὁ οἶνος ἀγαθὸν ἦν τοῦ ὕπνου φάρμακον, ἐκέλευσεν ἂν ὁ σοφὸς Ἀμφιάρεως τοὺς θεωροὺς τὸν ἐναντίον 25
ἐσκευασμένους τρόπον καὶ οἴνου μεστούς, ὥσπερ ἀμφορέας, ἐς τὸ ἄδυτον αὐτῷ φέρεσθαι. πολλὰ δὲ καὶ μαντεῖα λέγοιμ' ἂν εὐδόκιμα παρ' Ἕλλησί τε καὶ βαρβάροις, ἐν οἷς ὁ ἱερεὺς ὕδατος, ἀλλ' οὐχὶ οἴνου σπάσας ἀποφθέγγεται τὰ ἐκ τοῦ τρίποδος. θεοφόρητον δὴ κἀμὲ ἡγοῦ καὶ πάντας, ὦ βασιλεῦ, τοὺς τὸ ὕδωρ πίνοντας· νυμφόληπτοι γὰρ ἡμεῖς καὶ βάκχοι τοῦ νήφειν." „ποιήσῃ οὖν," ἔφη „ὦ Ἀπολλώνιε, κἀμὲ θιασώτην;" „εἴπερ μὴ φορτικὸς" εἶπε „τοῖς ὑπηκόοις δόξεις· φιλοσο- 30
φία γὰρ περὶ βασιλεῖ ἀνδρὶ ξύμμετρος μὲν καὶ ὑπανειμένη θαυμαστὴν ἐργάζεται κρᾶσιν, ὥσπερ ἐν σοὶ διαφαίνεται, ἡ δ' ἀκριβὴς καὶ ὑπερτείνουσα φορτική τε, ὦ βασιλεῦ, καὶ ταπεινοτέρα τῆς ὑμετέρας σκηνῆς φαίνεται καὶ τύφου δὲ αὐτό τι ἂν ἡγοῖντο βάσκανοι."

1. αὐτοὺς. l, s, a, m. ib. ἄλλοθί που. p. 2. τὰ. om. v. 3. ἐπεισάγεται. l. εἰσάγεται. 2, E. 6. αὐτοῖς. π, l. αὐτοῖς. E. 7. πλέω. m. 8. σπουδάζουσιν. m, o. 9. ἐς τὸ αὐχένα. f. ib. ὑπὸ τοῦ οἴνου. l, l. ἀπὸ τ. ο. f, v, s, E. ib. δεδουλωμένοι. v. 11. αὐτοὶ deleverim. 12. οὐδὲ ἑτέρου. s, a. 13. ἐξανισταμένη. p. 14. εἶναι δοκεῖ. p. 16. ὑποκρίνωνται. l. ὑποκρίναιντο. 2, E. Fo: ὑποκρίνοιντο. ib. ὄψιν οὐδεμίαν. C, a, m. ὄψιν οὐδενὶ οὐδεμίαν. o.

17. ἕως. π. (m. γρ. ἑὼς ᾖ.) 18. ἐπειδὴ. o. ib. ἀπορρύψῃ. (supra posita ται.) p. ἀπορύψηται. f, s, a. ἀπορύψηται. π. ἀπορρίψηται. v, m, o. ib. τῶν οἴνων. v, l, s, a. ib. κατὰ νύκτας. v. 19. οἴνου. v. 20. σαφῶς τίθενται. v. 21. εἶδα. v. ib. ἰοκέλους. 2, a. 24. τῶν λογίων. B. τῶν λόγων. C, (τὸν λόγον. l) E. 25. θυρωροὺς. a, m. 26. αὐτὸ. (supra posita ῶ.) π, f. αὐτῶ. l. αὐτὸ. p, v, s, E. 28. ἀποφέγγεται. l. ib. γοῦν ἡγοῦ κἀμὲ. l. sic. rest. ord. ib. πάντα. v. ib. ὦ βασιλεῦ. om. p. 29. τὸ. om. l. ib. νηφόληπτοι. v. 30. κἀμὲ ὦ Ἀπολλ. v. 31. ξύμμετρα. v. ξύμμετρός μεν. o. ib. κράσιν. E. 32. ὑπερτείνουσα. l. ὑπερεπιτείνουσα. 2, E. ib. ἡμετέρας. v. 33. τύφον. v. ib. τί. a. ib. ἡγοῖντο. π. (et m. γρ. ἡγοίντο) ἡγῶνται. p. ἡγοῦνται. 2, E.

XXXVIII Ταῦτα διαλεχθέντες, καὶ γὰρ ἡμέρα ἤδη ἐτύγχανεν, ἐς τὸ ἔξω προῆλθον. καὶ ξυνεὶς ὁ Ἀπολλώνιος, ὡς χρηματίζειν δέοι τὸν βασιλέα πρεσβείαις τε καὶ τοῖς τοιούτοις „σὺ μέν," ἔφη „ὦ βασιλεῦ, τὰ προσήκοντα τῇ ἀρχῇ πρᾶττε, ἐμὲ δὲ τὸν καιρὸν τοῦτον ἄνες τῷ Ἡλίῳ, δεῖ γάρ με τὴν εἰθισμένην εὐχὴν εὔξασθαι." 91 „καὶ ἀκούοι γε εὐχομένου," ἔφη „χαριεῖται γὰρ πᾶσιν, ὁπόσοι τῇ σοφίᾳ τῇ σῇ χαίρουσιν· ἐγὼ δὲ περιμενῶ XXXIX σε ἐπανιόντα, καὶ γὰρ δικάσαι τινὰς χρὴ δίκας, αἷς παρατυχὼν τὰ μέγιστά με ὀνήσεις." ἐπανελθὼν οὖν προκεχωρηκυίας ἤδη τῆς ἡμέρας ἠρώτα περὶ ὧν ἐδίκασεν, ὁ δὲ „τήμερον" ἔφη „οὐκ ἐδίκασα, τὰ γὰρ ἱερὰ οὐ ξυνεχώρει μοι." ὑπολαβὼν οὖν ὁ Ἀπολλώνιος „ἐφ' ἱεροῖς οὖν" ἔφη „ποιεῖσθε καὶ ταύτας, ὥσπερ τὰς ἐξόδους τε καὶ τὰς στρατείας;" „νὴ Δί'" εἶπε „καὶ γὰρ ἐνταῦθα κίνδυνος, εἰ ὁ δικάζων ἀπενεχθείη τοῦ εὐθέος." εὖ λέγειν τῷ Ἀπολλωνίῳ ἔδοξε, καὶ ἤρετο αὐτὸν πάλιν, τίς εἴη, ἣν δικάσοι δίκην, „ὁρῶ γὰρ" εἶπεν „ἐφεστηκότα σε καὶ ἀποροῦντα, ὅπη ψηφίσαιο." „ὁμολογῶ" ἔφη „ἀπορεῖν, ὅθεν ξύμβουλον ποιοῦμαί σε· ἀπέδοτο μὲν γάρ τις ἑτέρῳ γῆν, ἐν ᾗ θησαυρὸς ἀπέκειτό τις οὔπω δῆλος, χρόνῳ δὲ ὕστερον ἡ γῆ ῥαγεῖσα χρυσοῦ τινα ἀνέδειξε θήκην, ἣν φησι μὲν ἑαυτῷ προσήκειν μᾶλλον ὁ τὴν γῆν ἀποδόμενος, καὶ γὰρ οὐδ' ἂν ἀποδόσθαι τὴν γῆν, εἰ προὔμαθεν, ὅτι βίον ἐπ' αὐτῇ ἔχοι, ὁ πριάμενος δὲ αὐτὸς ἀξιοῖ πεπᾶσθαι, ἃ ἐν τῇ λοιπὸν ἑαυτοῦ γῇ εὗρε· καὶ δίκαιος μὲν ὁ ἀμφοῖν λόγος, εὐήθης δ' ἂν ἐγὼ φαινοίμην, εἰ κελεύσαιμι ἄμφω νείμασθαι τὸ χρυσίον, τουτὶ γὰρ ἂν καὶ γραῦς διαιτῴη." ὑπολαβὼν οὖν ὁ Ἀπολλώνιος „ὡς μὲν οὐ φιλοσόφω" ἔφη „τὼ ἄνδρε, δηλοῖ τὸ περὶ χρυσίου διαφέρεσθαι σφᾶς, ἄριστα δ' ἂν μοι δικάσαι δόξεις ὧδε ἐνθυμηθείς, ὡς οἱ θεοὶ πρῶτον μὲν ἐπιμέλειαν ποιοῦνται τῶν ξὺν ἀρετῇ φιλοσοφούντων, δεύτερον δὲ τῶν ἀναμαρτήτων τε καὶ μηδὲν πώποτε ἀδικεῖν δοξάντων. διδόασι δὲ τοῖς μὲν φιλοσοφοῦσι διαγίγνωσκειν εὖ τὰ θεῖά τε καὶ τὰ ἀνθρώπεια, τοῖς δ' ἄλλως χρηστοῖς βίον ἀποχρῶντα, ὡς μὴ χήτει ποτὲ τῶν ἀναγκαίων ἄδικοι γένωνται· δοκεῖ δή μοι, βασιλεῦ, καθάπερ ἐπὶ τρυτάνης ἀντικρῖναι τούτους καὶ τὸν ἀμφοῖν ἀναθεωρῆσαι βίον, οὐ γὰρ ἄν μοι δοκοῦσιν οἱ θεοὶ 92 τὸν μὲν ἀφελέσθαι καὶ τὴν γῆν, εἰ μὴ φαῦλος ἦν, τῷ δ' αὖ καὶ τὰ ὑπὸ τῇ γῇ δοῦναι, εἰ μὴ βελτίων ἦν τοῦ ἀποδομένου." ἀφίκοντο ἐς τὴν ὑστεραίαν δικασόμενοι ἄμφω, καὶ ὁ μὲν ἀποδόμενος ὑβριστής τε ἠλέγχετο καὶ θυσίας ἐκλελοιπώς, ἃς ἔδει τοῖς ἐν τῇ γῇ θεοῖς θύειν, ὁ δὲ ἐπιεικής τε ἐφαίνετο καὶ ὁσιώτατα θεραπεύων τοὺς θεούς. ἐκράτησεν οὖν ἡ τοῦ Ἀπολλωνίου γνώμη καὶ ἀπῆλθεν ὁ χρηστὸς ὡς παρὰ τῶν θεῶν ταῦτα ἔχων.

XL Ἐπεὶ δὲ τὰ τῆς δίκης ὧδε ἔσχε, προσελθὼν ὁ Ἀπολλώνιος τῷ Ἰνδῷ „τήμερον" εἶπεν „ἡ τρίτη τῶν ἡμερῶν, ἐν αἷς ἐποιοῦ με, ὦ βασιλεῦ, ξένον, τῆς δ' ἐπιούσης ἓω χρὴ ἐξελαύνειν ἑπόμενον τῷ νόμῳ." „ἀλλ' οὐδὲ ὁ νόμος" εἶπεν „ἤδη διαλέγεταί σοι, καὶ γὰρ τῇ αὔριον μένειν ἔξεστιν, ἐπειδὴ μετὰ μεσημβρίαν ἀφίκου." „χαίρω" ἔφη „τῷ ξενίῳ, καὶ γάρ μοι δοκεῖς καὶ σοφίζεσθαι τὸν νόμον δι' ἐμέ." „εἰ γὰρ καὶ λῦσαι αὐτὸν ἠδυνάμην" εἶπε „τό γε ὑπὲρ σοῦ. ἀλλ' ἐκεῖνό μοι εἰπέ, Ἀπολλώνιε, αἱ κάμηλοι, ἐφ' ὧν ὀχεῖσθαί σέ φασιν, οὐκ ἐκ Βαβυλῶνος ἄγουσιν ὑμᾶς;" „ἐκεῖθεν" ἔφη „δόντος γε αὐτὰς Οὐαρδάνου." „ἔτ' οὖν ὑμᾶς ἀπάγειν δυνήσονται, τοσαῦτα ἤδη στάδια ἐκ

1. προῆλθον. 1, o. προῆλθε. 2, a, m. 2. σὺ ἔφη. l. ib. προσήκοντα ἀρχῇ. v. 3. πράττε. E. 4. περιμενῶ γε. v. 5. καὶ γὰρ δικάσαι. π. καὶ γάρ με καὶ δικάσαι. p, 2, E. ib. περιτυχών. p. 7. ἱεροῖς ἔφη. s, a, m. 8. Δία. p. 10. δικάσαι. v, s, a. et m. γρ. δικάσαι. ib. ὅτι. l. 11. ἑτέρα γῆ. v. 14. αὐτὸς ἀξιοῖ. 1. ἀξιοῖ αὐτὸς. 2, E. ib. πεπᾶσθαι. p, B. πεσπάσθαι. π. πεπρᾶσθαι. 2, E. 17. σφᾶς. l. 19. ἁμαρτεῖν. π et m. γρ. ἀδικεῖν. p, 2, E. ib. δεδίασι. v. 20. θεῖα καὶ. p. ib. τοῖς δὲ ἄλλως χρηστοῖς. 1, f, v. τοῖς δ' ἄλλοις χρηστοῖς. l, s, a, m. 21. δοκεῖ δή μοι. π. δοκεῖ δέ μοι. p, 2, E. 22. τῶν ἀμφοῖν. l. ib. ὡς οὐκ ἂν οἱ θεοὶ τὸν μὲν ἀφεῖλον καὶ τὴν γῆν (vulg. καὶ κατὰ τ. γ.) εἰ μὴ — ὑπὸ γῆν δοῦναι — ἀποδομένου. E. in Λ. (442.) ib. οὐ γάρ μοι. p. ib. δοκῶσιν. π. 24. ἦν καὶ. l, s, a, m. 23. ἐλέγχετο. a. ib. θυσίαις. v. 26. ὁσιώτατα θεραπεύων. 1. ὁσιώτατα δὲ θ. p. ante corr. 2, E. ib. ἐκράτησεν ἡ. s, a, m. 27. ὡς χρηστὸς. p. 28. προσελθὼν δὲ. m. 29. ἐποιοῦμεν. v. ἐποίου. m, o. ib. με βασιλεῦ. p. ib. ἐπιούσης χρὴ. l, s, E. ib. ἐς πόλεμον. v. 30. οὐδὲ νόμος. p. 33. αἱ κάμηλοι. C. οἱ κ. E. ib. σοί φασιν. v. ib. ἄγουσιν; ἐκεῖθεν. f, l. ἄγουσιν. s. a sec. m. 34. δυνήσεται. l. pr. m.

II, 38. 39. 40. p. 91. 92.

Βαβυλῶνος ἥκουσαι;" ἐσιώπησε μὲν ὁ Ἀπολλώνιος, ὁ δὲ Δάμις „οὔπω συνίησιν," ἔφη „ὦ βασιλεῦ, τῆς ἀποδημίας ὁ ἀνὴρ οὗτος, οὐδὲ τῶν ἐθνῶν, ἐν οἷς λοιπόν ἐσμεν, ἀλλ' ὡς πανταχοῦ σέ τε καὶ Οὐαρδάνην ἔξων παιδιὰν ἡγεῖται τὸ ἐς Ἰνδοὺς παρελθεῖν. τό τοι τῶν καμήλων οὐ διομολογεῖται πρὸς σέ, ὃν ἔχει τρόπον· διάκεινται γὰρ οὕτω κακῶς, ὡς αὐταὶ μᾶλλον ὑφ' ἡμῶν φέρεσθαι, καὶ δεῖ ἑτέρων. ἂν γὰρ ὀκλάσωσιν ἐν ἐρήμῳ που τῆς Ἰνδικῆς, ἡμεῖς μὲν" ἔφη „καθεδούμεθα τοὺς γῦπάς τε καὶ τοὺς λύκους ἀποσοβοῦντες τῶν καμήλων, ἡμῶν δὲ οὐδεὶς ἀποσοβήσει, προσαπολούμεθα γάρ." ὑπολαβὼν οὖν ὁ βασιλεὺς „ἐγὼ" ἔφη „τοῦτο ἰάσομαι, ὑμῖν τε γὰρ ἑτέρας δώσω — τεττάρων, οἶμαι, δεῖσθε — καὶ ὁ σατράπης δὲ ὁ ἐπὶ τοῦ Ἰνδοῦ πέμψει ἐς Βαβυλῶνα ἑτέρας τέτταρας. ἔστι δέ μοι ἀγέλη καμήλων ἐπὶ τῷ Ἰνδῷ, λευκαὶ πᾶσαι." „ἡγεμόνα δὲ" εἶπεν ὁ Δάμις „οὐκ ἄν, ὦ βασιλεῦ, δοίης;" „καὶ κάμηλόν γε" ἔφη „τῷ ἡγεμόνι δώσω καὶ ἐφόδια, ἐπιστελῶ δὲ καὶ Ἰάρχᾳ τῷ πρεσβυτάτῳ τῶν σοφῶν, ἵν' Ἀπολλώνιον μὲν ὡς μηδὲν κακίω ἑαυτοῦ δέξηται, ὑμᾶς δὲ ὡς φιλοσόφους τε καὶ ὀπαδοὺς ἀνδρὸς θείου." καὶ χρυσίον δὲ ἐδίδου ὁ Ἰνδὸς καὶ ψήφους καὶ ὀθόνας καὶ μυρία τοιαῦτα· ὁ δὲ Ἀπολλώνιος „χρυσίον μὲν" ἔφη „ἱκανὸν ἑαυτῷ εἶναι δόντος γε Οὐαρδάνου τῷ ἡγεμόνι ἀφανῶς αὐτό, τὰς δὲ ὀθόνας λαμβάνειν, ἐπειδὴ ἐοίκασι τρίβωνι τῶν ἀρχαίων τε καὶ πάνυ Ἀττικῶν. μίαν δέ τινα τῶν ψήφων ἀνελόμενος „ὦ βελτίστη" εἶπεν „ὡς ἐς καιρόν σε καὶ οὐκ ἀθεεὶ εὕρηκα" ἰσχύν, οἶμαι, τινα ἐν αὐτῇ καθεωρακὼς ἀπόρρητόν τε καὶ θείαν. οἱ δὲ ἀμφὶ τὸν Δάμιν χρυσίον μὲν οὐδ' αὐτοὶ προσίεντο, τῶν ψήφων δὲ ἱκανῶς ἐδράττοντο, ὡς θεοῖς ἀναθήσοντες, ὅτε ἐπανέλθοιεν ἐς τὰ ἑαυτῶν ἤθη.

Καταμείνασι δὲ αὐτοῖς καὶ τὴν ἐπιοῦσαν, οὐ γὰρ μεθίετο σφῶν ὁ Ἰνδός, δίδωσι τὴν πρὸς τὸν Ἰάρχαν ἐπιστολὴν γεγραμμένην ὧδε· XLI

„Βασιλεὺς Φραώτης Ἰάρχᾳ διδασκάλῳ καὶ τοῖς περὶ αὐτὸν χαίρειν.

Ἀπολλώνιος ἀνὴρ σοφώτατος σοφωτέρους ὑμᾶς ἑαυτοῦ ἡγεῖται καὶ μαθησόμενος ἥκει τὰ ὑμέτερα. πέμπετε οὖν αὐτὸν εἰδότα ὁπόσα ἴστε· ὡς ἀπολεῖται οὐδὲν τῶν μαθημάτων ὑμῖν, καὶ γὰρ λέγει ἄριστα ἀνθρώπων καὶ μέμνηται. ἰδίτω δὲ καὶ τὸν θρόνον, ἐφ' οὗ καθίσαντί μοι τὴν βασιλείαν ἔδωκας, Ἰάρχα πάτερ. καὶ οἱ ἑπόμενοι δὲ αὐτῷ ἄξιοι ἐπαίνου, ὅτι τοιοῦδε ἀνδρὸς ἥττηνται. εὐτύχει καὶ εὐτυχεῖτε."

Ἐξελάσαντες δὲ τῶν Ταξίλων καὶ δύο ἡμερῶν ὁδὸν διελθόντες ἀφίκοντο ἐς τὸ πεδίον, ἐν ᾧ XLII *λέγεται πρὸς Ἀλέξανδρον ἀγωνίσασθαι Πῶρος, καὶ πύλας ἐν αὐτῷ ἰδεῖν φασι ξυγκλειούσας οὐδέν, ἀλλὰ τροπαίων ἕνεκα ᾠκοδομημένας. ἀνακεῖσθαι γὰρ ἐπ' αὐτῶν τὸν Ἀλέξανδρον ἐφεστηκότα τετραρούμοις ἅρμασιν, οἷος ἐπὶ τοῖς Δαρείου σατράπαις ἐν Ἰσσοῖς ἕστηκε. διαλείπουσαι δ' οὐ πολὺ ἀλλήλων δύο ἐξῳκοδομῆσθαι λέγονται πύλαι, καὶ φέρειν ἡ μὲν Πῶρον, ἡ δὲ Ἀλέξανδρον, ξυμβεβηκότε, οἶμαι, μετὰ τὴν μάχην, ὁ μὲν γὰρ ἀσπαζομένῳ ἔοικεν, ὁ δὲ προσκυνοῦντι.*

Ποταμὸν δὲ Ὑδραώτην ὑπερβάντες καὶ πλείω ἔθνη ἀμείψαντες ἐγένοντο πρὸς τῷ Ὑφάσιδι, XLIII *στάδια δὲ ἀπέχοντες τούτου τριάκοντα βωμοῖς τε ἐνέτυχον, οἷς ἐπεγέγραπτο ΠΑΤΡΙ ΑΜΜΩΝΙ ΚΑΙ ΗΡΑΚΛΕΙ ΑΔΕΛΦΩΙ ΚΑΙ ΑΘΗΝΑΙ ΠΡΟΝΟΙΑΙ ΚΑΙ ΔΙΙ ΟΛΥΜΠΙΩΙ ΚΑΙ ΣΑΜΟΘΡΑΙΞΙ ΚΑΒΕΙΡΟΙΣ ΚΑΙ ΙΝΔΩΙ ΗΛΙΩΙ ΚΑΙ ΔΕΛΦΩΙ ΑΠΟΛΛΩΝΙ*, φασὶ δὲ καὶ στήλην

2. ἐσμὲν λοιπὸν. v. 5. ἡμεῖς καθ. p. ib. τὰς γύπας. v. 6. τε. om. 2, a. ib. ἀποσοβήση ἀπολούμεθα. v. 7. οὖν. om. v. ib. τε. om. v. 8. Βαβυλῶνα τέτταρες. p. 9. ἔστι δέ μοι καμήλων. l, s, a, m. 10. ὦ βασιλεῦ οὐκ ἂν δ. p. ib. δώσω τῷ ἡγ. p. ib. ἐπιστελῶ. 1. ἐπιστέλλω. 2, E. 11. Ἀπολλωνίω. v. ib. μηδένα κακίω. a, m. ib. ἑαυτοῦ. v. ib. καλλίω. v. 13. δόντος δὲ. s, a. 14. φανερῶς. l. 15. βέλτιστε. v, s, a. ib. εἰς καιρὸν. f, l. 16. τινα ἑαυτῇ. v. 17. οὐδ' αὐτοὶ. p. 19. καταμήνασι. s. ib. αὐτοῖς. om. 2, a. ib. τὴν καὶ. o. 20. Ἰάρχην. E. 21. ἰάχας. v. ib. χαίρειν. 1. σοφοῖς χαίρειν. 2, E. 26. εὐτύχει καὶ εὐτυχεῖτε. 1, f, o. εὐτύχει. εὐτυχεῖτε. l. s. εὐτυχεῖτε. a et m, ubi γρ. εὐτύχει καὶ εὐτυχεῖτε. 27. ἐλάσαντες. f, v, l et s ante corr. ib. δύο ἡ. p, v. δύ' ἡ. l, E. ib. διελθόντες. 1. προελθόντες. 2, E. 29. οἰκοδομημένας. p. ib. τετραρύμοις. p, l, a. 30. ἐπὶ τοῖς σατράπαις. a, m. 31. ξυμβεβηκότε. s, l. ξυμβιβηκότες. π, f. ξυμβεβηκέτε. v. συμβιβηκότας. p. ξυμβεβηκότας. E. 33. ἔθνει. s. 34. στάδια ἀπέχοντες. s, a. 35. προναίᾳ. B. 36. Δελφῷ. π, B. ἀδελφῷ. p, 2, E.

II, 41. 42. 43. p. 93. 94.

ἀνακεῖσθαι χαλκῆν, ἢ ἐπιγεγράφθαι ΑΛΕΞΑΝΔΡΟΣ ΕΝΤΑΥΘΑ ΕΣΤΗ. τοὺς μὲν δὴ βωμοὺς Ἀλεξάνδρου ἡγώμεθα τὸ τῆς ἑαυτοῦ ἀρχῆς τέρμα τιμῶντος, τὴν δὲ στήλην τοὺς μετὰ τὸν Ὕφασιν Ἰνδοὺς ἀναθεῖναι δοκῶ μοι λαμπρυνομένους ἐπὶ τῷ Ἀλέξανδρον μὴ προελθεῖν πρόσω.

Γ'.

1 95 Περὶ δὲ τοῦ Ὑφάσιδος καὶ ὁπόσος τὴν Ἰνδικὴν διαστείχει καὶ ὅ τι περὶ αὐτὸν θαῦμα, τάδε
5 χρὴ γιγνώσκειν· αἱ πηγαὶ τοῦ ποταμοῦ τούτου βλύζουσι μὲν ἐκ πεδίου ναυσίποροι αὐτόθεν, προιοῦσαι δὲ καὶ ναυσὶν ἤδη ἄποροί εἰσιν. ἀκρωνυχίαι γὰρ πετρῶν παραλλὰξ ὑπανίσχουσι τοῦ ὕδατος, περὶ ἃς ἀνάγκη τὸ ῥεῦμα ἑλίττεσθαι καὶ ποιεῖν τὸν ποταμὸν ἄπλουν. εὖρος δὲ αὐτῷ κατὰ τὸν Ἴστρον, ποταμῶν δὲ οὗτος δοκεῖ μέγιστος, ὁπόσοι δι' Εὐρώπης ῥέουσι. δένδρα δέ οἱ προσόμοια φύει παρὰ τὰς ὄχθας, καί τι καὶ μύρον ἐκδίδοται τῶν δένδρων, ὃ ποιοῦνται Ἰνδοὶ γαμικὸν χρί-
10 σμα, καὶ εἰ μὴ τῷ μύρῳ τούτῳ ῥάνωσι τοὺς νυμφίους οἱ ξυνιόντες ἐς τὸν γάμον, ἀτελὴς δοκεῖ καὶ οὐκ ἐς χάριν τῇ Ἀφροδίτῃ ξυναρμοσθείς. ἀνεῖσθαι δὲ τῇ θεῷ ταύτῃ λέγουσιν αὐτό τε τὸ περὶ τῷ ποταμῷ νέμος καὶ τοὺς ἰχθῦς τοὺς ταώς, οὓς οὗτος μόνος ποταμῶν τρέφει, πεποίηνται δὲ αὐτοὺς ὁμωνύμους τοῦ ὄρνιθος, ἐπεὶ κυάνεοι μὲν αὐτοῖς οἱ λόφοι, στικταὶ δὲ αἱ φολίδες, χρυσᾶ δὲ τὰ οὐραῖα καί, ὁπότε βούλοιντο, ἀνακλώμενα. ἔστι δέ τι θηρίον ἐν τῷ ποταμῷ τούτῳ σκώληκι
15 εἰκασμένον λευκῷ. τοῦτο οἱ τήκοντες ἔλαιον ποιοῦνται. πῦρ δὲ ἄρα τοῦ ἐλαίου τούτου ἐκδίδοται καὶ στέγει αὐτὸ πλὴν ὑελοῦ οὐδέν. ἁλίσκεται δὲ τῷ βασιλεῖ μόνῳ τὸ θηρίον τοῦτο πρὸς τειχῶν ἅλωσιν. ἐπειδὰν γὰρ θίγῃ τῶν ἐπάλξεων ἡ πιμελή, πῦρ ἐκκαλεῖται κρεῖττον σβεστηρίων, ὁπόσα
11 96 ἀνθρώποις πρὸς τὰ πυρφόρα εὕρηται. καὶ τοὺς ὄνους δὲ τοὺς ἀγρίους ἐν τοῖς ἕλεσι τούτοις ἁλίσκεσθαί φασιν, εἶναι δὲ τοῖς θηρίοις τούτοις ἐπὶ μετώπου κέρας, ᾧ ταυρηδόν τε καὶ οὐκ ἀγεννῶς
20 μάχονται, καὶ ἀποφαίνειν τοὺς Ἰνδοὺς ἔκπωμα τὸ κέρας τοῦτο, οὐ γὰρ οὔτε νοσῆσαι τὴν ἡμέραν ἐκείνην ὁ ἀπ' αὐτοῦ πιὼν οὔτε ἂν τρωθεὶς ἀλγῆσαι πυρός τε διεξελθεῖν ἂν καὶ μηδ' ἂν φαρμάκοις ἁλῶναι, ὅσα ἐπὶ κακῷ πίνεται, βασιλέων δὲ τὸ ἔκπωμα εἶναι καὶ βασιλεῖ μόνῳ ἀνεῖσθαι τὴν θήραν. Ἀπολλώνιος δὲ τὸ μὲν θηρίον ἑωρακέναι φησὶ καὶ ἄγασθαι αὐτὸ τῆς φύσεως, ἐρομένου δὲ αὐτὸν τοῦ Δάμιδος, εἰ τὸν λόγον τὸν περὶ τοῦ ἐκπώματος προσδέχοιτο, „προσδέχομαι" εἶπεν „ἢν
25 ἀθάνατον μάθω τὸν βασιλέα τῶν δεῦρο Ἰνδῶν ὄντα, τὸν γὰρ ἐμοί τε καὶ τῷ δεῖνι ὑρέγοντα πόμα ἄνοσόν τε καὶ οὕτως ὑγιὲς πῶς οὐχὶ μᾶλλον εἰκὸς αὐτὸν ἐπεγχεῖν ἑαυτῷ τούτου καὶ ὁσημέραι πίνειν ἀπὸ τοῦ κέρατος τούτου μέχρι κραιπάλης; οὐ γὰρ διαβαλεῖ τις, οἶμαι, τούτῳ μεθύειν."

2. ἡγώμεθα p. ἡγούμεθα π, l, s, E. 3. δοκῶ. 2, a. δοκεῖ 1, m, p. ib. Ἀλέξανδρον. C, B. Ἀλεξάνδρῳ. E. 4. περὶ Ὑφ. s, a. ib. τὸ θαῦμα. p. 5. ὅτι αἱ πηγαὶ — ἀνεῖσθαι τὴν θήραν. Φ. (325, a, 4.) ib. ναυσιπόρου. αὐτόθεν. l, s, a. 6. ἀκρωνυχίαι δὲ. Φ. praeter A. ib. παραλλὰξ πετρῶν. Φ. 8. ὡς ὅμοια. ΦA. 9. παρὰ τὰς. l. περὶ τὰς. 2, E, Φ. ib. μῦρον. l, E. ib. ἐνδίδοται. E. ib. ποιοῦνται οἱ Ἰνδοί. l, s, a, m. 10. καὶ εἰ — νέμος. om. Φ. ib. εἰς. f, s. 11. αὐτό τε τὸ. p. αὐτὸ τὸ. π, 2, a, o. αὐτὸ. m. 12. καὶ τοὺς ἰχθῦς δὲ τοὺς ταὼς λεγομένους μόνος. Φ. ἰχθῦς καὶ τοὺς. l. ib. οὗτος μόνος. π. μόνος οὗτος. p, 2, E, Φ. ib. πεποίηται. Φ. praeter A, B. 13. κυάνεοι δὲ τοῖς ὄρνισιν οἱ λ. χρυσῆ — ἀνακλ. h. ib. βολίδες. l. 14. βούλοιτο. v. ib. τι om. 2, a, Φ. (praeter A.) d. ib. τούτῳ. om. Φ. ib. Σκώλικα. a. 15. τοῦτο δ'. a, o et m ubi γρ. τοῦτον δ'. ib. ἔλαιον. h. 16. ἁλίσκεται δὴ p, Φ. ib. μόνῳ τῷ βασιλεῖ. Φ. 17. γὰρ. om. l, s, a, d. (ubi add. m. rec.) ib. πιμελὴς. v. ib. κρεῖττον τί ἐστι σβ. ὁ. α. εὕρηται παρὰ τὰ πυρφ. h. 19. τε οὐκ. v. 21. καὶ ὁ. Φ. praeter A. ib. μήδ' E. 22. ὁπόσα. Φ, h. ib. post θήραν addit Φ. μῦθον δὲ ἄρα δεικνύει ταῦτα τῶν ἐν Ἰνδοῖς βασιλέων καὶ νόσοι καὶ θάνατοι. τὸ δὲ θηρίον οἷον εἴρηται τοιοῦτον ὁρᾶται. 23. ἀγάλλεσθαι. l, s, a, m. 24. προσδέξοιτο. f, p. ib. προσδέξομαι. 1. προσδέχομαι. 2, E. 25. πῶμα. v. 26. καὶ ὁσημέραι. 1. ὁσημέραι, καὶ. 2, E. 27. ἀπὸ κέρατος τοῦτο μέχρι. p. ib. τοῦτο μεθύειν. π. Fo: τὸ τούτῳ μεθύειν.

III, 1. 2. p. 95. 96.

Ἐνταῦθα καὶ γυναίῳ φασὶν ἐντετυχηκέναι τὰ μὲν ἐκ κεφαλῆς ἐς μαζοὺς μέλανι, τὰ δὲ ἐκ μαζῶν ἐς πόδας λευκὰ πάντα, καὶ αὐτοὶ μὲν ὡς δεῖμα φυγεῖν, τὸν δὲ Ἀπολλώνιον ξυνάψαι τε τῷ γυναίῳ τὴν χεῖρα καὶ ξυνεῖναι ὅ τι εἴη· ἱεροῦται δὲ ἄρα τῇ Ἀφροδίτῃ Ἰνδὴ τοιαύτη, καὶ τίκτεται τῇ θεῷ γυνὴ ποικίλη, καθάπερ ὁ Ἆπις Αἰγυπτίοις. III

Ἐντεῦθέν φασιν ὑπερβαλεῖν τοῦ Καυκάσου τὸ κατατεῖνον ἐς τὴν Ἐρυθρὰν θάλασσαν, εἶναι δὲ αὐτὸ ξυνηρεφὲς ἴδαις ἀρωμάτων. τοὺς μὲν δὴ πρώνας τοῦ ὄρους τὸ κινναμωμον φέρειν, προσεοικέναι δὲ αὐτὸ νέοις κλήμασι, βάσανον δὲ τοῦ ἀρώματος τὴν αἶγα εἶναι· κινναμώμου γὰρ εἴ τις αἰγὶ ὀρέξειε, κνυζήσεται πρὸς τὴν χεῖρα, καθάπερ κύων, ἀπιόντι τε ὁμαρτήσει τὴν ῥῖνα ἐς αὐτὸ ἐρείσασα, κἂν ὁ αἰπόλος ἀπάγῃ, θρηνήσει καθάπερ λωτοῦ ἀποσπωμένη. ἐν δὲ τοῖς κρημνοῖς τοῦ 97
ὄρους λίβανοί τε ὑψηλοὶ πεφύκασι καὶ πολλὰ εἴδη ἕτερα καὶ τὰ δένδρα αἱ πεπερίδες, ὧν γεωργοὶ πίθηκοι, καὶ οὐδὲ ᾧ εἴκασται τοῦτο, παρεῖται σφισιν, ὃν δὲ εἴρηται τρόπον, ἐγὼ δηλώσω· τὸ δένδρον ἡ πεπερὶς εἴκασται μὲν τῷ παρ' Ἕλλησιν ἄγνῳ τά τε ἄλλα καὶ τὸν κόρυμβον τοῦ καρποῦ, φύεται δὲ ἐν τοῖς ἀποτόμοις οὐκ ἐφικτὸς τοῖς ἀνθρώποις, οὗ λέγεται πιθήκων οἰκεῖν δῆμος ἐν μυχοῖς τοῦ ὄρους καὶ ὅ τι αὐτοῦ κοῖλον, οὓς πολλοῦ ἀξίους οἱ Ἰνδοὶ νομίζοντες, ἐπειδὴ τὸ πέπερι ἀποτρυγῶσι, τοὺς λέοντας ἀπ' αὐτῶν ἐρύκουσι κυσί τε καὶ ὅπλοις. ἐπιτίθεται δὲ πιθήκῳ λέων νοσῶν μὲν ὑπὲρ φαρμάκου, τὴν γὰρ νόσον αὐτῷ τὰ κρέα ἴσχει ταῦτα, γεγηρακὼς δὲ ὑπὲρ σίτου, τῆς γὰρ τῶν ἐλάφων καὶ συῶν θήρας ἔξωροι γεγονότες τοὺς πιθήκους λαφύσσουσιν ἐς τοῦτο χρώμενοι τῇ λοιπῇ ῥώμῃ. οὐ μὴν οἱ ἄνθρωποι περιορῶσιν, ἀλλ' εὐεργέτας ἡγούμενοι τὰ θηρία ταῦτα πρὸς τοὺς λέοντας ὑπὲρ αὐτῶν αἰχμὴν αἴρονται. τὰ γὰρ πραττόμενα περὶ τὰς πεπερίδας ὧδε ἔχει· προσελθόντες οἱ Ἰνδοὶ τοῖς κάτω δένδρεσι τὸν καρπὸν ἀποθερίσαντες ἅλως ποιοῦνται μικρὰς περὶ τὰ δένδρα καὶ τὸ πέπερι περὶ αὐτὰς ξυμφοροῦσιν οἷον ῥιπτοῦντες, ὡς ἄτιμόν τι καὶ μὴ ἐν σπουδῇ τοῖς ἀνθρώποις, οἱ δὲ ἄνωθεν καὶ ἐκ τῶν ἀβάτων ἀφεωρακότες ταῦτα, νυκτὸς γενομένης ὑποκρίνονται τὸ τῶν Ἰνδῶν ἔργον καὶ τοὺς βοστρύχους τῶν δένδρων περισπῶντες ῥιπτοῦσι φέροντες ἐς τὰς ἅλως, οἱ Ἰνδοὶ δὲ ἅμα ἡμέρᾳ σωροὺς ἀναιροῦνται τοῦ ἀρώματος οὐδὲ πονήσαντες οὐδέν, ἀλλὰ ῥᾳθυμοί τε καὶ καθεύδοντες.

Ὑπεράραντες δὲ τοῦ ὄρους πεδίον ἰδεῖν φασι λεῖον κατατετμημένον ἐς τάφρους πλήρεις ὕδατος. V
εἶναι δὲ αὐτῶν τὰς μὲν ἐπικαρσίους, τὰς δὲ ὀρθάς, διηγμένας ἐκ τοῦ ποταμοῦ τοῦ Γάγγου τῆς τε 98
χώρας ὅρια οὔσας τοῖς τε πεδίοις ἐπαγομένας, ὁπότε ἡ γῆ διψῴη. τὴν δὲ γῆν ταύτην ἀρίστην φασὶ τῆς Ἰνδικῆς εἶναι καὶ μεγίστην τῶν ἐκεῖ λήξεων, πεντεκαίδεκα ἡμερῶν ὁδοῦ μῆκος ἐπὶ τὸν Γάγγην, ὀκτωκαίδεκα δὲ ἀπὸ θαλάσσης ἐπὶ τὸ τῶν πιθήκων ὄρος, ᾧ ξυμπαρατείνει. πεδιὰς πᾶσα ἡ χώρα μέλαινά τε καὶ πάντων εὔφορος. ἰδεῖν μὲν γὰρ ἐν αὐτῇ στάχυας ἀνεστῶτας, ὅσον οἱ δόνακες, ἰδεῖν δὲ κυάμους τριπλασίους τῶν Αἰγυπτίων τὸ μέγεθος σήσαμόν τε καὶ κέγχρον ὑπερφυᾶ πάντα. ἐνταῦθα καὶ τὰ κάρυα φύεσθαί φασιν, ὧν πολλὰ πρὸς ἱεροῖς ἀνακεῖσθαι τοῖς δεῦρο θαύματος ἕνεκα.

1. φησὶν. p. 2. λευκὰ. C, E. Fo: λευκῷ. ib. αὐτὴ. l, s, a. 3. ἄρα. m, o. ἂν. v. ib. Ἰνδῇ. m, (et mg. γρ. ἰνδῇ.) o.

5. ἐντεῦθεν — ἧκει. Φ. (326, a, 37). ib. φησὶν. 1. φασὶν. om. Φ. 6. ἴδαις. 1. ἰδέαις. 2, E, Φ. ib. μὲν δὴ. 1, Φ. μὲν γὰρ δὴ. 2, E. ib. τὸ κιννάμωμον — δὲ. om. π. 8. ὀρίξοιεν. l. ib. τὴν θήραν. v. ib. ἐς αὐτὸν. Φ. ἐς αὐτὸ. om. l. 10. ὑψηλοὶ. 1. ὑψηλαὶ. 2, E, Φ. ib. ἡδιώτερα. ΦA, B. ib. δὲ αἱ. Φ. ib. οἱ γεωργοὶ. ΦA, B. 11. καὶ οὐδὲ — πεπερίς. om. Φ. 13. ἐφικτῶς. p. ex corr. 14. τοῦ ὄρους. om. Φ. 15. κυσί. om. p. 16. ὑπὲρ οὖ o
φαρμάκων. d. 17. τῆς δὲ. h. ib. ἐλάφων. v. ib. τὰς πιθήκους. h. ib. λαφύσσουσιν. v. ib. τούτους. π. 18. οὐ μὴν — αἴρονται. om. Φ. ib. τὰ δὲ. Φ, h. qui pergit περὶ τὰς π. πρ. ὧδε ἔχει. 19. ἔχοι. a. 20. κάτω μέρεσι. Φ. ib. καὶ τὸν κ. Φ, o. 22. κἀκ. ΦA. caeteri ἐκ. ib. ἀφεωρακότες. 1. ἐφεωρακότες. 2. καθεωρακότες. Φ. ib. γενομένης. om. Φ. 23. ῥίπτουσι. h. 24. οἱ δὲ Ἰνδοὶ ἀπόνως συλλέγουσιν. om. cett. usque ad καθεύδοντες. Φ.

26. φασὶν ἰδεῖν. Φ. 27. ἐπικαρσίους. 1, f, Φ. ἐγκαρσίους. l, s, E. ib. τῆς δὲ. p. 28. παιδίοις. v. ib. τὴν γῆν. l. 29. μεγίστου. p. 30. πέντε καὶ δέκα. l. ib. τὸ. om. o. ib. ξυμπαρατείνει. πεδιάς. B. ξυμπαρατείνει πεδιάς. E. ib. πεδιὰς. ΦA, B. 31. μέλαινα π. ἡ χ. καὶ π. εὔφορος. Φ. ib. ἔφορος. v. ib. ἐν αὐτῇ. om. Φ. 32. τριαπλασίους. v. ib. ἐνταῦθα. om. Φ. et statim ὧν — ἕνεκα. 33. ἀνακεῖσθαι. 1. ἀνάκειται. 2, E.

III, 3. 4. 5. p. 97. 98.

τὰς δὲ ἀμπέλους φύεσθαι μὲν μικράς, καθάπερ αἱ Λυδῶν τε καὶ Μαιόνων, ποτίμους δὲ εἶναι καὶ ἀνθοσμίας ὁμοῦ τῷ ἀποτρυγᾶν. ἐνταῦθα καὶ δένδρῳ φασὶν ἐντετυχηκέναι προσεοικότι τῇ δάφνῃ, φύεσθαι δὲ αὐτοῦ κάλυκα εἰκασμένην τῇ μεγίστῃ ῥόᾳ, καὶ μῆλον ἐγκεῖσθαι τῇ κάλυκι κυάνεον μέν, ὥσπερ τῶν ὑακίνθων αἱ κάλυκες, πάντων δὲ ἥδιστον, ὁπόσα ἐξ ὡρῶν ἥκει.

VI 5 Καταβαίνοντες δὲ τὸ ὄρος δρακόντων θήρᾳ περιτυχεῖν φασι, περὶ ἧς ἀνάγκη λέξαι· καὶ γὰρ σφόδρα εὔηθες ὑπὲρ μὲν τοῦ λαγὼ καὶ ὅπως ἁλίσκεται καὶ ἁλώσεται, πολλὰ εἰρῆσθαι τοῖς ἐς φροντίδα βαλλομένοις ταῦτα, ἡμᾶς δὲ παρελθεῖν λόγον γενναίας τε καὶ δαιμονίου θήρας μηδὲ τῷ ἀνδρὶ
99 παραλειφθέντα, ἐς ὃν ταῦτα ἔγραψα· δρακόντων μὲν γὰρ δὴ ἀπείροις μήκεσι κατέζωσται πᾶσα ἡ Ἰνδικὴ χώρα καὶ μεστὰ μὲν αὐτῶν ἕλη, μεστὰ δὲ ὄρη, κενὸς δὲ οὐδεὶς λόφος. οἱ μὲν δὴ ἕλειοι
10 νωθροί τέ εἰσι καὶ τριακοντάπηχυ μῆκος ἔχουσι καὶ κράνος αὐτοῖς οὐκ ἀνέστηκεν, ἀλλ' εἰσὶ ταῖς δρακαίναις ὅμοιοι, μέλανες δὲ ἱκανῶς τὸν νῶτον καὶ ἧττον φολιδωτοὶ τῶν ἄλλων. καὶ σοφώτερον ἥπται τοῦ λόγου περὶ αὐτῶν Ὅμηρος ἢ οἱ πολλοὶ ποιηταί, τὸν γὰρ δράκοντα τὸν ἐν Αὐλίδι τὸν πρὸς τῇ πηγῇ οἰκοῦντα περὶ νῶτα δαφοινὸν εἴρηκεν, οἱ δὲ ἄλλοι ποιηταὶ τὸν ὁμοήθη τούτῳ τὸν
VII ἐν τῷ τῆς Νεμέας ἄλσει φασὶ καὶ λοφιὰν ἔχειν, ὅπερ οὐκ ἂν περὶ τοὺς ἑλείους εὕροιμεν. καὶ τοὺς
15 ὑπὸ τὰς ὑπωρείας τε καὶ τοὺς λόφους, ἴενται δὲ ἐς τὰ πεδία ἐπὶ θήρᾳ, πλεονεκτοῦσι δὲ τῶν ἑλείων πάντα, καὶ γὰρ ἐς πλέον τοῦ μήκους ἐλαύνουσι καὶ ταχύτεροι τῶν ὀξυτάτων ποταμῶν φέρονται καὶ διαφεύγει αὐτοὺς οὐδέν· τούτοις καὶ λοφιὰ φύεται νέοις μὲν ὑπανίσχουσα τὸ μέτριον, τελειουμένοις δὲ συναυξανομένη τε καὶ συναναιοῦσα ἐς πολύ, ὅτε δὴ πυρσοί τε καὶ πριόνωτοι γίγνονται. οὗτοι καὶ γενειάσκουσι καὶ τὸν αὐχένα ὑψοῦ αἴρουσι καὶ τὴν φολίδα στίλβουσι δίκην ἀργύρου, αἱ
100 20 δὲ τῶν ὀφθαλμῶν κόραι λίθος ἐστὶ διάπυρος, ἰσχὺν δ' αὐτῶν ἀμήχανον εἶναί φασιν ἐς πολλὰ τῶν ἀποθέτων. γίγνεται δὲ τοῖς θηρῶσιν ὁ πεδινὸς εὕρημα, ἐπειδὰν τῶν ἐλεφάντων τινὰ ἐπισπάσηται, τουτὶ γὰρ ἀπόλλυσιν ἅμφω τὰ θηρία. καὶ κέρδος τοῖς ἑλοῦσι δράκοντας ὀφθαλμοί τε γίγνονται καὶ δορὰ καὶ ὀδόντες. εἰσὶ δὲ τὰ μὲν ἄλλα ὅμοιοι τοῖς τῶν μεγίστων συῶν, λεπτότεροι δὲ καὶ διάστρο-
VIII φοι καὶ τὴν αἰχμὴν ἄτριπτοι, καθάπερ οἱ τῶν μεγάλων ἰχθύων. οἱ δὲ ὄρειοι δράκοντες τὴν μὲν
25 φολίδα χρυσοῖ φαίνονται, τὸ δὲ μῆκος ὑπὲρ τοὺς πεδινούς, γένεια δὲ αὐτοῖς βοστρυχώδη, χρυσᾶ κἀκεῖνα, καὶ κατωφρύωνται μᾶλλον ἢ οἱ πεδινοὶ ὄμμα τε ὑποκάθηται τῇ ὀφρύι δεινὸν καὶ ἀναιδὲς δεδορκός, ὑπόχαλκόν τε ἠχὼ φέρουσιν, ἐπειδὰν τῇ γῇ ὑποκυμαίνωσιν, ἀπὸ δὲ τῶν λόφων πυρσῶν ὄντων πῦρ αὐτοῖς ἄττει λαμπαδίου πλέον. οὗτοι καὶ τοὺς ἐλέφαντας αἱροῦσιν, αὐτοὶ δὲ ὑπὸ τῶν Ἰνδῶν οὕτως ἁλίσκονται· κοκκοβαφεῖ πέπλῳ χρυσᾷ ἐνείραντες γράμματα τίθενται πρὸ τῆς χειᾶς
30 ὕπνον ἐγγοητεύσαντες τοῖς γράμμασιν, ὑφ' οὗ νικᾶται τοὺς ὀφθαλμοὺς ὁ δράκων ἀτρέπτους ὄντας,

1. μὲν. om. l, Φ. ib. καθάπερ Λυδῶν. Φ. 2. ὁμοῦ τὸ. l, s, a. ib. ἐνταῦθα καὶ. 1, Φ. ἐνταῦθα δὲ καὶ. 2, E. ib. δένδρα. a. ib. φησὶν. Φ. 3. ῥοᾷ. Φ. 4. αἱ κάλυκες. 1, m. αἱ καλαὶ. 2, Φ. αἱ καλ . . . a. in Lips. est correctio κάλυκες. ib. ἐξ ὡρῶν. l, s.

5. καταβαίνοντες — ἄπιστον. Φ. (326, a, 6.) ib. θηρ'α. (exst. iota) s. θηρία. l, a, m. ib. περὶ ἧς. C. περὶ ὧν. E. ib. περὶ τῆς τῶν δρακόντων θήρας, ἣν ἰνδοὶ παλαμῶνται, δέον εἰπεῖν, καὶ γὰρ σφόδρα κτλ. φ. 7. ὑμᾶς. a, m. s. παραληφθέντα. a, m. ib. μηδὲ — ἔγραψα. om. φ. ib. διέζωσται. Φ. 10. τριακοντάχυ. l. 11. τὸ νῶτον. φ. ib. καὶ σοφώτερον — εὕροιμεν. om. Φ. 13. περὶ τὰ νῶτα. o. 14. νεμαίας. φ. ib. Ph. videtur dedisse: εὕροιμεν. οἱ δὲ ὑπὸ, ac repetitum esse καὶ τοὺς ex sequentibus oscitantia librariorum. 15. πωρείας. π. ib. τε καὶ. 1, o. καὶ. 2, a, m. ib. ἴενται. l, a. ib. Fo: ἴενται μὲν. ib. οἱ δὲ πεδινοὶ πλεονεκτοῦσι τῶν ἑλείων πάντα. Φ. 16. ὀξυτάτων. 1, m, (ubi γρ. ὀξυτέρων) o, Φ. ὀξυτέρων. 2, φ, a. 17. οὐδὲ ἓν. φ. l, s. a, m. 18. συναυξανομένη (B: συναυξουμένη) δὲ τελ. Φ. ib. συναναιοῦσα. 1, m. ἀναιοῦσα. 2, a, o. ἀνίσχουσα. Φ ib. ἐπὶ πολὺ. Φ praeter A. ib. ὅτε δὴ πυρσοί τε καὶ πρ. Φ. mg. (πῦρ τε καὶ πρ. A, B.) οἱ δὲ δὴ πυρσῖται καὶ πρ. C, E. ib. πριόνωτοι. Σ: πριόνωτοι ὅφεις οὕτω λεγόμενοι. 19. οὗτοι. om. p. ib. γενιάσκουσι. p. 20. λίθοι. v. ib. διάπυροι. v. ib. φησὶν. p, Φ. 21. τῶν ἐλεφάντων. 1, o. ἐλεφάντων. 2, a, m. 22. γίγνονται. p. 23. ἰχθύων. o. 24. ἀστράπτουσι. ΦB et A ex corr. (pro ἄτρεπτοι). ib. μεγίστων. p et Φ praeter A. 26. κατωφρύονται. l, s, a. ib. ὄμματά τε. Φ. ib. ἀναιδῶς. π. ἀναιδὲς. Φ, o. ἀναιδῶς. p, 2, a, m. 27. δεδορκότα. Φ. ib. ἦχον. ΦA. 28. λαμπάδος. ΦA, B. λαμπιαδιᾶς. Φ. cett. ib. αἱροῦσιν. a. αἴρουσιν. Φ. 29. ἐνείροντες. Φ. 30. ἐγγοητεύσαντες. 1, m. o, Φ. γοητεύσαντες. 2, φ, a. ib. ὀφθαλμοὺς δράκων. m. ib. ἀτρέπτους ὄντας ὁ δρ. Φ.

III, 6. 7. 8. p. 99. 100.

καὶ πολλὰ τῆς ἀπορρήτου σοφίας ἐπ' αὐτὸν ᾄδουσιν, οἷς ἄγεταί τε καὶ τὸν αὐχένα ὑπερβαλὼν τῆς χειᾶς ἐπικαθεύδει τοῖς γράμμασι· προσπεσόντες οὖν οἱ Ἰνδοὶ κειμένῳ πελέκεις ἐναράττουσι, καὶ τὴν κεφαλὴν ἀποτεμόντες ληίζονται τὰς ἐν αὐτῇ λίθους. ἀποκεῖσθαι δέ φασιν ἐν ταῖς τῶν ὀρείων δρακόντων κεφαλαῖς λίθους τὸ μὲν εἶδος ἀνθηρὰς καὶ πάντα ἀπαυγαζούσας χρώματα, τὴν δὲ ἰσχὺν 101
ἀρρήτους κατὰ τὸν δακτύλιον, ὃν γενέσθαι φασὶ τῷ Γύγῃ. πολλάκις δὲ καὶ τὸν Ἰνδὸν αὐτῷ πε- 5
λέκει καὶ αὐτῇ τέχνῃ συλλαβὼν ἐς τὴν αὑτοῦ χειὰν φέρων ᾤχετο μονονοὺ σείων τὸ ὄρος. οὗτοι καὶ τὰ ὄρη τὰ περὶ τὴν Ἐρυθρὰν οἰκεῖν λέγονται, σύριγμα δὲ δεινόν φασιν ἀκούεσθαι τούτων καὶ κατιόντας αὐτοὺς ἐπὶ τὴν θάλατταν πλεῖν ἐπὶ πολὺ τοῦ πελάγους. περὶ δὲ ἐτῶν μήκους τοῦ θηρίου τούτου γνῶναί τε ἄπορον καὶ εἰπεῖν ἄπιστον. τοσαῦτα περὶ δρακόντων οἶδα.

Τὴν δὲ πόλιν τὴν ὑπὸ τῷ ὄρει μεγίστην οὖσαν φασὶ μὲν καλεῖσθαι Πάρακα, δρακόντων δὲ 10 IX
ἀνακεῖσθαι κεφαλὰς ἐν μέσῃ πλείστας γυμναζομένων τῶν ἐν ἐκείνῃ Ἰνδῶν τὴν θήραν ταύτην ἐκ νέων. λέγονται δὲ καὶ ζῴων ξυνιέναι φθεγγομένων τε καὶ βουλευομένων σιτούμενοι δράκοντος οἱ μὲν καρδίαν, οἱ δὲ ἧπαρ. προιόντες δὲ αὐλοῦ μὲν ἀκοῦσαι δόξαι νομέως δή τινος ἀγέλην τάττοντος, ἐλάφους δὲ ἄρα βουκολεῖσθαι λευκάς, ἀμέλγουσι δὲ Ἰνδοὶ ταύτας εὐτραφὲς ἡγούμενοι τὸ ἀπ' αὐτῶν γάλα. 15

Ἐντεῦθεν ἡμερῶν τεττάρων ὁδὸν πορευόμενοι δι' εὐδαίμονος καὶ ἐνεργοῦ τῆς χώρας προσελ- X
θεῖν φασι τῇ τῶν σοφῶν τύρσει. τὸν δὲ ἡγεμόνα κελεύσαντα συνοκλάσαι τὴν κάμηλον ἀποπηδῆσαι αὐτῆς περιδεᾶ καὶ ἱδρῶτος πλέων. τὸν δὲ Ἀπολλώνιον ξυνεῖναι μὲν οὐ ἧκοι, γελάσαντα δὲ ἐπὶ τῷ τοῦ Ἰνδοῦ δέει „δοκεῖ μοι" φάναι „οὗτος, εἰ καὶ κατέπλευσεν ἐς λιμένα μακρόν τι ἀναμετρήσας πέλαγος, ἀχθεσθῆναι ἂν τῇ γῇ καὶ δεῖσαι τὸ ἐν ὅρμῳ εἶναι." καὶ ἅμα εἰπὼν ταῦτα προσέταξε τῇ 20 102
καμήλῳ συνιζῆσαι, καὶ γὰρ δὴ καὶ ἐθὰς λοιπὸν ἦν τῶν τοιούτων, περίφοβον δὲ ἄρα ἐποίει τὸν ἡγεμόνα τὸ πλησίον τῶν σοφῶν ἥκειν, Ἰνδοὶ γὰρ δεδίασι τούτους μᾶλλον ἢ τὸν σφῶν αὐτῶν βασιλέα, ὅτι καὶ βασιλεὺς αὐτός, ὑφ' ᾧ ἐστιν ἡ χώρα, περὶ πάντων, ἃ λεκτέα τε αὐτῷ καὶ πρακτέα, ἐρωτᾷ τούσδε τοὺς ἄνδρας, ὥσπερ οἱ ἐς θεοῦ πέμποντες, οἱ δὲ σημαίνουσι μέν, ὅ τι λῷον, αὐτῷ πράττειν, ὅ τι δὲ μὴ λῷον, ἀπαγορεύουσί τε καὶ ἀποσημαίνουσι. 25

Καταλύσειν δὲ μέλλοντες ἐν τῇ κώμῃ τῇ πλησίον — ἀπέχει δὲ τοῦ ὄχθου τῶν σοφῶν οὔπω XI
στάδιον — ἰδεῖν φασι νεανίαν δρόμῳ ἥκοντα μελάντατον Ἰνδῶν πάντων, ὑποστίλβειν δὲ αὐτῷ μηνοειδῶς τὸ μεσόφρυον. τουτὶ δὲ ἀκούω χρόνοις ὕστερον καὶ περὶ Μένωνα τὸν Ἡρώδου τοῦ σοφιστοῦ τρόφιμον, ἀπ' Αἰθιόπων δὲ ἦν, ἐν μειρακίῳ δόξαι, προιόντος δὲ ἐς ἄνδρας ἐκλιπεῖν τὴν αὐγὴν ταύτην καὶ συναφανισθῆναι τῇ ὥρᾳ, τὸν δὲ Ἰνδὸν χρυσῆν μὲν φέρειν φασὶν ἄγκυραν, ἣν 30
νομίζουσιν Ἰνδοὶ κηρύκειον ἐπὶ τῷ πάντα ἴσχειν. προσδραμόντα δὲ τῷ Ἀπολλωνίῳ φωνῇ Ἑλλάδι XII
προσειπεῖν αὐτόν, καὶ τοῦτο μὲν οὔπω θαυμαστὸν δόξαι διὰ τὸ καὶ τοὺς ἐν τῇ κώμῃ πάντας

1. ὑπερβαλὼν. π. ὑποβαλὼν. p, 2, E, Φ. 2. πελέκεις. 1, o, Φ. πελέκει. 2, φ, a, m. ib. καὶ. om. v. 3. τοὺς. p. ib. ἀποκεῖσθαι — λίθους. om. v. 4. λίθοι δὲ τούτοις ἀπόκεινται τὸ μὲν εἶδος ἀνθηραὶ. Φ. ib. χρήματα. Φ. 5. δὲ τὸν. Φ. 6. αὐτῇ τέχνῃ. 1, Φ. αὐτῇ τῇ τ. 2, E. ib. αὐτοῦ. s. 7. σύριγμα — πελάγους. om. Φ. 8. ἐπιπολὺ. s. ib. τὰ δ' ἔτη τῶν θηρίων τούτων — ἄπιστον. Φ.

ἐν

11. τῶν ἐκείνῃ. s. corr. a rec. m. 12. τε. om. a, m. ib. βουλομένων. m, o. ib. δράκοντες. v. 13. προιόντες δέ φησιν αὐλοῦ — γάλα. Φ. (326, b, 15.) ib. δέ τινος. l, s, a. 14. ἐλάφους δὴ ἄρα. 2. ἐλάφους δὲ. a, m.

16. ἐντεῦθεν ἡμ. τεττ. πορευόμενοι — φησι τῇ τῶν σοφῶν ἤτοι τῶν λεγομένων Βραχμάνων τύρσει καὶ συγγενέσθαι αὐτοῖς ἐφ' ἱκανόν. Φ. (326, b, 19). ib. ἐνεργοῦς. p. ib. προελθεῖν. 2, a. 17. Τύρσει. a. ib. κελεύσαντα.

ω

l. f. καλέσαντα. v. κελεύοντα. l, s, E. 18. αὐτοῖς. a, m. ib. πλέον. p. ib. τῷ Ἰνδοῦ. s. 19. εἰς λ. f. 21. ξυνιζῆσαι. f, l. 22. ἧκειν. π, v, o. οἰκεῖν. p, f, l, s, a, m. 23. ὅτι βασιλεὺς. 2, a.

ς ς

26. τῇ ὄχθῃ. p. ib. γρ. ὀκτὼ σταδίων. m. mg. sed. π. habet οὔπω στάδιον. 27. ἥκοντα δρόμῳ. v. 28. μεσέφρυον. a. ib. περιμένων αὐτὸν. π. 29. εἰς. f. 30. ἄγγυραν. s. ib. φησιν. l. 32. διὰ τοῦτο. v.

ἀπὸ Ἑλλήνων φθέγγεσθαι, τὸ δὲ „ὁ δεῖνα χαῖρε“ τοῖς μὲν ἄλλοις παρασχεῖν ἔκπληξιν, τῷ δὲ ἀνδρὶ θάρσος ὑπὲρ ὧν ἀφῖκτο, βλέψας γὰρ ἐς τὸν Λάμιν, „παρὰ ἄνδρας“ ἔφη „σοφοὺς ἀτεχνῶς ἥκομεν, ἐοίκασι γὰρ προγιγνώσκειν.“ καὶ ἅμα ἤρετο τὸν Ἰνδόν, ὅ τι χρὴ πράττειν, ποθῶν ἤδη τὴν ξυνουσίαν, ὁ δὲ Ἰνδὸς „τούτους μὲν“ ἔφη „καταλύειν χρὴ ἐνταῦθα, σὲ δὲ ἥκειν ὡς ἔχεις, κελεύουσι γὰρ
XIII 5 αὐτοί.“ τὸ μὲν δὴ αὐτοὶ Πυθαγόρειον ἤδη τῷ Ἀπολλωνίῳ ἐφάνη καὶ ἠκολούθει χαίρων.

103 Τὸν δὲ ὄχθον, ἐφ' οὗ οἱ σοφοὶ ἀνῳκισμένοι εἰσίν, ὕψος μὲν εἶναι κατὰ τὴν Ἀθηναίων φασὶν ἀκρόπολιν, ἀνίστασθαι δὲ ἐκ πεδίου ἄνω, εὐφυᾶ δὲ ὁμοίως πέτραν ὀχυροῦν αὐτὸν κύκλῳ περιήκουσαν, ἧς πολλαχοῦ δίχηλα ὁρᾶσθαι ἴχνη καὶ γενειάδων τύπους καὶ προσώπων καί που καὶ νῶτα ἰδεῖν ἀπωλισθηκόσιν ὅμοια, τὸν γὰρ Διόνυσον, ὅτε ξὺν Ἡρακλεῖ ἀπεπειρᾶτο τοῦ χωρίου, προσβα-
10 λεῖν μὲν αὐτῷ φασι κελεῦσαι τοὺς Πᾶνας, ὡς πρὸς τὸν σεισμὸν ἱκανούς, ἐμβροντηθέντας δὲ αὐτοὺς ὑπὸ τῶν σοφῶν πεσεῖν ἄλλον ἄλλως, καὶ τὰς πέτρας οἷον ἐντυπωθῆναι τὰ τῆς διαμαρτίας σχήματα. περὶ δὲ τῷ ὄχθῳ νεφέλην ἰδεῖν φασιν, ἐν ᾗ τοὺς Ἰνδοὺς οἰκεῖν φανερούς τε καὶ ἀφανεῖς καὶ ὅ τι βούλονται. πύλας δὲ εἰ μὲν καὶ ἄλλας εἶναι τῷ ὄχθῳ, οὐκ εἰδέναι. τὸ γὰρ περὶ
XIV αὐτὸν νέφος οὔτε ἀκλείστῳ ξυγχωρεῖν οὔτ' αὖ ξυγκεκλεισμένῳ φαίνεσθαι. αὐτὸς δὲ ἀναβῆναι μὲν
15 κατὰ τὸ νότιον μάλιστα τοῦ ὄχθου τῷ Ἰνδῷ ἑπόμενος, ἰδεῖν δὲ πρῶτον μὲν φρέαρ ὀργυιῶν τεττάρων, οὐ τὴν αὐγὴν ἐπὶ τὸ στόμιον ἀναπέμπεσθαι κυανωτάτην οὖσαν καὶ ὁπότε ἡ μεσημβρία τοῦ ἡλίου σταίη περὶ αὐτό, ἀνιμᾶσθαι τὴν αὐγὴν ἀπὸ τῆς ἀκτῖνος καὶ χωρεῖν ἄνω παρεχομένην εἶδος θερμῆς ἴριδος. μαθεῖν δὲ ὕστερον περὶ τοῦ φρέατος, ὡς σανδαρακίνη μὲν εἴη ἡ ὑπ' αὐτῷ γῆ,
20 ἀπόρρητον δὲ τὸ ὕδωρ ἡγοῖντο καὶ οὔτε πίνοι τις αὐτὸ οὔτε ἀνασπῴη, ὅρκιον δὲ νομίζοιτο τῇ πέριξ Ἰνδικῇ πάσῃ. πλησίον δὲ τούτου κρατῆρα εἶναι πυρός, οὗ φλόγα ἀναπέμπεσθαι μολυβδώδη, καπνὸν δὲ οὐδένα ἀπ' αὐτῆς ἄττειν, οὐδὲ ὀσμὴν οὐδεμίαν, οὐδὲ ὑπερχυθῆναί ποτε ὁ κρατὴρ οὗτος, ἀλλ' ἀναδίδοσθαι τοσοῦτος, ὡς μὴ ὑπερβλύσαι τοῦ βόθρου. ἐνταῦθα Ἰνδοὶ καθαίρονται τῶν
104 ἀκουσίων, ὅθεν οἱ σοφοὶ τὸ μὲν φρέαρ ἐλέγχου καλοῦσι, τὸ δὲ πῦρ ξυγγνώμης. καὶ διττὼ ἑωρακέναι φασὶ πίθω λίθου μέλανος ὄμβρων τε καὶ ἀνέμων ὄντε. ὁ μὲν δὴ τῶν ὄμβρων, εἰ αὐχμῷ ἡ
25 Ἰνδικὴ πιέζοιτο, ἀνοιχθεὶς νεφέλας ἀναπέμπει καὶ ὑγραίνει τὴν γῆν πᾶσαν, εἰ δὲ ὄμβροι πλεονεκτοῖεν, ἴσχει αὐτοὺς ξυγκλειόμενος, ὁ δὲ τῶν ἀνέμων πίθος ταὐτόν, οἶμαι, τῷ τοῦ Αἰόλου ἀσκῷ πράττει, παρανοιγνύντες γὰρ τὸν πίθον ἕνα τῶν ἀνέμων ἀνιᾶσιν ἐμπνεῖν ὥρᾳ κἀντεῦθεν ἡ γῆ ἔρρωται. θεῶν δὲ ἀγάλμασιν ἐντυχεῖν φασιν, εἰ μὲν Ἰνδοῖς ἢ Αἰγυπτίοις, θαῦμα οὐδέν, τὰ δέ γε ἀρχαιότατα τῶν παρ' Ἕλλησι τό τε τῆς Ἀθηνᾶς τῆς Πολιάδος καὶ τὸ τοῦ Ἀπόλλωνος τοῦ Δηλίου
30 καὶ τὸ τοῦ Διονύσου τοῦ Λιμναίου καὶ τὸ τοῦ Ἀμυκλαίου καὶ ὁπόσα δὲ ἀρχαῖα, ταῦτα ἱδρύεσθαί

1. φθέγγεσθαι. l. ib. ὄχλησιν. v. 2. βλέψας δὲ. a. ib. εἰς τὸν. l, s. ib. ἥκομεν ἀτεχνῶς. l sic ordine restituto. 4. σὲ δ' ἥκειν. l. 5. αὐτὸν. v. ib. πυθαγόριον. v.

6. τοῦ δὲ ὄχθου. p. ib. τὴν τῶν Ἀθηναίων. o. 7. πετρῶν. v. ib. περιήκουσα. v. 8. διχηλᾶ. l. ib. γενειάδος τύπου. v. ib. πρόσωπον. f, v, l et s ante corr. πρόσω. a. 9. ἀπεπείρατο. E. 10. ἱκανῶς. v. 11. τὰς πέτρας. p. (sic. corr.) 13. οἱ μὲν. o. 14. οὔτ' αὖ. B. οὔτ' ἂν. C, E. 15. τὸν. v. ib. ἰδεῖν δὲ. C, a. ἰδεῖν τε. m, o. ib. πρῶτον. C. πρῶτα. E. 16. τὴν αὐγὴν. l, m. τὴν γην. s. a sec. m. fuerat γῆν. τὴν γῆν. f, v, l. (sed in l. corr. πηγὴν.) τὴν . . . γῆν. a. ἴσ. γῆν. m. τὴν ἀτμὴν. o. 17. αὐτὴν. v. ἀτμὴν. o. 18. θερμῆς. C, a, m. θεωροῦσιν. o. ib. σανδαρακίνη. l, f, v, Hu. σανδρακίνη. l, s, E. σανδαρίκινον. E. ib. εἴη ὑπ'. v. ib. αὐτο γῆ. π. αὐτὸ αὐγὴ. p. 19. πίνοι. p, f. πίνει. π, v, l, s, E. ib. ἀνασπώη. a. 20. οὐ — μολυβδώδη. E. 443. 21. ὑπερχεθῆναι. v. 22. τοσοῦτον. o. ib. ἐνταῦθα οἱ Ἰνδοὶ. p. 23. συγγνώμης. a. 24. φησὶ. 2, a. ib. πίθους. p. ib. ὄντες. s, a et m, ubi γρ. ὄντε. 25. ὄμβρον. 2, a. 27. παρανυγνύντες. s ante corr. ib. τῶν πίθων ἕνα. 2, a, m. ib. ἀνιάσιν. v. 28. ἐντύχοις. 2, a. 30. Διονύσου τοῦ λημναίου. p, f, l. Δ. τοῦ λημνίου. π. Δ. τοῦ ὑλημνάνου. v. Διονύσου. s, E. Dionysi. Rh. ib. ἢ ὁπόσα. v. ib. ὁπόσα δὲ ἀ. 1 et m. γρ. δὲ ἀ. ὁπόσα ὧδε ἀ. 2, E.

III, 13. 14. p. 103. 104.

τε τοὺς Ἰνδοὺς τούτους καὶ νομίζειν Ἑλληνικοῖς ἤθεσι, φασὶ δ' οἰκεῖν τὰ μέσα τῆς Ἰνδικῆς. καὶ τὸν ὄχθον ὀμφαλὸν ποιοῦνται τοῦ λόφου τούτου, πῦρ τε ἐπ' αὐτοῦ ὀργιάζουσιν, ὃ φασιν ἐκ τῶν τοῦ ἡλίου ἀκτίνων αὐτοὶ ἕλκειν· τούτῳ καὶ τὸν ὕμνον ἡμέραν ἅπασαν ἐς μεσημβρίαν ᾄδουσιν.

Ὁποῖοι μὲν δὴ καὶ οἱ ἄνδρες καὶ ὅπως οἰκοῦντες τὸν ὄχθον, αὐτὸς ὁ ἀνὴρ δίειsιν· ἐν μιᾷ 105 XV
γὰρ τῶν πρὸς Αἰγυπτίους ὁμιλιῶν „εἶδον" φησὶν „Ἰνδοὺς Βραχμᾶνας οἰκοῦντας ἐπὶ τῆς γῆς καὶ
οὐκ ἐπ' αὐτῆς, καὶ ἀτειχίστως τετειχισμένους, καὶ οὐδὲν κεκτημένους ἢ τὰ πάντων" ταυτὶ δὲ ἐκεῖ-
νος μὲν σοφώτερον ἔγραψεν, ὁ δέ γε Δάμις φησὶ χαμευνίᾳ μὲν αὐτοὺς χρῆσθαι, τὴν γῆν δὲ ὑπο-
στρωννύναι πόας, ἃς ἂν αὐτοὶ αἱρῶνται, καὶ μετεωροπορουῦντας δὲ ἰδεῖν ἀπὸ τῆς γῆς ἐς πήχεις
δύο, οὐ θαυματοποιίας ἕνεκα, τὸ γὰρ φιλότιμον τοῦτο παραιτεῖσθαι τοὺς ἄνδρας, ἀλλ' ὁπόσα τῷ
Ἡλίῳ ξυναποβαίνοντες τῆς γῆς ὁρῶσιν, ὡς πρόσφορα τῷ θεῷ πράττοντες. τό τοι πῦρ, ὃ ἀπὸ τῆς
ἀκτῖνος ἐπισπῶνται καίτοι σωματοειδὲς ὂν οὔτε ἐπὶ βωμοῦ καίειν αὐτοὺς οὔτε ἐν ἰπνοῖς φυλάττειν,
ἀλλ' ὥσπερ τὰς αὐγάς, αἳ ἐξ ἡλίου τε ἀνακλῶνται καὶ ὕδατος, οὕτω μετέωρόν τε ὁρᾶσθαι αὐτὸ
καὶ σαλεῦον ἐν τῷ αἰθέρι. τὸν μὲν οὖν δὴ Ἥλιον ὑπὲρ τῶν ὡρῶν, ἃς ἐπιτροπεύει αὐτός, ἵν' ἐς
καιρὸν τῇ γῇ ὦσι καὶ ἡ Ἰνδικὴ εὖ πράττῃ, νύκτωρ δὲ λιπαροῦσι τὴν ἀκτῖνα μὴ ἅχθεσθαι τῇ νυκτί,
μένειν δέ, ὡς ὑπ' αὐτῶν ἤχθη. τοιοῦτον μὲν δὴ τοῦ Ἀπολλωνίου τὸ „ἐν τῇ γῇ τε εἶναι τοὺς Βραχ-
μᾶνας καὶ οὐκ ἐν τῇ γῇ", τὸ δὲ „ἀτειχίστως τετειχισμένους" δηλοῖ τὸν ἀέρα, ὑφ' ᾧ ζῶσιν, ὑπαί
θριοι γὰρ δοκοῦντες αὐλίζεσθαι σκιάν τε ὑπεραίρουσιν αὐτῶν καὶ ὕοντος οὐ ψεκάζονται καὶ ὑπὸ
τῷ ἡλίῳ εἰσίν, ἐπειδὰν αὐτοὶ βούλωνται. τὸ δὲ „μηδὲν κεκτημένους τὰ πάντων ἔχειν" ὧδε ὁ Δά- 106
μις ἐξηγεῖται· πηγαί, ὁπόσαι τοῖς βάκχοις παρὰ τῆς γῆς ἀναθρώσκουσιν, ἐπειδὰν ὁ Διόνυσος αὐ-
τούς τε καὶ τὴν γῆν σείσῃ, φοιτῶσι καὶ τοῖς Ἰνδοῖς τούτοις ἑστιωμένοις τε καὶ ἑστιῶσιν· εἰκότως
οὖν ὁ Ἀπολλώνιος τοὺς μηδὲν μὲν ἐκ παρασκευῆς, αὐτοσχεδίως δέ, ἃ βούλονται, ποριζομένους,
ἔχειν φησίν, ἃ μὴ ἔχουσιν. κομᾶν δὲ ἐπιτηδεύουσιν, ὥσπερ Λακεδαιμόνιοι πάλαι καὶ Θούριοι Τα-
ραντῖνοί τε καὶ Μήλιοι καὶ ὁπόσοις τὰ Λακωνικὰ ἦν ἐν λόγῳ, μίτραν τε ἀναδοῦνται λευκήν, καὶ
γυμνὸν αὐτοῖς βάδισμα καὶ τὴν ἐσθῆτα ἐσχηματίζοντο παραπλησίως ταῖς ἐξωμίσιν. ἡ δὲ ὕλη τῆς
ἐσθῆτος ἔριον αὐτοφυὲς ἡ γῆ φύει, λευκὸν μὲν ὥσπερ τὸ Παμφύλων, μαλακώτερον δὲ τίκτει, ἡ 107
πιμελὴ οἷα ἔλαιον ἀπ' αὐτοῦ λείβεσθαι. τοῦτο ἱερὰν ἐσθῆτα ποιοῦνται καὶ εἴ τις ἕτερος παρὰ
τοὺς Ἰνδοὺς τούτους ἀνασπᾷ αὐτό, οὐ μεθίεται ἡ γῆ τοῦ ἐρίου. τὴν δὲ ἰσχὺν τοῦ δακτυλίου καὶ
τῆς ῥάβδου, ἃ φορεῖν αὐτοὺς ἄμφω, δύνασθαι μὲν πάντα, δύω δὲ ἀρρήτω τετιμῆσθαι.

Προσιόντα δὲ τὸν Ἀπολλώνιον οἱ μὲν ἄλλοι σοφοὶ προσήγοντο ἀσπαζόμενοι ταῖς χερσίν, ὁ δὲ XVI
Ἴαρχας ἐκάθητο μὲν ἐπὶ δίφρου ὑψηλοῦ — χαλκοῦ δὲ μέλανος ἦν καὶ πεποίκιλτο χρυσοῖς ἀγάλμα-
σιν, οἱ δὲ τῶν ἄλλων δίφροι χαλκοῖ μέν, ἄσημοι δὲ ἦσαν, ὑψηλοὶ δὲ ἧττον, ὑπεκάθηντο γὰρ τῷ
Ἴαρχᾳ — τὸν δὲ Ἀπολλώνιον ἰδὼν φωνῇ τε ἠσπάσατο Ἑλλάδι καὶ τὰ τοῦ Ἰνδοῦ γράμματα ἀπή-

ἐπ'
2. ἀπ' ἀ. 1. ἀπ' ἀ. 2, a, m. ἐπ' α. o. 3. αὐτὸ. a, m. 4. δὴ οἱ ἄ. π. 5. φασὶν. 2, a. 6. καὶ τὰ. o. 7. μὲν.
ἦν ἦν
om. l et s. a pr. m. ib. χαμευνεία. s, a. ib. τῇ γῇ δὲ. π. et Piers. Verisim. 145. τῇ γῇ δὲ. p. τῇ δὲ γῇ. 2, E. 8. αἱροῦνται. v. αἱρῶνται. a. 9. τί γὰρ. v. 10. πράττοντες. C, E. Fo: πράττοντας. 13. τὸν μὲν οὖν δὴ ἥλιον. π. τὸν μὲν δὴ ἥλιον. p. μεθ' ἡμέραν μὲν οὖν ἥλιον. 2, E. 15. μὲν εἶναι. v. 16. ἐφ' ᾧ. p. 17. αὐτῶν. π αὐτῶν. E. 18. ἐπειδὴ. o. ib. πάντα. p. 19. ἀναθρώσκουσιν. 1. et m. γρ. ἀναθρώσκουσιν. ἐκθρώσκουσιν. 2, E. ib. ἐπειδὴ. o. 22. φασὶν. s. ib. κομῶσι δὲ οὗτοι οἱ Ἰνδοὶ ὥσπερ — Θούριοι, μίτραν τε — μαλακώτερον δὲ. Φ. (326, b, 26). 26. ἡ πιμελὴ. π, v. l ex corr., o. ᾗ πιμελὴ. p, f, s, m. ᾗ ἡ πιμελὴ. a. ᾗ. om. v. Fo: καὶ ἡ π. aut ἡ δὲ πιμελὴ.
ἃ
quod J proposuit Observ. in Ael. H. A. 40. ib. οἷα. m, o. οἷα, 1, f, l, s, a. οἱ. v. ib. ἐπ' αὐτοῦ. π, o. ἐπ' αὐτοῦ. p, f, s, a, m. ὑπ' αὐτοῦ. v ib. τοῦτο ἱερὰν ἐσθῆτα ποιοῦνται καὶ μόνοις αὐτοῖς ἀνασπᾶται τῆς γῆς, φοροῦσι δὲ καὶ δακτύλιον καὶ ῥάβδον. Φ. (326, b, 31). 28. δύο. v.
30. ἰάχαρ. v. (sic semper). ib. χαλκοῦ δὲ μ. οὗτος ἦν κ. π. χρ. ἀ. E. 444. 31. οἱ δὲ τῶν ἄλλων μετ' αὐτὸν διδάσκαλον δίφροι χαλκοῖ μὲν, φησὶν, ἄσημοι δ' ἦσαν καὶ ἧττον ὑψηλοί. E. 444. ib. δὲ τῷ ἰ. v. 32. τε. om. v. ib. Ἑλλάδι. π, s, E, E. ceteri om.

τει. θαυμάσαντος δὲ τοῦ Ἀπολλωνίου τὴν πρύγνωσιν καὶ γράμμα γε ἓν ἔφη λείπειν τῇ ἐπιστολῇ, δέλτα εἰπών, παρῆλθε γὰρ αὐτὸν γράφοντα. καὶ ἐφάνη τοῦτο ὧδε ἔχον· ἀναγνοὺς δὲ τὴν ἐπιστολὴν „πῶς," ἔφη „ὦ Ἀπολλώνιε, περὶ ἡμῶν φρονεῖτε;" „πῶς" εἶπεν „ἢ ὡς δηλοῖ τὸ ὑμῶν ἕνεκα ἥκειν με ὁδόν, ἢν μήπω τις τῶν ὅθεν περ ἐγὼ ἀνθρώπων;" „τί δὲ ἡμᾶς πλέον οἴει σαυτοῦ γιγνώσκειν;" „ἐγὼ μὲν" εἶπε „σοφώτερά τε ἡγοῦμαι τὰ ὑμέτερα καὶ πολλῷ θειότερα, εἰ δὲ μηδὲν πλέον ὧν οἶδα παρ' ὑμῖν εὕροιμι, μεμαθηκὼς ἂν εἴην καὶ τὸ μηκέτ' ἔχειν ὅ τι μάθοιμι." ὑπολαβὼν οὖν ὁ Ἰνδὸς „οἱ μὲν ἄλλοι" ἔφη „τοὺς ἀφικνουμένους ἐρωτῶσι, ποταποί τε ἥκουσι καὶ ἐφ'
108 ὅ τι, ἡμῖν δὲ σοφίας ἐπίδειξιν πρώτην ἔχει τὸ μὴ ἀγνοῆσαι τὸν ἥκοντα. ἔλεγχε δὲ πρῶτον τοῦτο." καὶ εἰπὼν ταῦτα πατρόθεν τε διῄει τὸν Ἀπολλώνιον καὶ μητρόθεν καὶ τὰ ἐν Αἰγαῖς πάντα καὶ ὡς προσῆλθεν αὐτῷ ὁ Δάμις καὶ εἴ δή τι ἐσπούδασαν ὁδοιποροῦντες ἢ σπουδάζοντος ἑτέρου εἶδον, πάντα ταῦθ' ὥσπερ κοινωνήσας αὐτοῖς τῆς ἀποδημίας ὁ Ἰνδὸς ἀπνευστί τε καὶ σαφῶς εἴρηκεν. ἐκπλαγέντος δὲ τοῦ Ἀπολλωνίου καὶ ὁπόθεν ᾖδει, ἐπερομένου „καὶ σὺ μέτοχος" ἔφη „τῆς σοφίας ταύτης ἧκεις, ἀλλ' οὔπω πάσης." „διδάξῃ οὖν με" ἔφη „τὴν σοφίαν πᾶσαν;" „καὶ ἀφθόνως γε," εἶπε „τουτὶ γὰρ σοφώτερον τοῦ βασκαίνειν τε καὶ κρύπτειν τὰ σπουδῆς ἄξια, καὶ ἄλλως, Ἀπολ-
λώνιε, μεστόν σε ὁρῶ τῆς μνημοσύνης, ἣν ἡμεῖς μάλιστα θεῶν ἀγαπῶμεν." „ἦ γὰρ καθεώρακας," εἶπεν „ὅπως πέφυκα;" „ἡμεῖς," ἔφη „ὦ Ἀπολλώνιε, πάντα ὁρῶμεν τὰ τῆς ψυχῆς εἴδη ξυμβόλοις αὐτὰ μυρίοις ἐξιχνεύοντες. ἀλλ' ἐπεὶ μεσημβρία πλησίον καὶ τὰ πρόσφορα τοῖς θεοῖς χρὴ παρασκευάσαι, νῦν μὲν ταῦτ' ἐκπονῶμεν, μετὰ ταῦτα δέ, ὁπόσα βούλει, διαλεγώμεθα, παρατύγχανε δὲ πᾶσι τοῖς δρωμένοις." „νὴ Δί'," εἶπεν „ἀδικοίην ἂν τὸν Καύκασον καὶ τὸν Ἰνδόν, οὓς ὑπερβὰς
XVII δι' ὑμᾶς ἧκω, εἰ μὴ πάντων ἐμφροίμην ὧν δρᾶτε." „ἐμφροῦ" ἔφη „καὶ ἴωμεν." ἐλθόντες οὖν ἐπὶ πηγήν τινα ὕδατος, ἣν φησιν ὁ Δάμις ἰδὼν ὕστερον ἐοικέναι τῇ ἐν Βοιωτοῖς Δίρκῃ, πρῶτα μὲν ἐγυμνώθησαν, εἶτα ἐχρίσαντο τὰς κεφαλὰς ἠλεκτρώδει φαρμάκῳ, τὸ δὲ οὕτω τι τοὺς Ἰνδοὺς ἔθαλπεν, ὡς ἀτμίζειν τὸ σῶμα καὶ τὸν ἱδρῶτα χωρεῖν ἀστακτί, καθάπερ τῶν πυρὶ λουομένων, εἶτα ἔρριψαν ἑαυτοὺς ἐς τὸ ὕδωρ καὶ λουσάμενοι ὧδε πρὸς τὸ ἱερὸν ἐβάδιζον ἐστεφανωμένοι καὶ μεστοὶ τοῦ ὕμνου. περιστάντες δὲ ἐν χοροῦ σχήματι καὶ κορυφαῖον ποιησάμενοι τὸν Ἴαρχαν ὀρθαῖς
109 ταῖς ῥάβδοις τὴν γῆν ἔπληξαν, ἡ δὲ κυρτωθεῖσα δίκην κύματος ἀνέπεμψεν αὐτοὺς ἐς δίπηχυ τοῦ ἀέρος. οἱ δὲ ᾖδον ᾠδήν, ὁποῖος ὁ παιὰν ὁ τοῦ Σοφοκλέους, ὃν Ἀθήνησι τῷ Ἀσκληπιῷ ᾄδουσιν. ἐπεὶ δὲ ἐς τὴν γῆν κατῆραν, καλέσας ὁ Ἴαρχας τὸ μειράκιον τὸ τὴν ἄγκυραν φέρον „ἐπιμελήθητι" ἔφη „τῶν Ἀπολλωνίου ἑταίρων." ὁ δὲ πολλῷ θᾶττον ἢ οἱ ταχεῖς τῶν ὀρνίθων πορευθείς τε καὶ ἐπανελθὼν „ἐπιμεμέλημαι" ἔφη. Θεραπεύσαντες οὖν τὰ πολλὰ τῶν ἱερῶν ἀνεπαύοντο ἐν τοῖς θάκοις, ὁ δὲ Ἴαρχας πρὸς τὸ μειράκιον „ἔκφερε" εἶπε „τῷ σοφῷ Ἀπολλωνίῳ τὸν Φραώτου θρό-
XVIII νον, ἵν' ἐπ' αὐτοῦ διαλέγοιτο." ὡς δὲ ἐκάθισεν „ἐρώτα," ἔφη „ὅ τι βούλει, παρ' ἄνδρας γὰρ ἥκεις πάντα εἰδότας." ἤρετο οὖν ὁ Ἀπολλώνιος, εἰ καὶ αὐτοὺς ἴσασιν, οἰόμενος αὐτόν, ὥσπερ Ἕλληνες, χαλεπὸν ἡγεῖσθαι τὸ ἑαυτὸν γνῶναι, ὁ δὲ ἐπιστρέψας παρὰ τὴν τοῦ Ἀπολλωνίου δόξαν „ἡμεῖς" ἔφη „πάντα γιγνώσκομεν, ἐπειδὴ πρώτους ἑαυτοὺς γιγνώσκομεν, οὐ γὰρ ἂν προσέλθοι τις ἡμῶν τῇ φιλοσοφίᾳ ταύτῃ μὴ πρῶτον εἰδὼς ἑαυτόν." ὁ δὲ Ἀπολλώνιος ἀναμνησθεὶς ὧν τοῦ

1. γράμμα τε. f. 2. αὖ τὸν. f, l, v. 3. τὸ ἡμῶν. π. 4. ὁδὸν ἧκειν με. f, l, v. ib. τί δαί. f, l. ib. σαυτὸν. f. 5. τε. om. p. 6. εἶην ἄν. f, l. εἴη ἄν. v. ib. μηκέτ' ἔχειν. B. μὴ κατέχειν. C, E. 7. ὁ. om. v. ib. ποταποὶ ἥκουσι. f, v, l. 8. ἐπίδειξιν. om. p. ib. ἔλεγχε δὲ. l. ἔλεγχε δὴ. f, l, v. ἔλεγχε δὲ δή. s, B. ib. τοῦτο πρῶτον. f. v, l. 10. σπουδάζοντες ἑτέρῳ. p, f, v, l. 12. ᾖδη. v. 13. ἀλλ'. om. π et s a pr. m. ib. διδάξεις. v. 15. ἢν μάβ α
λιστα. p. 16. ψυχῆς ἤθη. v. 17. ἀνιχνεύοντες. v. 22. ἐχρήσαντο. a, m. 23. ἀστακτὶ χωρεῖν. l. correcto ordine. ib. καὶ τῶν. m. 24. αὐτοὺς. f. 25. περιστάντες ἐν. f. ib. Ἴαρχην. a. 28. φέρων. π, v. 30. τὰ λοιπὰ. f, v, l. 33. εἶρετο. v. ib. αὐτὸ. p. 34. ὑποστρέψας. f, v, l. 35. ἐπειδὴ — γιγνώσκομεν. v, l, om. ib. ἑαυτοὺς. π. αὐτοὺς. p. s, a. αὐτοὺς. m, o ib. οὐ γὰρ ἂν προσέλθοι. f, v, l. οὐ γὰρ προσέλθοι. t, s, E.

III, 17. 18. p 108. 109.

Φραώτου ἤκουσε καὶ ὅπως ὁ φιλοσοφήσειν μέλλων ἑαυτὸν βασανίσας ἐπιχειρεῖ, τούτῳ ξυνεχώρησε τῷ λόγῳ, τουτὶ γὰρ καὶ περὶ ἑαυτοῦ ἐπέπειστο. πάλιν οὖν ἤρετο, τίνας αὐτοὺς ἡγοῖντο, ὁ δὲ „θεοὺς“ εἶπεν, ἐπερομένου δὲ αὐτοῦ, διὰ τί, „ὅτι“ ἔφη „ἀγαθοί ἐσμεν ἄνθρωποι.“ τοῦτο τῷ Ἀπολλωνίῳ τοσαύτης ἔδοξεν εὐπαιδευσίας εἶναι μεστόν, ὡς εἰπεῖν αὐτὸ καὶ πρὸς Δομετιανὸν ὕστερον ἐν τοῖς ὑπὲρ ἑαυτοῦ λόγοις. ἀναλαβὼν οὖν τὴν ἐρώτησιν „περὶ ψυχῆς δὲ“ εἶπε „πῶς φρο- s XIX
νεῖτε;“ „ὥς γε“ εἶπε „Πυθαγόρας μὲν ὑμῖν, ἡμεῖς δὲ Αἰγυπτίοις παρεδώκαμεν.“ „εἴποις ἂν οὖν,“ 110
ἔφη „καθάπερ ὁ Πυθαγόρας Εὔφορβον ἑαυτὸν ἀπέφηνεν, ὅτι καὶ σύ, πρὶν ἐς τοῦθ' ἥκειν τὸ σῶμα, Τρώων τις ἦ Ἀχαιῶν ἦσθα ἢ ὁ δεῖνα;“ ὁ δὲ Ἰνδὸς „Τροία μὲν ἀπώλετο“ εἶπεν „ὑπὸ τῶν πλευσάντων Ἀχαιῶν τότε, ὑμᾶς δὲ ἀπολωλέκασιν οἱ ἐπ' αὐτῇ λόγοι· μόνους γὰρ ἄνδρας ἡγούμενοι τοὺς ἐς Τροίαν στρατεύσαντας ἀμελεῖτε πλειόνων τε καὶ θειοτέρων ἀνδρῶν, οὓς ἥ τε ὑμετέρα γῆ 10
καὶ ἡ Αἰγυπτίων καὶ ἡ Ἰνδῶν ἤνεγκεν. ἐπεὶ τοίνυν ἤρου με περὶ τοῦ προτέρου σώματος, εἰπέ μοι, τίνα θαυμασιώτερον ἡγῇ τῶν ἐπὶ Τροίαν τε καὶ ὑπὲρ Τροίας ἐλθόντων;„ „ἐγὼ“ ἔφη „Ἀχιλλέα τὸν Πηλέως τε καὶ Θέτιδος, οὗτος γὰρ δὴ κάλλιστός τε εἶναι τῷ Ὁμήρῳ ὕμνηται καὶ παρὰ πάντας τοὺς Ἀχαιοὺς μέγας ἔργα τε αὐτοῦ μεγάλα οἶδε. καὶ μεγάλων ἀξιοῖ τοὺς Αἰαντάς τε καὶ Νιρέας, οἳ μετ' ἐκεῖνον καλοί τε αὐτῷ καὶ γενναῖοι ἄδοιντο“. „πρὸς τοῦτον,“ ἔφη „Ἀπολλώνιε, καὶ 15
τὸν πρόγονον θεώρει τὸν ἐμόν, μᾶλλον δὲ τὸ πρόγονον σῶμα, τουτὶ γὰρ καὶ Πυθαγόρας Εὔφορβον ἡγεῖτο. ἦν τοίνυν“ ἔφη „χρόνος, ὅτ' Αἰθίοπες μὲν ὧκουν ἐνταῦθα, γένος Ἰνδικόν, Αἰθιοπία XX
δ' οὔπω ἦν, ἀλλ' ὑπὲρ Μερόην τε καὶ Καταδούπους ὥριστο Αἴγυπτος, αὐτὴ καὶ τὰς πηγὰς τοῦ Νείλου παρεχομένη καὶ ταῖς ἐκβολαῖς ξυναπολήγουσα. ὧν μὲν δὴ χρόνον ὤκουν ἐνταῦθα οἱ Αἰθίοπες 20 111
ὑποκείμενοι βασιλεῖ Γάγγῃ, ἥ τε γῆ αὐτοὺς ἱκανῶς ἔφερβε καὶ οἱ θεοὶ σφῶν ἐπεμελοῦντο, ἐπεὶ δὲ
ἀπέκτειναν τὸν βασιλέα τοῦτον, οὔτε τοῖς ἄλλοις Ἰνδοῖς καθαροὶ ἔδοξαν, οὔτε ἡ γῆ ξυνεχώρει αὐτοῖς ἵστασθαι, τήν τε γὰρ σποράν, ἣν ἐς αὐτὴν ἐποιοῦντο, πρὶν ἐς κάλυκα ἥκειν, ἔφθειρε τούς τε τῶν γυναικῶν τόκους ἀτελεῖς ἐποίει καὶ τὰς ἀγέλας πονήρως ἔβοσκε, πόλιν τε ὅποι βάλοιντο, ὑπεδίδου ἡ γῆ καὶ ὑπεχώρει κάτω. καὶ γάρ τι φάσμα τοῦ Γάγγου προιόντας αὐτοὺς ἤλαυνεν ἐναραττόμενον τῷ ὁμίλῳ, ὃ οὐ πρότερον ἀνῆκε, πρίν γε δὴ τοὺς αὐθέντας καὶ τοὺς τὸ αἷμα χω- 25
ρὶς πράξαντας τῇ γῇ καθιερεύσαμεν. ἦν δὲ ἄρα ὁ Γάγγης οὗτος δεκάπηχυς μὲν τὸ μῆκος, τὴν δὲ ὥραν οἷος οὔπω τις ἀνθρώπων, ποταμοῦ δὲ Γάγγου παῖς· τὸν δὲ πατέρα τὸν ἑαυτοῦ τὴν Ἰνδικὴν ἐπικλύζοντα αὐτὸς ἐς τὴν Ἐρυθρὰν ἔτρεψε καὶ διήλλαξεν αὐτὸν τῇ γῇ, ὅθεν ἡ γῆ ζῶντι μὲν ἄφθονα ἔφερεν, ἀποθανόντι δὲ ἐτιμώρει. ἐπεὶ δὲ τὸν Ἀχιλλέα Ὅμηρος ἄγει μὲν ὑπὲρ Ἑλένης ἐς Τροίαν, φησὶ δὲ αὐτὸν δώδεκα μὲν πόλεις ἐκ θαλάττης ἠρηκέναι, πεζῇ δὲ ἕνδεκα, γυναῖκά τε ὑπὸ τοῦ βα- 30
σιλέως ἀφαιρεθέντα ἐς μῆνιν ἀπενεχθῆναι, ὅτε δὴ ἀτεράμονα καὶ ὠμὸν δόξαι, σκεψώμεθα τὸν Ἰνδὸν πρὸς ταῦτα· πόλεων μὲν τοίνυν ἑξήκοντα οἰκιστὴς ἐγένετο, αἵπερ εἰσὶ δοκιμώτατοι τῶν τῇδε —

ω
1. τοῦτο. π, s. 2. παρ' ἑαυτοῦ. o. περὶ αὐτοῦ. l. ib. αὐτοὺς. s, Hu. αὐτοὺς. l, E. 3. θεοὺς εἶ εἶπεν. π. Fo: θεοὺς εἶναι, εἶπεν. 4. ἀπαιδευσίας. v. ib. αὐτὸν. p, f, v, l. 5. ψυχῆς δή. s. ib. ἔφη, πῶς. l, v. 6. ὑμεῖς δὲ. m. ib. παραδεδώκαμεν. f, v, l. 8. ἦσθα. s, E. ἦς. p, f, v. l. ἦσθον. π. 9. λόγου. v. 11. καὶ Αἰγυπτίων καὶ
ων
Ἰνδῶν. v. 12. Τροίαν καὶ. f, l. 13. εἶναι. om. v. 14. ᾗδε. o. ib. μεγάλα. p. ib. ἀξιοῖ. π, s, E. ἀξιοῦν. p, f, v. l. ib. Νιρέα. f. 15. ᾄδοιντο. C, E. Fo: ᾄδονται. 16. τουτὶ — ἡγεῖτο. om. π. 17. ἡγεῖται. p. 21. τούτων. p.
ἱστασθ
ib. ἔτι καθαροὶ. f, v, l. ib. ἡ. om. v, l. 22. δεξασθαι. v sic corr. 23. πονηρῶς. v, l. ib. πόλιν δὲ. o. ib. βάλοιντο. v. 24. καὶ φάσμα. p, f, v, l. ib. προσιόντας. v. 25. αὐτοέντας. p. ib. χωρὶς. om. p. χερσὶ. Spengel. 26. καθιερώσαμεν. f, v, l. ib. Σ. v. Γάγγης· Γάγγης βασιλεὺς Αἰθιόπων (ὃν ἀπέκτεινεν Ἀλέξανδρος) δεκάπηχυς τὸ μῆκος, τὴν δὲ ὥραν — ἐπάγειν τῇ πόλει. 27. οἷος. om. v et ΣC. ib. δὲ. om. ΣC. 28. ἐπικλύοντα. p. ib. ἐστρεψε. s. ib. ἡ. om. E. restituit etiam J ad Athen. 101. 29. ἀποθανόντα. Σ edd. vett. ib. Ἑλένης. l. 30. φασὶ. f. v. ib. δέδωκα. l. ib. γυναῖκά τε. π, s, a, m. γυναῖκα δὲ. p, f, v, o, Σ. 31. ἀχθῆναι. ΣB, E. ἀπενεχθέντος. ΣC. ib. ὅτε δὲ. Σ. 32. δοκιμώτατοι. l, s, v, E. δοκιμώταται. f, l, Σ.

III. 19. 26. p. 110. 111.

τὸ δὲ πορθεῖν πόλεις ὅστις εὐκλεέστερον ἡγεῖται τοῦ ἀνοικίζειν πόλιν οὐκ ἔστι — Σκύθας δὲ τοὺς ὑπὲρ Καύκασόν ποτε στρατεύσαντας ἐπὶ τήνδε τὴν γῆν ἀπώσατο. τὸ δὲ ἐλευθεροῦντα τὴν ἑαυτοῦ γῆν ἄνδρα ἀγαθὸν φαίνεσθαι πολλῷ βέλτιον τοῦ δουλείαν ἐπάγειν πόλει καὶ ταῦθ' ὑπὲρ γυναικός, ἣν εἰκὸς μηδὲ ἄκουσαν ἀνηρπάσθαι. ξυμμαχίας δὲ αὐτῷ γενομένης πρὸς τὸν ἄρχοντα τῆς χώρας, ἧς νῦν Φραώτης ἄρχει, κἀκείνου παρανομώτατά τε καὶ ἀσελγέστατα γυναῖκα ἀφελομένου αὐτὸν οὐ παρέλυσε τοὺς ὅρκους, οὕτω βεβαίως ὁμωμοκέναι φήσας, ὡς μηδὲ ὁπότε ἡδικεῖτο
XXI 112 λυπεῖν αὐτόν. καὶ πλείω διῄειν ἂν τοῦ ἀνδρός, εἰ μὴ ἐς ἔπαινον ὤκνουν ἑαυτοῦ καθίστασθαι, εἰμὶ γάρ σοι ἐκεῖνος, τοῦτο δὲ ἐδήλωσα γεγονὼς ἔτη τέτταρα· ἑπτὰ γάρ ποτε ἀδαμάντινα τοῦ Γύγγου τούτου ξίφη ἐς γῆν πήξαντος ὑπὲρ τοῦ μηδὲν δεῖμα ἐμπελάζειν τῇ χώρᾳ καὶ τῶν θεῶν θύειν μὲν κελευόντων ἥκοντας, οὐ πέπηγε ταῦτα, τὸ δὲ χωρίον οὐκ ἐξηγουμένων, ἐν ᾧ ἐπεπήγει, παῖς ἐγὼ κομιδῇ τυγχάνων ἤγαγον τοὺς ἐξηγητὰς ἐπὶ τάφρον καὶ ὀρύττειν προσέταξα ἐκεῖ φήσας κατατεθεῖ-
XXII σθαι αὐτά. καὶ μήπω θαυμάσῃς τοὐμόν, εἰ ἐξ Ἰνδοῦ ἐς Ἰνδὸν διεδύθην· οὗτος γὰρ" δείξας τι μειράκιον εἴκοσί που γεγονὸς ἔτη „πέφυκε μὲν πρὸς φιλοσοφίαν ὑπὲρ πάντας ἀνθρώπους, ἔρρωται δέ, ὡς ὁρᾷς, καὶ κατεσκεύασται γενναίως τὸ σῶμα, καρτερεῖ δὲ πῦρ καὶ τομὴν πᾶσαν, καὶ τοιόσδε ὢν ἀπεχθάνεται τῇ φιλοσοφίᾳ." „τί οὖν," εἶπεν „ὦ Ἴαρχα, τὸ μειράκιον πάθος; δεινὸν γὰρ λέγεις, εἰ ξυντεταγμένος οὕτως ὑπὸ τῆς φύσεως μὴ ἀσπάζεται τὴν φιλοσοφίαν, μηδὲ ἐρᾷ τοῦ μανθάνειν καὶ ταῦτα ὑμῖν ξυνών." „οὐ ξύνεστιν," εἶπεν „ἀλλ' ὥσπερ οἱ λέοντες, ἄκων εἴληπται, καὶ καθείρκται μέν, ὑποβλέπει δὲ ἡμῶν τιθασευόντων αὐτὸν καὶ καταψώντων. γέγονε μὲν οὖν τὸ μει-
113 ράκιον τοῦτο Παλαμήδης ὁ ἐν Τροίᾳ, κέχρηται δὲ ἐναντιωτάτοις Ὀδυσσεῖ καὶ Ὁμήρῳ, τῷ μὲν ξυνθέντι ἐπ' αὐτὸν τέχνας, ὑφ' ὧν κατελιθώθη, τῷ δὲ οὐδὲ ἔπους αὐτὸν ἀξιώσαντι. καὶ ἐπειδὴ μηδὲ ἡ σοφία αὐτόν τι, ἣν εἶχεν, ὤνησε, μήτε Ὁμήρου ἐπαινέτου ἔτυχεν, ὑφ' οὗ πολλοὶ καὶ τῶν μὴ πάνυ σπουδαίων ἐς ὄνομα ἦχθησαν, Ὀδυσσέως τε ἧττητο ἀδικῶν οὐδέν, διαβέβληται πρὸς φιλοσοφίαν καὶ ὀλοφύρεται τὸ ἑαυτοῦ πάθος. ἔστι δὲ οὗτος Παλαμήδης, ὃς καὶ γράφει μὴ μαθὼν γράμματα."

XXIII Τοιαῦτα διαλεγομένων προσελθὼν τῷ Ἴαρχᾳ ἄγγελος „ὁ βασιλεὺς" ἔφη „περὶ δείλην πρώτην ἀφίξεται ξυνεσόμενος ὑμῖν περὶ τῶν ἑαυτοῦ πραγμάτων." ὁ δὲ „ἡκέτω," εἶπε „καὶ γὰρ ἂν καὶ βελτίων ἀπέλθοι γνοὺς ἄνδρα Ἕλληνα." καὶ εἰπὼν ταῦτα πάλιν τοῦ προτέρου λόγου εἴχετο. ἤρετο οὖν τὸν Ἀπολλώνιον „σὺ δ' ἂν εἴποις" ἔφη „τὸ πρῶτον σῶμα καὶ ὅστις πρὸ τοῦ νῦν ἦσθα;" ὁ δὲ εἶπεν „ἐπειδὴ ἄδοξον ἦν μοι ἐκεῖνο, ὀλίγα αὐτοῦ μέμνημαι." ὑπολαβὼν οὖν ὁ Ἴαρχας „εἶτα ἄδοξον" ἔφη „ἦγῇ τὸ γενέσθαι κυβερνήτης Αἰγυπτίας νεώς; τοῦτο γάρ σε ὁρῶ γεγονότα." „ἀληθῆ μὲν" εἶπεν „λέγεις, ὦ Ἴαρχα, τοῦτο γὰρ ἀτεχνῶς ἐγενόμην, ἡγοῦμαι δ' αὐτὸ οὐκ ἄδοξον μόνον, ἀλλὰ καὶ καταβεβλημένον, καὶ τοσούτου μὲν ἄξιον τοῖς ἀνθρώποις, ὅσου περ τὸ ἄρχειν καὶ τὸ στρατοῦ ἡγεῖσθαι, κακῶς δὲ ἀκοῦον ὑπὸ τῶν καθαπτομένων τῆς θαλάττης. τὸ γοῦν γενναιότατον τῶν ἐμοὶ πραχθέντων οὐδὲ ἐπαίνου τις ἠξίωσε τότε." „τί δὲ δὴ γενναῖον εἰργάσθαι

1. πόλιν. v. ib. πόλιν. om. ΣΕ. 2. ποτε στρατεύσαντας. π, s, E. στρατεύσαντας. p. στρατεύσαντάς ποτε. f, v, l, Σ. ib. τὸ δὲ. p. ex corr. f, l, v, Σ. τὸν δὲ. π, s, E. ib. Σ. v. ἐλεύθερος· ὅτι τὸν ἐλευθεροῦντα — πόλει οἷος ἦν Γύγγης βασιλεὺς Λιθιόπων. 3. τὴν δουλείαν. ΣC. ib. τῇ πόλει. Σ. 7. ἑαυτοῦ. o. ib. εἰ μὴ γὰρ. a, m. s. γάρ τινα ἀδ. v. 10. ἥκοντας δὲ. l. ib. οὐκ ἐπῆγε. f. a pr. m. ib. ἐν εἰ πεπήγει. v. 11. προσέταξε. m. 12. διεδόθη. p. 13. τὸ μειράκιον. v. ib. γεγονὼς. p. 14. γενναῖος. f, v, l. 16. ἐρᾶν. v. 17. ὑμῶν ξυνών. E. 18. ἀποβλέπει. s. a sec. m. et I ad Im. 406. ἀποβλέπει. 1, f, v, l, E. nisi m: γρ. ὑποβλέπει. ib. ὑμῶν. E. ib. τιθασευόντων. l, m, o. ib. αὐτὸν. π, s, E. αὐτό. p, f, v. ib. τοῦτο τὸ μ. f, v, l. 20. ἐπ' αὐτῷ. v. ib. οὐδὲ ἔπους. v. 21. μὴ δὲ. 1, s, a. μηδὲ. m, o. μήτε. f, l. ib. ἦν ὅτε εἶχεν. v. l. ib. οὔτε Ὁμήρου — ἤχθησαν. Φ. (332, b, 4.) 23. πάθους. v.

25. πρώϊαν. o. 26. ἱκέτω. v. 27. ἂν βελτίων. f, v, l. εἰ καὶ β. a. ib. ἀπέλθη. l. ib. προτέρου. p. 30. νεὼς Αἰγυπτίας. f, v, l. 31. ἀληθῆ μὲν, εἶπε, λέγεις ὦ Ἴ. C. ἀλ. μὲν λέγεις ὦ Ἴ. εἶπε. E. ib. αὐτὸν. v. 32. τοσοῦτον. m. 33. ἀκούων. v, l et s ex corr. inde a. 34. τί δαὶ δή. l.

III, 21. 22 23. p. 112. 113.

φήσεις ἢ τὸ περιβεβληκέναι Μαλέαν τε καὶ Σούνιον χαλινώσας ἐκφερομένην τὴν ναῦν, καὶ τὸ κατὰ 114
πρύμναν τε καὶ πρώραν τῶν ἀνέμων, ὁπόθεν ἐκδοθήσονται, σαφῶς διεγνωκέναι ἑρμάτων τε ὑπερ-
άραι τὸ σκάφος ἐν Εὐβοίᾳ κοίλῃ, οὗπερ πολλὰ τῶν ἀκρωτηρίων ἀναπέπηγεν;“ ὁ δὲ Ἀπολλώνιος XXIV
„ἐπεί με“ εἶπεν „ἐς κυβερνητικὸν ἐμβιβάζεις λόγον, ἄκουε, ὃ δοκῶ μοι τότε ὑγιῶς πρᾶξαι· τὴν
θάλαττάν ποτε τῶν Φοινίκων λῃσταὶ ὑπεκάθηντο καὶ ἐφοίτων περὶ τὰς πόλεις ἀναμανθάνοντες 5
τίς τί ἄγοι. κατιδόντες οὖν ἐμπορίαν λαμπρὰν τῆς νεὼς οἱ τῶν λῃστῶν πρόξενοι διελέγοντό μοι
ἀπολαβόντες με, πόσον τι μεθέξοιμι τοῦ ναύλου, ἐγὼ δὲ χιλίων ἔφην, ἐπειδὴ τέτταρες ἐκυβέρνων
τὴν ναῦν. „οἰκία δὲ“ ἔφασαν „ἔστι σοι;“ „καλύβη πονηρὰ“ ἔφην „περὶ τὴν νῆσον τὴν Φάρον,
οὗ πάλαι ποτὲ ὁ Πρωτεὺς ᾤκει.“ „βούλοιο ἂν οὖν“ ἤροντό με „γενέσθαι σοι γῆν μὲν ἀντὶ θα-
λάττης, οἰκίαν δὲ ἀντὶ τῆς καλύβης, τὸ δὲ ναῦλον δεκάκις τοῦτο κακῶν τε ἐξελθεῖν μυρίων, ἃ ἀπὸ 10
τῆς θαλάττης ἀνοιδούσης ἐγχρίπτει τοῖς κυβερνῶσιν;“ βούλεσθαι μὲν εἶπον, οὐ μὴν ἁρπαγῶν γε
ἐμαυτὸν ἀξιοῦν, ὁπότε σοφώτερος ἐμαυτοῦ γέγονα καὶ στεφάνων ἠξίωμαι παρὰ τῆς τέχνης. προιόν-
των δ' αὐτῶν καὶ βαλάντιά μοι δραχμῶν μυρίων δώσειν φασκόντων, εἰ γενοίμην αὐτοῖς, ὃ ἐβού-
λοντο, λέγειν ἤδη παρεκελευσάμην ὡς μηδὲν ἐλλείψων τοῦ πᾶς ἀνὴρ γενέσθαι σφίσι· λέγουσι δὴ
μελεδωνοὶ μὲν εἶναι λῃστῶν, δεῖσθαι δέ μου μὴ ἀφελέσθαι αὐτοὺς τὸ τὴν ναῦν ἐλεῖν, μηδὲ ἐς 15
ἄστυ ἐκπλεῦσαι, ὁπότε ἐκεῖθεν ἄροιμι, ἀλλ' ὑφορμίσασθαι τῷ ἀκρωτηρίῳ, τὰς ναῦς γὰρ τὰς λῃ-
στρικὰς ἐν περιβολῇ ἑστάναι, καὶ ὀμνύναι μοι ἐβούλοντο μήτ' αὐτόν με ἀποκτενεῖν καὶ ἀνήσειν δὲ τὸν
θάνατον οἷς ἂν ἐγὼ παραιτῶμαι. ἐγὼ δὲ νουθετεῖν μὲν αὐτοὺς οὐκ ἀσφαλὲς ἐμαυτῷ ἡγούμην δείσας
μὴ ἀπογνόντες ἐμβάλωσι μετεώρῳ τῇ νηὶ καὶ ἀπολώμεθά που τοῦ πελάγους, ὡς δὲ ὑπούργησα,
ἃ ἐβούλοντο, ὀμνύναι ἔφην αὐτοὺς δεῖν ἢ μὴν ἀληθεύσειν ταῦτα. ὀμοσάντων τοίνυν, καὶ γὰρ ἐν 20 115
ἱερῷ διελέγοντο, „χωρεῖτε“ ἔφην „ἐπὶ τὰ τῶν λῃστῶν πλοῖα, ἡμεῖς γὰρ νύκτωρ ἀφήσομεν.“ καὶ πι-
θανώτερος ἐδόκουν ἔτι περὶ τοῦ νομίσματος διαλεγόμενος, ὡς δόκιμον ἀπαριθμηθείη μοι καὶ μὴ
πρότερον ἢ τὴν ναῦν ἕλωσιν. οἱ μὲν δὴ ἐχώρουν, ἐγὼ δὲ ἦκα ἐς τὸ πέλαγος ὑπεράρας τοῦ ἀκρω-
τηρίου.“ „ταῦτ' οὖν,“ εἶπεν ὁ Ἴαρχας „Ἀπολλώνιε, δικαιοσύνης ἦρῃ ἔργα;“ „καὶ πρός γε“ ἔφη
„φιλανθρωπίας, τὸ γὰρ μὴ ἀποδόσθαι ψυχὰς ἀνθρώπων, μηδ' ἀπεμπολῆσαι τὰ τῶν ἐμπόρων χρη- 25
μάτων τε κρείττω γενέσθαι ναύτην ὄντα πολλὰς ἀρετὰς οἶμαι ξυνειληφέναι.“ γελάσας οὖν ὁ Ἰνδὸς XXV
„ἔοικας“ ἔφη „τὸ μὴ ἀδικεῖν δικαιοσύνην ἡγεῖσθαι, τοῦτο δὲ οἶμαι καὶ πάντας Ἕλληνας· ὡς γὰρ
ἐγώ ποτε Αἰγυπτίων δεῦρο ἀφικομένων ἤκουσα, φοιτῶσι μὲν ὑμῖν ἀπὸ τῆς Ῥώμης ἡγεμόνες γυμνὸν
ἡρμένοι τὸν πέλεκυν ἐφ' ὑμᾶς, οὔπω γιγνώσκοντες, εἰ φαύλων ἄρξουσιν, ὑμεῖς δέ, εἰ μὴ πωλοῖεν
τὰς δίκας οὗτοι, φατὲ αὐτοὺς δικαίους εἶναι. τοῦτο δὲ καὶ τοὺς τῶν ἀνδραπόδων καπήλους ἀκούω 30
ἐκεῖ πράττειν, εἰ γὰρ ἀφίκοιντο κατάγοντες ὑμῖν ἀνδράποδα Καρικὰ καὶ τὸ ἦθος αὐτῶν ἐφερμη-
νεύοιεν ὑμῖν, ἔπαινον ποιοῦνται τῶν ἀνδραπόδων τὸ μὴ κλέπτειν αὐτά. τοὺς μὲν δὴ ἄρχοντας,
οἷς ὑποκεῖσθαί φατε, τοιούτων ἀξιοῦτε, καὶ λαμπρύνοντες αὐτοὺς ἐπαίνοις, οἷς περ τὰ ἀνδράποδα,

φήσεις
1. τότε. v. ib. παραβεβληκέναι. s ex corr. a, m. ib. μελέαν. a. ib. καὶ κατὰ. f, v. 3. σκάφος δὲ. f, v, l. ib. ἤπερ πολλὰ. p. καίπερ πολλὰ. f, v, l. 4. ἐμβιβάζει. v. ib. ἄκουε οὖ. v. ib. δοκῶ. B, o. δοκεῖ. C, a, m. ib. τὴν
φ
θάλατταν ποτὲ, τῶν. h, l. 6. τίς τί. l, s. τίς τι. E. 7. πόσον τί. E. ib. μεθέξοι. l. ib. ἔφη. v. 8. παρον. f. corr. al. m. πφάρον. l. 9. οὗ ποτὲ. m, o. ib. οὖν. om. f, l. ib. ἤρετο. a, m. (corr. Hu.) ib. σοι. om. f, v, l. 10. τὸν δὲ. v. 11. ἐγχρίμπτει. o et l ante erasionem. 12. προσιόντων. s, a, m. 13. βαλάντια. 2. 14. λέγειν ἤδη — σφίσιν. Φ. 332. b. 6). ib. παρεκελευσάμην. 1, s, a, m. ΦΑ, B. παρισκευασάμην. f, v, l.
ω
r, o. 16. ὁπόταν. E. 17. παραβολῇ. π et m. γρ. 18. ἂν. om. l. ib. παραιτοῦμαι. v. 19. ἐμβάλλωσι. v. 20. μήτ' αὐτὸν ἀποκτεῖναι. post ἐβούλοντο addunt C, E del. J. Mus. Rhen. 1828. p. 18. ib. ἐν τῷ ναῷ. l. 24. ἔργα ἦρῃ. l.
ου
ib. ἔφην. π, s, a, m. 28. ἐγώ τε. p. ib. ἀπὸ τῆς Ῥ. ὑμῖν. v. 29. ἄρξωσιν. v. ib. ὑμεῖς μὲν εἰ μὲν. v. 31. ἀφί-
ξ
κοιτο. a. ib. καρικα. p. 33. οὗς. s. a. ib. τοιούτων. l, s. E. τούτων. f, v, l. ib. λαμπρύνοντας. a, m. ib. οἷς περὶ. p.

III, 24. 28. p. 114. 115.

ζηλωτοὺς πέμπετε, ὡς οἴεσθε, οἱ δέ γε σοφώτατοι ποιηταὶ ὑμῶν οὐδ' εἰ βούλεσθε δίκαιοί τε καὶ χρηστοὶ εἶναι, ξυγχωροῦσιν ὑμῖν γενέσθαι. τὸν γὰρ Μίνω τὸν ὠμότητι ὑπερβαλόμενον πάντας καὶ δουλωσάμενον ταῖς ναυσὶ τοὺς ἐπὶ θαλάττῃ τε καὶ ἐν θαλάττῃ δικαιοσύνης σκήπτρῳ τιμῶντες ἐν
116 Ἅιδου καθίζουσι διαιτᾶν ταῖς ψυχαῖς, τὸν δ' αὖ Τάνταλον, ἐπειδὴ χρηστός τε ἦν καὶ τοῖς φίλοις τῆς ὑπαρχούσης αὐτῷ παρὰ τῶν θεῶν ἀθανασίας μετεδίδου, ποτοῦ τε εἴργουσι καὶ σίτου. εἰσὶ δὲ οἳ καὶ λίθους αὐτῷ ἐπικρεμάσαντες δεινὰ ἐφυβρίζουσι θείῳ τε καὶ ἀγαθῷ ἀνδρί, οὓς ἐβουλόμην ἂν μᾶλλον λίμνην αὐτῷ περιβλύσαι νέκταρος, ἐπειδὴ φιλανθρωπως αὐτοῦ καὶ ἀφθόνως προὔπινε." καὶ ἅμα λέγων ταῦτα ἐπεδείκνυ ἄγαλμα ἐν ἀριστερᾷ, ᾧ ἐπεγέγραπτο ΤΑΝΤΑΛΟΣ. τὸ μὲν δὴ ἄγαλμα τετράπηχυ ἦν, ἀνδρὶ δὲ ἐῴκει πεντηκοντούτῃ καὶ τρόπον Ἀργολικὸν ἔσταλτο, παρήλλαττε δὲ τὴν χλαμύδα, ὥσπερ οἱ Θετταλοί, φιάλην τε προὔπινεν ἀποχρῶσαν ἐνὶ διψῶντι, ἐν ᾗ στάλαγμα ἐκάχλαζεν ἀκηράτου πόματος οὐχ ὑπερβλύζον τῆς φιάλης. ὅ τι μὲν οὖν ἡγοῦνται αὐτὸ καὶ ἐφ' ὅτῳ ἀπ' αὐτοῦ πίνουσι, δηλώσω αὐτίκα. πλὴν ἀλλὰ ἡγεῖσθαι χρὴ τὸν Τάνταλον μὴ τῇ γλώττῃ ἐφέντα, κοινωνήσαντα δὲ ἀνθρώποις τοῦ νέκταρος ὑπὸ τῶν ποιητῶν ἐλαύνεσθαι, θεοῖς δὲ μὴ διαβεβλῆσθαι αὐτόν, οὐ γὰρ ἄν, εἰ θεοῖς ἀπήχθετο, κριθῆναί ποτε ὑπὸ τῶν Ἰνδῶν ἀγαθὸν θεοφιλεστάτων ὄντων καὶ μηδὲν ἔξω τοῦ θείου πραττόντων.

XXVI Διατρίβοντας δὲ αὐτοὺς περὶ τὸν λόγον τοῦτον θόρυβος ἐκ τῆς κώμης προσέβαλεν, ἀφῖκτο δὲ ἄρα ὁ βασιλεὺς μηδικώτερον κατεσκευασμένος καὶ ὄγκου μεστός. ἀχθεσθεὶς οὖν ὁ Ἴαρχας „εἰ δὲ Φραώτης" ἔφη „καταλύων ἐτύγχανεν, εἶδες ἂν ὥσπερ ἐν μυστηρίῳ σιωπῆς μεστὰ πάντα." ἐκ τούτου μὲν δὴ ξυνῆκεν ὁ Ἀπολλώνιος, ὡς βασιλεὺς ἐκεῖνος οὐκ ὀλίγῳ μέρει, φιλοσοφίᾳ δὲ πάσῃ τοῦ
117 Φραώτου λείποιτο, ῥᾳθύμους δὲ ἰδὼν τοὺς σοφοὺς καὶ μηδὲν παρασκευάζοντας, ὧν δεῖ τῷ βασιλεῖ μετὰ μεσημβρίαν ἥκοντι „ποῖ" ἔφη „ὁ βασιλεὺς διαιτήσεται;" „ἐνταῦθα," ἔφασαν, ὧν γὰρ ἕνεκα ἥκει, νύκτωρ διαλεγόμεθα, ἐπειδὴ καὶ βελτίων ὁ καιρὸς πρὸς βουλάς." „καὶ τράπεζα" ἔφη „παρακείσεται ἥκοντι;" „νὴ Δί'," εἶπε „παχεῖά τε καὶ πάντα ἔχουσα, ὁπόσα ἐνταῦθα." „παχέως οὖν" ἔφη „διαιτᾶσθε;" „ἡμεῖς μὲν" ἔφασαν „λεπτῶς, πλείονα γὰρ ἡμῖν ἐξὸν σιτίζεσθαι μικροῖς χαίρομεν, τῷ δὲ βασιλεῖ πολλῶν δεῖ, βούλεται γάρ. σιτήσεται δὲ ἔμψυχον μὲν οὐδέν, οὐ γὰρ θέμις ἐνταῦθα, τραγήματα δὲ καὶ ῥίζας καὶ ὡραῖα, ὁπόσα νῦν ἡ Ἰνδικὴ ἔχει ὁπόσα τε αἱ ἐς νέωτα
XXVII ὧραι δώσουσιν. ἀλλ' ἰδοὺ" ἔφη „οὗτος." προῆει δὲ ἄρα ὁ βασιλεὺς ἀδελφῷ τε καὶ υἱῷ ἅμα χρυσῷ τε ἀστράπτων καὶ ψήφοις. ὑπανισταμένου δὲ τοῦ Ἀπολλωνίου, κατεῖχεν αὐτὸν ὁ Ἴαρχας ἐν τῷ θρόνῳ, μηδὲ γὰρ αὐτοῖς πάτριον εἶναι τοῦτο. τούτοις ὁ Δάμις αὐτὸς μὲν οὔ φησι παρατυχεῖν διὰ τὸ τὴν ἡμέραν ἐκείνην ἐν τῇ κώμῃ διαιτᾶσθαι, Ἀπολλωνίου δὲ ἀκηκοὼς ἐγγράψαι αὐτὰ ἐς τὸν αὐτοῦ λόγον. φησὶ τοίνυν καθημένοις μὲν αὐτοῖς τὸν βασιλέα προτείνοντα τὴν χεῖρα οἷον εὔχεσθαι τοῖς ἀνδράσι, τοὺς δὲ ἐπινεύειν, ὥσπερ ξυντιθεμένους οἷς ᾔτει, τὸν δὲ ὑπερήδεσθαι τῇ ἐπαγγελίᾳ, καθάπερ ἐς θεοῦ ἥκοντα. τὸν δὲ ἀδελφὸν τοῦ βασιλέως καὶ τὸν υἱὸν κάλλιστον μειράκιον ὄντα μηδὲν ὁρᾶσθαι βέλτιον ἢ εἰ ἀνδράποδα τουτωνὶ τῶν ἀκολούθων ἦσαν. μετὰ ταῦτα ἐξαναστῆναι τὸν

1. πέμπεσθαι οἴεσθε. p. ex corr. ib. ἡμῶν. m, o. (corr. Hu.) 3. ναυσὶν ἐπὶ θαλάσσῃ. f, v, l. ib. τε καὶ ἐν θ. erasum. p. 4. διαιτῶν τὰς ψυχάς. v. 5. τῆς ὑπαρχούσης. 1, f, l, v, l ad Athen. 17. τοῖς ὑπαρχούσοις. s. τοῖς ὑπάρχουσιν. E. ib. περὶ τῶν. π. 6. οἳ λίθους. m. ib. ἐβουλόμην δ' ἂν. f, v, l. 7. περικλύσαι. s. corr. a rec. m. ὦ κάχαλμα s. ᾧ ἐπεγέγρ. s. 10. στάλαγμα. f. al. m. corr. 12. ἐφέντα. C. ὑφέντα. E. 14. ἀγαθὸν ὑπὸ τῶν Ἰνδῶν. f, v, l. ib. θεοφιλεστάτων τε ὄντων. p.

18. μυστηρίοις. f, v, l, o. ib. ἐκ τούτου — λείποιτο. Φ. (332, b, 8). 20. ἀθύμους. f, l. 21. κατὰ μεσημβρίαν. f, v, l. ib. ὁ. om. f, v, l. 22. ἕνεκα. 1. ἕνεκεν. 2, E. ib. διαλεγοίμεθα. p. ib. ἐπειδὴ. om. v. 23. παχεῖά γε. f, v, l. 24. ἐξ ὧν. v. 25. σιτίσεσθε. v. 26. τραγύλαφα. v. ib. τρέφει. v. 27. προήει τε. f, l, v. 29. ὁ Δάμις μὲν. f, v. 30. ἐγγράψαι. 1, f, l, s. ἔγραψαι. v. ἔγραψεν. E. 31. προτείναντα. p, f, v. 33. τὸ δὲ. v 34. ἦσαν μηδὲν ὁρᾶσθαι βέλτιον. v (repetit initium huius versus). ib. ἐξεστῆναι. v.

III, 26. 27. p. 116. 117.

Ἰνδὸν καὶ φωνὴν ἱέντα κελεύειν αὐτὸν σίτου ἅπτεσθαι, προσδεξαμένου δ' αὐτοῦ καὶ τοῦτο μάλα ἁσμένως τρίποδες μὲν ἐξεπορεύθησαν Πυθικοὶ τέτταρες αὐτόματοι, καθάπερ οἱ Ὁμήρειοι προιόντες, οἰνοχόοι δ' ἐπ' αὐτοῖς χαλκοῦ μέλανος, οἷοι παρ' Ἕλλησιν οἱ Γανυμήδεις τε καὶ οἱ Πέλοπες. 118
ἡ γῆ δὲ ὑπεστόρνυ πόας μαλακωτέρας ἢ αἱ εὐναί. τραγήματα δὲ καὶ ἄρτοι καὶ λάχανα καὶ τρωκτὰ ὡραῖα, πάντα ἐν κόσμῳ ἐφοίτα διακείμενα ἤδιον ἢ εἰ ὀψοποιοὶ αὐτὰ παρεσκεύαζον, τῶν δὲ τριπόδων οἱ μὲν δύο οἴνου ἐπέρρεον, τοῖν δυοῖν δὲ ὁ μὲν ὕδατος θερμοῦ κρήνην παρεῖχεν, ὁ δὲ αὖ ψυχροῦ. αἱ δ' ἐξ Ἰνδῶν φοιτῶσαι λίθοι παρ' Ἕλλησι μὲν ἐς ὅρμους τε καὶ δακτυλίους ἐμβιβάζονται διὰ σμικρότητα, παρὰ δὲ Ἰνδοῖς οἰνοχόαι τε ψυκτῆρές τε γίγνονται διὰ μέγεθος καὶ κρατῆρες ἡλίκοι ἐμπλῆσαι τέτταρας ὥρᾳ ἔτους διψῶντας. τοὺς δὲ οἰνοχόους τοὺς χαλκοῦς ἀρύεσθαι μέν φησι ξυμμέτρως τοῦ τε οἴνου καὶ τοῦ ὕδατος, περιελαύνειν δὲ τὰς κύλικας, ὥσπερ ἐν τοῖς πότοις. κατακεῖσθαι δὲ αὐτοὺς ὡς ἐν ξυσσιτίῳ μέν, οὐ μὴν πρόκριτόν γε τὸν βασιλέα, τοῦτο δὴ τὸ παρ' Ἕλλησί τε καὶ Ῥωμαίοις πολλοῦ ἄξιον, ἀλλ' ὡς ἔτυχέ γε, οὗ ἕκαστος ὥρμησεν.

Ἐπεὶ δὲ προῆει ὁ πότος „προπίνω σοι," ὁ Ἰάρχας εἶπεν „ὦ βασιλεῦ, ἄνδρα Ἕλληνα τὸν Ἀπολλώνιον ὑποκεκλιμένον αὐτῷ δείξας καὶ τῇ χειρὶ προσημαίνων, ὅτι γενναῖός τε εἴη καὶ θεῖος. ὁ δὲ βασιλεὺς „ἤκουσα" ἔφη „προσήκειν Φραώτῃ τοῦτόν τε καὶ τοὺς ἐν τῇ κώμῃ καταλύοντας." „ὀρθῶς" ἔφη „καὶ ἀληθῶς ἤκουσας, ἐκεῖνος γὰρ κἀνταῦθα ξενίζει αὐτόν." „τί" ἔφη „ἐπιτηδεύοντα;" „τί δ' ἄλλο γε" εἶπεν „ἢ ἅπερ ἐκεῖνος;" „οὐδὲν" ἔφη „ξένον εἴρηκας ἀσπαζόμενον ἐπιτήδευσιν, ἢ μηδὲ ἐκείνῳ ξυνεχώρησε γενναίῳ γενέσθαι." ὁ μὲν δὴ Ἰάρχας „σωφρονέστερον," ἔφη „ὦ βασιλεῦ, περὶ φιλοσοφίας τε καὶ Φραώτου γίγνωσκε, τὸν μὲν γὰρ χρόνον, ὃν μειράκιον ἦσθα, ξυνεχώρει σοι ἡ νεότης τὰ τοιαῦτα, ἐπεὶ δὲ ἐς ἄνδρας ἐξαλλάττεις ἤδη, φειδώμεθα τῶν ἀνοήτων τε καὶ εὐκόλων." ὁ δὲ Ἀπολλώνιος ἑρμηνεύοντος τοῦ Ἰάρχα „σοὶ δὲ τί," ἔφη „ὦ βασιλεῦ, τὸ μὴ 119
φιλοσοφῆσαι δέδωκεν;" „ἐμοὶ δὲ ἀρετὴν πᾶσαν καὶ τὸ εἶναί με τὸν αὐτὸν τῷ Ἡλίῳ." ὁ δὲ ἐπισκομίζων αὐτοῦ τὸν τῦφον „εἰ ἐφιλοσόφεις," εἶπεν „οὐκ ἂν ταῦτα ᾤου." „σὺ δέ, ἐπειδὴ φιλοσοφεῖς, ὦ βέλτιστε," ἔφη „τί περὶ σαυτοῦ οἴει;" „τό γε ἀνὴρ" ἔφη „ἀγαθὸς δοκεῖν, εἰ φιλοσοφοίην." ἀνατείνας οὖν τὴν χεῖρα ἐς τὸν οὐρανὸν „νὴ τὸν Ἥλιον," ἔφη „Φραώτου μεστὸς ἥκεις." ὁ δὲ ἑρμαιόν γε ἐποιήσατο τὸν λόγον καὶ ὑπολαβὼν „οὐ μάτην ἀποδεδήμηταί μοι," εἶπεν „εἰ Φραώτου μεστὸς γέγονα· εἰ δὲ κἀκείνῳ νῦν ἐντύχοις, πάνυ φήσεις αὐτὸν ἐμοῦ μεστὸν εἶναι, καὶ γράφειν δὲ ὑπὲρ ἐμοῦ πρὸς σὲ ἐβούλετο, ἀλλ' ἐπειδὴ ἔφασκεν ἄνδρα ἀγαθὸν εἶναί σε, παρῃτησάμην τὸν ὄχλον τῆς ἐπιστολῆς, ἐπεὶ μηδὲ ἐκείνῳ τις ὑπὲρ ἐμοῦ ἐπέστειλεν. ἡ μὲν δὴ πρώτη παροιν- xxix
νία τοῦ βασιλέως ἐνταῦθα ἔληξεν. ἀκούσας γὰρ ἐπαινεῖσθαι αὐτὸν ὑπὸ τοῦ Φραώτου τῆς τε ὑποψίας ἐπελάθετο καὶ ὑφεὶς τοῦ τόνου „χαῖρε," ἔφη „ἀγαθὲ ξένε." ὁ δὲ Ἀπολλώνιος „καὶ σύ, βασιλεῦ," εἶπεν „ἔοικας γὰρ νῦν ἥκοντι." τίς σε ἔφη „πρὸς ἡμᾶς ἤγαγεν;" „οὗτοι" εἶπεν „οἱ θεοί τε καὶ σοφοὶ ἄνδρες." „περὶ ἐμοῦ δέ," ἔφη „ὦ ξένε, τίς λόγος ἐν τοῖς Ἕλλησιν;" „ὅσος γε" εἶπε „καὶ περὶ Ἑλλήνων ἐνταῦθα." „οὐδὲν," ἔφη „τῶν παρ' Ἕλλησιν ἔγωγε λόγου ἀξιῶ." „ἀπαγγελῶ

1. φωνὴν ἐπακοῦσαι ἱέντα. f, v, l. ib. μᾶλα. p, f, l. μᾶλα. v. μάλιστα. π, s, E. 2. ἀσμένου. v. ib. πιθηκοί. π. ib. Ὁμήρειοι. p, 2. Ὁμήριοι. π, E. λ. ὑπ' αὐτοῦ. p. ὑπ' αὐτοῖς. π, 2, a, m. ἐπ' αὐτοῖς. o, E, Hu. Fo: ὑπ' αὐτοὺς. ib. οἱ παρ'. v. 4. ὑπεστρόνει. v. 5. ἢ οἱ. v. ib. τῶν δὲ — οἱ δ' ἕτεροι δύο, ὁ μὲν — ψυχροῦ. E. 445. 6. ἀπέρρεον. l, E. 7. φοιτήσαι. v. 8. οἰνοχόαι τε ψυκτῆρές τε. (ψυχθῆρές τε. f.) C, a, m. οἰνοχόαι τε καὶ ψυκτῆρες o. 9. ἐμπλῆσαι. l, o. ἐκπλῆσαι. 2, a, m. ib. ὥρᾳ θέρους. p. ib. διψῶντας. l. 10. ξυμμέτρους. a, m. ib. τόποις. v. 11. δὲ. om. v. ib. τοῦ βασιλέως. v. a pr. m. 12. τε. om. v.

13. ἔφη. v, 14. αὐτὸν. v. ib. εἶη. om. v. 15. γε καὶ. v. 16. ἐκεῖνο. p. ib. ὅτι ἔφη. f, v, l. 18. σωφρονεστέρως. v. 20. νεότης ταῦτα. l. ib. φειδόμεθα. v. 21. σὺ δὲ. v, l. 22. ἐμοὶ μὲν. l. ib. τὴν ἀρετὴν. v. 23. γρ. ἐς φιλοσοφίαν. m. ib. φιλοσοφεῖς ἔφη βέλτιστε. f, v. φιλοσοφεῖς βέλτιστε. s, a, m. 27. κἀκείνων ἦν ἐντύχοις. v. νῦν

28. πρός σε. o. ib. παρητήσατο μὲν. π et m. γρ. 30. ὑπεροψίας. B, I. 32. ἐοίκασι. a. ib. γὰρ ἥκοντι. f. al. m. corr. ib. ἤγαγεν. π. ἦγεν. p, 2, E. 33. λόγος τοῖς. o. ib. ὅσος γὰρ. π. ib. λόγος ἐνταῦθα. p, 2, E. 34. τοῦ παρ' E. l. ib. ἔγωγε λόγου ἀξιῶ. π, m, o. λόγον ἀξιῶ ἔγωγε. p. λόγον ἐγὼ. 2, a.

III, 28. 29. p. 118. 119.

XXX ταῦτα," εἶπε „καὶ στεφανώσουσί σε ἐν Ὀλυμπίᾳ. καὶ προσκλιθεὶς τῷ Ἰάρχᾳ „τοῦτον μὲν" ἔφη „μεθύειν ἔα, σὺ δέ μοι εἰπὲ τοῦ χάριν τοὺς περὶ αὐτὸν τούτους ἀδελφόν, ὡς φατέ, καὶ υἱὸν ὄντας οὐκ ἀξιοῦτε κοινῆς τραπέζης, οὐδὲ ἄλλης τιμῆς οὐδεμιᾶς;" „ὅτι„ ἔφη „βασιλεύσειν ποτὲ ἡγοῦνται, δεῖ δὲ αὐτοὺς ὑπερορωμένους παιδεύεσθαι τὸ μὴ ὑπερορᾶν." ὀκτωκαίδεκα δὲ ὁρῶν τοὺς σοφοὺς πάλιν τὸν Ἰάρχαν ἤρετο, τί βούλοιτο αὐτοῖς τὸ εἶναι τοσούτους; „οὔτε γὰρ τῶν τετραγώνων ὁ ἀριθμός, 120 οὔτε τῶν εὐδοκιμούντων τε καὶ τιμωμένων, καθάπερ ὁ τῶν δέκα καὶ ὁ τῶν δώδεκα καὶ ὁ ἑκκαίδεκα καὶ ὁπόσοι τοιοίδε." ὑπολαβὼν οὖν ὁ Ἰνδὸς „οὔτε ἡμεῖς" ἔφη „ἀριθμῷ δουλεύομεν οὔτε ἀριθμοὺς ἡμῖν, ἀλλ' ἀπὸ σοφίας τε καὶ ἀρετῆς προτιμώμεθα, καὶ ὁτὲ μὲν πλείους τῶν νῦν ὄντων ἐσμέν, ὁτὲ δὲ ἐλάττους. τόν τοι πάππον τὸν ἐμαυτοῦ ἀκούω καταλεχθῆναι μὲν ἐς ἑβδομήκοντα σοφοὺς ἄνδρας νεώτατον αὐτὸν ὄντα, προελθόντα δὲ ἐς τριάκοντα καὶ ἑκατὸν ἔτη καταλειφθῆναι μόνον ἐνταῦθα τῷ μήτ' ἐκείνων τινὰ λείπεσθαι ἔτι μήτε εἶναί ποι τότε τῆς Ἰνδικῆς ἢ φιλόσοφον 121 ἢ γενναίαν φύσιν. Αἰγυπτίων τοίνυν ἐν τοῖς εὐδαιμονεστάτοις γραψάντων αὐτόν, ἐπειδὴ μόνος ἐτῶν τεττάρων ἐξηγήσατο τούτου τοῦ θρόνου, παρῆνει παύσασθαι ὀνειδίζοντας Ἰνδοῖς σοφῶν ὀλιγανδρίαν. ἡμεῖς δέ, ὦ Ἀπολλώνιε, καὶ τὰ Ἠλείων πάτρια Αἰγυπτίων ἀκούοντες καὶ τοὺς Ἕλλανοδίκας, οἳ προίστανται τῶν Ὀλυμπίων, δέκα ὄντας, οὐκ ἐπαινοῦμεν τὸν νόμον τὸν ἐπὶ τοῖς ἀνδράσι κείμενον, κλήρῳ γὰρ ξυγχωροῦσι τὴν αἵρεσιν, ὃς προνοεῖ οὐδέν, καὶ γὰρ ἂν καὶ τῶν φαυλοτέρων τις αἱρεθείη ὑπὸ τοῦ κλήρου. εἰ δέ γε ἀριστίνδην ἢ καὶ κατὰ ψῆφον ᾑροῦντο τοὺς ἄνδρας, οὐκ ἂν ἡμάρτανον; παραπλησίως· ὁ γὰρ τῶν δέκα ἀριθμὸς ἀπαραίτητος ὢν ἢ πλειόνων ὄντων ἀνδρῶν δικαίων ἀφῃρεῖτο ἂν ἐνίους τὸ ἐπὶ τούτῳ τιμᾶσθαι ἢ οὐκ ὄντων δικαίων δέκα οὐδεὶς δόξει· ὅθεν πολλῷ σοφώτερον ἐφρόνουν ἂν Ἠλεῖοι ἀριθμῷ μὲν ἄλλοτε ἄλλοι ὄντες, δικαιότητι δὲ οἱ αὐτοί."

XXXI Ταῦτα σπουδάζοντας αὐτοὺς ὁ βασιλεὺς ἐκκρούειν ἐπειρᾶτο διείργων αὐτοὺς παντὸς λόγου καὶ ἀεί τι ἔμπληκτον καὶ ἀμαθὲς λέγων. πάλιν οὖν ἤρετο ὑπὲρ τοῦ σπουδάζοιεν, ὁ δὲ Ἀπολλώνιος „διαλεγόμεθα μὲν ὑπὲρ μεγάλων καὶ τῶν παρ' Ἕλλησιν εὐδοκιμωτάτων, σὺ δ' ἂν μικρὰ ταῦτα ἡγοῖο, φῆς γὰρ διαβεβλῆσθαι πρὸς τὰ Ἑλλήνων." „διαβέβλημαι μὲν ἀληθῶς," εἶπεν „ἀκοῦσαι δ' ὅμως βούλομαι, δοκεῖτε γάρ μοι λέγειν ὑπὲρ Ἀθηναίων τῶν Ξέρξου δούλων." ὁ δὲ „ὑπὲρ ἄλλων μὲν" ἔφη „διαλεγόμεθα, ἐπεὶ δ' ἀτόπως τε καὶ ψευδῶς Ἀθηναίων ἐπεμνήσθης, ἐκεῖνό μοι εἰπέ· εἰσί σοι, βασιλεῦ, δοῦλοι;" „δισμύριοι," ἔφη „καὶ οὐδὲ ἑώνημαί γε αὐτῶν οὐδένα, ἀλλ' εἰσὶν οἰκογενεῖς πάντες." πάλιν οὖν ἤρετο ἑρμηνεύοντος τοῦ Ἰάρχα, πότερ' αὐτὸς ἀποδιδράσκοι τοὺς αὐτοῦ δούλους ἢ οἱ δοῦλοι ἐκεῖνον, ὁ δὲ ὑβρίζων αὐτὸν „τὸ μὲν ἐρώτημα" ἔφη „ἀνδραποδῶδες. 122 ὅμως δ' οὖν ἀποκρίνομαι τὸν ἀποδιδράσκοντα δοῦλόν τε εἶναι καὶ ἄλλως κακόν, δεσπότην δὲ οὐκ ἂν ἀποδρᾶναι τοῦτον, ὃν ἔξεστιν αὐτῷ στρεβλοῦν τε καὶ ξαίνειν." „οὐκοῦν," ἔφη „ὦ βασιλεῦ, δοῦλος μὲν Ἀθηναίων Ξέρξης ὑπὸ σοῦ ἀποπέφανται καὶ ὡς κακὸς δοῦλος ἀποδρᾶναι αὐτούς, ἡττηθεὶς γὰρ ὑπ' αὐτῶν τῇ ναυμαχίᾳ τῇ περὶ τὰ στενὰ καὶ δείσας περὶ ταῖς ἐν Ἑλλησπόντῳ σχεδίαις ἐν μιᾷ νηὶ ἔφυγε." „καὶ μὴν καὶ ἐνέπρησεν" ἔφη „τὰς Ἀθήνας ταῖς ἑαυτοῦ χερσίν." ὁ

1. στεφανώσουσί γε. p. ib. προσκληθεὶς. v. 4. ὀκτ. ὁρῶν. f, v. 5. ἤρετο τὸν Ἰάρχαν. l. 6. καθάπ. a. ib. καὶ τῶν. l. 8. πλείους μὲν. v. ib. νῦν. om. l. 9. ἑαυτοῦ. l. ib. ἐς ἑπτὰ καὶ ἑβδομήκοντα. l. ἐς ἑπτὰ καὶ ὀγδοήκοντα. 2. E. 11. μόνον τινὰ. l, m. ib. ποι τότε. π. ποῖ ποτε. p, 2, a. ποι ποτὲ. m, o. 12. τεκναίαν. a. 13. τεσσάρων. v. ib. παρῄνει παύσασθαι. π, m, o. παύσασθαι. p. παύσασθαι. f, v, l. παύσεσθε. s. παύσασθε. a. ib. ὀνειδίζοντας π, 2, E. ὀνειδίζοντας. p. 15. οἳ προίστανται. l. οὓς πρ. 2, E. προίσταιντο. l. 16. κλήρῳ γὰρ. π. κλήρῳ τε γάρ. p, 2, E. 17. εἰ. om. m. ib. Ἀριστίνδην. a. ib. ἢ καὶ. π, 2, a, m. εἰ καὶ. p. τε καὶ. o. ib. οὐκ ἂν ἡμάρτανον. π. οἱ m. ἡμάρτανον. p, 2, a, o. 18. ὧν πλειόνων. o. 19. ἀφῃροῖτο. π. 20. ἄλλω. p. 21. διὰ λόγων αὐτούς. v. 25. διακεῖται γὰρ. v. 26. μὲν. om. v. 27. γε. om. p. 28. πότερον. v. 30. ὅμως δ' αὖ v. ib. τὸν ἀποδιδράσκοντα. l. f, v, l. τὸν μὲν ἀ. s, E. 31. ξέινειν. a. 32. δοῦλος μὲν. C. E. Fo: δοῦλος εἶναι ib. καὶ ὡς κακὸς. l, m. o. καὶ κακὸς. 2, a. 33. ταῖς Ἑλλησπόντῳ. s, a.

III, 30. 31. p. 120. 121. 122

δὲ Ἀπολλώνιος „τούτου μέν," εἶπεν „ὦ βασιλεῦ, τοῦ τολμήματος ἔδωκε δίκας, ὡς οὔπω τις ἕτερος· οὓς γὰρ ἀπολωλεκέναι ᾤετο, τούτους ἀποδρὰς ᾤχετο. ἐγὼ δὲ καὶ Ξέρξην θεωρῶν ἐπὶ μὲν τῇ διανοίᾳ, καθ' ἣν ἐστράτευσεν, ἡγοῦμαι ἂν αὐτὸν ἀξίως δοξασθέντα ἐνίοις, ὅτι Ζεὺς εἴη, ἐπὶ δὲ τῇ ψυχῇ κακοδαιμονέστατον ἀνθρώπων ὑπείληφα· εἰ γὰρ ἐν χερσὶ τῶν Ἑλλήνων ἀπέθανε, τίς μὲν ἂν λόγων λαμπροτέρων ἠξιώθη; τῷ δ' ἂν μείζω τάφον ἐπεσημήναντο Ἕλληνες; ἀγωνία δ' ἐνόπλιος καὶ ἀγωνία μουσικὴ τίς οὐκ ἂν ἐπ' αὐτῷ ἐτέθη; εἰ γὰρ Μελικέρται καὶ Παλαίμονες καὶ Πέλοψ ὁ ἐπηλύτης Λυδός, οἱ μὲν ἔτι πρὸς μαζῷ ἀποθανόντες, ὁ δὲ τὴν Ἀρκαδίαν τε καὶ τὴν Ἀργολίδα καὶ τὴν ἐντὸς Ἰσθμοῦ δουλωσάμενος ἐς θείαν μνήμην ὑπὸ τῶν Ἑλλήνων ἤρθησαν, τί οὐκ ἂν ἐπὶ Ξέρξῃ ἐγένετο ὑπ' ἀνδρῶν ἀσπαζομένων τε ἀρετὰς φύσει καὶ ἔπαινον αὐτῶν ἡγουμένων τὸ ἐπαινεῖν οὓς νικῶσιν;"

Ταῦτα τοῦ Ἀπολλωνίου λέγοντος ἐς δάκρυα ἀπήχθη ὁ βασιλεύς, καὶ „ὦ φίλτατε," εἶπεν „οἵους ἄνδρας ἑρμηνεύεις μοι τοὺς Ἕλληνας εἶναι." „πόθεν οὖν, ὦ βασιλεῦ, χαλεπῶς πρὸς αὐτοὺς εἶχες;" „διαβάλλουσιν," εἶπεν „ὦ ξένε, τὸ Ἑλλήνων γένος οἱ ἐξ Αἰγύπτου φοιτῶντες ἐν- 123
ταῦθα, σφᾶς μὲν αὐτοὺς ἱερούς τε καὶ σοφοὺς ἀποφαίνοντες καὶ νομοθέτας θυσιῶν τε καὶ τελετῶν, ὁπόσας νομίζουσιν οἱ Ἕλληνες, ἐκείνους δὲ οὐδὲν ὑγιὲς εἶναι φάσκοντες, ἀλλ' ὑβριστάς τε καὶ ξυγκλύδας καὶ ἀναρχίαν πᾶσαν καὶ μυθολόγους καὶ τερατολόγους καὶ πένητας μέν, ἐνδεικνυμένους δὲ τοῦτο οὐχ ὡς σεμνόν, ἀλλ' ὑπὲρ ξυγγνώμης τοῦ κλέπτειν, σοῦ δὲ ἀκούων ταῦτα καὶ ὅπως φιλότιμοί τε καὶ χρηστοί εἰσι, σπένδομαί τε λοιπὸν τοῖς Ἕλλησι καὶ δίδωμι αὐτοῖς ἐπαινεῖσθαί τε ὑπ' ἐμοῦ καὶ εὔχεσθαί με ὑπὲρ Ἑλλήνων ὅ τι δύναμαι καὶ τοὺς Αἰγυπτίους ὑπ' ἐμοῦ ἀπιστεῖσθαι." ὁ δὲ Ἴαρχας „κἀγώ," ἔφη „ὦ βασιλεῦ, ἐγίγνωσκον, ὅτι σοι τὰ ὦτα διέφθορεν ὑπὸ 20
τῶν Αἰγυπτίων τούτων, διήειν δὲ ὑπὲρ Ἑλλήνων οὐδέν, ἔστ' ἂν ξυμβούλου τοιούτου τύχῃς, ἀλλ' ἐπεὶ βελτίων γέγονας ὑπ' ἀνδρὸς σοφοῦ, νῦν μὲν ἡμῖν ἡ Ταντάλου φιλοτησία πινέσθω καὶ καθεύδωμεν δι' ἃ χρὴ νύκτωρ σπουδάσαι, λόγων δὲ Ἑλληνικῶν, πλεῖστοι δ' οὗτοι τῶν κατ' ἀνθρώπους, ἐμπλήσω σε λοιπὸν ἐγὼ χαίροντα, ὁπότε ἀφίκοιο.'· καὶ ἅμα ἐξῆρχε τοῖς ξυμπόταις πρῶτος ἐς τὴν 25
φιάλην κύπτων, ἡ δὲ ἐπότιζεν ἱκανῶς πάντας, τὸ γὰρ νᾶμα ἀφθόνως ἐπεδίδου, καθάπερ δὴ τοῖς πηγαίοις ἀναδιδομένοις, ἔπιέ τε καὶ ὁ Ἀπολλώνιος, ὑπὲρ γὰρ φιλότητος Ἰνδοῖς τὸ ποτὸν τοῦτο εὕρηται. ποιοῦνται δὲ αὐτοῦ οἰνοχόον Τάνταλον, ἐπειδὴ φιλικώτατος ἀνθρώπων ἔδοξεν.

Πιόντας δὲ αὐτοὺς ἐδέξατο ἡ γῆ εὐναῖς, ἃς αὐτὴ ὑπεστόρνυ. ἐπεὶ δὲ νὺξ μέση ἐγένετο, XXXIII
πρῶτον μὲν ἀναστάντες τὴν ἀκτῖνα μετέωροι ὕμνησαν, ὥσπερ ἐν τῇ μεσημβρίᾳ, εἶτα τῷ βασιλεῖ ξυν- 124
εγένοντο, ὁπόσα ἐδεῖτο. παρατυχεῖν μὲν οὖν τὸν Ἀπολλώνιον οἷς ἐσπούδασεν ὁ βασιλεὺς οὔ φησιν ὁ Δάμις, οἴεσθαι δ' αὐτὸν περὶ τῶν τῆς ἀρχῆς ἀπορρήτων τὴν ξυνουσίαν πεποιῆσθαι. θύσας οὖν ἅμα ἡμέρᾳ προσῆλθε τῷ Ἀπολλωνίῳ καὶ ἐκάλει ἐπὶ ξενίᾳ ἐς τὰ βασίλεια, ξηλωτὸν ἀποπέμψειν φάσκων ἐς Ἕλληνας, ὁ δὲ ἐπῄνει μὲν ταῦτα, οὐ μὴν ἐπιδώσειν γε ἑαυτὸν ἔφασκεν ἀνδρὶ μηδὲν ὁμοίῳ, καὶ ἄλλως πλείω χρόνον ἀποδημῶν τοῦ εἰκότος αἰσχύνεσθαι τοὺς οἴκοι φίλους ὑπερορᾶσθαι

2. ἀπολωλεκέναι. π, m, o. ἀπολωλέναι. p, 2, a. ib. Ξέρξην. p. ex corr. Ξέρξου. π, 2, E. ib. θεωρῶ. v. 3. ἐστράτευσεν. 1 et m. γρ. ἐστρατοπέδευσεν. 2, E. ib. ἡγοῦμαι ἂν αὐτὸν ἀξίως. 1. ἡγοῦμαι αὐτὸν ἂν ἀξίως. m. (ubi γρ. ἡγ. ἂν αὐτὸν ἀξίως). et o. ἡγοῦμαι αὐτὸν ἀναξίως. 2, a. Fo: ἡγοίμην ἂν ἀ. ἀ. 4. μὲν ὧν. π. 5. τάφον. om. l. 6. Μελικέρτας. v. 7. πρὸς μαζῶν. l, s, a, m. ubi γρ. μαζόν. 9. αὐτῶν. C. αὐτοῖς. E. (m. γρ. αὐτῶν).

11. ἀπήχθη. t, l, s, a, m. ὑπήχθη. f, v, o. 12. μοι. om. v. 13. ὦ. om. 2, a. ib. Ἑλληνικὸν. l, s, a et m ubi γρ. Ἑλλήνων. 15. εἶναι. om. a. 20. κἀγὼ. 1. καὶ ἐγὼ. 2, E. ib. ὦ. om. s, a. ib. σοι. 1. σου. 2, E. ib. διέφθειρεν. f, v. 21. ξυμβούλου. C, E. Fo: ξυμβόλου. 22. ἐπὶ. o. ib. βελτίω. v. ib. ἡμῖν. om. π. ib. καθεύδομεν. s. 23. διὰ χρὴ. v. ib πλεῖστον. a. 24. ἐγὼ. om. π. ib. ὃς καὶ τοῖς συμπόταις – τὴν φιάλην ἐπικτυπῶν ἐξῆρχεν· ἡ δέ φησιν ὁ συγγραφεύς, ὡς ἄρα ἐπότιζεν ἱκανῶς πάντας. ἐπεδίδου, καθάπερ αἱ ἀπόρρητοι πηγαὶ τοῖς ἀνιμωμένοις. E. (445.) 25. κύπτων. C, E. ἐπικτυπῶν E. ib. ἀπεδίδου. π. ἐδίδου. p. 26. ἀναδεδομένοις. a. ib. τε καὶ ὁ Ἀπολλώνιος. π. τε ὁ Λ. p, 2, E. ib. γὰρ. om. l, a. ib. Ἰνδοῖς. om. l.

28. ὑποστόρνυ. a. 30. οὔ φασιν. f. 31. αὐτῶν. v. ib. πεποιεῖσθαι. v. 32. ἐκάλει αὐτὸν. h. 33. ἑαυτὸν. 1. αὐτὸν. 2, E.

δοκοῦντας. ἀντιβολεῖν δὲ τοῦ βασιλέως φάσκοντος καὶ ἀνελευθέρως ἤδη προσκειμένου „βασιλεὺς“ ἔφη „ταπεινότερον αὐτοῦ περὶ ὧν αἰτεῖ διαλεγόμενος ἐπιβουλεύει.“ προσελθὼν οὖν ὁ Ἴαρχας „ἀδικεῖς,“ εἶπεν „ὦ βασιλεῦ „τὸν ἱερὸν οἶκον ἀπάγων ἐνθένδε ἄνδρα ἄκοντα, καὶ ἄλλως τῶν προγιγνωσκόντων οὗτος ὢν οἶδε τὴν ξυνουσίαν αὐτῷ τὴν πρὸς σὲ μὴ ἐπ' ἀγαθῷ τῷ ἑαυτοῦ ἐσομένην, ἴσως δὲ οὐδ' αὐτῷ σοι χρηστόν τι ἔξουσαν.“ ὁ μὲν δὴ κατῄει ἐς τὴν κώμην, ὁ γὰρ θεσμὸς τῶν
XXXIV σοφῶν οὐ ξυνεχώρει τῷ βασιλεῖ ξυνεῖναί σφισιν ὑπὲρ μίαν ἡμέραν, ὁ δὲ Ἴαρχας πρὸς τὸν ἄγγελον „καὶ Δάμιν εἶπε „τῶν δεῦρο ἀπορρήτων ἀξιοῦμεν καὶ ἡκέτω, τῶν δὲ ἄλλων ἐπιμελοῦ ἐν τῇ κώμῃ.“ Ὡς δὲ ἀφίκετο, ξυνιζήσαντες, ὥσπερ εἰώθεσαν, ξυνεχώρουν τῷ Ἀπολλωνίῳ ἐρωτᾶν, ἤρετό τε ἐκ τίνων ξυγκεῖσθαι τὸν κόσμον ἡγοῖντο, οἱ δὲ ἔφασαν „ἐκ στοιχείων.“ „μῶν“ ἔφη „τεττάρων;“ „οὐ τεττάρων,“ ἔφη ὁ Ἴαρχας „ἀλλὰ πέντε. „καὶ τί ἄν“ ἔφη „πέμπτον γένοιτο παρὰ τὸ ὕδωρ τε καὶ
125 τὸν ἀέρα καὶ τὴν γῆν καὶ τὸ πῦρ;“ „ὁ αἰθήρ,“ εἶπεν „ὃν ἡγεῖσθαι χρὴ γένεσιν θεῶν εἶναι, τὰ μὲν γὰρ τοῦ ἀέρος ἕλκοντα θνητὰ πάντα, τὰ δὲ τοῦ αἰθέρος ἀθάνατά τε καὶ θεῖα.“ πάλιν ἤρετο, τί τῶν στοιχείων πρῶτον γένοιτο, ὁ δὲ Ἴαρχας „ὁμοῦ“ ἔφη „πάντα, τὸ γὰρ ζῷον κατὰ μέρος οὐ τίκτεται.“ „ζῷον“ ἔφη „ἡγῶμαι τὸν κόσμον;“ „ἦν γε“ ἔφη „ὑγιῶς γιγνώσκῃς, αὐτὸς γὰρ ζωογονεῖ πάντα.“ „θῆλυν“ εἶπεν „αὐτὸν καλῶμεν ἢ τῆς ἄρσενός τε καὶ ἀντικειμένης φύσεως;“ „ἀμφοῖν,“ ἔφη „αὐτὸς γὰρ αὑτῷ ξυγγιγνόμενος τὰ μητρός τε καὶ πατρὸς ἐς τὴν ζωογονίαν πράττει ἔρωτά τε ἑαυτοῦ ἴσχει θερμότερον ἢ ἕτερόν τι ἑτέρου, ὃς ἁρμόττει αὐτὸν καὶ ξυνίστησιν, ἀπεικὸς δὲ οὐδὲν ἑαυτῷ ξυμφύεσθαι. καὶ ὥσπερ χειρῶν τε καὶ ποδῶν ἔργον πεποίηται
126 ἡ τοῦ ζῴου κινήσις καὶ ὅθεν αὐτῷ νοῦς, ὑφ' οὗ ὁρμᾷ, οὕτως ἡγώμεθα καὶ τὰ μέρη τοῦ κόσμου διὰ τὸν ἐκείνου νοῦν ἐπιτήδεια παρέχειν αὑτὰ τοῖς τικτομένοις τε καὶ κυομένοις πᾶσι. καὶ γὰρ τὰ πάθη τὰ ἐξ αὐχμῶν φοιτῶντα κατὰ τὸν ἐκείνου φοιτᾷ νοῦν, ἐπειδὰν ἐκπεσοῦσα ἡ δίκη τῶν ἀνθρώπων ἀτίμως πράττῃ, ποιμαίνεταί τε χειρὶ οὐ μιᾷ τόδε τὸ ζῷον, ἀλλὰ πολλαῖς τε καὶ ἀρρήτοις,
XXXV αἷς χρῆται, ἀχαλίνωτον μὲν διὰ μέγεθος, εὐήνιον δὲ κινεῖται καὶ εὐάγωγον. καὶ παράδειγμα μὲν οὐκ οἶδ' ὅ τι ἀρκέσει τῷ λόγῳ μεγίστῳ τε ὄντι καὶ πρόσω ἐννοίας, ὑποκείσθω δὲ ναῦς, οἵαν Αἰγύπτιοι ξυντιθέντες ἐς τὴν θάλατταν τὴν ἡμεδαπὴν ἀφιᾶσιν ἀγωγίμων Ἰνδικῶν ἀντιδιδόντες Αἰγύπτια, θεσμοῦ γὰρ παλαιοῦ περὶ τὴν Ἐρυθρὰν ὄντος, ὃν βασιλεὺς Ἐρύθρας ἐνόμισεν, ὅτε τῆς θαλάττης ἐκείνης ἦρχε, μακρῷ μὲν πλοίῳ μὴ ἐσπλεῖν ἐς αὐτὴν Αἰγυπτίους, στρογγύλῃ δ' αὖ μιᾷ νηὶ χρῆσθαι, σοφίζονται πλοῖον Αἰγύπτιοι πρὸς πολλὰ τῶν παρ' ἑτέροις καὶ παραπλευρώσαντες αὐτὸ ἁρμονίαις, ὁπόσαι ναῦν ξυνιστᾶσι, τοίχοις τε ὑπεράραντες καὶ ἰστῷ καὶ πηξάμενοι πλείους οἰκίας, οἵας ἐπὶ τῶν σελμάτων, πολλοὶ μὲν κυβερνῆται τῆς νεὼς ταύτης ὑπὸ τῷ πρεσβυτάτῳ τε καὶ σοφωτάτῳ πλέουσι, πολλοὶ δὲ κατὰ πρῷραν ἄρχοντες ἄριστοί τε καὶ δεξιοὶ ναῦται καὶ πρὸς ἱστία πηδῶντες, ἔστι δέ τι τῆς νεὼς ταύτης καὶ ὁπλιτεῦον, πρὸς γὰρ τοὺς κολπίτας βαρβάρους, οἳ ἐν
127 δεξιᾷ τοῦ ἔσπλου κεῖνται, παρατάττεσθαι δεῖ τὴν ναῦν, ὅτε λῃζοιντο αὐτὴν ἐπιπλέοντες. τοῦτο ἡγώμεθα καὶ περὶ τόνδε τὸν κόσμον εἶναι, θεωροῦντες αὐτὸν πρὸς τὸ τῆς ναυτιλίας σχῆμα, τὴν μὲν γὰρ δὴ πρώτην καὶ τελεωτάτην ἕδραν ἀποδοτέον θεῷ γενέτορι τοῦδε τοῦ ζῴου, τὴν δὲ ἐπ' ἐκείνῃ

γὰρ

1. βασιλεῦ. v. 2. αὐτοῦ. C, E. Scr. αὑτοῦ. 3. ὁ γὰρ θεσμός. 1, f, v, l. ὁ μὲν θεσμὸς. s. corr. ab al. m. ὁ μὲν γὰρ θ. E. 9. ἐκ στοιχείων. π, s, E. στοιχείων. p, 2. ib. μὲν. v. 11. ὁ. om. l. 12. τε. om. h. 13. ἐμοῦ ἔφη. a. ib. τὸ γὰρ. 1, f, v, l. καὶ γὰρ. E. 14. ἡγοῦμαι. p, v. ib. ἔφη. om. m. ib. γιγνώσκεις. v. 15. Θῆλυν. εἶπεν. 1. Θῆλυν, οὖν. 2, E. ib. τῆς ἀντικειμένης. m, o. 16. αὐτῷ. l. αὑτῷ. E. ib. ξυγγενόμενος. π, v. 17. τε ἑτέρου. m. ib. αὐτὸν. 1. ἑαυτὸν. 2, E. 18. ἀπεικὸς δὲ. π. ἀπεικός τε. p, 2, E. ib. συμφύεσθαι. f. 19. ὅθεν. C, a, m. ἔνδοθεν. o. Fo: ὁ ἐν. ib. ἡγούμεθα. v. 20. ἐκείνου. p, o. ἐκεῖνα. π. ἐκείνῳ. f, l, s. ἐκείνων. a, m. ib. αὐτὰ.

o

C, E. Scr. αὑτὰ. ib. κυουμένοις. s. κυουμένοις, l. 21. φοιτᾶν. E. 22. πράττει. E. ib. οὐδὲ μιᾷ. v. 25. ἀντιδόντες. o. 26. ἐρυθρᾶς. l. ib. ὅτι. a. 27. προῆρχε. p. ib. μικρῷ μὲν πλείω. a. ib. ἐσπλεῖν αὐτὴν. s, a. 29. ναῦ. v. 31. ναῦται πρὸς. o (non v.) 32. καὶ ὁπλιτεῦον. a. 33. ἔσπλου. s, a. εἰςπλοῦ. m, o. εὔπλου. f, v. 34. παρὰ. v. ib. αὐτὸν. 2, E. αὐτὸ. 1. 35. γενέτορι. v. ib. ἐπ' ἐκείνῃ. 1, v. ὑπ' ἐκείνῃ. l, s, E. ib. ἐκείνου. m.

III. 34. 35. p. 125. 126. 127.

θεοῖς, οἳ τὰ μέρη αὐτοῦ κυβερνῶσι, καὶ τῶν γε ποιητῶν ἀποδεχώμεθα, ἐπειδὰν πολλοὺς μὲν φάσκωσιν ἐν τῷ οὐρανῷ θεοὺς εἶναι, πολλοὺς δὲ ἐν θαλάττῃ, πολλοὺς δὲ ἐν πηγαῖς τε καὶ νάμασι, πολλοὺς δὲ περὶ γῆν, εἶναι δὲ καὶ ὑπὸ γῆν τινας. τὸν δὲ ὑπὸ γῆν τόπον, εἴπερ ἐστίν, ἐπειδὴ φρικώδη αὐτὸν καὶ φθαρτικὸν ᾄδουσιν, ἀποτάττωμεν τοῦ κόσμου."

Ταῦτα τοῦ Ἰνδοῦ διελθόντος ἐκπεσεῖν ὁ Δάμις ἑαυτοῦ φησιν ὑπ' ἐκπλήξεως καὶ ἀναβοῆσαι 5 XXXVI
μέγα, μὴ γὰρ ἂν ποτε νομίσαι ἄνδρα Ἰνδὸν ἐς τοῦτο ἐλάσαι γλώττης Ἑλλάδος, μηδ' ἂν, εἴπερ τὴν γλῶτταν ἠπίστατο, τοσῇδε εὐροίᾳ καὶ ὥρᾳ διελθεῖν ταῦτα. ἐπαινεῖ δὲ αὐτοῦ καὶ βλέμμα καὶ μειδίαμα καὶ τὸ μὴ ἀθεεὶ δοκεῖν ἐκφέρειν τὰς δόξας. τόν τοι Ἀπολλώνιον εὐσχημόνως τε καὶ ἀψοφητὶ τοῖς λόγοις χρώμενον ὅμως ἐπιδοῦναι μετὰ τὸν Ἰνδὸν τοῦτον, καὶ ὅπου καθήμενος διαλέγοιτο,
θαμὰ δὲ τοῦτο ἔπραττε, προσεοικέναι τῷ Ἰάρχᾳ. ἐπαινεσάντων δὲ τῶν ἄλλων πρὸς τῇ φωνῇ τὰ 10 XXXVII
εἰρημένα, πάλιν ὁ Ἀπολλώνιος ἤρετο, πότερα τὴν θάλατταν μείζω ἡγοῖντο ἢ τὴν γῆν, ὁ δὲ Ἰάρχας „εἰ μὲν πρὸς τὴν θάλατταν" ἔφη „ἡ γῆ ἐξετάζοιτο, μείζων ἔσται, τὴν γὰρ θάλατταν αὕτη ἔχει, εἰ δὲ πρὸς πᾶσαν τὴν ὑγρὰν οὐσίαν θεωροῖτο, ἧττω τὴν γῆν ἀποφαινοίμεθα ἄν, καὶ γὰρ ἐκείνην τὸ ὕδωρ φέρει."

Μεταξὺ δὲ τῶν λόγων τούτων ἐφίσταται τοῖς σοφοῖς ὁ ἄγγελος Ἰνδοὺς ἄγων σωτηρίας δεο- 15 XXXVIII 128
μένους. καὶ παρῆγε γύναιον ἱκετεῦον ὑπὲρ παιδός, ὃν ἔφασκε μὲν ἑκκαίδεκα ἔτη γεγονέναι, δαιμονᾶν δὲ δύο ἔτη, τὸ δὲ ἦθος τοῦ δαίμονος εἴρωνα εἶναι καὶ ψεύστην. ἐρομένου δέ τινος τῶν σοφῶν, ὁπόθεν λέγοι ταῦτα, „τοῦ παιδὸς τούτου" ἔφη „τὴν ὄψιν εὐπρεπεστέρου ὄντος ὁ δαίμων ἐρᾷ καὶ οὐ ξυγχωρεῖ αὐτῷ νοῦν ἔχειν, οὐδὲ ἐς διδασκάλου βαδίσαι ἐᾷ ἢ τοξότου, οὐδὲ οἴκοι εἶναι, ἀλλ' ἐς τὰ ἔρημα τῶν χωρίων ἐκτρέπει, καὶ οὐδὲ τὴν φωνὴν ὁ παῖς τὴν ἑαυτοῦ ἔχει, ἀλλὰ 20
βαρὺ φθέγγεται καὶ κοῖλον, ὥσπερ οἱ ἄνδρες, βλέπει δὲ ἑτέροις ὀφθαλμοῖς μᾶλλον ἢ τοῖς ἑαυτοῦ. κἀγὼ μὲν ἐπὶ τούτοις κλάω τε καὶ ἐμαυτὴν δρύπτω καὶ νουθετῶ τὸν υἱόν, ὁπόσα εἰκός, ὁ δὲ οὐκ οἶδέ με. διανοουμένης δέ μου τὴν ἐνταῦθα ὁδόν, τουτὶ δὲ πέρυσι διενοήθην, ἐξηγόρευσεν ὁ δαίμων ἑαυτὸν ὑποκριτῇ χρώμενος τῷ παιδί, καὶ δῆτα ἔλεγεν εἶναι μὲν εἴδωλον ἀνδρός, ὃς πολέμῳ 25
ποτὲ ἀπέθανεν, ἀποθανεῖν δὲ ἐρῶν τῆς ἑαυτοῦ γυναικός, ἐπεὶ δὲ ἡ γυνὴ περὶ τὴν εὐνὴν ὕβρισε τριταίου κειμένου γαμηθεῖσα ἑτέρῳ, μισῆσαι μὲν ἐκ τούτου τὸ γυναικῶν ἐρᾶν, μεταρρυῆναι δὲ ἐς τὸν παῖδα τοῦτον. ὑπισχνεῖτο δέ, εἰ μὴ διαβάλλοιμι αὐτὸν πρὸς ὑμᾶς, δώσειν τῷ παιδὶ πολλὰ ἐσθλὰ καὶ ἀγαθά. ἐγὼ μὲν δὴ ἔπαθόν τι πρὸς ταῦτα, ὁ δὲ διάγει με πολὺν ἤδη χρόνον καὶ τὸν 30
ἐμὸν οἶκον ἔχει μόνος οὐδὲν μέτριον οὐδὲ ἀληθὲς φρονῶν." ἤρετο οὖν ὁ σοφὸς πάλιν, εἰ πλησίον εἴη ὁ παῖς, ἡ δὲ οὐκ ἔφη, πολλὰ μὲν γὰρ ὑπὲρ τοῦ ἀφικέσθαι αὐτὸν πρᾶξαι „ὁ δ' ἀπειλεῖ κρη-
μνοὺς καὶ βάραθρα καὶ ἀποκτενεῖν μοι τὸν υἱόν, εἰ δικαζοίμην αὐτῷ δεῦρο." „θάρσει," ἔφη ὁ σοφός „οὐ γὰρ ἀποκτενεῖ αὐτὸν ἀναγνοὺς ταῦτα" καί τινα ἐπιστολὴν ἀνασπάσας τοῦ κόλπου ἔδωκε
τῇ γυναικί, ἐπέσταλτο δὲ ἄρα ἡ ἐπιστολὴ πρὸς τὸ εἴδωλον ξὺν ἀπειλῇ καὶ ἐκπλήξει. καὶ μὴν καὶ XXXIX 129

1. τῶν γε ποιητῶν. π. τῶν τε ποιητῶν. p, 2, E. ib. ἀποδεχώμεθα. 1. ἀποδεχόμεθα. 2, E. ib. ἐπειδὴ. o. 3. πολλὰς δὲ. f, s ante corr. ib. περὶ γῆν. 1. καὶ περὶ γῆν. f, l, s, E. καὶ ὑπὸ γῆν. v. ib. δὲ ὑπὸ. p. 4. φορτικὸν l. ib. ἀποτάττωμεν. π, m, o. ἀποτάττομεν. p, 2, a. 6. ἂν. om. v. ib. νομίσας. v. 7. τοσῇ δὲ. f, m. τοσῇδε. p, l, a. τόσῃ δ'. o. ib. εὐνοίᾳ. π, f, v et m. γρ. 8. τόν τοι. 1, f, v. τόν τε. l, s, E. 9. μετὰ τὸν Ἰ. π, m, o. μὲν τὸν Ἰ. p, 2, a et m. γρ. ib. ὅπου. 1. ὅποι. 2, E. 10. δὲ τῶν. 1. δὲ καὶ τῶν. 2, E. ib. πρώτῃ. C, E. Scr. πρὸς τῇ. 12. αὖτη. 1. αὐτὴ. 2, E. 15. ἐφίσταται τοῖς σοφοῖς ὁ ἄγγελος Ἰ. ἀ. σ. δειμένους καὶ παρίσταται τοῖς σοφοῖς ὁ ἄγγελος. 2. ib. Ἰνδός. p. ib δεομένους. p. sic. corr. 16. μὲν. om. m, o. 17. ἤδη δύο. p. 18. ὄντος. 1. ἑτέρων ὄντος. 2, a, m. ὄντος ἑτέρων. o. 19. αὐτὸν. v. ib. ἦ. om. s, a. ib. τόξου. f. corr. al. m. 20. τὴν ἑαυτοῦ ὁ παῖς. v. 22. κλάω καὶ. l, s, a. ib. θρύπτω. π. 24. τὸ εἴδωλον. v. 27. διαβάλοιμι. π. ib. αὐτὸν. 1. αὐτοῦ. 2, E. 28. ἐσθλὰ καὶ ἀγαθὰ. 1. καλὰ καὶ ἀγαθά. 2, E. 30. ὅδ'. E. 31. ἀποκτενεῖ. a, m. ib. μοι. 1. (u). μου. 2, E. 32. τῷ κόλπῳ. a, m ubi γρ. τοῦ κόλπου.

III, 36. 37. 38 39. p. 128. 129.

χωλεύων τις ἀφίκετο γεγονὼς μὲν ἤδη τριάκοντα ἔτη, λεόντων δὲ θηρατὴς δεινός, ἐμπεπτωκότος δὲ αὐτῷ λέοντος ὠλισθήκει τὸν γλουτὸν καὶ τοῦ σκέλους ἑτέρως εἶχεν. ἀλλ' αἱ χεῖρες αὐτῷ καταψῶσαι τὸν γλουτὸν ἐς ὀρθὸν τοῦ βαδίσματος ὁ νεανίας ἦλθε. καὶ ὀφθαλμῷ δέ τις ἐρρυηκὼς ἀπῆλθε πᾶν ἔχων τὸ ἐν αὐτοῖς φῶς, καὶ ἄλλος τὴν χεῖρα ἀδρανὴς ὢν ἐγκρατὴς ᾤχετο. γυνὴ δέ τις ἑπτὰ ἤδη γαστέρας δυστοκοῦσα δεομένου ὑπὲρ αὐτῆς τἀνδρὸς ὧδε ἰάθη· τὸν ἄνδρα ἐκέλευσεν, ἐπειδὰν τίκτῃ ἡ γυνή, λαγὼν ὑπὸ κόλπῳ ζῶντα ἐσφέρεσθαι οὗ τίκτει, καὶ περιελθόντα αὐτὴν ἀφεῖναι ὁμοῦ τῷ λαγῷ, συνεκδοθῆναι γὰρ ἂν τῷ ἐμβρύῳ τὴν μήτραν, εἰ μὴ ὁ λαγὼς αὐτίκα ἐξενεχθείη θύραζε.

XL πατρὸς δ' αὖ τινος εἰπόντος, ὡς γένοιντο μὲν αὐτῷ παῖδες, ἀποθάνοιεν δὲ ὁμοῦ τῷ ἄρξασθαι οἴνου πίνειν ὑπολαβὼν εἶπεν ὁ Ἰάρχας „καὶ βελτίους ἀποθανόντες ἐγένοντο, οὐ γὰρ ἂν διέφυγον τὸ μὴ μανῆναι, θερμοτέρων, ὡς φαίνεται, σπερμάτων φύντες. οἴνου μὲν οὖν ἀφεκτέον τοῖς ἐξ ὑμῶν, ὡς μηδὲ ἐς ἐπιθυμίαν ποτὲ οἴνου καταστῆναι, εἰ δέ σοι πάλιν παιδίον γένοιτο, γέγονε δὲ ἑβδόμην ἡμέραν, ὡς ὁρῶ, τὴν γλαῦκα τὴν ὄρνιν χρὴ ἐπιφυλάττειν, οὗ νεοττεύει, καὶ τὰ ᾠὰ σπάσαντα δοῦναι μασᾶσθαι τῷ βρέφει συμμέτρως ἕψοντα, εἰ γὰρ βρώσεταί τι τούτων, πρὶν οἴνου γεύσεται, μῖσος αὐτῷ πρὸς τὸν οἶνον ἐμφύσεται καὶ σωφρονέστατα διακείσεται μόνου ξυγκεκραμένος τοῦ ἐν τῇ φύσει θερμοῦ." Τούτων οὖν ἐμπιπλάμενοι καὶ τοὺς ἄνδρας ἐκπληττόμενοι τῆς ἐς πάντα

XLI σοφίας παμπόλλους ὁσημέραι λόγους ἠρώτων, πολλοὺς δὲ καὶ αὐτοὶ ἠρωτῶντο. τῆς μὲν οὖν διαλεκτικῆς ξυνουσίας ἄμφω μετεῖχον, τὰς δὲ ἀπορρήτους σπουδάς, αἷς ἀστρικὴν ἢ μαντείαν κατενόουν καὶ τὴν πρόγνωσιν ἐσπούδαζον θυσιῶν τε ἥπτοντο καὶ κλήσεων, αἷς θεοὶ χαίρουσι, μόνον φησὶν ὁ Δάμις τὸν Ἀπολλώνιον ξυμφιλοσοφεῖν τῷ Ἰάρχᾳ, καὶ ξυγγράψαι μὲν ἐκεῖθεν περὶ μαντείας ἀστέρων βίβλους τέτταρας, ὧν καὶ Μοιραγένης ἐπεμνήσθη, ξυγγράψαι δὲ περὶ θυσιῶν καὶ ὡς ἄν τις ἑκάστῳ θεῷ προσφόρως τε καὶ κεχαρισμένως θύοι. τὰ μὲν δὴ τῶν ἀστέρων καὶ τὴν τοιαύτην μαντικὴν πᾶσαν ὑπὲρ τὴν ἀνθρωπείαν ἡγοῦμαι φύσιν καὶ οὐδ' εἰ κέκτηταί τις οἶδα, τὸ δὲ περὶ θυσιῶν ἐν πολλοῖς μὲν ἱεροῖς εὗρον, ἐν πολλαῖς δὲ πόλεσι, πολλοῖς δὲ ἀνδρῶν σοφῶν οἴκοις, καὶ τί ἄν τις ἑρμηνεύοι αὐτὸ σεμνῶς ξυντεταγμένον καὶ κατὰ τὴν ἠχὼ τοῦ ἀνδρός; φησὶ δὲ ὁ Δάμις καὶ δακτυλίους ἑπτὰ τὸν Ἰάρχαν τῷ Ἀπολλωνίῳ δοῦναι τῶν ἑπτὰ ἐπωνύμους ἀστέρων, οὓς

XLII φορεῖν τὸν Ἀπολλώνιον κατὰ ἕνα πρὸς τὰ ὀνόματα τῶν ἡμερῶν. περὶ δὲ προγνώσεως λόγου αὐτοῖς ποτε ὄντος καὶ τοῦ Ἀπολλωνίου προσκειμένου τῇ σοφίᾳ ταύτῃ καὶ τὰς πλείους τῶν διαλέξεων ἐς τοῦτο ξυντείνοντος, ἐπαινῶν αὐτὸν ὁ Ἰάρχας „οἱ μαντικῇ" ἔφη „χαίροντες, ὦ χρηστὲ Ἀπολλώνιε, θεῖοί τε ὑπ' αὐτῆς γίγνονται καὶ πρὸς σωτηρίαν ἀνθρώπων πράττουσι. τὸ γάρ, ἃ χρὴ ἐς θεοῦ ἀφικόμενον εὑρέσθαι, ταῦτα αὖ, ὦ χρηστέ, ἐφ' ἑαυτοῦ προιδέσθαι προειπεῖν τε ἑτέροις, ἃ μήπω

1. χολεύων. l. 2. ὠλισθήκη. v. ib. ἀλλ' — γλουτὸν. om. v. ib. αὐτῷ. 1, s. αὐτὸ. 2, a, m. αὐτοῦ. o. 3. ὀφθαλμῷ. 1. ὀφθαλμῶ. v. ὀφθαλμῶν. f, l, s, E. ib. ἐρρυηκὼς. 1. ἐξερρυηκὼς. 2, E. 5. δυστεκοῦσα. v. ib. τοῦ ἀνδρὸς. l. ib. ἐπειδὴ. o. 6. τίκτει. s. ib. κόλπου. π. κόλπον. p, 2, E. ib. ἐκφέρεσθαι. p. 7. γὰρ ἂν. 1. γὰρ αὐτῷ ἂν. 2, E. ib. εἰ μὴ λαγὼς. s. εἰ μὴ λαγὼν. a. ib. δὲ ἅμα. p. 9. οἴνου. 1. οἶνου. 2, E. ib. εἶπεν. om. l. 10. ἀφεκτέα. 1. ἀφεκτέα. 2, a. ἀφεκτέον. m, o. 11. ὡς δὲ μηδὲ. m. ib. εἴ σοι et mg. εἰ δέ σοι. π. εἰ οὖν σοι. p, 2, E. ib. δὲ. om. v. 12. τὴν ὄρνιν. 1. ὄρνιν. 2, E. ib. ᾠὰ πάντα. l. 13. ἕψοντας. 2, a, m. ib. βρωθήσεται. v. ib. τις. p. 14. ἐγγενήσεται. π. ἐκφύσεται. v. 15. ἐν τῇ φύσει. π, m. τῇ φύσει. p, s, a, o. ἐν φύσει. f, v. ib. εἰς πάντας. f. εἰς πάντα. s. 16. παμπόλους. l. 17. σπουδὰς. s, a, m. ib. ἀστρικὴν τε. o. 18. μόνον φωνὴν. a, m. μὴ μόνον φησὶν. l. 19. ὅτι Ἀπ. ξυμφιλοσοφήσαντα τῷ Ἰάρχᾳ ξυγγράψαι μὲν ἐκεῖθεν περὶ μαντείας, ξυγγράψαι δὲ περὶ θυσιῶν. Φ. (332, b, 10). 20. τέτταρας. om. p. ib. οὐσιῶν. a. 21. θύει. v. 22. ἀνθρωπείαν. l et m. γρ. ἀνθρωπίνην. 2, E. ib. καὶ οὐδ' εἰ. 1, s, a, m. οὐδ' εἰ. f, l, v, o. 24. μὲν. om. 2, a, m. 24. καί τοι. o. ib. κατὰ ἠχώ. a. κατὰ τῆς ἠχώ. o. 25. ἑπτὰ — δοῦναι. om. π. ib. οὓς. om. π. ib. οἷς καὶ φορεῖν αὐτὸν καθ' ἕνα πρὸς τὰ ὀνόματα τῶν ἡμερῶν. E. (447). 26. καθ' ἕνα. v. ib. ποτε αὐτοῖς. p, 2. 29. ἀνθρώπων. π. ἀνθρώπου. p, 2, E. 30. ταῦτα αὖ. π. ταῦτα. p. ταῦτα ἂν. 2, E. ib. ἐφ' ἑαυτοῦ προιδέσθαι. π. Haec verba om. p, 2, a. ἀφ' ἑαυτοῦ πρ. o.

III, 40. 41. 42. p. 130.

ἴσασι, πανολβίου τινὸς ἡγοῦμαι καὶ ταὐτὸν ἰσχύοντος τῷ Ἀπόλλωνι τῷ Δελφικῷ. ἐπεὶ δὲ ἡ τέχνη
τοὺς ἐς θεοῦ φοιτῶντας ἐπὶ τῷ χρήσασθαι καθαροὺς κελεύει βαδίζοντας φοιτᾶν, ἢ „ἔξιθι τοῦ νεὼ“ 131
πρὸς αὐτοὺς ἐρεῖ, δοκεῖ μοι καὶ τὸν προγνωσόμενον ἄνδρα ὑγιῶς ἑαυτοῦ ἔχειν καὶ μήτε κηλῖδα
προσμεμάχθαι τῇ ψυχῇ μηδεμίαν μήτε οὐλὰς ἁμαρτημάτων ἐντετυπῶσθαι τῇ γνώμῃ, καθαρῶς δὲ
αὐτὸν προφητεύειν ἑαυτοῦ καὶ τοῦ περὶ τῷ στέρνῳ τρίποδος συνιέντα. γεγωνότερον γὰρ οὕτω καὶ
ἀληθέστερον τὰ λόγια ἐκδώσει· ὅθεν οὐ χρὴ θαυμάζειν, εἰ καὶ σὺ τὴν ἐπιστήμην ξυνείληφας το-
σοῦτον ἐν τῇ ψυχῇ φέρων αἰθέρα.“ καὶ χαριεντιζόμενος ἅμα πρὸς τὸν Δάμιν „σὺ δ' οὐδὲν“ ἔφη XLIII
„προγιγνώσκεις, Ἀσσύριε, καὶ ταῦτα ξυνὼν ἀνδρὶ τοιούτῳ;“ „νὴ Δί',“ εἶπε „τά γε ἐμαυτῷ
ἀναγκαῖα· ἐπειδὴ γὰρ πρώτῳ ἐνέτυχον τῷ Ἀπολλωνίῳ τούτῳ καὶ σοφίας μοι ἔδοξε πλέως δεινότη-
τός τε καὶ σωφροσύνης καὶ τοῦ καρτερεῖν ὀρθῶς, ἐπεὶ δὲ καὶ μνημοσύνην ἐν αὐτῷ εἶδον, πολυ-
μαθέστατόν τε καὶ φιλομαθίας ἥττω, δαιμόνιόν τί μοι ἐγένετο, καὶ ξυγγενόμενος αὐτῷ σοφὸς μὲν
ᾠήθην δόξειν ἐξ ἰδιώτου τε καὶ ἀσόφου, πεπαιδευμένος δὲ ἐκ βαρβάρου, ἑπόμενος δὲ αὐτῷ καὶ
ξυσπουδάζων ὄψεσθαι μὲν Ἰνδούς, ὄψεσθαι δὲ ὑμᾶς, Ἕλλησί τε ἐπιμίξειν Ἕλλην ὑπ' αὐτοῦ γενό-
μενος. τὰ μὲν δὴ ὑμέτερα περὶ μεγάλων ὄντα Δελφοὺς ἡγεῖσθε καὶ Δωδώνην καὶ ὅ τι βούλεσθε,
τἀμὰ δέ, ἐπειδὴ Δάμις μὲν ὁ προγιγνώσκων αὐτά, προγιγνώσκει δ' ὑπὲρ αὐτοῦ μόνου, γραὸς ἔστω
ἀγυρτρίας μαντευομένης ὑπὲρ προβατίων καὶ τῶν τοιούτων.“ ἐπὶ τούτοις μὲν δὴ ἐγέλασαν οἱ σο-
φοὶ πάντες, κατασταντος δὲ τοῦ γέλωτος ἐπανῆγεν ὁ Ἰάρχας ἐς τὸν περὶ τῆς μαντικῆς λόγον, XLIV
καὶ πολλὰ μὲν αὐτὴν ἀγαθὰ ἔλεγε τοὺς ἀνθρώπους εἰργάσθαι, μέγιστον δὲ τὸ τῆς ἰατρικῆς δῶρον·
οὐ γὰρ ἂν ποτε τοὺς σοφοὺς Ἀσκληπιάδας ἐς ἐπιστήμην τούτου παρελθεῖν, εἰ μὴ παῖς Ἀπόλλωνος
Ἀσκληπιὸς γενόμενος καὶ κατὰ τὰς ἐκείνου φήμας τε καὶ μαντείας ξυνθεὶς τὰ πρόσφορα ταῖς νόσοις 132
φάρμακα παισί τε ἑαυτοῦ παρέδωκε καὶ τοὺς ξυνόντας ἐδιδάξατο, τίνας μὲν δεῖ προσάγειν πόας
ὑγροῖς ἕλκεσι, τίνας δὲ αὐχμηροῖς καὶ ξηροῖς ξυμμετρίας τε ποτίμων φαρμάκων, ὑφ' ὧν ὕδεροι
ἀποχετεύονται καὶ αἷμα ἴσχεται φθόαι τε παύονται καὶ τὰ οὕτω κοῖλα. καὶ τὰ τῶν ἰοβόλων δὲ ἄκη
καὶ τὸ τοῖς ἰοβόλοις αὐτοῖς ἐς πολλὰ τῶν νοσημάτων χρῆσθαι τίς ἀφαιρήσεται τὴν μαντικήν; οὐ
γάρ μοι δοκοῦσιν ἄνευ τῆς προγιγνωσκούσης σοφίας θαρσῆσαί ποτε ἄνθρωποι τὰ πάντων ὀλεθριώ-
τατα φαρμάκων ἐγκαταμῖξαι τοῖς σώζουσιν.

Ἐπεὶ δὲ καὶ ὅδε ὁ λόγος ἀναγέγραπται τῷ Δάμιδι σπουδασθεὶς ἐκεῖ περὶ τῶν ἐν Ἰνδοῖς μυθο- XLV
λογουμένων θηρίων τε καὶ πηγῶν καὶ ἀνθρώπων, μηδ' ἐμοὶ παραλειπέσθω, καὶ γὰρ κέρδος εἴη
μήτε πιστεύειν, μήτε ἀπιστεῖν πᾶσιν. ἤρετο γὰρ δή ὁ Ἀπολλώνιος „ἔστι τι ζῷον ἐνταῦθα μαρτι-
χόρας; ὁ δὲ Ἰάρχας „καὶ τίνα“ ἔφη „φύσιν τοῦ ζῴου τούτου ἤκουσας; εἰκὸς γὰρ καὶ περὶ εἴδους
αὐτοῦ λέγεσθαι.“ „λέγεται“ εἶπε „μεγάλα καὶ ἄπιστα, τετράπουν μὲν γὰρ εἶναι αὐτό, τὴν κεφα-

1. ἐπεὶ δὲ. p, 2, a. ἐπειδὴ δὲ. π, m, o. ib. Ἀπόλλωνι Δελφικῷ. m. 2. καὶ τοὺς. p. 3. ἐρεῖ. 1. ἐρεῖν. 2, E. 5. ἑαυτῶ. v. ib. συνιέντα. 1. συνιέντος. 2. ξυνιέντος. E. ib. γεγονότερα. v. γεγονότερον. m, o. 6. ἀληθέστερα. v. 8. ἀσύριε. l. ib. ἐμαυτοῦ. l. 9. γὰρ. om. p, v. ib. πλέων. v. 10. πολυμαθέστατόν τε καὶ φιλομαθείας ἥττω. Φ. 332, b, 12). 11. φιλομαθείας. f. φιλομαθέστατον ἥττω. v. 12. δόξαι. v. ib. τε. om. v. ib. βαρβάρου. B, Hu. o βαρβάρων. C. a, m. 13. ξυνσπουδάζων. f, l. ib. ὄψεσθε. v. 14. τὰ μὲν γὰρ δὴ. f, l. ib. ἡμέτερα. o. ib. ἡγεῖσθαι. v. 15. αὐτοῦ. s. αὐτοῦ. E. ib. ἔσται. v. 16. ἀγυρτιάδος. p. ἀγυρτείας. a. ib. μὲν δ' ἂν. v. 17. ἐπανῆγεν. 1. ἐπανηγαγεν. 2, E. ib. ἐς αὐτὸν. v. ib. περὶ μαντικῆς. E. περὶ τῆς ναυτικῆς. v. ib. Ἰάρχας δὲ περὶ μαντικῆς πολλὰ μὲν ἀγαθὰ ἔλεγε τοὺς ἀνθρώπους εἰργάσθαι, (εἰργάσθαι ἀγαθὰ. B). μέγιστον — ἀποχετεύονται αἷμά τε ἴσχεται καὶ τὰ ἄλλα ἰάσεως τυγχάνει. Φ. (332, b, 13). 19. τούτων. l. ib. προελθεῖν. ΦA, B. 20. τοῖς νόσοις. v. τίνας δὲ
21. αὐτοῦ. v, Φ. ib. τίνα μὲν δὴ. v, l. 22. ξυμμετρίας τε. 1, f, Φ. ξυμμετρίας. l. ξυμμετρίαν τε. v. ξυμμετρίας ποτίμων. s. corr. a. sec. m. ξυμμετρίας, τίνα δὲ. a, m. ξυμμετρίας δὲ. o. ib. ἀφ' ὧν. 1, f, l, m, o, Φ. ὑφ' ὧν. s, a. 23. αἷμά τε. Φ. 24. ἰοβόλων δὲ. π et m. γρ. ἰοβόλων. p, 2, E. 25. προγιγνωσκούσης αὐτοῖς. 2. (etiam v.) a, m. ib. ἄνθρωπον. v.

28. καὶ γὰρ κέρδος. π, s, E. καὶ γὰρ καὶ κέρδος. p, 2. Fo: καὶ γὰρ κέρδος ἂν. 29. ἔστι τε. a, m. ib. μαρτιχόρας. π, m, (ubi γρ. μαρτιχώρα) o. μαρτιχώρα. p, u, a. μαρτιχῶρα. f. μαρτιχώρας. s, v. ἡ μαρτιχώρα. l. 31. λέγεσθαι. π. διαλέγεσθαι. p, 2, E. Fo: τι λέγεσθαι. ib. λέγετε. v. ib. γὰρ εἶπε. π, m, o. ib. τετράπουν γὰρ. f, v, l. ib. ὃ τὴν κεφαλὴν — θηρῶντας. Ε. 446.

III, 43. 44. 45. p. 131. 132.

λὴν δὲ ἀνθρώπῳ εἰκάσθαι, λέοντι δὲ ὡμοιῶσθαι τὸ μέγεθος, τὴν δὲ οὐρὰν τοῦ θηρίου τούτου πηχυαίας ἐκφέρειν καὶ ἀκανθώδεις τὰς τρίχας, ἃς βάλλειν ὥσπερ τοξεύματα ἐς τοὺς θηρῶντας αὐτό." ἐρομένου δὲ αὐτοῦ καὶ περὶ τοῦ χρυσοῦ ὕδατος, ὃ φασιν ἐκ πηγῆς βλύζειν, καὶ περὶ τῆς
133 ψήφου τῆς ἅπερ ἡ μαγνῆτις ποιούσης ἀνθρώπων τε ὑπὸ γῆν οἰκούντων καὶ πυγμαίων αὖ καὶ σκιαπόδων ὑπολαβὼν ὁ Ἴαρχας „περὶ μὲν ζῴων ἢ φυτῶν" εἶπεν „ἢ πηγῶν, ὧν αὐτὸς ἐνταῦθα ἥκων εἶδες, τί ἄν σοι λέγοιμι; σὸν γὰρ ἤδη νῦν ἐξηγεῖσθαι αὐτὰ ἑτέροις· θηρίου δὲ τοξεῦον ἢ χρυσοῦ
XLVI πηγὰς ὕδατος οὔπω ἐνταῦθα ἥκουσα. περὶ μέντοι τῆς ψήφου τῆς ἐπισπωμένης τε καὶ ξυνδούσης ἑαυτῇ λίθους ἑτέρας οὐ χρὴ ἀπιστεῖν· ἔστι γάρ σοι καὶ ἰδεῖν τὴν λίθον καὶ θαυμάσαι τὰ ἐν αὐτῇ πάντα. γίγνεται μὲν γὰρ ἡ μεγίστη κατὰ ὄνυχα δακτύλου τούτου," δείξας τὸν ἑαυτοῦ ἀντίχειρα „κυίσκεται δὲ ἐν γῇ κοίλῃ βάθος ὀργυιαὶ τέτταρες, τοσοῦτον δὲ αὐτῇ περίεστι τοῦ πνεύματος, ὡς ὑποιδεῖν τὴν γῆν καὶ κατὰ πολλὰ ῥήγνυσθαι κυισκομένης ἐν αὐτῇ τῆς λίθου. μαστεῦσαι δὲ αὐτὴν οὐδενὶ ἔξεστιν, ἀποδιδράσκει γάρ, εἰ μὴ μετὰ λόγου ἀνασπῷτο. ἀλλ' ἡμεῖς μόνοι τὰ μὲν δράσαντες, τὰ δὲ εἰπόντες ἀναιρούμεθα τὴν παντάρβην· ὄνομα γὰρ αὐτῇ τοῦτο. νύκτωρ μὲν οὖν ἡμέραν ἀναφαίνει, καθάπερ τὸ πῦρ, ἔστι γὰρ πυρσὴ καὶ ἀκτινώδης, εἰ δὲ μεθ' ἡμέραν ὁρῷτο, βάλλει τοὺς ὀφθαλμοὺς μαρμαρυγαῖς μυρίαις. τὸ δὲ ἐν αὐτῇ φῶς πνεῦμά ἐστιν ἀρρήτου ἰσχύος, πᾶν γὰρ τὸ ἐγγὺς ἐσποιεῖ αὐτῇ. τί λέγω τὸ ἐγγύς; ἔστι σοι λίθους, ὁπόσας βούλει, καταποντῶσαί ποι ἢ τῶν ποταμῶν ἢ τῆς θαλάττης καὶ μηδὲ ἐγγὺς ἀλλήλων, ἀλλὰ σποράδας καὶ ὡς ἔτυχεν, ἡ δὲ ἐς αὐτὰς καθιμηθεῖσα ξυλλέγεται πάσας τῇ τοῦ πνεύματος διαδόσει καὶ ὑποκείσονται αὐτῇ βοτρυδὸν αἱ λίθοι,
XLVII καθάπερ σμῆνος." καὶ εἰπὼν ταῦτα ἔδειξε τὴν λίθον αὐτήν τε καὶ ὁπόσα ἐργάζεται. τοὺς δὲ πυ-
134 γμαίους οἰκεῖν μὲν ὑπογείους, κεῖσθαι δὲ ὑπὲρ τὸν Γάγγην ζῶντας τρόπον, ὃς πᾶσιν εἴρηται. σκιάποδας δὲ ἀνθρώπους ἢ μακροκεφάλους ἢ ὁπόσα Σκύλακος ξυγγραφαὶ περὶ τούτων ᾄδουσιν,
XLVIII οὔτε ἄλλοσέ ποι βιοτεύειν τῆς γῆς οὔτε μὴν ἐν Ἰνδοῖς. ὃν δ' ὀρύττουσι χρυσὸν οἱ γρῦπες, πέτραι εἰσὶν οἷον σπινθῆρσιν ἐστιγμέναι ταῖς τοῦ χρυσοῦ ῥανίσιν, ἃς λιθοτομεῖ τὸ θηρίον τοῦτο τῇ τοῦ ῥάμφους ἰσχύι. τὰ γὰρ θηρία ταῦτα εἶναί τε ἐν Ἰνδοῖς καὶ ἱεροὺς νομίζεσθαι τοῦ Ἡλίου τέθριππά τε αὐτῶν ὑποζευγνύναι τοῖς ἀγάλμασι τοὺς τὸν Ἥλιον ἐν Ἰνδοῖς γράφοντας μέγεθός τε καὶ ἀλκὴν εἰκάσθαι αὐτοὺς τοῖς λέουσιν, ὑπὸ δὲ πλεονεξίας τῶν πτερῶν αὐτοῖς τε ἐκείνοις ἐπιτίθεσθαι καὶ τῶν ἐλεφάντων δὲ καὶ δρακόντων ὑπερτέρους εἶναι. πέτονται δὲ οὔπω μέγα, ἀλλ' ὅσον οἱ βραχύποροι ὄρνιθες, μὴ γὰρ ἐπτιλῶσθαι σφᾶς, ὡς ὄρνισι πάτριον, ἀλλ' ὑμέσι τοὺς ταρσοὺς ὑφάνθαι πυρσοῖς, ὡς εἶναι κυκλώσαντας πέτεσθαί τε καὶ ἐκ μετεώρου μάχεσθαι, τὴν τίγριν δὲ αὐτοῖς ἀνά-

1. εἰκάσαι. π. ib. ὁμοιῶσθαι. E. 3. αὐτο. om. Ἐ. ib. δ' αὐτοῦ. l. ib. καὶ. om. 2, a. 4. μάγιπτις. v. ib. ποιούσης. 1, m, o. πραττούσης. 2, a et m. γρ. 5. ὑποβαλὼν. s. corr. sec. m. 6. σὸν δὲ. s, a. ib. τὸ τοξεῦον. p. 8. ὅτι λίθον φησὶ, παντάρβην ὄνομα γίνεσθαι τὴν μεγίστην κατὰ ὄνυχα δακτύλου τοῦ ἀντίχειρος, κυίσκεσθαι δὲ αὐτὴν — τῆς λίθου. Φ. (326, b, 34.) 10. ἐν τῇ κοίλῃ. v et Φ praeter A. 11. κατὰ πολλὰ. C, Φ. τὰ πολλὰ. a. κατὰ τὰ πολλὰ. m, o. ib. οὐ πᾶσι δὲ ἀνασπᾶσθαι, ἀλλὰ τοῖς τὰς ἐπ' αὐτῇ τελετὰς ἐπισταμένοις. Φ. (326, b, 39). ib. μαντεῦσαι. f. al. m. corr. μαντεῦσαι. l. 12. λόγου. ἢ γοητοῦ f. al. m. adj. λόγου ἢ γοητείας. v. 13. αὖτη νύκτωρ μὲν ἡμέραν ἀναφαίνει — ἰσχύος. λίθους γὰρ ὁπόσας βούλει καὶ σποράδην καὶ θαλάσσῃ διαρρίψας, καὶ ταύτην αὐταῖς καθιμήσας ξυλλέγοις ἂν πάσας τῇ τοῦ πνεύματος διαδόσει. ὑποκείσονται γὰρ αὐτῇ βοτρυδὸν — σμῆνος. καί φησιν ὁ μυθογράφος οὗτος Φιλόστρατος ὡς ταῦτα εἰπὼν Ἴαρχας τῷ Ἀπολλωνίῳ ἔδειξε τὴν λίθον — ἐργάζεται. Φ. (327, a, 1.) ib. ἡμέρα. f, v, l. 15. μαρμαρυγίαις. l. ib. ἀπορρήτου. Φ. ib. πάντα γὰρ τὸ. l. 17. καὶ. om. p. 18. διαδόσει. m, o. ib. αἱ λίθοι. 1, Φ. οἱ λίθοι. 2, E. 19. ἔδοξε. l. ib. τοὺς δὲ Πυγμαίους φησὶν οἰκεῖν — Ἰνδοῖς. Φ. (327, a, 12). 22. ἄλλοι εἴ ποι. (sic.) a. ib. οὔτε μὴν ἐν Ἰνδοῖς. π, m, o. οὔτε ἐν Ἰνδοῖς. p, Φ. οὔτε Ἰνδοῖς. 2, a. 23. ὅτι φησὶν, ὃν ὀρύττουσιν — οἱονεὶ σπινθῆρσιν — ἐν Ἰνδοῖς, καὶ μέγεθος καὶ — πυρσοῖς. τὴν τίγριν — ἀνέμοις. Φ. (327, a, 17). ib. ὡς λιθοτομεῖν. ΦA. B. ib. τοῦτο τοῦ. o. 25. αὐτὸν. f, v, l. ib. τὸν. om. v. 26. ὅτι τοὺς ἐν Ἰνδοῖς γρῦπας μέγεθος μὲν καὶ ἀλκὴν εἰκάσθαι φησὶ τοῖς — ἀνέμοις. Φ. (332, b, 24). ib. εἰκάσαι. π. 26. δὲ om. l. 27. ἐλεφάντων δὲ. Φ. (332.) δὲ. om. Φ. (327). ἐλεφάντων τε. C, E. ib. οὔπω μέγα. 1, Φ. l, o. οὐχ οὔπω μέγα. f. οὐχ οὕτω μέγα. v, s, a, m. ib. βραχύποδες. v. 29. ὡς μὲν. o. εἶναι κυκλώσαντας. om. Φ. (332). ib. Τίγριν. m, o.

λωτον εἶναι μόνην, ἐπειδὴ τὸ τάχος αὐτὴν ἐσποιεῖ τοῖς ἀνέμοις. καὶ τὸν φοίνικα δὲ τὸν ὄρνιν τὸν XLIX
διὰ πεντακοσίων ἐτῶν ἐς Αἴγυπτον ἥκοντα πέτεσθαι μὲν ἐν τῇ Ἰνδικῇ τὸν χρόνον τοῦτον, εἶναι δὲ 135
ἕνα ἐκδιδόμενον τῶν ἀκτίνων καὶ χρυσῷ λάμποντα, μέγεθος ἀετοῦ καὶ εἶδος, ἐς καλιάν τε ἰζάνειν
τὴν ἐκ τοῦ ἀρώματος ποιουμένην αὐτῷ πρὸς ταῖς τοῦ Νείλου πηγαῖς. ἃ δὲ Αἰγύπτιοι περὶ αὐτοῦ
ᾄδουσιν, ὡς ἐς Αἴγυπτον φέρεται, καὶ Ἰνδοὶ ξυμμαρτυροῦσι προσᾴδοντες τῷ λόγῳ τὸ τὸν φοίνικα 5
τὸν ἐν τῇ καλιᾷ τηκόμενον προπεμπτηρίους ὕμνους αὐτῷ ᾄδειν. τουτὶ δὲ καὶ τοὺς κύκνους φασὶ
δρᾶν οἱ σοφώτερον αὐτῶν ἀκούοντες.

Τοιαίδε μὲν αἱ πρὸς τοὺς σοφοὺς ξυνουσίαι Ἀπολλωνίῳ ἐγένοντο μηνῶν τεττάρων ἐκεῖ διατρί- I.
ψαντι καὶ ξυλλαβόντι λόγους φανερούς τε καὶ ἀπορρήτους πάντας, ἐπεὶ δὲ ἐξελαύνειν ἐβούλετο,
τὸν μὲν ἡγεμόνα καὶ τὰς καμήλους πείθουσιν αὐτὸν ἀποπέμψαι τῷ Φραώτῃ μετ' ἐπιστολῆς, αὐτοὶ 10
δὲ ἡγεμόνα ἕτερον καὶ καμήλους δόντες προέπεμπον αὐτὸν εὐδαιμονίζοντες αὐτούς τε κἀκεῖνον.
ἀσπασάμενοι δὲ τὸν Ἀπολλώνιον καὶ θεὸν τοῖς πολλοῖς εἶναι δόξειν οὐ τεθνεῶτα μόνον, ἀλλὰ καὶ
ζῶντα φήσαντες αὐτοὶ μὲν ὑπέστρεψαν ἐς τὸ φροντιστήριον ἐπιστρεφόμενοι πρὸς τὸν ἄνδρα καὶ
δηλοῦντες, ὅτι ἄκοντες αὐτοῦ ἀπαλλάττονται, ὁ δὲ Ἀπολλώνιος ἐν δεξιᾷ μὲν τὸν Γάγγην ἔχων, ἐν
ἀριστερᾷ δὲ τὸν Ὕφασιν κατῄει ἐπὶ τὴν θάλατταν ἡμερῶν δέκα ὁδὸν ἀπὸ τοῦ ἱεροῦ ὄχθου. κατι- 15
οῦσι δ' αὐτοῖς πολλαὶ μὲν στρουθοὶ ἐφαίνοντο, πολλοὶ δὲ ἄγριοι βόες, πολλοὶ δὲ ὄνοι καὶ λέοντες
καὶ παρδάλεις καὶ τίγρεις καὶ πιθήκων γένος ἕτερον παρὰ τοὺς ἐν ταῖς πεπερίσι, μέλανές τε γὰρ
καὶ λάσιοι ἦσαν καὶ τὰ εἴδη κύνειοι καὶ σμικροῖς ἀνθρώποις ἴσοι. διαλεγόμενοι δὲ περὶ τῶν ὁρω- 136
μένων, ὁποῖα εἰώθεσαν, ἀφίκοντο ἐπὶ τὴν θάλατταν, ἐν ᾗ κατεσκεύαστο ἐμπόρια μικρά, καὶ πλοῖα
δὲ ἐν αὐτοῖς ὧρμει πορθμεῖα παραπλήσια τοῖς Τυρρηνοῖς. τὴν δὲ θάλατταν τὴν Ἐρυθρὰν εἶναι 20
μὲν κυανωτάτην, ὠνομάσθαι δέ, ὡς εἶπον, ἀπὸ Ἐρύθρα βασιλέως, ὃς ἐπωνόμασεν ἑαυτὸν ἐκείνῳ
τῷ πελάγει. ἐνταῦθα ἥκων τὰς μὲν καμήλους ἀπέπεμψε τῷ Ἰάρχᾳ μετ' ἐπιστολῆς· LI

„Ἀπολλώνιος Ἰάρχᾳ καὶ σοφοῖς ἑτέροις χαίρειν.

Ἀφικομένῳ μοι πεζῇ πρὸς ὑμᾶς δεδώκατε τὴν θάλατταν, ἀλλὰ καὶ σοφίας τῆς ἐν ὑμῖν κοινωνή-
σαντες δεδώκατε καὶ διὰ τοῦ οὐρανοῦ πορεύεσθαι. μεμνήσομαι τούτων καὶ πρὸς Ἕλληνας κοινωνήσω 25
τε λόγων ὡς παροῦσιν ὑμῖν, εἰ μὴ μάτην ἔπιον τοῦ Ταντάλου. ἔρρωσθε ἀγαθοὶ φιλόσοφοι." αὐτὸς LII
δὲ ἐπιβὰς νεὼς ἐκομίζετο λείῳ καὶ εὐφόρῳ πνεύματι θαυμάζων τὸ στόμα τοῦ Ὑφάσιδος, ὡς φοβε-
ρῶς δι' αὐτοῦ ἐκχεῖται· τελευτῶν γάρ, ὡς ἔφην, ἐς χωρία πετρώδη καὶ στενὰ καὶ κρημνοὺς ἐκπί-
πτει, δι' ὧν καταρρηγνὺς ἐς τὴν θάλατταν ἐνὶ στόματι χαλεπὸς δοκεῖ τοῖς ἄγαν τῇ γῇ προσκειμένοις.

Καὶ μὴν καὶ τὸ τοῦ Ἰνδοῦ στόμα ἰδεῖν φασι, πόλιν δὲ ἐπ' αὐτοῦ κεῖσθαι Πάταλα περίρρυτον 30 LIII 137
τῷ Ἰνδῷ, ἐς ἣν τὸ ναυτικὸν τοῦ Ἀλεξάνδρου ἐλθεῖν, ᾧ ναύαρχον ἐπιτετάχθαι Νέαρχον οὐκ ἀγύ-
μναστον τῆς θαλαττίου τάξεως. ἃ δὲ Ὀρθαγόρᾳ περὶ τῆς Ἐρυθρᾶς εἴρηται, καὶ ὅτι μήτε ἡ ἄρκτος

1. ὅτι περὶ τοῦ φοίνικος τοῦ ὄρνιθος τὰ αὐτὰ καὶ οὗτος τοῖς ἄλλοις ἅπασιν ἀναγράφει. Φ. (327, a, 29). 2. εἰς Αἴγυπτον. f. ib. πέμπεσθαι. v. 5. τὸ τὸν. 1, f, v. τῷ τὸν. l, s, E. 7. γρ. σοφώτεροι. m. ib. αὐτῷ. l.

8. μὴν. om. 2, a. ib. ὅτι δ' μῆνας τοῖς Ἰνδοῖς τὸν Ἀ. συνδιατρῖψαί φησιν. ἐξ ἐκείνου δὲ ἐν δεξιᾷ — ἔχοντα — κατιέναι — δὲ αὐτοῖς πολλὰ μὲν καὶ ἄλλα φανῆναι, ἀτὰρ καὶ πιθήκων — ἀνθρώποις ἴσοι ἀφίκοντο δὲ ἐπὶ τὴν θάλατταν τὴν ἐρυθράν. ταύτην δ' εἶναί φησιν οὗτος κυανωτάτην, λαχεῖν δὲ τὴν ἐπωνυμίαν ἀπὸ Ἐρύθρα βασιλέως. Φ. (327, a, 31). 9. ἐπειδὴ. π et m. γρ. 12. τεθνεῶτα μὴν. p. 15. τὴν. om. l. 17. πορδάλεις. 2. ib. τε καὶ γάρ. p, s, a. 18. ἦσαν ἤδη κύνειοι. m. ib. μικροῖς. p, 2, Φ. 19. πλοῖα ἐν. 2, a. 21. αὐτὸν. v.

23. Fo: τοῖς ἑτέροις σοφοῖς.

25. κοινωνήσω τε. 1. κοινωνήσω. 2, E. 26. παροῦσιν ὑμῖν. π. παροῦσιν. p, E. 27. ἐντεῦθεν ἐπιβάντες νέως ὡς ἐκομίζοντο λείῳ — θαυμάζοντες — τελευτῶν γὰρ εἰς χωρία — προσκειμένοις. Φ. (327, b, 1). ib. φοβερὸς. π. φοβερῶς. Φ. φοβερὸς p, 2, E. 28. τελευταῖον. v.

30. καὶ μὴν — ξυνελθεῖν, οὗ Νέαρχος ἐπιστάτει. ἃ δὲ Ὀρθαγόρᾳ — τάξεως, ταῦτα δοκεῖ καὶ τούτοις. Φ. (327, b, 6). 31. ἐλθεῖν. 1. ξυνελθεῖν. 2, E, Φ.

III, 49. 50. 51. 52. p. 135. 136. 137.

ἐν αὐτῇ φαίνοιτο, μήτε σημαίνοιντο τὴν μεσημβρίαν οἱ πλέοντες οἵ τε ἐπίδηλοι τῶν ἀστέρων ἐξαλλάττοιεν τῆς ἑαυτῶν τάξεως, δοκεῖ καὶ Δαμιδι, καὶ χρὴ πιστεύειν ὑγιῶς τε καὶ κατὰ τὸν ἐκεῖ οὐρανὸν εἰρῆσθαι ταῦτα. μνημονεύουσι καὶ νήσου μικρᾶς, ᾗ ὄνομα εἶναι Βίβλον, ἐν ᾗ τὸ τοῦ κογχυλίου μέγεθος καὶ οἱ μύες ὄστρεά τε καὶ τὰ τοιαῦτα δεκαπλάσια τῶν Ἑλληνικῶν τὸ μέγεθος ταῖς πέτραις προσπέφυκεν. ἁλίσκεται δὲ καὶ λίθος ἐκεῖ μαργαρὶς ἐν ὀστράκῳ λευκῷ καρδίας τόπον ἔχουσα τῷ ὀστρέῳ.

LIV Κατασχεῖν δέ φασι καὶ ἐς Πηγάδας τῆς τῶν Ὠρειτῶν χώρας, οἱ δὲ Ὠρεῖται, χαλκαῖ μὲν αὐτοῖς αἱ πέτραι, χαλκῆ δὲ ἡ ψάμμος, χαλκοῦν δὲ ψῆγμα οἱ ποταμοὶ ἄγουσι. χρυσῖτιν δὲ ἡγοῦνται
138 τὴν γῆν διὰ τὴν εὐγένειαν τοῦ χαλκοῦ.

LV Φασὶ δὲ καὶ τοῖς Ἰχθυοφάγοις ἐντυχεῖν, οἷς πόλιν εἶναι Στόβηρα, διφθέρας δὲ τούτους ἐνῆφθαι μεγίστων ἰχθύων, καὶ τὰ πρόβατα τὰ ἐκείνῃ ἰχθυώδη εἶναι καὶ φαγεῖν ἄτοπα, τοὺς γὰρ ποιμένας βόσκειν αὐτὰ τοῖς ἰχθύσιν, ὥσπερ ἐν Καρίᾳ τοῖς σύκοις. Καρμανοὶ δὲ Ἰνδοὶ γένος ἥμερον εὔιχθυν οὕτω νέμονται θάλατταν, ὡς μηδ' ἀποθέτους ποιεῖσθαι τοὺς ἰχθῦς, μηδέ, ὥσπερ ὁ Πόντος, ταριχεύειν, ἀλλ' ὀλίγους μὲν αὐτῶν ἀποδίδοσθαι, τοὺς δὲ πολλοὺς ἀσπαίροντας ἀποδιδόναι τῇ θαλάττῃ.

LVI Προσπλεῦσαί φασι καὶ Βαλάροις, ἐμπόριον δὲ εἶναι τὰ Βάλαρα μεστὸν μυρρινῶν τε καὶ φοινίκων καὶ δάφνας ἐν αὐτῷ ἰδεῖν καὶ πηγαῖς διαρρεῖσθαι τὸ χωρίον. κῆποι δὲ ὁπόσοι τρωκτοὶ καὶ ὁπόσοι ἀνθέων κῆποι, βρύειν αὐτὸ καὶ λιμένας μεστοὺς γαλήνης ἐν αὐτῷ εἶναι. προκεῖσθαι δὲ τοῦ χωρίου τούτου νῆσον ἱεράν, ἣν καλεῖσθαι Σέληρα καὶ στάδια μὲν ἑκατὸν εἶναι τῷ πορθμῷ, νηρηίδα δὲ οἰκεῖν ἐν αὐτῇ δεινὴν δαίμονα, πολλοὺς γὰρ τῶν πλεόντων ἁρπάζειν καὶ μηδὲ ταῖς ναυσὶ ξυγχωρεῖν πεῖσμα ἐκ τῆς νήσου βάλλεσθαι.

LVII Ἄξιον δὲ μηδὲ τὸν περὶ τῆς ἑτέρας μαργαρίτιδος παρελθεῖν λόγον, ἐπεὶ μηδὲ Ἀπολλωνίῳ μειρακιώδης ἔδοξεν, ἀλλὰ πλάττεται ἥδιστος καὶ τῶν ἐν τῇ θαλαττουργίᾳ θαυμασιώτατος. τὰ γὰρ τετραμμένα τῆς νήσου πρὸς τὸ πέλαγός ἐστι μὲν ἄπειρος πυθμὴν θαλάττης, φέρει δὲ ὄστρεον ἐν
139 ἐλύτρῳ λευκῷ μεστὸν πιμελῆς, οὐδὲ γὰρ λίθον φύει οὐδένα. γαλήνην δὲ ἐπιφυλάξαντες καὶ τὴν θάλατταν αὐτοὶ λεάναντες, τουτὶ δὲ ἡ τοῦ ἐλαίου ἐπιρροὴ πράττει, καταδύεταί τις ἐπὶ τὴν θήραν τοῦ ὀστρέου τὰ μὲν ἄλλα κατεσκευασμένος, ὥσπερ οἱ τὰς σπογγιὰς κείροντες, ἔστι δὲ αὐτῷ καὶ πλινθὶς σιδηρᾶ καὶ ἀλάβαστρος μύρου. παριζήσας οὖν ὁ Ἰνδὸς τῷ ὀστρέῳ δέλεαρ αὐτοῦ τὸ μύρον

1. ἐξαλλάττοιεν. Φ. ἐξαλλάττονται. C, E. 2. ἑαυτῶν. Φ. αὐτῶν. l, s, a. αὐτῶν. v, m, o. 3. ὅτε νῆσόν φησιν εἶναι μικράν, ὄνομα Βίβλον — ὀστρέῳ. Φ. (327, b, 15). ib. Βύβλον. E. ib. τὸ τοῦ κογχ. μέγεθος. om. o. κοχλίου τό l. 5. δὲ. om. l. ib. ἐκεῖ καὶ. Φ. ἐκεῖ. om. f, v, l. ib. τρόπον. l. τρόποι. f, l, a, Φ. 6. ἐπέχουσα. v.

7. κατασχεῖν δὲ — χαλκοῦ. Φ. (327, b, 21). ib. Πηγάδας. l, a, m. Πηγάδα. s. a. rec. m. Πηγάδα. f, l, v. ΦΑ, B. Πάγαλα. o. ib. τῆς Ὠρειτῶν. Φ. τῆς τῶν. om. π. Ὀρειτῶν. l. ib. ἐληλυθέναι φησὶν ἐς τὴν τῶν Ὠρειτῶν χώραν, ἔνθα χαλκαῖ — ἄγουσι. E. (448). ib. Ὠρειτῶν χώραν. π. ib. Ὠριτῶν et Ὠρῖται. o. ὀρειτῶν et ὀρεῖται. l. ib. μὲν. om. l. 8. χαλκοῦ δὲ. E. ib. χρυσίτην. v. χρυσῆτιν. l. ib. δὲ ἡγοῦνται. l, Φ. ἡγοῦνται. 2, E.

10. φασὶ δε — ἰχθυώδη εἶναι, ἐξ αὐτῶν γὰρ τρέφεται, καὶ φαγεῖν — μηδὲ ταριχεύειν, εἶναι γὰρ αὐτοῖς ἐπὶ χεῖρας τοὺς ἰχθῦς διὰ παντός, ὅσους βούλονται. Φ. (327, b, 26). ib. δὲ. om. 2. ib. τούτους. om. f, l et s in ord. habet mg. 11. τὰ ἐκείνῃ. π, m, o. τάτε ἐκείνῃ. p. ἐκείνῃ om. τὰ. 2, a. ib. ἐκεῖ. Φ. 13. εὔερχθυν. a. 14. ὁ πόντος. E.

16. ὅτι προσπλεῦσαί φησιν αὐτοὺς καὶ Βαλάροις. ἐμπόριον δὲ τοῦτο εἶναι μεστὸν — φοινίκων καὶ κήπων παντοδαπὰ φερόντων. προκεῖσθαι — ἱερὰν καὶ καλεῖσθαι Σέληρα. Φ. (327, b, 34). ib. βαρβάροις. f, al. m. corr. 17. κῆποι. 1, f, l. κοῖποι. v. κήποις. E. 18. βρύειν αὐτῷ. p.

22. μαργαρίδος. p. 23. ἀλλ' ἀπαγγέλλεται ἥδιστος καὶ τῶν ἐν θαλαττουργίᾳ θαυμασιώτερος. Φ. (332, b, 33). ib. Θαυματουργίᾳ. 2, a et m. γρ. ib. Θαυμασιωτάτη. p. 24. ταύτης τῆς νήσου τὰ τετραμμένα πρὸς τὸ — θάλατταν αὐτοὶ τῇ ἐπιρροῇ τοῦ ἐλαίου λεάναντες καταδύεται — κατασκευασάμενος — φύσει μαργαρὶς αἷμα λευκόν. τὸ δὲ ἐντεῦθεν θηριώδη — θηρία. Φ. (327, b, 38). 25. δὲ. om. f, v. 28. ἀλάβαστρος. φ et Φ. praeter A, B.

III, 54. 55. 56. 57. p. 138. 139.

ποιεῖται, τὸ δὲ ἀνοίγνυταί τε καὶ μεθύει ὑπ' αὐτοῦ, κέντρῳ δὲ διελαθὲν ἀποπτύει τὸν ἰχῶρα, ὁ δὲ ἐκδέχεται αὐτὸν τῇ πλινθίδι τύπους ὀρωρυγμένῃ. λιθοῦται δὲ τὸ ἐντεῦθεν καὶ ῥυθμίζεται, καθάπερ ἡ φύσει μαργαρίς κἄστιν ἡ μαργαρὶς αἷμα λευκὸν ἐξ ἐρυθρᾶς τῆς θαλάττης. ἐπιτίθεσθαι δὲ τῇ θήρᾳ ταύτῃ καὶ τοὺς Ἀραβίους φασὶν ἀντιπέρας οἰκοῦντας. τὸ δὲ ἐντεῦθεν θηριώδη μὲν τὴν θάλατταν εἶναι πᾶσαν, ἀγελάζεσθαι δὲ ἐν αὐτῇ τὰ κήτη, τὰς δὲ ναῦς ἔρυμα τούτου κωδωνοφορεῖν κατὰ πρύμναν τε καὶ πρῴραν, τὴν δὲ ἠχὼ ἐκπλήττειν τὰ θηρία, καὶ μὴ ἐᾶν ἐμπελάζειν ταῖς ναυσί.

Καταπλεύσαντες δὲ ἐς τὰς ἐκβολὰς τοῦ Εὐφράτου φασὶν ἐς Βαβυλῶνα δι' αὐτοῦ ἀναπλεῦσαι LVIII παρὰ τὸν Οὐαρδάνην. καὶ τυχόντες αὐτοῦ οἷον ἐγίγνωσκον, ἐπὶ τὴν Νῖνον ἐλθεῖν αὖθις, καὶ τῆς Ἀντιοχείας συνήθως ὑβριζούσης καὶ μηδὲν τῶν Ἑλληνικῶν ἐσπουδακυίας ἐπὶ θάλαττάν τε καταβῆναι τὴν ἐπὶ Σελεύκειαν νεώς τε ἐπιτυχόντες προσπλεῦσαι Κύπρῳ κατὰ τὴν Πάφον, οὗ τὸ τῆς Ἀφροδίτης ἕδος, ὃ ξυμβολικῶς ἱδρυμένον θαυμάσαι τὸν Ἀπολλώνιον, καὶ πολλὰ τοὺς ἱερέας ἐς τὴν ὁσίαν τοῦ ἱεροῦ διδαξάμενον ἐς Ἰωνίαν πλεῦσαι θαυμαζόμενον ἱκανῶς καὶ μεγάλων ἀξιούμενον παρὰ τοῖς τὴν σοφίαν τιμῶσιν.

Δ'.

Ἐπεὶ δὲ εἶδον τὸν ἄνδρα ἐν Ἰωνίᾳ παρελθόντα ἐς τὴν Ἔφεσον, οὐδὲ οἱ βάναυσοι ἔτι πρὸς I 140
ταῖς ἑαυτῶν τέχναις ἦσαν, ἀλλ' ἠκολούθουν ὁ μὲν σοφίας, ὁ δὲ εἴδους, ὁ δὲ διαίτης, ὁ δὲ σχήματος, οἱ δὲ πάντων ὁμοῦ θαυμασταὶ ὄντες, λόγοι τε περὶ αὐτοῦ ἐφοίτων οἱ μὲν ἐκ τοῦ Κολοφῶνι μαντείου κοινωνὸν τῆς ἑαυτοῦ σοφίας καὶ ἀτεχνῶς σοφὸν καὶ τὰ τοιαῦτα τὸν ἄνδρα ᾄδοντες, οἱ δὲ ἐκ Διδύμων, οἱ δὲ ἐκ τοῦ περὶ τὸ Πέργαμον ἱεροῦ, πολλοὺς γὰρ τῶν ὑγιείας δεομένων ὁ θεὸς ἐκέλευσε προσφοιτᾶν τῷ Ἀπολλωνίῳ, τουτὶ γὰρ αὐτός τε βούλεσθαι καὶ δοκεῖν ταῖς Μοίραις. ἐφοίτων καὶ πρεσβεῖαι πρὸς αὐτὸν ἐκ τῶν πόλεων ξένον τε αὐτὸν ἡγούμενοι καὶ βίου ξύμβουλον βωμῶν τε ἱδρύσεως καὶ ἀγαλμάτων, ὁ δὲ ἕκαστα τούτων τὰ μὲν ἐπιστέλλων, τὰ δὲ ἀφιξεσθαι 141
φάσκων διωρθοῦτο. πρεσβευσαμένης δὲ καὶ τῆς Σμύρνης καὶ ὅ τι μὲν δέοιτο οὐκ εἰπούσης, ἐκλιπαρούσης δὲ ἀφικέσθαι, ἤρετο τὸν πρεσβευτήν, ὅ τι αὐτοῦ δέοιντο, ὁ δὲ „ἰδεῖν" ἔφη „καὶ ὀφθῆναι". ὁ δὲ Ἀπολλώνιος „ἀφίξομαι" εἶπε „δοίητε δέ, ὦ Μοῦσαι, καὶ ἐρασθῆναι ἀλλήλων". II

Τὴν μὲν δὴ διάλεξιν τὴν πρώτην ἀπὸ τῆς κρηπῖδος τοῦ νεὼ πρὸς τοὺς Ἐφεσίους διελέχθη, οὐχ ὥσπερ οἱ Σωκρατικοί, ἀλλὰ τῶν μὲν ἄλλων ἀπάγων τε καὶ ἀποσπουδάζων, φιλοσοφίᾳ δὲ μόνῃ

1. κέντρῳ δὲ. 1. κέντρῳ τε. 2, E, ΦA. ib. δελεασθὲν. φ et f. ante corr. al. m. ib. ἀποπτεῖ. p. 2. αὐτοῦ. v. ib. τὸ ἐνταῦθα. v. 3. μαργαρὶς κἄστιν. om. a. relicta lacuna. ἡ φύσει μαργαρὶς. et mg. κἄστιν ἡ. s. ib. κἄστιν ἡ μαργαρὶς. om. f, φ, v, l, Φ. 4. δὲ. om. φ. ib. ἀραβίους. p. ib. δὲ. om. s. 5. τουτί. l. 6. τῇ δὲ. v.

8. καταπλεύσαντες δὲ — ἀναπλεῦσαι. Φ (328, a, 15). 9. περὶ. π. 10. μὴ δὲ. v. 11. ἐπιτυχόντας. π. ἐπιτυχόντας. p. 2, E. 12. συμβολικῶς. f, l. 13. ὁσίαν. C. οἰκίαν. E. 14. τὴν σοφίαν. l. σοφίαν. 2, E.

15. ἐπεὶ δὲ. π, v. ἐπειδὴ δὲ. p, f, l, s, E. ib. βαύνασοι. v. 16. αὐτῶν. v. 17. Σ. v. θαυμασταί· ἐκπλαγεὶς ἠκολούθουν, οἱ μὲν σοφίας, οἱ δὲ εἴδ. οἱ δὲ δ. οἱ δὲ σ. οἱ δὲ πάντων ὁμοῦ θαυμασταὶ ὄντες. ib. θαυμαστοὶ. v, a, m. ib. λόγοι τε. π, 2, a, m. λόγοι δὲ. p, o. ib. περὶ ἑαυτοῦ. f, v. 18. ἐν Κ. o. ib. τῆς ἑαυτοῦ C, a, m. τῆς αὐτοῦ. o. 20. ἐκέλευσε. 1, l. ἐκέλευε. 2. E. 21. σύμβουλον. s. σύμβολον. l. 25. ὁ δὲ Ἀπ. — ἀλλήλων. om. v, l, et s. in ordine, habet mg. ib. δοίητε δὲ. 1, f. καὶ δοίητε. s, E.

26. διελέχθη. l, s, a, m. 27. οὐχ, ὥσπερ οἱ Σωκρατικοί, τῶν μὲν ἄλλων ἀπάγων καὶ ἀποσπουδάζων, φιλοσοφίᾳ δὲ μόνῃ συμβουλεύων, ἀλλὰ καὶ ἐξῆς. Φ. (332, b, 34.) ib. φιλοσοφίᾳ δὲ μόνῃ προσέχειν ξυμβ. π. φιλοσοφίᾳ δὲ μόνῃ ξυμβ. p, 2, a, m, Φ. φιλοσοφίας δὲ μόνης ξ. o, Salm.

ξυμβουλεύων προσέχειν καὶ σπουδῆς ἐμπιπλάναι τὴν Ἔφεσον μᾶλλον ἢ ῥᾳθυμίας τε καὶ ἀγερωχίας, ὁπόσην εὗρεν· ὀρχηστῶν γὰρ ἡττημένοι καὶ πρὸς πυρρίχαις αὐτοὶ ὄντες αὐλῶν μὲν πάντα μεστὰ
111 ἦν, μεστὰ δὲ ἀνδρογύνων, μεστὰ δὲ κτύπων· ὁ δὲ καίτοι μεταθεμένων τῶν Ἐφεσίων πρὸς αὐτὸν οὐκ ἠξίου περιορᾶν ταῦτα, ἀλλ' ἐξῄρει αὐτὰ καὶ διέβαλλε τοῖς πολλοῖς. τὰς δὲ ἄλλας διαλέξεις περὶ τὰ ἄλση τὰ ἐν τοῖς ξυστοῖς δρόμοις ἐποιεῖτο, διαλεγομένου δέ ποτε περὶ κοινωνίας καὶ διδάσκον-
142 τος, ὅτι χρὴ τρέφειν τε ἀλλήλους καὶ ὑπ' ἀλλήλων τρέφεσθαι, στρουθοὶ μὲν ἐκάθηντο ἐπὶ τῶν δένδρων σιωπῶντες, εἷς δὲ αὐτῶν προσπετόμενος ἐβόα, παρακελεύεσθαί τι δοκῶν τοῖς ἄλλοις, οἱ δέ, ὡς ἤκουσαν, αὐτοί τε ἀνέκραγον καὶ ἀρθέντες ἐπέτοντο ὑπὸ τῷ ἑνί. ὁ μὲν δὴ Ἀπολλώνιος εἶχετο τοῦ λόγου γιγνώσκων μέν, ἐφ' ὅ τι οἱ στρουθοὶ πέτοιντο, πρὸς δὲ τοὺς πολλοὺς οὐχ ἑρμη-
10 νεύων αὐτό, ἐπεὶ δὲ ἀνέβλεψαν ἐς αὐτοὺς πάντες καὶ ἀνοήτως ἔνιοι τερατῶδες αὐτὸ ἐνόμισαν, παραλλάξας ὁ Ἀπολλώνιος τοῦ λόγου „παῖς" εἶπεν „ὤλισθεν ἀπάγων πυροὺς ἐν σκάφῃ καὶ κακῶς αὐτοὺς ξυλλεξάμενος αὐτὸς μὲν ἀπελήλυθε, πολλοὺς δ' ἐσκεδασμένους ἀπολέλοιπεν ἐν στενωπῷ τῷ δεινῳ, ὁ δὲ στρουθὸς παρατυχὼν οὗτος πρόξενος τοῖς ἄλλοις ἧκει τοῦ ἑρμαίου καὶ ποιεῖται αὐτοὺς ξυσσίτους." οἱ μὲν δὴ πλεῖστοι τῶν ἀκροωμένων δρόμῳ ἐπὶ τούτῳ ᾤχοντο, ὁ δὲ Ἀπολλώνιος πρὸς
15 τοὺς παρόντας διῄει τὸν λόγον, ὃν περὶ τῆς κοινωνίας προὔθετο, καὶ ἐπειδὴ ἀφίκοντο βοώντές τε καὶ μεστοὶ θαύματος „οἱ μὲν στρουθοὶ" εἶπεν„ ὁρᾶτε, ὡς ἐπιμελοῦνταί τε ἀλλήλων καὶ κοινωνίᾳ χαίρουσιν, ἡμεῖς δὲ οὐκ ἀξιοῦμεν, ἀλλὰ κἂν κοινωνοῦντα ἑτέροις ἴδωμεν, ἐκεῖνον μὲν ἀσωτίαν καὶ τρυφὴν καὶ τὰ τοιαῦτα ἡγούμεθα, τοὺς δὲ ὑπ' αὐτοῦ τρεφομένους παρασίτους τε καὶ κόλακας φαμέν. καὶ τί λοιπὸν ἀλλ' ἢ ξυγκλείσαντας αὐτούς, ὥσπερ τοὺς σιτευομένους τῶν ὀρνίθων, ἐν σκότῳ
20 γαστρίζεσθαι, μέχρις ἂν διαρραγῶμεν παχυνόμενοι;"

IV Λοιμοῦ δὲ ὑφέρποντος τὴν Ἔφεσον καὶ οὔπω ἀνοιδούσης τῆς νόσου ξυνῆκε μὲν ὁ Ἀπολλώνιος τῆς προσβολῆς, ξυνεὶς δὲ προὔλεγε πολλαχοῦ τε τῶν διαλέξεων „ὦ γῆ, μένε ὁμοία," καὶ τοιαῦτα
143 ἐπεφθέγγετο ξὺν ἀπειλῇ· „τούσδε σῶζε" καὶ „οὐ παρελεύσῃ ἐνταῦθα." οἱ δ' οὐ προσεῖχον καὶ τερατολογίαν τὰ τοιαῦτα ᾤοντο τοσῷδε μᾶλλον, ὅσῳ καὶ ἐς πάντα τὰ ἱερὰ φοιτῶν ἀποτρέπειν
25 αὐτὸ ἐδόκει καὶ ἀπεύχεσθαι. ἐπεὶ δὲ ἀνοήτως εἶχον τοῦ πάθους, ἐκείνοις μὲν οὐδὲν ᾤετο δεῖν ἐπαρκεῖν ἔτι, τὴν δὲ ἄλλην Ἰωνίαν περιῄει διορθούμενος τὰ παρ' ἑκάστοις καὶ διαλεγόμενος ἀεί τι σωτήριον τοῖς παροῦσιν.

V Ἀφικνουμένῳ δὲ αὐτῷ ἐς τὴν Σμύρναν προσαπήντων μὲν οἱ Ἴωνες, καὶ γὰρ ἔτυχον Πανιώνια θύοντες, ἀναγνοὺς δὲ καὶ ψήφισμα Ἰωνικόν, ἐν ᾧ ἐδέοντο αὐτοῦ κοινωνῆσαί σφισι τοῦ
30 ξυλλόγου, καὶ ὀνόματι προστυχὼν ἥκιστα Ἰωνικῷ, Λούκουλλος γάρ τις ἐπεγέγραπτο τῇ γνώμῃ,
144 πέμπει ἐπιστολὴν ἐς τὸ κοινὸν αὐτῶν ἐπίπληξιν ποιούμενος περὶ τοῦ βαρβαρισμοῦ τούτου· καὶ γὰρ δὴ καὶ Φαβρίκιον καὶ τοιούτους ἑτέρους ἐν τοῖς ἐψηφισμένοις εὗρεν. ὡς μὲν οὖν ἐρρωμένως ἐπέ-
VI πληξε, δηλοῖ ἡ περὶ τούτου ἐπιστολή. παρελθὼν δὲ ἐπ' ἄλλης ἡμέρας ἐς τοὺς Ἴωνας, „τίς" ἔφη „ὁ κρατὴρ οὗτος;" οἱ δὲ ἔφασαν „Πανιώνιος." ἀρυσάμενος οὖν καὶ σπείσας, „ὦ θεοί," εἶπεν
35 „Ἰώνων ἡγεμόνες, δοίητε τῇ καλῇ ἀποικίᾳ ταύτῃ θαλάττῃ ἀσφαλεῖ χρῆσθαι καὶ μηδὲν τῇ γῇ κακὸν ἐξ αὐτῆς προσκωμάσαι, μηδ' Αἰγαίωνα σεισίχθονα τινάξαι ποτὲ τὰς πόλεις." τοιαῦτα ἐπεθείαζε

3. ἑαυτὸν. p. 4. ἐξῄρει αὐτὸς. v. ib. διέβαλε. m, o. ib. περὶ ἄλση. 2, a. 5. ξεστοῖς. m. (corr. Hu.) ib. διδάσκοντες. a. 7. δέ τι δοκῶν. l. τε δοκῶν. a, m. 8. ὑπὸ τῷ. π, 2, E. ἐπὶ τῷ. p. 11. τὸν λόγον. v. ib. ὠλίσθησεν, s, E. ib. ἐν σκάφει. E. 15. περὶ κοινωνίας. s, a, m. 16. ὁρᾶτε. a. ib. ἐπιμελοῦνται. p. ἐπιμέλονται. π. 2, E. 17. χαίρουσιν; l. ib. ἐκεῖνο. 1 et m. γρ. 19. αὐτοὺς. s.

21. οὔπω. π, H. 17. οὔτω. p, 2, E. 22. πολλαχοῦ τε. 1. πολλαχοῦ δὲ. 2, E. 23. ἐπεφθέγγετο. C, o. ἀπεφθέγγετο. l, a, m. ib. ἐνταῦθα. del. f. om. v, s, l. 25. αὐτῷ. 2, a. ib. ἀπομάχεσθαι. v. 26. διωρθούμενος. v. ib. τὰ παρ' ἑκάστοις. 1. παρ' ἑκάστοις. 2, E. ib. διαλεγόμενος. 1. διαλογιζόμενος. 2, E.

28. ἀφικομένῳ. p. ἀφικνομένῳ. v. ib. καὶ προσαπήντων. l. 30. Λούκουλος. f, l, s, a. 31. ὦ θεοὶ. 1. θεοὶ. 2, E. 35. ἰόνων. v. ib. μὴ δὲ. v. 36. αἰγέωνα. p.

IV. 3. 4. 5. 6. p. 142. 143. 144.

προορῶν, οἶμαι, τὰ χρόνοις ὕστερον περί τε Σμύρναν περί τε Μίλητον περί τε Χίον καὶ Σάμον καὶ πολλὰς τῶν Ἰάδων ξυμβάντα.

Σπουδῇ δὲ ὁρῶν τοὺς Σμυρναίους ἁπάντων ἁπτομένους λόγων ἐπερρώννυε καὶ σπουδαιοτέ- VII 145
ρους ἐποίει, φρονεῖν τε ἐκέλευεν ἐφ' ἑαυτοῖς μᾶλλον ἢ τῷ τῆς πόλεως εἶδει, καὶ γάρ, εἰ καὶ καλλίστη πόλεων, ὁπόσαι ὑπὸ ἡλίῳ εἰσί, καὶ τὸ πέλαγος οἰκειοῦται, ξεφύρου τε πηγὰς ἔχει, ἀλλ' ἀνδράσιν ἐστεφανῶσθαι αὐτὴν ἥδιον ἢ στοαῖς τε καὶ γραφαῖς καὶ χρυσῷ πλείονι τοῦ ὄντος. τὰ μὲν γὰρ οἰκοδομήματα ἐπὶ ταὐτοῦ μένειν οὐδαμοῦ ὁρώμενα πλὴν ἐκείνου τοῦ μέρους τῆς γῆς, ἐν ᾧ ἐστιν, ἄνδρας δὲ ἀγαθοὺς πανταχοῦ μὲν ὁρᾶσθαι, πανταχοῦ δὲ φθέγγεσθαι, τὴν δὲ πόλιν, ἧς γεγόνασιν, ἀποφαίνειν τοσαύτην, ὅσοι περ αὐτοὶ γῆν ἐπελθεῖν δύνανται. ἔλεγε δὲ τὰς μὲν πόλεις τὰς οὕτω καλὰς ἐοικέναι τῷ τοῦ Διὸς ἀγάλματι, ὃς ἐν Ὀλυμπίᾳ τῷ Φειδίᾳ ἐκπεποίηται, καθῆσθαι γὰρ αὐτὸ — οὕτως τῷ δημιουργῷ ἔδοξε — τοὺς δὲ ἄνδρας ἐπὶ πάντα ἥκοντας μηδὲν ἀπεοικέναι τοῦ Ὁμηρείου Διός, ὃς ἐν πολλαῖς ἰδέαις Ὁμήρῳ πεποίηται θαυμασιώτερον ξυγκείμενος τοῦ ἐλεφαντίνου· τὸν μὲν γὰρ ἐν γῇ φαίνεσθαι, τὸν δὲ ἐς πάντα ἐν τῷ οὐρανῷ ὑπονοεῖσθαι.

Καὶ μὴν καὶ περὶ τοῦ πῶς ἂν πόλεις ἀσφαλῶς οἰκοῖντο ξυνεφιλοσόφει τοῖς Σμυρναίοις, διαφερομένους ὁρῶν ἀλλήλοις καὶ μὴ ξυγκειμένους τὰς γνώμας· ἔλεγε γὰρ δὴ τὴν ὀρθῶς οἰκησομένην πόλιν ὁμονοίας στασιαζούσης δεῖσθαι, τούτου δὲ ἀπιθάνως τε καὶ οὐκ ἐς τὸ ἀκόλουθον εἰρῆσθαι δόξαντος, ξυνεὶς ὁ Ἀπολλώνιος, ὅτι μὴ ἕπονται οἱ πολλοὶ τῷ λόγῳ „λευκὸν μὲν" ἔφη „καὶ μέλαν οὐκ' ἄν ποτε ταὐτὸν γένοιτο, οὐδ' ἂν τῷ γλυκεῖ τὸ πικρὸν ὑγιῶς ξυγκραθείη, ὁμόνοια δὲ στασιάσει 146
σωτηρίας ἕνεκα τῶν πόλεων. ὃ δὲ λέγω, τοιοῦτον ἡγώμεθα· στάσις ἡ μὲν ἐπὶ ξίφη καὶ τὸ καταλιθοῦν ἀλλήλους ἄγουσα ἀπέστω πόλεως, ᾗ παιδοτροφίας τε δεῖ καὶ νόμων καὶ ἀνδρῶν, ἐφ' οἷς λόγοι καὶ ἔργα, φιλοτιμία δὲ ἡ πρὸς ἀλλήλους ὑπὲρ τοῦ κοινοῦ καὶ πῶς ἂν ὁ μὲν γνώμης εἴποι βελτίω γνώμην, ὁ δ' ἑτέρου ἄμεινον ἀρχῆς προσταίη, ὁ δὲ προσβεύσειεν, ὁ δ' ἐξοικοδομήσαιτο λαμπρότερον τῆς ἑτέρου ἐπιστατείας, ἔριδ, οἶμαι, αὕτη ἀγαθὴ καὶ στάσις πρὸς ἀλλήλους ὑπὲρ τοῦ κοινοῦ. τὸ δ' ἄλλον ἄλλο ἐπιτηδεύοντας ἐς τὸ τῆς πόλεως ὄφελος ξυμφέρειν Λακεδαιμονίοις μὲν εὔηθες ἐδόκει πάλαι, τὰ γὰρ πολεμικὰ ἐξεπονεῖτο καὶ ἐς τοῦτο ἔρρωντο πάντες καὶ τούτου μόνου ἥπτοντο, ἐμοὶ δ' ἄριστον δοκεῖ τὸ πράττειν ἕκαστον, ὅ τι οἶδε καὶ ὅ τι δύναται. εἰ γὰρ ὁ μὲν ἀπὸ δημαγωγίας θαυμασθήσεται, ὁ δὲ ἀπὸ σοφίας, ὁ δὲ ἀπὸ τοῦ ἐς τὸ κοινὸν πλουτεῖν, ὁ δὲ ἀπὸ τοῦ χρηστὸς εἶναι, ὁ δὲ ἀπὸ τοῦ ἐμβριθὴς καὶ μὴ ξυγγνώμων τοῖς ἁμαρτάνουσιν, ὁ δὲ ἀπὸ τοῦ μὴ διαβεβλῆσθαι τὰς χεῖρας, εὖ κείσεται ἡ πόλις, μᾶλλον δὲ ἑστήξει." καὶ ἅμα διιὼν ταῦτα ναῦν IX
εἶδε τῶν τριαρμένων ἐκπλέουσαν καὶ τοὺς ναύτας ἄλλον ἄλλως ἐς τὸ ἀνάγεσθαι αὐτὴν πράττοντας. ἐπιστρέφων οὖν τοὺς παρόντας „ὁρᾶτε" εἶπε „τὸν τῆς νεὼς δῆμον, ὡς οἱ μὲν τὰς ἐφολκίδας ἐμβεβήκασιν ἐρετικοὶ ὄντες, οἱ δ' ἀγκύρας ἀνιμῶσί τε καὶ ἀναρτῶσιν, οἱ δὲ ὑπέχουσι τὰ ἱστία τῷ

2. ξυμβάτα. v.
3. ἁπάντων ἁπτομένους. π. m. γρ. et J ad Im. 320. καὶ πάντων ἁπτ. p, 2, E. 4. ἢ τὸ τῆς. l. ib. καὶ εἰ — αὐτὴν ἐστεφανῶσθαι ἥδιον. Φ. (332, b, 36.) 6. ἥδιον. v. ib. γραφαῖς, χρυσῷ. s, a. 9. ὅσοι περ. π. ὅσηπερ. p, 2, E. ib. αὐτός. v. 10. τῇ Φειδίᾳ. v. 11. αὐτῷ. v. ib. οὕτως ὡς. m, o.
14. πόλεις. π. πόλις. p, 2, E. ib. οἰκοῖντο. π. οἰκοῖτο. p, 2, E. 15. ἀλλήλους. o. ib. τὰς γνώμας. l. sec. m. ib. ὅτι Ἀ. τὴν ὀρθῶς οἰκησομένην πόλιν ἔλεγεν ὁμονοίας δεῖσθαι στασιαζούσης. Φ. (333, a, 1.) ib. γὰρ δεῖ. p, f, v, l. 16. ἀπιθῶς. l. ἀπειθῶς. a. 18. τῷ γλυκεῖ τὸ πικρὸν. 1. τὸ γλυκὺ τῷ πικρῷ. 2, E. ib. στασιάσει. C. στασιάσοι. E. 19. τοῦτο δὲ τοιοῦτόν ἐστι· στάσις — κοινοῦ. Φ. (333, a, 2.) ib. τὰ ξίφη. v. 20. ἀλλήλους. s. 21. δὲ πρὸς. l. ib. ἂν. om. Φ. ib. εἴπῃ. l. 22 ὁ δ' ἐξοικοδομήσαιτο — ἐπιστατείας. om. Φ. ib. ἐξοικοδομήσατο. π. 23. ἐπιστατίας. 2. (ἐπιστρατίας. l.) ib. πρὸς ἀλλήλους om. Φ. 24. ἄλλον ἄλλον δ'. v. ib. ἐπιτηδεύοντας. 1. ἐπιτηδεύοντα. 2, E. ib. ἐς om. s, a, m ubi γρ. 25. ἐξεπονεῖτο. π et m. γρ. Deesse videtur αὐτοῖς s. αφίσι. ἐξεπονοῦντο. p, 2. (ἐκπονοῦντο. f. corr. al. m.) E. 29. ἡ. om. v. 30. τριαρμενίων. 2, a, m. 32. ἐρεττικοί. π. ib. ἀγγύρας. l.

ἀνέμῳ, οἱ δὲ ἐκ πρύμνης τε καὶ πρώρας προορῶσιν; εἰ δὲ ἓν τούτων εἰς ἐλλείψει τι τῶν ἑαυτοῦ ἔργων ἢ ἀμαθῶς τῆς ναυτικῆς ἅψεται, πονήρως πλευσοῦνται καὶ ὁ χειμὼν αὐτοὶ δόξουσιν· εἰ δὲ φιλοτιμήσονται πρὸς ἑαυτοὺς καὶ στασιάσουσι μὴ κακίων ἕτερος ἑτέρου δόξαι, καλοὶ μὲν ὅρμοι τῇ νηὶ ταύτῃ, μεστὰ δὲ εὐδίας τε καὶ εὐπλοίας πάντα, Ποσειδῶν δὲ Ἀσφάλιος ἡ περὶ αὐτοῖς εὐβουλία δόξει."

x 147 Τοιουτοις μὲν δὴ λόγοις ξυνεῖχε τὴν Σμύρναν, ἐπεὶ δὲ ἡ νόσος τοῖς Ἐφεσίοις ἐνέπεσε καὶ οὐδὲν ἦν πρὸς αὐτὴν αὔταρκες, ἐπρεσβεύοντο παρὰ τὸν Ἀπολλώνιον, ἰατρὸν ποιούμενοι αὐτὸν τοῦ πάθους, ὁ δὲ οὐκ ᾤετο δεῖν ἀναβάλλεσθαι τὴν ὁδόν, ἀλλ' εἰπὼν „ἴωμεν" ἦν ἐν Ἐφέσῳ, τοῦ Πυθαγόρου, οἶμαι, ἐκεῖνο πράττων τὸ ἐν Θουρίοις ὁμοῦ καὶ Μεταποντίοις εἶναι. ξυναγαγὼν οὖν τοὺς Ἐφεσίους „θαρσεῖτε", ἔφη „τήμερον γὰρ παύσω τὴν νόσον", καὶ εἰπὼν ἦγεν ἡλικίαν πᾶσαν ἐπὶ τὸ θέατρον, οὗ τὸ τοῦ Ἀποτροπαίου ἵδρυται. πτωχεύειν δέ τις ἐνταῦθα ἐδόκει γέρων ἐπιμύων τοὺς ὀφθαλμοὺς τέχνῃ, καὶ πήραν ἔφερε καὶ ἄρτου ἐν αὐτῇ τρύφος, ῥάκεσί τε ἠμφίεστο καὶ αὐχμηρῶς εἶχε τοῦ προσώπου. περιστήσας οὖν τοὺς Ἐφεσίους αὐτῷ „βάλλετε τὸν θεοῖς ἐχθρὸν" εἶπε „ξυλλεξάμενοι τῶν λίθων ὡς πλείους". θαυμαζόντων δὲ τῶν Ἐφεσίων, ὅ τι λέγοι, καὶ δεινὸν ἡγουμένων, εἰ ξένον ἀποκτενοῦσιν ἀθλίως οὕτω πράττοντα, καὶ γὰρ ἱκέτευε καὶ πολλὰ ἐπὶ ἐλέῳ ἔλεγεν, ἐνέκειτο παρακελευόμενος τοῖς Ἐφεσίοις ἐρείδειν τε καὶ μὴ ἀνιέναι. ὡς δὲ ἀκροβολισμῷ τινες ἐπ' αὐτῷ ἐχρήσαντο καὶ καταμύειν δοκῶν ἀνέβλεψεν ἀθρόον πυρός τε μεστοὺς τοὺς ὀφθαλμοὺς ἔδειξε, ξυνῆκαν οἱ Ἐφέσιοι τοῦ δαίμονος καὶ κατελίθωσαν οὕτως αὐτόν, ὡς κολωνὸν λίθων περὶ
148 αὐτὸν χώσασθαι. διαλιπὼν δὲ ὀλίγον ἐκέλευσεν ἀφελεῖν τοὺς λίθους, καὶ τὸ θηρίον, ὃ ἀπεκτόνασι, γνῶναι. γυμνωθέντος οὖν τοῦ βεβλῆσθαι δοκοῦντος ὁ μὲν ἠφάνιστο, κύων δὲ τὸ μὲν εἶδος ὅμοιος τῷ ἐκ Μολοττῶν, μέγεθος δὲ κατὰ τὸν μέγιστον λέοντα ξυντετριμμένος ὤφθη ὑπὸ τῶν λίθων καὶ παραπτύων ἀφρόν, ὥσπερ οἱ λυττῶντες. τὸ μὲν δὴ τοῦ Ἀποτροπαίου ἕδος, ἔστι δὲ Ἡρακλῆς, ἵδρυται περὶ τὸ χωρίον, ἐν ᾧ τὸ φάσμα ἐβλήθη.

xi Καθήρας δὲ τοὺς Ἐφεσίους τῆς νόσου καὶ τῶν κατὰ τὴν Ἰωνίαν ἱκανῶς ἔχων ἐς τὴν Ἑλλάδα ὥρμητο. βαδίσας οὖν ἐς τὸ Πέργαμον καὶ ἡσθεὶς τῷ τοῦ Ἀσκληπιοῦ ἱερῷ τοῖς τε ἱκετεύουσι τὸν θεὸν ὑποθέμενος, ὁπόσα δρῶντες εὐξυμβόλων ὀνειράτων τεύξονται, πολλοὺς δὲ καὶ ἱασάμενος ἦλθεν ἐς τὴν Ἰλιάδα καὶ πάσης τῆς περὶ αὐτῶν ἀρχαιολογίας ἐμφορηθεὶς ἐφοίτησεν ἐπὶ τοὺς τῶν Ἀχαιῶν τάφους, καὶ πολλὰ μὲν εἰπὼν ἐπ' αὐτοῖς, πολλὰ δὲ τῶν ἀναίμων τε καὶ καθαρῶν καθαγίσας τοὺς μὲν ἑταίρους ἐκέλευσεν ἐπὶ τὴν ναῦν χωρεῖν, αὐτὸς δὲ ἐπὶ τοῦ κολωνοῦ τοῦ Ἀχιλλέως ἐννυχεύσειν ἔφη. δεδιττομένων οὖν τῶν ἑταίρων αὐτόν, καὶ γὰρ δὴ καὶ οἱ Διοσκορίδαι καὶ οἱ Φαίδιμοι καὶ ἡ τοιάδε ὁμιλία πᾶσα ξυνῆσαν ἤδη τῷ Ἀπολλωνίῳ, τόν τε Ἀχιλλέα φοβερὸν ἔτι φασκόντων φαίνεσθαι, τουτὶ γὰρ καὶ τοὺς ἐν τῷ Ἰλίῳ περὶ αὐτοῦ πεπεῖσθαι „καὶ μὴν ἐγὼ" ἔφη „τὸν Ἀχιλλέα σφόδρα οἶδα ταῖς ξυνουσίαις χαίροντα, τόν τε γὰρ Νέστορα τὸν ἐκ τῆς Πύλου μάλα ἠσπάζετο,

1. προορῶσιν; l. a, m. προορῶσιν. o. ib. εἰ δὲ ἓν — δόξει. Φ. (333, a, 9.) ib. δὲ τούτων. s, E. ib. ἐλλείψοι. ΦΒ. ἐλλείψει. ΦΑ. 2. πονηρὸν. Φ. 3. πρὸς ἑαυτοὺς. Φ. πρὸς αὐτοὺς. l, (l: αὐτοὺς) E. ib. οἱ ὅρμοι. l. 4. μεστὰ δὲ. v, Φ. μετὰ δὲ. 1, f, l, s, E. ib. ἀσφαλὴς. p. ἀσφάλειος. f, l, v, Φ. ib. αὐτοὺς. o. αὐτῆς. Φ.

6. ἐπεὶ δὲ. π, s, E. ἐπειδὴ δὲ. f, v, l. ἐπεὶ δὴ δὲ. p. ex corr. 8. ἀναβαλέσθαι. l. 9. ἐκεῖνο οἶμαι. v. ib. θηρίοις. p. Θουρίοις. o. ib. οὖν. om. v. 10. τήμερον παύσω. E. 12. post ὀφθαλμοὺς lacuna in π usque ad 150, 27. ἔστι γὰρ. ib. πήρας. v. 14. ὡς πλείους. C, E. Fo: ὡς πλείστους. ib. θαυμαζόντων. s, E. θαυμασάντων. p, f, v, l. 15. καὶ γὰρ — ἔλεγεν. Φ. (333, a, 15.) 16. τε. om. v. 17. ἀθρόως. l. 18. ξυνὼν καὶ οἱ. v. ib. κατελίθασαν. p. ib. ὡς κολωνὸν — χώσασθαι. Φ. (333, a, 16.) 19. χώσαντες. 2, E. 20. ὅμοιον. v. 21. συντετριμμένος. f. συντετριμμένον. v. 22. Ἀπολλωνίου. v. ib. ἕδος. v et s, (ex corr.) B. εἶδος. p, f, l, E. ib. ἔτι. o et m. (γρ. ἔστι.) ἔστι et H. 77.

24. Αἰολίδα. B. 26. εὐξ. ὁ. τεύξονται. Φ. (333, a, 17.) ib. τεύξωνται. m, o. 27. Ἑλλάδα. f, v, l. 28. ἀναίμων τε καὶ καθαρῶν. p. ἀναίμων. 2, a, o. ἀνέμων. m. ib. καθαγιάσας. p. 29. ἐπὶ τὴν ναῦν. p. ἐπὶ ναῦν. 2, E. 30. τῶν. om. m. ib. Διοσκουρίδαι. p. 31. πᾶσαν. v. 32. περὶ αὐτοὺς. p. 33. μᾶλλον. p.

IV, 10. 11. p. 147. 148.

ἐπειδὴ ἀεί τι αὐτῷ διῄει χρηστόν, τόν τε Φοίνικα τροφέα καὶ ὀπαδὸν καὶ τὰ τοιαῦτα τιμῶν ἐνόμιζεν, ἐπειδὴ διῆγεν αὐτὸν ὁ Φοῖνιξ λόγοις, καὶ τὸν Πρίαμον δὲ καίτοι πολεμιώτατον αὐτῷ ὄντα 149
πραότατα εἶδεν, ἐπειδὴ διαλεγομένου ἤκουσε, καὶ Ὀδυσσεῖ δὲ ἐν διχοστασίᾳ ξυγγενόμενος οὕτω μέτριος ὤφθη, ὡς καλὸς τῷ Ὀδυσσεῖ μᾶλλον ἢ φοβερὸς δόξαι. τὴν μὲν δὴ ἀσπίδα καὶ τὴν κόρυν τὴν δεινόν, ὥς φασι, νεύουσαν, ἐπὶ τοὺς Τρῶας οἶμαι αὐτῷ εἶναι μεμνημένῳ, ἃ ὑπ' αὐτῶν ἔπαθεν ἀπιστησάντων πρὸς αὐτὸν ὑπὲρ τοῦ γάμου, ἐγὼ δὲ οὔτε μετέχω τι τοῦ Ἰλίου διαλέξομαί τε αὐτῷ χαριέστερον ἢ οἱ τοτε ἑταῖροι, κἂν ἀποκτείνῃ με, ὥς φατε, μετὰ Μέμνονος δήπου καὶ Κύκνου κείσομαι καὶ ἴσως με ἐν καπέτῳ κοίλῃ, καθάπερ τὸν Ἕκτορα, ἡ Τροία θάψει." τοιαῦτα πρὸς τοὺς ἑταίρους ἀναμὶξ παίξας τε καὶ σπουδάσας προσέβαινε τῷ κολωνῷ μόνος, οἱ δὲ ἐβάδιζον ἐπὶ τὴν ναῦν ἑσπέρας ἤδη. ὁ δὲ Ἀπολλώνιος περὶ ὄρθρον ἦκων „ποῦ" ἔφη „Ἀντισθένης ὁ Πάριος"; 10 XII
ἑβδόμην δὲ οὗτος ἡμέραν ἐτύγχανεν ἤδη προσπεφοιτηκὼς αὐτῷ ἐν Ἰλίῳ. ὑπακούσαντος δὲ τοῦ Ἀντισθένους „προσήκεις τι", ἔφη „ὦ νεανία, τῇ Τροίᾳ"; „σφόδρα", εἶπεν „εἰμὶ γὰρ δὴ ἄνωθεν Τρώς". „ἦ καὶ Πριαμίδης;" „νὴ Δί'," εἶπεν „ἐκ τούτου γὰρ δὴ ἀγαθός τε οἶμαι κἀξ ἀγαθῶν εἶναι". „εἰκότως οὖν" ἔφη „ὁ Ἀχιλλεὺς ἀπαγορεύει μοι μὴ ξυνεῖναί σοι, κελεύσαντος γὰρ αὐτοῦ πρεσβεῦσαί με πρὸς τοὺς Θετταλοὺς περὶ ὧν αἰτιᾶται σφᾶς, ὡς ἠρόμην, τί ἂν πρὸς τούτῳ ἕτερον 15
πρὸς χάριν αὐτῷ πράττοιμι, τὸ μειράκιον ἔφη τὸ ἐκ Πάρου μὴ ποιούμενος ξυνέμπορον τῆς ἑαυτοῦ σοφίας, Πριαμίδης τε γὰρ ἱκανῶς ἐστι καὶ τὸν Ἕκτορα ὑμνῶν οὐ παύεται." ὁ μὲν δὴ Ἀντισθένης ἄκων ἀπῆλθεν, ἐπεὶ δὲ ἡμέρα ἐγένετο καὶ τὸ πνεῦμα ἐκ τῆς γῆς ἐπεδίδου περί τε ἀναγω- XIII
γὴν ἡ ναῦς εἶχεν, ἐπέρρεον αὐτῇ σμικρᾷ οὔσῃ πλείους ἕτεροι βουλόμενοι τῷ Ἀπολλωνίῳ ξυμπλεῖν, καὶ γὰρ μετόπωρον ἤδη ἐτύγχανε καὶ ἡ θάλαττα ἧττον βεβαία. πάντες οὖν καὶ χειμῶνος καὶ πυρὸς 20 150
καὶ τῶν χαλεπωτάτων κρείττω τὸν ἄνδρα ἡγούμενοι ξυνεμβαίνειν ἤθελον καὶ ἐδέοντο προσδοῦναί σφισι τῆς κοινωνίας τοῦ πλοῦ. ἐπεὶ δὲ τὸ πλήρωμα πολλαπλάσιον ἦν τῆς νεώς, ναῦν μείζω ἑτέραν ἐπισκεψάμενος, πολλαὶ δὲ περὶ τὸ Αἰάντειον ἦσαν „ἐνταῦθα" ἔφη „ἐμβαίνωμεν, καλὸν γὰρ τὸ μετὰ πλειόνων σώζεσθαι." περιβαλὼν οὖν τὸ Τρωικὸν ἀκρωτήριον, ἐκέλευσε τὸν κυβερνήτην κατασχεῖν ἐς τὴν Αἰολέων, ἣ ἀντιπέρας Λέσβου κεῖται, πρὸς Μήθυμνάν τε μᾶλλον τετραμμένον ποιεῖ- 25
σθαι τὸν ὅρμον. „ἐνταῦθα γάρ που τὸν Παλαμήδην φησὶν ὁ Ἀχιλλεὺς κεῖσθαι, οὗ καὶ ἄγαλμα αὐτοῦ εἶναι πηχυαῖον, ἐν πρεσβυτέρῳ, ἢ ὡς Παλαμήδης, τῷ εἴδει." καὶ ἅμα ἐξιὼν τῆς νεὼς „ἐπιμεληθῶμεν", εἶπεν „ὦ ἄνδρες Ἕλληνες, ἀγαθοῦ ἀνδρός, δι' ὃν σοφία πᾶσα, καὶ γὰρ ἄν καὶ τῶν γε Ἀχαιῶν βελτίους γενοίμεθα, τιμῶντες δι' ἀρετην, ὃν ἐκεῖνοι δίκῃ οὐδεμιᾷ ἀπέκτειναν." οἱ μὲν δὴ ἐξεπήδων τῆς νεώς, ὁ δὲ ἐνέτυχε τῷ τάφῳ καὶ τὸ ἄγαλμα κατορωρυγμένον πρὸς αὐτῷ εὗρεν. 30
ὑπογέγραπτο δὲ τῇ βάσει τοῦ ἀγάλματος ΘΕΙΩΙ ΠΑΛΑΜΗΔΕΙ. καθιδρύσας οὖν αὐτό, ὡς κἀγὼ εἶδον, καὶ ἱερὸν περὶ αὐτὸ βαλόμενος, ὅσον οἱ τὴν Ἐνοδίαν τιμῶντες, ἔστι γὰρ ὡς δέκα ξυμπότας ἐν αὐτῷ εὐωχεῖσθαι, τοιάνδε εὐχὴν ηὔξατο· „Παλάμηδες, ἐκλάθου τῆς μήνιδος, ἣν ἐν τοῖς Ἀχαιοῖς ποτε ἐμήνισας, καὶ δίδου γίγνεσθαι πολλούς τε καὶ σοφοὺς ἄνδρας. ναὶ Παλάμηδες, δι' ὃν λόγοι, δι' ὃν Μοῦσαι, δι' ὃν ἐγώ." 35

1. ἀεὶ ταὐτῷ. v. ib. τιμῶν ἐνόμιζεν. p. ἐνόμιζεν. 2, E. Fo. τιμᾶν ἐνόμιζεν. 3. πραότατον. s, a, m. 5. αὐτῷ οἶμαι. v. ib. εἶναι. om. p. ib. μεμνημένον l. 6. οὔτε. p. οὐδὲ. 2, E. ib. τί. a. 8. πρὸς ἑταίρους. v. 9. προσέμβαινε. l. ib. ἐπὶ. v. 10. τὴν ὄρθριον. p. τὸν ὄρθρον. 2, E. 11. προσπεφυκὼς. v. πεφοιτηκὼς. l. 12. δὴ. om. v. 13. τρώς. a. ib. γὰρ. om. p. 14. με μὴ. v. 15. τοὺς. om. v. ib. αἰτιᾶ. f, l. ib. τοῦτο. v. 16. ἐκ Πάρου. p. ἐκ τοῦ Πάρου. 2, E. ib. τῆς ἑαυτοῦ. C. τῆς σεαυτοῦ. E. 17. Πριαμίδης — παύεται. E. (451.) ib. γὰρ. om. l. ib. ἱκανὸς. l. 18. ἐπειδὴ. v. 19. σμικρᾷ. E. μικρᾷ. C. 20. καὶ γὰρ — βεβαία. Φ. (333, a, 18.) ib. ἧττων. s, l, E. 21. ξυμβαίνειν. p, l. 22. δὴ τὸ. v. 23. δ' ἂν περὶ. v. ib. Αἰάντιον. l. ib. ἐμβαίνομεν. m. ib. τὸ. om. p. 25. Αἰολέων. p, B. Αἰολέαν. v, l. Αἰολίαν. s, E. ib. Μήθυμναν. v. 26. Παλαμήδη. s, a. ib. φασίν. p. ib. ὁ. om. s, a, m. 27. ἢ ὡς. p. ἢ ὁ. 2, E. 28. πᾶσα σοφία. v. 29. γε. om. v. ib. δ' ἀρετὴν v. 31. ὑπογέγραπτο. p, s, a, m. o. ὑπεγέγραπτο. l, v. Fo: ἐπεγέγραπτο. 32. παρ' αὐτό. p. ib. ὡς δέκα. π. καὶ δέκα. p, 2, E. 35. μοῦσαι. E. ib. δι' ὃν ἐγώ, δι' ὃν μοῦσαι. l.

IV, 12. 13. p. 149. 150.

XIV 151 Παρῆλθε καὶ ἐς τὸ τοῦ Ὀρφέως ἄδυτον προσορμισάμενος τῇ Λέσβῳ. φασὶ δὲ ἐνταῦθά ποτε τὸν Ὀρφέα μαντικῇ χαίρειν, ἐς τὸν Ἀπόλλω ἐπιμεμελῆσθαι αὐτόν. ἐπειδὴ γὰρ μήτε ἐς Γρύνειον ἐφοίτων ἔτι ὑπὲρ χρησμῶν ἄνθρωποι μήτε ἐς Κλάρον μήτ' ἔνθα ὁ τρίπους ὁ Ἀπολλώνειος, Ὀρφεὺς δὲ ἔχρα μόνος ἄρτι ἐκ Θρᾴκης ἡ κεφαλὴ ἥκουσα, ἐφίσταταί οἱ χρησμῳδοῦντι ὁ θεὸς καὶ „πέπαυσο" ἔφη „τῶν ἐμῶν, καὶ γὰρ δὴ ᾄδοντά σε ἱκανῶς ἤνεγκα".

XV Πλεόντων δὲ αὐτῶν μετὰ ταῦτα τὸ ἐπ' Εὐβοίας πέλαγος, ὃ καὶ Ὁμήρῳ δοκεῖ τῶν χαλεπῶν καὶ δυσμετρήτων εἶναι, ἡ μὲν θάλαττα ὑπτία καὶ τῆς ὥρας κρείττων ἐφαίνετο λόγοι τε ἐγίγνοντο περί τε νήσων, ἐπειδὴ πολλαῖς τε καὶ ὀνομασταῖς ἐνετύγχανον, περί τε ναυπηγίας καὶ κυβερνητικῆς πρόσφοροι τοῖς πλέουσιν, ἐπεὶ δὲ ὁ Δάμις τοὺς μὲν διέβαλλε τῶν λόγων, τοὺς δὲ ὑπετέμνετο, τοὺς δὲ οὐ ξυνεχώρει ἐρωτᾶν, ξυνῆκεν ὁ Ἀπολλώνιος, ὅτι λόγον ἕτερον σπουδάσαι βούλοιτο, καὶ „τί παθών", ἔφη „ὦ Δάμι, διασπᾷς τὰ ἐρωτώμενα; οὐ γὰρ ναυτιῶν γε ἢ ὑπὸ τοῦ πλοῦ πονήρως ἔχων ἀποστρέφῃ τοὺς λόγους, ἡ γὰρ θάλαττα, ὁρᾷς, ὡς ὑποτέθεικεν ἑαυτὴν τῇ νηὶ καὶ πέμπει. τί οὖν δυσχεραίνεις;" „ὅτι" ἔφη „λόγου μεγάλου ἐν μέσῳ ὄντος, ὃν εἰκὸς ἦν ἐρωτᾶν μᾶλλον, ἡμεῖς δὲ τοὺς ἐώλους τε καὶ ἀρχαίους ἐρωτῶμεν." καὶ τίς" εἶπεν „ὁ λόγος οὗτος εἴη ἄν, δι' ὃν τοὺς ἄλλους ἡγῇ περιττούς;" „Ἀχιλλεῖ" ἔφη „ξυγγενόμενος, ὦ Ἀπολλώνιε, καὶ πολλὰ ἴσως διακηκοὼς μήπω ἡμῖν γιγνωσκόμενα οὐ δίεις ταῦτα, οὐδὲ τὸ εἶδος ἡμῖν τοῦ Ἀχιλλέως ἀνατυποῖς, περιπλεῖς δὲ τὰς νήσους καὶ ναυπηγεῖς τῷ λόγῳ." „εἰ μὴ ἀλαζονεύεσθαι" ἔφη „δόξω, πάντα εἰρήσεται." δεομένων δὲ καὶ τῶν ἄλλων τοῦ λόγου τούτου καὶ φιλικόως ἐχόντων αὐτοῦ „ἀλλ' οὐχὶ βόθρον" εἶπεν „Ὀδυσσέως ὀρυξάμενος, οὐδὲ ἀρνῶν αἵματι ψυχαγωγήσας ἐς διάλεξιν τοῦ Ἀχιλλέως ἦλθον, ἀλλ' εὐξάμενος, ὁπόσα τοῖς ἥρωσιν Ἰνδοί φασιν εὔχεσθαι, „ὦ Ἀχιλλεῦ," ἔφην „τεθνάναι σε οἱ πολλοὶ τῶν ἀνθρώπων φασίν, ἐγὼ δὲ οὐ ξυγχωρῶ τῷ λόγῳ, οὐδὲ Πυθαγόρας σοφίας ἐμῆς πρόγονος. εἰ δὴ ἀληθεύομεν, δεῖξον ἡμῖν τὸ σεαυτοῦ εἶδος, καὶ γὰρ ἂν ὅναιο ἄγαν τῶν ἐμῶν ὀφθαλμῶν, εἰ μάρτυσιν αὐτοῖς τοῦ εἶναι χρήσαιο." ἐπὶ τούτοις σεισμὸς μὲν περὶ τὸν κολωνὸν βραχὺς ἐγένετο, πεντάπηχυς δὲ νεανίας ἀνεδόθη Θετταλικὸς τὴν χλαμύδα, τὸ δὲ εἶδος οὐκ ἀλαζών τις ἐφαίνετο, ὡς ἐνίοις ὁ Ἀχιλλεὺς δοκεῖ, δεινός τε ὁρώμενος οὐκ ἐξηλλάττετο τοῦ φαιδροῦ, τὸ δὲ κάλλος οὔπω μοι δοκεῖ ἐπαινέτου ἀξίου ἐπειλῆφθαι καίτοι Ὁμήρου πολλὰ ἐπ' αὐτῷ εἰπόντος, ἀλλὰ ἄρρητον εἶναι καὶ καταλύεσθαι μᾶλλον ὑπὸ τοῦ ὑμνοῦντος ἢ παραπλησίως ἑαυτῷ ᾄδεσθαι. ὁρώμενος δέ, ὁπόσον εἶπον, μείζων ἐγίγνετο καὶ διπλάσιος καὶ ὑπὲρ τοῦτο, δωδεκάπηχυς γοῦν ἐφάνη μοι, ὅτε δὴ τελεώτατος ἑαυτοῦ ἐγένετο, καὶ τὸ κάλλος ἀεὶ ξυνεπεδίδου τῷ μήκει. τὴν μὲν δὴ κόμην οὐδὲ κείρασθαί ποτε ἔλεγεν, ἀλλὰ ἄσυλον φυλάξαι τῷ Σπερχειῷ, ποταμῶν γὰρ πρώτῳ Σπερχειῷ χρήσασθαι, τὰ γένεια δ' αὐτῷ πρώτας ἐκβολὰς εἶχε. προσειπὼν δὲ με „ἀσμένως" εἶπεν „ἐντετύχηκά σοι, πάλαι δεόμενος ἀνδρὸς τοιοῦδε· Θετταλοὶ γὰρ τὰ ἐναγίσματα χρόνον ἤδη πολὺν ἐκλελοίπασί μοι, καὶ μηνίειν μὲν οὔπω ἀξιῶ, μηνίσαντος γὰρ ἀπολοῦνται μᾶλλον ἢ οἱ ἐνταῦθά ποτε

1. τοῦ. om. v. ib. προωρμισάμενος. v. προσορμησάμενος. l. 2. εἰς τὸν Α. 1, f, s, l. ἧς τὸν Α. v, o. Fo. ἐς τε Ἀ. ἐπιμελεῖσθαι. Et ἐπιμελεῖσθαι prima manu in l erat. ib. ἐς Γρύνιον. f, v. ἐς Γρούνιον. l, a. 3. ἐνταῦθα. l. ib. ὁ om. v. ib. Ἀπολλώνειος. π. Ἀπολλώνιος. p. Ἀπόλλωνος 2, E. ib. ἐπεὶ δὲ Ὀρφεὺς ἔχρα μόνος, ἄρτι ἐκ Θρᾴκης ἥκουσα ἡ κεφαλὴ (ἄρτι ἥκ. ἡ κ. ἐκ. Θρ. B.) ἐφίσταταί – ὁ Ἀπολλώνιος, καὶ πέπαυσο – ἤνεγκα. Φ. (333, a, 19.) 4. ἥκουσα. s.

7. ἐγένοντο. v. 8. ναυτιλίας καὶ κυβ. p. 9. διέβαλε. p, l. 10. ξυνῆκεν – ἕτερον ὁ Δάμις σπ. βούλεται. Φ. (333, b, 24.) 13. δυσχαίρεις. l. sed corr. sec. m. ib. ἐν μέσῳ. om. p. ib. ἦν. om. p, l. 14. δι' ὧν. v. 16. δίης. π, m. δίει. p. διῄεις. l. 17. τῶν λόγων. s, a et m γρ. ib. δόξω, ἔφη. f, l. δόξω om. a pr. m. s. 18. καὶ. om. f, v, l. ib. ὁμολογούμενον αὐτὸν ὑπογράφει, ὅτι μὴ κατὰ νεκρομαντείαν ὁ τρόπος αὐτῷ τῆς φανείσης ὄψεως γέγοιτο. οὔτε γὰρ βόθρου, εἶπεν, Ὀδυσσέως – αἵματι – ἦλθοι, ἀλλ' εὐξάμενος – δεῖν εὔξασθαι. ΕΑΒ. (350.) 20. φασιν εὔχεσθαι. 1. φασι δεῖν εὔχεσθαι. 2, E. 22. δεῖξον ἡμῖν, ὦ Ἀχιλλεῦ, τὸ — χρήσαιο. Φ. (333, a, 25.) 23. ἐπὶ τὸν κ. v. 24. οὐκ ἀλαζών. 1 et m. γρ. o. οὐδὲ ἀλ. 2, a, m. 25. ἐξηλάττετο. p. Fo: ἐξήλλαττε. 28. ὁπόσον. p. 29. τὸ μέγεθος ὅτε. 2, E. ib. δὲ τελ. v, l. ib. συνεπεδίδου. f, s, l. 30. ἄξυλον. m, o. 31. δέ με. 1. δὲ. 2, E. 33. μηνιεῖν. 2, E. ib. ἀπο μᾶλλον. p. ib. ἢ οἱ. om. p. οἱ om. v.

IV. 11. 16. 16. p. 151. 152. 153.

Ἕλληνες, ξυμβουλίᾳ δὲ ἐπιεικεῖ χρῶμαι, μὴ ὑβρίζειν σφᾶς ἐς τὰ νόμιμα, μηδὲ κακίους ἐλέγχεσθαι τουτωνὶ τῶν Τρώων, οἳ τοσούσδε ἄνδρας ὑπ' ἐμοῦ ἀφαιρεθέντες δημοσίᾳ τε θύουσί μοι καὶ ὡραίων ἀπάρχονται καὶ ἱκετηρίαν τιθέμενοι σπονδὰς αἰτοῦσιν, ἃς ἐγὼ οὐ δώσω· τὰ γὰρ ἐπιορκηθέντα τούτοις ἐπ' ἐμὲ οὐκ ἐάσει τὸ Ἴλιόν ποτε τὸ ἀρχαῖον ἀναλαβεῖν εἶδος, οὐδὲ τυχεῖν ἀκμῆς, ὁπόση περὶ πολλὰς τῶν καθῃρημένων ἐγένετο, ἀλλ' οἰκήσουσιν αὐτὸ βελτίους οὐδὲν ἢ εἰ χθὲς ἥλωσαν. ἵν' οὖν μὴ καὶ τὰ Θετταλῶν ἀποφαίνω ὅμοια, πρέσβευε παρὰ τὸ κοινὸν αὐτῶν ὑπὲρ ὧν εἶπον." „πρεσβεύσω", ἔφην „ὁ γὰρ νοῦς τῆς πρεσβείας ἦν μὴ ἀπολέσθαι αὐτούς. ἀλλ' ἐγώ τί σου, Ἀχιλλεῦ, δέομαι." „ξυνίημι", ἔφη „δῆλος γὰρ εἶ περὶ τῶν Τρωικῶν· ἐρώτα δὲ λόγους πέντε, οὓς αὐτός τε βούλει καὶ Μοῖραι ξυγχωροῦσιν." ἠρόμην οὖν πρῶτον, εἰ κατὰ τὸν τῶν ποιητῶν λόγον ἔτυχε τάφου. „κεῖμαι μέν," εἶπεν „ὡς ἔμοιγε ἥδιστον καὶ Πατρόκλῳ ἐγένετο, ξυνέβημεν γὰρ δὴ κομιδῇ νέοι, ξυνέχει δὲ ἄμφω χρυσοῦς ἀμφορεὺς κειμένους, ὡς ἕνα. Μουσῶν δὲ θρῆνοι καὶ Νηρηίδων, οὓς ἐπ' ἐμοὶ γενέσθαι φασί, Μοῦσαι μὲν οὐδ' ἀφίκοντό ποτε ἐνταῦθα, Νηρηίδες δὲ ἐπιφοιτῶσι." μετὰ ταῦτα δὲ ἠρόμην, εἰ ἡ Πολυξένη ἐπισφαγείη αὐτῷ, ὁ δὲ ἀληθὲς μὲν ἔφη τοῦτο εἶναι, σφαγῆναι δὲ αὐτὴν οὐχ ὑπὸ τῶν Ἀχαιῶν, ἀλλ' ἑκοῦσαν ἐπὶ τὸ σῆμα ἐλθοῦσαν καὶ τὸν ἑαυτῆς τε κἀκείνου ἔρωτα μεγάλων ἀξιῶσαι προσπεσοῦσαν ξίφει ὀρθῷ. τρίτον ἠρόμην· ἡ Ἑλένη, ὦ Ἀχιλλεῦ, ἐς Τροίαν ἦλθεν ἢ Ὁμήρῳ ἔδοξεν ὑποθέσθαι ταῦτα;" „πολὺν" ἔφη „χρόνον ἐξηπατώμεθα πρεσβευόμενοί τε 154
παρὰ τοὺς Τρῶας καὶ ποιούμενοι τὰς ὑπὲρ αὐτῆς μάχας, ὡς ἐν τῷ Ἰλίῳ οὔσης, ἡ δ' Αἴγυπτόν τε ᾤκει καὶ τὸν Πρωτέως οἶκον ἁρπασθεῖσα ὑπὸ τοῦ Πάριδος. ἐπεὶ δὲ ἐπιστεύθη τοῦτο, ὑπὲρ αὐτῆς τῆς Τροίας λοιπὸν ἐμαχόμεθα, ὡς μὴ αἰσχρῶς ἀπέλθοιμεν." ἠψάμην καὶ τετάρτης ἐρωτήσεως καὶ θαυμάζειν ἔφην, εἰ τοσούσδε ὁμοῦ καὶ τοιούσδε ἄνδρας ἡ Ἑλλὰς ἤνεγκεν, ὁπόσους Ὅμηρος ἐπὶ τὴν Τροίαν ξυντάττει. ὁ δὲ Ἀχιλλεὺς οὐδὲ „οἱ βάρβαροι" ἔφη „πολὺ ἡμῶν ἐλείποντο, οὕτως ἡ γῆ πᾶσα ἀρετῆς ἤνθησε." πέμπτον δ' ἠρόμην· τί παθὼν Ὅμηρος τὸν Παλαμήδην οὐκ οἶδεν, ἢ οἶδε μέν, ἐξαιρεῖ δὲ τοῦ περὶ ὑμῶν λόγου; „εἰ Παλαμήδης" εἶπεν „ἐς Τροίαν οὐκ ἦλθεν, οὐδὲ Τροία ἐγένετο· ἐπεὶ δὲ ἀνὴρ σοφώτατός τε καὶ μαχιμώτατος ἀπέθανεν, ὡς Ὀδυσσεῖ ἔδοξεν, οὐκ ἐσάγεται αὐτὸν ἐς τὰ ποιήματα Ὅμηρος, ὡς μὴ τὰ ὀνείδη τοῦ Ὀδυσσέως ᾄδοι." καὶ ἐπολοφυράμενος αὐτῷ ὁ Ἀχιλλεὺς ὡς μεγίστῳ τε καὶ καλλίστῳ νεωτάτῳ τε καὶ πολεμικωτάτῳ σωφροσύνῃ τε ὑπερβαλομένῳ πάντας καὶ πολλὰ ξυμβαλομένῳ ταῖς Μούσαις „ἀλλὰ σύ," ἔφη „Ἀπολλώνιε, σοφοῖς γὰρ πρὸς σοφοὺς ἐπιτήδεια, τοῦ τε τάφου ἐπιμελήθητι καὶ τὸ ἄγαλμα τοῦ Παλαμήδους ἀνάλαβε φαύλως ἐρριμμένον· κεῖται δὲ ἐν τῇ Αἰολίδι κατὰ Μήθυμναν τὴν ἐν Λέσβῳ." ταῦτα εἰπὼν καὶ ἐπὶ πᾶσι τὰ περὶ τὸν νεανίαν τὸν ἐκ Πάρου ἀπῆλθε ξὺν ἀστραπῇ μετρίᾳ, καὶ γὰρ δὴ καὶ ἀλεκτρυόνες ἤδη ᾠδῆς ἥπτοντο.

Τοιαῦτα μὲν τὰ ἐπὶ τῆς νεώς, ἐς δὲ τὸν Πειραιᾶ ἐσπλεύσας περὶ μυστηρίων ὥραν, ὅτε Ἀθη- XVII 155
ναῖοι πολυανθρωπότατα Ἑλλήνων πράττουσιν, ἀνῄει ξυντείνας ἀπὸ τῆς νεὼς ἐς τὸ ἄστυ, προιὼν δὲ πολλοῖς τῶν φιλοσοφούντων ἐνετύγχανε Φάληράδε κατιοῦσιν, ὧν οἱ μὲν γυμνοὶ ἐθέροντο, καὶ

1. συμβουλία. s, l. 4. ἀκμῆς οὐδὲ τυχεῖν. v. 5. κατηρημένων. f. ib. ἐγένοντο. a. ib. αὐτῷ. v. ib. εἰ. om. a. 6. τὰ Θετταλῶν. π. τὰ τῶν Θετταλῶν p, 2, E. 7. ἔφη. p, v. ib. σοῦ τι. v. σοὶ. om. p. 8. Fo: ἐρωτήσων· ἐρώτα. 9. τάφου. π. τοῦ τάφου. p, 2, E. 10. μὲν. om. 2, a, m. ib. ἐμοίγε. l. ib. γὰρ δὴ. 1. γὰρ. 2, E. 11. ἀμφορεὺς. π, l. ἀμφιφορεὺς. p, 2, E. ib. Μουσῶν δὲ θρήνων καὶ Νηρηΐδων, οὓς — ἔτι φοιτῶσι. Φ. (333, a, 26.) ib. θρῆνον. π, 2, E. θρήνων. p, ΦΑ, B. θρήνους. ΦΕ. Sc.: θρῆνοι. ib. οὓς C. a, m. ὃν. o. 12. ἐπιφοιτῶσι. 1. ἔτι φοιτῶσι. 2, E, Φ. τῶ σήματι.

13. ἠρόμην. v. 14. μὲν αὐτὴν. 2, a. ib. ὑπὸ τὸ σῆμα. p. ἐπὶ τὸ σῆμα. f. al. m. ἐπὶ om. v, s, a et l. ubi τῷ σήματι 16. ἔφη. om. s, a. 17. μάχας, ὡς ἐν τῷ Ἰλίῳ οὔσης. π, s, E. μάχας ἐντὸς Ἰλίου οὖσαν. p. μάχας τὰς ἐν τῷ Ἰ. οὔσας. f, l. 19. λοιπὸν. om. p. 21. τάττει p et l pr. m. ib. ἔτι δὲ ἔφη ὁ Ἀχιλλεὺς ὡς οὐδὲ — βάρβαροι πολὺ — ἤνθησε. Φ. (333, a, 29.) 22. πέμπτον δ' ἠρόμην. p. πέμπτον ἠρόμην. π, 2, E. 23. ἐξαιρεῖ. π. ἐξαίρει. p, 2, E. 24. εἰσάγεται. l. 25. ἐπολοφυράμενος. 1. ἐπολοφυρόμενος. 2, E. 26. σωφροσύνῃ τε. 1. σωφρ. δὲ. 2, E. ib. ὑπερβαλλομένῳ. p, l. 27. ξυμβαλλομένῳ. p, l. 28. τὸ Παλαμήδους. p. 29. κεῖται μὲν. l. ib. Μήθυμναν. m, o. ib. περὶ νεανίαν. m, o. 30. απῆλθε γάρ φησι ξὺν ἀστραπῇ — ἥπτοντο. E. (451.) ib. καὶ γὰρ — ἥπτοντο. Φ. (333, a, 31.)

31. ἐκπλεύσας. l. 32. ἀνείη. v. 33. ἐτύγχανε. f, v, l. ib. Φάληρα κατιοῦσιν. π. Φάληρα δὲ κατ. p. ex corr. Φαλήραδε κατ'. 2. a, m. Πειραιᾶ δὲ κατ'. o.

γὰρ τὸ μετόπωρον εὐήλιον τοῖς Ἀθηναίοις, οἱ δὲ ἐκ βιβλίων ἐσπούδαζον, οἱ δ' ἀπὸ στόματος ἤσκηντο, οἱ δὲ ἤριζον. παρῆει δὲ οὐδεὶς αὐτόν, ἀλλὰ τεκμηράμενοι πάντες, ὡς εἴη Ἀπολλώνιος, ξυνανεστρέφοντό τε καὶ ἡσπάζοντο χαίροντες, νεανίσκοι δὲ ὁμοῦ δέκα περιτυχόντες αὐτῷ „νὴ τὴν Ἀθηνᾶν ἐκείνην," ἔφασαν ἀνατείναντες τὰς χεῖρας ἐς τὴν ἀκρόπολιν, ἡμεῖς ἄρτι ἐς Πειραιᾶ ἐβαδίζομεν πλευσόμενοι ἐς Ἰωνίαν παρὰ σέ." ὁ δὲ ἀπεδέχετο αὐτῶν καὶ ξυγχαίρειν ἔφη φιλοσοφοῦσιν.

XVIII Ἦν μὲν δὴ Ἐπιδαυρίων ἡμέρα. τὰ δὲ Ἐπιδαύρια μετά πρόσρησίν τε καὶ ἱερεῖα δεῦρο μυεῖν Ἀθηναίοις πάτριον ἐπὶ θυσίᾳ δευτέρᾳ, τουτὶ δὲ ἐνόμισαν Ἀσκληπιοῦ ἕνεκα, ὅτι δὴ ἐμύησαν αὐτὸν ἥκοντα Ἐπιδαυρόθεν ὀψὲ μυστηρίων. ἀμελήσαντες δὲ οἱ πολλοὶ τοῦ μυεῖσθαι περὶ τὸν Ἀπολλώνιον
156 εἶχον καὶ τοῦτ' ἐσπούδαζον μᾶλλον ἢ τὸ ἀπελθεῖν τετελεσμένοι, ὁ δὲ ξυνέσεσθαι μὲν αὐτοῖς αὖθις ἔλεγεν, ἐκέλευσε δὲ πρὸς τοῖς ἱεροῖς τότε γίγνεσθαι, καὶ γὰρ αὐτὸς μυεῖσθαι, ὁ δὲ ἱεροφάντης οὐκ ἐβούλετο παρέχειν τὰ ἱερά, μὴ γὰρ ἄν ποτε μυῆσαι γόητα, μηδὲ τὴν Ἐλευσῖνα ἀνοῖξαι ἀνθρώπῳ μὴ καθαρῷ τὰ δαιμόνια. ὁ δὲ Ἀπολλώνιος οὐδὲν ὑπὸ τούτων ἧττων αὐτοῦ γενόμενος „οὔπω" ἔφη „τὸ μέγιστον, ὧν ἐγὼ ἐγκληθείην ἄν, εἴρηκας, ὅτι περὶ τῆς τελετῆς πλείω ἢ σὺ γιγνώσκων ἐγὼ δὲ ὡς παρὰ σοφώτερον ἐμαυτοῦ μυησόμενος ἦλθον." ἐπαινεσάντων δὲ τῶν παρόντων, ὡς ἐρρωμένως καὶ παραπλησίως αὐτῷ ἀπεκρίνατο, ὁ μὲν ἱεροφάντης, ἐπειδὴ ἐξείργων αὐτὸν οὐ φίλα τοῖς πολλοῖς ἐδόκει πράττειν, μετέβαλε τοῦ τόνου καὶ „μυοῦ", ἔφη „σοφὸς γάρ τις ἥκειν ἔοικας", ὁ δὲ Ἀπολλώνιος „μυήσομαι" ἔφη „αὖθις, μυήσει δέ με ὁ δεῖνα" προγνώσει χρώμενος ἐς τὸν μετ' ἐκεῖνον ἱεροφάντην, ὃς μετὰ τέτταρα ἔτη τοῦ ἱεροῦ προῦστη.

XIX Τὰς δὲ Ἀθήνησι διατριβὰς πλείστας μὲν ὁ Δάμις γενέσθαι φησὶ τῷ ἀνδρί, γράψαι δὲ οὐ πάσας, ἀλλὰ τὰς ἀναγκαίας τε καὶ περὶ μεγάλων σπουδασθείσας. τὴν μὲν δὴ πρώτην διάλεξιν, ἐπειδὴ φιλοθύτας τοὺς Ἀθηναίους εἶδεν, ὑπὲρ ἱερῶν διελέξατο, καὶ ὡς ἄν τις ἐς τὸ ἑκάστῳ τῶν θεῶν οἰκεῖον καὶ πηνίκα δὲ τῆς ἡμέρας τε καὶ νυκτὸς ἢ θύοι ἢ σπένδοι ἢ εὔχοιτο, καὶ βιβλίῳ Ἀπολλωνίου προστυχεῖν ἐστιν, ἐν ᾧ ταῦτα τῇ ἑαυτοῦ φωνῇ ἐκδιδάσκει. διῆλθε δὲ ταῦτα Ἀθήνησι πρῶτον μὲν ὑπὲρ σοφίας αὐτοῦ τε κἀκείνων, εἶτ' ἐλέγχων τὸν ἱεροφάντην δι' ἃ βλασφήμως τε καὶ ἀμαθῶς εἶπε· τίς γὰρ ἔτι ᾠήθη τὰ δαιμόνια μὴ καθαρὸν εἶναι τὸν φιλοσοφοῦντα, ὅπως οἱ θεοὶ θεραπευτέοι;

XX 157 Διαλεγομένου δὲ αὐτοῦ περὶ τοῦ σπένδειν παρέτυχε μὲν τῷ λόγῳ μειράκιον τῶν ἁβρῶν οὕτως ἀσελγὲς νομιζόμενον, ὡς γενέσθαι ποτὲ καὶ ἁμαξῶν ᾄσμα, πατρὶς δὲ αὐτῷ Κέρκυρα ἦν καὶ ἐς Ἀλκίνουν ἀνέφερε τὸν ξένον τοῦ Ὀδυσσέως τὸν Φαίακα, καὶ διῄει μὲν ὁ Ἀπολλώνιος περὶ τοῦ σπένδειν, ἐκέλευε δὲ μὴ πίνειν τοῦ ποτηρίου τούτου, φυλάττειν δὲ αὐτὸ τοῖς θεοῖς ἄχραντόν τε καὶ ἄποτον. ἐπεὶ δὲ καὶ ὦτα ἐκέλευσε τῷ ποτηρίῳ ποιεῖσθαι καὶ σπένδειν κατὰ τὸ οὖς, ἀφ' οὗ μέρους ἥκιστα πίνουσιν ἄνθρωποι, τὸ μειράκιον κατεσκέδασε τοῦ λόγου πλατύν τε καὶ ἀσελγῆ γέλωτα· ὁ δὲ ἀναβλέψας ἐς αὐτὸ „οὐ σὺ" ἔφη „ταῦτα ὑβρίζεις, ἀλλ' ὁ δαίμων, ὃς ἐλαύνει σε οὐκ εἰδότα." ἐλελήθει δὲ ἄρα δαιμονῶν τὸ μειράκιον· ἐγέλα τε γὰρ ἐφ' οἷς οὐδεὶς ἕτερος καὶ μετέβαλλεν ἐς τὸ κλάειν αἰτίαν οὐκ ἔχον, διελέγετό τε πρὸς ἑαυτὸν καὶ ᾔδε. καὶ οἱ μὲν πολλοὶ τὴν νεότητα σκιρτῶσαν ᾤοντο ἐκφέρειν αὐτὸ ἐς ταῦτα, ὁ δ' ὑπεκρίνετο ἄρα τῷ δαίμονι καὶ ἐδόκει παροινεῖν, ἃ ἐπα-

2. ἤσκηντο. C, E. Fo. ἠσκοῦντο. 3. συνανεστρίφοντο. f, s, l. 5. πλευσομένου. s.
6. ἡμέρα. 1. ἡ ἡμέρα. 2, E. 7. ἐμυήσαν. 1, o et m. γρ. ἐμυήσαντο. 2, a, m. 8. δὲ οἱ πολλοὶ. 1. δὲ πολλοὶ. 2, a. δὲ ἡ πολλοὶ. m, o. 10. ἐκέλευε. f, v. 11. ἠβούλετο. l. ib. μὴ ἄν ποτε φήσας μυήσεσθαι γόητα, μηδὲ τὰ Ἐλευσίνια – δαιμόνια. E. (452.) 12. αὐτοῦ. s, l. 13. ἐκκληθείην. v. ib. τελευτῆς. p. ib. γίγτώσκων. π et p. ante corr. γιγνώσκω. p. 2. E. 15. ἀπεφήνατο. v. 17. εἶπεν. l. ib. αὐτις. f. αὖτις. s.
19. φασὶ. f. 21. οἶδεν. v. ib. ἐς τὸ. v, s, B. ἐς τῷ. E. ib. ἕκαστον. p, v, l. 22. καὶ πηνίκα δὲ. 1. καὶ πηνίκα. 2, E. 24. αὐτοῦ. l, s.
27. ἁμαξῶν ἄσμα. p. ἀναξώνασμα. π. Ἀμαζόνων ἄσμα. 2, a, m. μαζονόμων ἄσμα. o. ἁμαξῶν ᾄσμα B. 28. μὲν ὁ Δ. 1, v. μὲν δὴ ὁ Δ. f, l, s, E. ib. περὶ om. 2, a. 29. μὴ πίνειν. 1. μηδὲ πίνειν. 2, E. 30. καὶ om. p. ib. τοῦ ποτηρίου. p. 32. ἐς αὐτὸν. v. 33. ἐληλύθει. p. ib. δὲ γὰρ. s, a. ib. μετέβαλλεν. f, l. v. μετεβαλεν. 1, s, a. m. μετεβαβαλεν. o. ib. καὶ τὸ κλάειν. fc. a. 34. ᾔδεν. f. 35. αὐτὸς. v.

IV. 18. 19. 20. p. 156. 157.

ρῳνει τότε, ὁρῶντός τε ἐς αὐτὸ τοῦ Ἀπολλωνίου, δεδοικότως τε καὶ ὀργίλως φωνὰς ἠφίει τὸ εἴδωλον, ὁπόσαι καιομένων τε καὶ στρεβλουμένων εἰσίν, ἀφέξεσθαί τε τοῦ μειρακίου ὤμνυ καὶ μηδενὶ ἀνθρώπων ἐμπεσεῖσθαι. τοῦ δὲ οἷον δεσπότου πρὸς ἀνδράποδον ποικίλον πανοῦργόν τε καὶ ἀναιδὲς καὶ τὰ τοιαῦτα ξὺν ὀργῇ λέγοντος καὶ κελεύοντος αὐτῷ ξὺν τεκμηρίῳ ἀπαλλάττεσθαι „τὸν δεῖνα" ἔφη „καταβαλῶ ἀνδριάντα" δείξας τινὰ τῶν περὶ τὴν Βασίλειον στοάν, πρὸς ᾗ ταῦτα ἐπράττετο· 5 158
ἐπεὶ δὲ ὁ ἀνδριὰς ὑπεκινήθη πρῶτον, εἶτα ἔπεσε, τὸν μὲν θόρυβον τὸν ἐπὶ τούτῳ καὶ ὡς ἐκρότησαν ὑπὸ θαύματος τί ἂν τις γράφοι; τὸ δὲ μειράκιον, ὥσπερ ἀφυπνίσαν τούς τε ὀφθαλμοὺς ἔτριψε καὶ πρὸς τὰς αὐγὰς τοῦ ἡλίου εἶδεν αἰδῶ τε ἐπεσπάσατο πάντων ἐς αὐτὸ ἐστραμμένων ἀσελγές τε οὐκέτι ἐφαίνετο, οὐδὲ ἄτακτον βλέπον, ἀλλ' ἐπανῆλθεν ἐς τὴν ἑαυτοῦ φύσιν μεῖον οὐδὲν ἢ εἰ φαρμακοποσίᾳ ἐκέχρητο, μεταβαλόν τε τῶν χλανιδίων καὶ ληδίων καὶ τῆς ἄλλης συβαρίδος ἐς ἕρωτα 10
ἦλθεν αὐχμοῦ καὶ τρίβωνος καὶ ἐς τὰ τοῦ Ἀπολλωνίου ἤθη ἀπεδύσατο.

Ἐπιπλῆξαι δὲ λέγεται περὶ Διονυσίων Ἀθηναίοις, ἃ ποιεῖταί σφισιν ἐν ὥρᾳ τοῦ Ἀνθεστηριῶνος· ὁ μὲν γὰρ μονῳδίας ἀκροασόμενος καὶ μελοποιίας παραβάσεών τε καὶ ῥυθμῶν, ὁπόσοι κωμῳδίας τε καὶ τραγῳδίας εἰσίν, ἐς τὸ θέατρον ξυμφοιτᾶν ᾤετο, ἐπεὶ δὲ ἤκουσεν, ὅτι αὐλοῦ ὑποσημήναντος λυγισμοὺς ὀρχοῦνται καὶ μεταξὺ τῆς Ὀρφέως ἐποποιίας τε καὶ θεολογίας τὰ μὲν ὡς Ὧραι, 15 159
τὰ δὲ ὡς Νύμφαι, τὰ δὲ ὡς Βάκχαι πράττουσιν, ἐς ἐπίπληξιν τούτου κατέστη καὶ „παύσασθε" εἶπεν „ἐξορχούμενοι τοὺς Σαλαμινίους καὶ πολλοὺς ἑτέρους κειμένους ἀγαθοὺς ἄνδρας, εἰ μὲν γὰρ Λακωνικὴ ταῦτα ὄρχησις, εὖγε οἱ στρατιῶται, γυμνάζεσθε γὰρ πολέμῳ καὶ ξυνορχήσομαι, εἰ δὲ ἁπαλὴ καὶ ἐς τὸ θῆλυ σπεύδουσα, τί φῶ περὶ τῶν τροπαίων; οὐ γὰρ κατὰ Μήδων ταῦτα ἢ Περσῶν, καθ' ὑμῶν δὲ ἑστήξει, τῶν ἀναθέντων αὐτὰ εἰ λίποισθε. κροκωτοὶ δὲ ὑμῖν καὶ ἁλουργία καὶ 20
κοκκοβαφία τοιαύτη πόθεν; οὐδὲ γὰρ αἱ Ἀχαριναί γε ὧδε ἐστέλλοντο, οὐδὲ ὁ Κολωνὸς ὧδε ἵππευε. καὶ τί λέγω ταῦτα; γυνὴ ναύαρχος ἐκ Καρίας ἐφ' ὑμᾶς ἔπλευσε μετὰ Ξέρξου, καὶ ἦν αὐτῇ γυναικεῖον οὐδέν, ἀλλ' ἀνδρὸς στολὴ καὶ ὅπλα, ὑμεῖς δὲ ἀβρότεροι τῶν Ξέρξου γυναικῶν ἐφ' ἑαυτοὺς στέλλεσθε οἱ γέροντες οἱ νέοι τὸ ἐφηβικόν, οἳ πάλαι μὲν ὤμνυσαν ἐς Ἀγραύλου φοιτῶντες ὑπὲρ 160
τῆς πατρίδος ἀποθανεῖσθαι καὶ ὅπλα στήσεσθαι, νῦν δὲ ἴσως ὀμοῦνται ὑπὲρ τῆς πατρίδος βακχεύσειν καὶ θύρσον λήψεσθαι κόρυν μὲν οὐδεμίαν φέρον, γυναικομίμῳ δὲ μορφώματι, κατὰ τὸν Εὐριπίδην, αἰσχρῶς διαπρέπον. ἀκούω δὲ ὑμᾶς καὶ ἀνέμους γίγνεσθαι καὶ λῆδια ἀνασείειν λέγεσθε ἔπιπλα μετεώρως αὐτὰ κολποῦντες. ἔδει δὲ ἀλλὰ τούτους γε αἰδεῖσθαι, ξυμμάχους ὄντας καὶ πνεύσαντας ὑπὲρ ὑμῶν μέγα, μηδὲ τὸν Βορέαν κηδεστήν γε ὄντα καὶ παρὰ πάντας τοὺς ἀνέμους ἄρσενα ποιεῖσθαι θῆλυν, οὐδὲ γὰρ τῆς Ὠρειθυίας ἐραστὴς ἄν ποτε ὁ Βορέας ἐγένετο, εἰ κἀκείνην 30
ὀρχουμένην εἶδε."

Διωρθοῦτο δὲ κἀκεῖνο Ἀθήνησιν· οἱ Ἀθηναῖοι ξυνιόντες ἐς θέατρον τὸ ὑπὸ τῇ ἀκροπόλει XXII

αι

1. τε om. 2, a. ib. δεδορκότως. J. ad. Im. 603. Malim δεδοικότων τε καὶ ὀργίλων. 2. καομένων. 1, l. κλαομένων. 2, E. 3. ἀνθρώπων. 1, f, v, l. ἀνθρώπῳ. s, E. 4. κελεύοντός τε. p. 5. καταβαλῶ. p. καταβαλὼν. π, f, m, o. καταβαλῶν. v. καταλαβὼν. s, a. 6. τῶν. s. ib. τούτων. s ante corr. 7. το δὲ μειράκιον — ἀσελγής τε οὐκέτι ἐφαίνετο. μεταβαλὼν δὲ τῶν χλανιδίων καὶ τῆς ἄλλης Συβαρίδος — ἀπεδύσατο. Φ (333, a, 32). 8. ἐπεσπάσατο. π. ἐσπάσατο. p, 2, E, ΦA, B. cett.: ἠσπάσατο. ib. καὶ πάντων. p. ib. στραμμένων. l. ib. ἀσελγὴς. f, v, l, Φ. 9. βλέπων. f, v, l. 10. μεταβαλὼν. l. ib. καὶ. 1. καὶ τῶν. 2, E. ib. λυδίων. s ex corr. et a. ληδίων. l. 12. Διονύσων. v. ib. τοῦ om. l. 13. ἀκροασομένους. v, l. 14. ὑποσημάναντος. p. 15. λογισμοὺς. v. ib. ἐς ὥραι. p. 16. νύμφαι, ὡς βάκχαι. m. ib. πράσσουσιν. s, l. ib. παύσασθαι. π. 17. ἀγαθοὺς ἄνδρας. 1, m, o. ἄνδρας. 2, a. ib. εἰ μὲν — ἡ ορχησις, συνορχήσομαι. εἰ δὲ — σπεύδουσα, οὐκέτι. Φ. (333, a, 38). 18. τῷ πολέμῳ. s, a. 20. αὐτὰ. 1. ταῦτα. 2, E. ib. λιποῖσθε. π. ib. ἡμῖν. p. 21. κοκκοβαφία. 1. κροκοβαφία. 2, E. ib. γε. f, l. γ'. E. 23. ἐπ' αὐτοὺς. C, E. Scr. ἐφ' ἑαυτοὺς. ex Ol. conj. 24. ἐς om. m, o. 25. νῦν δὲ — λήψεσθαι om. v. 26. φέρον. π et p. ante corr. φέρων. 2, a, m. φέρειν. p. ex corr. r, o. ib. γυναικομίμῳ, κατ' Εὐριπίδην φάναι, μορφώματι. Φ (333, b, 2). 27. διαπρέπον. π et p. ante corr. διαπρέπων. 2, a, m. διαπρέπειν. p. ex corr. r, o. ib. λύδια. p, l, s, a, m. 28. ὄντας. 1. γε ὄντας. 2, E. 29. ὑπὲρ ὑμῶν. 1, s. ὑπὲρ ἡμῶν. f, l, v, E. ib. τὸν Βορέα. v. 30. ποιεῖσθε. v. ib. οὐ γὰρ. v. 31. διωθοῦτο. l. ib. ξυνιέντες. f, l. v. ib. ὑπὸ τῇ. 1. ἐπὶ τῇ. 2, E.

προσεῖχον σφαγαῖς ἀνθρώπων καὶ ἐσπουδάζετο ταῦτα ἐκεῖ μᾶλλον ἢ ἐν Κορίνθῳ νῦν, χρημάτων τε μεγάλων ἐωνημένοι ἤγοντο μοιχοὶ καὶ πόρνοι καὶ τοιχωρύχοι καὶ βαλαντιοτόμοι καὶ ἀνδραποδισταὶ καὶ τὰ τοιαῦτα ἔθνη, οἱ δ' ὤπλιζον αὐτοὺς καὶ ἐκέλευον ξυμπίπτειν. ἐλάβετο δὲ καὶ τούτων ὁ Ἀπολλώνιος καὶ καλούντων αὐτὸν ἐς ἐκκλησίαν Ἀθηναίων οὐκ ἂν ἔφη παρελθεῖν ἐς χωρίον ἀκάθαρτον καὶ λύθρου μεστόν. ἔλεγε δὲ ταῦτα ἐν ἐπιστολῇ. καὶ θαυμάζειν ἔλεγεν „ὅπως ἡ θεὸς οὐ
161 καὶ τὴν ἀκρόπολιν ἤδη ἐκλείπει τοιοῦτον αἷμα ὑμῶν ἐκχεόντων αὐτῇ. δοκεῖτε γάρ μοι προιόντες, ἐπειδὰν τὰ Παναθήναια πέμπητε, μηδὲ βοῦς ἔτι, ἀλλ' ἑκατόμβας ἀνθρώπων καταθύσειν τῇ θεῷ. σὺ δέ, Διόνυσε, μετὰ τοιοῦτον αἷμα ἐς τὸ θέατρον φοιτᾷς; κἀκεῖ σοι σπένδουσιν οἱ σοφοὶ Ἀθηναῖοι; μετάστηθι καὶ σύ, Διόνυσε· Κιθαιρὼν καθαρώτερος." τοιάδε εὗρον τὰ σπουδαιότατα τῶν φιλοσοφηθέντων Ἀθήνησιν αὐτῷ τότε.

XXIII Ἐπρέσβευσε δὲ καὶ παρὰ τοὺς Θετταλοὺς ὑπὲρ τοῦ Ἀχιλλέως κατὰ τοὺς ἐν Πυλαίᾳ ξυλλόγους, ἐν οἷς οἱ Θετταλοὶ τὰ Ἀμφικτυονικὰ πράττουσιν, οἱ δὲ δείσαντες ἐψηφίσαντο ἀναλαβεῖν τὰ προσήκοντα τῷ τάφῳ. καὶ τὸ Λεωνίδου σῆμα τοῦ Σπαρτιάτου μονονοὺ περιέβαλεν ἀγασθεὶς τὸν ἄνδρα. ἐπὶ δὲ τὸν κολωνὸν βαδίζων, ἐφ' οὗ λέγονται Λακεδαιμόνιοι περιχωσθῆναι τοῖς τοξεύμασιν, ἤκουσε τῶν ὁμιλητῶν διαφερομένων ἀλλήλοις, ὅ τι εἴη τὸ ὑψηλότατον τῆς Ἑλλάδος, παρεῖχε δὲ ἄρα τὸν λόγον ἡ Οἴτη τὸ ὄρος ἐν ὀφθαλμοῖς οὖσα, καὶ ἀνελθὼν ἐπὶ τὸν λόφον, „ἐγὼ" ἔφη „τὸ ὑψηλότατον τοῦτο ἡγοῦμαι, οἱ γὰρ ἐνταῦθα ὑπὲρ ἐλευθερίας ἀποθανόντες ἀντανήγαγον αὐτὸ τῇ Οἴτῃ καὶ ὑπὲρ πολλοὺς Ὀλύμπους ἦραν. ἐγὼ δὲ ἄγαμαι μὲν καὶ τούσδε τοὺς ἄνδρας, τὸν δὲ Ἀκαρ-
162 νᾶνα Μεγιστίαν καὶ πρὸ τούτων, ἃ γὰρ πεισομένους ἐγίγνωσκε, τούτων ἐπεθύμησε κοινωνῆσαι τοῖς ἀνδράσιν, οὐ τὸ ἀποθανεῖν δείσας, ἀλλὰ τὸ μετὰ τοιῶνδε μὴ τεθνάναι.

XXIV Ἐπεφοίτησε δὲ καὶ τοῖς Ἑλληνικοῖς ἱεροῖς πᾶσι τῷ τε Δωδωναίῳ καὶ τῷ Πυθικῷ καὶ τῷ ἐν Ἀβαῖς, ἐς Ἀμφιάρεώ τε καὶ Τροφωνίου ἐβάδισε καὶ ἐς τὸ Μουσεῖον τὸ ἐν Ἑλικῶνι ἀνέβη. φοιτῶντι δὲ ἐς τὰ ἱερὰ καὶ διορθουμένῳ αὐτὰ ξυνεφοίτων μὲν οἱ ἱερεῖς, ἠκολούθουν δὲ οἱ γνώριμοι, λόγων τε κρατῆρες ἵσταντο καὶ ἠρύοντο αὐτῶν οἱ διψῶντες. ὄντων δὲ καὶ Ὀλυμπίων καὶ καλούντων αὐτὸν Ἠλείων ἐπὶ κοινωνίαν τοῦ ἀγῶνος „δοκεῖτέ μοι" ἔφη „διαβάλλειν τὴν τῶν Ὀλυμπίων δόξαν πρεσβειῶν δεύμενοι πρὸς τοὺς αὐτόθι ἥξοντας." γενόμενος δὲ κατὰ τὸν Ἰσθμὸν μυκησαμένης τῆς περὶ τὸ Λέχαιον θαλάττης „οὗτος" εἶπεν „ὁ αὐχὴν τῆς γῆς τετμήσεται, μᾶλλον δὲ οὔ." εἶχε δὲ αὐτῷ καὶ τοῦτο πρόρρησιν τῆς μικρὸν ὕστερον περὶ τὸν Ἰσθμὸν τομῆς, ἣν μετὰ ἔτη ἑπτὰ Νέρων διενοήθη· τὰ γὰρ βασίλεια ἐκλιπὼν ἐς τὴν Ἑλλάδα ἀφίκετο κηρύγμασιν ὑποθήσων ἑαυτὸν
163 Ὀλυμπικοῖς τε καὶ Πυθικοῖς, ἐνίκα δὲ καὶ Ἰσθμοῖ· αἱ δὲ νῖκαι ἦσαν κιθαρῳδίαι καὶ κήρυκες, ἐνίκα δὲ καὶ τραγῳδοὺς ἐν Ὀλυμπίᾳ. τότε λέγεται καὶ τῆς περὶ τὸν Ἰσθμὸν καινοτομίας ἅψασθαι περίπλουν αὐτὸν ἐργαζόμενος καὶ τὸν Αἰγαῖον τῷ Ἀδρίᾳ ξυμβάλλων, ὡς μὴ πᾶσα ναῦς ὑπὲρ Μα-

1. Σ. v. βαλαντιοτόμος. χρημάτων τε μεγάλων – μοιχοί, πορνοί, τοιχωρυχοί, βαλαντιοτόμοι, ἀνδραποδισταὶ καὶ τὰ τοιαῦτα ἔθνη et v. ἔθνος· ἤγοντο – ἔθνη. om. ἀνδραποδισταί. 2. μοιχοὶ καὶ ἀνδραποδισταί. f, a, m. ib. βαλλαντιοτόμοι. 1, f, l. 3. ἐλάβετο δὲ. π, v. ἐλάβετο δὴ. p, f, l, s, E. 4. αὐτῶν. l. 6. λείπει. l. ib. ἐκχέοντων. 1 (u). προχεόντων. 2 (f). B, o. προεχόντων. a. προσεχόντων. m. 7. ἐπειδὴ. o. ib. πέμπητε. π, m, o. πέμπηται. p, 2, a.

11. Θεσσαλούς. l, s. 13. Σ. v. περιεβάλοντο· ὁ δὲ Ἀπολλώνιος οὐ μόνον τὸ σῆμα Λ. τοῦ Σπαρτιάτου περιέβαλεν, ἀγασθεὶς τὸν ἄνδρα. ib. μόνον οὐ περιέλαβεν. π. (sic. corr.) 15. ὅτι. a. 17. ἀντανήγαγον. π, s, E. ἀντανῆγον. p, f, v, l. 18. Σ. v. ἄγαμαι. ἐγὼ δὲ – τοῖς ἀνδράσι κοινωνῆσαι. id. v. Ἀκαρνᾶνα usque ad τούτων. ib. μὲν. om Σ. ib. Ἀκαρνᾶνα μέγιστον. Σ. 19. πεπεισμένους. v. 20. τοῖς ἀνδράσιν κοινωνῆσαι. Σ. ib. μετὰ τοιῶνδε μή. l, f, v, l. μὴ μετὰ τοιῶνδε. s, E.

21. καὶ Πυθικῷ. v. 24. λόγων – διψῶντες. Φ (333, b, 3). ib. οἱ om. l. ib. κρατῆρα. p. ib. αὐτῶν. v. 25. κοινωνία. p. 26. γενόμενος. 1 (u). γενομένου. 2, E. ib. μηκυσαμένης. v. 27. Λέχαιον. f, s et sic infra bis corr. ib. δὲ οὔ. v. 28. αὐτῷ. 1, l. αὐτο f, v, s, E. ib. μικρὸν. C. σμικρὸν. E. 29. διενοήθει. v. 30. Ὀλυμπιακοῖς. l. ib. Πυθιονικοῖς. 1, f, Φ, l. ib. Ἰσθμοῖ. o. 32. ἀνδρίᾳ συμβαλών. f, v. ἀδρίᾳ ξυμβαλών. l. ib. μαλέα. f, a.

IV, 23. 24. p. 161. 162. 163.

λέαν πλέοι κομίζοιντό τε αἱ πολλαὶ διὰ τοῦ ῥήγματος ξυντέμνουσαι τὰς περιβολὰς τοῦ πλοῦ. πῇ δὲ ἀπέβη τὸ τοῦ Ἀπολλωνίου λόγιον; ἡ ὀρυχὴ τὴν ἀρχὴν ἀπὸ Λεχαίου λαβοῦσα στάδια προῦβη ἴσως τέτταρα ξυνεχῶς ὀρυττόντων, σχεῖν δὲ λέγεται Νέρων τὴν τομὴν οἱ μὲν Αἰγυπτίων φιλοσοφησάντων αὐτῷ τὰς θαλάττας καὶ τὸ ὑπὲρ Λεχαίου πέλαγος ὑπερχυθὲν ἀφανιεῖν εἰπόντων τὴν Αἴγιναν, οἱ δὲ νεώτερα περὶ τῇ ἀρχῇ δείσαντα. τοιοῦτον μὲν δὴ τοῦ Ἀπολλωνίου τὸ τὸν Ἰσθμὸν τετμήσεσθαι καὶ οὐ τετμήσεσθαι.

Ἐν Κορίνθῳ δὲ φιλοσοφῶν ἐτύγχανε τότε Δημήτριος ἀνὴρ ξυνειληφὼς ἅπαν τὸ ἐν Κυνικῇ 164 XXV
κράτος, οὗ Φαβωρῖνος ὕστερον ἐν πολλοῖς τῶν ἑαυτοῦ λόγων οὐκ ἀγεννῶς ἐπεμνήσθη, παθὼν δὲ πρὸς τὸν Ἀπολλώνιον, ὅπερ φασὶ τὸν Ἀντισθένην πρὸς τὴν τοῦ Σωκράτους σοφίαν παθεῖν, εἵπετο αὐτῷ μαθητιῶν καὶ προσκείμενος τοῖς λόγοις καὶ τῶν αὐτῷ γνωρίμων τοὺς εὐδοκιμωτέρους ἐπὶ τὸν Ἀπολλώνιον ἔτρεπεν, ὧν καὶ Μένιππος ἦν ὁ Λύκιος ἔτη μὲν γεγονὼς πέντε καὶ εἴκοσι, γνώμης δὲ ἱκανῶς ἔχων καὶ τὸ σῶμα εὖ κατεσκευασμένος, ἐώκει γοῦν ἀθλητῇ καλῷ καὶ ἐλευθερίῳ τὸ εἶδος. ἐρᾶσθαι δὲ τὸν Μένιππον οἱ πολλοὶ ᾠοντο ὑπὸ γυναίου ξένου, τὸ δὲ γύναιον καλή τε ἐφαίνετο καὶ ἱκανῶς ἁβρὰ καὶ πλουτεῖν ἔφασκεν, οὐδὲν δὲ τούτων ἄρα ἀτεχνῶς ἦν, ἀλλὰ ἐδόκει πάντα. κατὰ γὰρ τὴν ὁδὸν τὴν ἐπὶ Κεγχρεὰς βαδίζοντι αὐτῷ μόνῳ φάσμα ἐντυχὸν γυνή τε ἐγένετο καὶ χεῖρα ξυνῆψεν ἐρᾶν αὐτοῦ πάλαι φάσκουσα, Φοινισσα δὲ εἶναι καὶ οἰκεῖν ἐν προαστείῳ τῆς Κορίνθου, τὸ δεῖνα εἰποῦσα προάστειον, „ἐς ὃ ἐσπέρας“ ἔφη „ἀφικομένῳ σοι ᾠδή τε ὑπάρξει ἐμοῦ ᾀδούσης καὶ οἶνος, οἷον οὔπω ἔπιες, καὶ οὐδὲ ἀντεραστὴς ἐνοχλήσει σε, βιώσομαι δὲ καλὴ ξὺν καλῷ.“ τούτοις ὑπαχθεὶς ὁ νεανίας, τὴν μὲν γὰρ ἄλλην φιλοσοφίαν ἔρρωτο, τῶν δὲ ἐρωτικῶν ἥττητο, ἐφοίτησε περὶ ἑσπέραν αὐτῇ καὶ τὸν λοιπὸν χρόνον ἐθάμιζεν, ὥσπερ παιδικοῖς, οὕπω ξυνεὶς τοῦ φάσματος. ὁ δὲ Ἀπολλώνιος ἀνδριαντοποιοῦ δίκην ἐς τὸν Μένιππον βλέπων ἐξωγράφει τὸν νεανίαν καὶ ἐθεώρει, καταγνοὺς δὲ αὐτὸν „σὺ μέντοι“ εἶπεν „ὁ καλός τε καὶ ὑπὸ τῶν καλῶν 165
γυναικῶν θηρευόμενος ὄφιν θάλπεις καὶ σὲ ὄφις.“ θαυμάσαντος δὲ τοῦ Μενίππου „ὅτι γυνή σοι“ ἔφη „ἐστὶν οὐ γαμετή. τί δέ; ἡγῇ ὑπ' αὐτῆς ἐρᾶσθαι; „νὴ Δί',“ εἶπεν „ἐπειδὴ διάκειται πρός με ὡς ἐρῶσα.“ „καὶ γήμαις δ' ἂν αὐτήν;“ ἔφη. „χαρίεν γὰρ ἂν εἴη τὸ ἀγαπῶσαν γῆμαι.“ ἤρετο οὖν „πηνίκα οἱ γάμοι;“ „θερμοὶ“ ἔφη „καὶ ἴσως αὔριον.“ ἐπιφυλάξας οὖν τὸν τοῦ συμποσίου καιρὸν ὁ Ἀπολλώνιος καὶ ἐπιστὰς τοῖς δαιτυμόσιν ἄρτι ἥκουσι „ποῦ“ ἔφη „ἡ ἁβρά, δι' ἣν ἥκετε; ἐνταῦθα“ εἶπεν ὁ Μένιππος καὶ ἅμα ὑπανίστατο ἐρυθριῶν. „ὁ δὲ ἄργυρος καὶ ὁ χρυσὸς καὶ τὰ λοιπά, οἷς ὁ ἀνδρὼν κεκόσμηται, ποτέρου ὑμῶν;“ „τῆς γυναικός,“ ἔφη „ταμὰ γὰρ τοσαῦτα“ δείξας τὸν ἑαυτοῦ τρίβωνα. ὁ δὲ Ἀπολλώνιος „τοὺς Ταντάλου κήπους“ ἔφη „εἴδετε, ὡς ὄντες οὐκ εἰσί;“ „παρ' Ὁμήρῳ γε,“ ἔφασαν „οὐ γὰρ ἐς Ἅιδου γε καταβάντες.“ „τοῦτ'“ ἔφη „καὶ τουτονὶ τὸν κόσμον ἡγεῖσθε, οὐ γὰρ ὕλη ἐστίν, ἀλλὰ ὕλης δόξα. ὡς δὲ γιγνώσκοιτε, ὃ λέγω, ἡ χρηστὴ νύμφη μία τῶν ἐμπουσῶν ἐστιν, ἃς λαμίας τε καὶ μορμολυκίας οἱ πολλοὶ ἡγοῦνται. ἐρῶσι δ' αὗται καὶ ἀφροδισίων μέν, σαρκῶν δὲ μάλιστα ἀνθρωπείων ἐρῶσι καὶ παλεύουσι τοῖς ἀφροδισίοις, οὓς ἂν ἐθέ-

1. διὰ τοῦ. 1. κατα τοῦ. 2. E. ib. ξυντέμνουσαι. π. συντεμοῦσαι. p, 2, φ. ξυντεμοῦσαι. E. ib. πῇ — λόγιον. om φ. 2. ἡ δὲ ὀρυχὴ. φ. 3. συνεχῶς. 2, φ. 4. Λεχαῖον. v. ib. ὑπερχεθὲν. p. 5. τὴν ἀρχὴν. v, φ.

7. συνειληφὼς. p. 8. Φαβορῖνος. v. 10. μαθητειῶν. f. corr. ead. m. ib. τοῦ αὐτοῦ γν. v. Fo: τῶν αὐτοῦ γν. 11. Μένιππος ὁ Λύκιος γνώριμος ἦν Ἀπολλωνίῳ τῷ Τυανεῖ. ἔτη μὲν γεγονὼς κτὲ. φ. ib. ὁ om. m, o. 12. ἔοικε. s. ib. οὖν. 2, φ, a, m. 13. οἱ. om. o. 15. Κεγχρείας. π. l, E. Κεγχρίας. p. ib. ἐντυχὸν. p. 17. ἀφικομένῳ σοι. l. ἀφικομένῳ. 2, E. 18. ὃν οὔπω. p. ib. σοι. p. 19. σὺν. 2, φ. 20. πρὸς ἑσπέραν. p. ib. ξυνεὶς. l. ξυνιεὶς. 2, E. 21. φαντάσματος. φ. 22. καταμαθὼν. v. 23. σοι, ἔφη, ἐστὶν. l, f, s, a, m. σοι, ἔφη. v σοί ἐστιν. o. 24. γαμετὴ, εἶπε. C, E. Delevi εἶπε. ib. αὐτοῖς. fc, a. 25. ὡς ἐρῶσα. l. ἐρῶσα. 2, E. ib. γῆμαι. p. ib. εἶεν. v. 26. πηνίκα — αὔριον. Φ. (333, b, 4.) ib. ἔφη om. v. ib. ἴσως καὶ. v. ib. τὸν om. φ. 27. ταῖς. π. ib. ἥκουσιν. s. ib. ἥκετε. π. πίνετε. p, 2, E. 28. καὶ χρυσὸς. fc, E. 29. ἀνδρῶν. l. ib. τῆς om. o. ib. ἔφη om. v. 31. τοῦτ'. C. ταῦτ'. fc, E. 32. ἡγεῖσθαι. v. 33. ἐμπουσσῶν. π. ib. μορμολυκίας. C, E. μορμολυκεῖα. Meinecke ad Men. 145. 34. οὐκ ἀφροδισίων. o. ib. δὲ καὶ μάλιστα. l, s, fc, E. ib. παλεύουσι. Lobeck. ad S. Ajac. 1190. πάλλουσι. C, E.

IV, 25. p. 161. 165.

λωσι δαίσασθαι." ἡ δὲ „εὐφήμει" ἔλεγε „καὶ ἄπαγε." καὶ μυσάττεσθαι ἐδόκει, ἃ ἤκουε, καί που καὶ ἀπέσκωπτε τοὺς φιλοσόφους, ὡς ἀεὶ ληροῦντας. ἐπεὶ μέντοι τὰ ἐκπώματα τὰ χρυσᾶ καὶ ὁ δοκῶν ἄργυρος ἀνεμιαῖα ἠλέγχθη καὶ διέπτη τῶν ὀφθαλμῶν ἅπαντα οἰνοχόοι τε καὶ ὀψοποιοὶ καὶ ἡ
166 τοιαύτη θεραπεία πᾶσα ἠφανίσθησαν ἐλεγχόμενοι ὑπὸ τοῦ Ἀπολλωνίου, δακρύοντι ἐῴκει τὸ φάσμα καὶ ἐδεῖτο μὴ βασανίζειν αὐτό, μηδὲ ἀναγκάζειν ὁμολογεῖν, ὅ τι εἴη, ἐπικειμένου δὲ καὶ μὴ ἀνιέντος ἔμπουσά τε εἶναι ἔφη καὶ πιαίνειν ἡδοναῖς τὸν Μένιππον ἐς βρῶσιν τοῦ σώματος, τὰ γὰρ καλὰ τῶν σωμάτων καὶ νέα σιτεῖσθαι ἐνόμιζεν, ἐπειδὴ ἀκραιφνὲς αὐτοῖς τὸ αἷμα. τοῦτον τὸν λόγον γνωριμώτατον τῶν Ἀπολλωνίου τυγχάνοντα ἐξ ἀνάγκης ἐμήκυνα, γιγνώσκουσι μὲν γὰρ πλείους αὐτόν, ἅτε καθ' Ἑλλάδα μέσην πραχθέντα, ξυλλήβδην δὲ αὐτὸν παρειλήφασιν, ὅτι ἕλοι ποτὲ ἐν Κορίνθῳ λάμιαν, ὅ τι μέντοι πράττουσαν καὶ ὅτι ὑπὲρ Μενίππου, οὔπω γιγνώσκουσιν, ἀλλὰ Δάμιδί τε καὶ ἐκ τῶν ἐκείνου λόγων ἐμοὶ εἴρηται.

XXVI Τότε καὶ πρὸς Βάσσον διηνέχθη τὸν ἐκ τῆς Κορίνθου, πατραλοίας γὰρ οὗτος καὶ ἐδόκει καὶ ἐπεπίστευτο, σοφίαν δὲ ἑαυτοῦ κατεψεύδετο καὶ χαλινὸς οὐκ ἦν ἐπὶ τῇ γλώττῃ. λοιδορούμενον δὲ αὐτὸν ἐπέσχεν ὁ Ἀπολλώνιος οἷς τε ἐπέστειλεν οἷς τε διελέχθη κατ' αὐτοῦ. πᾶν γάρ, ὅπερ ὡς ἐς πατραλοίαν ἔλεγεν, ἀληθὲς ἐδόκει, μὴ γὰρ ἄν ποτε τοιόνδε ἄνδρα ἐς λοιδορίαν ἐκπεσεῖν, μηδ' ἂν εἰπεῖν τὸ μὴ ὄν.

XXVII Τὰ δὲ ἐν Ὀλυμπίᾳ τοῦ ἀνδρὸς τοιαῦτα· ἀνιόντι τῷ Ἀπολλωνίῳ ἐς Ὀλυμπίαν ἐνέτυχον Λακεδαιμονίων πρέσβεις ὑπὲρ ξυνουσίας, Λακωνικὸν δὲ οὐδὲν περὶ αὐτοὺς ἐφαίνετο, ἀλλ' ἀβρότερον αὐτῶν εἶχον καὶ συβάριδος μεστοὶ ἦσαν. ἰδὼν δὲ ἄνδρας λείους τὰ σκέλη λιπαροὺς τὰς κόμας καὶ
167 μηδὲ γενείοις χρωμένους, ἀλλὰ καὶ τὴν ἐσθῆτα μαλακούς, τοιαῦτα πρὸς τοὺς ἐφόρους ἐπέστειλεν, ὡς ἐκείνους κήρυγμα ποιήσασθαι δημοσίᾳ τήν τε πίτταν τῶν βαλανείων ἐξαιροῦντας καὶ τὰς παρατιλτρίας ἐξελαύνοντας ἐς τὸ ἀρχαῖόν τε καθισταμένους πάντα, ὅθεν παλαῖστραί τε ἀνήβησαν καὶ σπουδαὶ καὶ τὰ φιλίτια ἐπανῆλθε καὶ ἐγένετο ἡ Λακεδαίμων ἑαυτῇ ὁμοία. μαθὼν δὲ αὐτοὺς τὰ οἴκοι διορθουμένους ἔπεμψεν ἐπιστολὴν ἀπ' Ὀλυμπίας βραχυτέραν τῆς Λακωνικῆς σκυτάλης. ἔστι δὲ ἥδε·

„Ἀπολλώνιος ἐφόροις χαίρειν.

Ἀνδρῶν μὲν τὸ μὴ ἁμαρτάνειν, γενναίων δὲ τὸ καὶ ἁμαρτάνοντας αἰσθέσθαι."

XXVIII Ἰδὼν δὲ ἐς τὸ ἔδος τὸ ἐν Ὀλυμπίᾳ „χαῖρε," εἶπεν „ἀγαθὲ Ζεῦ, σὺ γὰρ οὕτω τι ἀγαθός, ὡς
168 καὶ σαυτοῦ κοινωνῆσαι τοῖς ἀνθρώποις". ἐξηγήσατο δὲ καὶ τὸν χαλκοῦν Μίλωνα καὶ τὸν λόγον τοῦ περὶ αὐτὸν σχήματος. ὁ γὰρ Μίλων ἑστάναι μὲν ἐπὶ δίσκου δοκεῖ τῷ πόδε ἄμφω συμβεβληκώς, ῥόαν δὲ ξυνέχει τῇ ἀριστερᾷ, ἡ δεξιὰ δέ, ὀρθοὶ τῆς χειρὸς ἐκείνης οἱ δάκτυλοι καὶ οἷον διείροντες. οἱ μὲν δὴ κατ' Ὀλυμπίαν τε καὶ Ἀρκαδίαν λόγοι τὸν ἀθλητὴν ἱστοροῦσι τοῦτον ἄτρεπτον γενέσθαι καὶ μὴ ἐκβιβασθῆναί ποτε τοῦ χώρου, ἐν ᾧ ἔστη, δηλοῦσθαι δὲ τὸ μὲν ἀπρὶξ τῶν δακτύλων ἐν

1. καί που καὶ. C. (fc.) καὶ που. E 2. ἀπέσκωπτε. C, E. Fo: ἐπέσκωπτε. ib. ληροῦντες. m. 3. ἠλέχθη. l, fc, a. ib. ἅπαντα. 1. πάντα. 2. E. 4. ἐδόκει. v, s, a et m. γρ. ἐδόκει τὸ φάντασμα. ib. φάντασμα. 2 (r, ψ). a. 6. πιαίνειν μὲν. φ. ib. ἄρσιν τοῦ σώματος. p. 7. Fo: νομίζειν. 8. τῶν om. v. ib. Ἀπολλωνίῳ. v. ib. τυγχανόντων. p. ib. πλέους. l. 9. τε αὐτὸν. p. 10. μὲν πράττουσαν. p. ib. Μενίππου. 1. Μενίππου ταῦτα. 2, E.
12. Σ. v. Βάσσος Κορίνθιος· Ἀπολλώνιος πρὸς τοῦτον διηνέχθη — μὴ ὄν. ib. Βάσσ. v. 17. μὲν γὰρ. p, 2, E. γὰρ δὴ. v. ib. καὶ om. Σ. 13. πεπίστευτο. l, s, a. ἐπιστεύετο. v. ib. αὐτοῦ. E, Φ, qui habet σοφίαν — γλώττῃ. (333, b, 5.) ib. λοιδορούμενος. l. 14. ἀπέσχεν. fc, a, m. ἔσχεν. B. ib. ἐπέστειλεν. Σc. ib. διειλέχθη p. (ex corr. pro διηλέχθη) f, l, s, E. διελέγχθη. v. ib. ὡς om. s, a, m. 15. ἐμπεσεῖν. p, v. ἐμπεσεῖν. Σc. ib. ἀνειπεῖν. Σ. 17. ὡς ἐς Ὀλ. p, f, fb, v. 19. αὐτῶν. l, s. αὑτῶν. 1, f, v, fc, E. ib. σαβαρίδος. p. 21. Σ. v. πίττα· τήν τε — ὁμοία. ib. πέτταν. fc, a. 22. τε om. p. ib. παλαῖστραι δὲ ἀ. κ. σπουδαί. h. ib. σπονδαί. fc, E. 23. φιδίτια. B. 27. ἀνδρῶν μὲν. 1, f, v, fb. ἀνδρῶν. l, s, fc, E. ib. ἁμαρτάνειν. 1. ἁμαρτεῖν. 2, E. ib. τὸ καὶ. 1. καὶ τό. 2, E. ib. ἁμαρτάνοντας. π, f, fb, l et p ante corr. ἁμαρτόντας. p, ex corr. s, fc, E. ib. αἰσθέσθαι om. fb. 28. εἶδος. fb, sed corr. cad. m. ἔδος. fc. ib. οὕτω τοι. p. 30. συμβεβληκὼς. 1, m. συμβεβηκὼς. 2, a, o, B. 31. δὲ. om. v. 33. τὸν μὲν. f, fb, v, l et s ante corr.

IV, 26. 27. 28. p. 166. 167. 168.

τῇ ξυνοχῇ τῆς ῥόας, τὸ δὲ μηδ' ἂν σχισθῆναί ποτ' ἀπ' ἀλλήλων αὐτούς, εἴ τις πρὸς ἕνα αὐτῶν ἀμιλλῷτο, τῷ τὰς διαφυὰς ἐν ὀρθοῖς τοῖς δακτύλοις εὖ ξυνηρμόσθαι, τὴν ταινίαν δέ, ἣν ἀναδεῖται, σωφροσύνης ἡγεῖται ξύμβολον. ὁ δὲ Ἀπολλώνιος σοφῶς μὲν εἶπεν ἐπινενοῆσθαι ταῦτα, σοφώτερα δὲ εἶναι τὰ ἀληθέστερα. „ὡς δὲ γιγνώσκοιτε τὸν νοῦν τοῦ Μίλωνος, Κροτωνιᾶται τὸν ἀθλητὴν τοῦτον ἱερέα ἐστήσαντο τῆς Ἥρας. τὴν μὲν δὴ μίτραν ὅ τι χρὴ νοεῖν, τί ἂν ἐξηγοίμην ἔτι, μνημονεύσας ἱερέως ἀνδρός; ἡ ῥόα δὲ μόνη φυτῶν τῇ Ἥρᾳ φύεται, ὁ δὲ ὑπὸ τοῖς ποσὶ δίσκος, ἐπὶ ἀσπιδίου βεβηκὼς ὁ ἱερεὺς τῇ Ἥρᾳ εὔχεται, τουτὶ δὲ καὶ ἡ δεξιὰ σημαίνει. τὸ δὲ ἔργον τῶν δακτύλων καὶ τὸ μήπω διεστὼς τῇ ἀρχαίᾳ ἀγαλματοποιίᾳ προσκείσθω.“ 169

XXIX Παρατυγχάνων δὲ τοῖς ὁρωμένοις ἀπεδέχετο τῶν Ἠλείων, ὡς ἐπεμελοῦντο τε αὐτῶν καὶ ξὺν κόσμῳ ἔδρων μεῖόν τε οὐδὲν ἢ οἱ ἀγωνιούμενοι τῶν ἀθλητῶν κρίνεσθαι ᾤοντο καὶ μήθ' ἑκόντες τι μήτ' ἄκοντες ἁμαρτάνειν προὐνοοῦντο. ἐρομένων δ' αὐτὸν τῶν ἑταίρων, τίνας τοὺς Ἠλείους περὶ τὴν διάθεσιν τῶν Ὀλυμπίων ἡγοῖτο, „εἰ μὲν σοφοὺς,“ ἔφη „οὐκ οἶδα, σοφιστὰς μέντοι.“

XXX Ὡς δὲ καὶ διεβέβλητο πρὸς τοὺς οἰομένους ξυγγράφειν καὶ ἀμαθεῖς ἡγεῖτο τοὺς ἁπτομένους λόγου μείζονος, ὑπάρχει μαθεῖν ἐκ τῶνδε· μειράκιον γὰρ δοκησίσοφον ἐντυχὸν αὐτῷ περὶ τὸ ἱερὸν „συμπροθυμήθητί μοι“ ἔφη „αὔριον, ἀναγνώσομαι γάρ τι“. τοῦ δὲ Ἀπολλωνίου ἐρομένου, ὅ τι ἀναγνώσοιτο, „λόγος“ εἶπε „ξυντέτακταί μοι ἐς τὸν Δία.“ καὶ ἅμα ὑπὸ τῷ ἱματίῳ ἐπεδείκνυ αὐτὸν σεμνυνόμενος τῇ παχύτητι τοῦ βιβλίου. „τί οὖν“ ἔφη „ἐπαινέσῃ τοῦ Διός; ἢ τὸν Δία τὸν ἐνταῦθα καὶ τὸ μηδὲν εἶναι τῶν ἐν τῇ γῇ ὅμοιον;“ „καὶ τοῦτο μέν,“ ἔφη „πολλὰ δὲ πρὸ τούτου καὶ ἐπὶ τούτῳ ἕτερα, καὶ γὰρ αἱ ὧραι καὶ τὰ ἐν τῇ γῇ καὶ τὰ ὑπὲρ τὴν γῆν καὶ ἀνέμους εἶναι καὶ ἄστρα Διὸς πάντα.“ ὁ δὲ Ἀπολλώνιος „δοκεῖς μοι“ εἶπεν „ἐγκωμιαστικός τις εἶναι σφόδρα“. „διὰ τοῦτο“ ἔφη „καὶ ποδάγρας ἐγκώμιόν τί μοι ξυντέτακται καὶ τοῦ τυφλόν τινα ἢ κωφὸν εἶναι.“ „ἀλλὰ μηδὲ τοὺς ὑδέρους“ εἶπε „μηδὲ τοὺς κατάρρους ἀποκήρυττε τῆς ἑαυτοῦ σοφίας, εἰ βούλοιο ἐπαινεῖν τὰ τοιαῦτα, βελτίων δὲ ἔσῃ καὶ τοῖς ἀποθνήσκουσιν ἑπόμενος καὶ διὼν ἐπαίνους τῶν νοσημάτων, ὑφ' ὧν ἀπέθανον, ἧττον γὰρ ἐπ' αὐτοῖς ἀνιάσονται πατέρες τε καὶ παῖδες καὶ οἱ ἀγχοῦ τῶν ἀποθανόντων.“ κεχαλινωμένου δὲ ἰδὼν τὸ μειράκιον ὑπὸ τοῦ λόγου „ὁ ἐγκωμιάζων“, εἶπεν „ὦ ξυγγραφεῦ, πότερον ἃ οἶδεν ἐπαινέσεται ἄμεινον ἢ ἃ οὐκ οἶδεν;“ „ἃ οἶδεν,“ ἔφη „πῶς γὰρ ἄν τις ἐπαινοῖ, ἃ οὐκ οἶδε;“ „τὸν πατέρα οὖν ἤδη ποτὲ τὸν σαυτοῦ ἐπῄνεσας;“ „ἐβουλήθην,“ εἶπεν „ἀλλ' ἐπεὶ μέγας τε μοι δοκεῖ καὶ γενναῖος ἀνθρώπων τε ὧν οἶδα κάλλιστος οἰκόν τε ἱκανὸς οἰκῆσαι καὶ σοφίᾳ ἐς πάντα χρῆσθαι, παρῆκα τὸν ἐς αὐτὸν ἔπαινον, ὡς μὴ αἰσχύνοιμι τὸν πατέρα λόγῳ ἥττονι.“ δυσχεράνας οὖν ὁ Ἀπολλώνιος, τουτὶ δὲ πρὸς τοὺς φορτικοὺς τῶν ἀνθρώπων ἔπασχεν „εἶτα“, ἔφη „ὦ κάθαρμα, τὸν μὲν πατέρα τὸν σεαυτοῦ, ὃν ἴσα καὶ σεαυτὸν γιγνώσκεις, οὐκ ἂν οἶει πότ' ἂν ἱκανῶς ἐπαινέσαι, τὸν δ' ἀνθρώπων καὶ θεῶν πατέρα καὶ δημιουργὸν τῶν ὅλων, ὅσα περὶ ἡμᾶς καὶ ὑπὲρ ἡμᾶς ἐστιν, εὐκόλως οὕτως ἐγκωμιάζων οὔθ', ὃν ἐπαινεῖς, δέδιας, οὔτε ξυνίης ἐς λόγον καθιστάμενος μείζονα ἀνθρώπου;“

1. τὸν δὲ. f, fb, v, l et s ante corr. ib. δὲ μηδ'. C, a. μηδ'. m, o. ib. αὐτὸν ex corr. rec. s. αὐτῳ. l. 2. τὸ τὰς. v. 3. ἡγεῖσθαι. p. ib. σύμβολον. fc. ib. ἐπινοεῖσθαι. p. 4. ὡς δὴ. l. ib. γιγνώσκητε. v. 5. τὴν δὲ δήμητρα. p. ib. ἐξηγοίμην; ἔτι — ἀνδρὸς. o. 6. φυτῶν. π, f, fb, l, v. φυτὸν. p, fc, s, E. ib. φαίνεται. p. ib. ὑπὸ τοῖς. 1, fb, H. ἐπὶ τοῖς. s, l, fc, E. ὑπὸ ποσί. v. 7. βεβληκὼς. fb. s. καὶ τὸ μήπω. π. καὶ μήπω. p, 2, a, m. μήπω. o. ib. κεῖσθω. p. 9. τοῖς ἱδρυμένοις. p. ib. τε αὐτῶν. π. τῶν αὐτῶν. p, f, v, E. τῶν αὐτῶν. l, s. 10. οἱ om. s, a, m. 11. προυνοοῦντο. o. ib. τοὺς om. l. s, a. 12. παρὰ. p. ib. ἡγεῖτο. v, E.

13. καὶ om. p. ib. διεβέβλητο. v. ib. ἡγοῖτο. s, E. 16. ὑπὸ τῷ ἱματίῳ. π et m. γρ. ὑπὸ τοῦ ἱμ. p, 2, E. ib. ὑπεδείκνυ. v. 18. τοῦτο μὲν. l et m. γρ. τοῦτό γε. 2, E. 20. ἰδὼν δὲ ὁ Ἀπ. v. ib. τις om. 2, a. τε. fc. 21. μοι om. 2, a. ib. τε ξυντέτακται. a. 22. τῆς ἑαυτοῦ. l, f, v, l. τῆς σεαυτοῦ. s, E. 23. βελτίω. v. 24. αὐτοῖς. τε

1. αὐτοὺς. 2, E. 25. δὲ. f. al. m. ib. ὁ om. v. 26. ἃ οἶδεν om. m. 27. ἐπαινεῖ. v. 28. Fo: ἐδόκει. ib. τε om. 2, a, m. ib. καὶ κάλλιστος. 2, a, m. ib. ἱκανῶς. π. 29. ἐς τὰ πάντα. p. ib. αἰσχύνοιμι. l. αἰσχύναιμι. 2, E. 31. σεαυτοῦ. l. σαυτοῦ. 2, E. ib. καὶ σεαυτοῦ. v. ib. οὐκ ἂν. C, E. Fo: οὐκ ἄρ'. 32. οἴῃ. C. (εἴῃ. l.) οἰῇ. a. οἴει. m, o. 33. οὐδὲ. p. 34. ξυνίης. C. ξυνίεις. l, E.

IV. 29. 30. p. 169. 170.

XXXI Αἱ δὲ ἐν Ὀλυμπίᾳ διαλέξεις τῷ Ἀπολλωνίῳ περὶ τῶν χρησιμωτάτων ἐγίγνοντο, περὶ σοφίας τε καὶ ἀνδρίας καὶ σωφροσύνης καὶ καθάπαξ, ὑπόσαι ἀρεταί εἰσι, περὶ τούτων ἀπὸ τῆς κρηπῖδος
171 τοῦ νεὼ διελέγετο πάντας ἐκπλήττων οὐ ταῖς διανοίαις μόνον, ἀλλὰ καὶ ταῖς ἰδέαις τοῦ λόγου. περιστάντες δὲ αὐτὸν οἱ Λακεδαιμόνιοι ξένον τε παρὰ τῷ Διὶ ἐποιοῦντο καὶ τῶν οἴκοι νέων πατέρα βίου τε νομοθέτην καὶ γερόντων γέρας. ἐρομένου δὲ Κορινθίου τινὸς κατὰ ἀχθηδόνα, εἰ καὶ θεοφάνια αὐτῷ ἄξουσι, „νὴ τὼ Σιώ," ἔφη, „ἕτοιμά γε". ὁ δὲ Ἀπολλώνιος ἀπήγαγεν αὐτοὺς τῶν τοιούτων, ὡς μὴ φθονοῖτο. ἐπεὶ δὲ ὑπερβὰς τὸ Ταΰγετον εἶδεν ἐνεργὸν Λακεδαίμονα καὶ τὰ τοῦ Λυκούργου πάτρια εὖ πράττοντα, οὐκ ἀηδὲς ἐνόμισε τὸ καὶ τοῖς τέλεσι τῶν Λακεδαιμονίων ξυγγενέσθαι περὶ ὧν ἐρωτᾶν ἐβούλοντο. ἤροντο οὖν ἀφικόμενον, πῶς θεοὶ θεραπευτέοι, ὁ δὲ εἶπεν
10 „ὡς δεσπόται". πάλιν ἤροντο, πῶς ἥρωες· „ὡς πατέρες." τρίτον δὲ ἐρομένων, πῶς δὲ ἄνθρωποι „οὐ Λακωνικὸν" ἔφη „τὸ ἐρώτημα". ἤροντο καὶ ὅ τι ἡγοῖτο τοὺς παρ' αὐτοῖς νόμους, ὁ δὲ εἶπεν „ἀρίστους διδασκάλους, οἱ διδάσκαλοι δὲ εὐδοκιμήσουσιν, ἢν οἱ μαθηταὶ μὴ ῥᾳθυμῶσιν." ἐρομένων δ' αὐτῶν, τί περὶ ἀνδρίας ξυμβουλεύοι, „καὶ τί" ἔφη „τῇ ἀνδρίᾳ χρήσεσθε;"

XXXII 172 Ἐτύγχανε δὲ περὶ τὸν χρόνον τοῦτον νεανίας Λακεδαιμόνιος αἰτίαν ἔχων παρ' αὐτοῖς, ὡς
15 ἀδικῶν περὶ τὰ ἤθη· Καλλικρατίδα μὲν γὰρ τοῦ περὶ Ἀργινούσσας ναυαρχήσαντος ἦν ἔκγονος, ναυκληρίας δὲ ἦρα καὶ οὐ προσεῖχε τοῖς κοινοῖς, ἀλλ' ἐς Καρχηδόνα ἐξέπλει καὶ Σικελίαν ναῦς πεποιημένος. ἀκούσας οὖν κρίνεσθαι αὐτὸν ἐπὶ τούτῳ δεινὸν ᾠήθη περιιδεῖν τὸν νεανίαν ὑπαχθέντα ἐς δίκην καὶ „ὦ λῷστε", ἔφη „τί πεφροντικὼς περίεις καὶ μεστὸς ἐννοίας"; „ἀγὼν" εἶπεν „ἐπήγγελταί μοι δημόσιος, ἐπειδὴ πρὸς ναυκληρίαις εἰμὶ καὶ τὰ κοινὰ οὐ πράττω." πατὴρ δέ σοι
20 ναύκληρος ἐγένετο ἢ πάππος;" „ἄπαγε", εἶπε „γυμνασίαρχοι τε καὶ ἔφοροι καὶ πατρονόμοι πάντες. Καλλικρατίδας δὲ ὁ πρόγονος καὶ τῶν ναυαρχησάντων ἐγένετο." „μῶν„ ἔφη „τὸν ἐν Ἀργινούσσαις λέγεις"; „ἐκεῖνον" εἶπε „τὸν ἐν τῇ ναυαρχίᾳ ἀποθανόντα". „εἶτ' οὐ διέβαλέ σοι" εἶπε „τὴν θάλατταν ἡ τελευτὴ τοῦ προγόνου"; „μὰ Δί'," εἶπεν „οὐ γὰρ ναυμαχήσων γε πλέω." „ἀλλ' ἐμπόρων τε καὶ ναυκλήρων κακοδαιμονέστερόν τι ἐρεῖς ἔθνος; πρῶτον μὲν περινοστοῦσι, ξητοῦσι
25 ἀγορὰν κακῶς πράττουσαν, εἶτα προξένοις καὶ καπήλοις ἀναμιχθέντες πώλοῦσί τε καὶ πωλοῦνται καὶ τόκοις ἀνοσίοις τὰς αὐτῶν κεφαλὰς ὑποτιθέντες ἐς τὸ ἀρχαῖον σπεύδουσι, κἂν μὲν εὖ πράττωσιν, εὐπλοεῖ ἡ ναῦς καὶ πολὺν ποιοῦνται λόγον τοῦ μήτε ἑκόντες ἀνατρέψαι μήτε ἄκοντες, εἰ δὲ ἡ ἐμπορία πρὸς τὰ χρέα μὴ ἀναφέροιτο, μεταβάντες ἐς τὰ ἐφόλκια προσαράττουσι τὰς ναῦς καὶ
173 τῶν ἑτέρων [ναῦται] βίον θεοῦ ἀνάγκην εἰπόντες ἀθεώτατα καὶ οὐδὲ ἄκοντες αὐτοὶ ἀφείλοντο. εἰ
30 δὲ καὶ μή τοιοῦτον ἦν τὸ θαλαττουργόν τε καὶ ναυτικὸν ἔθνος, ἀλλὰ τό γε Σπαρτιάτην ὄντα καὶ πατέρων γεγονότα, οἳ μέσην ποτὲ τὴν Σπάρτην ᾤκησαν, ἐν κοίλῃ νηὶ κεῖσθαι λήθην μὲν ἴσχοντα Λυκούργου τε καὶ Ἰφίτου, φόρτου δὲ μνήμονα καὶ ναυτικῆς ἀκριβολογίας, τίνος αἰσχύνης ἄπεστιν; εἰ γὰρ καὶ μηδὲν ἄλλο, τὴν γοῦν Σπάρτην αὐτὴν ἔδει ἐνθυμεῖσθαι, ὡς, ὁπότε μὲν τῆς γῆς εἴχετο,

1. αἴδε. E. 2. τε γὰρ καὶ. o. ib. ἀνδρείας. corr. ead m. f. ib. καθάπερ. v. 4. περιστάντες δὲ αὐτὸν. l. περιστάντες οὖν. 2, E. ib. νέον. s, a, m. 5. εἰ καὶ. π, m, o. ἢ καὶ. p, s, a. ἦ καὶ. f, v, l. 6. αὐτῷ. l. ἐπ' αὐτῷ. 2, E. ib. ἐξιοῦσι. p. ib. ἔφησαν. o. ib. ἕτυμά γε. π et m γρ. ib. ἀπήγαγεν. l, f, v. ἀπῆγεν. l, s, E. 7. μὴ om. l. ib. ὑπὲρ τὸ. π. ib. Τηΰγετον. p. ib. νεουργὸν. v. 9. τρίτον μὲν. l. 13. καί τί; o. ib. χρήσεσθαι. v, o. χρήσεσθε revocat H. 88.

15. Ἀργινούσσας. π. Ἀργινούσσας. l, E. ib. ἦν om. m. 16. Καλχηδόνα. s a. rec. m. 18. ὦ λόγε. p. ib. παρίης. l. παρίεις. f. ead. m. περίεις. l. παρίεις. E. περίεις. J. ib. καὶ οὐ μεστὸς. f, v, l. 19. πατὴρ. l. καὶ πατὴρ. 2, E. 20. τε καὶ. π. γὰρ καὶ. p, 2, E. 21. Καλλιστρατίδας. f, v. ib. Ἀργινούσσαις ut 15. 25. εἶτ' οὐ. l, f et s ex corr. εἶτ' οὖν. l, v, s ante corr. a. ib. ὅ τ' οὐ. ψ, o. 23. εὐπόρων. v. 24. τε καὶ. π. τι καὶ. p. γε καὶ. 2, E. ib. μὲν om. v. ib. ζητοῦσι. π. ζητοῦντες. p, 2, E. 22. κακῶς om. p. 26. αὐτῶν. l, s. αὐτῶν. E. 28. μὴ ἀναφέροιτο. l. οὐκ ἀ. 2, E. 29. τῶν ἑτέρων. l. τὸν ἑτέρων. 2, E. ib. ναῦται dele aut scribe οὗτοι. J ad Im. 625. velit ναυαγοί. ib. εἰ δὲ μή. p, 30. θαλάττουργόν τε. o. 31. ἴσχοντα. l, l, s, v. ἴσχον τὰ. f. ἔσχον τὰ. fc, a, m. ἔσχοντα. o.

IV. 31. 32. p. 171. 172. 173.

οὐρανομήκη δόξασαν, ἐπεὶ δὲ θαλάττης ἐπεθύμησε, βυθισθεῖσάν τε καὶ ἀφανισθεῖσαν οὐκ ἐν τῇ θαλάττῃ μόνον, ἀλλὰ καὶ ἐν τῇ γῇ." τούτοις τὸν νεανίαν οὕτω διεχειρώσατο τοῖς λόγοις, ὡς νεύσαντα αὐτὸν ἐς τὴν γῆν κλαίειν, ἐπεὶ τοσοῦτον ἤκουσεν ἀπολελεῖφθαι τῶν πατέρων, ἀποδύσθαι τε τὰς ναῦς, ἐν αἷς ἔξη. καθεστῶτα δὲ αὐτὸν ἰδὼν ὁ Ἀπολλώνιος καὶ τὴν γῆν ἀσπαζόμενον κατήγαγε παρὰ τοὺς ἐφόρους καὶ παρῃτήσατο τῆς δίκης.

Κἀκεῖνο τῶν ἐν Λακεδαίμονι· ἐπιστολὴ ἐκ βασιλέως Λακεδαιμονίοις ἦκεν ἐπίπληξιν ἐς τὸ κοινὸν αὐτῶν φέρουσα, ὡς ὑπὲρ τὴν ἐλευθερίαν ὑβριζόντων, ἐκ διαβολῶν δὲ τοῦ τῆς Ἑλλάδος ἄρχοντος ἐπέσταλτο αὐτοῖς ταῦτα. οἱ μὲν δὴ Λακεδαιμόνιοι ἀπορίᾳ εἶχοντο καὶ ἡ Σπάρτη πρὸς ἑαυτὴν ἤριζεν, εἴτε χρὴ παραιτουμένους τὴν ὀργὴν τοῦ βασιλέως εἴτε ὑπερφρονοῦντας ἐπιστέλλειν· πρὸς ταῦτα ξύμβουλον ἐποιοῦντο τὸν Ἀπολλώνιον τοῦ τῆς ἐπιστολῆς ἤθους, ὁ δέ, ὡς εἶδε διεστηκότας, παρῆλθέ τε ἐς τὸ κοινὸν αὐτῶν καὶ ὧδε ἐβραχυλόγησε· „Παλαμήδης εὗρε γράμματα οὐχ ὑπὲρ τοῦ γράφειν μόνον, ἀλλὰ καὶ ὑπὲρ τοῦ γιγνώσκειν, ἃ δεῖ μὴ γράφειν." οὕτω μὲν δὴ Λακεδαιμονίους ἀπῆγε τοῦ μήτε θρασεῖς μήτε δειλοὺς ὀφθῆναι.

Διατρίψας δ' ἐν τῇ Σπάρτῃ μετὰ τὴν Ὀλυμπίαν χρόνον, ὡς ἐτελεύτα ὁ χειμών, ἐπὶ Μαλέαν ἦλθεν ἀρχομένου ἦρος, ὡς ἐς τὴν Ῥώμην ἀφήσων. διανοουμένῳ δ' αὐτῷ ταῦτα ἐγένετο ὄναρ τοιόνδε· ἐδόκει γυναῖκα μεγίστην τε καὶ πρεσβυτάτην περιβάλλειν αὐτὸν καὶ δεῖσθαί οἱ ξυγγενέσθαι, πρὶν ἐς Ἰταλοὺς πλεῦσαι, Διὸς δὲ εἶναι ἡ τροφὸς ἔλεγε καὶ ἦν αὐτῇ στέφανος πάντ' ἔχων τὰ ἐκ γῆς καὶ θαλάττης. λογισμὸν δὲ αὐτῷ διδοὺς τῆς ὄψεως ξυνῆκεν, ὅτι πλευστέα εἴη ἐς Κρήτην πρότερον, ἣν τροφὸν ἡγούμεθα τοῦ Διός, ἐπειδὴ ἐν ταύτῃ ἐμαιεύθη, ὁ δὲ στέφανος καὶ ἄλλην ἴσως δηλώσει νῆσον. οὐσῶν δὲ ἐν Μαλέᾳ νηῶν πλεούνων, αἳ ἐς Κρήτην ἀφήσειν ἔμελλον, ἐνέβη ναῦν ἀποχρῶσαν τῷ κοινῷ· κοινὸν δὲ ἐκάλει τούς τε ἑταίρους καὶ τοὺς τῶν ἑταίρων δούλους, οὐδὲ γὰρ ἐκείνους παρεώρα. προσπλεύσας δὲ Κυδωνίᾳ καὶ παραπλεύσας ἐς Κνωσσὸν τὸν μὲν Λαβύρινθον, ὃς ἐκεῖ δείκνυται, ξυνεῖχε δέ, οἶμαι, ποτε τὸν Μινώταυρον, βουλομένων ἰδεῖν τῶν ἑταίρων, ἐκείνοις μὲν ξυνεχώρει τοῦτο, αὐτὸς δὲ οὐκ ἂν ἔφη θεατὴς γενέσθαι τῆς ἀδικίας τοῦ Μίνω. προῆλθε δὲ ἐπὶ Γόρτυναν πόθῳ τῆς Ἴδης. ἀνελθὼν οὖν καὶ τοῖς θεολογουμένοις ἐντυχὼν ἐπορεύθη καὶ ἐς τὸ ἱερὸν τὸ Λεβηναῖον· ἔστι δὲ Ἀσκληπιοῦ καὶ ὥσπερ ἡ Ἀσία ἐς τὸ Πέργαμον, οὕτως ἐς τὸ ἱερὸν τοῦτο ξυνεφοίτα ἡ Κρήτη, πολλοὶ δὲ καὶ Λιβύων ἐς αὐτὸ περαιοῦνται· καὶ γὰρ τέτραπται πρὸς τὸ Λιβυκὸν πέλαγος κατὰ γοῦν τὴν Φαιστόν, ἔνθα τὴν πολλὴν ἀνείργει θάλατταν ὁ μικρὸς λίθος. Λεβηναῖον δὲ τὸ ἱερὸν ὠνομάσθαί φασιν, ἐπειδὴ ἀκρωτήριον ἐξ αὐτοῦ κατατείνει λέοντι εἰκασμένον, οἷα πολλὰ αἱ ξυντυχίαι τῶν πετρῶν ἀποφαίνουσι, μῦθόν τε ἐπὶ τῷ ἀκρωτηρίῳ ᾄδουσιν, ὡς λέων εἷς οὗτος γένοιτο τῶν ὑποζυγίων ποτὲ τῇ Ῥέᾳ. ἐνταῦθα διαλεγομένου ποτὲ τοῦ Ἀπολλωνίου περὶ μεσημβρίαν, διελέγετο δὲ πολλοῖς ἀνδράσιν, ὑφ' ὧν τὸ ἱερὸν ἐθεραπεύετο, σεισμὸς ἀθρόως τῇ Κρήτῃ προσέβαλε, βροντὴ δὲ οὐκ ἐκ νεφῶν, ἀλλ' ἐκ τῆς γῆς ὑπήχησεν, ἡ θάλαττα δὲ ὑπενύστησε στάδια ἴσως ἑπτά. καὶ οἱ μὲν πολλοὶ ἔδεισαν, μὴ τὸ πέλαγος ὑποχωρῆσαν ἐπισπάσηται τὸ ἱερὸν καὶ ἀπενεχθῶσιν, ὁ δὲ Ἀπολλώνιος „θαρσεῖτε", ἔφη „ἡ γὰρ θάλαττα γῆν ἔτεκε". καὶ οἱ μὲν

XXXIII

XXXIV

174

175

1. ἐπὶ δὲ. o. ib. ἐπεθύμησε om. o. 2. τῶν νεανίαν. l. 3. ἤκουσεν ἀπολελεῖφθαι. π, l, m, o. ἀπολελεῖφθαι. p, f, v, s, a. 4. ὑπείκοντα δὲ. p. ib. ἐξέβαλε τῆς. p.

6. ἐπιστολὴν. v. ib. ἦκεν. 1. ἦλθεν. 2, E. 7. αὐτῷ φέρουσα. a, non fc. 8. ἐπέσταλτο. 1, m, o. ἔσταλτο. 2, a.

10. ἐποιοῦντο τὸν. p. ἐποιοῦντό π. ἐποίουντό τε. l. ἐποιουν τότε. f, v, s, E. ib. εἶδε. 1. εἶδέ τε. 2, E. 11. παρῆλθε τε. 1. παρῆλθεν. 2, E. 12. οὕτως. 2. ib. Λακεδαιμονίοις ἐπῆγε. l. 13. τοῦ om. π.

15. διανοουμένου δ' αὐτῶ. l. 16. ξυνεγγενέσθαι. l. ξυγγίνεσθαι. o. 17. αὐτῷ. l, a, m. 18. πλευστέα εἴη. 1, v. πλευστέα εἶην. f. πλευστέα. l, s, E. 19. καλὴν ἴσως. J. ad Athen. p. 77. 21. δούλους. 1, o et m. γρ. ἄλλους δούλους. 2, a, m. 22. παρεώρα. π. περιεώρα. p, 2, E. ib. προσπλεύσας. p, l, s, a, m. παραπλεύσας. π, f, v, o. ib. παραπλεύσας. p, l, s, a, m. προσπλεύσας. π, f, v, o. 23. ὃς ἐδόκει. f, v, l. 25. καὶ ἐς. 1, f, v, l. ἐς. s, fc, E. 28. γ' οὖν. f. ib. τὴν om. f, v. 32. ἐπὶ μεσημβρίαν. v. ib. ἀθρόος. p. 35. προσέβαλλεν. v. ib. νεφῶν. 1, l. νεφελῶν. 2, E.

IV, 33. 34. p. 174. 175.

ᾤοντο αὐτὸν τὴν ὁμόνοιαν τῶν στοιχείων λέγειν, καὶ ὅτι μηδὲν ἂν ἡ θάλαττα νεώτερον ἐς τὴν γῆν ἐργάσαιτο, μετὰ δὲ ἡμέρας ὀλίγας ἀφικόμενοί τινες ἐκ τῆς Κυδωνιάτιδος ἤγγειλαν, ὅτι κατὰ τὴν ἡμέραν τε καὶ μεσημβρίαν, ἣν ἐγένετο ἡ διοσημία, νῆσος ἐκ τῆς θαλάττης ἀνεδόθη περὶ τὸν πορθμὸν τὸν διαρρέοντα Θήραν τε καὶ Κρήτην. ἐάσαντες οὖν λόγων μῆκος ἔλθωμεν καὶ ἐπὶ τὰς ἐν Ῥώμῃ σπουδάς, αἳ ἐγένοντο αὐτῷ μετὰ τὰ ἐν Κρήτῃ.

XXXV Νέρων οὐ ξυνεχώρει φιλοσοφεῖν, ἀλλὰ περίεργον αὐτῷ χρῆμα οἱ φιλοσοφοῦντες ἐφαίνοντο
176 καὶ μαντικὴν συσκιάζοντες, καὶ ἤχθη ποτὲ ὁ τρίβων ἐς δικαστήριον, ὡς μαντικῆς σχῆμα. ἐῶ τοὺς ἄλλους. ἀλλὰ Μουσώνιος ὁ Βαβυλώνιος, ἀνὴρ Ἀπολλωνίου μόνου δεύτερος ἐδέθη ἐπὶ σοφίᾳ καὶ ἐκεῖ μένων ἐκινδύνευσεν, ἀπέθανε δ' ἂν τὸ ἐπὶ τῷ δήσαντι, εἰ μὴ σφόδρα ἔρρωτο. ἐν τοιαύτῃ
XXXVI 10 καταστάσει φιλοσοφίας οὔσης ἔτυχε προσιὼν τῇ Ῥώμῃ, στάδια δὲ εἴκοσι καὶ ἑκατὸν ἀπέχων ἐνέτυχε Φιλολάῳ τῷ Κιττιεῖ περὶ τὸ νέμος τὸ ἐν τῇ Ἀρικείᾳ. ἦν δὲ ὁ Φιλόλαος τὴν μὲν γλῶτταν ξυγκείμενος, μαλακώτερος δὲ καρτερῆσαί τι. οὗτος ἀναλύων ἀπὸ τῆς Ῥώμης αὐτός τε ἐῴκει φεύγοντι καὶ ὅτῳ ἐντύχοι φιλοσοφοῦντι παρεκελεύετο τὸ αὐτὸ πράττειν. προσειπὼν οὖν τὸν Ἀπολλώνιον ἐκέλευεν ἐκστῆναι τῷ καιρῷ, μηδὲ ἐπιφοιτᾶν τῇ Ῥώμῃ διαβεβλημένου τοῦ φιλοσοφεῖν, καὶ διη-
15 γεῖτο τὰ ἐκεῖ πραττόμενα θαμὰ ἐπιστρεφόμενος, μὴ ἐπακροῷτό τις αὐτοῦ κατόπιν. „σὺ δὲ καὶ χορὸν φιλοσόφων ἀναψάμενος" εἶπε „βαδίζεις φθόνου μεστὸς οὐκ εἰδὼς τοὺς ἐπιτεταγμένους ταῖς πύλαις ὑπὸ Νέρωνος, οἳ ξυλλήψονταί σέ τε καὶ τούτους, πρὶν ἔσω γενέσθαι." „τί δ'" εἶπεν „ὦ
177 Φιλόλαε, τὸν αὐτοκράτορα σπουδάζειν φασίν;" „ἡνιοχεῖ" ἔφη „δημοσίᾳ καὶ ᾄδει παριὼν ἐς τὰ Ῥωμαίων θέατρα καὶ μετὰ τῶν μονομαχούντων ξῇ, μονομαχεῖ δὲ καὶ αὐτὸς καὶ ἀποσφάττει." ὑπο-
20 λαβὼν οὖν ὁ Ἀπολλώνιος „εἶτα", ἔφη „ὦ βέλτιστε, μεῖζόν τι ἡγῇ θέαμα ἀνδράσι πεπαιδευμένοις ἢ βασιλέα ἰδεῖν ἀσχημονοῦντα; θεοῦ μὲν γὰρ παίγνιον ἄνθρωπος" εἶπε „κατὰ τὴν Πλάτωνος δόξαν, βασιλεὺς δὲ ἀνθρώπου παίγνιον γιγνόμενος καὶ χαριζόμενος τοῖς ὄχλοις τὴν ἑαυτοῦ αἰσχύνην τίνας οὐκ ἂν παράσχοι λόγους τοῖς φιλοσοφοῦσι;" „νὴ Δί'", εἶπεν ὁ Φιλόλαος „εἴγε μετὰ τοῦ ἀκινδύνου γίγνοιτο, εἰ δὲ ἀπόλοιο ἀναχθεὶς καὶ Νέρων σε ὠμὸν φάγοι μηδὲν ἰδόντα ὧν πράττει,
25 ἐπὶ πολλῷ ἔσται σοι τὸ ἐντυχεῖν αὐτῷ καὶ ἐπὶ πλείονι ἢ τῷ Ὀδυσσεῖ ἐγένετο, ὁπότε παρὰ τὸν Κύκλωπα ἦλθεν, ἀπώλεσε γὰρ πολλοὺς τῶν ἑταίρων ποθήσας ἰδεῖν αὐτὸν καὶ ἡττηθεὶς ἀτόπου καὶ ὠμοῦ θεάματος." ὁ δὲ Ἀπολλώνιος „οἶει γὰρ" ἔφη „τοῦτον ἧττον ἐκτετυφλῶσθαι τοῦ Κύκλωπος, εἰ τοιαῦτα ἐργάζεται;" καὶ ὁ Φιλόλαος „πραττέτω μέν", εἶπεν „ὅ τι βούλεται, σὺ δὲ ἀλλὰ τούτους
XXXVII σῶζε." φωνῇ δὲ ταῦτα μείζονι ἔλεγε καὶ ἐῴκει κλάοντι. ἐνταῦθα δείσας ὁ Δάμις περὶ τοῖς νέοις,
30 μὴ χείρους αὐτῶν γένοιντο ὑπὸ τῆς τοῦ Φιλολάου πτοίας, ἀπολαβὼν τὸν Ἀπολλώνιον „ἀπολεῖ" ἔφη „τοὺς νέους ὁ λαγὼς οὗτος τρόμων καὶ ἀθυμίας ἀναπιμπλὰς πάντα". ὁ δὲ Ἀπολλώνιος „καὶ μὴν πολλῶν" ἔφη „ἀγαθῶν ὄντων, ἃ μηδ' εὐξαμένῳ μοι πολλάκις παρὰ τῶν θεῶν γέγονε, μέγιστον ἂν ἔγωγε φαίην ἀπολελαυκέναι τὸ νυνὶ τοῦτο, παραπέπτωκε γὰρ βάσανος τῶν νέων, ἣ σφόδρα ἐλέγξει τοὺς φιλοσοφοῦντάς τε αὐτῶν καὶ τοὺς ἕτερόν τι μᾶλλον ἢ τοῦτο πράττοντας." καὶ
178 35 ἠλέγχθησαν αὐτίκα οἱ μὴ ἐρρωμένοι σφῶν, ὑπὸ γὰρ τῶν τοῦ Φιλολάου λόγων ἀπαχθέντες οἱ μὲν

2. ἐργάσηται p ib. ἤγγειλεν. π. 3. διοσημεία. f, v, l. ib. ἐν τῇ θαλάσσῃ. v. 4. ἔλθωμεν ἐπὶ. 2, a. 5. τὰ ἐν Κρ. C. τὴν ἐν Κρ. fc, E.

8. ὡς Βαβ. o. ib. μόνου. 1, J. μὲν. 2, E. 9. μένων. π. μὲν ὧν. p, 2, E. ib. τῷ ἐπὶ τῷ. l. 12. ἦν δὲ — καρτερῆσαί τι. Φ. (333, b, 6). 13. παρεκέλευέ τε. v. 14. ἐκέλευεν om. fc, a, m. 17. ξυλλήψονται. v. ib. τί δ'. f, s, l. τίδ'. a. 18. φασὶν om. a, m, ubi mg. γρ. σπουδ. φασὶν. 20. ὦ om. 2, a, m. 22. γενόμενος. π. γινόμενος. f, s, l. γιγνόμενος. a. 23. τίνας om. v. ib. εἴ γε. π et p ante corr. εἴγε μὴ. p ex corr. 2, E. 24. μετὰ τοῦ ἀκινδύνου. π. μετὰ τοῦ κινδύνου. p, f, v, s, E. μετὰ κινδύνου. l. ib. εἰδότα. v. 25. πλεῖον. π, v, l. πλεῖων. f. 26. ἀπώλεσα. f. corr. al. m. ib. δεινοῦ. l. 28. μὲν om. π. ib. εἶπε. o. 30. αὐτῶν. π. αὐτῷ. l. αὐτῶν. E. ib. τῆς Φιλολάου. 2, a. ib. ὑπολαβὼν. f, v, l. 31. ὁ λόγος. m, (ubi γρ. ὁ λαγὼς). o. ib. ἀναπιμπλὼν. s, a. 33. σφόδρα. 1, o. σφύδρα τε. 2, a, m. 34. τοῦ. l. ib. φιλοσοφοῦντάς τε. 1, f, v. φιλοσοφοῦντές τι. s, a, m. φιλοσοφοῦντας. o. 35. ἠλέχθησαν. l. ib. τοῦ om. l.

IV, 35. 36. 37. p. 176. 177. 178.

ἔφασαν νοσεῖν, οἱ δ' οὐκ εἶναι αὐτοῖς ἐφόδια, οἱ δὲ τῶν οἴκοι ἐρᾶν, οἱ δὲ ὑπὸ ὀνειράτων ἐκπεπλῆχθαι, καὶ περιῆλθεν ἐς ὀκτὼ ὁμιλητὰς ὁ Ἀπολλώνιος ἐκ τεττάρων καὶ τριάκοντα, οἳ ξυνεφοίτων αὐτῷ ἐς τὴν Ῥώμην. οἱ δ' ἄλλοι Νέρωνά τε καὶ φιλοσοφίαν ἀποδράντες φυγῇ ᾤχοντο. ξυναγαγὼν XXXVIII οὖν τοὺς περιλειφθέντας, ὧν καὶ Μένιππος ἦν ὁ ξυναλλάξας τῇ ἐμπούσῃ καὶ Διοσκορίδης ὁ Αἰγύπτιος καὶ Δάμις „οὐ λοιδορήσομαι" ἔφη „τοῖς ἀπολελοιπόσιν ἡμᾶς, ἀλλ' ὑμῖς ἐπαινέσομαι μᾶλλον, ὅτι ἄνδρες ἐστὲ ἐμοὶ ὅμοιοι, οὐδ', εἴ τις Νέρωνα δείσας ἀπῆλθε, δειλὸν ἡγήσομαι τοῦτον, ἀλλ' εἴ τις τοῦ δέους τούτου κρείττων γίγνεται, φιλόσοφος ὑπ' ἐμοῦ προσειρήσεται; καὶ διδάξομαι αὐτόν, ὁπόσα οἶδα. δοκεῖ δή μοι πρῶτον μὲν εὔξασθαι τοῖς θεοῖς, δι' οὓς ταῦτα ἐπὶ νοῦν ἦλθεν ὑμῖν τε κἀκείνοις, ἔπειθ' ἡγεμόνας αὐτοὺς ποιεῖσθαι, θεῶν γὰρ χωρὶς οὐδ' ἐν ἄλλῳ ἐσμέν. παριτητέα ἐς πόλιν, ἢ τοσούτων τῆς οἰκουμένης μερῶν ἄρχει· πῶς οὖν ἂν παρέλθοι τις, εἰ μὴ ἐκεῖνοι ἡγοῖντο; καὶ ταῦτα τυραννίδος ἐν αὐτῇ καθεστηκυίας οὕτω χαλεπῆς, ὡς μὴ ἐξεῖναι σοφοῖς εἶναι. ἀνόητόν τε μηδενὶ δοκείτω τὸ θαρσεῖν ὁδόν, ἣν πολλοὶ τῶν φιλοσόφων φεύγουσιν. ἐγὼ γὰρ πρῶτον μὲν οὐδὲν ἂν ἡγοῦμαι φοβερὸν οὕτω γενέσθαι τῶν κατ' ἀνθρώπους, ὡς ἐκπλαγῆναί ποτε ὑπ' αὐτοῦ τὸν σοφόν, εἶτ' οὐδ' ἂν προσθείην ἀνδρὶ τὰς μελέτας, ἐὰν μὴ μετὰ κινδύνων γίγνοιντο. καὶ ἄλλως ἐπελθὼν γῆν, ὅσην οὔπω τις ἀνθρώπων, θηρία μὲν Ἀράβιά τε καὶ Ἰνδικὰ πάμπολλα εἶδον, τὸ δὲ θηρίον τοῦτο, ὃ καλοῦσιν οἱ πολλοὶ τύραννον, οὔτε ὁπόσαι κεφαλαὶ αὐτῷ, οἶδα, οὔτε εἰ γαμψώνυχόν τε καὶ καρχαρύδουν ἐστί. καίτοι πολιτικὸν μὲν εἶναι τὸ θηρίον τοῦτο λέγεται καὶ τὰ μέσα τῶν πόλεων οἰκεῖν, τοσούτῳ δὲ ἀγριώτερον διάκειται τῶν ὀρεινῶν τε καὶ ὑλαίων, ὅσῳ λέοντες μὲν καὶ παρδάλεις ἐνίοτε κολακευόμενοι ἡμεροῦνται καὶ μεταβάλλουσι τοῦ ἤθους, τουτὶ δὲ ὑπὸ τῶν κα- 179 ταψηχόντων ἐπαιρόμενον ἀγριώτερον αὑτοῦ γίγνεται καὶ λαφύσσει πάντα. περὶ μέν γε θηρίων οὐκ ἂν εἴποις, ὅτι τὰς μητέρας ποτὲ τὰς αὑτῶν ἐδαίσαντο, Νέρων δὲ ἐμπεφόρηται τῆς βορᾶς ταύτης. εἰ δὲ καὶ ταῦτα γέγονεν ἐπ' Ὀρέστῃ καὶ Ἀλκμαίωνι, ἀλλ' ἐκείνοις σχῆμα τοῦ ἔργου πατέρες ἦσαν ὁ μὲν ἀποθανὼν ὑπὸ τῆς ἑαυτοῦ γυναικός, ὁ δὲ ὅρμου πραθείς, οὗτοσι δὲ καὶ ἐσποιηθεὶς ὑπὸ τῆς μητρὸς γέροντι βασιλεῖ καὶ κληρονομήσας τὸ ἄρχειν ναναγίῳ τὴν μητέρα ἀπέκτεινε πλοῖον ἐπ' αὐτῇ ξυνθείς, ὑφ' οὗ ἀπώλετο πρὸς τῇ γῇ. εἰ δὲ ἐκ τούτων φοβερόν τις ἡγεῖται Νέρωνα καὶ διὰ τοῦτο ἀποπηδᾷ φιλοσοφίας οὐκ ἀσφαλὲς αὐτῷ νομίζων τὸ ἀπὸ θυμοῦ τι αὐτῷ πράττειν, ἴστω τὸ μὲν φοβερὸν ἐκείνοις ὑπάρχον, ὅσοι περ ἂν σωφροσύνης τε καὶ σοφίας ἅπτωνται, τούτοις γὰρ καὶ τὰ παρὰ τῶν θεῶν εὖ ἔχει, τὰ δὲ τῶν ὑβριζόντων ὕθλον ἡγείσθω, καθὰ καὶ τὰ τῶν μεμεθυσμένων. καὶ γὰρ δὴ κἀκείνους γε ἠλιθίους μὲν ἡγούμεθα, φοβεροὺς δὲ οὔ. ἴωμεν οὖν ἐς τὴν Ῥώμην, εἴγε ἐρρώμεθα, πρὸς γὰρ τὰ Νέρωνος κηρύγματα, δι' ὧν ἐξείργει φιλοσοφίαν, ἔστιν ἡμῖν τὸ τοῦ Σοφοκλέους

οὐ γάρ τί μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,

οὐδὲ Μοῦσαι καὶ Ἀπόλλων λόγιος. εἰκὸς δὲ καὶ αὐτὸν Νέρωνα γιγνώσκειν τὰ ἰαμβεῖα ταῦτα, τραγῳδία, ὥς φασι, χαίροντα." ἐνταῦθά τις τὸ Ὁμήρου ἐνθυμηθείς, ὡς, ἐπειδὰν ὁ λόγος ἁρμόσῃ

1. ὧν M. 2, a. ib. Διοσκουρίδης. p. 5. οὐ λοιδορήσομαι om. fc, a. 8. ἡμῖν. v. 9. ὧν γὰρ. C, E. θεῶν γὰρ. J ep. cr. 11. ib. οὐδ' ἐν ἄλλῳ. π. οὐδὲν ἄλλο. p. 2, E. 11. μὴ δὲ εἶναι. a et m. γρ. ib. ἀνόητόν γε. f, l. 12. μηδενὶ. C. μηδὲν. fc, E. 13. οὕτως. f. 14. προσθείην. 1. προσθείη. 2, E. ib. γίγνοιντο. 1, v. γίγνοιτο. f, l, s, E. 15. μὲν. π, m, o. μὲν γὰρ. p, 2, a et m. γρ. 17 μὲν om. v. ib. εἶναι om. 2, E. (m. γρ. μὲν εἶναι.) ib. τοῦτο λέγεται. 1. λέγεται. 2, E. 18. τοσοῦτον. π. 19. παρδάλεις. 2. ib. καταψηχόντων. 1, l. (p. in mg. γρ. καταψώντων· καταψηκόντων. f. καταψυχόντων. v, s, a, m. καταψώντων. o. 20. φυλάσσει. p. ib. περὶ μὲν – ἄρχειν. Φ. (333, B. 8.) ib. γὰρ θηρίων. ΦA, B. τε θηρίων. v, l. 21. ποτὲ τὰς om. Φ. ib. ταύτης ἐπ' Ὀρ. Φ. mediis omissis. 23. οὗτος. Φ. ib. καὶ om. π, v. 24. ἀπέκτεινε. 1, o. ἀπέκτονε. 2, a, m. 26. αὐτὸ. p. αὐτῶν. a, m. αὐτῷ. o. 27. ἐκείνοις ὑπάρχον. π et m. γρ. ἐκείνοις οὐχ ὑπάρχον. p, 2, E. ib. ἅπτωνται. π, s, l. ἅπτονται. p, f, v, E. 28. ἔχοι. p. ib. καθὰ καὶ τὰ. π. καθάπερ τὰ. p, 2, E. ib. μεθυσμένων. v. 29. κἀκείνους γε. 1, o. κἀκείνους. 2. a, m. 30. ἐξείργοι. E. ib. Σοφοκλέους ἐλεγεῖον. C. (fc.) Σοφ. ἰαμβεῖον. E, quod delevi. 32. τὰ δὲ. m, o. 33. τραγῳδίαις. p. 34. τὸ Ὁμήρου. p, s, a: τοῦ Ὁμ. π, f, v, l, m. τὸ τοῦ Ὁμ. o.

πολεμικοὺς ἄνδρας, μία μὲν κόρυς γίγνονται, μία δὲ ἀσπίς, εὑρεῖν ἄν μοι δοκεῖ αὐτὸ τοῦτο καὶ περὶ τούσδε τοὺς ἄνδρας γενόμενον· ὑπὸ γὰρ τῶν τοῦ Ἀπολλωνίου λόγων ξυγκροτηθέντες ἀποθνήσκειν τε ὑπὲρ φιλοσοφίας ἔρρωντο καὶ βελτίους τῶν ἀποδράντων φαίνεσθαι.

XXXIX Προσῆσαν μὲν οὖν ταῖς πύλαις, οἱ δὲ ἐφεστῶτες οὐδὲν ἠρώτων, ἀλλὰ περιήθρουν τὸ σχῆμα
180 καὶ ἐθαύμαζον· ὁ γὰρ τρόπος ἱερὸς ἐδόκει καὶ οὐδὲν ἐοικὼς τοῖς ἀγείρουσι, καταλύουσι δ' αὐτοὶς ἐν πανδοχείῳ περὶ τὰς πύλας καὶ δεῖπνον αἱρουμένοις, ἐπειδὴ καιρὸς ἑσπέρας ἤδη ἐτύγχανεν, ἐπὶ κῶμον ἔρχεται μεθύων ἄνθρωπος οὐκ ἀγλευκῶς τῆς φωνῆς ἔχων, περιήει δὲ ἄρα κύκλῳ τὴν Ῥώμην ᾄδων τὰ τοῦ Νέρωνος μέλη καὶ μεμισθωμένος τοῦτο, τὸν δὲ ἀμελῶς ἀκούσαντα ἢ μὴ καταβαλόντα μισθὸν τῆς ἀκροάσεως ξυνεκεχώρητο αὐτῷ καὶ ἀπάγειν ὡς ἀσεβοῦντα. ἦν δὲ αὐτῷ καὶ κιθάρα καὶ ἡ πρόσφορος τῷ κιθαρίζειν σκευὴ πᾶσα, καί τινα καὶ νευρὰν τῶν ἐφαψαμένων τε καὶ προεντεταμένων ἀποκειμένην ἐν κοιτίδι εἶχεν, ἣν ἔφασκεν ἐκ τῆς Νέρωνος ἐωνῆσθαι κιθάρας δυοῖν μναῖν καὶ ἀποδώσεσθαι αὐτὴν οὐδενί, ἢν μὴ κιθαρῳδὸς ᾖ τῶν ἀρίστων τε καὶ ἀγωνιουμένων Πυθοῖ. ἀναβαλόμενος οὖν, ὅπως εἰώθει, καὶ βραχὺν διεξελθὼν ὕμνον τοῦ Νέρωνος ἐπῆγε μέλη τὰ μὲν ἐξ Ὀρεστείας, τὰ δὲ ἐξ Ἀντιγόνης, τὰ δ' ὁπόθεν γοῦν τῶν τραγῳδουμένων αὐτῷ, καὶ ᾠδὰς ἔκαμπτεν, ὁπόσας Νέρων ἐλύγιξέ τε καὶ κακῶς ἔστρεφεν. ἀργότερον δὲ ἀκροωμένων ὁ μὲν ἀσεβεῖσθαι Νέρωνα ὑπ' αὐτῶν ἔφασκε καὶ πολεμίους τῆς θείας φωνῆς εἶναι, οἱ δὲ οὐ προσεῖχον. ἐρομένου δὲ τοῦ Μενίππου τὸν Ἀπολλώνιον, πῶς ἀκούοι λέγοντος ταῦτα, „πῶς" ἔφη „ἢ ὡς ὅτι ἥδεν; ἡμεῖς μέντοι, ὦ Μένιππε, μὴ παροξυνώμεθα πρὸς ταῦτα, ἀλλὰ τὸν μισθὸν τῆς ἐπιδείξεως δόντες ἐάσωμεν αὐτὸν θύειν ταῖς Νέρωνος Μούσαις."

XL Τοῦτο μὲν δὴ ἐπὶ τοσοῦτον ἐπαρῳνήθη. ἅμα δὲ τῇ ἡμέρᾳ Τελεσῖνος ὁ ἕτερος τῶν ὑπάτων καλέσας τὸν Ἀπολλώνιον „τί" ἔφη „τὸ σχῆμα"; ὁ δὲ „καθαρὸν" εἶπε „καὶ ἀπ' οὐδενὸς θνητοῦ".
181 „τίς δὲ ἡ σοφία;" „θειασμὸς" ἔφη „καὶ ὡς ἄν τις θεοῖς εὔχοιτο καὶ θύοι". „ἔστι δέ τις, ὦ φιλόσοφε, ὃς ἀγνοεῖ ταῦτα;" „πολλοί," εἶπεν „εἰ δὲ καὶ ὀρθῶς τις ἐπίσταται ταῦτα, πολλῷ γένοιτ' ἂν αὐτοῦ βελτίων ἀκούσας σοφωτέρου ἀνδρός, ὅτι, ἃ οἶδεν, εὖ οἶδεν." ταῦτα ἀκούοντα τὸν Τελεσῖνον, καὶ γὰρ ἐτύγχανεν ὑποθεραπεύων τὸ θεῖον, ἐσῆλθεν ὁ ἀνὴρ δι' ἃ πάλαι περὶ αὐτοῦ ἤκουε καὶ τὸ μὲν ὄνομα οὐκ ᾤετο δεῖν ἐς τὸ φανερὸν ἐρωτᾶν, μή τιν' ἔτι λανθάνειν βούλοιτο, ἐπανῆγε δὲ αὐτὸν πάλιν ἐς τὸν λόγον τὸν περὶ τοῦ θείου, καὶ γὰρ πρὸς διάλεξιν ἐπιτηδείως εἶχε, καὶ ὡς σοφῷ γε εἶπε „τί εὖχῃ προσιὼν τοῖς βωμοῖς"; „ἔγωγε" ἔφη „δικαιοσύνην εἶναι νόμους μὴ καταλύεσθαι πένεσθαι τοὺς σοφούς, τοὺς δὲ ἄλλους πλουτεῖν μέν, ἀδόλως δέ." „εἶτα" εἶπε „τοσαῦτα αἰτῶν οἴει τεύξεσθαι"; „νὴ Δί'," εἶπε „ξυνείρω γὰρ τὰ πάντα ἐς εὐχὴν μίαν καὶ προσιὼν τοῖς βωμοῖς ὧδε εὔχομαι· ὦ θεοί, δοίητέ μοι τὰ ὀφειλόμενα· εἰ μὲν δὴ τῶν χρηστῶν εἰμι ἀνθρώπων, τεύξομαι πλειόνων ἢ εἶπον, εἰ δὲ ἐν τοῖς φαύλοις με οἱ θεοὶ τάττουσι, τἀναντία μοι παρ' αὐτῶν

1. δοκῇ. p. 2. γενόμενον l. γιγνόμενον. 2, E. 3. ὑπὸ φιλ. π, v.
4. προσῆκαν. v. ib. μὲν om. m, o. ib. οὐδὲ. l. 5. Σ. v. ἀγείρειν· ὁ γὰρ τρόπος ἱερὸς ἦν – ἀγείρουσι. 6. ἐπὶ πανδ. π, m. γρ. ἐν πανδοχείῳ. p, 2, E. ib. ἐπειδὲ. v. ib. ἐπὶ κῶμον – ἔχων. Φ. (333, b, 14.) 7. οὐκ ἀγλευκῶς l, v, et f, l, s. sed mg. f: γρ. οὐκ ἀγροικῶς, mg. s: οὐκ ἀγροικικῶς, unde οὐκ ἀγροικικῶς E. γρ. ἀγλυκῶς. ω. ἀγροίκως. m. mg. οὐκ ἀγλύκω. ΦΛ. cett.: οὐκ ἀγλύκως. 9. συγκεχώρητο. p. συνεκεχώρητο. 2. ξυνεκεχώρητο. π, l, a. m. ξυνκεχώρηται. o. 11. προεντεταγμένων. 2, a et m. γρ. ib. ἀποκειμένην om. l. ib. κυντίδι. π. et m. γρ. κυτίδι. p. ib. ἐωνεῖσθαι. f, v, l. 12. ἀποδόσεσθαι. v. 13. Σ. v. ἀναβάλλομαι· ἀναβαλόμενος – εἰώθει βραχὺν διεξῆλθει ὕμνον. idem Ζων. v. ἀναβαλόμενος.) ἀναβαλλόμενος. C, E. ib. βραχὺ. l. 14. Ὀρεστίας. p, 2. ib. γοῦν τῶν om. m. ib. Σ. v. κάμπτω· ᾠδὰς ἔκαμπτεν, ὁπόσας ὁ Ν. – καὶ ἔστρεφεν. id. v. λυγίζειν: ὁ δὲ ἔκαμπτεν ᾠδὰς ὁπ. – ἔστρεφεν. ead. var. 15. ἔτρεφεν. v. 17. ἀκούει. v. ib. ὡς γε ἥδεν. s, a, m.
20. ἐπὶ om. m, o. 21. ἐπ'. v. ib. εἶπε. v. 24. αὐτοῦ. l, s, a. ib. ἀκούοντα. l. ἀκούσαντα. 2, E. 25. ἤκουε. 1. ἤκουσε. 2, E. 26. τι . s a sec. m. τι. π. ib. ἐπανήγαγε. p. 29. ἀδήλως. v. 30. νὴ Δία – εἰμι ἀνθρώπων om. l. 32. ἢ om. v.

IV, 39. 40. p. 180. 181.

ἥξει καὶ οὐ μέμψομαι τοὺς θεούς, εἰ κακῶν ἀξιοῦμαι μὴ χρηστὸς ὤν.“ ἐξεπέπληκτο μὲν δὴ ὁ Τελεσῖνος ὑπὸ τῶν λόγων τούτων, βουλόμενος δὲ αὐτῷ χαρίζεσθαι „φοίτα“ ἔφη „ἐς τὰ ἱερὰ πάντα, καὶ γεγράψεται παρ' ἐμοῦ πρὸς τοὺς ἱερωμένους δέχεσθαί σε καὶ διορθουμένῳ εἶκειν.“ „ἦν δὲ μὴ γράψῃς,“ ἔφη „οὐ δέξονταί με;“ „μὰ Δί',“ εἶπεν „ἐμὴ γὰρ“ ἔφη „αὕτη ἀρχή“. „χαίρω,“ ἔφη „ὅτι γενναῖος ὢν μεγάλου ἄρχεις, βουλοίμην δ' ἄν σε κἀκεῖνο περὶ ἐμοῦ εἰδέναι· ἐγὼ τῶν ἱερῶν τὰ μὴ βεβαίως κλειστὰ χαίρω οἰκῶν καὶ παραιτεῖταί με οὐδεὶς τῶν θεῶν, ἀλλὰ ποιοῦνται κοινωνὸν στέγης· ἀνείσθω δέ μοι καὶ τοῦτο, καὶ γὰρ οἱ βάρβαροι ξυνεχώρουν αὐτό.“ καὶ ὁ Τελεσῖνος „μέγα“ ἔφη „Ῥωμαίων ἐγκώμιον οἱ βάρβαροι προὔλαβον, τοῦτ' γὰρ ἐβουλόμην ἂν καὶ περὶ ἡμῶν λέγεσθαι.“ ὥκει μὲν δὴ ἐν τοῖς ἱεροῖς ἐναλλάττων αὐτὰ καὶ μεθιστάμενος ἐξ ἄλλου ἐς ἄλλο, αἰτίαν δὲ ἐπὶ τούτῳ ἔχων „οὐδὲ οἱ θεοὶ“ ἔφη „πάντα τὸν χρόνον ἐν τῷ οὐρανῷ οἰκοῦσιν, ἀλλὰ πορεύονται μὲν ἐς Αἰθιοπίαν, πορεύονται δὲ ἐς Ὄλυμπόν τε καὶ Ἄθω, καὶ οἶμαι ἄτοπον τοὺς μὲν θεοὺς τὰ τῶν ἀνθρώπων ἔθνη περινοστεῖν πάντα, τοὺς δὲ ἀνθρώπους μὴ τοῖς θεοῖς ἐπιφοιτᾶν πᾶσι. καίτοι δεσπόται μὲν ὑπερορῶντες δούλων οὕπω αἰτίαν ἔξουσιν, ἴσως γὰρ ἂν καταφρονοῖεν αὐτῶν, ὡς μὴ σπουδαίων, δοῦλοι δὲ μὴ πάντως τοὺς αὑτῶν δεσπότας θεραπεύοντες ἀπόλοιντο ἂν ὑπ' αὐτῶν ὡς κατάρατοί τε καὶ θεοῖς ἐχθρὰ ἀνδράποδα. 182

Διαλεγομένου δὲ αὐτοῦ περὶ τὰ ἱερὰ οἱ θεοὶ ἐθεραπεύοντο μᾶλλον καὶ ξυνήεσαν οἱ ἄνθρωποι ἐς ταῦτα, ὡς τὰ ἀγαθὰ πλείω παρὰ τῶν θεῶν ἕξοντες, καὶ οὕπω διεβάλλοντο αἱ ξυνουσίαι τοῦ ἀνδρὸς διὰ τὸ σπουδάζεσθαί τε δημοσίᾳ λέγεσθαί τε ἐς πάντας, οὐδὲ γὰρ θύραις ἐπεπόλαζεν, οὐδὲ ἐτρίβετο περὶ τοὺς δυνατούς, ἀλλ' ἠσπάζετο μὲν ἐπιφοιτῶντας, διελέγετο δὲ αὐτοῖς ὁπόσα καὶ τῷ δήμῳ. ἐπεὶ δὲ ὁ Δημήτριος διατεθεὶς πρὸς αὐτόν, ὡς ἐν τοῖς Κορινθιακοῖς λόγοις εἴρηκα, παραγενόμενος ἐς τὴν Ῥώμην ὕστερον ἐθεράπευε μὲν τὸν Ἀπολλώνιον, ἐπηφίει δ' αὐτὸν τῷ Νέρωνι, τέχνῃ τεῦτα ὑπωπτεύθη τοῦ ἀνδρὸς καὶ τὸν Δημήτριον αὐτὸς ἐδόκει καθεικέναι ἐς αὐτά, καὶ πολὺ μᾶλλον, ὁπότε γυμνάσιον μὲν ἐξεποιήθη τῷ Νέρωνι θαυμασιώτατον τῶν ἐκεῖ, λευκὴν δ' ἔθυον ἐν αὐτῷ ἡμέραν Νέρων τε αὐτὸς καὶ ἡ βουλὴ ἡ μεγάλη καὶ τὸ ἱππεῦον τῆς Ῥώμης, παρελθὼν δὲ ὁ Δημήτριος ἐς αὐτὸ τὸ γυμνάσιον διεξῆλθε λόγον κατὰ τῶν λουομένων, ὡς ἐκλελυμένων τε καὶ αὐτοὺς χραινόντων, καὶ ἐδείκνυεν, ὅτι περιττὸν ἀνάλωμα εἴη τὰ τοιαῦτα, ἐφ' οἷς ξυνήρατο μὲν αὐτῷ μὴ ἀποθανεῖν αὐτίκα τὸ τὸν Νέρωνα εὐφωνότατα ἑαυτοῦ κατὰ τὴν ἡμέραν ἐκείνην ᾄδειν — ᾔδε δὲ ἐν καπηλείῳ πεποιημένῳ ἐς τὸ γυμνάσιον διάζωμα ἔχων γυμνός, ὥσπερ τῶν καπήλων οἱ ἀσελγέστατοι — οὐ μὴν διέφυγεν ὁ Δημήτριος τὸ ἐφ' οἷς εἶπε κινδυνεῦσαι, Τιγελλῖνος γάρ, ὑφ' ᾧ τὸ ξίφος ἦν τοῦ Νέρωνος, ἀπήλαυνεν αὐτὸν τῆς Ῥώμης, ὡς τὸ βαλανεῖον κατασκάψαντα οἷς εἶπε, τὸν δ' Ἀπολλώνιον ἀφανῶς ἀνίχνευεν, ὁπότε καὶ αὐτὸς ἐπιλήψιμόν τι καὶ παραβεβλημένον εἴποι. ὁ δ' οὔτε καταγελῶν φανερὸς ἦν οὔτ' αὖ πεφροντικώς, ὥσπερ οἱ φυλαττόμενοί τινα κίνδυνον, ἀλλ' ἀποχρώντως περὶ τῶν προκειμένων διελέγετο ξυμφιλοσοφοῦντος αὐτῷ τοῦ Τελεσίνου καὶ ἑτέρων ἀνδρῶν, οἳ καίτοι φιλοσοφίας ἐπικινδύνως πραττούσης οὐκ ἂν ᾤοντο κινδυνεῦσαι ξὺν ἐκείνῳ σπουδάζοντες. ὑπωπτεύετο δέ, ὡς ἔφην, καὶ πολὺ μᾶλλον ἐφ' οἷς καὶ περὶ τῆς διοσημίας εἶπε· γενομένης γάρ ποτε ἐκλείψεως ἡλίου καὶ βροντῆς ἐκδοθείσης, ὅπερ ἥκιστα ἐν ἐκλείψει δοκεῖ ξυμβαίνειν, ἀναβλέψας ἐς τὸν οὐρανὸν „ἔσται τι“ ἔφη „μέγα καὶ οὐκ ἔσται.“ ξυμβαλεῖν μὲν δὴ τὸ XLI XLII 183 XLIII

1. καὶ κακῶν. o. ib. κατῶν. p. ib. ἤδη ὁ. p. 4. εἶπε. E. ib. χαίρων. a, m. 5. μεγάλων. v. 6. μὲν. a. ib. ποιοῦντες. v. 7. μοι κἀνταῦθα. J ad Vers. germ. 9. ἐώκει. v. 10. ἔφη om. v. ib. τὸν χρόνον om. s. 18. οὐ γὰρ. s, a. 19. περὶ τὸ φῶς καὶ περὶ τοὺς δυνατούς. 2, E. 20. ὡς. s a sec. m. 21. ἐν τῇ Ῥώμῃ. v. ib. αὐτὸν. π, l, E. 22. καθηκέναι. v. 23. μὲν γυμνάσιον. p. ib. γυμνάσια. v. 25. ἐς om. v. ib. τῶν om. s, a. ib. αὐτοὺς. a. 26. αὐτῷ. om. l. Fo: αὐτῷ τοῦ μὴ ἀ. 27. τὸ Νέρωνα. l, s, ubi fuerat τὸν N. et a. τὸν N. v. 28. διάζωσμα. v. 29. τιγαλλῖνος. a. τιγιλλῖνος f, l, et o. ib. ὑφ' ᾧ. l, f, v et m. γρ. ἐφ' ᾧ. s, E. 30. αὐτὸ. m. 31. τολμηρὸν κινδυνώδες ἐπιλήψιμον. p ib. παραβεβλημένον. f. παραβεβλαμμένον. r. 35. ἔφη. f et s. ante corr. al. m. 36. ἐκλήψεως. v. et sic infra. 37. μὲν γὰρ p.

IV. 41. 42. 43. p. 182. 183.

εἰρημένον οὔπω εἶχον οἱ παρατυχόντες τῷ λόγῳ, τρίτῃ δ' ἀπὸ τῆς ἐκλείψεως ἡμέρᾳ ξυνῆκαν τοῦ λόγου πάντες· σιτουμένου γὰρ τοῦ Νέρωνος ἐμπεσὼν τῇ τραπέζῃ σκηπτὸς διήλασε τῆς κύλικος ἐν χεροῖν οὔσης καὶ οὐ πολὺ ἀπεχούσης τοῦ στόματος· τὸ δὴ παρὰ τοσοῦτον ἐλθεῖν τοῦ βληθῆναι αὐτὸν πεπράξεσθαί τι εἶπε καὶ μὴ πεπράξεσθαι. ἀκούσας δὲ Τιγελλῖνος τὸν λόγον τοῦτον ἐς δίος ἀφίκετο τοῦ ἀνδρός, ὡς σοφοῦ τὰ δαιμόνια, καὶ ἐς ἐγκλήματα μὲν φανερὰ καθίστασθαι πρὸς αὐ-
185 τὸν οὐκ ᾤετο δεῖν, ὡς μὴ κακόν τι ἀφανὲς ὑπ' αὐτοῦ λάβοι, διαλεγόμενον δὲ καὶ σιωπῶντα καὶ καθήμενον καὶ βαδίζοντα καὶ ὅ τι φάγοι καὶ παρ' ὅτου καὶ εἰ ἔθυσεν ἢ μὴ ἔθυσε, περιήθρει πᾶσιν ὀφθαλμοῖς, ὁπόσοις ἡ ἀρχὴ βλέπει.

XLIV Ἐμπεσόντος δὲ ἐν Ῥώμῃ νοσήματος, ὃ κατάρρουν οἱ ἰατροὶ ὀνομάζουσιν, ἀνίστανται δὲ ἅρα ὑπ' αὐτοῦ βῆχες καὶ ἡ φωνὴ τοῖς λαλοῦσι πονήρως ἔχει, τὰ μὲν ἱερὰ πλέα ἦν ἱκετευόντων τοὺς θεούς, ἐπεὶ διῳδήκει τὴν φάρυγγα Νέρων καὶ μελαίνῃ τῇ φωνῇ ἐχρῆτο, ὁ δὲ Ἀπολλώνιος ἐρρήγνυτο μὲν πρὸς τὴν τῶν πολλῶν ἄνοιαν, ἐπέπληττε δὲ οὐδενί, ἀλλὰ καὶ τὸν Μένιππον παροξυνόμενον ὑπὸ τῶν τοιούτων ἐσωφρόνιζέ τε καὶ κατεῖχε ξυγγιγνώσκειν κελεύων τοῖς θεοῖς, εἰ μίμοις γελοίοις χαίρουσιν, ἀπαγγελθέντος δὲ τῷ Τιγελλίνῳ τοῦ λόγου τούτου, πέμπει τοὺς ἄξοντας αὐτὸν ἐς τὸ δικαστήριον, ὡς ἀπολογήσαιτο μὴ ἀσεβεῖν ἐς Νέρωνα, παρεσκεύαστο δὲ καὶ κατήγορος ἐπ' αὐτὸν πολλοὺς ἀπολωλεκὼς ἤδη καὶ τοιούτων Ὀλυμπιάδων μεστός, καί τι καὶ γραμματεῖον εἶχεν ἐν ταῖν χεροῖν γεγραμμένον τὸ ἔγκλημα, καὶ τοῦτο ὥσπερ ξίφος ἀνασείων ἐπὶ τὸν ἄνδρα ἠκονῆσθαί τε αὐτὸ ἔλεγε καὶ ἀπολεῖν αὐτόν. ἐπεὶ δὲ ἀνελίττων Τιγελλῖνος τὸ γραμματεῖον γραμμῆς μὲν ἴχνος ἐν αὐτῷ οὐχ εὗρεν, ἀσήμῳ δέ τινι βιβλίῳ ἐνέτυχεν, ἐς ἔννοιαν ἀπηνέχθη δαίμονος. τοῦτο δὲ καὶ Δομετιανὸς ὕστερον πρὸς αὐτὸν λέγεται παθεῖν. ἀπολαβὼν οὖν τὸν Ἀπολλώνιον ἤνεγκεν ἐς τὸ ἀπόρρητον δικαστήριον, ἐν ᾧ περὶ τῶν μεγίστων ἡ ἀρχὴ αὕτη ἀφανῶς δικάζει, καὶ μεταστησάμενος πάντας ἐνέκειτο ἐρωτῶν, ὅστις εἴη, ὁ δὲ Ἀπολλώνιος πατρός τε ἐμέμνητο καὶ πατρίδος καὶ ἐφ' ὅ τι τῇ σοφίᾳ χρῷτο, ἔφασκέ τε αὐτῇ χρῆσθαι ἐπί τε τῷ θεοὺς γιγνώσκειν ἐπί τε τῷ ἀνδρῶν ξυνιέναι, τοῦ γὰρ ἑαυτὸν γνῶναι χαλεπώτερον εἶναι τὸ ἄλλον γνῶναι. „τοὺς δαίμονας," εἶπεν „ὦ Ἀπολ-
186 λώνιε, καὶ τὰς τῶν εἰδώλων φαντασίας πῶς ἐλέγχεις;" „ὥς γε" ἔφη „τοὺς μιαιφόνους τε καὶ ἀσεβεῖς ἀνθρώπους." ταυτὶ δὲ πρὸς τὸν Τιγελλῖνον ἀποσκώπτων ἔλεγεν, ἐπειδὴ πάσης ὠμότητός τε καὶ ἀσελγείας διδάσκαλος ἦν τῷ Νέρωνι. „μαντεύσαιο δ' ἄν" ἔφη „δεηθέντι μοι"; „πῶς" εἶπεν „ὅ γε μὴ μάντις ὤν"; „καὶ μὴν σὲ" ἔφη „φασὶν εἶναι τὸν εἰπόντα ἔσεσθαί τι μέγα καὶ οὐκ ἔσεσθαι". „ἀληθῶς" εἶπεν „ἤκουσας, τοῦτο δὲ μὴ μαντικῇ προστίθει, σοφίᾳ δὲ μᾶλλον, ἣν θεὸς φαίνει σοφοῖς ἀνδράσιν." „Νέρωνα δὲ" ἔφη „διὰ τί οὐ δέδοικας"; „ὅτι" εἶπεν „ὁ θεὸς ὁ παρέχων ἐκείνῳ φοβερῷ δοκεῖν κἀμοὶ δέδωκεν ἀφόβῳ εἶναι". „φρονεῖς δὲ πῶς" εἶπε „περὶ Νέρωνος"; ὁ δὲ Ἀπολλώνιος „βέλτιον" εἶπεν „ἢ ὑμεῖς· ὑμεῖς γὰρ ἡγεῖσθε αὐτὸν ἄξιον τοῦ ᾄδειν, ἐγὼ δὲ ἄξιον τοῦ σιωπᾶν." ἐκπλαγεὶς οὖν ὁ Τιγελλῖνος „ἄπιθι" ἔφη „καταστήσας ἐγγυητὰς τοῦ σώματος". ὁ δὲ Ἀπολλώνιος „καὶ τίς" εἶπεν „ἐγγυήσεται σῶμα, ὃ μηδεὶς δήσει"; ἔδοξε τῷ Τιγελ-
λίνῳ ταῦτα δαιμόνιά τε εἶναι καὶ πρόσω ἀνθρώπου, καὶ ὥσπερ θεομαχεῖν φυλαττόμενος, „χώρει", ἔφη „οἷ βούλει, σὺ γὰρ κρείττων ἢ ὑπ' ἐμοῦ ἄρχεσθαι."

1. τοῦ λόγον. 1. τοῦ λογίου. 2, E. 3. περὶ τοσοῦτον. m. 4. πεπράξασθαι. π et sic statim. ib Τιγιλλῖνος. 1, f. 7. περιήρθη – βλέπει. Φ (333, b, 16.) et ταῦτα περιήθρει – βλέπει. h.

10. ὑπ' αὐτοῦ. 1, f, v. ἀπ' αὐτοῦ. l, s, E. ib. ἐν τοῖς. v. 11. ἐπεὶ δὲ. v. 12. ἄγνοιαν. f, v. 13. καὶ συγγ. v. 14. ἀπαγγελθέντες. m. ἐπαγγελθέντος. o. ib. Τιγιλλίνῳ. 1, f. ib. τοῦ λόγου τούτου. C. τούτου τοῦ λόγου. fc, E. 15. ὡς om. v. ib. ἐπ' αὐτὸν π et m. ἑαυτὸν. v. ἐς αὐτὸν. p, f, l, s, a, o in m. γρ. ἐς αὐτὸν. 16. μεστὸς ὤν. h. ib. εἶχεν αὐταῖν. 2, a. 22. ἐφ' ὅ τι. 1. ἐφ' ὅτῳ. 2, E. 23. τῇ σοφίᾳ. 1, f, v, l. τῇ φιλοσοφίᾳ. s, E. ib. τῷ ἀνδρῶν. 1. τῷ τῶν ἀνδρῶν. 2, E. Fo: τῷ ἀνθρώπων. 24 χαλεπώτερον. 1 ex corr. et o. χαλεπότατον. f. χαλεπώτατον. l, v, s. a m. ib. τὸ γὰρ – τοῦ ἄλλον. C., E. Sc.: τοῦ γὰρ ἑ. γν. χαλεπώτερον εἶναι τὸ ἀ. γν. ib. δαιμόνων. v. 26. Τιγιλλῖνον l, f, et sic infra. ib. τε καὶ 1, v. καὶ. f, l, s, E. 27. ἀσεβείας. p. 28. καὶ μὴν σὶ. π. καὶ μὴν καὶ σὲ. p, 2. E 29. μὴ om. m. ib. καὶ θεὸς. p. 31. δήσῃ. π.

Κἀκεῖνο Ἀπολλωνίου θαῦμα· κόρη ἐν ὥρᾳ γάμου τεθνάναι ἐδόκει καὶ ὁ νυμφίος ἠκολούθει XLV
τῇ κλίνῃ βοῶν ὁπόσα ἐπ' ἀτελεῖ γάμῳ, ξυνωλοφύρετο δὲ καὶ ἡ Ῥώμη, καὶ γὰρ ἐτύγχανεν οἰκίας
ἡ κόρη τελούσης ἐς ὑπάτους. παρατυχὼν οὖν ὁ Ἀπολλώνιος τῷ πάθει „κατάθεσθε" ἔφη „τὴν
κλίνην, ἐγὼ γὰρ ὑμᾶς τῶν ἐπὶ τῇ κόρῃ δακρύων παύσω." καὶ ἅμα ἤρετο, ὅ τι ὄνομα αὐτῇ εἴη. οἱ
μὲν δὴ πολλοὶ ᾤοντο λόγου ἀγορεύσειν αὐτόν, οἷοι τῶν λόγων οἱ ἐπικήδειοί τε καὶ τὰς ὀλοφύρσεις
ἐγείροντες, ὁ δὲ οὐδὲν ἀλλ' ἢ προσαψάμενος αὐτῆς καί τι ἀφανῶς ἐπειπὼν ἀφύπνισε τὴν κόρην
τοῦ δοκοῦντος θανάτου, καὶ φωνήν τε ἡ παῖς ἀφῆκεν ἐπανῆλθέ τε ἐς τὴν οἰκίαν τοῦ πατρός,
ὥσπερ ἡ Ἄλκηστις ὑπὸ τοῦ Ἡρακλείους ἀναβιωθεῖσα. δωρουμένων δὲ αὐτῷ τῶν ξυγγενῶν τῆς κόρης
μυριάδας δεκαπέντε φερνὴν ἔφη ἐπιδιδόναι αὐτὰς τῇ παιδί. καὶ εἴτε σπινθῆρα τῆς ψυχῆς εὗρεν ἐν
αὐτῇ, ὃς ἐλελήθει τοὺς θεραπεύοντας — λέγεται γάρ, ὡς ψεκάζοι μὲν ὁ Ζεύς, ἡ δὲ ἀτμίζοι ἀπὸ 187
τοῦ προσώπου — εἴτ' ἀπεσβηκυῖαν τὴν ψυχὴν ἀνέθαλψέ τε καὶ ἀνέλαβεν, ἄρρητος ἡ κατάληψις
τούτου γέγονεν οὐκ ἐμοὶ μόνῳ, ἀλλὰ καὶ τοῖς παρατυχοῦσιν.

Ἐτύγχανε δὲ περὶ τὸν χρόνον τοῦτον καὶ Μουσώνιος κατειλημμένος ἐν τοῖς δεσμωτηρίοις τοῦ XLVI
Νέρωνος, ὃν φασι τελεώτατα ἀνθρώπων φιλοσοφῆσαι, καὶ φανερῶς μὲν οὐ διελέγοντο ἀλλήλοις
παραιτησαμένου τοῦ Μουσωνίου τοῦτο, ὡς μὴ ἄμφω κινδυνεύσειαν, ἐπιστολιμαίους δὲ τὰς ξυνου-
σίας ἐποιοῦντο φοιτῶντος ἐς τὸ δεσμωτήριον τοῦ Μενίππου καὶ τοῦ Λάμιδος. τὰς δὲ οὐχ ὑπὲρ
μεγάλων ἐπιστολὰς ἐάσαντες τὰς ἀναγκαίας παραθησόμεθα κἀξ ὧν ὑπάρχει κατιδεῖν τι μέγα.

Ἀπολλώνιος Μουσωνίῳ φιλοσόφῳ χαίρειν.

Βούλομαι παρὰ σὲ ἀφικόμενος κοινωνῆσαί σοι λόγου καὶ στέγης, ὡς τι ὀνήσαιμί σε. εἴ γε μὴ
ἀπιστεῖς, ὡς Ἡρακλῆς ποτε Θησέα ἐξ Ἅιδου ἔλυσε, γράφε, τί βούλει. ἔρρωσο.

Μουσώνιος Ἀπολλωνίῳ φιλοσόφῳ χαίρειν.

Ὧν μὲν ἐνενοήθης, ἀποκείσεταί σοι ἔπαινος, ἀνὴρ δὲ ὁ ὑπομείνας ἀπολογίαν καὶ ὡς οὐδὲν
ἀδικεῖ δείξας ἑαυτόν. ἔρρωσο.

Ἀπολλώνιος Μουσωνίῳ φιλοσόφῳ χαίρειν.

Σωκράτης Ἀθηναῖος, ὑπὸ τῶν ἑαυτοῦ φίλων λυθῆναι μὴ βουληθεὶς παρῆλθε μὲν ἐς δικαστή-
ριον, ἀπέθανε δέ. ἔρρωσο.

Μουσώνιος Ἀπολλωνίῳ φιλοσόφῳ χαίρειν.

Σωκράτης ἀπέθανεν, ἐπεὶ μὴ παρεσκεύασεν ἐς ἀπολογίαν ἑαυτόν, ἐγὼ δὲ ἀπολογήσομαι. ἔρρωσο. XLVII 188

Ἐξελαύνοντος δὲ ἐς τὴν Ἑλλάδα τοῦ Νέρωνος καὶ προκηρύξαντος δημοσίᾳ μηδένα ἐμφιλοσο-
φεῖν τῇ Ῥώμῃ τρέπεται ὁ Ἀπολλώνιος ἐπὶ τὰ ἑσπέρια τῆς γῆς, ἃ φασιν ὁρίζεσθαι ταῖς Στήλαις,
τὰς ἀμπώτεις τοῦ Ὠκεανοῦ ἐποψόμενος καὶ τὰ Γάδειρα. καὶ γάρ τι καὶ περὶ φιλοσοφίας τῶν ἐκείνῃ
ἀνθρώπων ἤκουεν, ὡς ἐς πολὺ τοῦ θείου προηκόντων, ἠκολούθησαν δὲ αὐτῷ οἱ γνώριμοι πάντες
ἐπαινοῦντες καὶ τὴν ἀποδημίαν καὶ τὸν ἄνδρα.

1. Ἀπολλωνίῳ f et s ante corr. 2. γὰρ om. 2, a, m. 3. ἀγορεύσειν. π. ἀγορεύειν. p, 2, E. ib. οἱ om. s, a, m. ib. ἐπιτηδειοι. p. 6. καί τι. 1. καί τι καὶ. 2. E. ib. τῇ κόρῃ. l, s, a et m. γρ. 8. ὡς Ἄλκηστις. m. ib. ὑπὸ om. m. 9. ἐν om. π. 10. λέγεσθαι γάρ φησιν ὡς — προσώπου. E. (452.) ib. ψακάζοι. f, l. ψακάζει. v. ib. ἀτμίζει. v. 12. μόνον. l. μόνῳ. 2, E.

14. τελειώτατον. p. 15. τοῦ Μουσωνίου om. fc, a, m. 17. καὶ ἐξ. v. ib. τι μέγα. π. μέγα. p, 2, E. 19. παρά σε. o. ib. ὥστε. a, m. ib. ὀνῆσαί μέ. a. ὠνήσαιμί. v, o. ib. εἴτε. a. 22. ὁ ὑπομείνας. π. ὑπομείνας. p, 2, E. 23. ἀδικεῖς, δείξεις. p. ib. ἑαυτόν. π et f. pr. m. ἑαυτὸν λύσει. p, 2, E. 25. οὐ παρῆλθε μὲν ἐς. 1, m, o. οὐ παρῆλθεν εἰς. 2, a. Delevi οὐ cum H. 94. 28. ἐπειδὴ. l, s, a. 30. τὰ om. o. ib. πύλαις. π et m. γρ. 31. ἀμπώτις. f, l. ἀμπότις. v. ib. περὶ om. a.

Ε΄.

I 1 Περὶ δὲ τῶν Στηλῶν, ἃς ὅρια τῆς γῆς τὸν Ἡρακλέα φασὶ πήξασθαι, τὰ μὲν μυθώδη ἐῶ, τὰ δ' ἀκοῆς τε καὶ λόγου ἄξια δηλώσω μᾶλλον· Εὐρώπης καὶ Λιβύης ἄκραι σταδίων ἑξήκοντα πορθμὸν ἐπέχουσαι τὸν Ὠκεανὸν ἐς τὰ ἔσω πελάγη φέρουσι, καὶ τὴν μὲν τῆς Λιβύης ἄκραν, ὄνομα δὲ αὐτῇ Ἄβιννα, λέοντες ὑπερνέμονται περὶ τὰς ὀφρῦς τῶν ὀρῶν, ἃ ἔσω ὑπερφαίνεται ξυνάπτουσαν πρὸς Γαιτούλους καὶ Τίγγας ἄμφω θηριώδη καὶ Λιβυκὰ ἔθνη, παρατείνει δὲ ἐσπλέοντι τὸν Ὠκεανὸν μέχρι μὲν τῶν ἐκβολῶν τοῦ Σάληκος ἐννακόσια στάδια, τὸ δὲ ἐντεῦθεν οὐκ ἂν ξυμβάλοι
189 τις ὁπόσα, μετὰ γὰρ τὸν ποταμὸν τοῦτον ἄβιος ἡ Λιβύη καὶ οὐκέτι ἄνθρωποι. τὸ δὲ τῆς Εὐρώπης ἀκρωτήριον, ὃ καλεῖται Κάλπις, δεξιὰ μὲν ἐπέχει τοῦ ἔσπλου, σταδίων ἑξακοσίων μῆκος, λήγει δὲ ἐς τὰ ἀρχαῖα Γάδειρα.

II 10 Τὰς δὲ τοῦ Ὠκεανοῦ τροπὰς καὶ αὐτὸς μὲν περὶ Κελτοὺς εἶδον, ὁποῖαι λέγονται, τὴν δὲ αἰτίαν ἐπὶ πολλὰ εἰκάζων, δι' ἣν ἄπειρον οὕτω πέλαγος ἐπιχωρεῖ τε καὶ ἀνασπᾶται, δοκῶ μοι τὸν Ἀπολλώνιον ἐπισκέψθαι τὸ ὄν. ἐν μιᾷ γὰρ τῶν πρὸς Ἰνδοὺς ἐπιστολῶν τὸν Ὠκεανόν φησιν ὑφύδροις ἐλαυνόμενον πνεύμασιν ἐκ πολλῶν χασμάτων, ἃ ὑπ' αὐτῷ τε καὶ περὶ αὐτὸν ἡ γῆ παρέχεται, χωρεῖν ἐς τὸ ἔξω καὶ ἀναχωρεῖν πάλιν, ἐπειδὰν ὥσπερ ἄσθμα ὑπονοστήσῃ τὸ πνεῦμα. πιστοῦται 15 δὲ αὐτὸ κἀκ τῶν νοσούντων περὶ Γάδειρα· τὸν γὰρ χρόνον, ὃν πλημμυρεῖ τὸ ὕδωρ, οὐκ ἀπολείπουσιν αἱ ψυχαὶ τοὺς ἀποθνήσκοντας, ὅπερ οὐκ ἂν ξυμβαίνειν, εἰ μὴ καὶ πνεῦμα τῇ γῇ ἐπεχώρει. ἃ δὲ περὶ τὴν σελήνην φασὶ φαίνεσθαι τικτομένην τε καὶ πληρουμένην καὶ φθίνουσαν, ταῦτα περὶ
III τὸν Ὠκεανὸν οἶδα, τὰ γὰρ ἐκείνης ἄνεισι μέτρα ξυμμινύθων αὐτῇ καὶ ξυμπληρούμενος. ἡμέρα δ' ἐκδέχεται νύκτα καὶ νὺξ τὴν ἡμέραν περὶ Κελτοὺς μὲν κατ' ὀλίγον ὑπαπιόντος τοῦ σκότους ἢ τοῦ 20 φωτός, ὥσπερ ἐνταῦθα, περὶ Γάδειρα δὲ καὶ Στήλας ἀθρόως λέγονται τοῖς ὀφθαλμοῖς ἐμπίπτειν, ὥσπερ αἱ ἀστραπαί, φασὶ δὲ καὶ τὰς Μακάρων νήσους ὁρίζεσθαι τῷ Λιβυκῷ τέρματι πρὸς τὸ ἀοί-
190 κητον ἀνεχούσας ἀκρωτήριον.

IV Τὰ δὲ Γάδειρα κεῖται μὲν κατὰ τὸ τῆς Εὐρώπης τέρμα, περιττοὶ δέ εἰσι τὰ θεῖα· γήρως οὐν βωμὸν ἵδρυνται καὶ τὸν θάνατον μόνοι ἀνθρώπων παιωνίζονται, βωμοὶ δὲ ἐκεῖ καὶ πενίας καὶ 25 τέχνης καὶ Ἡρακλέους Αἰγυπτίου καὶ ἕτεροι τοῦ Θηβαίου· τὸν μὲν γὰρ ἐπὶ τὴν ἐγγὺς Ἐρύθειαν ἐλάσαι φασίν, ὅτε δὴ τὸν Γηρυόνην τε καὶ τὰς βοῦς ἐλεῖν, τὸν δὲ σοφίᾳ δόντα γῆν ἀναμετρήσασθαι πᾶσαν ἐς τέρμα. καὶ μὴν καὶ Ἕλληνικοὺς εἶναί φασι τὰ Γάδειρα καὶ παιδεύεσθαι τὸν ἡμεδαπὸν τρόπον· ἀσπάζεσθαι γοῦν Ἀθηναίους Ἑλλήνων μάλιστα καὶ Μενεσθεῖ τῷ Ἀθηναίων θύειν καὶ Θεμιστοκλέα δὲ τὸν ναύμαχον σοφίας τε καὶ ἀνδρίας ἀγασθέντες χαλκοῦν ἵδρυνται καὶ ἔννουν
V 30 ὥσπερ χρησμῷ ἐφιστάντα. ἰδεῖν καὶ δένδρα φασὶν ἐνταῦθα, οἷα οὐχ ἑτέρωθι τῆς γῆς, καὶ Γηρυό-

1. τῆς γῆς om. π. 2. τε om. 2, a, m. ib. ὅτι Εὐρώπης – ἡμεδαπὸν τρόπον. Φ. (328, a, 21.) ib. σταδίων ξ' Φ. 3. ἔχουσαι. π, m. γρ. et Φ praeter A. ib. ἔξω. C, E. ἔσω. J. ad Vers. germ. ib. μὲν om. Φ. ib. τῆς om. l' s, a. 4. αὐτῆς. p, v. ib. ἃ ἔσω ὑπερφαίνονται, συνάπτουσαι. p et Φ A, B. 6. συμβάλλοι. ΦA. 8. ἢ. Φ praeter A, B.

10. Κελτοὺς, φησὶν. Φ. ib. ἰνδόν. corr. ἰδὼν. ΦA. 11. ἐπιχωρεῖται. ΦA. 12. ἐπισκέφθαι. a. ib. ἐφύδροις. π. ὑφ' ὕδροις. f. ἐφύδροις. l, s, a, m γρ. 14. ἐπειδὴ. o. 15. νήσων τῶν. ΦA pr. m. ib. περὶ τὰ Γαδ. ΦB. ib. τὸν δὲ χρόνον τοῦτον οὐκ. h. 16. καὶ om. v et Φ praeter A. 18. εἶδον. ΦB. ib. ἄνεισι. C, E. Fo: ἀνισοῖ. 19. ὑπανιόντας. ΦA, B. 21. δὲ om. 2, a, Φ. 22. ἀνεχούσης a.

23. καὶ βωμὸν. Φ praeter A. 24. ἵδρυται. f. corr. al. m. ἵδρυται. l. ib. παιωνίζονται. π. παιωνίζονται. m, o. 25. τοῦ om. Φ. 26. καὶ τὸν. Φ praeter A. ib. ὅτε δὴ. Φ praeter A. ib. σοφίαν. ΦB. ib. γῆν τε. Φ. 28. τόποι. m. ib. γ' οὖν. f. οὖν. a, m. ib. Ἀθηναίων. C, E. Fo: Ἀθηναίῳ. 29. Θεμιστοκλέα δὲ. C. Θεμιστοκλέα. E. ib. ναύμαχον. l, f, v et m. γρ. ναύαρχον. l, s, E. ib. ἀνδρίας. l. ἀνδρείας. 2, E. ib. καὶ ἔννουν – ἐφιστάντα om. π. b. καὶ ὥσπερ. o. 30. ἐφίστανται. p, 2, E. ἐφιστάντα. J ad Vers. germ. ib. καὶ δένδρα δέ φασιν ἐνταῦθα, οἷα – ἴσχουσι. Φ. (328, b, 25.) ib. καὶ om. Φ.

V. 1. 2. 3. 4. 5. p. 189. 190.

νεια μὲν καλεῖσθαι αὐτά, δύο δὲ εἶναι, φύεσθαι δὲ τοῦ σήματος, ὃ ἐπὶ τῷ Γηρυόνῃ ἕστηκε, παραλλάττοντα ἐκ πίτυός τε καὶ πεύκης ἐς εἶδος ἕτερον, λείβεσθαι δὲ αἵματι, καθάπερ τῷ χρυσῷ τὴν Ἠλιάδα αἴγειρον. ἡ δὲ νῆσος, ἐν ᾗ τὸ ἱερόν, ἔστι μὲν ὁπόση ὁ νεώς, πετρώδες δὲ αὐτῆς οὐδέν, ἀλλὰ βαλβῖδι ξεστῇ εἴκασται. ἐν δὲ τῷ ἱερῷ τιμᾶσθαι μὲν ἄμφω τὼ Ἡρακλέε φασίν, ἀγάλματα δὲ αὐτοῖν οὐκ εἶναι, βωμοὺς δὲ τοῦ μὲν Αἰγυπτίου δύο χαλκοῦς καὶ ἀσήμους, ἕνα δὲ τοῦ Θηβαίου — τὰς δὲ ὕδρας τε καὶ τὰς Διομήδους ἵππους καὶ τὰ δώδεκα Ἡρακλείους ἔργα, ἐκτετυπῶσθαί φασι καὶ ταῦτα — λίθου ὄντα. ἡ Πυγμαλίωνος δὲ ἐλαία ἡ χρυσῆ, ἀνάκειται δὲ κἀκείνη ἐς τὸ Ἡράκλειον, ἀξία μέν, ὡς φασι, καὶ τοῦ θαλλοῦ θαυμάζειν, ᾧ εἴκασται, θαυμάζεσθαι δ' ἂν ἐπὶ τῷ καρπῷ μᾶλλον, βρύειν γὰρ αὐτὸν σμαράγδου λίθου. καὶ Τεύκρου τοῦ Τελαμωνίου ζωστῆρα χρυσοῦν φασι δείκνυσθαι, πῶς δὲ ἐς τὸν Ὠκεανὸν πλεύσαντος ἢ ἐφ' ὅ τι, οὔτε αὐτὸς ὁ Δάμις ξυνιδεῖν φησιν οὔτε ἐκείνων ἀκοῦσαι. τὰς δὲ ἐν τῷ ἱερῷ στήλας χρυσοῦ μὲν πεποιῆσθαι καὶ ἀργύρου ξυντετηκότοιν ἐς ἓν χρῶμα, εἶναι δὲ αὐτὰς ὑπὲρ πῆχυν τετραγώνου τέχνης, ὥσπερ οἱ ἄκμονες, ἐπιγεγράφθαι δὲ τὰς κεφαλὰς οὔτε Αἰγυπτίοις οὔτε Ἰνδικοῖς γράμμασιν, οὔτε οἷοις ξυμβαλεῖν. ὁ δὲ Ἀπολλώνιος, ὡς οὐδὲν οἱ ἱερεῖς ἔφραζον, οὐ ξυγχωρεῖ μοι" ἔφη „ὁ Ἡρακλῆς ὁ Αἰγύπτιος μὴ οὐ λέγειν, ὁπόσα οἶδα· Γῆς καὶ Ὠκεανοῦ ξύνδεσμοι αἵδε αἱ στῆλαί εἰσιν, ἐγράψατο δὲ αὐτὰς ἐκεῖνος ἐν Μοιρῶν οἴκῳ, ὡς μήτε νεῖκος τοῖς στοιχείοις ἐγγένοιτο μήτε ἀτιμάσειαν τὴν φιλότητα, ἣν ἀλλήλων ἴσχουσιν"

VI Φασὶ δὲ καὶ τὸν ποταμὸν ἀναπλῶσαι τὸν Βαῖτιν, ὃς δηλοῖ μάλιστα τὴν τοῦ Ὠκεανοῦ φύσιν· ἐπειδὰν γὰρ πλημμύρῃ τὸ πέλαγος, ἐπὶ τὰς πηγὰς ὁ ποταμὸς παλίρρους ἴεται πνεύματος δήπου ἀπωθουμένου αὐτὸν τῆς θαλάττης. τὴν δὲ ἤπειρον τὴν Βαιτικήν, ἧς ὁ ποταμὸς οὗτος ὁμώνυμος, ἀρίστην ἠπείρων φασί, πόλεών τε γὰρ εὖ ἔχειν καὶ νομῶν καὶ διῆχθαι τὸν ποταμὸν ἐς τὰ ἄστη πάντα, γεωργίας τε ξυμπάσης μεστὴν εἶναι καὶ ὡρῶν, οἷαι τῆς Ἀττικῆς αἱ μετοπώριναί τε καὶ μυστηριώτιδες.

VII 192 Διαλέξεις δὲ τῷ Ἀπολλωνίῳ περὶ τῶν ἐκεῖ παραπεσόντων ὁ Δάμις πλείους μὲν γενέσθαι φησίν, ἀξίας δὲ τοῦ ἀναγράψαι τάσδε· καθημένων ποτὲ αὐτῶν ἐς τὸ Ἡράκλειον ἀναγελάσας ὁ Μένιππος, ἀναμέμνητο δὲ ἄρα τοῦ Νέρωνος „τί" ἔφη „τὸν γενναῖον ἡγούμεθα; τίνας" ἔφη „ἐστεφανῶσθαι τῶν ἀγώνων; τοὺς δὲ βελτίστους Ἕλληνας οὐ ξὺν ὅλῳ γέλωτι φοιτᾶν ἐς τὰς πανηγύρεις;" ὁ δὲ Ἀπολλώνιος „ὡς μὲν ἐγὼ" ἔφη „Τελεσίνου ἤκουον, δέδιεν ὁ χρηστὸς Νέρων τὰς Ἠλείων μάστιγας· παρακελευομένων γὰρ αὐτῷ τῶν κολάκων νικᾶν τὰ Ὀλύμπια καὶ ἀνακηρύττειν τὴν Ῥώμην „ἤν γε" ἔφη „μὴ βασκήνωσιν Ἠλεῖοι, λέγονται γὰρ μαστιγοῦν καὶ φρονεῖν ὑπὲρ ἐμέ", πολλὰ δὲ καὶ ἄλλα ἀνοητότερα τούτων προανεφώνησεν. ἐγὼ δὲ νικήσειν μὲν Νέρωνα ἐν Ὀλυμπίᾳ φημί, τίς γὰρ οὕτω θρασύς, ὡς ἐναντίαν θέσθαι; Ὀλύμπια δὲ οὐ νικήσειν, ἅτε μηδὲ ἐν ὥρᾳ ἄγουσι· πατρίου μὲν γὰρ τοῖς Ὀλυμπίοις τοῦ πέρυσιν ἐνιαυτοῦ ὄντος ἐκέλευσε τοὺς Ἠλείους Νέρων

1. μὲν γὰρ. Φ. ib. σώματος. Φ. ib. παραλλάττειν τά. fc, a et m. γρ. 2. δὲ ἐκ. Φ praeter A. 3. ἰλιάδι. p. ib. ὁ om. p. ib. αὐτῇ. v. 5. τοὺς μὲν. Φ praeter A. 6. τοὺς. p. ib. φασι καὶ ταῦτα om. ΦA. καὶ ταῦτα om. Φ cett. 8. θαλοῦ. p. ib. ὡς εἴκασται. p. 9. βρύειν. π, m, o. βρύει. p, 2, a, Φ. 10. ἐφ' ὅ τι, οὔ φασιν εἰδέναι, τὰς δὲ. Φ. 11. φασιν. v, s, a. ib. ἐκείνου. l. ib. χρυσοῦ μὲν. l, Φ. χρυσοῦ. 2, E. 12. τετραγώνου σχήματος. Φ. ib. ἄκμονες. Φ et π ante corr. 13. οἷς συμβαλεῖν. p. 14. οἱ om. ΦA, B. ib. ἔφη Ἡρακλῆς. p. 15. ξύνδεσμοι. π, E. ξύνδεσμα. p, 2, Φ. ib. αἱ om. l. 16. νῖκος. 2.

18. δὲ om. f, l, s. ib. ὅτι τὸν Βαίτην τὸν ποταμὸν – μυστηριωτίδες. Φ. (329, a, 14.) ib. ἀναπλᾶσαι. l. ἀναπλεῦσαι. 2, E, Φ. ib. Βαῖτιν. π. Βαίτην. p, 2, E. 19. πλημύροι. Φ praeter A, B. ib. ἴεται. l, v, s, a, Φ. 21. νόμῶν. π. (sic). νόμων. p, 2, E, Φ. 22. ἄστυ. l, s, E. ib. οἷαι Φ om. praeter A, B. ib. μετοπώριναι. π, m, o. μετόπωροι. p, 2, a, m. γρ. et Φ.

24. διαλέξεων. π. 25. τε αὐτῶν. f, l. ποτὲ om. s, a, m. 26. ἀναμέμνητο. π. ἀνεμέμνητο. p. ἀναμέμνησο. s. ἀτιμέμνηστο. f. al. m. corr. ἀνεμέμνηστο. l, E. ib. ἡγούμεθα. C, E. Fo. ἡγώμεθα. ib. τίνας, ἔφην. v. τίνας. o. 27. βελτίους. s, a. 30. με. E. 31. ἀνώτερα. 2, a. ib. προσανεφώνησεν. o. 32. ἐναντίαν. l. ἐναντία. 2, E. 33. Ἡρακλείους. π et m. γρ.

ἀναβαλέσθαι αὐτὰ ἐς τὴν ἑαυτοῦ ἐπιδημίαν, ὡς ἐκείνῳ μᾶλλον ἢ τῷ Διὶ θύσοντας· τραγῳδίαν δ' ἐπαγγεῖλαι καὶ κιθαρῳδίαν ἀνδράσιν, οἷς μήτε θέατρόν ἐστι μήτε σκηνὴ πρὸς τὰ τοιαῦτα, στάδιον δὲ αὐτοφυὲς καὶ γυμνὰ πάντα, τὸν δὲ νικᾶν, ἃ χρὴ ἐγκαλύπτεσθαι, καὶ τὴν Αὐγούστου τε καὶ Ἰουλίου σκευὴν ῥίψαντα μεταμφιέννυσθαι νῦν τὴν Ἀμοιβέως καὶ Τερπνοῦ τί φήσεις; καὶ τὰ μὲν
193 Κρέοντός τε καὶ Οἰδίποδος οὕτως ἐξακριβοῦν, ὡς δεδιέναι, μή πη λάθῃ ἁμαρτὼν θύρας ἢ στολῆς ἢ σκήπτρου, ἑαυτοῦ δὲ καὶ Ῥωμαίων οὕτως ἐκπίπτειν, ὡς ἀντὶ τοῦ νομοθετεῖν νόμους ᾄδειν καὶ ἀγείρειν ἔξω θυρῶν, ὧν ἔσω χρὴ καθῆσθαι τὸν βασιλέα χρηματίζοντα ὑπὲρ γῆς καὶ θαλάττης; εἰ σίν, ὦ Μένιππε, τραγῳδοὶ πλείους, ἐς οὓς Νέρων ἑαυτὸν γράφει· τί οὖν; εἴ τις αὐτῶν μετὰ τὸν Οἰνόμαον ἢ τὸν Κρεσφόντην ἀπελθὼν τοῦ θεάτρου μεστὸς οὕτω τοῦ προσωπείου γένοιτο, ὡς ἄρχειν μὲν ἑτέρων βούλεσθαι, τύραννον δὲ αὐτὸν ἡγεῖσθαι, τί καὶ φήσεις τοῦτον; ἆρ' οὐκ ἐλλεβόρου δεῖσθαι καὶ φαρμακοποσίας, ὁπόθη τοὺς νοῦς ἐκκαθαίρει; εἰ δ' αὐτὸς ὁ τυραννεύων ἐς τραγῳδοὺς καὶ τεχνίτας τὰ πράγματα ἑαυτοῦ ἄγοι λεαίνων τὴν φωνὴν καὶ δεδιὼς τὸν Ἠλεῖον ἢ τὸν Δελφόν, ἢ μὴ δεδιὼς μέν, κακῶς δὲ οὕτως ὑποκρινόμενος τὴν ἑαυτοῦ τέχνην, ὡς μὴ μαστιγώσεσθαι νομίζειν πρὸς τούτων, ὧν αὐτὸς ἄρχειν τέτακται, τί τοὺς κακοδαίμονας ἀνθρώπους ἐρεῖς ὑπὸ τοιούτῳ καθάρματι ζῶντας; τοῖς δὲ Ἕλλησι τίνα ἡγῇ, ὦ Μένιππε; πότερα Ξέρξην καταπιμπράντα ἢ Νέρωνα ᾄδοντα; εἰ γὰρ ἐνθυμηθείης τὴν ἀγοράν, ἣν ἐς τὰς ἐκείνου ᾠδὰς ξυμφέρουσι, καὶ ὡς ἔξω θοῦνται τῶν οἰκιῶν καὶ ὡς οὐκ ἔξεστι σπουδαῖον οὐδὲν ἢ σκεῦος ἢ ἀνδράποδον αὐτοῖς πεπᾶσθαι. περὶ γυναίοις τε καὶ παισὶν ὡς δεινὰ πείσονται τὰς ἐπιῤῥήτους ἡδονὰς ἐξ ἁπάσης οἰκίας ἐκλέγοντος
194 τοῦ Νέρωνος, δίκαι τε ὡς πολλαὶ ἀναφύσονται καὶ τὰς μὲν ἄλλας ἔα, τὰς δὲ ἐπὶ τοῖς θεάτροις καὶ ταῖς ᾠδαῖς· οὐκ ἦλθες ἀκροασόμενος Νέρωνος ἢ παρῆσθα μέν, ῥᾳθύμως δὲ ἠκροῶ ἐγέλας οὐκ ἐκρότησας οὐκ ἔθυσας ὑπὲρ τῆς φωνῆς, ἵνα Πυθῶδε λαμπροτέρα ἔλθοι, πολλαί σοι δύξουσι θεατῶν Ἰλιάδες περὶ τοὺς Ἕλληνας εἶναι. τὸ γὰρ τετιμῆσεσθαι τὸν Ἰσθμὸν ἢ οὐ τετιμήσεσθαι, τέμνεται δέ, ὥς φασι, νῦν, πάλαι προὔμαθον θεοῦ φήναντος." ὑπολαβὼν οὖν ὁ Λάμις, „ἀλλ' ἔμοιγε", ἔφη „ὦ Ἀπολλώνιε, τὸ περὶ τὴν τομὴν ἔργον ὑπερφωνεῖν δοκεῖ τὰ Νέρωνος πάντα, ἡ γὰρ διάνοια ὁρᾷς, ὡς μεγάλη." δοκεῖ μὲν „ἔφη" καὶμοί, ὦ Λάμι, τὸ δὲ ἀτελὲς αὐτῆς διαβάλλει αὐτόν. ὡς ἀτελῆ μὲν ᾄδοντα, ἀτελῆ δὲ ὀρύττοντα. τά τοι Ξέρξου ἀναλεγόμενος ἐπαινῶ τὸν ἄνδρα, οὐχ ὅτι τὸν Ἑλλήσποντον ἔζευξεν, ἀλλ' ὅτι διέβη αὐτόν, Νέρωνα δὲ οὔτε πλευσούμενον διὰ τοῦ Ἰσθμοῦ ὁρῶ οὔτε ἐς τέρμα τῆς ὀρυχῆς ἥξοντα. δοκεῖ δέ μοι καὶ φόβου μεστὸς ἀναχωρῆσαι τῆς Ἑλλάδος. εἰ μὴ ἡ ἀλήθεια ἀπόλωλεν."

VIII 195 Ἀφικομένου δέ τινος ἐς Γάδειρα μετὰ ταῦτα τῶν τοὺς ταχεῖς διαθεόντων δρόμους καὶ κελεύοντος εὐαγγέλια θύειν τρισολυμπιονίκην Νέρωνα ᾄδοντας τὰ μὲν Γάδειρα ξυνίει τῆς νίκης καὶ ὅτι ἐν Ἀρκαδίᾳ τις εἴη ἀγὼν εὐδόκιμος, ἐπειδή, ὡς εἶπον, ἐς τὰ Ἑλλήνων σπεύδουσιν, αἱ δὲ πόλεις αἱ πρόσοικοι τοῖς Γαδείροις οὔτε ἐγίγνωσκον ὅ τι εἴη τὰ Ὀλύμπια, οὐδ' ὅ τι ἀγωνία ἢ

ε

1. ἀναλαβέσθαι. π. ib θύσαντας. v. 2. ἀπαγγεῖλαι. π. ἀπαγγεῖλαι. p, 2, E. ib. ἀνδράσιν οἷς. C. οἷς fc, E.

αι

3. Ἀμοιβέον. π. Ἀμοιβαίως. p. Ἀμοιβέως. s. al. m. ib. καὶ om. p, 2, a, m. ib. καὶ Τερπάνδρου. π et m γρ. 5. τε καὶ. 1. καὶ. 2, E. ib. λάθοι. l, s. ead. m. suprascr. η. 6. καὶ φιλοσοφεῖν. f, l, v, a et s cum corr. ἀγείρειν a sec. m. 8. αὐτὸν. s, a. ib. ἐγγράφει. v. γράφει; l. 9. ἄρχει. s. 10. αὐτὸν. E ib. ἡγεῖσθαί τε. καὶ. a. 11. δεῖ. fc, E. ib. τοὺς ἄνους. v. 12. πράγματα om. p. 13. μὴ om. f, s a pr. m. o. ib. κέρδος νομίζειν. J. ad Vers. germ. 15. ἡγεῖ. v. 17. καὶ ὡς. π et p. ex corr. καὶ. 2, E. ib. οὐκ ἔστι. p. ib. σπουδαίων. m, o. ib. πεπᾶσθαι. π, m. γρ. o. πεπάσθαι. p. πεπρᾶσθαι. l, v, s, a, m. πεπράσθαι. f. 21. ἔλθῃ. p. ib. τῶν ἀτῶν. o. 22. καὶ p. 23. δὲ ὁ. f, v, l ib. ἔμοι γε. o. 25. ὑπερφωνεῖν. 1, ψ. ὑπερφρονεῖν. 2, E. 25. δὲ om. f, v et s a pr. m.

β α

ib. διαβάλλειν. s a pr. m. 26. ἐπαινῶ τὸν ἄνδρα ἀναλεγόμενος. fc, (sic) ἐπαινῶ ἀναλεγόμενος. a, m. 28. ἀναχωρῆσαι. l. ἀναχωρήσειν. 2, E.

32. εἰ δὴ. eraso ἐπ. l. ib. σπεύδουσιν, ὡς εἶπον, ἐς. p.

V. S. p. 193. 194.

ἀγών, οὐδὲ ἐφ' ὅτῳ θύουσιν, ἀλλ' ἀπήγοντο ἐς γελοίους δόξας πολέμου νίκην ἡγουμενοι ταῦτα
καὶ ὅτι ὁ Νέρων ἠρήκοι τινὰς ἀνθρώπους Ὀλυμπίους· οὐδὲ γὰρ τραγῳδίας ποτὲ ἢ κιθαρῳδίας 195
θεαταὶ ἐγεγόνεσαν. τοὺς γοῦν οἰκοῦντας τὰ Ἴπολα, πόλις δὲ κἀκείνη Βαιτική, φησὶν ὁ Λάμις πα- IX
θεῖν τι πρὸς τραγῳδίας ὑποκριτήν, οὗ κἀμὲ ἄξιον ἐπιμνησθῆναι· θυουσῶν γὰρ τῶν πόλεων θαμὰ
ἐπὶ ταῖς νίκαις, ἐπειδὴ καὶ αἱ Πυθικαὶ ἤδη ἀπηγγέλλοντο, τραγῳδίας ὑποκριτὴς τῶν οὐκ ἀξιουμέ- 5
νων ἀνταγωνίζεσθαι τῷ Νέρωνι ἐπῄει τὰς ἑσπερίους πόλεις ἀγείρων, καὶ τῇ τέχνῃ χρώμενος ἠυδο-
κίμει παρὰ τοῖς ἧττον βαρβάροις, πρῶτον μὲν δι' αὐτὸ τὸ ἥκειν παρ' ἀνθρώπους, οἳ μήπω τρα-
γῳδίας ἤκουσαν, εἶτ' ἐπειδὴ τὰς Νέρωνος μελῳδίας ἀκριβοῦν ἔφασκε. παρελθὼν δὲ ἐς τὰ Ἴπολα
φοβερὸς μὲν αὐτοῖς ἐφαίνετο καὶ ὂν ἐσιώπα χρόνον ἐπὶ τῆς σκηνῆς, καὶ ὁρῶντες οἱ ἄνθρωποι βα-
δίζοντα μὲν αὐτὸν μέγα, κεχηνότα δὲ τοσοῦτον, ἐφεστῶτα δὲ ὀκρίβασιν οὕτως ὑψηλοῖς τερατώδη 10
τε τὰ περὶ αὐτὸν ἐσθήματα, οὐκ ἄφυβοι ἦσαν τοῦ σχήματος, ἐπεὶ δὲ ἐξάρας τὴν φωνὴν γεγωνὸν
ἐφθέγξατο, φυγῇ οἱ πλεῖστοι ᾤχοντο, ὥσπερ ὑπὸ δαίμονος ἐμβοηθέντες. τοιαῦτα μὲν τὰ ἤθη τῶν
ταύτῃ βαρβάρων καὶ οὕτως ἀρχαῖα.

Σπουδὴν δὲ ποιουμένου τοῦ τὴν Βαιτικὴν ἐπιτροπεύοντος ἐς ξυνουσίαν τῷ Ἀπολλωνίῳ ἐλθεῖν X
ὁ μὲν ἀηδεῖς ἔφη τὰς ξυνουσίας τὰς ἑαυτοῦ φαίνεσθαι τοῖς μὴ φιλοσοφοῦσιν, ὁ δὲ προσέκειτο 15
αἰτῶν τοῦτο· ἐπεὶ δὲ χρηστός τε εἶναι ἐλέγετο καὶ διαβεβλημένος πρὸς τοὺς Νέρωνος μίμους, γρά-
φει πρὸς αὐτὸν ἐπιστολὴν ὁ Ἀπολλώνιος, ἵν' ἐς τὰ Γάδειρα ἔλθοι, ὁ δὲ ἀφελὼν τὸν τῆς ἀρχῆς
ὄγκον ξὺν ὀλίγοις καὶ ἑαυτῷ ἐπιτηδειοτάτοις ἦλθεν. ἀσπασάμενοι δὲ ἀλλήλους καὶ μεταστησάμενοι
τοὺς παρόντας ὅ τι μὲν διελέχθησαν, οὐδεὶς οἶδε, τεκμαίρεται δὲ ὁ Λάμις ἐπὶ Νέρωνα ξυμβῆναι
σφᾶς. τριῶν γὰρ ἡμερῶν ἰδίᾳ σπουδάσαντες ὁ μὲν ἀπῄει περιβαλὼν τὸν Ἀπολλώνιον, ὁ δὲ „ἔρ- 20
ρωσο" ἔφη „καὶ μέμνησο τοῦ Βίνδικος". τί δὲ τοῦτο ἦν; ἐπὶ Νέρωνα ἐν Ἀχαίᾳ ἄδοντα τὰ ἔθνη
τὰ ἑσπέρια λέγεται κινῆσαι Βίνδιξ ἀνὴρ οἷος ἐκτεμεῖν τὰς νευράς, ἃς Νέρων ἀμαθῶς ἔψαλλε, 196
πρὸς γὰρ τὰ στρατόπεδα, οἷς ἐπετέτακτο, λόγον κατ' αὐτοῦ διῆλθεν, ὃν ἐκ πάνυ γενναίας φιλο-
σοφίας ἐπὶ τύραννον ἄν τις πνεύσειεν· ἔφη γὰρ Νέρωνα εἶναι πάντα μᾶλλον ἢ κιθαρῳδὸν καὶ κι-
θαρῳδὸν μᾶλλον ἢ βασιλέα. προφέρειν δὲ αὐτῷ μανίαν μὲν καὶ φιλοχρηματίαν καὶ ὠμότητα καὶ 25
ἀσέλγειαν πᾶσαν, τὸ δὲ ὠμότατον τῶν ἐκείνου μὴ προφέρειν αὐτῷ· τὴν γὰρ μητέρα ἐν δίκῃ ἀπεκ-
τονέναι, ἐπειδὴ τοιοῦτον ἔτεκε. ταῦτ' οὖν ὡς ἔσται, προγιγνώσκων ὁ Ἀπολλώνιος ξυνέταττε τῷ
Βίνδικι ὅμορον ἄρχοντα μονονουχὶ ὅπλα ὑπὲρ τῆς Ῥώμης τιθέμενος. φλεγμαινόντων δὲ τῶν περὶ XI
τὴν ἑσπέραν τρέπονται τὸ ἐντεῦθεν ἐπὶ Λιβύην καὶ Τυρρηνοὺς καὶ τὰ μὲν πεζῇ βαδίζοντες, τὰ
δὲ ἐπὶ πλοίων πορευόμενοι κατίσχουσιν ἐν Σικελίᾳ, οὗ τὸ Λιλύβαιον. παραπλεύσαντες δὲ ἐπὶ Μεσ- 30
σήνην τε καὶ ῥοθμόν, ἔνθα ὁ Τυρρηνὸς Ἀδρίᾳ ξυμβάλλων χαλεπὴν ἐργάζονται τὴν χάρυβδιν,
ἀκοῦσαί φασιν, ὡς Νέρων μὲν πεφεύγοι, τεθνήκοι δὲ Βίνδιξ, ἅπτοιντο δὲ τῆς ἀρχῆς οἱ μὲν ἐξ
αὐτῆς Ῥώμης, οἱ δὲ ὁπόθεν τύχοι τῶν ἐθνῶν. ἐρομένων δὲ αὐτὸν τῶν ἑταίρων, οἵ προβήσοιτο
ταῦτα καὶ ὅτου λοιπὸν ἡ ἀρχὴ ἔσοιτο, „πολλῶν" εἶπε „Θηβαίων". τὴν γὰρ ἰσχύν, ᾗ πρὸς ὀλί-

1. ἀλλ'. p. ἀλλὰ. E. ib. δίκην. p, s, a, m. sed Rh.: victoriam. νίκην om. l. 2. ἠρήκει. l. ib. οὐδὲ γὰρ. f, v. οὐδὲ. 1, l, s, E. 3. Ἴπολα. π. Ἴσπολα. p, 2, E. Ἴσπιλα. l. 4. μουσῶν. l. 6. τῷ om. p. ib. εὐδοκίμει. l, s, a, m. 7. τραγῳδίαν. p s. δὲ om. 2, a, m. ib. Ἴπολα. π. Ἴσπολα. p, 2, E. Ἴσπιλα. l. 10. ὀκρίβασιν. s. ib. τερατώδη τε. π. τερατώδη δὲ. p, 2, E. 11. καὶ γεγ. p, 2, E. ib. γεγωνόν. π, 2, a, B. γεγωνὸς. p. γεγωνὼς. m. κεχανώς. o. 12. ἐμβοηθέντες. C. ἐμβροντηθέντες. E. ib. μὲν ἤθη. m, o. 13. ἐν ταύτῃ. v.

ε

15. τοῖς μὲν. v. 16. λέγεται. l. 18. ἔλθη. v. 20. σπουδάσαντας. π. σπουδιάσαντες. m, o. σπουδάσαντας. p, 2, a. 21. μέμνησο Βένδικος. E. 22. Βένδιξ. E. ib. ἃς. 1. αἷς. s, E οἷς. f, v. 23. οἷς om. f, l, et s a pr. m. ib. καὶ ταυτοῦ. f et l ex corr. 24. ἔφη – ἢ κιθαρῳδὸν om. π. 25. μανίαν μὲν. π. μανίαν. p, 2, E. 26. ἀντὶ τοῦ μὴ κατηγορεῖν μὴ προφέρειν. p. 27. ἔσται. l, s, a, m. 29. τοιτευθεῖν. E. 30. ἐν Σικελίᾳ. π. ἐς Σικελίαν. p. ἐπὶ Σικελίαν. 2, E. ib. παραπλεύσαντος. s. 31. ἀνδρία. l. ib. ἐργάζεται. p ex corr. 32. πεφεύγοι. 1 περιφεύγοι. 2, E. ib. τεθνήκει. v. 33. αὐτὸν om. l. ib. προβήσοιτο. 1. προβήσαιτο. f, v. προβήσεται. l, s, E. 34. ἔσσοιτο. s, a.

γον Βιτέλιος τε καὶ Γάλβας καὶ Ὄθων ἐχρήσαντο, Θηβαίοις εἴκασεν, οἳ χρόνον κομιδῇ βραχὺν ἤχθησαν ἐς τὰ τῶν Ἑλλήνων πράγματα.

XII Ὅτι μὲν γὰρ τὰ τοιαῦτα δαιμονίᾳ κινήσει προεγίγνωσκε καὶ ὅτι τοῖς γόητα τὸν ἄνδρα ἡγουμένοις οὐχ
197 ὑγιαίνει ὁ λόγος, δηλοῖ μὲν καὶ τὰ εἰρημένα, σκεψώμεθα δὲ κἀκεῖνα· οἱ γόητες, ἡγοῦμαι δ' αὐτοὺς ἐγὼ
5 κακοδαιμονεστάτους ἀνθρώπων, οἱ μὲν ἐς βασάνους εἰδώλων χωροῦντες, οἱ δ' ἐς θυσίας βαρβάρους, οἱ δὲ ἐς τὸ ἐπᾶσαί τι ἢ ἀλείψαι μεταποιεῖν φασι τὰ εἰμαρμένα, καὶ πολλοὶ τούτων κατηγορίαις ὑπαχθέντες τὰ τοιαῦτα ὡμολόγησαν σοφοὶ εἶναι. ὁ δὲ εἵπετο μὲν τοῖς ἐκ Μοιρῶν, προὔλεγε δέ, ὡς ἀνάγκη γενέσθαι αὐτά, προεγίγνωσκε δὲ οὐ γοητεύων, ἀλλ' ἐξ ὧν οἱ θεοὶ ἔφαινον. ἰδὼν δὲ παρὰ
10 τοῖς Ἰνδοῖς τοὺς τρίπους καὶ τοὺς οἰνοχόους καὶ ὅσα αὐτόματα ἐσφοιτᾶν εἶπον, οὔθ' ὅπως σοφίζοιντο αὐτά, ἤρετο, οὔτ' ἐδεήθη μαθεῖν, ἀλλ' ἐπῆνει μέν, ζηλοῦν δ' οὐκ ἠξίου.

XIII Ἀφικομένων δὲ αὐτῶν ἐς τὰς Συρακούσας γυνὴ τῶν οὐκ ἀφανῶν τέρας ἀπεκύησεν, οἷον οὔπω ἐμαιεύθη· τρεῖς γὰρ τῷ βρέφει κεφαλαὶ ἦσαν ἐξ οἰκείας ἑκάστη δέρης, τὰ δὲ ἐπ' αὐταῖς ἑνὸς πάντα. οἱ μὲν δὴ παχέως ἐξηγούμενοι τὴν Σικελίαν ἔφασαν, τρινακρία γάρ, ἀπολεῖσθαι, εἰ μὴ ὁμονοήσειέ τε καὶ ξυμπνεύσειεν — ἐστασίαζον δὲ ἄρα πολλαὶ τῶν πόλεων πρὸς αὐτάς τε καὶ πρὸς
15 ἀλλήλας καὶ τὸ ἐν κόσμῳ ζῆν ἀπῆν τῆς νήσου — οἱ δὲ ἔφασαν τὸν Τυφῶ, πολυκέφαλον δὲ εἶναι, νεώτερα ἀπειλεῖν τῇ Σικελίᾳ, ὁ δὲ Ἀπολλώνιος „ἴθι", ἔφη „ὦ Δάμι, καὶ κάτιδε αὐτό, εἰ οὕτω ξύγκειται„· ἐξέκειτο γὰρ δημοσίᾳ τοῖς τερατολογεῖν εἰδόσιν, ἀπαγγείλαντος δὲ τοῦ Δάμιδος, ὡς τρικέφαλον εἴη καὶ ἄρρεν, ξυναγαγὼν τοὺς ἑταίρους „τρεῖς" ἔφη „Ῥωμαίων αὐτοκράτορες, οὓς
20 ἐγὼ πρώην Θηβαίους ἔφην, τελειώσει δὲ οὐδεὶς τὸ ἄρχειν, ἀλλ' οἱ μὲν ἐπ' αὐτῆς Ῥώμης, οἱ δὲ περὶ τὰ ὅμορα τῇ Ῥώμῃ δυνηθέντες ἀπολοῦνται, θᾶττον μεταβαλόντες τὸ προσωπεῖον ἢ οἱ τῶν
198 τραγῳδῶν τύραννοι". καὶ ὁ λόγος αὐτίκα ἐς φῶς ἦλθε· Γάλβας μὲν γὰρ ἐπ' αὐτῆς Ῥώμης ἀπέθανεν ἀψάμενος τῆς ἀρχῆς, ἀπέθανε δὲ καὶ Βιτέλιος ὀνειροπολήσας τὸ ἄρχειν, Ὄθων δὲ περὶ τοὺς ἑσπερίους Γαλάτας ἀποθανὼν οὐδὲ τάφου λαμπροῦ ἔτυχεν, ἀλλ' ὥσπερ ἰδιώτης κεῖται· διέπτη δὲ ἡ τύχη ταῦτα ἐνὶ ἔτει.

XIV 25 Πορευθέντες δὲ ἐπὶ Κατάνης, οὗ τὸ ὄρος ἡ Αἴτνη, Καταναίων μὲν ἀκοῦσαί φασιν ἡγουμένων τὸν Τυφῶ δεδέσθαι ἐκεῖ καὶ πῦρ ἐξ αὐτοῦ ἀνίστασθαι, ὃ τύφει τὴν Αἴτνην, αὐτοὶ δ' ἐς πιθανωτέρους ἀφικέσθαι λόγους καὶ προσήκοντας τοῖς φιλοσοφοῦσιν. ἅρξαι δ' αὐτῶν τὸν Ἀπολλώνιον ὧδε ἐρόμενον τοὺς ἑταίρους „ἔστι τι μυθολογία"; „νὴ Δί'", εἶπεν ὁ Μένιππος „ἣν γε οἱ ποιηταὶ ἐπαινοῦσι". „τὸν δὲ δὴ Αἴσωπον τί ἠγῇ"; „μυθολόγον εἶπε „καὶ λογοποιὸν πάντα". „πότεροι
30 δὲ σοφοὶ τῶν μύθων"; „οἱ τῶν ποιητῶν", εἶπεν „ἐπειδὴ ὡς γεγονότες ᾄδονται". „οἱ δὲ δὴ Αἰσώπου τί"; „βάτραχοι" ἔφη „καὶ ὄνοι καὶ λῆροι γρυσὶν οἷοι μασᾶσθαι καὶ παιδίοις". „καὶ μὴν" ἔφη „ἐμοὶ" ὁ Ἀπολλώνιος, „ἐπιτηδειότεροι πρὸς σοφίαν οἱ τοῦ Αἰσώπου φαίνονται· οἱ μὲν γὰρ περὶ τοὺς ἥρωας, ὧν ποιητικὴ πᾶσα ἔχεται, καὶ διαφθείρουσι τοὺς ἀκροωμένους, ἐπειδὴ ἔρωτάς τε

1. Βιτέλιος. 1, f, l. a. Βιτέλλιος. s, m, o.
3. ὅτι μὲν — οὐκ ἠξίου. E (452.) ib. μὲν τὰ. p. μὲν δὴ τὰ. E. ib. προὔλεγε. E. 4. ἡγουμένοις τὸν ἄνδρα. E. 4. ὑγιαίνοι. p. ib. σκεψώμεθα. C, E. σκεψόμεθα. EA, B. 5. θυσίαν. f. ib. βαρβάρων. p. 6. ἐπᾶσαι. a. ἐπῆσαι. m. ib. εἰρημένα. v, E praeter B. 8. ἔσεσθαι αὐτά. E. ib. προὔλεγε. E. ib. ἰδὼν — ἠξίου. E. (447.) ib. ας δὲ παρὰ. C, E, EA, B. τε παρὰ. E vulgo. 9. τοὺς Ἰνδούς. l, v, s, a. ib. τριπόδας. m, o. ib. οἰνοχόους. π. 10. οὔτε ἐδεήθη. p.
11. Συρακούσσας. π. 12. ἑκάστης. v. ib. δέρης. π. δέρις. l, s. ib. αὐτοῖς f. αὐτῷ. a, m. 13. ταχέως. p. ib. τρινακρία. s. 14. ὁμολογήσειε. l. ib. ἄρα πολλαὶ. 1. ἄρα αἱ πολλαὶ. 2, E. ib. πρὸς αὐτάς. C, E. Fo: πρὸς ἑαυτάς. 15. τὸν Τυφῶ. π. τῷ Τυφῶ. p. τὸν Τυφῶ. 2, E. 16. νεώτερά τε. m, o. 19. τῆς Ῥώμης. v. 20. μεταβάντες. l. 22. Βιτέλλιος. m, o. 24. κεῖται om. s, a, m. ib. διέπτει. p.
26. Τυφῶ. π. Τυφῶνα. p. Τυφῶν. v. Τυφῶ. f, l, s, E. ib. δὲ πιθανωτέρους. 2, a, m. 28. ἔστί τι. π, m. ἔστι δέ τις. p. ἐστί τις. o. ἔστι τί. f, l, s, a. ἔστι τι. v. ib. νὴ Δία. p. 30. γεγονότα. p, o. ib. οἱ δὲ — παιδίοις. Φ. (333, b. 16.) 31. μασᾶσθαι. π. ib. Fo: „καὶ μὴν" ἔφη ὁ Ἀπολλώνιος „ἐμοί.

V, 12. 13. 14. p. 197. 198.

ἀτόπους οἱ ποιηταὶ ἑρμηνεύουσι καὶ ἀδελφῶν γάμους καὶ διαβολὰς ἐς θεοὺς καὶ βρώσεις παίδων καὶ πανουργίας ἀνελευθέρους καὶ δίκας, καὶ τὸ ὡς γεγονὸς αὐτῶν ἄγει καὶ τὸν ἐρῶντα καὶ τὸν ζηλοτυποῦντα καὶ τὸν ἐπιθυμοῦντα πλουτεῖν ἢ τυραννεύειν ἐφ' ἅπερ οἱ μῦθοι, Αἴσωπος δὲ ὑπὸ σοφίας πρῶτον μὲν οὐκ ἐς τὸ κοινὸν τῶν ταῦτα ᾀδόντων ἑαυτὸν κατέστησεν, ἀλλ' ἑαυτοῦ τινα ὁδὸν ἐτράπετο, εἶτα, ὥσπερ οἱ τοῖς εὐτελεστέροις βρώμασι καλῶς ἑστιῶντες, ἀπὸ σμικρῶν πραγμάτων διδάσκει μεγάλα, καὶ προθέμενος τὸν λόγον ἐπάγει αὐτῷ τὸ πρᾶττε ἢ μὴ πρᾶττε, εἶτα τοῦ φιλαλήθους μᾶλλον ἢ οἱ ποιηταὶ ἥψατο· οἱ μὲν γὰρ βιάζονται πιθανοὺς φαίνεσθαι τοὺς ἑαυτῶν λόγους, ὁ δ' ἐπαγγέλλων λόγον, ὃς ἐστι ψευδής, πᾶς οἶδεν, ὅτι αὐτὸ τὸ μὴ περὶ ἀληθινῶν ἐρεῖν 199
ἀληθεύει. καὶ ὁ μὲν ποιητὴς εἰπὼν τὸν ἑαυτοῦ λόγον καταλείπει τῷ ὑγιαίνοντι ἀκροατῇ βασανίζειν αὐτόν, εἰ ἐγένετο, ὁ δὲ εἰπὼν μὲν ψευδῆ λόγον, ἐπαγαγὼν δὲ νουθεσίαν, ὥσπερ ὁ Αἴσωπος, δείκνυσιν ὡς ἐς τὸ χρήσιμον τῆς ἀκροάσεως τῷ ψεύδει κέχρηται. χαρίεν δ' αὐτοῦ τὸ καὶ τὰ ἄλογα ἡδίω ἐργάζεσθαι καὶ σπουδῆς ἄξια τοῖς ἀνθρώποις, ἐκ παίδων γὰρ τοῖς λόγοις τούτοις ξυγγενόμενοι καὶ ὑπ' αὐτῶν ἐκνηπιωθέντες δόξας ἀναλαμβάνομεν περὶ ἑκάστου τῶν ζῴων, τὰ μὲν ὡς βασιλικὰ εἴη, τὰ δὲ ὡς εὐήθη, τὰ δὲ ὡς κομψά, τὰ δὲ ὡς ἀκέραια, καὶ ὁ μὲν ποιητὴς εἰπὼν

πολλαὶ μορφαὶ τῶν δαιμονίων

ἢ τοιοῦτό τι ἐπιχορεύσας ἀπῆλθεν, ὁ δὲ Αἴσωπος ἐπιχρησμῳδήσας τὸν ἑαυτοῦ λόγον καταλύει τὴν ξυνουσίαν ἐς ὃ προὔθετο. ἐμὲ δέ, ὦ Μένιππε, καὶ μῦθον περὶ τῆς Αἰσώπου σοφίας ἐδιδάξατο ἡ μήτηρ κομιδῇ νήπιον, ὡς εἴη μέν ποτε ποιμὴν ὁ Αἴσωπος, νέμοι δὲ πρὸς ἱερῷ Ἑρμοῦ, σοφίας δὲ ἐρᾴη καὶ εὔχοιτο αὐτῷ ὑπὲρ τούτου, πολλοὶ δὲ καὶ ἕτεροι ταὐτὸν αἰτοῦντες ἐπιφοιτῷεν τῷ Ἑρμῇ ὁ μὲν χρυσόν, ὁ δ' ἄργυρον, ὁ δὲ κηρύκειον ἐλεφάντινον, ὁ δὲ τῶν οὕτω τι λαμπρῶν ἀνάπτων, ὁ δ' Αἴσωπος ἔχοι μὲν οὕτως, ὡς μηδὲν τῶν τοιούτων ἔχειν, φείδοιτο δὲ καὶ ὧν εἶχε, γάλακτος δὲ αὐτῷ σπένδοι, ὅσον ὄις ἀμελχθεῖσα ἐδίδου καὶ κηρίον ἐπὶ τὸν βωμὸν φέροι, ὅσον τὴν χεῖρα ἐμπλῆσαι, ἑστιᾶν δ' αὐτὸν καὶ μύρτοις ᾤετο καὶ παραθεὶς ἂν τῶν ῥόδων ἢ τῶν ἴων κομιδῇ ὀλίγα. „τί γὰρ δεῖ, ὦ Ἑρμῆ", ἔλεγε „στεφάνους πλέκειν καὶ ἀμελεῖν τῶν προβάτων"; ὡς δὲ ἀφίκοντο ἐς ῥητὴν ἡμέραν ἐπὶ τὴν τῆς σοφίας διανομήν, ὁ μὲν Ἑρμῆς ἅτε λόγιος καὶ κερδῷος „σὺ μὲν" ἔφη „φιλοσοφίαν ἔχε", τῷ πλεῖστα δήπουθεν ἀναθέντι „σὺ δὲ ἐς ῥητόρων ἴθη χώρει", τῷ δευτερά 200
που χαρισαμένῳ, „σοὶ δὲ ἀστρονομεῖν χώρα, σοὶ δὲ εἶναι μουσικῷ, σοὶ δὲ ἡρῴου ποιητῇ μέτρου, σοὶ δὲ ἰαμβείου." ἐπεὶ δὲ καίτοι λογιώτατος ὢν κατανάλωσεν ἄκων ἅπαντα τὰ τῆς φιλοσοφίας μέρη καὶ ἔλαθεν ἑαυτὸν ἐκπεσὼν τοῦ Αἰσώπου, ἐνθυμεῖται τὰς Ὥρας, ὑφ' ὧν αὐτὸς ἐν κορυφαῖς τοῦ Ὀλύμπου ἐτράφη, ὡς ἐν σπαργάνοις ποτὲ αὐτῷ ὄντι μῦθον διελθοῦσαι περὶ τῆς βοός, ὃν διελέχθη τῷ ἀνθρώπῳ ἡ βοῦς ὑπὲρ ἑαυτῆς τε καὶ τῆς γῆς, ἐς ἔρωτα αὐτὸν τῶν τοῦ Ἀπόλλωνος βοῶν κατέστησαν, καὶ δίδωσιν ἐντεῦθεν τὴν μυθολογίαν τῷ Αἰσώπῳ, λοιπὴν ἐν σοφίας οἴκῳ οὖσαν „ἔχε", εἰπὼν „ἃ πρῶτα ἔμαθον". αἱ μὲν δὴ πολλαὶ μορφαὶ τῆς τέχνης ἐνθένδε ἀφίκοντο τῷ Αἰσώπῳ, καὶ τοιόνδε ἀπέβη τὸ τῆς μυθολογίας πρᾶγμα. ἴσως δ' ἀνόητον ἔπαιον· ἐπιστρέψαι γὰρ ὑμᾶς διανοηθεὶς ἐς λόγους φυσικωτέρους τε καὶ ἀληθεστέρους ὧν οἱ πολλοὶ περὶ τῆς Αἴτνης ᾄδουσιν, αὐτὸς XVI

2. τὸ ὡς τὸ. f, v. ib. αὐτῶν ἄγειν. a, m. 3. οἱ om. o. 6. αὐτῷ. 1, f, l, v, B. αὐτὸ. s, E. 8. ἀπαγγέλων. v, s. Sc: ἐπαγγέλλων. ib. λόγον, ὃς ἐστι. 1. λόγον, ὃν ὡς ἔστι. 2, E. ib. πᾶς τις. v. ib. οἶδεν ὅτι. π. οἶδεν p, 2, E. ib. αὐτῷ τῷ. B. ib. εὑρεῖν ἀληθεύειν. p. 10. ψευδῆ μὲν. l. ib. ὁ Αἴσωπος. π. Αἴσωπος. p, 2, E. 11. αὐτῷ. p. 12. ἐκ παίδων — εὐήθη. Φ. (333, b. 18.) 16. τοιοῦτόν τι. p. 18. νέμει. l. 19. αὐτῷ om. l, s, a. ib. ἐπιφοιτῷεν. p, f, v, l, s, o. ἐπιφοιτᾷ ἐν. π. ἐπιφοιτᾶν ἐν. a, m. 20. κηρύκιον. f, l. s. ib. λαμπρὸν. l. 21. δὲ καὶ ἐι ὧν. C, o. δ' ὧν. a, m. 22. σπένδων. π. Inde feci σπένδοι. σπένδων. p, 2, E. φέρων. π. Sc. φέροι. φέρων. p, 2, E. 23. καὶ μύρων. p. pr. m. ib. ᾤοντο. p, s, a, m. Fo: οἴοιτο. 24. δεῖ. C. E. ib. ἔλεγε om. l. 26. δήπουθεν. l. δήπου. 2, E. ib. ἀνατιθέντι. s, a et m. γρ. ib. τῷ — χώρα om. v. 28. καίτοι om. p. ib. ὢν. p om. pr. m. ib. ἄκοντα. p. pr. m. ib. ἅπαντα τὰ. π. et m. γρ. τὰ. p, 2, E. 31. αὐτὸν τῶν. 1, B, o. αὐτῶν τῶν. f. αὐτῶν. s, a, m. αὐτὸν καὶ τὸν. v. 32. κατέστησε. p. ib. καὶ om. 2, a. 34. τοίδε. π et m. γρ. ib. ἡμᾶς. l, s, a, m. 35. αὐτὸς τι. f. pr. m. l, s, a, m.

V, 15. 16. p. 199. 200.

ἐς ἔπαινον μύθων ἀπηνέχθην, οὐ μὴν ἄχαρις ἡ ἐκβολὴ τοῦ λόγου γέγονεν· ὁ γὰρ μῦθος, ὃν παραιτούμεθα, οὐ τῶν Αἰσώπου λόγων ἐστίν, ἀλλὰ τῶν δραματικωτέρων καὶ ὧν οἱ ποιηταὶ θρυλοῦσιν· ἐκεῖνοι μὲν γὰρ Τυφῶ τινα ἢ Ἐγκέλαδον δεδέσθαι φασὶν ὑπὸ τῷ ὄρει καὶ δυσθανατοῦντα ἀσθμαίνειν τὸ πῦρ τοῦτο, ἐγὼ δὲ γίγαντας μὲν γεγονέναι φημὶ καὶ πολλαχοῦ τῆς γῆς ἀναδείκνυσθαι τοιαυτὶ σώματα ῥαγέντων τῶν τάφων, οὐ μὴν ἐς ἀγῶνα ἐλθεῖν τοῖς θεοῖς, ἀλλ' ὑβρίσαι μὲν τάχα ἐς τοὺς νεὼς αὐτῶν καὶ τὰ ἕδη, οὐρανῷ δὲ ἐπιπηδῆσαι καὶ μὴ ξυγχωρεῖν τοῖς θεοῖς ἐπ' αὐτοῦ
201 εἶναι μανία μὲν λέγειν, μανία δὲ οἴεσθαι. καὶ μηδὲ ἐκεῖνος ὁ λόγος καίτοι δοκῶν εὐφημότερος εἶναι τιμάσθω, ὡς Ἡφαίστῳ μέλει τοῦ χαλκεύειν ἐν τῇ Αἴτνῃ, καὶ κτυπεῖταί τις ἐνταῦθα ὑπ' αὐτοῦ ἄκμων, πολλὰ γὰρ καὶ ἄλλα ὄρη πολλαχοῦ τῆς γῆς ἔμπυρα καὶ οὐκ ἂν φθάνοιμεν ἐπιφημί-
XVII 10 ζοντες αὐτοῖς γίγαντας καὶ Ἡφαίστους. τίς οὖν ἡ τῶν τοιῶνδε ὁρῶν αἰτία; γῆ κρᾶσιν ἀσφάλτου καὶ θείου παρεχομένη τύφεται μὲν καὶ παρ' ἑαυτῆς φύσει, πῦρ δ' οὔπω ἐκδίδωσιν, εἰ δὲ σηραγγώδης τύχοι καὶ ὑποδράμοι αὐτὴν πνεῦμα, φρυκτὸν ἤδη αἴρει. πλεονεκτήσασα δὲ ἡ φλόξ, ὥσπερ τὸ ὕδωρ, ἀπορρεῖ τῶν ὀρῶν καὶ ἐς τὰ πεδία ἐκχεῖται χωρεῖ τε ἐπὶ θάλατταν πῦρ ἀθρόον ἐκβολὰς ποιούμενον, οἷαι τῶν ποταμῶν εἰσι. χῶρος δ' Εὐσεβῶν, περὶ οὓς τὸ πῦρ ἐρρύη, λεγέσθω μὲν
15 κἀνταῦθά τις, ἡγώμεθα δὲ τοῖς ὅσια πράττουσι γῆν μὲν πᾶσαν ἀσφαλῆ χῶρον εἶναι, θάλατταν δ'
202 εὔπορον οὐ πλέουσι μόνον, ἀλλὰ καὶ νεῖν πειρωμένοις." ἀεὶ γὰρ τοὺς λόγους ἀνέπαυεν ἐς τὰ χρηστὰ τῶν παραγγελμάτων.

XVIII Ἐμφιλοσοφήσας δὲ τῇ Σικελίᾳ χρόνον, ὃς ἀποχρῶσαν αὐτῷ σπουδὴν εἶχεν, ἐπὶ τὴν Ἑλλάδα ἐκομίζετο περὶ ἀρκτούρου ἐπιτολάς. ἀλύπου δὲ τοῦ πλοῦ γενομένου κατασχὼν ἐς Λευκάδα „ἀπο-
20 βῶμεν" ἔφη „τῆς νεὼς ταύτης, οὐ γὰρ λῷον αὐτῇ ἐς Ἀχαίαν πλεῦσαι". προσέχοντος δὲ οὐδενὸς τῷ λόγῳ πλὴν τῶν γιγνωσκόντων τὸν ἄνδρα, αὐτὸς μὲν ἐπὶ Λευκαδίας νεὼς ὁμοῦ τοῖς βουλομένοις ξυμπλεῖν ἐς Λέχαιον κατέσχεν, ἡ δὲ ναῦς ἡ Συρακουσία κατέδυ ἐσπλέουσα τὸν Κρισαῖον κόλπον.

XIX Μυηθεὶς δ' Ἀθήνησιν, ἐμύει δ' αὐτὸν ἱεροφάντης, ὃν αὐτὸς τῷ προτέρῳ ἐπεμαντεύσατο,
25 ἐνέτυχε καὶ Δημητρίῳ τῷ φιλοσόφῳ, μετὰ γὰρ τὸ Νέρωνος βαλανεῖον καὶ ἃ ἐπ' αὐτῷ εἶπε διῃτᾶτο Ἀθήνησιν ὁ Δημήτριος οὕτω γενναίως, ὡς μηδὲ τὸν χρόνον, ὃν Νέρων περὶ τοὺς ἀγῶνας ὕβριζεν, ἐξελθεῖν τῆς Ἑλλάδος. ἐκεῖνος καὶ Μουσωνίῳ ἔφασκεν ἐντετυχηκέναι περὶ τὸν Ἰσθμὸν δεδεμένῳ τε καὶ κεκελευσμένῳ ὀρύττειν, καὶ αὐτὸς μὲν ἐπευφημῆσαι τὰ εἰκότα, τὸν δὲ ἔχεσθαι τῆς σμινύης καὶ ἐρρωμένως τῇ γῇ ἐμβάλλειν, ἀνακύψαντα δὲ „λυπῶ σε", ἂν „ὦ Δημήτριε, τὸν Ἰσθ-
30 μὸν ὀρύττων τῇ Ἑλλάδι; εἰ δὲ καὶ κιθαρῳδοῦντά με εἶδες, ὥσπερ Νέρωνα, τί ἂν ἔπαθες"; καὶ ἐάσθω τὰ Μουσωνίου πλείω ὄντα καὶ θαυμασιώτερα, ὡς μὴ δοκοίην θρασύνεσθαι πρὸς τὸν ἀμελῶς αὐτὰ εἰπόντα.

XX Χειμάσας δ' ὁ Ἀπολλώνιος ἐν τοῖς Ἑλληνικοῖς ἱεροῖς πᾶσιν εἴχετο τῆς ἐπ' Αἴγυπτον ὁδοῦ περὶ ἔαρ, πολλὰ μὲν ἐπιπλήξας, πολλὰ δὲ συμβουλεύσας ταῖς πόλεσι, πολλῶν δὲ ἐς ἔπαινον κα-

1. ὅτι τοὺς περὶ τῆς Αἴτνης λόγους τῶν ποιητῶν ὡς μύθους παραιτεῖσθαί φησι τὸν Ἀπολλώνιον, ὧδε λέγοντα. ὁ γὰρ μῦθος, ὃν – ποταμῶν εἰσιν. Φ. (329, a, 23.) 2. θρυλοῦσιν. π, f, s, ΦA,B. θρυλλοῦσιν. p, l, E. 3. Τυφῶ. 2, E. 4. γεγονέναι φημὶ om. m. 5. τοιαῦτα. Φ praeter A. ib. τῶν om. 2, a, m, Φ. 6. ναοὺς. p. ib. ἕδη. s. ib. τοὺς θεούς. Φ. 8. ὡς om. m. ib. μέλλει. f, s. 9. ὄρη om. ΦA,B. 10. ὀρῶν. π. 12. τύχη. ΦA. ib. φρικτὸν. p. 13. προχεῖται. Φ. ib. πῦρ ἀθρόον om. ΦA,B. 14. δὲ. l. ib. ἀσεβῶν. v. ib. εἰς οὓς. p, pr. m. περὶ οὓς. o. 19. κατασχεῖν. f. corr. al. m. 20. ἐξ Ἀχαίας. v. ib. πέμψαι. f. corr. al. m. πλεῦσαι. 22. κρησαῖον. a. 24. δ' om. a, m. 25. ἀνέτυχε. v. ib. δὲ καὶ. l, s, a, m. 26. παρὰ. v. 27. τῆς om. o. 28. κελευσμένῳ. v et ἐ ευ p pr. m. κελευσαμένῳ. fc. E. ib. αὐτὸν. m, o. ib. ἀπαφημῆσαι. π. ἐπευφημῆσαι. m. γρ. ἀπευφημῆσαι. p, 2, a, m. ἀνευφημῆσαι. o. 29. μηνύης. l. ib. λυπῶ σε ἂν. C, E. Fo: λυπῶ σε, εἰπεῖν. 30. με om. v. ib. ἔπαθον. p. 31. ἀμελῶς. C, E. ἐμελῶς. Ol. 33. δὲ ὁ Α. 2. ib. ἐπ' Αἰγύπτου. s, a, m. 34. πολλὰ – πόλεσι om. 2. (in s adj. m. rec.) a, Rb.

V, 17. 18. 19. 20. p. 201. 202.

ταστάς, οὐδὲ γὰρ ἐπαίνου ἀπείχετο, ὁπότε τι ὑγιῶς πράσσοιτο, καταβὰς δὲ ἐς Πειραιᾶ ναῦς μέν
τις ὥρμει πρὸς ἱστίοις οὖσα καὶ ἐς Ἰωνίαν ἀφήσουσα, ὁ δ' ἔμπορος οὐ ξυνεχώρει ἐμβαίνειν, ἰδιό- 203
στολον γὰρ αὐτὴν ἄγειν. ἐρομένου δὲ τοῦ Ἀπολλωνίου „τίς ὁ φόρτος"; „θεῶν" ἔφη „ἀγάλματα
ἀπάγω ἐς Ἰωνίαν, τὰ μὲν χρυσοῦ καὶ λίθου, τὰ δὲ ἐλέφαντος καὶ χρυσοῦ". „ἱδρυσόμενος ἢ τί";
„ἀποδωσόμενος" ἔφη „τοῖς βουλομένοις ἱδρύεσθαι". „δέδιας οὖν, ὦ λῷστε, μὴ συλήσωμεν τὰ
ἀγάλματα ἐν τῇ νηΐ"; „οὐ τοῦτο" ἔφη „δέδια, τὸ δὲ πλείοσι ξυμπλεῖν αὐτὰ καὶ ὁμιλίας ἀναπίμ-
πλασθαι φαύλου διαίτης τε, ὁπόση ναυτική, δεινὸν ἡγοῦμαι". „καὶ μήν, ὦ βέλτιστε", εἶπε „δο-
κεῖς γάρ μοί τις Ἀθηναῖος εἶναι, τὰς ναῦς, αἷς ἐπὶ τοὺς βαρβάρους ἐχρήσασθε, καίτοι ναυτικῆς
ἀταξίας ἐμπεπλησμένας ἐνέβαινον οἱ θεοὶ ξὺν ὑμῖν καὶ οὐκ ᾤοντο ὑφ' ὑμῶν χραίνεσθαι, σὺ δὲ
ἀμαθῶς οὕτως ἀπωθῇ τῆς νεὼς φιλοσόφους ἄνδρας, οἷς μάλιστα οἱ θεοὶ χαίρουσι καὶ ταῦτα ἐμποριαν
τοὺς θεοὺς πεποιημένος; ἡ δὲ ἀγαλματοποιία ἡ ἀρχαία οὐ τοῦτο ἔπραττεν, οὐδὲ περιήεσαν τὰς
πόλεις ἀποδιδόμενοι τοὺς θεούς, ἀλλ' ἀπάγοντες μόνον τὰς αὑτῶν χεῖρας καὶ ὄργανα λιθουργὰ
καὶ ἐλεφαντουργὰ ὕλην τε παρατιθέμενοι ἀργὸν ἐν αὐτοῖς τοῖς ἱεροῖς τὰς δημιουργίας ἐποιοῦντο,
σὺ δ' ὥσπερ τὰ Τρκανικά τε καὶ Σκυθικά, ἀπείη δὲ εἰπεῖν τίνα, οὕτω τοὺς θεοὺς ἐς τοὺς λιμέ-
νας τε καὶ τὰς ἀγορὰς ἄγων οὐδὲν οἴει ἀσεβὲς πράττειν; καὶ μὴν καὶ σπερμολογοῦσιν ἔνιοι τῶν
ἀνθρώπων ἐξαψάμενοί τι Δήμητρος ἢ Διονύσου ἄγαλμα καὶ τρέφεσθαί φασιν ὑπὸ τῶν θεῶν, οὓς
φέρουσι, τὸ δ' αὐτοὺς σιτεῖσθαι τοὺς θεοὺς καὶ μηδ' ἐμπίπλασθαι τούτους, δεινῆς ἐμπορίας, εἴ-
ποιμι δ' ἂν καὶ ἀνοίας, εἰ μηδὲν ἐκ τούτου δέδοικας." τοιαῦτα ἐπιπλήξας ἐπὶ νεὼς ἑτέρας ἔπλει.

Καταπλεύσας δὲ ἐς τὴν Χίον, καὶ μηδὲ τὸν πόδα ἐς τὴν γῆν ἐρείσας μετεπήδησεν ἐς τὴν ναῦν XXI 204
τὴν πλησίον — ἐκήρυττε δ' ἡ ναῦς ἐς Ῥόδον — καὶ οἱ ἑταῖροι δὲ μετεπήδων οὐδὲν εἰπόντες, ἐφι-
λοσοφεῖτο γὰρ αὐτοῖς μάλιστα τὸ ἕπεσθαι λέγοντί τε καὶ πράττοντι. εὐφόρῳ δὲ περαιωθεὶς πνεύ-
ματι τάδε ἐσπούδασεν ἐν τῇ Ῥόδῳ· προσιόντα αὐτὸν τῷ τοῦ Κολοσσοῦ ἀγάλματι ἤρετο ὁ Δάμις,
τί ἡγοῖτο ἐκείνου μεῖζον; ὁ δὲ εἶπεν· „ἄνδρα φιλοσοφοῦντα ὑγιῶς τε καὶ ἀδόλως". ἐπεχωρίαζε
τότε τῇ Ῥόδῳ Κάνος αὐλητής, ὃς ἄριστα δὴ ἀνθρώπων ἐδόκει αὐλεῖν. καλέσας οὖν αὐτὸν „τί"
ἔφη „ὁ αὐλητὴς ἐργάζεται"; „πᾶν", εἶπεν „ὅπερ ἂν ὁ ἀκροατὴς βούληται". „καὶ μὴν πολλοί"
ἔφη „τῶν ἀκροωμένων πλουτεῖν βούλονται μᾶλλον ἢ αὐλοῦ ἀκούειν· πλουσίους οὖν ἀποφαίνεις,
οὓς ἂν ἐπιθυμοῦντας τούτου αἴσθῃ"; „οὐδαμῶς", εἶπεν „ὡς ἐβουλόμην ἄν". „τί δ'; εὐειδεῖς ἐργάζῃ
τοὺς νέους τῶν ἀκροατῶν; ἐπειδὴ καλοὶ βούλονται δοκεῖν πάντες, περὶ οὓς νεότης ἐστίν". „οὐδὲ
τοῦτο" ἔφη „καίτοι πλεῖστον ἀφροδίτης ἔχων ἐν τῷ αὐλῷ". „τί οὖν ἐστιν," εἶπεν „ὃ τὸν ἀκροα-
τὴν ἡγῇ βούλεσθαι"; „τί δὲ ἄλλο γε", ἦ δ' ὁ Κάνος „ἢ τὸν λυπούμενον μὲν κοιμίζεσθαι αὐτῷ
τὴν λύπην ὑπὸ τοῦ αὐλοῦ, τὸν δὲ χαίροντα ἱλαρώτερον ἑαυτοῦ γίγνεσθαι, τὸν δὲ ἐρῶντα θερμότ-
τερον, τὸν δὲ φιλοθύτην ἐνθεώτερόν τε καὶ ὑμνῴδη"; „τοῦτο οὖν", ἔφη „ὦ Κάνε, πότερον
αὐτὸς ἐργάζεται ὁ αὐλὸς διὰ τὸ χρυσοῦ τε καὶ ὀρειχάλκου καὶ ἐλάφων κνήμης ξυγκεῖσθαι, οἱ δὲ
καὶ ὄνων, ἢ ἕτερόν ἐστιν, ὃ ταῦτα δύναται"; „ἕτερον" ἔφη „ὦ Ἀπολλώνιε, ἡ γὰρ μουσικὴ καὶ
οἱ τρόποι καὶ τὸ ἀναμὶξ καὶ τὸ εὐμετάβολον τῆς αὐλήσεως καὶ τὰ τῶν ἁρμονιῶν ἤθη, ταῦτα τοὺς
ἀκροωμένους ἁρμόττει καὶ τὰς ψυχὰς ἐργάζεται σφῶν, ὁποίας βούλονται". „ξυνῆκα" ἔφη „ὦ Κάνε,

1. οὐ γὰρ. f, l, v. ib. καταβὰς δὲ. 1. καταβὰς 2, E. 3. ἀγάλματα, ἔφη. v. 4. μὲν γὰρ. 2, a, m. ib. ἐλεφαντίνου. f. sl. m. corr. 5. ἀποδοσόμενος. p. 6. ἐν om. 2. (s habet a rec. m.) ib. τοῦτ'. p. 8. μοι γὰρ. a, m. ib. ἂς. v. 9. ἡμῖν. f pr. m. et v. ib. ἡμῶν. f pr. m et v. 10. ἀποθεῖ. v. ἀποθῇ. m, o. ib. οἷς οἱ θεοὶ χαίρουσι μᾶλιστα. p. 11. τοῦτ'. p. 12. ἀποδεδόμενον. f. ἀποδεδομένοι. l. ib. αὐτῶν. E. αὑτῶν. l. 13. παρατιθέμενοι. π. περιθέμενοι. p. παραθέμενοι. 2, E. 14. τε om. l. ib. τινὰ. B. 15. καὶ. alterum om. p. 17. αὐτὸ. v. ib. εἴποιμ' ἂν. p. οἵας ν 18. ἀνανδρίας. π. ἀναδρείας. v. ἀνανδρίας. p, f, l, s, E. 22. δὲ αὐτὸν. 2, a, m. 23. ἡγεῖτο. π, v. ib. ὁ om. v. 29. πλείστω. s. rec. m. 30. ἦδ'. l. 31. τὸν μὲν χαίρ. l. 32. τὸν φιλοθύτην. l. 33. οἱ δὲ. C. εἰ δὲ. B. ἢ δὲ. o. 36. ξυνῆκ'. E.

V, 21. p. 203. 204.

ὅ τι σοι ἡ τέχνη πράττει· τὸ γὰρ ποικίλον αὐτῆς καὶ τὸ ἐς πάντας τρόπους, τοῦτο ἐξασκεῖς τε καὶ παρέχεις τοῖς παρὰ σὲ φοιτῶσιν. ἐμοὶ δὲ πρὸς τοῖς ὑπὸ σοῦ εἰρημένοις καὶ ἑτέρων δοκεῖ ὁ
205 αὐλὸς δεῖσθαι· τῆς τε εὐπνοίας καὶ τῆς εὐστομίας καὶ τοῦ εὔχειρα εἶναι τὸν αὐλοῦντα, ἔστι δὲ εὔπνοια μέν, ἢν τορὸν καὶ λευκὸν ᾖ τὸ πνεῦμα καὶ μὴ ἐπικτυπῇ ἡ φάρυγξ, τουτὶ γὰρ ἔοικε φθόγγῳ ἀμούσῳ, εὐστομία δέ, ἢν τὰ χείλη ἐνθέμενα τὴν τοῦ αὐλοῦ γλῶτταν μὴ πιμπραμένου τοῦ προσώπου αὐλῇ, τὸν δὲ εὔχειρα αὐλητὴν πολλοῦ ἡγοῦμαι ἄξιον, ἢν μήτε ὁ καρπὸς ἀπαγορεύῃ ἀνακλώμενος μήτε οἱ δάκτυλοι βραδεῖς ὦσιν ἐπιπέτεσθαι τοῖς φθόγγοις, καὶ γὰρ τὸ ταχέως μεταβάλλειν ἐκ τρόπου ἐς τρόπον περὶ τοὺς εὐχειρὰς ἐστι μᾶλλον. εἰ δὴ ταῦτα πάντα παρέχεις, θαρ-
XXII ρῶν αὔλει, ὦ Κάνε, μετὰ σοῦ γὰρ ἡ Εὐτέρπη ἔσται." ἐτύγχανέ τι καὶ μειράκιον νεόπλουτόν τε
10 καὶ ἀπαίδευτον οἰκοδομούμενον οἰκίαν τινὰ ἐν τῇ Ῥόδῳ καὶ ξυμφέρον ἐς αὐτὴν γραφάς τε ποικίλας καὶ λίθους ἐξ ἁπάντων ἐθνῶν. ἤρετο οὖν αὐτό, ὁπόσα χρήματα εἴη ἐς διδασκάλους τε καὶ παιδείαν ἀνηλωκός· ὁ δὲ „οὐδὲ δραχμήν" εἶπεν. „ἐς δὲ τὴν οἰκίαν πόσα"; „δώδεκα" ἔφη „τάλαντα, προσαναλώσαιμι δ' ἂν καὶ ἕτερα τοσαῦτα". „τί δ'" εἶπεν „ἡ οἰκία βούλεταί σοι"; „δίαιτα" ἔφη „λαμπρὰ ἔσται τῷ σώματι, καὶ γὰρ δρόμοι ἐν αὐτῇ καὶ ἄλση καὶ ὀλίγα ἐς ἀγορὰν βαδιοῦμαι
15 καὶ προσεροῦσί με οἱ ἐσιόντες ἥδιον, ὥσπερ ἐς ἱερὸν φοιτῶντες". „ζηλωτότεροι δὲ" εἶπεν „οἱ ἄνθρωποι πότερον δι' αὐτούς εἰσιν ἢ διὰ τὰ περὶ αὐτοὺς ὄντα"; „διὰ τὸν πλοῦτον", εἶπε „τὰ γὰρ χρήματα πλεῖστον ἰσχύει". „χρημάτων δ'", ἔφη „ὦ μειράκιον, ἀμείνων φύλαξ πότερον ὁ πεπαιδευμένος ἔσται ἢ ὁ ἀπαίδευτος"; ἐπεὶ δὲ ἐσιώπησε, „δοκεῖς μοι", εἶπε „μειράκιον, οὐ σὺ τὴν οἰκίαν, ἀλλὰ σὲ ἡ οἰκία κεκτῆσθαι. ἐγὼ δὲ ἐς ἱερὸν παρελθὼν πολλῷ ἂν ἥδιον ἐν αὐτῷ μικρῷ
XXIII 206 20 ὄντι ἄγαλμα ἐλέφαντός τε καὶ χρυσοῦ ἴδοιμι ἢ ἐν μεγάλῳ κεραμεοῦν τε καὶ φαῦλον." νεανίαν δὲ ἰδὼν πίονα καὶ φρονοῦντα ἐπὶ τῷ πλεῖστα μὲν ἀνθρώπων ἐσθίειν, πλεῖστον δὲ οἶνον πίνειν „ἀλλ' ἦ σὺ" ἔφη „τυγχάνεις ὢν ὁ γαστριζόμενος"; „καὶ θύω γε" εἶπεν „ὑπὲρ τούτου". „τί οὖν" ἔφη „ἀπολέλαυκας τῆς βορᾶς ταύτης"; „τὸ θαυμάζεσθαί με καὶ ἀποβλέπεσθαι· καὶ γὰρ τὸν Ἡρακλέα ἴσως ἀκούεις, ὡς καὶ τὰ σιτία αὐτοῦ παραπλησίως τοῖς ἄθλοις ᾔδετο". „Ἡρακλέους" ἔφη „ὄντος
25 σοῦ δὲ τίς, ὦ κάθαρμα, ἀρετή; τὸ γὰρ περίβλεπτον ἐν μόνῳ λείπεταί σοι τῷ ῥαγῆναι".

XXIV Τοιάδε μὲν αὐτῷ τὰ ἐν τῇ Ῥόδῳ, τὰ δὲ ἐν τῇ Ἀλεξανδρείᾳ, ἐπειδὴ ἐσέπλευσεν· ἡ Ἀλεξάνδρεια καὶ ἀπόντος μὲν αὐτοῦ ἦρα καὶ ἐπόθουν τὸν Ἀπολλώνιον, ὡς εἷς ἕνα, καὶ ἡ Αἴγυπτος δὲ ἡ ἄνω μεστοὶ θεολογίας ὄντες καὶ φοιτήσαι αὐτὸν ἐς τὰ ἤθη τὰ αὐτῶν ηὔχοντο, ἅτε γὰρ πολλῶν ἀφικνουμένων μὲν ἐνθένδε ἐς Αἴγυπτον, πολλῶν δὲ ἐπιμιγνύντων δεῦρο ἐξ Αἰγύπτου ᾔδετό τε
30 παρ' αὐτοῖς Ἀπολλώνιος καὶ τὰ ὦτα ἐς αὐτὸν Αἰγυπτίοις ὀρθὰ ἦν· προιόντα γέ τοι ἀπὸ τῆς νεὼς ἐς τὸ ἄστυ θεῷ ἴσα ἀπέβλεπον καὶ διεχώρουν τῶν στενωπῶν, ὥσπερ τοῖς φέρουσι τὰ ἱερά. παραπεμπομένου δὲ αὐτοῦ μᾶλλον ἢ οἱ τῶν ἐθνῶν ἡγεμόνες, ἄνδρες ἦγοντο τὴν ἐπὶ θανάτῳ δώδεκα λῃσταὶ τὴν αἰτίαν, ὁ δὲ ἐς αὐτοὺς ἰδὼν „οὐ πάντες" εἶπεν „ὁ δεῖνα γὰρ καταψευσθεὶς ἄπεισι". καὶ πρὸς τοὺς δημίους, ὑφ' ὧν ἦγοντο, ὑφεῖναι" ἔφη „κελεύω τοῦ δρόμου καὶ σχολαιότερον ἧκειν

1. τοῦ ἐξασκεῖσθαι. f. al. m. corr. ἐξ ἀσκεῖς τε. a. 2. παρὰ τοῖς. v. 4. εἰ τορὸν. s. ᾗ τορὸν. a, m. ib. ᾗ τὸ. a, m. ᾗ τὸ. C, B, o. ib. ἐπικτυπῇ. 1, f. ἐπικτυποῖ. v. ἐπικτυπεῖν. a. ἐπικτυπεῖ. l, m, o. ib. φάρυξ. s. 5. πεπρημένου. B. 6. εὔχειρας ἐστὶ. o. 8. ταῦτα παρεχεῖς. π (sic). ταῦτα πάντα. m, o. πάντα om. p, 2, a. 9. τι καὶ. π. δὲ καὶ. p, 2, E. 10. ξυμφέρων. v. 12. ἀνηλωκὼς. v. 14. βαδιοῦμαι. l. βαδιοῦμεν. 2, E. 15. με. l. μοι. 2, E. 17. φυλάξας ὁ. π. φύλαξ πότερον. p, 2, E. ib. ὁ om. f, v. 17. δὴ. v. δ'. l. 18. σὺ τὴν οἰκίαν. π. ib. ἐκτῆσθαι. v. 20. τι καὶ. a. 21. ἀλλ' ᾗ. l, E. Scr. ἀλλ' ἡ. 22. σὺ ἔφη. l. ἔφη σὺ. 2, E. 23. θαυμάζεσθαί με. π. θαυμάζεσθαι μὲν. p, 2, E. 24. ἄλλοις. π. 25. σοῦ. l. σοὶ. 2, E. ib. ἡ ἀρετὴ. l, s, a. ib. λείπεσθαι. l, s, a. 26. αὐτῷ. l. αὐτοῦ. 2, E. ib. Ἀλεξανδρείᾳ. o. 27. καὶ ὁ πόντος. l. ib. ὡς om. m. ib. εἰς ἕνα. u, Φ, r. ib. καὶ ἡ Αἰγ. 1, m, o. καὶ Αἴγυπτος. 2, a. 28. ἤδη ἀφικομένων. l. 29. μὲν om m, o. ib. ἐνθάδε. v. ib. ᾔδετο. 1, l, s, B, J. Ep. crit. 42. ᾔδετο. f, v, E. 30. καὶ — ἐς Ἀπολλώνιον — ἦν. Φ (33, b, 21). 31. θεῷ om. m. ib. ἐπέβλεπον. p. 32. τὴν om. o. ib. θανάτῳ. π, f, v. θανάτου. p. θάνατον. l, s, E. 34. ἀποδήμους. p. ib. σχολαιότερον. 1. σχολαίτερον. 2, E.

V, 22. 23. 24. p. 205. 206.

ἐπὶ τὸ ὄργμα ὕστατόν τε ἀποκτεῖναι τοῦτον, μετέχει γὰρ οὐδὲν τῆς αἰτιάσεως, ἀλλ' ὑμεῖς γε ὅσια πράττοιτε φειδόμενοι τούτων βραχὺ μέρος ἡμέρας, οὓς λῷον ἦν μηδ' ἀποκτείνειν·" καὶ ἅμα ἐνδιέτριβεν οἷς ἔλεγεν, οὐκ εἰωθὼς ἑαυτῷ ἀποτείνων μῆκος. τί δ' αὐτῷ ἐνόει τοῦτο, αὐτίκα ἐδείχθη· ὀκτὼ γὰρ ἤδη ἀποτετμημένων τὰς κεφαλὰς ἵππεὺς ἐλαύνων ἐπὶ τὸ ὄργμα „Φαρίωνος" ἐβόα „φείσασθε", μὴ γὰρ εἶναι λῃστὴν αὐτόν, ἀλλ' ἑαυτοῦ μὲν κατεψεῦσθαι δέει τοῦ στρεβλώσεσθαι, βασανισθέντων δὲ ἑτέρων χρηστὸν ὁμολογῆσθαι ἄνδρα. ἐῶ τὸ πήδημα τῆς Αἰγύπτου καὶ ὅσον ἐπὶ τούτῳ ἐκρότησαν καὶ ἄλλως θαυμαστικοὶ ὄντες. ἀνελθόντι δὲ αὐτῷ ἐς τὸ ἱερὸν ὁ μὲν κόσμος ὁ περὶ αὐτὸ καὶ ὁ ἐφ' ἑκάστῳ λόγος θεῖός τε ἐφαίνετο καὶ κατὰ σοφίαν ξυντεθείς, τὸ δὲ τῶν ταύρων αἷμα καὶ οἱ χῆνες καὶ ὁπόσα ἐθύετο, οὐκ ἐπῄνει τὰ τοιάδε, οὐδὲ ἐς δαῖτας θεῶν ἦγεν. ἐρομένου δ' αὐτὸν τοῦ ἱερέως, τί μαθὼν οὐχ οὕτω θύοι, „σὺ μὲν οὖν" εἶπεν „ἀπόκριναί μοι μᾶλλον, τί μαθὼν οὕτω θύεις"; εἰπόντος δὲ τοῦ ἱερέως „καὶ τίς οὕτω δεινός, ὡς διορθοῦσθαι τὰ Αἰγυπτίων"; „πᾶς" ἔφη „σοφός, ἢν ἀπ' Ἰνδῶν ἥκῃ. καὶ βοῦν" ἔφη „ἀπανθρακιῶ τήμερον καὶ κοινώνει τοῦ κρέως ἡμῖν, οὐ γὰρ ἀχθέσῃ περὶ τῆς μοίρας, εἰ κἀκείνην οἱ θεοὶ δαίσονται". τηκομένου δὲ τοῦ πλάσματος „ὅρα" ἔφη „τὰ ἱερά". „ποῖα"; εἶπεν ὁ Αἰγύπτιος „ὁρῶ γὰρ οὐδὲν ἐνθάδε." ὁ δὲ Ἀπολλώνιος „οἱ δὲ Ἰαμίδαι" εἶπε „καὶ οἱ Τελλιάδαι καὶ οἱ Κλυτιάδαι καὶ τὸ τῶν Μελαμποδιδῶν μαντεῖον ἐλήρησαν, ὦ λῷστε, τοσαῦτα μὲν περὶ πυρὸς εἰπόντες, τοσαύτας δὲ ἀπ' αὐτοῦ ξυλλεξάμενοι φήμας; ἢ τὸ μὲν ἀπὸ τῆς πεύκης πῦρ καὶ τὸ ἀπὸ τῆς κέδρου μαντικὸν ἡγῇ καὶ ἱκανὸν δηλῶσαί τι, τὸ δ' ἀπὸ τοῦ πιοτάτου τε καὶ καθαρωτάτου δακρύου καόμενον οὐ πολλῷ αἱρετώτερον; εἰ δ' ἐμπύρου σοφίας ἦσθα εὐξύνετος, εἶδες ἂν καὶ ἐν τῷ τοῦ ἡλίου κύκλῳ πολλὰ δηλούμενα, ὁπότε ἀνίσχει." τούτοις ἐπέσκωπτε τὸν Αἰγύπτιον ὡς ἀμαθῆ τῶν θείων. προσκειμένης δὲ τῆς Ἀλεξανδρείας ἵπποις καὶ ξυμφοιτώσης μὲν ἐς τὸν ἱππόδρομον ἐπὶ τῇ θέᾳ ταύτῃ, μιαιφονούντων δὲ ἀλλήλους ἐπίπληξιν ὑπὲρ τούτων ἐποιεῖτο, καὶ παρελθὼν ἐς τὸ ἱερὸν „ποῖ" ἔφη „παρατενεῖτε ἀποθνήσκοντες οὐχ ὑπὲρ τέκνων οὐδὲ ἱερῶν, ἀλλ' ὡς χραίνοιτε μὲν τὰ ἱερὰ λύθρου μεστοὶ ἐς ταῦτα ἥκοντες, φθείροισθε δὲ ἔσω τείχους; καὶ Τροίαν μέν, ὡς ἔοικεν, ἵππος εἰς διεπόρθησεν, ὃν ἐσοφίσαντο οἱ Ἀχαιοὶ τότε, ἐφ' ὑμᾶς δὲ ἅρματα ἔζευκται καὶ ἵπποι, δι' οὓς οὐκ ἔστιν ὑμῖν εὐηνίως ζῆν· ἀπόλλυσθε γοῦν οὐχ ὑπὸ Ἀτρειδῶν, οὐδ' ὑπὸ Αἰακιδῶν, ἀλλ' ὑπ' ἀλλήλων, ὃ μηδ' οἱ Τρῶες ἐν τῇ μέθῃ. κατὰ μὲν οὖν τὴν Ὀλυμπίαν, οὐ πάλης καὶ πυγμῆς καὶ τοῦ παγκρατιάζειν ἆθλα, οὐδεὶς ὑπὲρ ἀθλητῶν ἀπέθανεν ἴσως καὶ ξυγγνώμης ὑπαρχούσης, εἴ τις ὑπερσπουδάζοι περὶ τὸ ὁμόφυλον, ὑπὲρ δὲ ἵππων ἐνταῦθα γυμνὰ μὲν ὑμῖν ἐπ' ἀλλήλοις ξίφη, βολαὶ δὲ ἕτοιμοι λίθων. πῦρ δὲ ἐπὶ τὴν τοιαύτην πόλιν, ἔνθα οἰμωγή τε καὶ ὕβρις ὀλλύντων τε καὶ ὀλλυμένων, ῥέει δ' αἵματι γαῖα. αἰδέσθητε τὸν κοινὸν τῆς Αἰγύπτου κρατῆρα Νεῖλον. ἀλλὰ τί Νείλου μνημονεύω πρὸς ἀνθρώπους αἵματος ἀναβάσεις διαμετροῦντας μᾶλλον ἢ ὕδατος;" καὶ πλείω ἐς τὴν ἐπίπληξιν ταύτην διελέχθη ἕτερα, ὡς διδάσκει ὁ Δάμις.

Οὐεσπασιανοῦ δὲ τὴν αὐτοκράτορα ἀρχὴν περινοοῦντος περὶ τὰ ὅμορα τῇ Αἰγύπτῳ ἔθνη καὶ προχωροῦντος ἐπὶ τὴν Αἴγυπτον Δίωνες μὲν καὶ Εὐφρᾶται, περὶ ὧν μικρὸν ὕστερον εἰρήσεται,

207 208 209

XXV XXVI XXVII

2. ἡμέρας om. π. ib. ἦ. 2, a. ib. καὶ ἄμφω. a, m. ib. διέτριβεν s ex corr. a, m. 3. ἀποκτείνων. a. ib. αὐτὸ. π. 4. τὸ ὄργμα. 1. τῷ ὀργματι. 2, E. ib. φείσασθε. 1, v, m, o. φείσασθαι. f, l, s, a. 5. καταψεῦσθαι. s, a. ib. στρεβλοῦσθαι. p. 6. ὁμολογῆσθαι. f. ὑμο.ογεῖσθαι. E. 7. περὶ αὐτὸ. C. περὶ αὐτὸν. E. 10. μὲν οὖν. π. μὲν. p, 2, E. ib. ἀπόκριναι. C ἀπόκρινε. E. 12. σοφος π. ὁ σοφὸς p ante corr. 2, E. 13. ἀχθεσθήσῃ. p. 15. Τελεάδαι. C, E. Τελλιάδαι. Leopard. Emend. IV, 18. ib. τὸ τῶν. π. τὸ πᾶν τῶν. p, 2, E. 17. καὶ ἀπὸ. m. ib. καὶ οὐκ ἄν δηλῶσαι. p. ib. ἀπὸ πιοτάτου. E 23. οὐδὲ ἱερῶν. 1. οὔτε ἱερῶν. 2, E. ib. ἀλλ' ὡς. C, B, H. ἄλλως. E. 28. ὑπὸ ἀθλητῶν. non π, etsi m. γρ. Hinc o recepit. ib. ξυγγνώμης ὑπαρχούσης. π, f, v, l. ξυγγνώμης μὲν ὑπαρχούσης. p, s, E. 29. ὑμῖν om. v. ib. ἀλλήλοις. 1. ἀλλήλους. 2, E. 30. ἔνθα οἰμωγὴ. 1. ἔνθα δ' ἅμ' οἰμωγὴ. 2. ἔνθ' ἅμ'. οἰμ. l, a. ἔνθα ἅμ' οἰμ. m, o. ib. εὐχωλὴ πέλεν ἀνδρῶν. m. γρ. (scil. in Homero.) ib. ῥέει. l, m, o. 31. αἰδέσθητι. a. 32. διαμετροῦντος. π.

35. Εὐφράται. l, E.

V. 25. 26. 27. p. 207. 208. 209.

χαίρειν παρεκελεύοντο· μετὰ γὰρ τὸν πρῶτον αὐτοκράτορα, ὑφ' οὗ τὰ Ῥωμαίων διεκοσμήθη, τυραν-
210 νίδες οὕτω χαλεπαὶ ἴσχυσαν ἐπὶ πεντήκοντα ἔτη, ὡς μηδὲ Κλαύδιον τὰ μέσα τούτων τρισκαίδεκα
ἄρξαντα χρηστὸν δόξαι· καίτοι πεντηκοντούτης μὲν ἐς τὸ ἄρχειν παρῆλθεν, ὅτε νοῦς μάλιστα ὑγι-
αίνει ἀνθρώπων, παιδείας δὲ ξυμπάσης ἐδόκει ἐρᾶν· ἀλλὰ κἀκεῖνος τηλικόσδε ὢν πολλὰ μειρακιώδη
5 ἔπαθε καὶ μηλόβοτον γυναίοις τὴν ἀρχὴν ἀνῆκεν, ὑφ' ὧν οὕτω ῥᾳθύμως ἀπέθανεν, ὡς καίτοι
προγιγνώσκων, ἃ μέλλει πείσεσθαι, μηδ' ἃ προῄδει, φυλάξασθαι. Ἀπολλώνιος δὲ παραπλησίως
μὲν Εὐφράτῃ καὶ Δίωνι περὶ τούτων ἔχαιρε, μελέτην δ' αὐτὰ οὐκ ἐποιεῖτο ἐς πάντας ῥητορικωτέ-
ραν ἡγούμενος τὴν τοιάνδε ἰδέαν τοῦ λόγου, προσιόντι δὲ τῷ αὐτοκράτορι τὰ μὲν ἱερὰ πρὸ πυλῶν
ἀπήντα καὶ τὰ τῆς Αἰγύπτου τέλη καὶ οἱ νομοί, καθ' οὓς Αἴγυπτος τέτμηται, φιλόσοφοί τε ὡσαύ-
10 τως καὶ σοφία πᾶσα, ὁ δὲ Ἀπολλώνιος οὐδὲν ἐπολυπραγμόνει τούτων, ἀλλὰ ἐσπούδαζεν ἐν τῷ ἱερῷ.
διαλεχθεὶς δὲ ὁ αὐτοκράτωρ γενναιά τε καὶ ἥμερα καὶ διελθὼν λόγον οὐ μακρὸν „ἐπιδημεῖ" ἔφη
„ὁ Τυανεύς;" „ναὶ" ἔφασαν „βελτίους γε ἡμᾶς ἐργασάμενος". „πῶς ἂν οὖν ξυγγένοιτο ἡμῖν;"
ἔφη „σφόδρα γὰρ δέομαι τοῦ ἀνδρός". „ἐντεύξεταί σοι περὶ τὸ ἱερόν," ὁ Δίων εἶπε „πρὸς ἐμὲ
γὰρ δεῦρο ἥκοντα ὡμολόγει ταῦτα". „ἴωμεν" ἔφη ὁ βασιλεὺς „προσευξόμενοι μὲν τοῖς θεοῖς, ξυ-
15 νεσόμενοι δὲ ἀνδρὶ γενναίῳ." ἐντεῦθεν ἀνέφυ λόγος, ὡς ἐνθύμιος μὲν αὐτῷ ἡ ἀρχὴ γένοιτο πολι-
ορκοῦντι τὰ Σόλυμα, μεταπέμποιτο δὲ τὸν Ἀπολλώνιον ὑπὲρ βουλῆς τούτων, ὁ δὲ παραιτοῖτο ἥκειν
211 ἐς γῆν, ἣν ἐμίαναν οἱ ἐν αὐτῇ οἰκοῦντες οἷς τε ἔδρασαν οἷς τε ἔπαθον· ὅθεν αὐτὸς ἐλθεῖν ἐς
XXVIII Αἴγυπτον τὴν μὲν ἀρχὴν κεκτημένος, διαλεξόμενος δὲ τῷ ἀνδρὶ ὁπόσα δηλώσω· θύσας γὰρ καὶ
οὕπω χρηματίσας κατ' ἀξίαν ταῖς πόλεσι προσεῖπε τὸν Ἀπολλώνιον καὶ ὥσπερ εὐχόμενος αὐτῷ
20 „ποίησόν με" ἔφη „βασιλέα". ὁ δὲ „ἐποίησα", „εἶπεν" ἤδη γὰρ εὐξάμενος βασιλέα δίκαιόν τε καὶ
γενναῖον καὶ σώφρονα καὶ πολιᾷ κεκοσμημένον καὶ πατέρα παίδων γνησίων, σὲ δήπου παρὰ τῶν
θεῶν ᾔτουν ἐγώ." ὑπερησθεὶς δὲ τούτοις ὁ βασιλεύς, καὶ γὰρ ἐβόησε τὸ ἐν τῷ ἱερῷ πλῆθος ξυν-
τιθέμενοι τῷ λόγῳ, „τί σοι" ἔφη „Νέρωνος ἀρχὴ ἐφαίνετο"; καὶ ὁ Ἀπολλώνιος „Νέρων" εἶπε
„κιθάραν μὲν ἴσως ᾔδει ἁρμόττεσθαι, τὴν δὲ ἀρχὴν ᾔσχυνεν ἀνέσει καὶ ἐπιτάσει." „ξύμμετρον
25 οὖν" εἶπε „κελεύεις εἶναι τὸν ἄρχοντα"; „οὐκ ἐγώ", εἶπε „θεὸς δὲ τὴν ἰσότητα μεσότητα ὁρισά-
μενος. ἀγαθοὶ δὲ τούτων ξύμβουλοι καὶ οἵδε οἱ ἄνδρες" τὸν Δίωνα δείξας καὶ τὸν Εὐφράτην
μήπω αὐτῷ ἐς διαφορὰν ἥκοντα. τότε δὴ ἀνασχὼν ὁ βασιλεὺς τὰς χεῖρας „ὦ Ζεῦ" ἔφη „σοφῶν
μὲν ἐγὼ ἄρχοιμι, σοφοὶ δὲ ἐμοῦ." καὶ ἐπιστρέψας ἑαυτὸν ἐς τοὺς Αἰγυπτίους „ἀρύσασθε", εἶπεν
XXIX „ὡς Νείλου καὶ ἐμοῦ." ἡ μὲν δὴ Αἴγυπτος ὧδε ἀνέσχεν ἀπειρηκότες ἤδη δι' ἃ ἐπιέζοντο. κατιὼν
30 δὲ τοῦ ἱεροῦ ξυνῆψε τῷ Ἀπολλωνίῳ τὴν χεῖρα καὶ παραγαγὼν αὐτὸν ἐς τὰ βασίλεια, „ἴσως" ἔφη
„μειρακιώδης ἐνίοις δοκῶ βασιλείας ἁπτόμενος περὶ ἔτος ἑξηκοστὸν τοῦ βίου· δώσω οὖν ἀπολο-
γίαν, ὡς ἀπολογοῖο ὑπὲρ ἐμοῦ τοῖς ἄλλοις· ἐγὼ γὰρ πλούτου μὲν ἡττηθεὶς οὐδὲ ἐν μειρακίῳ ποτὲ
οἶδα, τὰς δὲ ἀρχάς τε καὶ λαμπρότητας, ὁπόσαι τῇ Ῥωμαίων ἀρχῇ προσήκουσιν, οὕτω σωφρόνως
212 καὶ μετρίως διεθέμην, ὡς μήτε ὑπέρφρων μήτ' αὖ κατεπτηχὼς δόξαι, νεώτερα δὲ οὐδ' ἐπὶ Νέρωνα
35 ἐνεθυμήθην, ἀλλ' ἐπειδὴ τὴν ἀρχήν, εἰ καὶ μὴ κατὰ νόμους, παρ' ἀνδρὸς γοῦν αὐτοκράτορος πα-
ραλαβὼν εἶχεν, ὑφιέμην αὐτῷ διὰ τὸν Κλαύδιον, ὃς ὕπατόν τε ἀπέδειξέ με καὶ ξύμβουλον τῶν
ἑαυτοῦ· καὶ νὴ τὴν Ἀθηνᾶν, ὁπότε Νέρωνα ἴδοιμι ἀσχημονοῦντα, δάκρυά μοι ἐξέπιπτεν ἐνθυμου-

5. οὔτ' ἄρα θύμως. p. 6. πείθεσθαι. f. ib. προήδη. p. 7. δὲ αὐτά. f. τε αὐτά. v. 9. νόμοι. l, a, m. 11. τε ἡμ. v. 12. γε om. a, m. ib. ἐργασάμενος. l, m, o. ἐργασόμενος 2, a. ib. οὖν om. m. 15. πρὸς τὸ ἱερόν. f, l. πρὸς τὸ ἱ. s. sec. m. περὶ suprasc. 14. προσευξάμενοι. v. 16. ἱεροσόλυμα. p. ib. ὑπερβολῆς. f. al. m. corr. 18. ἐκτημένος. l, v, a. 20. εἶπεν. 1 et m. γρ. ἔφη. 2, E. 21. παίδων γνησίων. π et m. γρ. γνήσιον. p, 2. E. (γνησίον. m, o.) γνησίων. J. 22. ᾔτουν. 1 (u). ᾔτουν ταῦτα. 2, E. 25. Fo: ἔφη, κελεύεις. 26. δὲ καὶ. v. ib. οἵδε καὶ. π. 28. δ' ἐμοῦ. p. 31. ἀπολογεῖς. v. 35. τὰς ἀρχάς. p. ib. καὶ τὰς λαμπρότητας. a, m. (non fc.) 36. παραλαβὼν. π, s, E. ἀναλαβὼν. p. λαβων. f, v. 36. ὑφιέμην. l. ib. ἀνέδειξε. v. ib. τῶν. ex corr. p. fuerat τὸν. 37. αὐτοῦ. v.

V, 28. 29. p. 210. 211. 212.

μένῳ τὸν Κλαύδιον, ὑφ' οἵου καθάρματος τὸ μέγιστον τῶν ἑαυτοῦ ἐκληρονομήθη. ὁρῶν δὲ μηδ' ὁπότε Νέρων ἐκποδὼν γέγονεν ἐπὶ τὸ λῷον μεθιστάμενα τὰ τῶν ἀνθρώπων, ἀλλ' οὕτως ἀτίμως τὴν ἀρχὴν πράττουσαν, ὡς ἐπὶ Βιτελίῳ κεῖσθαι, θαρρῶν ἤδη ἐπ' αὐτὴν εἶμι, πρῶτον μέν, ἐπειδὴ βούλομαι τοῖς ἀνθρώποις παρασχεῖν ἐμαυτὸν πολλοῦ ἄξιον, εἶτα, ἐπειδὴ πρὸς ἄνθρωπον ὁ ἀγὼν ἔσται κραιπαλῶντα· Βιτέλιος γὰρ μύρῳ μὲν λοῦται πλεῖον ἢ ἐγὼ ὕδατι, δοκεῖ δέ μοι καὶ ξίφει πληγεὶς μύρον ἐκδώσειν μᾶλλον ἢ αἷμα, οἴνῳ δὲ οἶνον ξυνάπτων μαίνεται, καὶ κυβεύει μὲν δεδιὼς μή τι αὐτὸν οἱ πεττοὶ σφήλωσιν, ὑπὲρ δὲ ἀρχῆς ἀναρριπτεῖ παίζων, ἑταίραις δὲ ὑποκείμενος ἐπιθόρνυται ταῖς γεγαμημέναις ἡδίω φάσκων τὰ μετὰ κινδύνων ἐρωτικά. ἐῶ τὰ ἀσελγέστερα, ὡς μὴ τοιαῦτα ἐπὶ σοῦ λέγοιμι· μὴ δὴ περιίδοιμι Ῥωμαίους ὑπὸ τοιούτου ἀρχθέντας, ἀλλ' ἡγεμόνας ποιούμενος τοὺς θεοὺς ἀνὴρ γιγνοίμην ἐμαυτῷ ὅμοιος· ὅθεν ἐκ σοῦ, Ἀπολλώνιε, πεῖσμα ἐγὼ βάλλομαι, φασὶ γὰρ πλεῖστά σε τῶν θεῶν αἰσθάνεσθαι, καὶ ξύμβουλον ποιοῦμαί σε φροντίδων, ἐφ' αἷς ἐστι γῆ καὶ θάλαττα, ἵν' εἰ μὲν εὐμενῆ τὰ παρὰ τῶν θεῶν φαίνοιτο, πράττοιμι ταῦτα, εἰ δὲ ἐναντία καὶ μὴ πρὸς ἐμοῦ μηδὲ Ῥωμαίων, μὴ ἐνοχλοίην τοὺς θεοὺς ἄκοντας." ἐπιθειάσας δ' ὁ Ἀπολλώνιος τῷ λόγῳ, „Ζεῦ" ἔφη „Καπιτώλιε, σὲ γὰρ τῶν παρόντων πραγμάτων βραβευτὴν οἶδα, φύλαττε σεαυτὸν μὲν τούτῳ, σεαυτῷ δὲ τοῦτον· τὸν γὰρ νεών, ὃν χθὲς ἄδικοι χεῖρες ἐνέπρησαν, τόνδε σοὶ τὸν ἄνδρα ἀναστῆσαι πέπρωται." θαυμάσαντος δὲ τοῦ βασιλέως τὸν λόγον „αὐτὰ" εἶπεν „αὐτὰ δηλώσει καὶ μηδὲν ἐμοῦ δέον, πέραινε δέ, ἃ ὀρθῶς ἐβουλεύσω". ξυμβεβήκει δὲ ἄρα κατὰ τὴν Ῥώμην Δομετιανὸν μὲν τὸν Οὐεσπασιανοῦ παῖδα παρατετάχθαι πρὸς τὸν Βιτέλιον ὑπὲρ τῆς ἀρχῆς τοῦ πατρός, πολιορκίας δ' αὐτὸν περισχούσης ἐν τῷ Καπιτωλίῳ τὸν μὲν διαπεφευγέναι τοὺς πολιορκοῦντας, τὸν νεὼν δ' ἐμπεπρῆσθαι καὶ τῷ Ἀπολλωνίῳ φαίνεσθαι πολλῷ θᾶττον ἢ εἰ κατ' Αἴγυπτον ἐπράττετο. τοσαῦτα σπουδάσαντες ὁ μὲν ἀπῆλθε τοῦ βασιλέως εἰπὼν μὴ ξυγχωρεῖν αὐτῷ τὰ Ἰνδῶν πάτρια κατὰ μεσημβρίαν ἄλλο τι παρ' ἃ ἐκεῖνοι πράττουσιν, ὁ δὲ ἀνέλαμπέ τε ἔτι μᾶλλον καὶ οὐ ξυνεχώρει τοῖς πράγμασι διαφεύγειν ἑαυτόν, ἀλλ' ὡς βεβαίων τε καὶ αὐτῷ καθωμολογημένων εἶχετο δι' ἃ ἤκουσεν. XXX 213

Τῇ δ' ὑστεραίᾳ περὶ ὄρθρον ἐπὶ τὰ βασίλεια ἤκων ὁ Ἀπολλώνιος ἤρετο τοὺς δορυφόρους, ὅ τι βασιλεὺς πράττοι, οἱ δὲ ἐγρηγορέναι τε αὐτὸν πάλαι ἔφασαν καὶ πρὸς ἐπιστολαῖς εἶναι. καὶ ἀκούσας τοῦτο ἀπῆλθεν εἰπὼν πρὸς τὸν Δάμιν „ὁ ἀνὴρ ἄρξει". ἐπανελθὼν δὲ περὶ ἥλιον ἀνίσχοντα Δίωνα μὲν καὶ Εὐφράτην ἐπὶ θύραις εὗρε καὶ περὶ τῆς ξυνουσίας φιλοτίμως ἐρωτῶσι διῆλθε τὴν ἀπολογίαν, ἣν τοῦ βασιλέως ἤκουσε, τὰς δὲ αὐτοῦ δόξας ἀπεσιώπησεν. ἐσκληθεὶς δὲ πρῶτος „ὦ βασιλεῦ", εἶπεν „Εὐφράτης καὶ Δίων πάλαι σοι γνώριμοι ὄντες πρὸς θύραις εἰσὶν οὐκ ἀφρόντιδες τῶν σῶν· κάλει δὴ κἀκείνους ἐς κοινὸν λόγον, σοφῷ γὰρ τῷ ἄνδρε". „ἀκλείστους" ἔφη „θύρας παρέχω σοφοῖς ἀνδράσι, σοὶ δὲ καὶ τὰ στέρνα ἀνεῳχθαι δοκεῖ τἀμά". ἐπεὶ δὲ ἐσεκλήθησαν, „ὑπὲρ μὲν τῆς ἐμαυτοῦ διανοίας", εἶπεν „ὦ ἄνδρες, ἀπολελόγημαι χθὲς Ἀπολλωνίῳ τῷ γενναίῳ". „ἠκούσαμεν„ ἦ δ' ὁ Δίων „τῆς ἀπολογίας, καὶ νοῦν εἶχε". „τήμερον δὲ" εἶπεν XXXI XXXII 214

2. ἐμποδὼν. v. ἐκ ποδῶν. E. 3. Βιτελλίῳ. m, o. et sic ubique. ib. Θαρρῶν δὴ. a et m. γρ. 4. ἑαυτὸν. l, v, s. a. 5. κραιπαλοῦντα. v. ib. γὰρ. om. v. ib. λοῦται. l, a, m λούεται. l, o. λύεται. f. βούλεται. v. ib. πλεῖω. l. 7. ἀναριπτεῖ. E. ib. ἑταίραις. s, fc, E. ἑτέροις. π. ἑτέροις. p. ἑταίροις. f, v, l. 8. γαμημέναις. f, v. 9. τοιούτου. l. τοιοῦδε. 2, E. ib. ἀρθέντας. f, v et l. pr. m. ib. ἂν. l. ἀν . s. sec. m. 10. βούλλομαι. fc. βούλομαι. a. 11. φησὶ. p. ib. σε πλεῖστα. v. 13. μὴ. l. μηδὲ. 2, E. ib. ἐμοῦ Ῥωμ. μηδὲ. p. 16. ἀναστήσειν. v. 18. μὲν om. v. ib. Θυισπεσιανοῦ. s. ib. περὶ τὸν. v. 19. Καπητωλίῳ. v. ib. τὸν μὲν διαπεφευγέναι. π. διαπεφευγέναι p, 2, E. 20. ἢ εἰ. l, f, v, l. ἢ. s, E. 21. ἐπραττεν. p, v. 22. ἀλλ' ὅτι. v, a. ib. ἀνέλαμπεν ἔτι. p. 23. φεύγειν. p. ib. καθωμολογουμένων. a. 24. διὰ ἤκουσε. v. 26. πάλαι om. s pr. m. 29. αὐτοῦ. s. 31. κάλει γὰρ. p. 32. ἔχων Θύρας. p. ib. ἀνεῳχθαι δοκεῖ. l, E. ἀνεῳχθαί φασι. 2. ἀνεῳχθαι δόκει. J. ad Vers. germ. ib. τὰ μὰ. f. 33. ἑαυτοῦ. v.

V. 30. 31. 32. p. 213. 214.

„ὦ φίλε Δίων, ξυμφιλοσοφήσωμεν ὑπὲρ τῶν βεβουλευμένων, ἵν' ὡς κάλλιστα καὶ κατὰ σωτηρίαν τῶν ἀνθρώπων πάντα πράττοιμι· ἐννοῶν γὰρ πρῶτον μὲν τὸν Τιβέριον, ὡς ἐς τὸ ἀπάνθρωπόν τε καὶ ὠμὸν τὴν ἀρχὴν μετέστησεν, εἶτα τὸν ἐπ' ἐκείνῳ Γάιον, ὡς διονυσομανῶν καὶ λυδίζων τὴν στολὴν καὶ πολέμους νικῶν οὐκ ὄντας ἐς πάντα τὰ Ῥωμαίων αἰσχρῶς ἐβάκχευσεν, εἶτα τὸν χρηστὸν Κλαύδιον, ὡς ὑπὸ γυναίων ἡττηθεὶς ἐπελάθετο τοῦ ἄρχειν, ἀλλὰ καὶ τοῦ ζῆν, ἀπέθανε γὰρ ὑπ' αὐτῶν, ὥς φασι, Νέρωνος δὲ τί ἂν καθαπτοίμην εἰπόντος Ἀπολλωνίου βραχὺν καὶ ἀθρόον λόγον περὶ ἀνέσεώς τε καὶ ἐπιτάσεως, αἷς Νέρων τὴν ἀρχὴν ἤσχυνε; τί δ' ἂν περὶ ὧν Γάλβας ξυνέταττεν, εἴποιμι, ὃς ἐπ' ἀγορᾶς μέσης ἀπέθανεν ἡταιρημένους ἐσποιῶν ἑαυτῷ παῖδας τὸν Ὄθωνα καὶ τὸν Πείσωνα; εἰ δὲ καὶ Βιτελίῳ τῷ πάντων ἀσελγεστάτῳ τὴν ἀρχὴν παραδοίημεν, ἀναβιώη Νέρων· ὁρῶν οὖν, ὦ ἄνδρες, ὑφ' ὧν εἶπον τυραννίδων διαβεβλημένον τὸ ἄρχειν ξυμβούλους ὑμᾶς ποιοῦμαι, πῶς ἂν διαθείμην αὐτὸ προσκεκρουκὸς ἤδη τοῖς ἀνθρώποις". πρὸς ταῦτα ὁ Ἀπολλώνιος „αὐλητὴς" ἔφη „τῶν πάνυ σοφῶν τοὺς ἑαυτοῦ μαθητὰς παρὰ τοὺς φαυλοτέρους τῶν αὐλητῶν ἔπεμπε μαθησομένους, πῶς δεῖ μὴ αὐλεῖν· τὸ μὲν δή, πῶς δεῖ μὴ ἄρχειν, μεμάθηκας, ὦ βασιλεῦ, παρὰ τούτων, οἳ πονηρῶς ἦρξαν, τὸ δ', ὅπως δεῖ ἄρχειν, σπουδάσωμεν."

XXXIII 215 Ὁ δ' Εὐφράτης ἀφανῶς μὲν ἤδη ἐβάσκαινε τῷ Ἀπολλωνίῳ προσκείμενον αὐτῷ τὸν βασιλέα ὁρῶν μᾶλλον ἢ τοῖς χρηστηρίοις τοὺς ἐς αὐτὰ ἥκοντας, ἀνοιδήσας δὲ ὑπὲρ τὸ μέτρον τότε καὶ τὴν φωνὴν ἐπάρας παρ' ὃ εἰώθει „οὐ χρή" ἔφη „κολακεύειν τὰς ὁρμάς, οὐδὲ ἀνοήτως συνεκφέρεσθαι τοῖς παρὰ τὴν ἡνίαν τι πράττουσι, καταρρυθμίζειν δὲ αὐτούς, εἴπερ φιλοσοφοῦμεν· ἃ γὰρ εἰ προσήκει πράττειν, ἔδει βουλευομένους φαίνεσθαι, ταῦθ' ὧν πεπράξεται τρόπον κελεύεις λέγειν οὕπω μαθών, εἰ ὑπὲρ πρακτέων οἱ λόγοι. ἐγὼ δὲ Βιτέλιον μὲν καταλυθῆναι κελεύω, μιαρὸν γὰρ τὸν ἄνθρωπον οἶδα καὶ μεθύοντα ἀσελγείᾳ πάσῃ, σὲ δ' ἄνδρα εἰδὼς ἀγαθὸν καὶ γενναιότητι προὔχοντα οὔ φημι χρῆναι τὰ μὲν Βιτελίου διορθοῦσθαι, τὰ σεαυτοῦ δὲ μήπω εἰδέναι. ὅσα μὲν δὴ αἱ μοναρχίαι ὑβρίζουσιν, οὐκ ἐμοῦ χρὴ μανθάνειν, ἀλλ' αὐτὸς εἴρηκας, γιγνώσκοις δ' ἄν, ὡς νεότης μὲν ἐπὶ τυραννίδα πηδῶσα προσήκοντα ἑαυτῇ που πράττει, τὸ γὰρ τυραννεύειν οὕτως ἔοικε νέοις, ὡς τὸ μεθύειν, ὡς τὸ ἐρᾶν, καὶ νέος μὲν τυραννεύσας οὔπω κακός, ἢν μιαιφόνος παρὰ τὴν τυραννίδα καὶ ὠμὸς καὶ ἀσελγὴς δόξῃ, γέροντος δὲ ἐπὶ τυραννίδα ἥκοντος πρώτη αἰτία τὸ τοιαῦτα βούλεσθαι· καὶ γὰρ ἦν φιλάνθρωπος φαίνηται καὶ κεκοσμημένος, οὐκ ἐκείνου ταῦτα νομίζουσιν, ἀλλὰ τῆς ἡλικίας καὶ τοῦ κατηρτυκέναι, δόξει δὲ καὶ πάλαι τούτου καὶ νέος ἔτι ἐπιθυμήσας ἁμαρτεῖν, αἱ δὲ τοιαῦται ἁμαρτίαι πρόσκεινται μὲν δυστυχίᾳ, πρόσκεινται δὲ δειλίᾳ· δοκεῖ γάρ τις ἢ καταγνοὺς τῆς ἑαυτοῦ τύχης τὸ ἐν νῷ τυραννεῦσαι παρεῖναι ἢ τυραννεύοντι ἐκστῆναι ἑτέρῳ δείσας δήπου αὐτὸν ὡς ἄνδρα. τὸ μὲν δὴ τῆς δυστυχίας ἐάσθω, τὸ δὲ τῆς δειλίας πῶς παραιτήσῃ καὶ ταῦτα Νέρωνα δοκῶν δεῖσαι τὸν δειλότατόν τε καὶ ῥᾳθυμότατον; ἃ γὰρ ἐνεθυμήθη Βίνδιξ
216 ἐπ' αὐτόν, σέ, νὴ τὸν Ἡρακλέα, ἐκάλει πρῶτον. καὶ γὰρ στρατιὰν εἶχες καὶ ἡ δύναμις, ἣν ἐπὶ τοὺς Ἰουδαίους ἦγες, ἐπιτηδειοτέρα ἦν τιμωρεῖσθαι Νέρωνα· ἐκεῖνοι μὲν γὰρ πάλαι ἀφεστᾶσιν οὐ

2. ὡς τὸ. v. 3. κατέστησεν. v. ib. λυγίζων. l. 4. ἐπιστολὴν. v. 5. γυναίου. p et s al. m. ib. ἡττηθεὶς. 1 et s al. m. ἐμβροντηθεὶς. f, l, v, E. 7. λόγον om. o. ib. ὧν. v. 8. ξυνέταττεν. 1. ξυνετάραττεν. 2, E. ib. ἡταιρησαμένους. v. 9. ἀσεβιστάτῳ. p. 10. ὦ om. p. ib. τυράννων. 1, f, v, s. τυραννίδων. l, fc, E. ib. διαβεβλημένων. m. 11. αὐτὸν προσκεκρουκὼς. a, m. 13. μαθησομένους om. p. 14. περὶ τούτων. m.

τε

16. δὲ om. m. 18. τι om. l, s, a. τὶ. m, o. ib. ἃ γὰρ εἰ. 1, v, l, o. ἃ γάρ εἰ (sic) f. ἃ γὰρ. ψ, r. καὶ γὰρ εἰ. s, a, m. 19. βουλομένους. f, v, l. 21. ἄνθρωπον. 1, f, ψ, s in mg. o. ἄνδρα. l, v, s, a, m. ib. ἰδὼν. v. ib. ἀγαθὸν om. r, o. 22 τιβελλίου. p. 24. ἑαυτῇ που. f. ἑαυτῇ. 1, v, s, l, E. ib. πράσσει. v. 25. ἢν μὴ. o. ib. τὴν τυραννίδα. 1. τυραννίδα. 2, E. 26. δὲ om. l. ib. τὸ τοιαῦτα. π, l. τὸ τὰ τοιαῦτα. p, f, v, s, E. 27. γένηται. p. ib. καὶ om. p. 29 δοκεῖ. π et m. γρ. ἐδόκει. p, 2, E. ib. εἰ καταγνοὺς. a, m. 30. ἐν τῷ. B. ib. τοῦ τύρανεῦσαι. l. ib. τυρανευόντα. a. 31. μὴ που. 2, a et m. γρ. 32. Βένδιξ. E. sic ubique. 33. εἶχες. π. εἶχις ἴσχε et mg. γρ. ἴσχες. m. ἴσχες. p, 2, o. ἴσχε. a. ib. ἡ om. o. 34. ἐφεστᾶσιν. l.

V, 33. p. 215. 216.

μόνον Ῥωμαίων, ἀλλὰ καὶ πάντων ἀνθρώπων· οἳ γὰρ βίον ἄμικτον εὑρόντες καὶ οἷς μήτε κοινὴ πρὸς ἀνθρώπους τράπεζα μήτε σπονδαὶ μήτε εὐχαὶ μήτε θυσίαι, πλέον ἀφεστᾶσιν ἡμῶν ἢ Σοῦσα καὶ Βάκτρα καὶ οἳ ὑπὲρ ταῦτα Ἰνδοί· οὐκοῦν οὐδ' εἰκὸς ἦν τιμωρεῖσθαι τούτους ἀφισταμένους, οὓς βέλτιον ἦν μηδὲ κτᾶσθαι. Νέρωνα δὲ τίς οὐκ ἂν εὔξαιτο τῇ ἑαυτοῦ χειρὶ ἀποκτεῖναι μονονοὺ πίνοντα τὸ τῶν ἀνθρώπων αἷμα καὶ ἐν μέσοις τοῖς φόνοις ᾄδοντα; καίτοι ἐμοῦ τὰ ὦτα ὀρθὰ ἦν πρὸς τοὺς ὑπὲρ σοῦ λόγους καὶ ὁπότε τις ἐκεῖθεν ἀφίκοιτο τρισμυρίους Ἰουδαίων ἀπολωλέναι φάσκων ὑπὸ σοῦ καὶ πεντακισμυρίους κατὰ τὴν ἐφεξῆς μάχην, ἀπολαμβάνων τὸν ἥκοντα ξυμμέτρως ἠρώτων, τί δ' ὁ ἀνήρ; μὴ μεῖζόν τι τούτων; ἐπεὶ δὲ τὸν Βιτέλιον εἴδωλον πεποιημένος τοῦ Νέρωνος ἐπ' αὐτὸν στρατεύεις, ἃ μὲν βεβούλευσαι, πρᾶττε, καλὰ γὰρ καὶ ταῦτα, τὰ δὲ ἐπὶ τούτοις ὧδε ἐχέτω· Ῥωμαίοις τὸ δημοκρατεῖσθαι πολλοῦ ἄξιον καὶ πολλὰ τῶν ὄντων αὐτοῖς ἐπ' ἐκείνης τῆς πολιτείας ἐκτήθη· παῦε μοναρχίαν, περὶ ἧς τοιαῦτα εἴρηκας, καὶ δίδου Ῥωμαίοις μὲν τὸ τοῦ δήμου κράτος, σαυτῷ δὲ τὸ ἐλευθερίας αὐτοῖς ἄρξαι."

Τοσαῦτα τοῦ Εὐφράτου εἰπόντος ὁρῶν ὁ Ἀπολλώνιος τὸν Δίωνα προστιθέμενον τῇ γνώμῃ, XXXIV τοῦτο γὰρ καὶ τῷ νεύματι ἐπεδήλου καὶ οἷς ἐπῄνει λέγοντα, "μή τι", ἔφη „Δίων, τοῖς εἰρημένοις προστίθης; νὴ Δί', εἶπε „πη μὲν ὅμοια, πη δὲ ἀνόμοια· τὸ μὲν γὰρ ὡς πολλῷ βελτίων ἂν ἦν Νέρωνα καταλύων μᾶλλον ἢ τὰ τῶν Ἰουδαίων διορθούμενος, ἡγοῦμαι κἀμοὶ πρὸς σὲ εἰρῆσθαι, σὺ δὲ ἐώκεις ἀγῶνα ποιουμένῳ μὴ καταλυθῆναί ποτε αὐτόν· ὁ γὰρ τὴν ταραχὴν τῶν ἐκείνου πρα- 217 γμάτων εὖ τιθέμενος ἐρρώννυέ που τὸν ἄνθρωπον ἐπὶ πάντας, οὓς κακῶς ἔρρωτο. τὴν δὲ ἐπὶ τὸν Βιτέλιον ὁρμὴν ἐπαινῶ· τοῦ γὰρ τυραννίδα καθεστηκυῖαν παῦσαι μεῖζον ἡγοῦμαι τὸ μηδὲ ἐᾶσαι φῦναι. δημοκρατίαν δὲ ἀσπάζομαι μέν — καὶ γὰρ εἰ τῆς ἀριστοκρατίας ἥττων ἥδε ἡ πολιτεία, ἀλλὰ τυραννίδων τε καὶ ὀλιγαρχιῶν αἱρετωτέρα τοῖς σώφροσι — δέδια δέ, μὴ χειροήθεις ἤδη Ῥωμαίους αὗται αἱ τυραννίδες πεποιηκυῖαι χαλεπὴν ἐργάσωνται τὴν μεταβολὴν καὶ μὴ δύνωνται μήτε ἐλευθεριάζειν μήτε πρὸς δημοκρατίαν ἀναβλέπειν, ὥσπερ οἱ ἐκ σκότους ἐς ἀθρόον φῶς βλέψαντες· ὅθεν φημὶ δεῖν τὸν μὲν Βιτέλιον ἐξωθεῖν τῶν πραγμάτων, καὶ ὡς τάχιστά γε καὶ ἄριστα τοῦτο ἔσται, γιγνέσθω, δοκεῖ δέ μοι παρασκευάζεσθαι μὲν ὡς πολεμήσοντα, πόλεμον δὲ αὐτῷ μὴ προκηρύττειν, ἀλλὰ τιμωρίαν, εἰ μὴ μεθεῖτο τῆς ἀρχῆς, κἂν ἕλῃς αὐτόν, τοῦτο δ' ὑπάρξειν ἡγοῦμαί σοι μηδὲ πονήσαντι, δίδου Ῥωμαίοις αἵρεσιν τῆς αὐτῶν πολιτείας, κἂν μὲν αἱρῶνται δημοκρατίαν, ξυγχώρει· τοῦτο γάρ σοι πολλῶν μὲν τυραννίδων, πολλῶν δὲ Ὀλυμπιάδων μεῖζον καὶ πανταχοῦ μὲν γεγράψῃ τῆς πόλεως, πανταχοῦ δὲ ἑστήξεις χαλκοῦς, ἡμῖν δ' ἀφορμὰς παραδώσεις λόγων, οἷς οὔτε Ἁρμόδιος οὔτε Ἀριστογείτων παραβεβλήσεταί τις. εἰ δὲ μοναρχίαν προσδέχοιντο, τίνι λοιπὸν ἀλλ' ἢ σοὶ ψηφίσασθαι τὴν ἀρχὴν πάντας; ἃ γὰρ ἔχων ἤδη τῷ κοινῷ παρήσεις, σοὶ δήπου μᾶλλον ἢ ἑτέρῳ δώσουσιν."

Σιωπὴ μὲν οὖν ἐπὶ τούτοις ἐγένετο καὶ τὸ πρόσωπον τοῦ βασιλέως ἀγῶνα ἐπεδήλου τῆς γνώ- XXXV μης, ἐπειδὴ πάνθ' ὥσπερ αὐτοκράτωρ χρηματίζων τε καὶ πράττων ἀπάγεσθαι ἐδόκει τῆς βουλῆς ταύτης, καὶ ὁ Ἀπολλώνιος „δοκεῖτέ μοι" εἶπεν „ἁμαρτάνειν ἀναλύοντες βασιλέα περὶ πραγμάτων ἤδη βεβουλευμένων, ἐς ἀδολεσχίαν καθιστάμενοι μειρακιώδη καὶ ἀργοτέραν τοῦ καιροῦ. εἰ μὲν γὰρ ἐμοὶ κεκτημένῳ δύναμιν, ὁπόσην οὗτος, καὶ βουλευομένῳ, τί δρῴην ἂν τοὺς ἀνθρώπους ἀγαθόν,

2. σπονδὴ. p. 3. μὴ κτᾶσθαι. l, s, a, m. μὴ δὲ κτ. o. ib. τῇ ἑαυτῇ. l. 6. Ἰουδαίους. v. 7. ὑπό σου. v. 14. μήτε. a. μήτι. m, o. 15. προστίθῃς. π, m. προστίθησι. p, 2, a, o et m. γρ. ib. Δία. p. 17. τὴν om. l, s, a, m. 18. ἐρρώννυέ ποι. l. ἐρρώννυέ μου. f, l, v et s ante corr. ἐρρώννυέ μοι. s. ἔρρωννυ ἐμοὶ a et m. γρ. ἐρρώννυέ ποι. m, o. Scr. ἐρρώννυέ που. cum J ad lm. 320. 20. ἡ τῆς. v. 21. σώφροσι. C praeter l. σωφρονοῦσι. l, E. (m. γρ. σώφροσι.) 23. μήτ' ἐλευθεριάζειν. f. ib. ἀποβλέπειν. p. 26. προσκηρύττειν. f, v, l. 27. μηδὲ. π, v. μὴ. p, f, l, s, E. ib. αὐτῶν. f, s. 30. περιβεβλήσεται. p. 31. ἀλλὴ. v. ib. ἔχω. m. ib. ἐγὼ ἤδη. f.

33. μὲν οὖν. π. m. γρ. μὲν δὴ. p, 2, E. ib. ἐπεδίδου. v. ib. γρ. τῆς βουλῆς. m. (est scholion marg. in π.) 36. βεβουλευμένων. l. βεβουλευμένον. 2, E. ib. γὰρ ἐμοὶ om. fc, a. 37. ὁπόσην. l. et m. γρ. καθάπερ. 2, E. ib. ἀγαθὸν om. a.

V. 31. 35. p. 217.

ξύμβουλοι τῶν τοιούτων ἐγίγνεσθε, προὔβαινεν ἂν ὁ λόγος ὑμῖν — αἱ γὰρ φιλόσοφοι γνῶμαι τοὺς
218 φιλοσόφους τῶν ἀκροατῶν διορθοῦνται — ἀνδρὶ δὲ ξυμβουλεύοντας ὑπάτῳ καὶ ἄρχειν εἰθισμένῳ,
καὶ ᾧ ἕτοιμον, ἐπειδὰν ἐκπέσῃ τῆς ἀρχῆς, ἀπολωλέναι, τί δεῖ ἐπιπλήττειν, εἰ μὴ διωθεῖται τὰ
παρὰ τῆς τύχης, ἀλλὰ δέχεται μὲν αὐτὰ ἥκοντα, βουλεύεται δέ, ὅπως χρήσεται σωφρόνως οἷς ἔχει;
ὥσπερ οὖν, εἰ ἀθλητὴν ὁρῶντες εὐψυχίᾳ τε κατεσκευασμένον καὶ μήκει καὶ τὴν ἁρμονίαν τοῦ σώ-
ματος ἐπιτήδειον ἐς Ὀλυμπίαν βαδίζοντα δι' Ἀρκαδίας ἤδη προσελθόντες ἐπὶ μὲν τοὺς ἀντιπά-
λους ἐρρώννυμεν, ἐκελεύομεν δὲ αὐτόν, ἐπειδὰν νικήσῃ τὰ Ὀλύμπια, μὴ κηρύττεσθαι τῆς νίκης,
μηδὲ ὑπέχειν τὴν κεφαλὴν τῷ κοτίνῳ, ληρεῖν ἂν ἐδόξαμεν ἢ παίζειν ἐς τοὺς ἑτέρων πόνους, οὕ-
τως ἐνθυμούμενοι τὸν ἄνδρα, καὶ ὁπόση μὲν αἰχμὴ περὶ αὐτόν, ὁπόσος δὲ χαλκὸς ἀστράπτει,
πλῆθος δὲ ἵππων ὅσον, αὐτὸς δὲ ὡς γενναῖός τε καὶ σώφρων καὶ πρέπων κατασχεῖν ἃ διανοεῖται,
πέμπωμεν ἐφ' ἃ ὥρμηκεν αἴσια μὲν φθεγγόμενοι πρὸς αὐτόν, εὐφημότερα δὲ τούτων παρεγγυῶν-
τες. οὔτε γὰρ ἐκεῖνο ἐνεθυμήθητε, ὅτι δυοῖν παίδοιν πατὴρ οὗτος, οἳ στρατοπέδων ἤδη ἄρχουσιν,
οἷς εἰ μὴ παραδώσει τὴν ἀρχήν, ἐχθίστοις χρήσεται, καὶ τί λοιπόν, ἀλλ' ἢ ἐκπεπολεμῶσθαι πρὸς
τὸν ἑαυτοῦ οἶκον; τὴν δὲ ἀρχὴν ὑποδεξάμενος θεραπεύσεται μὲν ὑπὸ τῶν ἑαυτοῦ παίδων, στηρί-
ξεται δὲ ἐπ' αὐτῶν καὶ ἐπ' αὐτοῦ οἱ παῖδες, δορυφόροις δὲ αὐτοῦ χρήσεται, μὰ Δί', οὐ μεμισθω-
μένοις, οὐδ' ἠναγκασμένοις, οὐδὲ πλαττομένοις εὔνουν πρόσωπον, ἀλλ' ἐπιτηδειοτάτοις τε καὶ φιλ-
τάτοις. ἐμοὶ πολιτείας μὲν οὐδεμιᾶς μέλει, ζῶ γὰρ ὑπὸ τοῖς θεοῖς, τὴν δὲ τῶν ἀνθρώπων ἀγέλην
οὐκ ἀξιῶ φθείρεσθαι χήτει βουκόλου δικαίου τε καὶ σώφρονος. ὥσπερ γὰρ εἷς ἀρετῇ προὔχων
μεθίστησι τὴν δημοκρατίαν ἐς τὸ ἑνὸς ἀνδρὸς τοῦ ἀρίστου ἀρχὴν φαίνεσθαι, οὕτως ἡ ἑνὸς ἀρχὴ
πάντα ἐς τὸ ξυμφέρον τοῦ κοινοῦ προορῶσα δῆμός ἐστιν. οὐ κατέλυσας, φησί, Νέρωνα. σὺ δέ,
Εὐφρᾶτα; Δίων δέ; ἐγὼ δέ; ἀλλ' ὅμως οὐδεὶς ἡμῖν ἐπιπλήττει τοῦτο, οὐδ' ἡγεῖται δειλούς, εἰ
φιλοσόφων ἀνδρῶν μυρίας ἤδη καθελόντων τυραννίδας ἀπελείφθημεν ἡμεῖς τοῦ δόξαι ὑπὲρ ἐλευ-
219 θερίας τι πράττειν. καίτοι τό γε ἐπ' ἐμοὶ καὶ παρεταττόμην πρὸς Νέρωνα, πολλὰ μὲν κακοήθως
διαλεχθεὶς καὶ τὸν ὠμότατον Τιγελλῖνον ἐπικύψας ἀκούοντα, ἃ δὲ περὶ τὰ ἑσπέρια τῶν χωρίων
ὠφέλουν Βίνδικα, Νέρωνι δήπου ἐπετείχιζον. ἀλλ' οὔτε ἐμαυτὸν διὰ ταῦτα φήσω καθῃρηκέναι τὸν
τύραννον, οὔτε ὑμᾶς, ἐπεὶ μὴ ταῦτ' ἐπράττετε, μαλακωτέρους ἡγήσομαι τοῦ φιλοσοφίᾳ προσήκον-
τος. ἀνδρὶ μὲν οὖν φιλοσόφῳ τὸ ἐπὶ νοῦν ἐλθὸν εἰρήσεται, ποιήσεται δέ, οἶμαι, λόγον τοῦ μή τι
ἀνοήτως ἢ μανικῶς εἰπεῖν· ὑπάτῳ δ' ἐνθυμουμένῳ καταλῦσαι τύραννον πρῶτον μὲν δεῖ βουλῆς
πλείονος, ἵν' ἐξ ἀφανοῦς προσβαίη τοῖς πράγμασιν, εἶτ' ἐπιτηδείου σχήματος ἐς τὸ μὴ παρορκεῖν
δοκεῖν. εἰ γὰρ ἐπ' αὐτόν, ὃς ἀπέφηνεν αὑτὸν στρατηγὸν καὶ ᾧ τὰ βέλτιστα βουλεύσειν τε καὶ
πράξειν ὤμοσε, μέλλοι χρήσεσθαι τοῖς ὅπλοις, ἀπολογεῖσθαι δήπου τοῖς θεοῖς δεῖ πρότερον, ὡς
ξὺν ὁσίᾳ ἐπιορκοῦντα, φίλων τε δεῖ πλειόνων, οὐ γὰρ ἀχαρακώτους γε, οὐδὲ ἀφράκτους χρὴ τὰ
τοιαῦτα πράττειν, καὶ χρημάτων ὡς πλείστων, ἵν' ὑποποιήσαιτο τὰς δυνάμεις καὶ ταῦτα ἐπιτιθέ-
μενος ἀνθρώπῳ τὰ ἐν πάσῃ τῇ γῇ κεκτημένῳ. τριβὴ δὲ ὅση περὶ ταῦτα, ὅσοι δὲ χρόνοι! καὶ ταῦτα
μὲν ἐκδέχεσθε, ὅπη βούλεσθε, μὴ γὰρ ἐς ἔλεγχον ἴωμεν ὧν ἐνεθυμήθη μέν, ὡς εἰκός, οὗτος, ἡ

2. ξυμβουλεύοντες. v. 3. τί δὴ ἐκπλήττειν. v. 5. εἰ om. f, l. ib. σώματος ἐπιτήδειον. π. σώματος εὐφυᾶ. p, 2, E. 6. καὶ βαδίζοντα p, 2 (praeter s) et o. 8. ἑταίρων. l. 10. αὐτὸς ὡς. f, v, l. 11. ὥρμηκεν. l. ὥρμησεν. 2, E. 13. ἐκπεπολεμῆσθαι. C, a, m. ἐκπεπολεμεῖσθαι. o. Scr. ἐκπεπολεμῶσθαι. 14. ἀποδεξάμενος. p, o. ib. θεραπευθήσεται. B. 15. δορυφόρους. a. ib. αὐτοῦ. π. αὐτοῖς. p, 2, E. ib. Δία. p. 16. τε om. a, m. 17. ζῶ δὴ. fc, a et m γρ. 19. ἀρίστου ἀρχὴν. π, v. ἀριστάρχου ἀρχὴν. p. ἀρίστου τὴν ἀρχὴν. f, l, s, E. 20. δῆμος — Νέρωνα om. fc, a. 21. ἡμῖν οὐδεὶς. p. 22. περὶ ἐλευθερίας. l. 23. πρὸς Νέρωνα. 1, f, v, l. εἰς N. s. ἐς N. E. 24. διαλεχθείς. 1, f, l, s, a, m. διαλεγχθείς. v. διελεγχθείς. o. ib. καὶ τὸν. 1. τὸν. 2, E. ib. Τιγελλῖνον. 1, f. Τιγελλίνον. 2 (praeter f,) E. 26. ἔπραττε. v. ἔπραττέ τε. a. 27. οὖν om. l. 28. μαντικῶς. p. ib. δεῖ πρῶτον μὲν. s, a. 30. καὶ ὅς. f, v, l. 31. μέλλοι. C. μέλλει. E. ib. χρήσεσθαι. 1. χρήσασθαι. 2, E. ib. δεῖ om. p. 32. ξὺν ὁσίᾳ. 1 et s ex corr. J Lect. Stob. 34. ξυνουσίᾳ. 2, E. ib. δεῖ τοιαῦτα. v. ib. τὰ τοιαῦτα. π. τοιαῦτα. p, 2, E. 33. ἐπιτιθέμενος. 1. ἐπιθέμενος. 2, E. 34. ὅση. 1, m. γρ. o. ὁπόση. 2, a. m. ib. τριβὴ ὅση. p. 35. ὅποι. p. ib. ἐνεθυμήθημεν. a.

τύχῃ δὲ οὐδὲ ἀγωνισαμένῳ ξυνέλαβε· πρὸς δὲ ἐκεῖνο τί ἐρεῖτε; τὸν γὰρ χθὲς ἄρχοντα καὶ στεφανούμενον μὲν ὑπὸ τῶν πόλεων ἐν τοῖς δεῦρο ἱεροῖς, χρηματίζοντα δὲ λαμπρῶς καὶ ἀφθόνως, τοῦτον κελεύετε δημοσίᾳ κηρύττειν τήμερον, ὡς ἰδιώτης μὲν εἴη λοιπόν, παρανοῶν δὲ ἐπὶ τὴν ἀρχὴν ἦλθεν; ὥσπερ γὰρ ἐπιτελῶν τὰ δεδογμένα προθύμους δορυφόρους, οἷς πιστεύων ταῦτ' ἐνεθυμήθη. παραστήσεται, οὕτως ἐς τὸ μεθίστασθαι τῶν δοξάντων ἥκων πολεμίῳ τῷ μετὰ ταῦτα ἀπιστουμένῳ χρήσεται."

220 s

Ἄσμενος τούτων ἀκούσας ὁ βασιλεὺς „εἰ τὴν ψυχὴν" ἔφη „τὴν ἐμὴν ᾤκεις, οὐκ ἂν οὕτω σαφῶς, ἃ ἐνεθυμήθην, ἀπήγγειλας· ἕπομαί σοι, θεῖον γὰρ ἡγοῦμαι τὸ ἐκ σοῦ πᾶν, καὶ ὁπόσα χρὴ τὸν ἀγαθὸν βασιλέα πράττειν δίδασκε". καὶ ὁ Ἀπολλώνιος „οὐ διδακτά με" ἔφη „ἐρωτᾷς· βασιλεία γὰρ μέγιστον μὲν τῶν κατ' ἀνθρώπους, ἀδίδακτον δέ. ὁπόσα δ' οὖν μοι δοκεῖς πράττων ὑγιῶς ἂν πρᾶξαι, καὶ δὴ φράσω· πλοῦτον ἡγοῦ μὴ τὸν ἀπόθετον — τί γὰρ βελτίων οὗτος τῆς ὁπόθεν δὴ ξυνενεχθείσης ψάμμου; — μηδὲ τὸν φοιτῶντα παρ' ἀνθρώπων, οἳ τὰς ἐσφορὰς ὀλοφύρονται, κίβδηλον γὰρ ὁ χρυσὸς καὶ μέλαν, ἦν ἐκ δακρύων ἥκῃ· πλούτῳ δ' ἂν ἄριστα βασιλέων χρῷο τοῖς μὲν δεομένοις ἐπαρκῶν, τοῖς δὲ πολλὰ κεκτημένοις παρέχων ἀσφαλῆ τὸν πλοῦτον. τὸ ἐξεῖναί σοι πᾶν, ὅ τι βούλει, δέδιθι, σωφρονέστερον γὰρ αὐτῷ χρήσῃ. μὴ τέμνε τῶν ἀσταχύων τοὺς ὑψηλούς τε καὶ ὑπεραίροντας, ἄδικος γὰρ ὁ τοῦ Ἀριστοτέλους λόγος, ἀλλὰ τὸ δύσνουν ἐξαίρει μᾶλλον, ὥσπερ τὰς ἀκάνθας τῶν ληίων καὶ φοβερὸς δόκει τοῖς νεώτερα πράττουσι μὴ ἐν τῷ τιμωρεῖσθαι, ἀλλ' ἐν τῷ τιμωρήσεσθαι. νόμος, ὦ βασιλεῦ, καὶ σοῦ ἀρχέτω· σωφρονέστερον γὰρ νομοθετήσεις, ἢν μὴ ὑπερορᾷς τῶν νόμων. θεοὺς θεράπευε μᾶλλον ἢ πρότερον· μεγάλα μὲν γὰρ παρ' αὐτῶν εἴληφας, ὑπὲρ μεγάλων δὲ εὔχῃ. καὶ τὰ μὲν τῇ ἀρχῇ προσήκοντα, ὡς βασιλεὺς πρᾶττε, τὰ δὲ τῷ σώματι, ὡς ἰδιώτης. περὶ δὲ κύβων καὶ μέθης καὶ ἐρώτων καὶ τοῦ διαβεβλῆσθαι πρὸς τὰ τοιαῦτα τί ἂν σοι παραινοίην, ὃν φασι μηδὲ ἐφ' ἡλικίας ταῦτα ἐπαινέσαι. παῖδές εἰσί σοι, βασιλεῦ, δύο καὶ γενναῖοι, ὡς φασιν. ἄρχε τούτων μάλιστα, τὰ γὰρ ἐκείνοις ἁμαρτηθέντα σὲ δήπου διαβάλλει. ἔστω δέ σοι καὶ ἀπειλὴ πρὸς αὐτούς, ὡς οὐ παραδώσεις τὴν ἀρχὴν σφισιν, εἰ μή που καλοί τε καὶ ἀγαθοὶ μείνωσιν, ἵνα μὴ κληρονομίαν ἡγῶνται τὴν ἀρχήν, ἀλλ' ἀρετῆς ἆθλα. τὰς δὲ ἐμπολιτευομένας ἡδονὰς τῇ Ῥώμῃ, πολλαὶ δὲ αὗται, δοκεῖ μοι, ὦ βασιλεῦ, ξυμμέτρως παύειν, χαλεπὸν γὰρ μεταβαλεῖν δῆμον ἐς τὸ ἀθρόως σῶφρον, ἀλλὰ δεῖ κατ' ὀλίγον ἐμποιεῖν ῥυθμὸν ταῖς γνώμαις, τὰ μὲν φανερῶς, τὰ δὲ ἀφανῶς διορθούμενον. ἀπελευθέρων τε καὶ δούλων, οὓς ἡ ἀρχή σοι δίδωσιν, ἀνέλωμεν τρυφὴν τοσούτῳ ταπεινότερον αὐτοὺς ἐθίσαντες φρονεῖν, ὅσῳ μείζονος δεσπότου εἰσίν. τί λοιπὸν ἀλλ' ἢ περὶ τῶν ἡγεμόνων εἰπεῖν, οἳ ἐς τὰ ἔθνη φοιτῶσιν, οὐ περὶ ὧν αὐτὸς ἐκπέμψεις, ἀριστίνδην γάρ που τὰς ἀρχὰς δώσεις, ἀλλὰ περὶ τῶν κληρωσομένων τὸ ἄρχειν· τούτων γὰρ τοὺς μὲν προσφόρους τοῖς ἔθνεσιν, ἃ διέλαχον, φημὶ δεῖν πέμπειν, ὡς ὁ κλῆρος, ἑλληνίζοντας μὲν Ἑλληνικῶν ἄρχειν, ῥωμαίζοντας δὲ ὁμογλώττων καὶ ξυμφώνων. ὅθεν δὴ τοῦτ' ἐνεθυμήθην, λέξω· κατὰ τοὺς χρόνους, οὓς ἐν Πελοποννήσῳ διῃτώμην, ἡγεῖτο τῆς Ἑλλάδος ἀν-

XXXVI

221

1. ξυνέβαλε et suprascr. λαβε. s. ξυνέβαλε. a. 2. λαμπρῶς. 1. λαμπρῶς τε. 2, E. 3. παρανομῶν. p. 4. ἦλθεν; f. ἦλθεν. E. 5. οὕτω μεθίστασθαι. fc, a. ib. μετὰ ταύτης. p. ib. πιστουμένῳ. f, l.
7. ἀκούσας om. p. ib. οὕτως ἄ. s, a. 8. δέ σοι. v. 9. με. π et m. γρ. μοι. p, 2, E. 10. μὲν γὰρ μ. τῶν. p. ἐν ib. δὲ om. p, v. 11. ἡγοῦμαι. p. ib. γὰρ βελτίων. 1. γὰρ ἂν βελτίων. 2, E. 12. συνεχθείσης. s. ib. εἰς φορὰς. s. ib. ὀλοφύρονται. π et m. γρ. ὠλοφύραντο. p, 2, E. 13. κίβδηλος — μέλας ἦν ἐκ δακρύων ἥκων. Φ (333, b, 24). ib. κίβδηλον. π et m γρ. κίβδηλος. p, 2, E. ib. μέλας. C, E. Scr. μέλαν. ib. πλοῦτον. v. 15. ὑψήλούς τε. m. ὑψήλους τε. o. 16. ἐξαίρει. π, f, l, s, a, m. ἐξαίρειν. v. ἔξαιρε. p. ex corr. et o. 17. μὲν δόκει. p. 19. γὰρ om. s, a. 20. δὲ. p, f, v. 21. πρὸς ταῦτα. s, a, m. πρὸς τὰ τοιαῦτα om. l. 24. δή σοι. l. 25. ἆθλα. π. ἆθλον. p, 2, E. 27. ἀθρόον ἐς τὸ. v. 28. διορθούμενον. π, o. διορθούμενος. p, f, l, s, a, m. διορθουμένους. v. ib. οὓς — δίδωσι om. p. 29. ἀνέλωμεν μὲν. p. ib. τοσοῦτον. v. ib. ἐθίσαντας. p. 30. εἰσίν. p. εἰσί. E. 33. Ἑλληνικῶν. 1. Ἑλλήνων. 2, E. ib. post ξυμφώνων aliquid excidisse videtur. Deinde scr. ὅθεν δὲ. ib. τοῦτ'. 1, f, v. ταῦτ'. s, E. 34. Πελοποννήσῳ. p.

V, 36. p. 220. 221.

θρωπος οὐκ εἰδὼς τὰ Ἑλλήνων, καὶ οὐδ' οἱ Ἕλληνές τι ἐκείνου ξυνίεσαν· ἔσφηλεν οὖν καὶ ἐσφάλη τὰ πλεῖστα, οἱ γὰρ ξύνεδροί τε καὶ κοινωνοὶ τῆς ἐν τοῖς δικαστηρίοις γνώμης ἐκαπήλευον τὰς δίκας διαλαβόντες τὸν ἡγεμόνα, ὥσπερ ἀνδράποδον. ταῦτά μοι, βασιλεῦ, παρέστη τήμερον, εἰ δέ τι καὶ ἕτερον ἐπὶ νοῦν ἔλθοι, πάλιν ξυνελευσόμεθα. νυνὶ δὲ τὰ προσήκοντα τῇ ἀρχῇ πρᾶττε, μὴ ἀργότερος τοῖς ὑπηκόοις δόξῃς."

XXXVII 222 Ὁ δὲ Εὐφράτης, „τοῖς μὲν δεδογμένοις ξυγχωρῶ", ἔφη „τί γὰρ ἂν πλέον μεταδιδάσκων πράττοιμι; φιλοσοφίαν δέ, ὦ βασιλεῦ, τουτὶ γάρ λοιπὸν προσειρήσεται, τὴν μὲν κατὰ φύσιν ἐπαίνει καὶ ἀσπάζου, τὴν δὲ θεοκλυτεῖν φάσκουσαν παραιτοῦ, καταψευδόμενοι γὰρ τοῦ θείου πολλὰ καὶ ἀνόητα ἡμᾶς ἐπαίρουσιν." ταυτὶ μὲν πρὸς τὸν Ἀπολλώνιον αὐτῷ ἐλέγετο, ὁ δὲ οὐδὲν ἐπιστραφεὶς ἀπῄει μετὰ τῶν ἑαυτοῦ γνωρίμων, διανύσας τὴν σπουδήν· βουλομένου δὲ τοῦ Εὐφράτου θρασύτερόν τι περὶ αὐτοῦ λέγειν, ξυνῆκεν ὁ βασιλεύς καὶ διακρουόμενος αὐτὸν „ἐσκαλεῖτε" ἔφη „τοὺς δεομένους τῆς ἀρχῆς καὶ ἀπολαβέτω ἡ βουλὴ τὸ ἑαυτῆς σχῆμα." οὕτω μὲν δὴ ὁ Εὐφράτης ἔλαθε διαβαλὼν ἑαυτόν, καὶ γὰρ βάσκανός τε τῷ βασιλεῖ καὶ ὑβριστὴς ἔδοξε, καὶ τοὺς λόγους τοὺς ὑπὲρ τῆς δημοκρατίας οὐχ ὡς ἐγίγνωσκεν, εἰρηκώς, ἀλλ' ἐς ἀντιλογίαν τοῦ Ἀπολλωνίου δι' ἃ περὶ τῆς ἀρχῆς ἐκείνῳ ἐδόκει· οὐ μὴν ἀπερρίπτει αὐτόν, οὐδὲ ἐπεδήλου τι ὀργῆς πρὸς ταῦτα. καὶ τὸν Δίωνα οὐκ ἐπῄνει μὲν ξυναράμενον αὐτῷ τῆς γνώμης, οὐ μὴν ἐπαύσατο ἀγαπῶν· ἐπίχαρίς τε γὰρ τὰς διαλέξεις ἐδόκει καὶ τὰς ἔριδας παρῃτεῖτο, ὥραν τε ἐπέφαινε τοῖς λόγοις, οἷα τοῦ πρὸς τοῖς ἱεροῖς ἀτμοῦ ἐκπνεῖ, προσῆν δὲ αὐτῷ καὶ τὸ ἀποσχεδιάζειν ἄριστα ἀνθρώπων. τὸν δὲ Ἀπολλώνιον ὁ βασιλεὺς οὐκ ἠγάπα μόνον, ἀλλὰ καὶ ὑπέκειτο αὐτῷ διόντι μὲν τὰ ἀρχαῖα, διηγουμένῳ δὲ τὸν Ἰνδὸν Φραώτην ποταμούς τε ἀναγράφοντι καὶ θηρία, ὑφ' ὧν ἡ Ἰνδικὴ οἰκεῖται, προλέγοντι δὲ καὶ ὁπόσα οἱ θεοὶ περὶ τῆς ἀρχῆς ἔφαινον. ἐξελαύνων δὲ τῆς Αἰγύπτου ξυνωκισμένης τε καὶ νεαζούσης κοινωνὸν μὲν τῆς ὁδοῦ τὸν Ἀπολλώνιον ἐποιεῖτο, τῷ δὲ οὐκ ἐδόκει ταῦτα· Αἴγυπτόν τε γάρ, ὁπόση ἐστίν, οὕπω ἑωρακέναι τοῖς τε Γυμνοῖς οὕπω ἀφῖχθαι ἐς λόγον μάλα ἐσπουδακὼς
223 σοφίᾳ Ἰνδικῇ ἀντικρῖναι Αἰγυπτίαν. „οὐδὲ Νείλου" ἔφη „ἔπιον, ὅθεν ἄρχεται". ξυνεὶς οὖν ὁ βασιλεύς, ὅτι ἐπ' Αἰθιοπίαν στέλλεται „ἡμῶν δὲ" ἔφη „οὐ μεμνήσῃ"; „νὴ Δί'", εἶπεν „ἦν βασιλεὺς ἀγαθὸς μένῃς καὶ σεαυτοῦ μνημονεύῃς".

XXXVIII Μετὰ ταῦτα θύσας ὁ βασιλεὺς ἐν τῷ ἱερῷ δωρεὰς ἐπήγγειλεν αὐτῷ δημοσίᾳ, ὁ δὲ ὥσπερ αἰτήσων „τίνας δέ", εἶπεν „ὦ βασιλεῦ, δωρεὰς δώσεις"; „δέκα" ἔφη „νῦν, ἀφικομένῳ δὲ ἐς τὴν Ῥώμην τἀμὰ πάντα". καὶ ὁ Ἀπολλώνιος „οὐκοῦν" ἔφη „φείδεσθαί με χρὴ τῶν σῶν ὡς ἐμῶν καὶ μὴ σπαθᾶν αὐτὰ νῦν ἀποκεισόμενά μοι ἀθρόα· ἀλλ' ἐπιμελήθητι τούτων, ὦ βασιλεῦ, μᾶλλον, ἐοίκασι γὰρ δεομένοις". ἐδείκνυε δὲ ἄρα τοὺς περὶ τὸν Εὐφράτην. ὁ μὲν δὴ βασιλεὺς ἐκέλευσεν αἰτεῖν θαρροῦντας, ἐρυθριάσας δὲ ὁ Δίων „διάλλαξόν με, βασιλεῦ", εἶπε „πρὸς Ἀπολλώνιον τὸν διδάσκαλον ὑπὲρ ὧν ἀντιλέγειν αὐτῷ ἔδοξα μήπω πρότερον ἀντειπὼν τῷ ἀνδρί". ἐπαινέσας οὖν ὁ βασιλεὺς „χθὲς" ἔφη „τοῦτο ἐγὼ ᾔτησα καὶ ὑπάρχει· ἀλλ' αἴτει ὑπὲρ δωρεᾶς". καὶ ὁ Δίων „Λασθένης" ἔφη „ἐστὶ μὲν ἐξ Ἀπαμείας τῆς ἐν τῷ Βιθυνῶν ἔθνει, ξυμφιλοσοφῶν δέ μοι χλαμύδος ἠράσθη καὶ στρατιώτου βίου· τοῦτον, ἐπειδὴ τρίβωνος πάλιν ἐρᾶν φησιν, ἄνες τῆς στρατείας, δεῖ-

1. τινές ἐκείνου. p. 2. τῷ δικαστηρίῳ. p. 3. διαβάλλοντες. v. ib. εἰ δέ τι καὶ ἕτερον. π, o et m. γρ. εἰ δὲ καὶ ἕτερόν τι. p, 2, a, m.
6. τί ἂν γὰρ. p. ib. μεταδιδάσκων. π. μετὰ διδασκάλων. p, 2, E. 9. πρὸς τὸν Ἀ. 1. πρὸς Ἀ. 2, E. 10 διαλύσας. p. sec. m. 13. διαβαλὼν. π. διαβάλλων. p, 2, E. ib. καὶ γὰρ βάσκανός τε. π. et m. γρ. καὶ βάσκανός τε γὰρ. p, 2, E. 14. τῆς om. v. ib. διὰ. v. 16. μὲν οὖν ἐπῄνει. p. ib. ξυναραμένου. π. ib. αὐτὸ. v. 19. δόντι. p. οἱ
20. κεῖται. π. 26. μένεις. v.
27. ἀπήγγειλεν. π. 29. εἶπε. f, s. 31. ἐδείκνυε. C. ἐδείκνυ. E. ib. γε ἄρα. f, v, l. 32. ἐρυθριάσας. π. ἀτερυθριάσας. p, 2, E. ib. ὁ om. v. ib. ὦ βασιλεῦ. l. 35. Βιθυνῶν. π et m. γρ. Βιθυνῷ. p, 2, E. ib. χλαμύδος. π, m, o. καὶ χλαμύδος. p, 2, a. 36. φησιν. l. φασιν. 2, E.

V, 37. 38. p. 221 223.

τα δὲ αὐτὸς ταῦτα. χαριεῖ δὲ ἐμοὶ μὲν ἀποφῆναι αὐτὸν ἄνδρα ἀγαθόν, ἐκείνῳ δὲ ζῆν, ὡς βούλεται". „ἀνείσθω", ἔφη „δίδωμι δὲ αὐτῷ καὶ τὰ τῶν ἐστρατευμένων, ἐπειδὴ σοφίας ἐρᾷ καὶ σοῦ". καὶ μετὰ τοῦτον ἐς τὸν Εὐφράτην ἐπεστράφη, τῷ δὲ ἐπιστολὴ ξυνετέτακτο περὶ ὧν ἥτει. τὴν μὲν δὴ ἐπιστολὴν ὤρεγεν, ὡς ἀναγνωσομένῳ καθ' ἑαυτόν, βουληθεὶς δὲ ὁ βασιλεὺς παραδοῦναί τινα κατ' αὐτοῦ λόγον ἀνέγνω δημοσίᾳ πᾶσιν· αἰτῶν δὲ ἐφαίνετο τὰ μὲν ἑαυτῷ, τὰ δὲ ἑτέροις, καὶ τῶν 5 224
ὠρεῶν αἱ μὲν χρήματα ἦσαν, αἱ δὲ ὑπὲρ χρημάτων. γελάσας οὖν ὁ Ἀπολλώνιος „εἶτα ὑπὲρ δημοκρατίας" ἔφη „ξυνεβούλευες τοσαῦτα μέλλων αἰτήσειν βασιλέα";

Τὰ μὲν δὴ τῆς διαφορᾶς, ἣ Ἀπολλωνίῳ τε καὶ Εὐφράτῃ ἐγένετο, τοιάδε εὗρον, ἐξελάσαντος XXXIX
δὲ τοῦ βασιλέως καθήπτοντο ἀλλήλων ἐς τὸ φανερόν, ὁ μὲν Εὐφράτης ξὺν ὀργῇ τε καὶ λοιδορίᾳ, ὁ δ' αὖ φιλοσόφως καὶ ξὺν ἐλέγχῳ μᾶλλον. ὁπόσα μὲν δὴ Εὐφράτου κατηγόρηκεν, ὡς παρὰ 10
τὸ πρέπον φιλοσοφίᾳ πράττοντος, ἔξεστιν Ἀπολλωνίου μαθεῖν ἐκ τῶν πρὸς αὐτὸν ἐπιστολῶν, πλείους γάρ, ἐμοὶ δὲ ἀφεκτέα τοῦ ἀνδρός, οὐ γὰρ ἐκεῖνον διαβαλεῖν προὐθέμην, ἀλλὰ παραδοῦναι τὸν Ἀπολλωνίου βίον τοῖς μήπω εἰδόσι. τὸ μέντοι περὶ τοῦ ξύλου λεγόμενον, λέγεται δὲ ἐπανατείνασθαι μὲν αὐτὸ διαλεγομένῳ τῷ Ἀπολλωνίῳ, μὴ καθικέσθαι δέ, οἱ μὲν πολλοὶ δεινότητι τοῦ πεπληξομένου προσγράφουσιν, ἐγὼ δὲ λογισμῷ τοῦ πλήξοντος, δι' ὃν ἐγένετο κρείττων ὀργῆς νενι- 15
κηκυίας ἤδη.

Ἡ δὲ τοῦ Δίωνος φιλοσοφία ῥητορικωτέρα τῷ Ἀπολλωνίῳ ἐφαίνετο καὶ ἐς τὸ εὐφραῖνον κα- XL
τεσκευασμένη μᾶλλον, ὅθεν διορθούμενος αὐτόν φησιν „αὐλῷ καὶ λύρᾳ μᾶλλον ἢ λόγῳ θέλγε", καὶ πολλαχοῦ τῶν πρὸς Δίωνα ἐπιστολῶν ἐπιπλήττει τῇ δημαγωγίᾳ ταύτῃ.

Τὸ δὲ μὴ ἀφικέσθαι αὐτὸν παρὰ τὸν βασιλέα ἔτι, μηδὲ ξυγγενέσθαι οἱ μετὰ τὴν Αἴγυπτον 20 XLI
καίτοι καλοῦντι καὶ πλεῖστα ὑπὲρ τούτου γράφοντι ὁπόθεν ξυνέβη, δηλῶσαι βούλομαι· Νέρων ἐλευθέραν ἀφῆκε τὴν Ἑλλάδα σωφρονέστερόν τι ἑαυτοῦ γνούς, καὶ ἐπανῆλθον αἱ πόλεις ἐς ἤθη 225
Δωρικὰ καὶ Ἀττικὰ πάντα τε ἀνήβησε ξὺν ὁμονοίᾳ τῶν πόλεων, ὃ μὴ πάλαι ἡ Ἑλλὰς εἶχεν. Οὐεσπασιανὸς δὲ ἀφικόμενος ἀφείλετο αὐτὴν τοῦτο στάσεις προβαλλόμενος καὶ ἄλλα οὔπω τῆς ἐπὶ τοσόνδε ὀργῆς· ταῦτ' οὖν οὐ μόνον τοῖς παθοῦσιν, ἀλλὰ καὶ τῷ Ἀπολλωνίῳ πικρότερα τοῦ τῆς 25
βασιλείας ἤθους ἔδοξεν, ὅθεν ἐπέστειλε τῷ βασιλεῖ ὧδε·

Ἀπολλώνιος Οὐεσπασιανῷ βασιλεῖ χαίρειν.

Ἐδουλώσω τὴν Ἑλλάδα, ὥς φασι, καὶ πλέον μὲν οἶει τι ἔχειν Ξέρξου, λέληθας δὲ ἔλαττον ἔχων Νέρωνος· Νέρων γὰρ ἔχων αὐτὸ παρῃτήσατο. ἔρρωσο.

Τῷ αὐτῷ. 30

Διαβεβλημένος οὕτω πρὸς Ἕλληνας, ὡς δουλοῦσθαι αὐτοὺς ἐλευθέρους ὄντας τί ἐμοῦ ξυνόντος δεῖ; ἔρρωσο.

Τῷ αὐτῷ.

Νέρων τοὺς Ἕλληνας παίζων ἠλευθέρωσε, σὺ δὲ αὐτοὺς σπουδάζων ἐδουλώσω. ἔρρωσο.

1. ὁ αὐτὸς. 2, a. ib. χαριῇ. l, E. 2. δ' αὐτῷ. p, l. ib. ἐστρατευομένων. π. 3. καὶ μετὰ. π, v. μετὰ. p, f, l, s, E. 4. τινα κατ' αὐτοῦ. l. τινα τῷ Ἀπολλωνίῳ τὲ καὶ Εὐφράτῃ κατ' αὐτοῦ. f, v, l. τινα τῷ Ἀπολλωνίῳ κατ' αὐτοῦ. s, E. 6. χρήματα. l, f, v, o, et m. γρ. χρημάτων. s, a, m.
8. ἦ. π, f, l, s, E. ὡς. p. ἦ. v. ib. ἐξελάσοντος l. 12. ἀφικτέα. a et m. γρ. ib. διαβαλεῖν. l, f, v. διαβάλλειν. l, s, E. 13. ἐπανατείνεσθαι. f. 14. αὐτὸ. l. αὐτῷ. f, v, l. αὐτὸν. s, E. ib. τοῦ προ πληξομένου. l. (sic). 15. προγράφουσιν. v, l.
20. βασιλέα ἔτι. l. βασιλέα. ἔτι. 2, E. ib. μηδὲ. l. δὲ μὴ. 2, E. 21. τούτου. l. τούτων. 2, E. 22. τι om. p. 23. θυεσπισιανος. s et sic ubique. 24. δὲ om. l.
28. μὲν om. λ. ib. ἔλαττον. l, λ et Maz. ἐλάττω. 2, E. 29. οὗτος γὰρ. λ. ib. ἔρρωσο om. λ ut et 32.
30. τῷ αὐτῷ deest hic et 33 in p, l et s (pr. m.).

V. 39. 40. 41. p. 224. 225.

Τὰ μὲν δὴ διαβάλλοντα Οὐεσπασιανὸν Ἀπολλωνίῳ τοιάδε ἐγένετο, ἀκούων δ' αὐτὸν εὖ διατιθέμενον τὴν μετὰ ταῦτα ἀρχὴν πᾶσαν οὐκ ἀφανὴς ἦν χαίρων καὶ ἡγούμενος ἑαυτῷ ἀγαθὸν πράττεσθαι.

XLII Θαυμάσιον Ἀπολλωνίου κἀκεῖνο ἐν Αἰγύπτῳ ἔδοξε· λέοντα ἡμέρου ἀπὸ ῥυτῆρος ἠγέ τις, ὥσπερ κύνα, ὁ δὲ οὐ μόνον τὸν ἄγοντα ᾔκαλλεν, ἀλλὰ καὶ ὅστις προσέλθοι, καὶ ἤγειρε μὲν πολλαχοῦ τῶν πόλεων, παρῄει δὲ καὶ ἐς τὰ ἱερὰ ὑπὸ τοῦ καθαρὸς εἶναι· οὐδὲ γὰρ τὸ τῶν θυομένων
226 αἷμα ἀνελιχμᾶτο, οὐδ' ἐπὶ τὰ δερόμενά τε καὶ ῥαχιζόμενα τῶν ἱερείων ἤττεν, ἀλλὰ μελιττούτας διήγετο καὶ ἄρτοις καὶ τραγήμασι καὶ κρεῶν τοῖς ἑφθοῖς, ἐντυχεῖν δὲ ἦν αὐτῷ καὶ οἴνου πίνοντι μὴ μεθισταμένῳ τοῦ ἤθους. προσελθὼν δὲ τῷ Ἀπολλωνίῳ καθημένῳ ἐς τὸ ἱερὸν τοῖς τε γόνασιν αὐτοῦ προσεκνυζᾶτο καὶ ἐλιπάρει παρὰ πάντας ἀνθρώπους, ὡς μὲν οἱ πολλοὶ ᾤοντο, μισθοῦ ἕνεκα, ὁ δὲ Ἀπολλώνιος „δεῖταί μου" ἔφη „ὁ λέων ἀναδιδάξαι ὑμᾶς, ὅτου ἀνθρώπου ψυχὴν ἔχει· ἔστι τοίνυν Ἄμασις οὗτος, ὁ βασιλεὺς Αἰγύπτου περὶ τὸν Σαΐτην νομόν". ἐπεὶ δ' ἤκουσεν ὁ λέων ταῦτα, ἀνερρυχήσατο ἐλεεινὸν καὶ θρηνῳδὲς καὶ ὠλοφύρατο ξυνοκλάσας, δάκρυα εἰς αὐτά. καταψῶν οὖν αὐτὸν ὁ Ἀπολλώνιος „δοκεῖ" ἔφη „πέμπειν τὸν λέοντα ἐς Λεοντόπολιν ἀνακεισόμενον τῷ ἱερῷ, βασιλέα γὰρ ἐς τὸ βασιλικώτατον τῶν θηρίων μεταβαλόντα οὐκ ἀξιῶ ἀγείρειν, καθάπερ
227 τοὺς πτωχοὺς τῶν ἀνθρώπων. ἐντεῦθεν οἱ ἱερεῖς ξυνελθόντες ἔθυσαν τῷ Ἀμάσιδι καὶ κοσμήσαντες τὸ θηρίον στρεπτῷ καὶ ταινίαις παρέπεμπον ἐς τὴν Αἴγυπτον αὐλοῦντες καὶ ὑμνοῦντες καὶ ἐπ' αὐτῷ ᾄδοντες.

XLIII Ἱκανῶς δὲ ἔχων τῶν περὶ τὴν Ἀλεξάνδρειαν ἐστέλλετο ἐς Αἴγυπτόν τε καὶ ἐς Αἰθιοπίαν ἐς ξυνουσίαν τῶν Γυμνῶν. τὸν μὲν δὴ Μένιππον, ἐπειδὴ τῶν διαλεγομένων ἤδη ἐτύγχανε καὶ παρρησίᾳ χρῆσθαι δεινὸς ἦν, κατέλιπεν αὐτόθι ἔφεδρον τῷ Εὐφράτῃ, καὶ τὸν Διοσκουρίδην ἰδὼν οὐκ ἐρρωμένως πρὸς τὴν ἀποδημίαν διακείμενον παρῃτήσατο τῆς ὁδοῦ, τοὺς δὲ λοιποὺς ξυναγαγών, μετὰ γὰρ τοὺς ἀπολιπόντας αὐτὸν περὶ τὴν Ἀρικίαν προσεγένοντο πλείους ἕτεροι, διῄει πρὸς αὐτοὺς περὶ τῆς ἀποδημίας ἐνθένδε ἀρξάμενος· „Ὀλυμπικῆς προρρήσεως" ἔφη „δέομαι πρὸς ὑμᾶς, ὦ ἄνδρες· Ὀλυμπικὴ δὲ πρόρρησις ἡ τοιάδε εἴη ἄν· Ἠλεῖοι τοὺς ἀθλητάς, ἐπειδὰν ἥκῃ Ὀλύμπια, γυμνάζουσιν ἡμερῶν τριάκοντα ἐν αὐτῇ τῇ Ἤλιδι, καὶ ξυναγαγόντες αὐτοὺς ὁ μὲν Δελφός, ὅτε Πύθια, ὁ δὲ Κορίνθιος, ὅτε Ἴσθμια, „ἴτε" φασὶν „ἐς τὸ στάδιον, καὶ γίγνεσθε ἄνδρες οἷοι νικᾶν," Ἠλεῖοι δέ, ἐπειδὰν ἴωσιν ἐς Ὀλυμπίαν, διαλέγονται πρὸς τοὺς ἀθλητὰς ὧδε· „εἰ πεπόνηται ὑμῖν ἐπαξίως τοῦ ἐς Ὀλυμπίαν ἐλθεῖν καὶ μηδὲν ῥᾴθυμον μηδὲ ἀγεννὲς εἴργασται, ἴτε θαρροῦντες, οἷς δὲ μὴ ὧδε ἤσκηται, χωρεῖτε οἷ βούλεσθε." ξυνῆκαν οἱ ὁμιληταὶ τοῦ λόγου καὶ κατέμειναν ἀμφὶ τοὺς εἴκοσι παρὰ τῷ Μενίππῳ, οἱ δὲ λοιποὶ δέκα, οἶμαι, ὄντες εὐξάμενοι τοῖς θεοῖς καὶ οἷον ἐμβατήρια πλοῦ θύσαντες ἐχώρουν εὐθὺ πυραμίδων ἐπὶ καμήλων ὀχούμενοι δεξιὸν θέμενοι τὸν Νεῖλον. πολλαχοῦ δὲ διεπλεῖτο αὐτοῖς ὁ ποταμὸς ὑπὲρ ἱστορίας τῶν ἐν αὐτῷ πάντων, οὔτε γὰρ
228 πόλιν οὔτε ἱερὸν οὔθ' ὁπόσα τεμένη κατ' Αἴγυπτον, οὐδὲν τούτων ἄφωνοι παρῆλθον, ἀλλ' ἱερούς τινας ἀεὶ λόγους διδασκόμενοί τε καὶ διδάσκοντες, καὶ ἡ ναῦς, ἣν ἐμβαίη Ἀπολλώνιος, ἐῴκει θεωρίδι.

1. τὰ μὲν δή. 1, f, l, v et m. γρ. τὰ μὲν οὖν. s, E. ib. διαβαλόντα. m. o. 2. ἑαυτῷ. π, 2, a, m. ἐπ' αὐτῷ. p. αὐτῷ. o.

4. ἐν Αἰγύπτῳ om. p. 5. ᾔκαλλε. Φ. (333, b, 25). 6. οὐδὲ γὰρ. l. οὐ γὰρ. 2, E. 7. δερόμενα. π. δειρόμενα. p, 2, E. ib. ἤττεν. 2, a. ἦγεν. 1. m, o. 8. ἐντυχεῖν. v. 9. δὲ om. l. ib. γόνασιν αὐ. f. 10. περὶ m. sed γρ. παρὰ. 11. ὅτ' ἀνθρώπου. p. ib. ἔχει. 1, v. ἔχοι. f, s, E. 12. νόμον. v, l. ib. δὴ ἤκουσεν. v. 13. δάκρυα εἰς αὐτά. C. δ. εἰς αὐτά. v. δάκρυα καὶ εἰς αὐτά. a, m. δάκρυα εἰς. o. An: δάκρυα εἰς ἀληθινά? 14. δοκεῖ om. l. 15. μεταβάλλοντα. l, E. ib. ἐγείρειν. π.

19. τῶν περὶ. 1. περὶ. 2, E. ib. τε om. l. ib. ἐς Αἰθιοπίαν. 1. Αἰθιοπίαν. 2, E. 20. καὶ om. v. 24. ἐνθάδε. ται v. 27. Κόρινθος. p. ante corr. o. ib. γίνεσθε. o. γίνεσθαι. v. 28. ἴασιν. p. 29. εἴργασθε. π. εἰργασθε. p, 2, E. 30. μὴ δὲ ὧδε. v. ib. αὐλῆται. p. 32. θύσαντες πλοῦ. 2, a. 34. ἄφωνοι. π, m, o. ἀφ' ὧν οὐ. p, 2, a et m γρ. 35. ὁ Ἀπολλώνιος. p. ib. ἐδόκει. s, a.

V. 42. 14. p. 226. 227. 228.

Ζ'.

Αἰθιοπία δὲ τῆς μὲν ὑπὸ ἡλίῳ πάσης ἐπέχει τὸ ἑσπέριον κέρας, ὥσπερ Ἰνδοὶ τὸ πρὸς ἕω, κατὰ Μερόην δ' Αἰγύπτῳ ξυνάπτουσα καί τι τῆς ἀμαρτύρου Λιβύης ἐπελθοῦσα τελευτᾷ ἐς θάλατταν, ἣν Ὠκεανὸν οἱ ποιηταὶ καλοῦσι, τὸ περὶ γῆν ἅπαν ὧδε ἐπονομάζοντες. ποταμὸν δὲ Νεῖλον Αἰγύπτῳ δίδωσιν, ὃς ἐκ Καταδούπων ἀρχόμενος, ἣν ἐπικλύζει πᾶσαν Αἴγυπτον ἀπ' Αἰθιόπων ἄγει. μέγεθος μὲν οὖν οὐκ ἀξία παραβεβλῆσθαι πρὸς Ἰνδοὺς ἥδε ἡ χώρα, ὅτι μηδ' ἄλλη μηδεμία, ὁπόσαι κατ' ἀνθρώπους ὀνομασταὶ ἦπειροι, εἰ δὲ καὶ πᾶσαν Αἴγυπτον Αἰθιοπίᾳ ξυμβάλοιμεν, τουτὶ δὲ ἡγώμεθα καὶ τὸν ποταμὸν πράττειν, οὕπω ξύμμετροι πρὸς τὴν Ἰνδῶν ἄμφω, τοσαύτῃ ξυντεθεῖσα, ποταμοὶ δὲ ἀμφοῖν ὅμοιοι λογισαμένῳ τὰ Ἰνδοῦ τε καὶ Νείλου· ἐπιρραίνουσί τε γὰρ τὰς ἠπείρους ἐν ὥρᾳ ἔτους, ὁπότε ἡ γῆ ἐρᾷ τούτου, ποταμῶν τε παρέχονται μόνοι τὸν κροκόδειλον καὶ τὸν ἵππον, λόγοι τε ὀργίων ἐπ' αὐτοῖς ἴσοι, πολλὰ γὰρ τῷ Ἰνδῷ καὶ Νείλῳ ἐπιθειάζεται. τὴν δὲ ὁμοιότητα τῶν ἠπείρων πιστούσθων μὲν καὶ τὰ ἐν αὐταῖς ἀρώματα, πιστούσθων δὲ καὶ οἱ λέοντες καὶ ὁ ἐλέφας ἐν ἑκατέρᾳ ἁλισκόμενός τε καὶ δουλεύων. βόσκουσι δὲ καὶ θηρία, οἷα οὐχ ἑτέρωθι, καὶ ἀνθρώπους μέλανας, ὃ μὴ ἄλλαι ἦπειροι, Πυγμαίων τε ἐν αὐταῖς ἔθνη καὶ ὑλακτούντων ἄλλο ἄλλῃ καὶ ὧδε θαυμαστά. γρῦπες δὲ Ἰνδῶν καὶ μύρμηκες Αἰθιόπων εἰ καὶ ἀνόμοιοι τὴν ἰδέαν εἰσίν, ἀλλ' ὅμοιά γε, ὥς φασι, βούλονται, χρυσοῦ γὰρ φύλακες ἐν ἑκατέρᾳ ἄδονται τὸ χρυσόγεων τῶν ἠπείρων ἀσπαζόμενοι. ἀλλὰ μὴ πλείω ὑπὲρ τούτων, ὁ δὲ λόγος ἐς τὸ ἑαυτοῦ ἴτω καὶ ἐχώμεθα τοῦ ἀνδρός.

Ἀφικόμενος γὰρ ἐπὶ τὰ Αἰθιόπων τε καὶ Αἰγυπτίων ὅρια, Συκάμινον δὲ αὐτὰ ὀνομάζουσι, χρυσῷ τε ἀσήμῳ ἐνέτυχε καὶ λίνῳ καὶ ἐλέφαντι καὶ ῥίζαις καὶ μύρῳ καὶ ἀρώμασιν, ἔκειτο δὲ πάντα ἀφύλακτα ἐν ὁδῷ σχιστῇ· καὶ ὅ τι βούλεται ταῦτα, ἐγὼ δηλώσω, νομίζεται γὰρ καὶ ἐς ἡμᾶς ἔτι· ἀγορὰν Αἰθίοπες ἀπάγουσιν, ὧν Αἰθιοπία δίδωσιν, οἱ δ' ἀνελόμενοι πᾶσαν ξυμφέρουσιν ἐς τὸν αὐτὸν χῶρον ἀγορὰν Αἰγυπτίαν ἴσου ἀξίαν ὠνούμενοι τῶν αὐτοῖς ὄντων τὰ οὐκ ὄντα. οἱ δὲ τὰ ὅρια τῶν ἠπείρων οἰκοῦντες οὕπω μέλανες, ἀλλὰ ὁμόφυλοι τὸ χρῶμα, μελαίνονται γὰρ οἱ μὲν ἧττον Αἰθιόπων, οἱ δὲ μᾶλλον Αἰγυπτίων. ξυνεὶς οὖν ὁ Ἀπολλώνιος τοῦ τῆς ἀγορᾶς ἤθους „οἱ δὲ χρηστοὶ" ἔφη „Ἕλληνες, ἢν μὴ ὀβολὸς ὀβολὸν τέκῃ καὶ τὰ ὤνια αὐτοῖς ἐπιτιμήσωσι καπηλεύοντες ἢ καθειργνύντες, οὗ φασι ζῆν ὁ μὲν θυγατέρα σκηπτόμενος ἐν ὥρᾳ γάμων, ὁ δ' υἱὸν ἤδη τελοῦντα ἐς ἄνδρας, ὁ δ' ἐράνου πλήρωσιν, ὁ δ', ὡς οἰκοδομοῖτο οἰκίαν, ὁ δέ, ὡς αἰσχύνοιτο χρηματιστὴς ἧττων τοῦ πατρὸς δόξαι. καλῶς δ' ἄρ' εἶχεν, ἵνα ὁ πλοῦτος ἀτίμως ἔπραττεν ἰσότης τε ἦνθει,

μέλας δ' ἀπέκειτο σίδηρος,

ὁμονοούντων τῶν ἀνθρώπων, καὶ ἡ γῆ πᾶσα ἐδόκει μία."

1. *Αἰθιοπία — ἀσπαζόμενοι.* Φ (329, b, 7), et *Αἰθιοπία — μᾶλλον Αἰγυπτίων.* φ. ib. δὲ om. Φ. 2. δὲ. Φ. ib. καί τι τῆς. π. καὶ τι καὶ τῆς. p, 2, m, o, Φ. καί τοι καὶ τῆς φ, a et m. γρ. ib. ἀμαρτύρου. 1, f, l, E, Φ. ἀοικήτου. v, s. ib. θάλασσαν. f, Φ. 3. ἣν om. ΦA, B. 4. ἐπ' *Αἰθιόπων.* 2, a, m. (s: ἀπ' *Αἰθ.* sec. m.) 5. ὅτι om. m, o. ib. *μὴ δὲ μία.* π. 6. ξυμβάλλοιμεν. ΦA, B. 7. ἡγούμεθα. Φ praeter A, B. ib. οὔπω. 1, Φ. καὶ οὔπω. 2, E. ib. ξύμμετροι. C praeter φ, ΦA. ξύμμετρον. φ, a, m, Φ praeter A. ξυμμέτρω. o. ib. τοσαύτῃ om. Φ. ib. ξυντεθεῖσαι. ΦA. 8. *λογισαμένω — τε* om. m. ib. τοῦ *Ἰνδοῦ.* o. ib. τε s. pr. m. om. ib. *ἐπιρραίνουσι.* π. *πιαίνουσι.* p. ex corr. *πιραίνουσι.* 2, E, Φ. 9. ὁπότε γῆ. p. ib. δὲ. Φ praeter A, B. 10. *λόγοι — ἐπιθειάζεται* om. Φ. ib. *πολλὰ*, δὲ. a, m. ib. τῷ *Ἰνδῷ.* 1 et s sec. m, E. τῶν *Ἰνδῶν.* f, v, l, φ. ib. *Νείλῳ ἐπιθειάζεται.* π et p ubi fuerat *Νείλῳ τε ἐπιθ.*) *Νείλῳ δὲ ἐπιθ.* 2, φ. *N. διεπιθ* a, m. *N. δὴ ἐπιθ.* r, o. ib. τῇ δὲ ὁμοιότητι. s, a et m. γρ. (nota eius haec est: *γρ. γὰρ τῷ Ἰ. καὶ N. θειάζεται. τῇ δὲ ὁμοιότητι τ.*) *τὴν γαρ ὁμοιότητα.* φ. 13. πιστούσθω. Φ A. pr. m. ib. αὐταῖς. 1, φ, Φ. αὐτοῖς. 2, E. ib. πιστούσθωσαν. Φ. 12. ἑκατέρῳ. p. 13. ἄλλοι. p. ib. καὶ *ὑλακτούντων — θαυμαστά* om. Φ. 14. γρῦπες. 1, Φ. γρῦπες. φ. m, o. γύπες. 2, a. 15. βουλεύονται. p. 16. *ἀλλὰ μὴν.* v. ib. αὐτοῦ. p, 2. ib. ἐχόμεθα. v.

18. δὲ *ἐπὶ.* φ. ib. συκάμμινον. l. 19. χρυσῷ τε καὶ. p. 20 σχιστῇ. οἱ γὰρ *Αἰθίοπες ἀγορὰν ἀπάγουσιν.* φ. 22. *Αἰγυπτίων ἀνίσου.* p. ib. τῶν αὐτῶν. p. 23. *γὰρ ἧττον μὲν Α. μᾶλλον δὲ Α.* o. 26. ἢ καθειργνύντες om. m. καὶ καθειργνύντες. o. κατειργνύντες. f. ib. ζῆν ὁ μὲν. π et m. γρ. ζῆν. *ἀλλ' ὁ μὲν.* p, 2, E. 27. οἰκονομοῖτο. p. οἰκοδομεῖτο. a. 28. ἂν εἶχεν, ἵνα ὁ πλοῦτος. π et m. γρ. ἂν εἶχε πλοῦτος. p. ἂν εἶχεν ἦν ὁ πλοῦτος. 2, E. Sc. ἄρ' εἶχεν, ἵνα ὁ πλοῦτος. ib. *ἀτίμων.* p. 30. τῶν *ἀνθρώπων.* π. *ἀνθρώπων.* p, 2, E.

111 Τοιαῦτα διαλεγόμενος καὶ ξυμβούλους τῶν διαλέξεων, ὥσπερ εἰώθει, ποιούμενος τοὺς καιροὺς ἐχώρει ἐπὶ Μέμνονος, ἡγεῖτο δ' αὐτοῖς μειράκιον Αἰγύπτιον, ὑπὲρ οὗ τάδε ἀναγράφει Δάμις· Τιμασίων μὲν τῷ μειρακίῳ τούτῳ ὄνομα ἦν, ἐφήβου δὲ ἄρτι ὑπανθεῖ καὶ τὴν ὥραν ἔτι ἔρρωτο. σωφρονοῦντι δὲ αὐτῷ μητρυιὰ ἐρῶσα ἐνέκειτο καὶ χαλεπὸν τὸν πατέρα ἐποίει, ξυντιθεῖσα μὲν οὐδὲν ὃ ὑπὲρ ἡ Φαίδρα, διαβάλλουσα δ' αὐτὸν ὡς θῆλυν καὶ ἑρασταῖς μᾶλλον ἢ γυναίοις χαίροντα. ὁ δ' 231 ἐκλιπὼν Ναύκρατιν, ἐκεῖ γὰρ ταῦτα ἐγίγνετο, περὶ Μέμφιν διητᾶτο, καὶ ναῦν δὲ ἤδη ἄτοπον ἐκέκτητο καὶ ἐναυκλήρει ἐν τῷ Νείλῳ. ἰδὼν οὖν ἀναπλέοντα τὸν Ἀπολλώνιον καταπλέων αὐτὸς ξυνῆκέ τε, ὡς ἀνδρῶν σοφῶν εἴη τὸ πλήρωμα ξυμβαλλόμενος τοῖς τρίβωσι καὶ τοῖς βιβλίοις, οἷς προσεσπούδαζον, καὶ ἱκέτευε προσδοῦναί οἱ τῆς τοῦ πλοῦ κοινωνίας ἐρῶντι σοφίας, ὁ δ' Ἀπολλώ- 10 νιος „σώφρων" ἔφη „ὁ νεανίσκος, ὦ ἄνδρες, καὶ ἀξιούσθω ὧν δεῖται," καὶ διῆλθε τὸν περὶ τῆς μητρυιᾶς λόγον πρὸς τοὺς ἐγγὺς τῶν ἑταίρων ὑφειμένῳ τῷ τόνῳ προσπλέοντος τοῦ μειρακίου ἔτι. ὡς δὲ ξυνῆσαν αἱ νῆες, μεταβὰς ὁ Τιμασίων καὶ πρὸς τὸν ἑαυτοῦ κυβερνήτην εἰπών τι ὑπὲρ τοῦ φόρτου προσεῖπε τοὺς ἄνδρας. κελεύσας οὖν αὐτὸν ὁ Ἀπολλώνιος κατ' ὀφθαλμοὺς αὐτοῦ ἰζῆσαι „μειράκιον" ἔφη „Αἰγύπτιον, ἔοικας γὰρ τῶν ἐπιχωρίων εἶναί τις, τί σοι φαῦλον ἢ τί χρηστὸν 15 εἴργασται, λέξον, ὡς τῶν μὲν λύσις παρ' ἐμοῦ γένοιτό σοι δι' ἡλικίαν, τῶν δ' αὖ ἐπαινεθεὶς ἐμοί τε ξυμφιλοσοφοίης καὶ τοῖσδε." ὁρῶν δὲ τὸν Τιμασίωνα ἐρυθριῶντα καὶ μεταβάλλοντα τὴν ὁρμὴν τοῦ στόματος ἐς τὸ λέξαι τι ἢ μή, θαμὰ ἤρειδε τὴν ἐρώτησιν, ὥσπερ οὐδεμιᾷ προγνώσει ἐς αὐτὸν κεχρημένος, ἀναθαρσήσας δὲ ὁ Τιμασίων „ὦ θεοί", ἔφη „τίνα ἐμαυτὸν εἶπω; κακὸς μὲν γὰρ οὐκ εἰμί, ἀγαθὸν δὲ εἰ χρὴ νομίζεσθαί με, οὐκ οἶδα, τὸ γὰρ μὴ ἀδικεῖν οὔπω ἔπαινος." καὶ ὁ Ἀπολ- 20 λώνιος „βαβαί", ἔφη „μειράκιον, ὡς ἀπὸ Ἰνδῶν μοι διαλέγῃ, ταυτὶ γὰρ καὶ Ἰάρχᾳ δοκεῖ τῷ θείῳ. ἀλλ' ὅπως ταῦτα δοξάζεις, κἀξ ὅτου; φυλαξομένῳ γάρ τι ἁμαρτεῖν ἔοικας." ἐπεὶ δὲ ἀρξαμένου λέγειν, ὡς ἡ μητρυιὰ μὲν ἐπ' αὐτὸν φέροιτο, αὐτὸς δ' ἐρώσῃ ἐκσταίη, βοὴ ἐγένετο, ὡς δαιμονίως 232 αὐτὰ τοῦ Ἀπολλωνίου προειπόντος, ὑπολαβὼν ὁ Τιμασίων „ὦ λῷστοι", ἔφη „τί πεπόνθατε; τοσοῦτον γὰρ ἀπέχει τὰ εἰρημένα θαύματος, ὅσον, οἶμαι, γέλωτος." καὶ ὁ Δάμις „ἕτερόν τι" ἔφη 25 „ἐθαυμάσαμεν, ὃ μήπω γιγνώσκεις. καὶ σὲ δέ, μειράκιον, ἐπαινοῦμεν, ὅτι μηδὲν οἴει λαμπρὸν εἰργάσθαι." „Ἀφροδίτῃ δὲ θύεις, ὦ μειράκιον;" ἤρετο ὁ Ἀπολλώνιος, καὶ ὁ Τιμασίων, „νὴ Δί'", εἶπεν, „ὁσημέραι γε, πολλὴν γὰρ ἡγοῦμαι τὴν θεὸν ἀνθρωπείοις τε καὶ θείοις πράγμασιν." ὑπερησθεὶς οὖν ὁ Ἀπολλώνιος, „ψηφισώμεθα," ἔφη „ὦ ἄνδρες, ἐστεφανῶσθαι αὐτὸν ἐπὶ σωφροσύνῃ καὶ πρὸ Ἱππολύτου τοῦ Θησέως, ὁ μὲν γὰρ ἐς τὴν Ἀφροδίτην ὕβρισε καὶ διὰ τουτὶ ἴσως οὐδὲ ἀφροδισίων

1. καὶ om. π. 2. Φ. ἐντεῦθέν φησι τὸν Ἀπολλώνιον χωρεῖν ἐπὶ Μένωνος. ἡγεῖσθαι δ' αὐτοῖς μειράκιον Αἰγύπτιον, Τιμασίων ὄνομα. (330, a, 3). ib. τὸ Μέμνονος. ν. ib. τάδε. π, m, o. τόδε. p, 2, a. ib. Σ. ν. Τιμασίων οὗτος μειράκιον ἦν Αἰγύπτιον. ἐφήβου — μητρυιὰν εἶδε. idem ν. ἔφηβος· Τιμασίων μειράκιον Αἰγύπτιον ἐφήβου — ἐποίει. ib. ἐφήβους. ΣΒ, l, M. 3. ἐπανθεῖ. a. ib. ἄρτι ἔρρωτο. ΣΑ. 5. αὐτῷ om. ΣV. ib. ἡ μητρυιὰ. ΣV. ib. ἐνέκειτο. Σ. ib. χαλεπῶς. ΣΒ. (ν. ἔφηβους.) 6. ἐκεῖ — ἐγίγνετο om. Σ. ib. ἤδη ἄτοπον. C, E. ἤδη om. ἄτοπον Σ. ἤδη ἄκατον. B. Fo: ἰδιόστολον. 8. ξυνῆκεν ὡς. l, s, a, m ΣV. (συνῆκεν ὡς). ib. ξυμβαλόμενος. 1, s, E. ξυμβαλλόμενος. f, v, l, Σ. 9. οἷς προσεσπούδαζον om. ΣV. εἷς. o. ib. προδοῦναι. ΣB, v, l. ib. τοῦ om. Σ praeter A, V, l. ib. πλοῦ. π, m, o. πλοίου. p. ex corr. pro πλούτου et Σ. πλάτωνος f, l, v. (ubi πλάτονος), a et m. γρ. πλάτωνος et sec. m. πλούτου. s. 10. νεανίσκος ὅδε. Σ, o. ib. καὶ διῆλθε — τόνῳ. Φ. (333, b, 26.) ib. διῆλθεν ὁ Ἀπολλώνιος. Σ praeter A, V. ib. περὶ om. ΣV. ib. τῆς om. v, ΣV. 11. μητρυᾶς ΣA. ib. πρὸς — ἑταίρων om. Φ. πρὸς — ἄνδρας om. ΣV. ib. τῷ νῷ s, et τόνῳ supra scr. 12. νέες. s, Σ. ib. περὶ τοῦ. Σ. 13. αὐτοῦ om. Σ praeter A. 14. ἔφη. p. εἶπεν. s, l, E, Σ. ib. τις εἶναι. v. 15. λύσιν. π. ib. παρ' ἐμοῦ λύσις. p. ib. ἐπαινεθεὶς. 1, Σ. ἐπαινεθῇς. 2, E. 16. τε om. ΣV. ib. δὲ om. ΣV. ib. μεταβάλλοντα. 1. μεταβαλόντα. 2, Σ, E. 17. σώματος. s, a, m. ib. ἑαυτὸν ΣA. 18. ἀναθαρρήσας. Σ. ib. οὖν ὁ Σ praeter A. 20. Ἰάρχῳ. Σ praeter A Ἰάρχαι, et V, ubi Ἱεράρχᾳ. 21. δοξάζῃς. p. ib. φυλαξομένῳ. 1. φυλαξαμένῳ. 2, Σ, E. 22. καὶ ἡ. ΣV. ib. ἐρώσης. Σ. 23. δὲ ὁ. π, s, E. ib. ἰὼ στα. π. 24. ὅσον καὶ γέλωτος. Σ. ib. Δᾶμις. Σ. 25. ὅπερ οὔπω γινώσκεις. Σ. 26. εἰργάσθαι σοι. Σ (praeter A, V.) et o. ib. ἤρετο αὐτὸν. Σ. ib. Δία. p. 27. ὁσημέραι γε. 1, Σ. ὁσημέραι. 2, E. ib. ἀνθρωπίνοις. Σ praeter V. ib. θεὸν ἀνθρωπείοις C, E. Fo: θεὸν ἐν ἀνθρωπείοις. 28. Σ. ν. κωμάσαι· ὁ Ἀπολλώνιος ἔφη· ψηφίσωμεν ὦδε ἐστεφανῶσθαι αὐτὸν — ὕβρισεν, ὁ δὲ οὔ. καὶ διὰ τοῦτο οὐδὲ ἀφροδισίων ἥττητο, οὐδὲ ἔρως εἰς αὐτὸν εἰσεκώμαζεν, ἀλλ' ἦν — μοίρας et ν. ἀτεγκτος habet ἀλλ' ἦν — μοίρας. 29. τοῦ om. 2. a. ΣA, E. ν. κωμάσαι. ib. τουτὶ. π. τοῦτ' p. τοῦτο. 2, E ib. οὐδὲ ἀφροδισίων — μοίρας. Φ. (333, b, 27.)

ἥττητο, οὐδὲ ἔρως ἐπ' αὐτὸν οὐδεὶς ἐκώμαζεν, ἀλλ' ἦν τῆς ἀγροικοτέρας τε καὶ ἀτέγκτου μοίρας, οὑτοσὶ δὲ ἡττᾶσθαι τῆς θεοῦ φάσκων οὐδὲν πρὸς τὴν ἐρῶσαν ἔπαθεν, ἀλλ' ἀπῆλθεν αὐτὴν δείσας τὴν θεόν, εἰ τὸ κακῶς ἐρᾶσθαι μὴ φυλάξαιτο, καὶ αὐτὸ δὲ τὸ διαβεβλῆσθαι πρὸς ὀντιναδὴ τῶν θεῶν, ὥσπερ πρὸς τὴν Ἀφροδίτην ὁ Ἱππόλυτος, οὐκ ἀξιῶ σωφροσύνης, σωφρονέστερον γὰρ τὸ περὶ πάντων θεῶν εὖ λέγειν καὶ ταῦτα Ἀθήνησιν, οὗ καὶ ἀγνώστων δαιμόνων βωμοὶ ἵδρυνται." τοσαῦτα ἐς τὸν Τιμασίωνα αὐτῷ ἐσπουδάσθη. πλὴν ἀλλὰ Ἱππόλυτόν γε ἐκάλει αὐτὸν διὰ τοὺς ὀφθαλμούς, οἷς τὴν μητρυιὰν εἶδεν. ἐδόκει δὲ καὶ τοῦ σώματος ἐπιμεληθῆναι καὶ γυμναστικῆς ἐπαφροδίτως ἅψασθαι.

Ὑπὸ τούτῳ ἡγεμόνι παρελθεῖν φασιν ἐς τὸ τέμενος τοῦ Μέμνονος. περὶ δὲ τοῦ Μέμνονος IV
τάδε ἀναγράφει Δάμις· Ἠοῦς μὲν παῖδα γενέσθαι αὐτόν, ἀποθανεῖν δὲ οὐκ ἐν Τροίᾳ, ὅτι μηδὲ 10
ἀφικέσθαι ἐς Τροίαν, ἀλλ' ἐν Αἰθιοπίᾳ τελευτῆσαι βασιλεύσαντα Αἰθιόπων γενεὰς πέντε. οἱ δ', 233
ἐπειδὴ μακροβιώτατοι ἀνθρώπων εἰσίν, ὀλοφύρονται τὸν Μέμνονα ὡς κομιδῇ νέον καὶ ὅσα ἐπὶ ἀώρῳ κλαίουσι, τὸ δὲ χωρίον, ἐν ᾧ ἵδρυται, φασὶ μὲν προσοικέναι ἀγορᾷ ἀρχαίᾳ, οἷαι τῶν ἀγορῶν ἐν πόλεσί ποτε οἰκηθείσαις λείπονται στηλῶν παρεχόμεναι τρύφη καὶ τειχῶν ἴχνη καὶ θάκους καὶ φλιὰς ἑρμῶν τε ἀγάλματα, τὰ μὲν ὑπὸ χειρῶν διεφθορότα, τὰ δὲ ὑπὸ χρόνου. τὸ δὲ ἄγαλμα 15
τετράφθαι πρὸς ἀκτῖνα μήπω γενειάσκον, λίθου δὲ εἶναι μέλανος, ξυμβεβηκέναι δὲ τῷ πόδε ἄμφω κατὰ τὴν ἀγαλματοποιίαν τήν ἐπὶ Δαιδάλου καὶ τὰς χεῖρας ἀπερείδειν ὀρθὰς ἐς τὸν θᾶκον, καθῆσθαι γὰρ ἐν ὁρμῇ τοῦ ὑπανίστασθαι. τὸ δὲ σχῆμα τοῦτο καὶ τὸν τῶν ὀφθαλμῶν νοῦν καὶ ὁπόσα τοῦ στόματος ὡς φθεγξαμένου ᾄδουσι, τὸν μὲν ἄλλον χρόνον ἧττον θαυμάσαι φασίν, οὕπω γὰρ ἐνεργὰ φαίνεσθαι, προσβαλούσης δὲ τὸ ἄγαλμα τῆς ἀκτῖνος, τουτὶ δὲ γίγνεσθαι περὶ ἡλίου ἐπιτολάς, μὴ 20
κατασχεῖν τὸ θαῦμα, φθέγξασθαι μὲν γὰρ παραχρῆμα τῆς ἀκτῖνος ἐλθούσης αὐτῷ ἐπὶ στόμα, φαιδροὺς δὲ ἱστάναι τοὺς ὀφθαλμοὺς δόξαι πρὸς τὸ φῶς, οἷα τῶν ἀνθρώπων οἱ εὐήλιοι. τότε ξυνεῖναι λέγουσιν, ὅτι τῷ Ἡλίῳ δοκεῖ ὑπανίστασθαι, καθάπερ οἱ τὸ κρεῖττον ὀρθοὶ θεραπεύοντες. θύσαντες οὖν Ἡλίῳ τε Αἰθίοπι καὶ Ἠῴῳ Μέμνονι, τουτὶ γὰρ ἔφραζον οἱ ἱερεῖς, τὸν μὲν ἀπὸ τοῦ αἴθειν τε καὶ θάλπειν, τὸν δὲ ἀπὸ τῆς μητρὸς ἐπονομάζοντες, ἐπορεύοντο ἐπὶ καμήλων ἐς 25
τὰ τῶν Γυμνῶν ἤθη.

Ἀνδρὶ δὲ ἐντυχόντες ἐσταλμένῳ τρόπον, ὃν περ οἱ Μεμφῖται καὶ ἀλύοντι μᾶλλον ἢ ξυντείνοντι V
ἤροντο οἱ περὶ τὸν Δάμιν, ὅστις εἴη καὶ ὅ τι πλανῷτο, καὶ ὁ Τιμασίων „ἐμοῦ" ἔφη „πυνθάνεσθε, ἀλλὰ μὴ τούτου, οὗτος μὲν γὰρ οὐδ' ἂν εἴποι πρὸς ὑμᾶς τὸ ἑαυτοῦ πάθος αἰδοῖ τῆς ξυμφορᾶς, ᾗ κέχρηται, ἐγὼ δέ, γιγνώσκω γὰρ τὸν ἄνδρα καὶ ἐλεῶ, λέξω τὰ περὶ αὐτὸν πάντα· ἀπέ- 30 234
κτεινε γὰρ Μεμφίτην τινὰ ἄκων, κελεύουσι δ' οἱ κατὰ Μέμφιν νόμοι τὸν φεύγοντα ἐπ' ἀκουσίῳ, δεῖν δὲ φεύγειν, ἐπὶ τοῖς Γυμνοῖς εἶναι, κἂν ἐκνίψηται τοῦ φόνου, χωρεῖν ἐς ἤθη καθαρὸν ἤδη, βαδίσαντα πρότερον ἐπὶ τὸ τοῦ πεφονευμένου σῆμα καὶ σφάξαντά τι ἐκεῖ οὐ μέγα. τὸν δὲ χρόνον, ὃν οὔπω τοῖς Γυμνοῖς ἐνέτυχεν, ἀλᾶσθαι χρὴ περὶ ταυτὶ τὰ ὅρια, ἔστ' ἂν αἰδέσωνται αὐτόν.

1. ἥπτετο. Φ. praeter B. ib. ἐτέρως. Φ. praeter A. ib. ἐκόμιζεν. p. pr. m. ἐκώμασεν. Φ. ib. ἦν τῆς. 1, Σ, Φ. ἦν γάρ τις. 2, a, m. ἦν. o. om. τῆς. 2. ἡττᾶσθαι. π. ἡττῆσθαι. p, 2, E, Σ. 3. φυλάξοιτο. ΣV. ib. πρὸς om. ΣV. ib. ὀντινοῦν. Σ, o. 4. ὥσπερ οὖν. ΣV. ib. ὁ om. ΣA. 5. λέγειν εὖ. Σ. ib. ἀγνώστων θεῶν. v. 6. τοσαῦτα – ἀλλὰ om. Σ. ib. Ἱππόλυτόν τε. s, a et m. γρ. Ἱππόλυτόν γε κάλει. l. Ἱππόλυτον δὲ αὐτὸν. Σ. 7. τοῦ σώματος. π. σώματος. p, 2, E. ib. ἐδόκει δὲ καὶ γυμναστικῆς ἐπαφροδίτως ἅψασθαι. Φ. (333, b, 29.) ib. γυμναστικῶς ἀφροδίτης eraso ἐπ. p.

9. φασιν om. v. 12. ἄνθρωποι. p. 13. μὲν om. l, s, a. 14. πόλεσι ποτὲ. l. 15. ται ἀγάλματα. l. 18. δὲ om. 2, a. 19. φθεγξαμένου. C, E. Fo: φθεγξομένου. ib. τὸν. π, J. Ep. cr. 43. καὶ τὸν. p, 2, E. 20. τοῦτο. p. 24. Ἡλίῳ τε καὶ. p, v. 25. ὀνομάζοντες. p. 28. οἱ om. m. ib. ὅτι. C. ὅτῳ. E. ib. πλανᾶτο. v. 30. γιγνώσκω γάρ. l. et m. γρ. γινώσκω. f, v, l. γιγνώσκων. s. ex corr. fc, E. ib. ἐλεῶ. l. ἐλεῶν. 2, E. ib. ἀπέκτεινε. l. ἀπέκτονε. 2, E. 31. τὸν φεύγοντα om. p, u, et inde o. ib. ἐπ' ἀκουσίῳ φόνῳ. p, u, o. In p φόνῳ a sec. m. In π, 2, a, m. deest φόνῳ. 33. δὲ eras. in p. om. u, o. Fo: δεῖ δὲ. ib. καὶ. add. p. sec. m. est in u, o.

ὥσπερ ἱκέτην." ἤρετο οὖν τὸν Τιμασίωνα ὁ Ἀπολλώνιος, πῶς οἱ Γυμνοὶ περὶ τοῦ φεύγοντος ἐκείνου φρονοῦσιν, ὁ δὲ „οὐκ οἶδα", εἶπε „μῆνα γὰρ τουτονὶ ἕβδομον ἱκετεύει δεῦρο καὶ οὔπω λύσις". „οὐ σοφοὺς λέγεις ἄνδρας," ἔφη „εἰ μὴ καθαίρουσιν αὐτόν, μηδὲ γιγνώσκουσιν, ὅτι Φιλίσκος. ὃν ἀπέκτεινεν οὗτος, ἀνέφερεν ἐς Θαμοῦν τὸν Αἰγύπτιον, ὃς ἐδήωσέ ποτε τὴν τῶν Γυμνῶν χώραν." θαυμάσας οὖν ὁ Τιμασίων „πῶς" ἔφη „λέγεις"; „ὡς γε" εἶπε „τὸ μειράκιόν τι πέπρακται· Θαμοῦν γάρ ποτε νεώτερα ἐπὶ Μεμφίτας πράττοντα ἤλεγξαν οἱ Γυμνοὶ καὶ ἔσχον, ὁ δὲ ὁρμῆς ἁμαρτὼν ἔκειρε πᾶσαν, ἣν οὗτοι νέμονται, λῃστρικῶς γὰρ περὶ Μέμφιν ἔρρωτο· τούτου Φιλίσκον, ὃν οὗτος ἀπέκτεινεν, ὁρῶ ἔκγονον τρίτον ἀπὸ δεκάτου, κατάρατον δηλαδὴ τούτοις, ὧν ὁ Θαμοῦς τότε διεπόρθει τὴν χώραν· καὶ ποῦ σοφόν, ὃν στεφανοῦν ἐχρῆν, εἰ καὶ προνοήσας ἀπέκτεινε, τοῦτον ἀκουσίου φόνου μέν, ὑπὲρ αὐτῶν δ' εἰργασμένου μὴ καθῆραι;" ἐκπλαγὲν οὖν τὸ μειράκιον „ξένε", εἶπε „τίς εἶ"; καί ὁ Ἀπολλώνιος „ὃν ἂν" ἔφη „παρὰ τοῖς Γυμνοῖς εὕρῃς. ἐπεὶ δὲ οὔπω μοι ὅσιον προσφθέγξασθαι τὸν ἐν τῷ αἵματι, κέλευσον αὐτόν, ὦ μειράκιον, θαρρεῖν, ὡς αὐτίκα δὴ καθαρεύσοντα, εἰ βαδίσειεν οὐ καταλύω." ἀφικομένῳ δὲ ἐπιδράσας ὅσα Ἐμπεδοκλῆς τε καὶ Πυθαγόρας ὑπὲρ καθαρσίων νομίζουσιν, ἐκέλευσε καταστείχειν ὡς καθαρὸν ἤδη τῆς αἰτίας.

VI 15 Ἐντεῦθεν ἐξελάσαντες ἡλίου ἀνίσχοντος, ἀφίκοντο πρὸ μεσημβρίας ἐς τὸ τῶν Γυμνῶν φρον-
235 τιστήριον, τοὺς δὲ Γυμνοὺς τούτους οἰκεῖν μὲν ἐπί τινος λόφου, φασί, ξυμμέτρου μικρὸν ἀπὸ τῆς ὄχθης τοῦ Νείλου, σοφίᾳ δὲ Ἰνδῶν λείπεσθαι πλέον ἢ προὔχειν Αἰγυπτίων, γυμνοὺς δὲ ἐστάλθαι κατὰ ταὐτὰ τοῖς εἰληθεροῦσιν Ἀθήνησι. δένδρα δὲ ἐν τῷ νομῷ ὀλίγα καί τι ἄλσος οὐ μέγα, ἐς ὃ ξυνίασιν ὑπὲρ τῶν κοινῶν, ἱερὰ δὲ οὐκ ἐς ταυτόν, ὥσπερ τὰ Ἰνδῶν, ἄλλο δὲ ἄλλῃ τοῦ γη-
20 λόφου ἵδρυται σπουδῆς ἀξιούμενα, ὡς Αἰγυπτίων λόγοι. θεραπεύουσι δὲ Νεῖλον μάλιστα, τὸν γὰρ ποταμὸν τοῦτον ἡγοῦνται γῆν καὶ ὕδωρ. καλύβης μὲν οὖν ἢ οἰκίας οὐδὲν αὐτοὶ δέονται ζῶντες ὑπαίθριοι καὶ ὑπὸ τῷ οὐρανῷ αὐτῷ, καταγωγὴν δὲ ἀποχρῶσαν τοῖς ξένοις ἐδείμαντο στοὰν οὐ μεγάλην, ἰσομήκη ταῖς Ἠλείων, ὑφ' αἷς ὁ ἀθλητὴς περιμένει τὸ μεσημβρινὸν κήρυγμα.

VII Ἐνταῦθά τι ἀναγράφει Δάμις Εὐφράτου ἔργον, ἡγώμεθα δὲ αὐτὸ μὴ μειρακιῶδες, ἀλλὰ φι-
25 λοτιμύτερον τοῦ φιλοσοφίᾳ προσήκοντος· ἐπεὶ γὰρ τοῦ Ἀπολλωνίου θαμὰ ἤκουε βουλομένου σοφίαν Ἰνδικὴν ἀντικρῖναι Αἰγυπτίᾳ, πέμπει παρὰ τοὺς Γυμνοὺς Θρασύβουλον τὸν ἐκ Ναυκράτιδος ὑπὲρ διαβολῆς τοῦ ἀνδρός, ὁ δὲ ἧκειν μὲν ὑπὲρ ξυνουσίας ἔφη τῆς πρὸς αὐτούς, ἀφίξεσθαι δὲ καὶ τὸν Τυανέα, τουτὶ δὲ ἐκείνοις ἀγῶνα ἔχειν οὐ σμικρόν, φρονεῖν τε γὰρ αὐτὸν ὑπὲρ τοὺς Ἰν-
236 δῶν σοφούς, οὓς ἐν λόγῳ παντὶ αἴρει, μυρίας δὲ ἐλέγξεις ἐπ' αὐτοὺς συνεσκευάσθαι, ξυγχωρεῖν
30 τε οὔτε ἡλίῳ οὐδὲν οὔτε οὐρανῷ καὶ γῇ, κινεῖν γὰρ καὶ ὀχεῖν αὐτὸς ταῦτα καὶ μετατάττειν οἱ
VIII βούλεται. τοιαῦτα ὁ Ναυκρατίτης ξυνθεὶς ἀπῆλθεν, οἱ δ' ἀληθῆ ταῦτα ἡγούμενοι τὴν μὲν ξυνουσίαν οὐ παρῃτοῦντο ἥκοντος, ὑπὲρ μεγάλων δὲ σπουδάζειν ἐπλάττοντο καὶ πρὸς ἐκείνοις εἶναι, ἀφίξεσθαι δὲ κἀκείνῳ ἐς λόγους, ἣν σχολὴν ἀγάγωσι μάθωσί τε, ὅ τι βούλεται καὶ ὅτου ἐρῶν ἥκει. ἐκέλευε δὲ ὁ παρ' αὐτῶν ἥκων καὶ καταλύσειν αὐτοὺς ἐν τῇ στοᾷ, ὁ δὲ Ἀπολλώνιος „ὑπὲρ μὲν
35 στέγης" ἔφη „μηδὲν διαλέγου, ξυγχωρεῖ γὰρ πᾶσιν ὁ οὐρανὸς ὁ ἐνταῦθα γυμνοῖς ξῆν", διαβάλ-

2. τοῦτον. v. 3. ἔφη λέγεις ἄνδρας. p. 4. Ἀμοῦν. p. et sic statim. ib. οὗς. v. 5. ὡς γε, εἶποι. p. ὥστε εἶπε. π, 2, a, m. ὥς γε, εἶπε. o. ib. μειράκιον τί. E. Fo: τῷ μειρακίῳ τι πέπρακται. 6. Μεμφίτας. 1, f, v. Μεμφίταις. l, s, E. 8. ἀπὸ δεκάτου. C, a. ἀπὸ τοῦ δ. m. ἐπὶ τοῦ δ. o. 9. χρυσῆν del. sec. m. et corr. ἐχρῆν. f. χρυσῆν. v. 10. ἑκουσίου. v. ib. φόνου μὲν. π. μὲν. 2, E. μὲν eras. p. ib. δ' om. p. 12. οὐκ αὐτίκα. v. 15. πρὸ μεσημβρίας. p, f, l et s ex corr. πρὸς μεσημβρίας. π, v, s, ante corr. E. 16. μὲν om. v. 18. ταὐτὰ. p, 2, a. ταῦτα. π, m, o. ib. Ἀθήνησιν. f. 19. ὥσπερ τῶν. π et m. γρ. 23. ὑφ' ὧν. v.

24. μὴ μειρακιῶδες. 1. μειρακιῶδες. 2, E. ib. ἀλλ' ἀφιλοτιμότερον. o ex ψ. 25. ἤκουσε. v. 26. Αἰγυπτίαν. v. ib. τὸν om. 2, a. 27. ἔλκει μὲν. v. ib. τῆς om. s, a, m. 28. τουτεὶ κακείνοις. p. ib. οὐ σμικρὸν ἔχειν. p. ib. φρονεῖν τε γὰρ. π, v. φρονεῖν τι γὰρ. m, o. σωφρονεῖν τε. p. φρονεῖν τε. l, s. φρονεῖν τε ὑπερ. f (sic.) φρονεῖν τι. fc, a. 29. συσκευάσθαι. l, a, m. συσκευᾶσθαι. s. 30. αὐτὸν. o. 34. αὐτῶν. 1, m, o. αὐτόν. 2, a et m. γρ. ib καταλύσειν. C, E. Fo: καταλῦσαι.

V, 6. 7. 8. p. 235. 236.

λων αὐτοὺς ὡς οὐ καρτερίᾳ γυμνούς, ἀλλ' ἀνάγκῃ, „ὅ τι δὲ βούλομαι καὶ ὑπὲρ ὅτου ἥκω τοὺς μὲν οὐ θαυμάζω οὔπω γιγνώσκοντας, Ἰνδοὶ δέ με οὐκ ἤροντο ταῦτα". ὁ μὲν δὴ Ἀπολλώνιος ἑνὶ τῶν δένδρων ὑποκλιθεὶς ξυνῆν τοῖς ἑταίροις ὁπόσα ἠρώτων, ἀπολαβὼν δὲ τὸν Τιμασίωνα ὁ Δά- IX
μις ἤρετο ἰδίᾳ· „οἱ Γυμνοὶ οὗτοι, βέλτιστε, ξυγγέγονας γὰρ αὐτοῖς, ὡς τὸ εἰκός, τί σοφοί εἰσι"; „πολλὰ" ἔφη „καὶ μεγάλα". „καὶ μὴν οὐ σοφὰ" εἶπεν „αὐτῶν, ὦ γενναῖε, τὰ πρὸς ἡμᾶς ταῦτα, τὸ γὰρ μὴ ξυμβῆναι τοιῷδε ἀνδρὶ ὑπὲρ σοφίας, ὄγκῳ δ' ἐπ' αὐτὸν χρήσασθαι τί φῶ οὐκ οἶδα ἢ τῦφον", ἔφη „ὦ ἑταῖρε". „τῦφον; ὃν οὔπω πρότερον περὶ αὐτοὺς εἶδον δὶς ἤδη ἀφικόμενος, ἀεὶ 237
γὰρ μέτριοί τε καὶ χρηστοὶ πρὸς τοὺς ἐπιμιγνύντας ἦσαν· πρῴην γοῦν, πεντήκοντα δὲ τοῦτ' ἴσως ἡμέραι, Θρασύβουλος μὲν ἐπεχωρίαζεν ἐνταῦθα λαμπρὸν οὐδὲν ἐν φιλοσοφίᾳ πράττων, οἱ δ' ἄσμενοι αὐτὸν ἀπεδέξαντο, ἐπειδὴ προσέγραψεν ἑαυτὸν τῷ Εὐφράτῃ." καὶ ὁ Δάμις „τί λέγεις, ὦ μειράκιον; ἑώρακας σὺ Θρασύβουλον τὸν Ναυκρατίτην ἐν τῷ φροντιστηρίῳ τούτῳ", „καὶ πρός γε" εἶπε „διήγαγον αὐτὸν τῇ ἐμαυτοῦ νηὶ κατιόντα ἐνθένδε". „τὸ πᾶν ἔχω, νὴ τὴν Ἀθηνᾶν," ἔφη ὁ Δάμις ἀναβοήσας τε καὶ σχετλιάσας „ἔοικε γὰρ πεπανουργῆσθαί τι". ὑπολαβὼν οὖν ὁ Τιμασίων „ὁ μὲν ἀνήρ", ἔφη „ὡς ἠρόμην αὐτὸν χθές, ὅστις εἴη, οὔπω με ἠξίου τοῦ ἀπορρήτου, σὺ δ', εἰ μὴ μυστήρια ταῦτα, λέγε ὅστις οὗτος, ἴσως γὰρ ἂν κἀγώ τι ξυμβαλοίμην τῇ τοῦ ζητουμένου θήρᾳ". ἐπεὶ δὲ ἤκουσε τοῦ Δάμιδος καὶ ὅτι ὁ Τυανεὺς εἴη „ξυνείληφας" ἔφη „τὸ πρᾶγμα· Θρασύβουλος γὰρ καταπλέων μετ' ἐμοῦ τὸν Νεῖλον ἐρομένῳ μοι ἐφ' ὅ τι ἀναβαίη ἐνταῦθα, σοφίαν οὐ χρηστὴν ἑαυτοῦ διηγεῖτο τοὺς Γυμνοὺς τούτους ὑποψίας ἐμπεπληκέναι φάσκων πρὸς τὸν Ἀπολλώνιον, ὡς ὑπεροφθείη, ὁπότε ἔλθοι, κἀξ ὅτου μὲν διαφέρεται πρὸς αὐτὸν οὐκ οἶδα, τὸ δὲ ἐς διαβολὰς καθίστασθαι γυνακεῖόν τε ἡγοῦμαι καὶ ἀπαίδευτον. ἐγὼ δ' ἄν, ὡς διάκεινται, μάθοιμι προσειπὼν τοὺς ἄνδρας, φίλοι γάρ." καὶ ἐπανῆλθε περὶ δείλην ὁ Τιμασίων πρὸς μὲν τὸν Ἀπολλώνιον οὐδὲν φράζων πλὴν τοῦ προσειρηκέναι σφᾶς, ἰδίᾳ δ' ἀπαγγέλλων πρὸς τὸν Δάμιν, ὡς ἀφίξοιντο αὔριον μεστοὶ ὧν τοῦ Θρασυβούλου ἤκουσαν.

Τὴν μὲν δὴ ἑσπέραν ἐκείνην μέτριά τε καὶ οὐκ ἄξια τοῦ ἀναγράψαι σπουδάσαντες ἐκοιμή- X
θησαν οὗ ἐδείπνησαν, ἅμα δὲ τῇ ἡμέρᾳ ὁ μὲν Ἀπολλώνιος, ὥσπερ εἰώθει, θεραπεύσας τὸν Ἥλιον ἐφειστήκει τινὶ γνώμῃ, προσδραμὼν δὲ αὐτῷ Νεῖλος, ὅσπερ ἦν νεώτατος τῶν Γυμνῶν „ἡμεῖς" ἔφη „παρὰ σὲ ἥκομεν". „εἰκότως", εἶπεν ὁ Ἀπολλώνιος „καὶ γὰρ ἐγὼ πρὸς ὑμᾶς ὁδὸν τὴν ἀπὸ θαλάττης ἐνταῦθα". καὶ εἰπὼν ταῦτα εἵπετο τῷ Νείλῳ. προσειπὼν οὖν καὶ προσρηθείς, ξυνέτυχον 238
δὲ ἀλλήλοις περὶ τὴν στοάν, „ποῖ," ἔφη „ξυνεσόμεθα"; „ἐνταῦθα" ἔφη ὁ Θεσπεσίων δείξας τὸ ἄλσος. ὁ δὲ Θεσπεσίων πρεσβύτατος ἦν τῶν Γυμνῶν, καὶ ἡγεῖτο μὲν αὐτὸς πᾶσιν, οἱ δέ, ὥσπερ Ἑλλανοδίκαι τῷ πρεσβυτάτῳ, εἵποντο κοσμίῳ ἅμα καὶ σχολαίῳ βαδίσματι. ἐπεὶ δ' ἐκάθισαν, ὡς ἔτυχε, τουτὶ γὰρ οὐκέτι ἐν κόσμῳ ἔδρων, ἐς τὸν Θεσπεσίωνα εἶδον πάντες οἷον ἑστιάτορα τοῦ λόγου, ὁ δὲ ἤρξατο ἐνθένδε· „τὴν Πυθὼ καὶ τὴν Ὀλυμπίαν ἐπεσκέφθαι σέ φασιν, Ἀπολλώνιε, τουτὶ γὰρ ἀπήγγειλεν ἐνταῦθα καὶ Στρατοκλῆς ὁ Φάριος ἐντετυχηκέναι σοι φάσκων ἐκεῖ, καὶ τὴν μὲν Πυθὼ τοὺς ἐς αὐτὴν ἥκοντας αὐλῷ τε παραπέμπειν καὶ ᾠδαῖς καὶ ψάλσει, κωμῳδίας τε καὶ τραγῳδίας ἀξιοῦν, εἶτα τὴν ἀγωνίαν παρέχειν τὴν γυμνὴν ὀψὲ τούτων, τὴν δὲ Ὀλυμπίαν τὰ μὲν τοι-

2. οὔπω. π. μήπω. p, 2, E. ib. δ' οὐκ. f, v, l. et s pr. m. 3. ὑποκλινθεὶς. m. ib. Τιμασίονα. l. 4. ἐς τὸ. m, o. 6. αὐτῶν. v. ib. ἢ τύφον. π et m. γρ. τῦφον. v. 7. ἔφη om. o. ib. τύφον, ὃν. C, a, m Scr. τῦφον; ὃν. – τύφον, ἔφη. ὃν. o. ib. δὶς ἔφη. a. 8. οὖν. v. ib. δὲ om. l. 9. σοφίᾳ. p. 10. αὐτῶν. v. ib. ἐπεδέξαντο. v. ib. προσέγραφεν. 2, a, m. 11. σὺ om. l, s. 12. εἶπον. v. ib. ἑαυτοῦ. l. sed corr. ib. ἐνθάδε. v. ib. ἔχων. v. 14. χθὲς om. l, s, a. ib. με om. s pr. m. 15. μὴ om. s pr. m. ib. γὰρ om. l. 16. ἐπειδὴ δὲ. l. ib. ὁ Τυανεὺς. l, f, v. Τυανεὺς. l, s, E. 18. χρηστὴν ἡγεῖτο ἑαυτοῦ. l. ib. πρὸς τὸν Ἀπολλώνιον μὲν οὐδὲν φάσκων, mediis omissis. 2, a. 22. ἀπαγγέλων. s.

25. ὥσπερ. v. 27. εἰκότως οὖν. v. 29. θεσπ..ίων. f. corr. 30. τῶν om. o. 31. ἑλληνοδίκαι. l, s, a, m. ib. κοσμίῳ. π, m, o. κόσμῳ. p, 2, a. 32. ὡς τὸν. 2. 33. ἐνθάδε. v. 35. ἐξ αὐτῆς. v.

VI, 9. 10. p. 237. 238.

αὖτα ἐξελεῖν ὡς ἀνάρμοστα καὶ οὐ χρηστὰ ἐκεῖ, παρέχεσθαι δὲ τοῖς ἐς αὐτὴν ἰοῦσιν ἀθλητὰς γυμνούς, Ἡρακλέους ταῦτα ξυνθέντος· τοῦτο ἡγοῦ παρὰ τὴν Ἰνδῶν σοφίαν τὰ ἐνταῦθα· οἱ μὲν γάρ, ὥσπερ ἐς τὴν Πυθὼ καλοῦντες, ποικίλαις δημαγωγοῦσιν ἴυγξιν, ἡμεῖς δέ, ὥσπερ ἐν Ὀλυμπίᾳ, γυμνοί. οὐχ ὑποστρώννυσιν ἡ γῆ οὐδὲν ἐνταῦθα, οὐδὲ γάλα ὥσπερ βάκχαις ἢ οἶνον δίδωσιν, οὐδὲ μετεώρους ἡμᾶς ὁ ἀὴρ φέρει, ἀλλ' αὐτὴν ὑπεστορεσμένοι τὴν γῆν ζῶμεν μετέχοντες αὐτῆς τὰ κατὰ φύσιν, ὡς χαίρουσα διδοίη αὐτὰ καὶ μὴ βασανίζοιτο ἄκουσα. ὅτι δ' οὐκ ἀδυνατοῦμεν σοφί-
239 ζεσθαι „τὸ δεῖνα" ἔφη „δένδρον", πτελέα δὲ ἦν, τρίτον ἀπ' ἐκείνου, ὑφ' ᾧ διελέγοντο, „πρόσειπε τὸν σοφὸν Ἀπολλώνιον". καὶ προσεῖπε μὲν αὐτόν, ὡς ἐκελεύσθη, τὸ δένδρον, ἡ φωνὴ δὲ ἦν ἔναρθρός τε καὶ θῆλυς. ἀπεσήμαινε δὲ πρὸς τοὺς Ἰνδοὺς ταῦτα μεταστήσειν ἡγούμενος τὸν Ἀπολλώνιον τῆς ὑπὲρ αὐτῶν δόξης, ἐπειδὴ διῄει ἐς πάντας λόγους τε Ἰνδῶν καὶ ἔργα. προσετίθει δὲ κἀκεῖνα, ὡς ἀπόχρη τῷ σοφῷ βρώσεώς τε καθαρᾶς εἶναι, ὁπόση ἔμπνους, ἰμέρου τε, ὃς φοιτᾷ δι' ὀμμάτων, φθόνου τε, ὃς διδάσκαλος ἀδίκων ἐπὶ χεῖρα καὶ γνώμην ἥκει, θαυμασιουργίας τε καὶ βιαίου τέχνης μὴ δεῖσθαι ἀληθειαν. „σκέψαι γὰρ τὸν Ἀπόλλω" εἶπε „τὸν Δελφικόν, ὃς τὰ μέσα τῆς Ἑλλάδος ἐπὶ προρρήσει λογίων ἔχει· ἐνταῦθα τοίνυν, ὡς που καὶ αὐτὸς γιγνώσκεις, ὁ μὲν τῆς ὀμφῆς δεόμενος ἐρωτᾷ βραχὺ ἐρώτημα, ὁ δὲ Ἀπόλλων οὐδὲν τερατευσάμενος λέγει, ὁπόσα οἶδε καίτοι ῥᾴδιόν γε ἦν αὐτῷ σεῖσαι μὲν τὸν Παρνασὸν πάντα, τὴν Κασταλίαν δὲ οἰνοχοῆσαι μεταβαλόντι τὰς πηγάς, Κηφισῷ δὲ μὴ ξυγχωρῆσαι ποταμῷ εἶναι, ὁ δὲ οὐδὲν τούτων ἐπικομπάσας ἀναφαίνει ταληθὲς αὐτό. ἡγώμεθα δὲ μηδὲ τὸν χρυσὸν ἢ τὰ δοκοῦντα λαμπρὰ τῶν ἀναθημάτων ἑκόντι αὐτῷ φοιτᾶν, μηδὲ τῷ νεῷ τὸν Ἀπόλλω χαίρειν, εἰ καὶ διπλάσιος ἀποφανθείη τοῦ νῦν ὄντος· ᾤκησε γάρ ποτε καὶ λιτὴν στέγην ὁ θεὸς οὗτος, καὶ καλύβη αὐτῷ ξυνεπλάσθη μικρά, ἐς ἣν ξυμβαλέσθαι λέγονται μέλιτται μὲν κηρόν, πτερὰ δὲ ὄρνιθες. εὐτέλεια γὰρ διδάσκαλος μὲν σοφίας, διδάσκαλος δὲ ἀληθείας, ἣν ἐπαινῶν σοφὸς ἀτεχνῶς δόξεις ἐκλαθόμενος τῶν παρ' Ἰνδοῖς μύθων. τὸ γὰρ πρᾶττε ἢ μὴ πρᾶττε, ἢ οἶδα ἢ οὐκ οἶδα, ἢ τὸ δεῖνα, ἀλλὰ μὴ τὸ δεῖνα, τί δεῖται κτύπου; τί δὲ τοῦ βροντᾶν, μᾶλλον δὲ τοῦ ἐμβεβροντῆσθαι; εἶδες ἐν ξωγραφίας λόγοις καὶ τὸν τοῦ Προ-
240 δίκου Ἡρακλέα, ὡς ἔφηβος μὲν ὁ Ἡρακλῆς, οὕπω δὲ ἐν αἱρέσει τοῦ βίου, κακία δ' αὐτὸν καὶ ἀρετὴ διαλαβοῦσαι παρὰ σφᾶς ἄγουσιν, ἡ μὲν χρυσῷ τε κατεσκευασμένη καὶ ὅρμοις ἐσθῆτί τε ἁλιπορφύρῳ καὶ παρειᾶς ἄνθει καὶ χαίτης ἀναπλοκαῖς καὶ γραφαῖς ὀμμάτων, ἔστι δ' αὐτῇ καὶ χρυσοῦν πέδιλον, γέγραπται γὰρ καὶ τούτῳ ἐνσοβοῦσα, ἡ δ' αὖ πεπονηκυία μὲν προσφερής, τραχὺ δὲ ὁρῶσα, τὸν δὲ αὐχμὸν πεποιημένη κόσμημα καὶ ἀνυπόδετος ἡ ἀρετὴ καὶ λιτὴ τὴν ἐσθῆτα, καὶ γυμνὴ δ' ἂν ἐφαίνετο, εἰ μὴ ἐγίγνωσκε τὸ ἐν Θηλείαις εὔσχημον. ἡγοῦ δὴ καὶ σεαυτόν, Ἀπολλώνιε, μέσον τῆς Ἰνδικῆς τε καὶ τῆς ἡμεδαπῆς σοφίας ἑστάναι, καὶ τῆς μὲν ἀκούειν λεγούσης, ὡς ὑποστορέσει σοι ἄνθη καθεύδοντι, καί, νὴ Δί', ὡς ποτιεῖ γάλακτι καὶ ὡς κηρίοις θρέψει, καὶ ὡς νέκταρ σοί τι παρ' αὐτῆς ἔσται καὶ πτερά, ὁπότε βούλοιο, τρίποδάς τε ἐσκυκλήσει πίνοντι καὶ χρυσοῦς θρόνους, καὶ πονήσεις οὐδέν, ἀλλ' αὐτόματά σοι βαδιεῖται πάντα, τῆς δέ γε ἑτέρας, ὡς χα-
μευνεῖν μὲν ἐν αὐχμῷ προσήκει, γυμνὸν δέ, ὥσπερ ἡμεῖς, μοχθοῦντα φαίνεσθαι, ὃ δὲ μὴ πονήσαντί σοι ἀφίκετο, μήτε φίλον ἡγεῖσθαι μήτε ἡδύ, μηδὲ ἀλαζόνα εἶναι μηδὲ τύφου θηρατήν, ἀπέ-

1. ἐξελεῖν. p, E. ἐξελεῖν θεὶν π. ἐξελθεῖν. 2. ib. οὐ om. v. 3. δημαγωγοῦντες. v. 4. ὑποστρώννυσιν. p. ὑποστόρνυσιν π, 2, E. ib. οὐδὲ οἶνον. p. 5. αὐτὴν τὴν. v. 6. ὅτι δὲ οὐκ ἀδυνατοῦμεν – θῆλυς. Cyrill. adv. Jul. III. 88. 7. διαλέγοιτο. v. ib. προσεῖπε. a, m. 9. ἀπεσήμαινε. v. 10. προσετίθει. f. (eadem supraser. η.) 11. ἀποχρῇ – ἀλήθειαν. Φ. (333, b, 3v.) 16. ῥᾴδιόν τε. l, E. Scr. ῥᾴδιόν γε. 17. Κηφισῷ. l, E. Scr. Κηφισῷ. ib. ἀναφαίνει. l. ἀναφέρει. 2, E. 19. αὐτῷ om. p. αὐτὰ. v 20. ποτε om. f, v, l. ib. ξυνεπελάσθη. f. 21. διδάσκαλος δὲ ἀληθείας om. p 22. σοφῶς. v. 23 μὴ om. 2, a. 24. τί δαὶ. f, a. τί δὲ. s. ubi δαὶ supraser. 26. ἡ μὲν κακία χρυσῷ – κόσμημα. Φ (333, b, 3d). 27. αὐτῇ om. ΦA,B. 28. γαρ τοῦτο. v, l, s, a et Φ praeter A,B. 29. ἡ δὲ ἀρετὴ. Φ. ib. ἀνυπόδετος. π, v. ἀνυπόδητος. p, f, l, s, E. 30. ὦ Ἀπολλώνιε. v. 32. Δία. p. 33. πεινῶντι. m. γρ. 34. γε om. f. ib. ἑτέρας. 1, f, v, ψ, r. ἡμετέρας. l, s, E.

VI. p. 239. 240

χεσθαι δὲ καὶ ὀνειράτων ὄψεις, ὁπόσα ἀπὸ τῆς γῆς αἴρουσιν. εἰ μὲν δὴ κατὰ τὸν Ἡρακλέα αἱροῖο καὶ δόξῃ ἀδαμαντίνῃ χρῷο μὴ ἀτιμάζων εὐτέλειαν, μηδὲ τὴν κατὰ φύσιν εὐτέλειαν παραιτούμενος πολλοὺς μὲν ἥρηκέναι φήσεις λέοντας, πολλὰς δὲ ὕδρας ἐκτετμῆσθαί σοι Γηρυόνας τε καὶ Νέσσους καὶ ὁπόσοι ἐκείνου ἄθλοι, εἰ δὲ τὸ τῶν ἀγειρόντων ἀσπάσῃ, κολακεύσεις ὀφθαλμούς τε καὶ ὦτα καὶ οὔτε σοφώτερος ἑτέρου δόξεις γενήσῃ τε ἄθλος ἀνδρὸς Αἰγυπτίου Γυμνοῦ."

Ταῦτα εἰπόντος ἐστράφησαν ἐς τὸν Ἀπολλώνιον πάντες, οἱ μὲν ἀμφ' αὐτόν, ὡς ἀντιλέξοι, γιγνώσκοντες, οἱ δὲ ἀμφὶ τὸν Θεσπεσίωνα θαυμάζοντες, ὅ τι ἀντερεῖ. ὁ δὲ ἐπαινέσας αὐτὸν τῆς εὐροίας καὶ τοῦ τόνου „μή τι" ἔφη „προστίθης"; „μὰ Δί'", εἶπεν „εἴρηκα γάρ". τοῦ δ' αὖ ἐρομένου „μὴ τῶν ἄλλων τις Αἰγυπτίων"; „πάντων" ἔφη „δι' ἐμοῦ ἤκουσας". ἐπισχὼν οὖν ὀλίγον καὶ τοὺς ὀφθαλμοὺς ἐρείσας ἐς τὰ εἰρημένα οὑτωσὶ ἔλεξεν· „ἡ μὲν Ἡρακλέους αἵρεσις, ἣν φησι Πρόδικος ἐν ἐφήβῳ ἑλέσθαι αὐτόν, ὑγιῶς τε ὑμῖν λέλεκται καὶ κατὰ τὸν φιλοσοφίας νοῦν, ὦ σοφοὶ Αἰγυπτίων, προσήκει δέ μοι οὐδέν· οὔτε γὰρ ξυμβούλους ὑμᾶς βίου ποιησόμενος ἥκω πάλαι γε ἠρημένος τὸν ἐμαυτῷ δόξαντα, πρεσβύτατός τε ὑμῶν πλὴν Θεσπεσίωνος ἀφιγμένος αὐτὸς ἂν μᾶλλον εἰκότως ξυνεβούλευον ὑμῖν σοφίας αἵρεσιν, εἰ μήπω ἠρημένοις ἐνέτυχον. ὧν δ' ὅμως τηλικόσδε καὶ σοφίας ἐπὶ τοσόνδε ἀφιγμένος οὐκ ὀκνήσω λογισταῖς ὑμῖν τῆς ἐμαυτοῦ βουλῆς χρήσασθαι διδάσκων, ὡς ὀρθῶς εἱλόμην ταῦτα, ὧν μήπω βελτίω ἐπὶ νοῦν ἦλθέ μοι. κατιδὼν γάρ τι ἐν Πυθαγόρου μέγα καὶ ὡς ὑπὸ σοφίας ἀρρήτου μὴ μόνον γιγνώσκοι ἑαυτόν, ὅστις εἴη, ἀλλὰ καὶ ὅστις γένοιτο, βωμῶν τε ὡς καθαρὸς ἅψαιτο καὶ ὡς ἀχράντῳ μὲν ἐμψύχου βρώσεως γαστρὶ χρήσαιτο, καθαρῷ δὲ σώματι πάντων ἐσθημάτων, ὁπόσα θνησειδίων ξύγκειται, γλῶττάν τε ὡς πρῶτος ἀνθρώπων ξυνέσχε βοῦν ἐπ' αὐτῇ σιωπῆς εὑρὼν δόγμα, καὶ τὴν ἄλλην φιλοσοφίαν ὡς χρησμῴδη καὶ ἀληθῆ κατεστήσατο, ἔδραμον ἐπὶ τὰς ἐκείνου δόξας, οὐ μίαν σοφίαν ἐκ δυοῖν ἑλόμενος, ὡς σύ, βέλτιστε Θεσπεσίων, ξυμβουλεύεις. περιστήσασα γάρ μοι φιλοσοφία τὰς ἑαυτῆς δόξας, ὁπόσαι εἰσί, περιβαλοῦσά τε αὐταῖς κόσμον, ὃς ἑκάστῃ οἰκεῖος, ἐκέλευσεν ἐς αὐτὰς βλέπειν καὶ ὑγιῶς αἱρεῖσθαι· ὥρα μὲν οὖν σεμνή τε ἁπασῶν ἦν καὶ θεία, καὶ κατέμυσεν ἄν τις πρὸς ἐνίας αὐτῶν ὑπ' ἐκπλήξεως, ἐμοὶ δὲ εἱστήκει τὸ ὄμμα ἐς πάσας, καὶ γάρ με καὶ παρεθάρρυνον αὐταὶ προσαγόμεναί τε καὶ προκηρύττουσαι, ὁπόσα δώσουσιν, ἐπεὶ δ' ἡ μέν τις αὐτῶν οὐδὲν μοχθήσαντι πολὺν ἐπαντλήσειν ἔφασκεν ἡδονῶν ἐσμόν, ἡ δ' αὖ μοχθήσαντα ἀναπαύσειν, ἡ δ' ἐγκαταμίξειν εὐφροσύνας τῷ μόχθῳ, πανταχοῦ δὲ ἡδοναὶ διεφαίνοντο καὶ ἄνετοι μὲν ἡνίαι γαστρός, ἑτοίμη δὲ χεὶρ ἐς πλοῦτον, χαλινὸς δὲ οὐδεὶς ὀμμάτων, ἀλλ' ἔρωτές τε καὶ ἵμεροι καὶ τὰ τοιαῦτα πάθη ξυνεχωρεῖτο, μία δὲ αὐτῶν ἴσχειν μὲν τῶν τοιούτων ἐκόμπαζε, θρασεῖα δὲ ἦν καὶ φιλολοίδορος καὶ ἀπηγκωνισμένη

xi 241

242

2. ἀτιμάζων εὐτέλειαν. C, E. Fo: ἀτιμάζων ἀλήθειαν. 3. εὑρηκέναι. v. ib. ὕδρας om. p. ib. Νέσους. π, 2. 5. καὶ οὔτε. π. οὔτε. p, 2, E.

6. ἀντιλέξει. fb. 7. Θεσπίωνα. f, ψ. 8. τόνου. 1, m, o. νόμου. 2, a. ib. Δία. p, u. 9. μὴ τῶν ἄλλων τις Αἰγυπτίων. π, 2, E. μήτε τῶν Αἰγυπτίων. p, u. 11. ἐν ἐφέσῳ. u. ἐν ἐφήβῃ. v. ib. ἡμῖν. ψ. ib. τὸν φιλοσοφίας. π, f, ψ, l, s, E. τὸν τῆς φιλοσοφίας. p. u, r. 12. οὐδέ. fb. sic corr. ead. m. ib. ἡμᾶς. fb. ib. πάλαι γε. π, m πάλαι τε. p, u, 2, a, o. 13. τὰ ἐμαυτῷ δόξαντα. p, u. ib. πρεσβύτατός τε. π. πρισβύτατος δὲ. p, u, 2, E. ib. Θεσπεσίωνος τούτου. 2, E. 14. ἢνπερ ἠρημένος ἔτυχον. p. ἦν πε ἠρημένοις ἔτυχον. u. ib. εἰρημένοις. r. 15. ἐπὶ τὸ σὸν δέ. l. ἐπιτοσον. s. (sic.) ib. ὑμῖν om. p, u. 16. ὀρθῶς. r. ib. μήτε βελτίω. l, s, fc, a, m. ib. βελτίω ἔτιρα. 2, E. ib. γὰρ ἐν. p, u. γάρ τοι ἐν. l, s, a, m. 17. μέγα. p, u, o. μέσα. π, 2, a, m. ib. ὡς ὑπὸ. p, u. καὶ ὑπὸ. ὡς π, 2, a, m. καὶ ὑπὸ. l. καὶ ὡς ὑπὸ. o. ib. αὐτὸν. p, u. 18. κωμῶν. ead. m. corr. fc. ib. καθαρὸς. π. καθαρῶς. p u, E. καθαρῶς et suprascr. ὁς. f, r, v. l, s. ib. χρήσεται. l. 19. θνησησειδίων. u. ib. σύγγειται. r. συγκεῖται. f, fb, v, s, l. 20. ξέσχεν. ψ. ib. αὐτῆς. ψ. 21. ἔδραν περὶ τὰς. fb. 22. Θεσπίων. π, f. ψ. ib. περιστήσασα. π, 2, E. παραστήσασα. p, u. 23. αὐτοῖς. r. ib. ὃν. v. 25. παρεθάρρυνον. u. ib. αὐταὶ. l. αὗται. 2, E. 26. ὁπόσαι. m. ib. δίδωσιν. ψ. δώσοισιν. r. ib. δὴ μὲν. u. ib. οὐδενὶ μοχθήσαντι. l. 28. πόθῳ. p, u. et s, fc, in mg. 29. τὰ ταῦτα. o. 30. ἐκόμπαζεν. p. ib. θρασέα. r. ib. φαυλολοίδορος. p, u. ib. ἀπηγκονισμένη. a. ἀπεγκωνισμένη. s.

πάντα, εἶδον σοφίας εἶδος ἄρρητον, οὗ καὶ Πυθαγόρας ποτὲ ἡττήθη, καὶ εἱστήκει δὲ ἆρα οὐκ ἐν ταῖς πολλαῖς, ἀλλ' ἀπετέτακτο αὐτῶν καὶ ἐσιώπα, ξυνεῖσα δέ, ὡς ταῖς μὲν ἄλλαις οὐ ξυντίθεμαι, τὰ δὲ ἐκείνης οὕπω οἶδα „μειράκιον", εἶπεν, „ἀηδὴς ἐγὼ καὶ μεστὴ πόνων· εἰ γὰρ ἀφίκοιτό τις ἐς ἧθη τὰ ἐμά, τράπεζαν μέν, ὁπόση ἐμψύχων, ἀνῃρῆσθαι πᾶσαν ἔλοιτο, οἶνου δὲ ἐκλελῆσθαι καὶ τὸν σοφίας μὴ ἐπιθολοῦν κρατῆρα, ὃς ἐν ταῖς ἀοίνοις ψυχαῖς ἕστηκεν, οὐδὲ χλαῖνα θάλψει αὐτόν, οὐδὲ ἔριον, ὃ ἀπ' ἐμψύχου ἐπέχθη, ὑπόδημα δὲ αὐτοῖς βύβλου δίδωμι καὶ καθεύδειν ὡς ἔτυχε, κἂν ἀφροδισίων ἡττηθέντας αἴσθωμαι, βάραθρά ἐστί μοι, καθ' ὧν σοφίας ὀπαδὸς
243 δίκη φέρει τε αὐτοὺς καὶ ὠθεῖ, χαλεπὴ δ' οὕτως ἐγὼ τοῖς τἀμὰ αἱρουμένοις, ὡς καὶ δεσμὰ γλώττης ἐπ' αὐτοὺς ἔχειν. ἃ δ' ἐστί σοι καρτερήσαντι ταῦτα, ἐμοῦ μάθε· σωφροσύνη μὲν καὶ δικαιοσύνη αὐτόθεν, ζηλωτὸν δὲ ἡγεῖσθαι μηδένα τυράννοις τε φοβερὸν εἶναι μᾶλλον ἢ ὑπ' αὐτοῖς κεῖσθαι, θεοῖς τε ἡδίω φαίνεσθαι μικρὰ θύσαντα ἢ οἱ προχέοντες αὐτοῖς τὸ τῶν ταύρων αἷμα, καθαρῷ δὲ ὄντι σοι καὶ προγιγνώσκειν δώσω καὶ τοὺς ὀφθαλμοὺς οὕτω τι ἐμπλήσω ἀκτῖνος, ὡς διαγιγνώσκειν μὲν θεόν, γιγνώσκειν δὲ ἥρωα, σκιοειδῆ δ' ἐλέγχειν φαντάσματα, ὅτε ψεύδοιντο εἴδη ἀνθρώπων." ἥδε μοι βίου αἵρεσις, ὦ σοφοὶ Αἰγυπτίων, ἣν ὑγιῶς τε καὶ κατὰ τὸν Πυθαγόραν ἑλόμενος οὔτε ἐψευσάμην οὔτε ἐψεύσθην, ἐγενόμην μὲν γὰρ ἃ χρὴ τὸν φιλοσοφήσαντα, φιλοσοφοῦντι δὲ ὁπόσα δώσειν ἔφη, πάντ' ἔχω. ἐφιλοσόφησα γὰρ ὑπὲρ γενέσεως τῆς τέχνης καὶ ὁπόθεν αὐτῆς αἱ ἀρχαί, καί μοι ἔδοξεν ἀνδρῶν εἶναι περιττῶν τὰ θεῖα ψυχήν τε ἄριστα ἐσκεμμένων, ἧς τὸ ἀθάνατόν τε καὶ ἀγέννητον πηγαὶ γενέσεως. Ἀθηναίοις μὲν οὖν οὐ πάνυ προσήκων ἐφαίνετό μοι ὅδε ὁ λόγος, τὸν γὰρ Πλάτωνος λόγον, ὃν θεσπεσίως ἐκεῖ καὶ πανσόφως ὑπὲρ ψυχῆς ἀνεφθέγξατο, αὐτοὶ διέβαλλον ἐναντίας ταύτῃ καὶ οὐκ ἀληθεῖς δόξας ὑπὲρ ψυχῆς προσέμενοι, ἔδει δὲ σκοπεῖν, τίς μὲν εἴη πόλις, ποίων δὲ ἀνδρῶν ἔθνος, παρ' οἷς οὐχ ὁ μέν τις, ὁ δὲ οὔ, πᾶσα δὲ ἡλικία ταὐτὸν ὑπὲρ ψυχῆς φθέγγοιτο· κἀγὼ μὲν νεότητός τε οὕτως ἀγούσης καὶ τοῦ μήπω ξυνιέναι πρὸς ὑμᾶς ἔβλεψα, ἐπειδὴ πλεῖστα ἐλέγεσθε ὑπερφυῶς εἰδέναι, καὶ πρὸς τὸν διδάσκαλον τὸν ἐμαυ-
244 τοῦ διῄειν ταῦτα, ὁ δὲ ἐφιστάς με „εἰ τῶν ἐρώντων" εἶπεν „ἐτύγχανες ὢν ἢ τὴν ἡλικίαν ἐχόντων τοῦ ἐρᾶν, εἶτα μειρακίῳ καλῷ ἐντυχὼν καὶ ἀγασθεὶς αὐτὸ τῆς ὥρας σὺ δὲ καὶ ὅτου εἴη παῖς ἐξήτεις, ἦν δὲ ὁ μὲν ἱπποτρόφου καὶ στρατηγοῦ πατρὸς καὶ χορηγοὶ οἱ πάπποι, σὺ δ' αὐτὸν τριηράρχου τινὸς ἢ φυλάρχου ἐκάλεις, ἆρά γ' ἂν οἴει προσάγεσθαι τὰ παιδικὰ τούτοις, ἢ κἂν ἀηδὴς δόξαι μὴ πατρόθεν ὀνομάζων τὸ μειράκιον, ἀλλ' ἀπ' ἐκφύλου σπορᾶς καὶ νόθου; σοφίας οὖν ἐρῶν, ἣν Ἰνδοὶ εὗρον, οὐκ ἀπὸ τῶν φύσει πατέρων ὀνομάζεις αὐτήν, ἀλλ' ἀπὸ τῶν θέσει καὶ
30 δίδωσ τι μεῖζον Αἰγυπτίοις, ἢ εἰ πάλιν αὐτοῖς, ὡς αὐτοὶ ᾄδουσι, μέλιτι ξυγκεκραμένος ἀναβαίη ὁ Νεῖλος; ταῦτά με πρὸ ὑμῶν ἐπ' Ἰνδοὺς ἔτρεψεν ἐνθυμηθέντα περὶ αὐτῶν, ὡς λεπτότεροι μὲν τὴν ξύνεσιν οἱ τοιοίδε ἄνθρωποι καθαρωτέραις ὁμιλοῦντες ἀκτῖσιν, ἀληθέστεροι δὲ τὰς περὶ φύσεώς τε

1. εἶδον. 1 et l ex corr. εἶδος. 2, E. ib. ποτὲ ἡττήθη. 1. ἡττήθη. 2, E. 2. ἐπετέτακτο. u. ἀπέτεκτο. v. εἰ η 3. ἀηδὴς. π, l, s. ἀειδὴς. f. ead. m. 4. τὰ ἐμὰ. C. τἀμὰ. E. ib. τράπεζα. C, a, m. τράπεζαν. B, o. quod servavi. ib. πᾶσαν ἔλοιτο. p, (ex corr.) u. πᾶσαν. π, 2, E. Fo: πᾶσαν ἂν. 5. ἀοίνοις. r. ib. θάλψει. p, u. 6. οὐδὲ ἔριον, ὃ ἀπ' ἐμψύχων ἐπέχθη. Φ 334, a, 2). ib. ἐπάχθη. a. 7. ἔτυχεν. fb. 8. αἱρουμένοις. r. 9. δεσμὰς. u. ib ἐς αὐτοὺς. p, u. ib. ἐστί. 1. ἔσται. 2, E. ib. καρτερήσαντα. f, fb, ψ, v. καρτερήσαντο. r. ib. ταῦτα om. fb. 10. καὶ om. p, u. 11. τῶν om. p, u. 12. ἔτι τι. r. 13. σκιοδῆ. fb. 13. ἤδη. p, u. ib. ἥδε μοι. a. ἣ δέ μοι m, o. ib. βίου. C, E. Fo: ἡ βίου. 15. φιλοσοφήσοντα. π. ubi α penultimae suprasc. 17. καί μοι — γενέσεως. Φ (334, a, 2). ib. ἐπεσκεμμένων. Φ. 18. ἀθάνατόνγε. r. ib. ἀγέννητοι. u. 19. πανσόφως ἐφθέγξατο, αὐτοὶ. l. 20. διέβαλλον. π. διέβαλον. p, u, et fc, s, mg. et m. γρ. διέφθειραις. 2, E ib. προέμενοι. u. 21. εἴη om. p. ib. ποίων. 1. ποῖον 2, E. ib. περὶ. f, v. 22. τε. π. γε. p, u, 2, E. ib. οὕτως. C. οὕτω. E. ib. ἀργούσης. l. 23. ἡμᾶς ἔβλαψα. u. ὑμᾶς ἔβλαψα. ψ. corr. ead. m. ib. ἐλέγεσθαι. u. 24. ἐφιστάς με. C, a et m. γρ. ἐφιστάμενος. m, o. ib. ἐρώτων. s, fb, fc, a. ib. ἐτύγχανες. s, fc. 25. αὐτῷ. E. ib. δὲ ὅτου p, u. ib. εἴη. π. τῶν πολιτῶν εἴη. p, 2, E. 26. στρατηγοῦ. 1, l. στρατηγικοῦ celeri 2, E. 27. φιλάρχου. u, l. ib. ἂν εἴη. u, v, r. 28. ἐκφύλου. u. 29. εὑρὼν. u. 31. ὁ Ἀπολλώνιός φησι, ταῦτα — φύσεως καὶ — οἰκοῦντες. Φ (334, a, 3). ib. ἡμῶν. l, Φ praeter B. ib. ἔτρεψαν. p, u. 32. ἀληθέστεροι δὲ. 1, Φ. ἀλ. τε. 2 ἀλ. γε. E.

VI, p. 243. 244.

καὶ θεῶν δόξας, ἅτε ἀγχίθεοι καὶ πρὸς ἀρχαῖς τῆς ξῳογόνου καὶ θερμῆς οὐσίας οἰκοῦντες· ἐντυχόν τε αὐτοῖς ἔπαθόν τι πρὸς τὴν ἐπαγγελίαν τῶν ἀνδρῶν, ὁποῖον λέγονται πρὸς τὴν Αἰσχύλου σοφίαν παθεῖν Ἀθηναῖοι· ποιητὴς μὲν γὰρ οὗτος τραγῳδίας ἐγένετο, τὴν τέχνην δὲ ὁρῶν ἀκατάσκευόν τε καὶ μήπω κεκοσμημένην εἰ μὲν ξυνέστειλε τοὺς χορούς ἀποτάδην ὄντας, ἢ τὰς τῶν ὑποκριτῶν ἀντιλέξεις εὗρε παραιτησάμενος τὸ τῶν μονῳδιῶν μῆκος, ἢ τὸ ὑπὸ σκηνῆς ἀποθνήσκειν ἐπενόησεν, ὡς μὴ ἐν φανερῷ σφάττοι, σοφίας μὲν μηδὲ ταῦτα ἀπηλλάχθω, δοκείτω δὲ κἂν ἑτέρῳ παρασχεῖν ἔννοιαν ἧττον δεξιῷ τὴν ποίησιν, ὁ δ' ἐνθυμηθεὶς μὲν ἑαυτόν, ὡς ἐπάξιον τοῦ τραγῳδίαν ποιεῖν φθέγγοιτο, ἐνθυμηθεὶς δὲ καὶ τὴν τέχνην, ὡς προσφυᾶ τῷ μεγαλείῳ μᾶλλον ἢ τῷ κα- 245
ταβεβλημένῳ τε καὶ ὑπὸ πόδα, σκευοποιίας μὲν ἥψατο εἰκασμένης τοῖς τῶν ἡρώων εἴδεσιν, ὀκρίβαντος δὲ τοὺς ὑποκριτὰς ἐνεβίβασεν, ὡς ἴσα ἐκείνοις βαίνοιεν, ἐσθήμασί τε πρῶτος ἐκόσμησεν, ἃ πρόσφορον ἥρωσί τε καὶ ἡρωίσιν ἡσθῆσθαι, ὅθεν Ἀθηναῖοι πατέρα μὲν αὐτὸν τῆς τραγῳδίας ἡγοῦντο, ἐκάλουν δὲ καὶ τεθνεῶτα ἐς Διονύσια, τὰ γὰρ τοῦ Αἰσχύλου ψηφισαμένων ἀνεδιδάσκετο καὶ ἐνίκα ἐκ καινῆς· καίτοι τραγῳδίας μὲν εὖ κεκοσμημένης ὀλίγη χάρις, εὐφραίνει γὰρ ἐν σμικρῷ τῆς ἡμέρας, ὥσπερ ἡ τῶν Διονυσίων ὥρα, φιλοσοφίας δὲ ξυγκειμένης μέν, ὡς Πυθαγόρας ἐδικαίωσεν, ὑποθειαζούσης δέ, ὡς πρὸ Πυθαγόρου Ἰνδοί, οὐκ ἐς βραχὺν χρόνον ἡ χάρις, ἀλλ' ἐς ἄπειρόν τε καὶ ἀριθμοῦ πλείω. οὐ δὴ ἀπεικός τι παθεῖν μοι δοκῶ φιλοσοφίας ἡττηθεὶς εὖ κεκοσμημένης, ἣν ἐς τὸ πρόσφορον Ἰνδοὶ στείλαντες ἐφ' ὑψηλῆς τε καὶ θείας μηχανῆς ἐκκυκλοῦσιν· ὡς δὲ ἐν δίκῃ μὲν ἠγάσθην αὐτούς, ἐν δίκῃ δὲ ἡγοῦμαι σοφούς τε καὶ μακαρίους, ὥρα μανθάνειν· εἶδον ἄνδρας οἰκοῦντας ἐπὶ τῆς γῆς καὶ οὐκ ἐπ' αὐτῆς καὶ ἀτειχίστως τετειχισμένους καὶ οὐδὲν κεκτημένους ἢ τὰ πάντων. εἰ δ' αἰνιγμάτων ἅπτομαι, σοφία Πυθαγόρου ξυγχωρεῖ ταῦτα, παρέδωκε γὰρ καὶ τὸ αἰνίττειν διδάσκαλον εὑρὼν σιωπῆς λόγον· σοφίας δὲ ταύτης ἐγένεσθε μὲν καὶ αὐτοὶ Πυθαγόρᾳ ξύμβουλοι χρόνον, ὃν τὰ Ἰνδῶν ἐπηνεῖτε, Ἰνδοὶ τὸ ἀρχαῖον πάλαι ὄντες· ἐπεὶ δ' αὖδοῖ τοῦ 246
λόγου, οἱ ὃν ἐκ μηνιμάτων τῆς γῆς ἀφίκεσθε δεῦρο, ἕτεροι μᾶλλον ἐβούλεσθε δοκεῖν ἢ Αἰθίοπες οἱ ἀπὸ Ἰνδῶν ἥκοντες, πάντα ὑμῖν ἐς τοῦτο ἐδρᾶτο· ὅθεν ἐγυμνώθητε μὲν σκευῆς, ὁπόση ἐκεῖθεν, ὥσπερ ξυναποδυόμενοι τὸ Αἰθίοπες εἶναι, θεοὺς δὲ θεραπεύειν ἐψηφίσασθε τὸν Αἰγύπτιον μᾶλλον ἢ τὸν ὑμέτερον τρόπον, ἐς λόγους τε οὐκ ἐπιτηδείους ὑπὲρ Ἰνδῶν κατέστητε, ὥσπερ οὐκ αὐτοὶ διαβεβλημένοι τῷ ἀφ' οἵων διαβεβλῆσθαι ἥκειν, καὶ οὐδὲ μετερρύθμισθέ πώ γε τοῦτο, οἳ καὶ τήμερον ἐπίδειξιν αὐτοῦ πεποίησθε φιλολοίδορόν τε καὶ ἰαμβώδη, χρηστὸν οὐδὲν ἐπιτηδεύειν Ἰνδοὺς φάσκοντες, ἀλλ' ἢ ἐκπλήξεις καὶ ἀγωγάς, καὶ τὰς μὲν ὀφθαλμῶν, τὰς δὲ ὤτων, σοφίαν δὲ οὔπω ἡμὴν εἰδότες ἀναίσθητοι φαίνεσθε τῆς ἐπ' αὐτῇ δόξης, ἐγὼ δ' ὑπὲρ ἐμαυτοῦ μὲν λέξω οὐδέν, εἴην γὰρ, ὃ με Ἰνδοὶ ἡγοῦνται, Ἰνδῶν δὲ οὐ ξυγχωρῶ ἅπτεσθαι. ἀλλ' εἰ μέν τις ὑγιῶς καὶ ὑμᾶς ἔχει σοφία Ἱμεραίου ἀνδρός, ὃς ᾄδων ἐς τὴν Ἑλένην ἐναντίον τῷ προτέρῳ λόγῳ παλινῳδίαν αὐτὸν

1. ἔπειθον. ψ. ib. περὶ τήν. u et p ante corr. ib. λέγεται. p, u. ib. ὁποῖαι. s, fc, a, ὁποῖοι. l. 3. Ἀθηναίους. p. u. ib. μὲν om. p. ib. τὴν δὲ τέχνην. p, u. τὴν τε τέχνην δέ. l. 4. ἢ μὲν. o. 5. εὗρε. π et m. γρ. J. ep. cr. 13. εὑρεῖν. p, u, 2, a, m. εὑρείας. o. 6. ἀπαλλάχθων. p, u. 7. μὲν τ' αὐτόν. m. 8. μεγαλίω. r. ib. κατεβλημένῳ. fb. 9. μὲν om. v, r, l, fb. ib. τῆς. v, a. ib. ὀκρίβαντος. π, f, ψ, v, m, o. ἐπ' ὀκρίβαντος p ex corr. u. ὀκρίβαντας. fb, fc, r, l, s, a. 10. ἀνεβίβασεν. m, o. ib. ἐκείνης. E. 11. ἡσθῆσθαι. u, ψ, r, a, m. ἥσθῆσθαι. (sic) o. 12. Διονύσιον. p. Διόνυσον. u. 14. χώρα. r. ib. φιλοσοφίας μὲν. v, ib. ξυγκειμένης δὲ. v. 15. ὡς πρὸ. 1. ὡς. 2, E. 16. ἀριθμῷ. p, u. ib. οὐκ ἀπεικός τι — μανθάνειν. E. (433) ib. οὐ δή. C et m. γρ. οὐ δὲ. E. οὐκ. E. ib. δοκῶ 1, l ex corr. E. δοκεῖ. 2, E. 17. ἐς τὸ. E, o. οἱ τὸ. C, (in l. deest οἱ) E. ib. οὗς δή. EB. ὡς δή. EA. 18. αὐτοὺς om. E. 19. ἀτειχίστους. r. ib. τετειχισμένως. v. ib. καὶ — πάντων. v. om. 21. λόγῳ. fc, a, et m. γρ. 24. τῶν Ἰνδῶν. E. ib. ἐδρᾶτε. r. ib. με σκευῆς. u. 26. οὐ καὶ αὐτοί. r. 27. τὸ. r, l, s, fc, E. ib. καὶ οὐ. 2 praeter s. (ubi δὲ suprascriptum.) ib. μετερρύθμισθέ πώ γε τοῦτο. π. μετερρύθμισθέ πω καὶ τοῦτο. p, u, 2, praeter v. μετερρυθμῆσθε πω. καὶ τοῦτο. v, E. ib. ἐδρᾶτο ὅθεν ἐγυμνώθητε μὲν σκευῆς. 2, E. (post τοῦτο invasere haec ex lin. 24.) ἐδρᾶτε. m, o. Verba supervacanea inclusit etiam B. ib. οἳ καὶ τήμερον. 1, m. καὶ τήμερον. 2, a, o. (τίμερον. fb.) 28. πεποίησθε. 1. ποιεῖσθε. 2, E. 29. καὶ τάς. π. τάς. p, 2, E. ib. οὔπω μὲν fc, a et m. γρ. 30. ἀναίσθοιτε. u. ib. ἐμαυτοῦ μὲν. π. ἐμαυτοῦ. p, 2, E. 31. ὑγιῶς καὶ ὑμᾶς. π, m. ὑγιῶς ὑμᾶς. p, u. ὑμᾶς ὑγιῶς. s. sec. m. ὑμᾶς. 2, o. ὑμᾶς οὕτως. fc, a. Fo: ὑγιὴς καὶ ὑμᾶς. 32. σοφίαν. fc, s, a.

ἐκάλεσεν οὐκ ἔστιν ἔτυμος ὁ λόγος οὗτος ἤδη καὶ αὐτοὺς ὥρα λέγειν, ἀμείνω τῆς νῦν παρεστηκυίας μεταλαβόντας περὶ αὐτῶν δόξαν. εἰ δὲ καὶ ἄμουσοι πρὸς παλινῳδίαν ὑμεῖς, ἀλλὰ φείδεσθαί γε χρὴ ἀνδρῶν, οὓς ἀξιοῦντες θεοὶ τῶν αὐτοῖς ὄντων οὐδὲ ἑαυτοὺς ἀπαξιοῦσιν ὧν ἐκεῖνοι πέπανται. διῆλ-
247 θές τινα, Θεσπεσίων, καὶ περὶ τῆς Πυθοῦς λόγον ὡς ἁπλῶς τε καὶ ἀκατασκεύως χρώσης; καὶ παράδειγμα ἐγένετό σοι τοῦ λόγου νεὼς κηροῦ καὶ πτερῶν ξυντεθείς· ἐμοὶ δὲ ἀκατάσκευα μὲν δοκεῖ οὐδὲ ταῦτα, τὸ γὰρ

ξυμφέρετε πτερά τ' οἰωνοὶ κηρόν τε μέλιττα

κατασκευαζομένου ἦν οἶκον καὶ οἴκου σχῆμα, ὁ δ', οἶμαι, μικρὰ ταῦτα ἡγούμενος καὶ τῆς ἑαυτοῦ σοφίας ἧττω καὶ ἄλλου ἐδεήθη νεὼ καὶ ἄλλου καὶ μεγάλων ἤδη καὶ ἑκατομπέδων, ἑνὸς δὲ αὐτῶν καὶ χρυσᾶς ἴυγγας ἀνάψαι λέγεται Σειρήνων τινὰ ἐπεχούσας πειθώ, ξυνελέξατό τε τὰ εὐδοκιμώτατα τῶν ἀναθημάτων ἐς τὴν Πυθὼ κόσμου ἕνεκα, καὶ οὔτ' ἀγαλματοποιίαν ἀπήλασεν ἀπάγουσαν αὐτῷ κολοσσοὺς ἐς τὸ ἱερὸν τοὺς μὲν θεῶν, τοὺς δὲ ἀνθρώπων, τοὺς δὲ ἵππων τε καὶ ταύρων καὶ ἑτέρων ξῴων οὔτε Γλαῦκον μετὰ τοῦ ὑποκρατηριδίου ἥκοντα, οὔτε τὴν ἁλισκομένην Ἰλίου ἀκρόπολιν,
248 ἣν Πολύγνωτος ἐκεῖ γράφει. οὐ γὰρ δὴ τὸν χρυσόν γε τὸν Λύδιον καλλώπισμα τῆς Πυθοῦς ἡγεῖτο, ἀλλ' ἐκεῖνον μὲν ὑπὲρ τῶν Ἑλλήνων ἐσήγετο ἐνδεικνύμενος, οἶμαι, αὐτοῖς τὸν τῶν βαρβάρων πλοῦτον, ἵνα γλίχοιντο ἐκείνου μᾶλλον ἢ τοῦ διαπορθεῖν τὰ ἀλλήλων, τὸν δὲ δὴ Ἕλληνά τε καὶ προσφυᾶ τῇ ἑαυτοῦ σοφίᾳ τρόπον κατεσκευάζετο καὶ ἠγλάιζε τούτῳ τὴν Πυθώ. ἡγοῦμαι δὲ αὐτὸν κόσμου ἕνεκα καὶ ἐς μέτρα ἐμβιβάζειν τοὺς χρησμούς. εἰ γὰρ μὴ τοῦτο ἐπεδείκνυτο, τοιάσδε ἂν τὰς ἀποκρίσεις ἐποιεῖτο· δρᾶ τὸ δεῖνα ἢ μὴ δρᾷ, καὶ ἴθι ἢ μὴ ἴθι, καὶ ποιοῦ ξυμμάχους ἢ μὴ ποιοῦ, βραχέα γάρ που ταῦτα, ἦ, ὥς φατε ὑμεῖς, γυμνά, ὁ δ' ἵνα μεγαλορρήμων τε φαίνοιτο καὶ ἡδίων τοῖς ἐρωτῶσι, ποιητικὴν ἡρμόσατο, καὶ οὐκ ἀξιοῖ εἶναι, ὅ τι μὴ οἶδεν, ἀλλὰ καὶ τὴν ψάμμον εἰδέναι φησίν, ὁπόση, ἀριθμῆσαι αὐτήν, καὶ τὰ τῆς θαλάττης μέτρα ξυνειληφέναι πάντα. ἢ καὶ ταῦτα τερατολογίᾳ προσγράφεις, ἐπειδὴ σοβαρῶς αὐτὰ ὁ Ἀπόλλων καὶ ξὺν φρονήματι ὀρθῷ φράζει; εἰ δὲ μὴ ἀχθέσῃ, Θεσπεσίων, τῷ λόγῳ, γρᾶες ἀνημμέναι κόσκινα φοιτῶσιν ἐπὶ ποιμένας, ὅτε δὲ καὶ βουκόλους, ἰῶμεναι τὰ νοσοῦντα τῶν θρεμμάτων μαντικῇ, ὥς φασιν, ἀξιοῦσι δὲ σοφαὶ ὀνομάζεσθαι καὶ σοφώτεραι ἢ οἱ ἀτεχνῶς μάντεις· τοῦτό μοι καὶ ὑμεῖς παρὰ τὴν Ἰνδῶν σοφίαν φαίνεσθε, οἱ μὲν γὰρ θεῖοί τέ εἰσι καὶ κεκόσμηνται κατὰ τὴν Πυθίαν, ὑμεῖς δέ — ἀλλ' οὐδὲν εἰρήσεται περαιτέρω, εὐφημία γὰρ φίλη μὲν ἐμοί, φίλη δὲ Ἰνδοῖς, ἣν ἀσπαζοίμην ὡς ὑπαδὸν ἅμα καὶ ἡγεμόνα τῆς γλώττης, τὰ μὲν ἐμαυτῷ δυνατὰ θηρεύων ξὺν ἐπαίνῳ τε αὐτῶν καὶ ἔρωτι, ὅ τι δὲ μὴ ἐφικτὸν εἴη μοι, καταλείπων αὐτὸ ἄχραντον ψόγου. σὺ δὲ Ὁμήρου μὲν ἐν Κυκλωπίᾳ ἀκούων,

1. οὐκ ἔστιν. π, m. καὶ ἔστιν. p, u, 2, a, o. ib. ἕτοιμος. u. ib. ὥρα om. p, u, 2, a. 2. μεταλαβόντας. π, α f, ψ, r, l, fb. μεταβαλόντες. v. μεταβαλόντας. p ex corr. s, fc, E. ib. αὐτὸν. p, u. ib. δόξαν. π, m. δόξης. p, u, 2, a, o. ib. εἰ δὲ καὶ. π, m, o. εἰ δὲ. p, u, 2, a. ib. γε χρὴ. π. τε χρὴ. p, u, 2, E. 3. ἑαυτοὺς ἀξιοῦσιν. v. ib. πέπανται. l, s, a, m. ubi γρ. πέπανται. 4. Θεσπίων. f, ψ. ib. πειθοῦς. a, m. πυθοῦς. fb. ead. m. corr. πειθοῦς. ib. ἀκατασκεύαστως. s, fc, E. 5. πτεροῦ. u, v, r. πτεροῦ. f. al. m. corr. ib. ἀκατασκεύαστα. fc. s, a, m. 9. ἄλλον. s. ib. νεὼ καὶ ἄλλου. 1, m. νεὼ. 2, a, o. ib. ἤδη om. m. ib. ἐνὶ δὲ αὐτοῖν. p ex corr. et u. 10. ἂν ἅψαι. r. ib. ἐπεχούσας πειθὼ. π, s, fc, E. ἐχούσας πυθώ. p, u. ἐπεχούσης πειθὼ. 2 praeter fc, s. ib ξυνεξέλατο. u. 11. πυθῶ. v. πειθὼ. s et corr. πυθὼ. 13. μετὰ τὸν. ψ. ib. ἡλίου. u. 14. ἐγράφει. u. ib. χρυσόν γε. π. χρυσόν τε. p, u, 2, E. ib. καλώπισμα. a. ib. πειθοῦς. s, a, m. ib. ἡγεῖτο om. fb. 15. ἀλλ' — εἰσήγετο om. r. ib. εἰσήγετο — ἀλλήλων om. fb. ib. τὸν τὸν. ψ. 16. γλίχοντο. u. 17. τούτῳ. 1, fb, v, o. τοῦτο. 2. (praeter fb, v.) a, m. ib. πειθὼ. a, m. πυθῶ. v. 18. τοιάσδε C. τοιάσδ'. E. 20. μεγαλορήμων. f. 21. ἀλλὰ τὴν ψάμμον εἰδέναι φησὶν ὁ Ἀπόλλων ὁπόσα ἀριθμῆσαι αὐτὴν καὶ — πάντα. Φ. (334, a, 10.) ib. ἀλλὰ καὶ. π, m, o. ἀλλὰ. p, u, 2, E. ib. ψάμον. π. 22. φησιν. m, o. ib. ἀριθμῆσαι. C, E. Fo: ἀριθμήσας. 23. τερατολογίαι προσγράφειν. p. ex corr. u. ib. σοβαρὸς. p, u. 24. Θεσπίων. f, ψ, r. ib, ἀνημένναι. fc, s, a. 25 ὅτε δὲ καὶ. π, m, o. ὅτε καὶ. p, u, 2, E. ib. βουκόλους γε. p, u. ib. ἰῶμαι. ψ. ib. μαντικὴ. u. ib. δὲ σοφαὶ π. δὲ καὶ σοφαὶ. p, u, 2, E. 26. σοφώτεροι. s. ib. ἢ οἱ ἀτεχνῶς. π, f, l ex corr. m, o. ἢ ἀτεχνῶς οἱ. p, u. ἢ ἀτεχνῶς. ψ, s, fc, a. ib. μοι καὶ om. f. 27. θεῖοί τε εἰσι. o. 28. ὑπαδὸν. l, s, e. 29. ὅ τι δὲ. 1, o. ὅ τι. 2, a, m. ib. μὴ. 1. μηδὲ. 2, E. 30. καταλείπων. π. καταλιπὼν. p, u, 2, E. ib. Κυκλωπίᾳ. C. Κυκλωπέᾳ. a. Κυκλωπείᾳ. m, o.

ὡς ἡ γῆ τοὺς ἀγριωτάτους καὶ ἀνομωτάτους ἄσπορος καὶ ἀνήροτος ἑστιᾷ, χαίρεις τῷ λόγῳ, κἂν Ἰδωνοί τινες ἢ Λυδοὶ βακχεύωσιν, οὐκ ἀπιστεῖς, ὡς γάλακτος αὐτοῖς καὶ οἴνου πηγὰς δώσει καὶ 249
ποιεῖ τούτους, τοὺς δὲ σοφίας ἁπάσης βάκχους ἀφαιρήσῃ δῶρα αὐτόματα παρὰ τῆς γῆς ἥκοντα; τρίποδες δὲ αὐτόματοι καὶ ἐς τὰ ξυμπόσια τῶν θεῶν φοιτῶσι, καὶ ὁ Ἄρης ἀμαθής γε ὢν καὶ ἐχθρὸς οὔπω τὸν Ἥφαιστον ἐπ' αὐτοῖς γέγραπται, οὐδ' ἔστιν, ὡς ἤκουσάν ποτε οἱ θεοὶ τοιαύτης γραφῆς· ἀδικεῖς, Ἥφαιστε, κοσμῶν τὸ ξυμπόσιον τῶν θεῶν καὶ περιστὰς αὐτῷ θαύματα, οὐδὲ ἐπὶ ταῖς δμωαῖς αἰτίαν ποτὲ ἔσχε ταῖς χρυσαῖς ὡς παραφθείρων τὰς ὕλας, ἐπειδὴ τὸν χρυσὸν ἁπνουν ἐποίει, κόσμου γὰρ ἐπιμελήσεται τέχνη πᾶσα, ὅτι καὶ αὐτὸ τὸ εἶναι τέχνας ὑπὲρ κόσμου εὕρηται. ἀνυποδησία δὲ καὶ τριβων καὶ πήρων ἀνῆφθαι κόσμου εὕρημα· καὶ γὰρ τὸ γυμνοῦσθαι, καθάπερ ὑμεῖς, ἔοικε μὲν ἀκατασκεύῳ τε καὶ λιτῷ σχήματι, ἐπιτετήδευται δὲ ὑπὲρ κόσμου καὶ οὐδὲ ἄπιστιν αὐτοῦ τὸ ἑτέρῳ φασὶ τύφῳ. τὰ δὲ Ἰλίου τε καὶ Ἰνδῶν πάτρια καὶ ὅπῃ χαίρει θεραπευόμενος ἐχέτω τὸν αὐτῶν νόμον, θεοὶ μὲν γὰρ χθόνιοι βόθρους ἀσπάσονται καὶ τὰ ἐν κοίλῃ τῇ γῇ ῥᾳδια, Ἰλίου δὲ ἀὴρ ὄχημα, καὶ δεῖ τοὺς προσφόρως ἀσομένους αὐτὸν ἀπὸ γῆς αἴρεσθαι καὶ ξυμμετεωροπολεῖν τῷ θεῷ· τοῦτο δὲ βούλονται μὲν πάντες, δύνανται δὲ Ἰνδοὶ μόνοι."

Ἀνεπνεῦσαι ὁ Δάμις ἑαυτὸν φησιν, ἐπειδὴ ταῦτα ἤκουσεν· ὑπὸ γὰρ τῶν τοῦ Ἀπολλωνίου 15 XII
λόγων οὕτω διατεθῆναι τοὺς Αἰγυπτίους, ὡς τὸν Θεσπεσίωνα μὲν καίτοι μέλανα ὄντα κατάδηλον εἶναι, ὅτι ἐρυθριᾷη, φαίνεσθαι δέ τινα καὶ περὶ τοὺς λοιποὺς ἔκπληξιν ἐφ' οἷς ἐρρωμένως τε καὶ 250
ἐν εὐροίᾳ διαλεγομένου ἤκουσαν, τὸν νεώτατον δὲ τῶν Αἰγυπτίων, ᾧ ὄνομα ἦν Νεῖλος, καὶ ἀναμηδῆσαί φησιν ὑπὸ θαύματος μεταστάντα τε πρὸς τὸν Ἀπολλώνιον ξυμβαλεῖν τε αὐτῷ τὴν χεῖρα καὶ δεῖσθαι αὐτοῦ τὰς ξυνουσίας, αἳ ἐγένοντο αὐτῷ πρὸς τοὺς Ἰνδούς, φράξειν. τὸν δὲ Ἀπολλώνιον „σοὶ μὲν οὐδενὸς ἂν" φάναι „βασκήναιμι ἐγὼ λόγου φιλικοῦ τε, ὡς ὁρῶ, τυγχάνοντι καὶ σοφίαν ἀσπαζομένῳ πᾶσαν", Θεσπεσίωνι δὲ καὶ εἴ τις ἕτερος λῆρον τὰ Ἰνδῶν ἡγεῖται, μὴ ἂν ἐπαντλῆσαι τοὺς ἐκεῖθεν λόγους· ὅθεν ὁ Θεσπεσίων „εἰ δὲ ἔμπορος" εἶπεν „ἢ ναύκληρος ἦσθα καί τινα ἡμῖν ἀπῆγες ἐκεῖθεν φόρτον, ἆρα ἂν ἠξίους, ἐπειδὴ ἀπ' Ἰνδῶν οὗτος, ἀδοκίμαστον αὐτὸν διατίθεσθαι καὶ μήτε γεῦμα παρέχειν αὐτοῦ μήτε δεῖγμα;" ὑπολαβὼν δὲ ὁ Ἀπολλώνιος „παρειχόμην ἄν" εἶπε τοῖς γε χρήζουσιν, εἰ δ' ἦκον τις ἐπὶ τὴν θάλατταν καταπεπλευκυίας ἄρτι τῆς νεὼς ἐλωδορείτου τῷ φόρτῳ καὶ διέβαλλε μὲν αὐτὸν ὡς ἥκοντα ἐκ γῆς, ἣ μηδὲν ὑγιὲς φέρει, ἐμοὶ δὲ ἐπέπληττεν ὡς οὐχ ὑπὲρ σπουδαίων ἀγωγίμων πλεύσαντι τούς τε ἄλλους ἔπειθεν οὕτω φρονεῖν, ἆρ' ἄν σοι δοκεῖ τις καταπλεύσας ἐς τοιόνδε λιμένα βαλέσθαί τινα ἄγκυραν ἢ πεῖσμα, ἀλλ' οὐχὶ μᾶλλον ἀνασείσας τὰ ἱστία μετεωρίσαι ἂν τὴν ναῦν ἐς τὸ πέλαγος ἀνέμοις ἐπιτρέψας τὰ ἑαυτοῦ ἰδιόν γε ἢ ἀκρίτοις τε καὶ ἀξένοις ἥθεσιν;" „ἀλλ' ἐγὼ" ἔφη ὁ Νεῖλος „λαμβάνομαι τῶν πεισμάτων καὶ ἀντιβολῶ σε, ναύκληρε, κοινωνῆσαί μοι τῆς ἐμπορίας, ἣν ἄγεις, καὶ ξυνεμβαίην ἔν σοι τὴν ναῦν περίνεώς τε καὶ μνήμων τοῦ σοῦ φόρτου." διαπαύσας δὲ ὁ Θεσπεσίων τὰ τοιαῦτα „χαίρω" XIII
ἔφη „Ἀπολλώνιε, ὅτι ἄχθῃ ὑπὲρ ὧν ἤκουσας· καὶ γὰρ ἂν καὶ ἡμῖν ξυγγιγνώσκοις ἀχθομένοις ὑπὲρ

1. ἄπορος. u. 2. βακχεύσωσιν. p, u, l. ib. πηγὰς δώσει. π, r. πηγὰς δώσει ἡ γῆ. p, u. πηγὰς ἡ γῆ δώσει. 2, E. 3. τοὺς δὲ. 1 et J. ad Vers. germ. τὸ δὲ. 2, E. ib. περὶ. v. ib. ἥκοντα. E. Scr. ἥκοντα; 4. ἀμαθής γε. π, o et m. γρ. ἀμαθὴς τε. p, u, 2, a. 5. οἱ θεοὶ ποτε. v. ib. τοιαύτη. fc. 6. καὶ — ταῖς om. a. ib. περὶ ἱστὰς. u. περ ἱστᾶς. m. περ ἱστάς. o. ib. αὐτῷ. π, m, o. αὐτὸ. p, u, 2. ib. οὐδ' fb. 7. ἔσχε. π et m. γρ. εἶχε. p, u, 2, E. ib. τὸν χρυσοῦν. fc. sed corr. τὸν χρυσοῦν. fb. 9. τε. l. 10. ἀκατασκεύῳ. C. ἀκατασκευάστῳ. fc, E. ib. τε om. v. 11. αὐτοῦ τὸ ἑτέρῳ, φασί, τύφῳ. π. αὐτοῦ τῷ ἑ. φ. τ. p. pr. m. 2, E. αὐτὸ τοῦ ἑτέρου φ. τύφου. p. sec. m et a. 12. αὐτῶν. π. αὐτὸν. p, u, 2, E. ib. ἀσπάσονται. 1. ἀσπάζονται. 2, E. ib. ἐν τῇ κοίλῃ τῇ γῇ. u. 13. καὶ δὴ. v. ib. αὐτῶν. fb. ib. αἴρεσθαι om. l. 14. δὲ om. s, fc.

16. διατεθῆναι τοὺς. 1. διατεθῆναι τε καὶ. 2, E. ib. Θεσπίωνα. f. (ut semper.) 17. φαίνεσθαι — ἤκουσαν. Φ (334, a, 13). ib. παρὰ. v. 20. φράζειν om. p. ib. δὲ om. p. 21. τοῦ λόγου. s, a, m. ib. τε om. l. 24. ἐπῆγες. l, s, a, m. 27. ἐλοιδορεῖτο. v. ib. διέβαλε. p. 28. οὐχ om. v. 29. ἆρα. v. ib. δοκῇ. 1. ib. βαλέσθαι. 1. βάλλεσθαι. 2, E. ib. ἄγγυραν. s. 30. αὖ. v. 31. ἥδιον τε. v. ib. καὶ ξένοις. v. 33. περίνοος τε. o. ib. τὰ τοιάδε. p. 34. ἔφη χαίρω. p.

VI, 12. 13. p. 249. 250.

ὧν διέβαλες τὴν δεῦρο σοφίαν, οὐδὲ ἐς πεῖράν πω αὐτῆς ἀφιγμένος." ὁ δ' ἐκπλαγεὶς μὲν ὑπὸ τοῦ λόγου πρὸς βραχὺ τῷ μηδ' ἀκηκοέναι πω τὰ περὶ τὸν Θρασύβουλόν τε καὶ τὸν Εὐφράτην, ξυμ-
251 βαλὼν δ', ὥσπερ εἰώθει, τὸ γεγονὸς „Ἰνδοὶ δέ", εἶπεν „ὦ Θεσπεσίων, οὐκ ἂν τοῦτο ἔπαθον· οὐδ' ἂν προσέσχον Εὐφράτῃ καθιέντι ταῦτα, σοφοὶ γὰρ προγιγνώσκειν. ἐγὼ δὲ ἴδιον μὲν ἐμαυτοῦ πρὸς Εὐφράτην διηνέχθην οὐδέν, χρημάτων δὲ ἀπάγων αὐτὸν καὶ τοῦ μὴ ἐπαινεῖν τὸ ἐξ ἅπαντος κέρδος οὔτ' ἐπιτήδεια ξυμβουλεύειν ἔδοξα οὔτε ἐκείνῳ δυνατά, καὶ ἔλεγχον δὲ ἡγεῖται ταῦτα καὶ οὐκ ἀνίησιν ἀεί τι κατ' ἐμοῦ ξυντιθείς. ἐπεὶ δὲ πιθανὸς ὑμῖν ἔδοξε τοὐμὸν διαβάλλειν ἦθος, ἐνθυμεῖσθε, ὡς προτέρους ὑμᾶς ἐμοῦ διέβαλεν· ἐμοὶ γὰρ κίνδυνοι μὲν καὶ περὶ τὸν διαβεβλησόμενον οὐ σμικροὶ φαίνονται, μισήσεται γάρ που ἀδικῶν οὐδέν, ἐλεύθεροι δὲ κινδύνων οὐδ' οἱ τῶν διαβολῶν
10 ἀκροασόμενοι δοκοῦσιν, εἰ πρῶτον μὲν ἀλώσονται ψευδολογίαν τιμῶντες καὶ ἀξιοῦντες αὐτὴν ὧν περ τὴν ἀλήθειαν, εἶτα κουφότητα καὶ εὐαγωγίαν — ἡττᾶσθαι δὲ τούτων καὶ μειρακίῳ αἰσχρόν — φθονεροί τε δόξουσι διδάσκαλον ἀκοῆς ἀδίκου ποιούμενοι τὸν φθόνον, αὐτοί τε μᾶλλον ἔνοχοι ταῖς διαβολαῖς, ἃς ἐφ' ἑτέρων ἀληθεῖς ἡγοῦνται, αἱ γὰρ τῶν ἀνθρώπων φύσεις ἑτοιμότεραι ὁρᾶν, ἃ μὴ ἀπιστοῦσι. μὴ τυραννεύσειεν ἀνὴρ ἕτοιμος ταῦτα, μηδὲ προσταίη δήμου, τυραννὶς γὰρ καὶ ἡ
15 δημοκρατία ὑπ' αὐτοῦ ἔσται, μηδὲ δικάσειεν, ὑπὲρ μηδενὸς γὰρ γνώσεται, μηδὲ ναυκληρήσειεν, ἡ γὰρ ναῦς στασιάσει, μηδὲ ἄρξειε στρατοῦ, τὸ γὰρ ἀντίξουν εὖ πράξει, μηδὲ φιλοσοφήσειεν οὕτως ἔχων, οὐ γὰρ πρὸς τἀληθὲς δοξάσει. ὑμᾶς δὲ Εὐφράτης ἀφῄρηται καὶ τὸ σοφοὺς εἶναι, οὓς γὰρ ψεύδει ὑπηγάγετο, πῶς ἂν οὗτοι σοφίας αὐτοὺς ἀξιώσειαν, ἧς ἀπέστησαν τῷ τὰ μὴ πιθανὰ πεί-
252 20 σαντι;" διαπραύνων δ' αὐτὸν ὁ Θεσπεσίων „ἅλις Εὐφράτου" ἔφη „καὶ μικροψύχων λόγων, καὶ γὰρ ἂν καὶ διαλλακταὶ γενοίμεθά σοί τε κἀκείνῳ, σοφὸν ἡγούμενοι καὶ τὸ διαιτᾶν σοφοῖς. πρὸς δὲ ὑμᾶς," εἶπε „τίς διαλλάξει με; χρὴ γάρ που καταψευσθέντα ἐκπολεμῶσθαι ὑπὲρ τοῦ ψεύδους." „ἐχέτω
XIV οὕτως" ἦ δ' ὁ Ἀπολλώνιος „καὶ σπουδῆς ἁπτώμεθα, τουτὶ γὰρ ἡμᾶς διαλλάξει μᾶλλον." ἐρῶν δὲ ὁ Νεῖλος τῆς ἀκροάσεως τοῦ ἀνδρὸς „καὶ μὴν σὲ" ἔφη „προσήκει ἄρξαι τοῦ σπουδάσαι, διελθόντα ἡμῖν τήν τε ἀποδημίαν τὴν γενομένην σοι ἐς τὸ Ἰνδῶν ἔθνος τάς τε ἐκεῖ σπουδάς, ἃς ὑπὲρ λαμ-
25 πρῶν δήπου ἐποιεῖσθε." „ἐγὼ δὲ" ἔφη ὁ Θεσπεσίων „καὶ περὶ τῆς Φραώτου σοφίας ἀκοῦσαι ποθῶ, λέγεσθε γὰρ καὶ τῶν ἐκείνου λόγων ἀγάλματα ἀπὸ Ἰνδῶν ἄγειν." ὁ μὲν δὴ Ἀπολλώνιος ἀρχὴν τοῦ λόγου τὰ ἐν Βαβυλῶνι ποιησάμενος διῄει πάντα, οἱ δὲ ἅσμενοι ἠκροῶντο ὑποκείμενοι τῷ λόγῳ. μεσημβρία δ' ὡς ἐγένετο, διέλυσαν τὴν σπουδήν, τὸν γὰρ καιρὸν τοῦτον καὶ οἱ Γυμνοὶ πρὸς ἱεροῖς γίγνονται.

XV 30 Δειπνοῦντι δὲ τῷ Ἀπολλωνίῳ καὶ τοῖς ἀμφ' αὐτὸν ὁ Νεῖλος ἐφίσταται λαχάνοις ἅμα καὶ ἄρτοις καὶ τραγήμασι, τὰ μὲν αὐτὸς φέρων, τὰ δὲ ἕτεροι, καὶ μάλα ἀστείως „οἱ σοφοὶ" ἔφη „ξένια πέμπουσιν ὑμῖν τε κἀμοὶ ταῦτα, κἀγὼ γὰρ ξυσσιτήσω ὑμῖν οὐκ ἄκλητος, ὥς φασιν, ἀλλ' ἐμαυτὸν καλῶν." „ἡδύ" εἶπεν ὁ Ἀπολλώνιος „ἀπάγεις, ὦ νεανία, ξένιον, σεαυτόν τε καὶ τὸ σεαυτοῦ ἦθος, ὃς ἀδόλως μὲν φιλοσοφοῦντι ἔοικας, ἀσπαζομένῳ δὲ τὰ Ἰνδῶν τε καὶ Πυθαγόρου. κατακλίνου δὴ

β λ

2. ξυλλαβὼν. π. ξυλλαβὼν. p, 2, E. 5. διηλίχθην. π. διηνέχθην πρὸς Εὐφράτην. v. ib. μὴ τοῦ. v. 7. ἦθος διαβάλλειν. l. ib. διέβαλλεν. p. 8. ἐμοὶ μὲν. v. ib. μὲν om. v, a. 10. ἀκροασόμενοι. π, l, v. ἀκροτηριασόμενοι. f. sic corr. ἀκροασάμενοι. p, s, E. ib. μὲν om. 2, a. ib. ψευδολογίαν. 1, s, E. μικρολογίαν. f, ψ, v, r. l. ib. καὶ οὐκ ἀξιοῦντες. 2, a, m, γρ. 12. ἀγωγῆς ἀδίκου. v. 13. ἡγοῦνται. π. ἡγοῦντο. p, 2, E. 15. ὑπὲρ — ναυκληρήσειεν om. l. in ordine, habet mg. 16. μὴ ἄρξεις. v. ἄρξειεν. p. 18. αὐτοὺς. l, s, a. ib. ἧς ἐπείσθησαν. p. ex corr. ἣν ἀπέστησαν v. ib. τὰ πιθανὰ. s, a. 19. διαπραΰνων δὲ αὐτὸν ὁ Θεσπίων. ΦA (334, a, 15). ib. δ' om. s, a, m. ib. αὐτὰ. v. ib. ἂν om. p. 20. καὶ τὸ. 1, m. τὸ. 2, a, o. ib. σοφοῖς. 1, m, o. σοφοὺς. 2, a et m. γρ. 21. ὑπὲρ τοῦ. 1, f, ψ, v, r. ὑπὸ τοῦ. s, l, E. 22. οὕτως om. l. pr. m. ib. ὁ Θεσπεσίων. o. ib. γὰρ καὶ. v, o. 23. καὶ μήν σε. E. Sc. καὶ μήν σὲ. 26. λέγεται γὰρ καὶ τῶν Φραάτου λόγων ἀγάλματα ἀπὸ Ἰνδῶν ἄγειν. Φ (334, a, 16). 28. τὸν γὰρ — οἱ Ἰνδοὶ ὡς ἱεροὶ γίνονται. ΦA,B (334, a, 17).

30. δειπνοῦντι. 1, l. δειπνοποιοῦντι. 2. (l mg.) et E. ib. αὐτὸν. l, s. 31. μεγάλα. π et m. γρ. ib. ἔφη om. l, s, a. ξένια ἔφη. p. 32. γὰρ om. 2, a. 33. ἐπάγεις. o. ib. σεαυτόν. p. σαυτὸν. π, 2, E. 34. φιλοῦντι. C, E. Sc. φιλοσοφοῦντι.

VI, 14. 15. p. 251. 252.

ἐνταῦθα καὶ ξυσσίτει." „κατάκειμαι," ἔφη „σιτία δὲ οὐκ ἔσται σοι τοσαῦτα, ὡς ἐμπλῆσαί με." „ἔοικας" εἶπεν „εὔσιτος εἶναι καὶ δεινὸς φαγεῖν". „δεινότατος μὲν οὖν," ἔφη „ὃς γὰρ τοσαύτην καὶ οὕτω λαμπρὰν δαῖτά σου παραθέντος οὔπω ἐμπέπλησμαι, διαλιπὼν δὲ ὀλίγον πάλιν ἐπισιτιούμενος ἥκω, τί φήσεις ἀλλ' ἢ ἀκόρεστόν τε εἶναί με καὶ δεινῶς γάστριν;" „ἐμπίπλασο," εἶπεν „ἀφορμαὶ δ', ὁπόσαι λόγων, τὰς μὲν αὐτὸς παραδίδου, τὰς δὲ ἐγὼ δώσω." ἐπεὶ δ' ἐδείπνησαν, s XVI 253
„ἐγὼ" ἦ δ' ὁ Νεῖλος „τὸν μὲν ἄλλον χρόνον ἐστρατευόμην ὁμοῦ τοῖς Γυμνοῖς οἷον ψιλοῖς τισιν ἢ σφενδονήταις ἐκείνοις ἐμαυτὸν ξυντάττων, νυνὶ δὲ ὁπλιτεύσω καὶ κοσμήσει με ἡ ἀσπὶς ἡ σή." „ἀλλ' οἶμαί σε," εἶπεν „Αἰγύπτιε, παρὰ Θεσπεσίωνί τε καὶ τοῖς ἄλλοις ἔξειν αἰτίαν, ἐφ' οἷς οὐδὲ ἐς ἔλεγχον ἡμῶν καταστὰς πλείω σὺ δ' ἑτοιμότερον ἢ ξυγχωρεῖ βίου αἵρεσις ἐς τὰ ἡμέτερα ἤθη ἀφήσεις." „οἶμαι," ἔφη „εἰ δ' αἰτία ἑλομένου ἔσται τις, τάχα καὶ μὴ ἑλομένου αἰτία, καὶ ἀλώσονται μᾶλλον ἅπερ ἐγὼ ἑλόμενοι· τὸ γὰρ πρεσβυτέρους ὁμοῦ καὶ σοφωτέρους ὄντας μὴ πάλαι ᾐρῆσθαι, ἅπερ ἐγὼ νῦν, δικαίαν αἰτίαν κατ' ἐκείνων ἔχοι ἂν μᾶλλον οὕτω πλεονεκτοῦντας μὴ ἐς τὸ βέλτιον ἐλίσθαι, ὅ τι χρήσονται." „οὐκ ἀγεννῆ μέν, ὦ νεανίσκε, λόγον εἴρηκας· ὅρα δέ, μὴ αὐτῷ τῷ οὕτω μὲν σοφίας, οὕτω δὲ ἡλικίας ἔχειν ἐκεῖνά γε ὀρθῶς ᾐρημένοι φαίνονται ταῦτά τε ξὺν εἰκότι λόγῳ παραιτούμενοι, σύ τε θρασυτέρου λόγου δοκῇς ἅπτεσθαι καθιστὰς μᾶλλον ἢ αὐτὸς ἐκείνοις ἑπόμενος." ὑποστρέψας δὲ ὁ Αἰγύπτιος παρὰ τὴν τοῦ Ἀπολλωνίου δόξαν „ἃ μὲν εἰκὸς ἦν" ἔφη „πρεσβυτέροις ὁμαρτεῖν νέον, οὐ παρεῖταί μοι, σοφίαν γὰρ ὑπότ' ᾤμην εἶναι περὶ τοὺς ἄνδρας, ἣν οὐκ ἄλλοις τισὶν ἀνθρώπων ὑπάρχειν, προσεποίησα ἐμαυτὸν τούτοις, πρόφασις δέ μοι τῆς ὁρμῆς ἥδε ἐγένετο· ἔπλευσέ ποτε ὁ πατὴρ ἐς τὴν Ἐρυθρὰν ἑκών, ἦρχε δὲ ἄρα τῆς νεώς, ἣν Αἰγύπτιοι στέλλουσιν ἐς τὸ Ἰνδῶν ἔθνος, ἐπιμίξας δὲ τοῖς ἐπὶ θαλάττῃ Ἰνδοῖς διεκόμισε λόγους περὶ τῶν ἐκείνῃ σοφῶν ἀγχοῦ τούτων, οὓς πρὸς ἡμᾶς διῆλθες· ἀκούων δὲ αὐτοῦ καὶ τοιουτονί τινα λόγον, ὡς σοφώτατοι μὲν ἀνθρώπων Ἰνδοί, ἄποικοι δὲ Ἰνδῶν Αἰθίοπες, πατρῴζουσι δὲ οὗτοι τὴν σοφίαν καὶ 254
πρὸς τὰ οἴκοι βλέπουσι, μειράκιον γενόμενος τὰ μὲν πατρῷα τοῖς βουλομένοις ἀφῆκα, γυμνὸς δὲ Γυμνοῖς ἐπεφοίτησα τούτοις, ὡς μαθησόμενος τὰ Ἰνδῶν ἢ ἀδελφά γε ἐκείνων, καί μοι ἐφαίνοντο σοφοὶ μέν, οὐ μὴν ἐκεῖνα, ἐμοῦ δ' αὐτοὺς ἐρομένου, τοῦ χάριν οὐ τὰ Ἰνδῶν φιλοσοφοῦσιν, ἐκείνων μὲν ἐς διαβολὰς κατέστησαν παραπλησίως ταῖς πρὸς σὲ εἰρημέναις τήμερον, ἐμὲ δὲ νέον ἔτι, ὡς ὁρᾷς, ὄντα κατέλεξαν ἐς τὸ αὐτῶν κοινὸν δείσαντες, οἶμαι, μὴ ἀποπηδήσας αὐτῶν πλεύσαιμι ἐς τὴν Ἐρυθράν, ὥσπερ ποτὲ ὁ πατήρ, ὃ μὰ τοὺς θεοὺς οὐκ ἂν παρῆκα· προῆλθον γὰρ ἂν καὶ μέχρι τοῦ ὄχθου τῶν σοφῶν, εἰ μή σέ τις ἐνταῦθα θεῶν ἔστειλεν ἐμοὶ ἀρωγόν, ὡς μήτε τὴν Ἐρυθρὰν πλεύσας μήτε πρὸς τοὺς Κολπίτας παραβαλόμενος σοφίας Ἰνδικῆς γευσαίμην οὐ τήμερον βίου ποιησόμενος αἵρεσιν, ἀλλὰ πάλαι μὲν ᾐρημένος, ἃ δὲ ᾤμην ἕξειν, οὐκ ἔχων. τί γὰρ δεινόν, εἰ ὁτουδὴ ἁμαρτών τις ἐπάνεισιν ἐφ' ὃ ἐθήρευεν; εἰ δὲ κἀκείνους ἐς τουτὶ μεταβιβάζοιμι καὶ γιγνοίμην αὐτοῖς ξύμβουλος ὧν ἐμαυτὸν πέπεικα, τί ἄν, εἰπέ μοι, θρασὺ πράττοιμι; οὔτε γὰρ ἡ νεότης ἀπε-

1. οὐκ ἔστι. s, a, m. 2. ἔοικας εὔσιτος — φαγεῖν. Φ (334, a, 18). ib. εἶπε. 1 et m. γρ. ἔφη. 2. E. ib. ὃς γὰρ. 1 et m. γρ. ὃς. 2, E. 3. δαῖτα σοῦ. f, v, s. 8. Αἰγύπτιε, εἶπεν. l. 9. σοὶ δ'. π. 10. ἡ δ' αἰτία. v, l. ib. ταχὺ μὴ. p. 11. ἐγὼ μὴ. v. 12. ἔχοι ἂν. 1, v, l, s, a. ἂν ἔχοι. f. ἔχοι. m, o. ib. πλεονεκτοῦντι. 1, f, l, s, a, m. πλεονεκτοῦντες. v, r. πλεονεκτοῦντας. o. 13. βούλονται. s ubi sec. m. suprasc. χρήσονται. fc, a. βούλονται. p, m. ib. ἀγενῆ. E. ib. μηδ'. C, E. μὴ. J ad Im. 292. ib. αὐτῷ τῷ. eras. in p. αὐτὸ τῷ. π. 14. ἔχειν om. p. ib. ᾐρημένοι. π, B. εἰρημένοι. m. εἰρημένα. p, 2, a, o et m. γρ. ib. φαίνονται. 1, m. φαίνωνται. 2, a, o. ib. ταῦτά τε. C. ταῦτά γε. E. 15. παραιτούμενος. C, E. Sc. παραιτούμενοι. ib. δοκῇς. 1, f, v, B. δοκεῖς. l, s, E. 17. σοφίαν γὰρ. 1. σοφίαν δὲ. 2, E. 18. ἥδε. f. ἥδ'. E. 19. ἐκὼν. 1, f, v, l. ἥκων. s, fc, E. 21. ὑμᾶς. l, o. ib. ἀκούω. l. 23. τὰ μὲν πρῶτα. s, a. 26. μὲν om. v. ib. παραπλησίως. π, l, s, a, m. παραπλησίαις. f, v. παραπλησίας. o. 27. αὐτῶν. l. 29. ὄχλον. a et m.: γρ. λόφον et ὄχλον. ib. ἐμοὶ ἀρωγὸν. π. ἔμοιγ' οὖν ἀρωγόν. p, 2, E. ἀρρωγὸν. s. 30. παραβαλόμενος. π. παραβαλλόμενος. p, 2, E. ib. ψευσαίμην. f, v. 31. ποιησόμενος. π, s, a, m. ποιησάμενος. p, f, v, l, o. ib. τὸ γὰρ δεινὸν. f, v. 32. ὅτου δὴ ἁμαρτών. π. ὅτου διαμαρτὼν. p, 2, E. του διαμαρτὼν. B. διαμαρτῶν. v. ib. ἐφ' ᾧ. v. 33. πεποίηκα. f et l, s pr. m. ib. ἀπαλλατέα. s, a. ἀπαλλακτέα. corr. in Lips. a.

λατέα τουτὶ καὶ αὐτὴ βέλτιον ἐνθυμηθῆναι ἂν τοῦ γήρως, σοφίας τε ὅστις ἑτέρῳ γίγνεται ξύμβουλος, ἣν αὐτὸς ᾔρηται, διαφεύγει δήπου τὸ μὴ οὐχ ἃ πέπεισται πείθειν, τοῖς τε ἥκουσιν ἀγαθοῖς παρὰ τῆς τύχης ὅστις ἀπολαβὼν αὐτὰ χρῆται μόνος, ἀδικεῖ τἀγαθά, ἀφαιρεῖται γὰρ αὐτῶν τὸ
XVII πλείοσιν ἡδίω φαίνεσθαι." τοιαῦτα εἴραντος τοῦ Νείλου καὶ οὕτω νεανικὰ ὑπολαβὼν ὁ Ἀπολλώνιος
5 „ὑπὲρ μισθοῦ δὲ" εἶπεν „οὐ διαλέξῃ μοι πρότερον σοφίας γε ἐρῶν τῆς ἐμῆς"; „διαλεγώμεθα" ἦ δ' ὁ Νεῖλος „καὶ ὅ τι βούλει, αἴτει." „αἰτῶ σε," εἶπεν „ἃ μὲν αὐτὸς εἶλου, ἠρῆσθαι, τοὺς δὲ
255 Γυμνοὺς μὴ ἐνοχλεῖν ξυμβουλεύοντα ἃ μὴ πείσεις." „πείσομαι" ἔφη „καὶ ὁμολογείσθω ὁ μισθός." ταῦτα μὲν δὴ οὕτως ἐσπούδασαν, ἐρομένου δ' αὐτὸν μετὰ ταῦτα τοῦ Νείλου, πόσου χρόνου διατρίψοι περὶ τοὺς Γυμνούς, „ὁπόσου" ἔφη „χρόνου ἀξία ἡ τῶνδε σοφία τῷ ξυνεσομένῳ σφίσιν,
10 εἶτα ἐπὶ Καταδούπων τὴν ὁδὸν ποιησόμεθα τῶν πηγῶν ἕνεκα, χαρίεν γὰρ τὸ μὴ μόνον ἰδεῖν τὰς τοῦ Νείλου ἀρχάς, ἀλλὰ καὶ κελαδοῦντος αὐτοῦ ἀκοῦσαι."

XVIII Ὧδε διαλεχθέντες καί τινων Ἰνδικῶν μνημονεύσαντες ἐκάθευδον ἐν τῇ πόᾳ, ἅμα δὲ τῇ ἡμέρᾳ προσευξάμενοι τὰ εἰωθότα εἵποντο τῷ Νείλῳ παρὰ τὸν Θεσπεσίωνα αὐτοὺς ἄγοντι, προσεῖπόν τε γοῦν ἀλλήλους καὶ ξυνιξήσαντες ἐν τῷ ἄλσει διαλέξεως ἥπτοντο, ἦρχε δ' αὐτῆς ὁ Ἀπολλώνιος·
15 „ὡς μὲν γὰρ πολλοῦ" ἔφη „ἄξιον τὸ μὴ κρύπτειν σοφίαν, δηλοῦσιν οἱ χθὲς λόγοι· διδαξαμένων γάρ με Ἰνδῶν, ὁπόσα τῆς ἐκείνων σοφίας ᾤμην προσήκειν ἐμοί, μέμνημαί τε τῶν ἐμαυτοῦ διδασκάλων καὶ περίειμι διδάσκων, ἃ ἐκείνων ἤκουσα, καὶ ὑμῖν δ' ἂν ἐν κέρδει γενοίμην, εἴ με καὶ τὴν ὑμετέραν σοφίαν εἰδότα πέμποιτε, οὐ γὰρ ἂν παυσαίμην Ἕλλησί τε διιὼν τὰ ὑμέτερα καὶ Ἰν-
XIX δοῖς γράφων." „ἐρώτα," ἔφασαν „ἔπεται γάρ που ἐρωτήσει λόγος". καὶ ὁ Ἀπολλώνιος „περὶ
20 θεῶν" εἶπεν „ὑμᾶς ἐρήσομαι πρῶτον, τί μαθόντες ἄτοπα καὶ γελοῖα θεῶν εἴδη παραδεδώκατε τοῖς δεῦρο ἀνθρώποις πλὴν ὀλίγων· ὀλίγων γάρ; πάνυ μέντοι ὀλίγων, ἃ σοφῶς καὶ θεοειδῶς ἵδρυται, τὰ λοιπὰ δ' ὑμῶν ἱερὰ ζῴων ἀλόγων καὶ ἀδόξων τιμαὶ μᾶλλον ἢ θεῶν φαίνονται." δυσχεράνας δὲ ὁ Θεσπεσίων „τὰ δὲ παρ' ὑμῖν" εἶπεν „ἀγάλματα πῶς ἱδρῦσθαι φήσεις"; „ὥς γε" ἔφη „κάλλιστόν τε καὶ θεοφιλέστατον δημιουργεῖν θεούς." „τὸν Διά που λέγεις" εἶπε „τὸν ἐν τῇ Ὀλυμπίᾳ
256 25 καὶ τὸ τῆς Ἀθηνᾶς ἔδος καὶ τὸ τῆς Κνιδίας τε καὶ τὸ τῆς Ἀργείας καὶ ὁπόσα ὧδε καλὰ καὶ μεστὰ ὥρας." „οὐ μόνον" ἔφη „ταῦτα, ἀλλὰ καὶ καθάπαξ τὴν μὲν παρὰ τοῖς ἄλλοις ἀγαλματοποιίαν ἅπτεσθαί φημι τοῦ προσήκοντος, ὑμᾶς δὲ καταγελᾶν τοῦ θείου μᾶλλον ἢ νομίζειν αὐτό." „οἱ Φειδίαι δὲ" εἶπε „καὶ οἱ Πραξιτέλεις μῶν ἀνελθόντες ἐς οὐρανὸν καὶ ἀπομαξάμενοι τὰ τῶν θεῶν εἴδη τέχνην αὐτὰ ἐποιοῦντο, ἢ ἕτερόν τι ἦν, ὃ ἐφίστη αὐτοὺς τῷ πλάττειν;" „ἕτερον" ἔφη „καὶ
30 μεστόν γε σοφίας πρᾶγμα". „ποῖον;" εἶπεν „οὐ γὰρ ἄν τι παρὰ τὴν μίμησιν εἴποις." „φαντασία" ἔφη „ταῦτα εἰργάσατο σοφωτέρα μιμήσεως δημιουργός· μίμησις μὲν γὰρ δημιουργήσει, ὃ εἶδεν, φαντασία δὲ καὶ ὃ μὴ εἶδεν, ὑποθήσεται γὰρ αὐτὸ πρὸς τὴν ἀναφορὰν τοῦ ὄντος, καὶ μίμησιν μὲν πολλάκις ἐκκρούει ἔκπληξις, φαντασίαν δὲ οὐδέν, χωρεῖ γὰρ ἀνέκπληκτος πρὸς ὃ αὐτὴ ὑπέ-
35 θετο. δεῖ δέ που Διὸς μὲν ἐνθυμηθέντα εἶδος ὁρᾶν αὐτὸν ξὺν οὐρανῷ καὶ ὥραις καὶ ἄστροις, ὥσπερ ὁ Φειδίας τότε ὥρμησεν, Ἀθηνᾶν δὲ δημιουργήσειν μέλλοντα στρατόπεδα ἐννοεῖν καὶ μῆτιν

1. αὐτῇ. l, s, a. ib. βελτίων ἐνθυμηθῆναι vel βέλτιον ἐνθυμηθείη. B. 2. εἵρηται. f. al. m. corr. 3. ὅ τις. v. ὧν ib. ἀποβαλὼν. l. pr. m. ib. αὐτὰ. π. αὐτὰ. p, 2, E. 5. γε om. l. 6. ἦ δ' ὃς ὁ N. l, s, a. ἠδ' ὃς N. m. corr. B. ib. εἰρῆσθαι. l. pr. m. a, m. corr. B. 7. πείσῃς. p. 8. οὕτως om. s, a, m. ib. διατρίψοι. π. διατρίψει. p, 2, E. 11. αὐτοῦ om. p, l, s, a, m.

14. γ' οὖν. f. ib. ἀλλήλοις. π. 15. ἔφη om. π. ib. διαδεξαμένων. v. διδαξάμενον. m. 16. μέμνημαί τε. l. μίμνημαι. 2, E. 17. καὶ — διδάσκων om. 2, a. (s in mg. sec. m.) ib. περιίημι. C, E. περίειμι. J ad Vers. germ. 21. ὀλίγων γὰρ — ὀλίγων om. fc, a. ib. ὀλίγων μὲν. v. ib. σαφῶς. p. 23. ὑμῖν. l. ὑμῶν. 2, E. ib. ἵδρυσθαι. π, m, o. ἵδρυται. p, 2, a. Scr. ἱδρῦσθαι. 24. εἶπες εἶναι. v. ib. τῇ om. p. 26. μὲν γὰρ. p, l. 28. Πραξιτέλαι. π. et εις suprasc. Πραξιτέλαι. o. ib. μὲν ἀνελθόντες. o. ib. ἐς οὐρανὸν. C. ἐς τὸν οὐρανὸν. E. 29. ἕτερόν τι. l. τί ἕτερον. 2, E. 30. μέγιστον. v. ib. περὶ. p. 31. γὰρ. l. γὰρ μόνον. 2, E. 33. αὖτη. l. αὐτῇ. f. (sic corr.) 34. ἐνθυμηθέντος. p. 35. στρατόπεδον. p.

VI, 17. 18. 19. p. 255. 256.

καὶ τέχνας καὶ ὡς Διὸς αὐτοῦ ἀνέθορεν. εἰ δὲ ἱέρακα ἢ γλαῦκα ἢ λύκον ἢ κύνα ἐργασάμενος ἐς τὰ ἱερὰ φέροις ἀντὶ Ἑρμοῦ τε καὶ Ἀθηνᾶς καὶ Ἀπόλλωνος, τὰ μὲν θηρία καὶ τὰ ὄρνεα ξηλωτὰ δόξει τῶν εἰκόνων, οἱ δὲ θεοὶ παραπολὺ τῆς αὐτῶν δόξης ἑστήξουσιν." „ἔοικας" εἶπεν „ἀβασανίστως ἐξετάζειν τὰ ἡμέτερα· σοφὸν γάρ, εἴπερ τι Αἰγυπτίων, καὶ τὸ μὴ θρασύνεσθαι ἐς τὰ τῶν 257
θεῶν εἴδη, ξυμβολικὰ δὲ αὐτὰ ποιεῖσθαι καὶ ὑπονοούμενα, καὶ γὰρ ἂν καὶ σεμνότερα οὕτω φαίνοιτο." γελάσας οὖν ὁ Ἀπολλώνιος „ὦ ἄνθρωποι", ἔφη „μεγάλα ὑμῖν ἀπολέλαυται τῆς Αἰγυπτίων τε καὶ Αἰθιόπων σοφίας, εἰ σεμνότερον ὑμῶν καὶ θεοειδέστερον κύων δόξει καὶ ἶβις καὶ τράγος, ταῦτα γὰρ Θεσπεσίωνος ἀκούω τοῦ σοφοῦ. σεμνὸν δὲ δὴ ἢ ἔμφοβον τί ἐν τούτοις; τοὺς γὰρ ἐπιόρκους καὶ τοὺς ἱεροσύλους καὶ τὰ βωμολόχα ἔθνη καταφρονεῖν τῶν τοιούτων ἱερῶν εἰκὸς μᾶλλον ἢ δεδιέναι αὐτά, εἰ δὲ σεμνότερα ταῦτα ὑπονοούμενα, πολλῷ σεμνότερον ἂν ἔπραττον οἱ θεοὶ κατ' 10
Αἴγυπτον, εἰ μὴ ἵδρυτό τι αὐτῶν ἄγαλμα, ἀλλ' ἕτερον τρόπον σοφώτερόν τε καὶ ἀπορρητότερον τῇ θεολογίᾳ ἐχρῆσθε· ἦν γάρ που νεὼς μὲν αὐτοῖς ἐξοικοδομῆσαι καὶ βωμοὺς ὁρίζειν καὶ ἃ χρὴ θύειν καὶ ἃ μὴ χρὴ καὶ ὁπηνίκα καὶ ἐφ' ὅσον καὶ ὅ τι λέγοντας ἢ δρῶντας, ἄγαλμα δὲ μὴ ἐσφέρειν, ἀλλὰ τὰ εἴδη τῶν θεῶν καταλείπειν τοῖς τὰ ἱερὰ ἐσφοιτῶσιν, ἀναγράφει γάρ τι ἡ γνώμη καὶ ἀνατυποῦται δημιουργίας κρεῖττον, ὑμεῖς δὲ ἀφῄρησθε τοὺς θεοὺς καὶ τὸ ὁρᾶσθαι καλῶς καὶ τὸ 15
ὑπονοεῖσθαι." πρὸς ταῦτα ὁ Θεσπεσίων, „ἐγένετό τις" ἔφη „Σωκράτης Ἀθηναῖος ἀνόητος, ὥσπερ ἡμεῖς, γέρων, ὃς τὸν κύνα καὶ τὸν χῆνα καὶ τὴν πλάτανον θεούς τε ἡγεῖτο καὶ ὤμνυ." „οὐκ ἀνόητος," εἶπεν „ἀλλὰ θεῖος καὶ ἀτεχνῶς σοφός, ὤμνυ γὰρ ταῦτα οὐχ' ὡς θεούς, ἀλλ' ἵνα μὴ θεοὺς ὀμνύοι." μετὰ ταῦτα ὁ Θεσπεσίων ὥσπερ μεθιστάμενος τουτουὶ τοῦ λόγου ἤρετο τὸν Ἀπολ- XX 258
λώνιον περὶ τῆς Λακωνικῆς μάστιγος καὶ εἰ δημοσίᾳ οἱ Λακεδαιμόνιοι παίονται· „τὰς ἐξ ἀνθρώ- 20
πων γε," εἶπεν „ὦ Θεσπεσίων, αὐτοὶ μάλιστα οἱ ἐλεύθεροί τε καὶ εὐδόκιμοι". „τοὺς δὲ οἰκέτας ἀδικοῦντας τί" ἔφη „ἐργάζονται"; οὐκέτ' ἀποκτείνουσιν, εἶπεν „ὡς ξυνεχώρει ποτὲ ὁ Λυκοῦργος, ἀλλ' ἡ αὐτὴ καὶ ἐπ' ἐκείνους μάστιξ." „ἡ δὲ Ἑλλὰς πῶς" ἔφη „περὶ αὐτῶν γιγνώσκει"; „ξυνίασιν," εἶπεν „ὥσπερ ἐς τὰ Ὑακίνθια καὶ τὰς Γυμνοπαιδιάς, θεασόμενοι ξὺν ἡδονῇ τε καὶ ὁρμῇ πάσῃ." „εἶτ' οὐκ αἰσχύνονται" ἔφη „οἱ χρηστοὶ Ἕλληνες ἢ τοὺς αὐτῶν ποτε ἄρξαντας ὁρῶντες 25
μαστιγουμένους ἐς τὸ κοινόν, ἢ ἀρχθέντες ὑπ' ἀνθρώπων, οἳ μαστιγοῦνται δημοσίᾳ; σὺ δὲ πῶς οὐ διορθώσω ταῦτα; φασὶ γάρ σε καὶ Λακεδαιμονίων ἐπιμεληθῆναι." „ἆ γε" εἶπε „δυνατὸν διορθοῦσθαι, ξυνεβούλευον μὲν ἐγώ, προθύμως δ' ἐκεῖνοι ἔπραττον, ἐλευθεριώτατοι μὲν γὰρ τῶν Ἑλλήνων εἰσί, μόνοι δ' ὑπήκοοι τοῦ εὖ ξυμβουλεύοντος, τὸ δὲ τῶν μαστίγων ἔθος τῇ Ἀρτέμιδι τῇ 30
ἀπὸ Σκυθῶν δρᾶται χρησμῶν, φασιν, ἐξηγουμένων ταῦτα· θεοῖς δ' ἀντινομεῖν μανία, οἶμαι." „οὐ σοφούς, Ἀπολλώνιε," ἔφη „τοὺς τῶν Ἑλλήνων θεοὺς εἴρηκας, εἰ μαστίγων ἐγίγνοντο ξύμβουλοι τοῖς τὴν ἐλευθερίαν ἀσκοῦσιν." „οὐ μαστίγων," εἶπεν „ἀλλὰ τοῦ αἵματι ἀνθρώπων τὸν βωμὸν ῥαίνειν, ἐπειδὴ καὶ παρὰ Σκύθαις τούτων ἠξιοῦτο, σοφισάμενοι δὲ οἱ Λακεδαιμόνιοι τὸ 259
ἀπαραίτητον τῆς θυσίας ἐπὶ τὸν τῆς καρτερίας ἀγῶνα ἤκουσιν, ἀφ' ἧς ἐστι μήτε ἀποθνήσκειν καὶ ἀπάρχεσθαι τῇ θεῷ τοῦ σφῶν αἵματος." „διὰ τί οὖν" ἔφη „τοὺς ξένους οὐ καταθύουσι τῇ Ἀρ- 35

3. δόξειν. a, m. corr. B. ib. αὐτῶν. l, s. 4. τῶν Αἰγ. l. 6. ὦ θεοί. π et m. γρ. ib. ἀπολέλεκται. v. 7. εἰ καὶ. p. 8. σεμνὸν δὴ ἢ. l, s. σεμνὸν δὲ ἢ. a. ib. ἔμφοβόν τι. l. ἔμφοβον. a. 11. σοφώτερόν τε. C. σοφώτερόν τι. E. 12. ἐχρῆσθε. l. (u.) κεχρῆσθαι. 2, a, m. κεχρῆσθε. o. 13. ὅσον ὅ τι. l, s, a. ib. μὴ om. s. pr. m. ib. φέρειν. s. 14. φοιτῶσιν. p. 17. τὴν χῆνα. l, s, E. ib. ὀμνύῃ. 1, f, s, a. ὀμνύει. v. ὤμνυ. m, o. ὀμνύοι. J. 21. Θεσπίων. π. ib. οἱ om. o. 23. ξυνιᾶσιν. v, l, a, m. 24. ἐς om. p. 24. γυμνοπαιδείας. π et m. γρ. γυμνοποδίας. p, m. γυ-
ῆ
α
ποδίας. a. Γυμνοπαιδίας. l, s, o. 25. εἰς. π. εἰς p. ex corr. 2, E. Bene delet J. ep. cr. 44. ib. αὐτῶν. l. ib. ἄρξοντας. p. ἄρξαντας. u, f, v, o. ἄρξοντος. π. ἄρξοντας. s, l, a, m. 27. διορθώσω. l, s, E. ib. ἄγε. f. sic al. m. ἆ γε. s. sec. m. suprascr. ὦς. ib. δυνατόν. 1. δυνατὸν ἦν. 2, E. 28. ἐλευθεριώτατοι. π. ἐλευθερώτατοι. p, 2, E. ib. τῶν om. l, s, a. τῶν δὲ τῶν. π. 29. ἔθνος. v. 30. δὲ. 2. ib. ἀντινομεῖν. 1. ἀντινομοθετεῖν. 2, E. 31. Ἀπολλώνιε ἔφη. π. ὦ Ἀ. ἔφη. 2, E. ἔφη, Ἀπολλώνιε. p. ib. εἰ om. v. ib. ἐγένοντο. p. 33. ἠξιοῦτο. 1. ἠξιοῦντο. 2, E. 35. τῷ θεῷ. v. ib. σφῶν. 1 et m. γρ. σφῶν αὐτῶν. 2, E.

VI, 20. p. 257. 258. 259.

τέμιδι, καθάπερ ἐδικαίουν ποτὲ οἱ Σκύθαι;" „ὅτι" εἶπεν „οὐδενὶ Ἑλλήνων πρὸς τρόπου βάρβαρα ἐξασκεῖν ἦθη." „καὶ μὴν καὶ φιλανθρωπότεροι ἐδόκουν ἂν ἕνα που καὶ δύο θύοντες ἢ ξενηλασίᾳ χρώμενοι ἐς πάντας." „μὴ καθαπτώμεθα," εἶπεν „ὦ Θεσπεσίων, τοῦ Λυκούργου, χρὴ γὰρ ξυνιέναι τοῦ ἀνδρὸς καὶ ὅτι τὸ μὴ ἐνδιατρίβειν ἐᾶν τοὺς ξένους οὐκ ἀμιξίας αὐτῷ νοῦν εἶχεν, ἀλλὰ τοῦ ὑγιαίνειν τὰς ἐπιτηδεύσεις μὴ ἐνομιλούντων τῇ Σπάρτῃ τῶν ἔξωθεν." „ἐγὼ δὲ ἄνδρας" ἔφη „Σπαρτιάτας ἡγούμην ἄν, οἷοι δοκεῖν ἀξιοῦσιν, εἰ συνδιαιτώμενοι τοῖς ξένοις μὴ μεθίσταιντο τῶν οἴκοι, οὐ γὰρ τῷ ἀπόντων, ἀλλὰ καὶ τῷ παρόντων ὁμοίους ὁρᾶσθαι ἔδει, οἶμαι, τὰς ἀρετὰς κτᾶσθαι." οἱ δὲ καίτοι ξενηλασίαις χρώμενοι διεφθάρησαν τὰς ἐπιτηδεύσεις καὶ οἷς μάλιστα τῶν Ἑλλήνων ἀπήχθοντο, τούτοις ὅμοια πράττειν ἔδοξαν. τὰ γοῦν περὶ τὴν θάλατταν καὶ αἱ μετὰ ταῦτα
260 ἐπιτάξεις τῶν φόρων ἀττικώτερον αὐτοῖς ἐβουλεύθη, καὶ ὑπὲρ ὧν πολεμητέα πρὸς Ἀθηναίους ᾤοντο αὐτοῖς εἶναι, ταῦτ' ἐς τὸ καὶ αὐτοὶ δρᾶν κατέστησαν τὰ μὲν πολέμια τοὺς Ἀθηναίους νικῶντες, ὧν δὲ ἐκείνοις ἐπιτηδεύειν ἔδοξεν ἡττώμενοι. καὶ αὐτὸ δὲ τὸ τὴν ἐκ Ταύρων τε καὶ Σκυθῶν ἐσάγεσθαι δαίμονα ξένα ἦν νομιζόντων. εἰ δὲ χρησμῶν ταῦτα, τί ἔδει μάστιγος; τί δὲ καρτερίαν ἀνδραποδώδη πλάττεσθαι; λακωνικώτερον πρὸς θανάτου ῥώμην ἐκεῖνο ἦν, οἶμαι, Σπαρτιάτην ἔφηβον ἑκόντα ἐπὶ τοῦ βωμοῦ θύεσθαι. τουτὶ γὰρ τὴν μὲν Σπάρτην εὐψυχοτέρους ἐδείκνυε, τὴν δὲ Ἑλλάδα ἀπῆγε τοῦ μὴ ἐς ἀντίπαλα αὐτοῖς ἀντικαθίστασθαι. εἰ δὲ ἐς τὰ πολέμια φείδεσθαι τῶν νέων εἰκὸς ἦν, ἀλλ' ὅ γε νόμος ὁ παρὰ Σκύθαις ἐπὶ τοῖς ἑξηκοντούταις κείμενος οἰκειότερος ἦν Λακεδαιμονίοις ἐπιτηδεύειν ἢ Σκύθαις, εἰ τὸν θάνατον ἀτεχνῶς, ἀλλὰ μὴ κόμπου ἕνεκα ἐπαινοῦσι. ταῦτα οὐ πρὸς Λακεδαιμονίους εἴρηταί μοι, πρὸς δὲ σέ, Ἀπολλώνιε· εἰ γὰρ τὰ παλαιὰ νόμιμα καὶ πολιώτερα ἢ γιγνώσκειν αὐτὰ πικρῶς ἐξετάζοιμεν ἐς ἔλεγχον καθιστάμενοι τοῦ θείου, διότι αὐτοῖς χαίρουσι, πολλοὶ καὶ ἄτοποι λόγοι τῆς τοιᾶσδε φιλοσοφίας ἀναφύσονται, καὶ γὰρ ἂν καὶ τῆς Ἐλευσῖνι τελετῆς ἐπιλαβοίμεθα, διότι τό, ἀλλὰ μὴ τό, καὶ ὧν Σαμόθρακες τελοῦσιν, ἐπεὶ μὴ τὸ δεῖνα, τὸ δεῖνα δὲ αὐτοῖς δρᾶται, καὶ Διονυσίων καὶ φαλλοῦ καὶ τοῦ ἐν Κυλλήνῃ εἴδους καὶ οὐκ ἂν φθάνοιμεν συκοφαντοῦντες πάντα. ἴωμεν οὖν ἐφ' ὅ τι βούλει ἕτερον, τιμῶντες καὶ τὸν Πυθαγόρου λόγον ἡμεδαπὸν ὄντα· καλὸν γάρ, εἰ καὶ μὴ περὶ πάντων, ἀλλ' ὑπέρ γε τῶν τοιούτων σιωπᾶν." ὑπολαβὼν δ' ὁ Ἀπολλώνιος „εἰ σπουδάσαι", εἶπεν „ὦ Θεσπεσίων, ἐβούλου τὸν λόγον, πολλὰ ἂν
261 σοι καὶ γενναῖα ἔδοξεν ἡ Λακεδαίμων λέγειν ὑπὲρ ὧν ὑγιῶς τε καὶ παρὰ πάντας ἐπιτηδεύει τοὺς Ἕλληνας, ἐπεὶ δὲ οὕτως ἀποσπουδάζεις αὐτόν, ὡς μηδὲ ὅσιον ἡγεῖσθαι τὸ ὑπὲρ τοιούτων λέγειν, ἴωμεν ἐφ' ἕτερον λόγον πολλοῦ ἄξιον, ὡς ἐμαυτὸν πείθω· περὶ δικαιοσύνης γάρ τι ἐρήσομαι."
XXI 30 „ἀπτώμεθα" ὁ Θεσπεσίων ἔφη „τοῦ λόγου, προσήκων γὰρ σοφοῖς τε καὶ μὴ σοφοῖς. ἀλλ' ἵνα μὴ τὰς Ἰνδῶν δόξας ἐνείροντες ξυγχέωμεν αὐτὸν καὶ ἀπέλθωμεν ἄπρακτοι τοῦ λόγου, πρῶτον εἰπὲ τὰ περὶ δικαιοσύνης Ἰνδοῖς δόξαντα, εἰκὸς γὰρ βεβασανίσθαι σοι ἐκεῖ ταῦτα, κἂν μὲν ἡ δόξα ὀρθῶς ἔχῃ, ξυνθησόμεθα, εἰ δ' αὐτοί τι σοφώτερον εἴποιμεν, ξυντίθεσθε, δικαιοσύνης γὰρ καὶ τοῦτο." „ἄριστα," εἶπεν „ὦ Θεσπεσίων, καὶ ὡς ἐμοὶ ἥδιστα εἴρηκας· ἄκουε δὴ τῶν ἐκεῖ σπουδασθέντων· 35 διήειν πρὸς αὐτοὺς ἐγώ, κυβερνήτης ὡς γενοίμην μεγάλης νεώς, ὁπόθ' ἡ ψυχὴ σώματος ἑτέρου

2. καὶ μὴν καὶ. π. καὶ μὴν. p, 2, E. ib. Fo: φιλανθρωπότεροι, ἔφη. 4. καὶ ὅτι τὸ. π, m, o. καὶ τό. p. ex corr. καὶ ὅτι. 2, a. ib. αὐτῶν. f et l ante corr. m. γρ. 5. ἔφη ἄνδρας. l. 6. δοκεῖν. π. ubi εἰς suprasc. ib. συνδιατώμενοι. π, m, o. διαιτώμενοι. p, 2, a. 7. τῷ ἀπόντων. π, p ex corr. f, ψ, o et m. γρ. τῶν ἀπόντων. v, l, s, a, m. ib. τῷ παρόντων. vid. 7. ib. ἔδει οὖν. 2, a, m. 9. τά γ' οὖν. f. 10. πρὸς Ἀθηναίους πολεμητέα. p 13. εἰσάγεσθαι. π, l. ib. εἶναι νομιζόντων. p. ib. τί δαί. f, l et s ante corr. 15. εὐψυχοτέραν. p. ex corr. et m. ῖσ. 16. ἀποκαθίστασθαι. p. 17. ὁ παρὰ. π. παρὰ. p, 2, E. ib. ἑξηκοντούτοις. v. 19. εἰ γὰρ — ἐξετάζοιμεν, πολλοὶ καὶ ἄτοποι λόγοι ἀναφύσονται. Φ. (334, a, 19.) 21. ἀναφυήσονται. v. 23. Διονυσίου v. ib. φαλοῦ. p, v. ib. ἔδους. v. 24. συκοφατοῦντες. s. ib. πάντας. o. 26. ὁ Θεσπ. v. 27. ἐπιτηδεύειν. a, m. 30. προσήκων. π. προσῆκον. p, 2, E. ib. σοφοῖς τ . . . . . αἰ. l (tanta lacuna). 31. τὰ ὑπὲρ δ. f, v, l. 33. ἔχοι ξυνθησώμ . . . . . τι. p (sic). ib. τι. 1, f, v. τε. s sec. m l, E. ib. γὰρ τοῦτο. π. 34. ὁ Θεσπεσίων. v. ib. ἐμοὶ ἄριστα. v. 35. γενοίμην — σώματος om. f, v, l, a. habet s in mg. sec. m.

VI, 21. p. 260. 261.

ἐπεμέλετο, καὶ δικαιότατον ἡγοίμην ἐμαυτόν, ἐπειδὴ λήσταὶ μὲν ἐμισθοῦντό με προδοῦναι τὴν ναῦν καθορμισάμενον οἱ λοχήσειν αὐτὴν ἔμελλον, δι' ἃ ἦγεν, ἐγὼ δὲ ἐπαγγειλαίμην μὲν ταῦτα, ὡς μὴ ἐπίθοιντο ἡμῖν, παραπλεύσαιμι δ' αὐτοὺς καὶ ὑπεράραιμι τοῦ χωρίου." „ξυνέθεντο δ'" ἦ δ' ὁ Θεσπεσίων „δικαιοσύνην εἶναι Ἰνδοὶ ταῦτα;" „κατεγέλασαν μὲν οὖν," εἶπε „μὴ γὰρ εἶναι δικαιοσύνην τὸ μὴ ἀδικεῖν." „ὑγιῶς" ἔφη „ἀπέδοξε τοῖς Ἰνδοῖς, οὔτε γὰρ φρόνησις τὸ μὴ ἀνοήτως τι ἐνθυμεῖσθαι, οὔτε ἀνδρία τὸ μὴ λείπειν τὴν τάξιν, οὔτε σωφροσύνη τὸ μὴ ἐς τὰ τῶν μοιχῶν ἐκπίπτειν, οὔτε ἄξιον ἐπαίνου τὸ μὴ κακὸν φαίνεσθαι· πᾶν γάρ, ὃ τιμῆς τε καὶ τιμωρίας ἴσον ἀφέστηκεν, οὔπω ἀρετή." „πῶς οὖν, ὦ Θεσπεσίων," εἶπε „στεφανώσομεν τὸν δίκαιον, ἢ τί πράττοντα;" „ἐλλιπέστερον" ἔφη „καὶ προσφορώτερον ἂν ὑπὲρ δικαιοσύνης ἐσπουδάσατε, ἢ ὁπότε βασιλεὺς τοσῆσδέ τε καὶ οὕτως εὐδαίμονος χώρας ἄρχων ἐπέστη φιλοσοφοῦσιν ὑμῖν ὑπὲρ τοῦ βασιλεύειν, δικαιοτάτου κτήματος;" „εἰ ὁ Φραώτης" εἶπεν „ὁ ἀφικόμενος ἦν, ὀρθῶς ἂν ἐμέμφου τὸ 262
μὴ ὑπὲρ δικαιοσύνης ἐπ' αὐτοῦ σπουδάσαι, ἐπεὶ δὲ εἶδες τὸν ἄνθρωπον ἐν οἷς χθὲς ὑπὲρ αὐτοῦ διήειν μεθύοντα καὶ ἀχθόμενον φιλοσοφίᾳ πάσῃ, τί ἔδει παρέχειν ὄχλον; τί δ' αὐτοὺς ἔχειν φιλοτιμουμένους ἐπ' ἀνθρώπου σύβαριν ἡγουμένου πάντα; ἀλλ' ἐπεὶ σοφοῖς ἀνδράσιν, ὥσπερ ἡμῖν, ἰχνευτέα ἡ δικαιοσύνη μᾶλλον ἢ βασιλεῦσί τε καὶ στρατηγοῖς, ἴωμεν ἐπὶ τὸν ἀτεχνῶς δίκαιον. ὃ γὰρ ἐμαυτόν τε ἡγούμην, ὁπότε ἡ ναῦς, ἑτέρους τε, οἳ μὴ ἀδίκων ἅπτονται, οὕπω δικαίους φατέ, οὐδ' ἀξίους τιμᾶσθαι." „καὶ εἰκότως" εἶπεν „οὐδὲ γὰρ ἂν Ἀθηναίοις ποτὲ ἢ Λακεδαιμονίοις ἐγράφη γνώμη τὸν δεῖνα στεφανοῦν, ἐπεὶ μὴ τῶν ἡταιρηκότων ἐστίν, ἢ τὸν δεῖνα ποιεῖσθαι πολίτην, ἐπεὶ μὴ τὰ ἱερὰ ὑπ' αὐτοῦ συλᾶται. τίς οὖν ὁ δίκαιος καὶ ὅ τι πράττων; οὐδὲ γὰρ ἐπὶ δικαιοσύνῃ τινὰ στεφανωθέντα οἶδα, οὐδὲ γνώμην ἐπ' ἀνδρὶ δικαίῳ γραφεῖσαν, ὡς τὸν δεῖνα χρὴ στεφανοῦν, ἐπειδὴ τὸ δεῖνα πράττων δίκαιος φαίνεται, τὰ μὲν γὰρ Παλαμήδους ἐνθυμηθέντι τὰ ἐν Τροίᾳ καὶ τὰ Σωκράτους τὰ Ἀθήνησιν οὐδ' εὐτυχεῖν ἡ δικαιοσύνη δόξει παρὰ τοῖς ἀνθρώποις, ἀδικώτατα γὰρ δὴ οἵδε ἔπαθον δικαιότατοι ὄντες. πλὴν ἀλλ' οὗτοι μὲν ἐπὶ δόξῃ ἀδικημάτων ἀπώλοντο ψήφου παρὰ τὸ εὐθὺ ἐνεχθείσης, Ἀριστείδην δὲ τὸν Λυσιμάχου καὶ αὐτή ποτε ἡ δικαιοσύνη ἀπώλλυ καὶ ἀνὴρ τοιόσδε ἐπὶ τοιᾷδε ἀρετῇ φεύγων ᾤχετο. καὶ ὡς μὲν γελοία ἡ δικαιοσύνη δόξει, γιγνώσκω, τεταγμένη γὰρ ὑπὸ Διός τε καὶ Μοιρῶν ἐς τὸ μὴ ἀδικεῖσθαι τοὺς ἀνθρώπους οὐδαμοῦ ἑαυτὴν ἐς τὸ μὴ αὐτὴ ἀδικεῖσθαι τάττει. ἐμοὶ δὲ ἀπόχρη τὰ τοῦ Ἀριστείδου ἐς τὸ δη- 263
λῶσαι, τίς μὲν ὁ μὴ ἄδικος, τίς δὲ ὁ δίκαιος· εἰπὲ γάρ μοι, οὐχ οὗτος Ἀριστείδης ἐκεῖνος, ὃν φατε ὑμεῖς οἱ ἀπὸ Ἑλλήνων ἥκοντες πλεύσαντα ἐς τὰς νήσους ὑπὲρ τῶν φόρων ξυμμέτρους τε αὐτοὺς τάξαι καὶ ξὺν τῷ αὐτῷ ἐπανελθεῖν τρίβωνι;" „οὗτος", εἶπε „δι' ὃν καὶ πενίας ἔρως ποτὲ ἦνθησεν". „εἰ οὖν," ἔφη „δύο Ἀθήνησι δημαγωγοὶ γενοίσθην ἐπαινοῦντες τὸν Ἀριστείδην ἄρτι ἐκ τῆς ξυμμαχίδος ἥκοντα, καὶ ὁ μὲν γράφοι στεφανοῦν αὐτόν, ἐπειδὴ μὴ πλουτῶν ἀφῖκται μηδὲ βίον ἑαυτῷ ξυνειλοχὼς μηδένα, ἀλλὰ πενέστατος μὲν Ἀθηναίων, πενέστερος δὲ ἑαυτοῦ, ὁ δ' αὖ τοιουτονί τι γράφοι ψήφισμα· ἐπειδὴ Ἀριστείδης οὐχ' ὑπὲρ τὸ δυνατὸν τῶν ξυμμάχων τάξας τοὺς φόρους, ἀλλ' ὡς ἕκαστοι γῆς ἔχουσι, τῆς τε ὁμονοίας αὐτῶν ἐπεμελήθη τῆς πρὸς Ἀθηναίους καὶ τοῦ μὴ ἀχθομένους δοκεῖν φέρειν ταῦτα, δεδόχθω στεφανοῦν αὐτὸν ἐπὶ δικαιοσύνῃ, ἆρ' οὐκ ἄν σοι

1. ἡγοίμην. p. ἡγούμην. π, 2, E. 2. λοχήσῃ. a. ib. μὲν om. p. 3. ἐπιθοῖντο. π, s, E. ἐπιθεῖντο. p, s, l, a. Ser. ἐπίθοιντο. ib. αὐτοῖς. v. ib. ξυνέθεντο δ'. 1. ξυνέθεντο. 2, E. ib. ἦδ' ὃς ὁ. m. 4. εἶναι om. 1. 5. ἔδοξε. p. pr. m. 6. ἀνδρία. p. ib. ἐκπίπτειν. C et m. γρ. ἐμπίπτειν. E. 7. οὔτ' ἄξιον. p. ib. ἴσον om. s, a. 8. εἶπεν ὁ Θ. p. ὁ Θ. εἶπεν. a. εἶπεν om. l. ib. τὸν δίκαιον om. a. 9. ἐλλιπέστερον. f, v, l. ib. ἢ om. o. 10. τοσῆς δὲ. o. ib. ἡμῖν. l, a, m. 11. ὁ om. 2. 13. ἔδειν. f, s, a, m. ib. ἔχει. 2, a, m et p. ante corr. 14. ἡμῖν. p, 2, E. ὑμῖν. π. 15. ἰχνητέα. p. 16. ἅπτωνται. l, s, a. ib. δικαίους οὔπω. o. 17. οὐ γὰρ. p. 21. τὸν δεῖνα. v. 22. παρ' ἀνθρώποις. v. 23. δὴ om. p. ib. οἵδε om. p. 25. ἀπώλεσε. p. ἀπόλλυ. o. 26. δόξει. 1. δόξοι. 2, E. 27. οὐδαμῶς. v. ib. αὐτὴ. 1. αὐτὴν. 2, E. 30. τῷ om. l, s, a, m. 31. εἰ μὲν. π et m. γρ. ib. δύο. p. δύ'. E. ib. γενέσθην. p. 32. γράφοι. 1, f, v. γράφει. l, s, E. 33. ξυνειληχὼς. C, E. Ser. ξυνειλοχώς. ib. πενέστατος. v. 34. γράφοι. 1. γράφει. 2, E. ib. τῶν δυν. ξυμμάχων τάξας φόρους. v. 35. τὸ μὴ. l, s, a, m. 36. δοκεῖν. om. m.

δοκεῖ τῇ μὲν προτέρᾳ γνώμῃ κἂν ἀντειπεῖν αὐτός, ὡς οὐκ ἀξίᾳ τῶν ἑαυτῷ βεβιωμένων, εἰ ἐφ' οἷς οὐκ ἀδικεῖ τιμῷτο, τήν δ' ἴσως ἂν καὶ αὐτὸς ἐπαινέσαι, στοχαζομένην ὧν διενυήθη; βλέψας γάρ που ἐς τὸ Ἀθηναίων τε καὶ τῶν ὑπηκόων ξυμφέρον ἐπεμελήθη τῆς ξυμμετρίας τῶν φόρων καὶ τοῦτο μετὰ τὸν Ἀριστείδην ἐδείχθη μᾶλλον· ἐπειδὴ γὰρ παραβάντες Ἀθηναῖοι τοὺς ἐκείνῳ δόξαντας βαρυτέρους ἐπέγραψαν ταῖς νήσοις, διεσπάσθη μὲν αὐτοῖς ἡ ναυτικὴ δύναμις, ἧ μάλιστα φοβεροὶ ἦσαν, παρῆλθε δὲ ἡ Λακεδαιμονίων ἐς τὴν θάλατταν, ξυνέμεινε δὲ τῆς δυνάμεως οὐδέν, ἀλλ' ἅπαν τὸ ὑπήκοον ἐς νεώτερα ὥρμησε καὶ ἀποστροφῆς ἥψατο. δίκαιος οὖν, ὦ Ἀπολλώνιε, κατὰ τὸν εὐθὺν λόγον οὐχ ὁ μὴ ἄδικος, ἀλλ' ὁ δίκαια μὲν αὐτὸς πράττων, καθιστὰς δὲ καὶ ἑτέρους ἐς τὸ μὴ ἀδικεῖν, καὶ φύσονται τῆς τοιαύτης δικαιοσύνης καὶ ἄλλαι μὲν ἀρεταί, μάλιστα δὲ
264 ἡ δικαστικὴ τε καὶ ἡ νομοθετική. δικάσει μὲν γὰρ τοιόσδε πολλῷ δικαιότερον ἢ οἱ κατὰ τῶν τομίων ὀμνύντες, νομοθετήσει δέ, ὥσπερ οἱ Σόλωνές τε καὶ οἱ Λυκοῦργοι, καὶ γὰρ δὴ κἀκείνοις τοῦ γράψαι νόμους δικαιοσύνη ἦρξεν."

Τοσαῦτα ὁ Λάμις διαλεχθῆναί φησιν αὐτοὺς ὑπὲρ ἀνδρὸς δικαίου, καὶ τὸν Ἀπολλώνιον ξυμ-
XXII φῆσαι τῷ λύγῳ, τοῖς γὰρ ὑγιῶς λεγομένοις ξυμβαίνειν. φιλοσοφήσαντες δὲ καὶ περὶ ψυχῆς, ὡς ἀθάνατος εἴη, καὶ περὶ φύσεως παραπλήσια ταῖς Πλάτωνος [ἐν Τιμαίῳ] δόξαις, περί τε τῶν παρ' Ἕλλησι νόμων πλείω διαλεχθέντες „ἐμοὶ" εἶπεν ὁ Ἀπολλώνιος „ἡ δεῦρο ὁδὸς ὑμῶν τε ἕνεκα καὶ τῶν τοῦ Νείλου πηγῶν ἐγένετο, ἃς μέχρι μὲν Αἰγύπτου προελθόντι ξυγγνώμη ἀγνοῆσαι, προχωρήσαντι δὲ ἐπ' Αἰθιοπίαν, ὃν ἐγὼ τρόπον, κἂν ὄνειδος φέροι τὸ παρελθεῖν αὐτὰς καὶ μὴ ἀρύσασθαί τινας αὐτῶν λόγους." „ἴθι χαίρων" ἔφη „καὶ ὅ τι σοι φίλον, εὔχου ταῖς πηγαῖς, θεῖα γάρ. ἡγεμόνα δὲ οἶμαι ποιήσῃ τὸν πάλαι Ναυκρατίτην, νῦν δὲ Μεμφίτην, Τιμασίωνα, τῶν τε γὰρ πηγῶν ἐθὰς οὗτος καὶ οὕτω τι καθαρός, ὡς μὴ δεῖσθαι τοῦ ῥαίνεσθαι. σοὶ δέ, ὦ Νεῖλε, βουλόμεθα ἐφ' ἑαυτῶν διαλεχθῆναί τι." ὁ μὲν δὴ νοῦς τῶν λόγων οὐκ ἀφανὴς ἦν τῷ Ἀπολλωνίῳ, ξυνίει γὰρ αὐτῶν δυσχερῶς διακειμένων, ἐπειδὴ ἦρα αὐτοῦ ὁ Νεῖλος, ἐξιστάμενος δὲ αὐτοῖς τῆς διαλέξεως ἀπῄει συσκευαζόμενος, ὡς ἐξελῶν ἅμα τῇ ἕῳ, μετ' οὐ πολὺ δὲ ἧκων ὁ Νεῖλος, ἀπήγγειλε μὲν οὐδὲν ὧν ἤκουσεν, ἐφ' ἑαυτοῦ δὲ θαμὰ ἐγέλα· ἠρώτα δ' οὐδεὶς ὑπὲρ τοῦ γέλωτος, ἀλλ' ἐφείδοντο τοῦ ἀπορρήτου.

XXIII Τότε μὲν δὴ δειπνήσαντες καὶ διαλεχθέντες οὐχ ὑπὲρ μεγάλων αὐτοῦ ἐκοιμήθησαν, ἅμα δὲ τῇ ἡμέρᾳ τοὺς Γυμνοὺς προσειπόντες ἐπορεύοντο τὴν ἐς τὰ ὄρη τείνουσαν ἀριστεροὶ τοῦ Νείλου,
265 τάδε ὁρῶντες λόγου ἄξια· οἱ Κατάδουποι γεώδη ὄρη καὶ παραπλήσια τῷ Λυδῶν Τμώλῳ, κατάρρους δὲ ἀπ' αὐτῶν φέρεται Νεῖλος, ἣν ἐπισπᾶται γῆν ποιῶν Αἴγυπτον. ἡ δὲ ἠχὼ τοῦ ῥεύματος καταρρηγνυμένου τῶν ὀρῶν καὶ ψόφῳ ἅμα ἐς τὸν Νεῖλον ἐκπίπτοντος χαλεπὴ δοκεῖ καὶ οὐκ ἀνεκτὴ
XXIV ἀκοῦσαι, καὶ πολλοὶ τῶν πρόσω τοῦ μετρίου προελθόντες ἀνέξεξαν ἀποβαλόντες τὸ ἀκούειν. προιόντι δὲ τῷ Ἀπολλωνίῳ καὶ τοῖς ἀμφ' αὐτὸν μαστοὶ ὀρῶν ἐφαίνοντο παρεχόμενοι δένδρα, ὧν Αἰθίοπες τὰ φύλλα καὶ τὸν φλοιὸν καὶ τὸ δάκρυον καρπὸν ἡγοῦνται, ἑώρων δὲ καὶ λέοντας ἀγχοῦ τῆς ὁδοῦ καὶ παρδάλεις καὶ τοιαῦτα θηρία ἕτερα, καὶ ἐπῄει οὐδὲν αὐτοῖς, ἀλλ' ἀπεπήδα σφῶν,

1. δοκῇ. E. ib. ὡς om. p, v. ib. εἰ. 1, f, φ, B. ἢ. r, v, l, s, a, m. ᾗ. o. 2. οὐκ om. a, m. ib. στοχαζομένην. o. στοχαζόμενος. C, a, m. 3. τῶν Ἀθ. v. 8. εὐθὺν. π. εὐθύ. p, s, v, a, m. εὐθῆ. f, l, o. 9. τοιᾶσδε. p. 10. δικάσει. π. δικάζει. p, 2, E. ib. πολλῷ. 1. καὶ πολλῷ. 2, E. ib. τιμίων. π. 12. νόμους. 1. νόμον. 2, E. 13. τοιαῦτα. o. 14. φιλοσοφήσαντος. v. 15. παραπλήσια — περί τε om. 2, a; s. sec. m. habet in mg. ib. ἐν Τιμαίῳ glossema videtur, quamobrem uncis inclusi. 17. οὖς. v. 18. καὶ ὄνειδος φέρει. v. ib. φέρῃ. a, o. φέρει. m. ib. καί μοι. v. 21. σὺ δὲ. p. 12. ἐφ' ἑαυτῶν. π. ἀφ' αὐτῶν. l. ἐφ' αὐτῶν. p, f, v, s, a. ἐφ' αὐτῶν. m, o. 24. ἐξελῶν π. ἐξελῶν. p, f, E. ἐλέγξων. l, v, s. 25. ἑαυτοῦ. 1. ἑαυτὸν. 2, E.

27. συνδιατρίψας δὲ ἐπ' ὀλίγον χρόνον τοῖς Γυμνοῖς καὶ προσειπὼν ἅμα τοῖς σὺν αὐτῷ ἐπορεύοντο — ὑπὲρ ξυμμετρίας τοῦ Νείλου. Φ. (330, a, 19.) ib. δὲ om. m, o. 29. γεώδη. 1, Φ. εἰσὶ γεώδη. 2, E. ib. καὶ om. Φ. ib. τῷ Λυδῶν. 1, f, v, l. τῶν Λυδῶν. s, fc. τῷ τῶν Λυδῶν. E. τῷ Λυδῷ. Φ. 30. ἀπ' αὐτῶν. 1, f, v, Φ. ἐπ' αὐτῶν. l, s, E. 31. ἅμα om. p. 32. ἐλθόντες. p. προσελθόντες. Φ. ib. ἀνέξευξαν. l. ib. ἀποβάλλοντες. Φ. 33. μασθοί. p. ib. ἐφαίνοντο om. fc, a, m. ib. παραδεχόμενοι. v. 35. παρδάλεις. 1. Φ. πορδάλεις. π. mg. 2. E. ib. ἕτερα. ἐπήει δὲ. Φ. ib. ἐπήδα. f.

VI. 22 23. 24. p. 261. 265

ὥσπερ ἐκπεπληγμένα τοὺς ἀνθρώπους, ἔλαφοι δὲ καὶ δορκάδες καὶ στρουθοὶ καὶ ὄνοι πολλὰ μὲν καὶ ταῦτα ἑωρᾶτο, πλεῖστα δὲ οἱ βόαγροί τε καὶ οἱ βούτραγοι· ξύγκειται δὲ τὰ θηρία ταῦτα τὸ μὲν ἐλάφου τε καὶ ταύρου, τὸ δὲ ἀφ' ὧνπερ τὴν ἐπωνυμίαν ἤρηκε. καὶ ὀστοῖς δὲ τούτων ἐνετύγχανον καὶ ἡμιβρώτοις σώμασιν, οἱ γὰρ λέοντες, ἐπειδὰν θερμῆς τῆς θήρας ἐμφορηθῶσιν, ἀτιμάζουσιν αὐτῆς τὰ περιττά, πιστεύοντες, οἶμαι, τὸ καὶ αὖθις θηράσειν. ἐνταῦθα νομάδες οἰκοῦσιν Αἰθίοπες ἐφ' ἁμαξῶν πεπολισμένοι, καὶ πλησίον τούτων οἱ τοὺς ἐλέφαντας θηρῶντες, κατακόπτοντες δὲ αὐτοὺς ποιοῦνται ἀγοράν, ὅθεν ἐπώνυμοι εἰσι τῆς τῶν ἐλεφάντων βρώσεως. Νασαμῶνες δὲ καὶ Ἀνδροφάγοι καὶ Πυγμαῖοι καὶ Σκιάποδες ἔθνη μὲν Αἰθιόπων καὶ οἵδε, καθήκουσι δὲ ἐς τὸν Αἰθίοπα Ὠκεανόν, ὃν μόνον ἐσπλέουσιν οἱ ἀπενεχθέντες ἄκοντες. XXV 266

Διαλεγομένους δὲ ὑπὲρ τῶν θηρίων τοὺς ἄνδρας καὶ φιλοσοφοῦντας ὑπὲρ τῆς φύσεως ἄλλο ἄλλως βοσκούσης ἠχὼ προσέβαλεν οἷον βροντῆς οὔπω σκληρᾶς, ἀλλὰ κοίλης ἔτι καὶ ἐν τῷ νέφει. καὶ ὁ Τιμασίων „ἐγγὺς" ἔφη „ὁ καταρράκτης, ὦ ἄνδρες, ὁ κατιόντων μὲν ὕστατος, ἀνιόντων δὲ πρῶτος." καὶ στάδια δέκα ἴσως προελθόντες ἰδεῖν φασι ποταμὸν ἐκδιδόμενον τοῦ ὄρους μείω οὐδὲν ἢ ἐν πρώταις ξυμβολαῖς ὁ Μαρσύας καὶ ὁ Μαίανδρος, προσευξάμενοι δὲ τῷ Νείλῳ χωρεῖν πρόσω καὶ θηρία μὲν οὐκέτι ὁρᾶν, ψοφοδεᾶ γὰρ φύσει ὄντα προσοικεῖν τοῖς γαληνοῖς μᾶλλον ἢ τοῖς ῥαγδαίοις τε καὶ ἐνήχοις, ἑτέρου δὲ καταρράκτου ἀκοῦσαι μετὰ πεντεκαίδεκά που στάδια χαλεποῦ ἤδη καὶ οὐκ ἀνεκτοῦ αἰσθέσθαι, διπλασίω μὲν γὰρ εἶναι αὐτὸν τοῦ προτέρου, ὀρῶν δὲ ὑψηλοτέρων ἐκπίπτειν. ἑαυτοῦ μὲν οὖν καί τινος τῶν ἑταίρων οὕτω τι κτυπηθῆναι τὰ ὦτα ὁ Δάμις φησίν, ὡς αὐτός γε ἀναζεῦξαι τοῦ τε Ἀπολλωνίου δεῖσθαι μὴ χωρεῖν πρόσω, τὸν δὲ ἐρρωμένως ξύν τε τῷ Τιμασίωνι καὶ τῷ Νείλῳ τοῦ τρίτου καταρράκτου ἔχεσθαι, περὶ οὗ τάδε ἀπαγγεῖλαι ἥκοντα· ἐπικρέμασθαι μὲν τῷ Νείλῳ κορυφὰς ἐκεῖ σταδίων μάλιστα ὀκτὼ ὕψος, τὴν δὲ ὄχθην τὴν ἀντικειμένην τοῖς ὄρεσιν ὀφρὺν εἶναι λιθοτομίας ἀρρήτου, τὰς δὲ πηγὰς ἀποκρεμαννυμένας τῶν ὀρῶν ὑπερπίπτειν ἐς τὴν πετρώδη ὄχθην, ἀναχεῖσθαι δὲ ἐκεῖθεν ἐς τὸν Νεῖλον κυμαινούσας τε καὶ λευκάς. τὰ δὲ πάθη τὰ περὶ αὐτὰς ξυμβαίνοντα πολλαπλασίας ἢ αἱ πρότεραι οὔσας καὶ τὴν πηδῶσαν ἐκ τούτων ἠχὼ ἐς τὰ ὄρη δυσήκοον ἐργάζεσθαι την ἱστορίαν τοῦ ῥεύματος. τὴν δὲ πρόσω ὁδὸν τὴν ἐπὶ τὰς πρώτας πηγὰς ἄγουσαν ἄπορον μὲν ἐλθεῖν φασιν, ἄπορον δὲ ἐνθυμηθῆναι, πολλὰ γὰρ καὶ περὶ δαιμόνων ᾄδουσιν, οἷα καὶ Πινδάρῳ κατὰ σοφίαν ὕμνηται περὶ τοῦ δαίμονος, ὃν ταῖς πηγαῖς ταύταις ἐφίστησιν ὑπὲρ ξυμμετρίας τοῦ Νείλου. XXVI 267

Καταλύσαντες δὲ μετὰ τοὺς καταρράκτας ἐν κώμῃ τῆς Αἰθιοπίας οὐ μεγάλῃ ἐδείπνουν μὲν περὶ ἑσπέραν ἐγκαταμιγνύντες σπουδὴν παιδιᾷ, βοῆς δὲ ἀθρόας τῶν ἐν τῇ κώμῃ γυναικῶν ἥκουσαν ἐπικελευομένων ἀλλήλαις ἑλεῖν καὶ διῶξαι, παρεκάλουν δὲ καὶ τοὺς αὐτῶν ἄνδρας ἐς κοινωνίαν τοῦ ἔργου, οἱ δ' ἁρπασάμενοι ξύλα καὶ λίθους καὶ ὅ τι ἐς χεῖρας ἑκάστῳ ἔλθοι, ξυνεκάλουν ὥσπερ ἀδικούμενοι τοὺς γάμους. ἐπεφοίτα δὲ ἄρα τῇ κώμῃ δέκατον ἤδη μῆνα σατύρου φάσμα λυττῶν ἐπὶ τὰ γύναια, καὶ δύο ἀπεκτονέναι σφῶν ἐλέγετο, ὧν μάλιστα ἐδόκει ἐρᾶν. ἐκπλαγέντων οὖν τῶν ἑταίρων „μὴ δέδιτε", εἶπεν ὁ Ἀπολλώνιος „ὑβρίζει γάρ τις ἐνταῦθα σάτυρος". „νὴ Δί'", XXVII

2. καὶ ταῦτα. Φ. καὶ ἄλλα. C, E. ib. βούτραχοι. v. 3. καὶ τράγου. Φ. ib. ἀφ' ὧν. v. ib. εὕρηκε. ΦB. ἤρηκεν. p. 6. πεπολιωμένοι. Φ praeter A, B. ib. θηρῶντες. 1, Φ. θηρῶσι. 2, E. 9. οἱ om. Φ.

11. προσέβαλλεν. Φ. ib. σκηρᾶς. l. 12. ὁ καταράκτης ὁ πρῶτος μὲν ἀνιόντων, ὕστατος δὲ κατιόντων. τέσσαρες δ' ἄρα οἱ καταρράκται. στάδια δὲ ἴσως προελθόντες δέκα ἰδεῖν. Φ. 13. προσελθόντες. f, v. 14. Μαίανδρος. χωροῦντες δὲ πρόσω θηρία. Φ. ib. εἴσω καὶ. v. 15. γαληνοῖς μᾶλλον. π. γαληνοῖς ὕδασι μᾶλλον. p, 2, E, Φ. 16. δὲ om. s, a. ib. ἀκοῦσαι καὶ. v. ib. ἀκοῦσαι. ΦA. ἀκούεσθαι. Φ praeter A. 17. διπλασίω. 1, m, o. διπλάσιον. f, v, l. Φ. διπλασίαν. a. 18. ἑαυτὸν. f, v, l. Φ. ib. οὖν om. π. ib. τινας. Φ. ib. ἑτέρων. p. ib. κτυπηθῆναι. 1 et s sec. m. corr. ἐκτυπηθῆναι. 2, E. ἐγκτυπηθῆναι. Φ. 19. αὐτός τε. Φ. ib. πρόσω χωρεῖν. Φ. ib. καὶ ἑτέρῳ τινὶ τοὔνομα Νείλῳ. Φ. 20. ἐπικρεμᾶσθαι. Φ. 21. δὲ om. l. 24. αἱ πρότερον. s, a, m. αἱ προτέραι. o.

29. καταλύσαντας. v. 31. ἀλλήλας. v, l, s, a. ib. αὐτῶν. l, s. αὐτῶν. E. 32. ἑκάστῳ ἐς χεῖρας. v. 34. δύο. p. v. δύ'. E. 35. δέδιττε. p, f, v et m. γρ. ib. Δία. p.

VI, 25. 26. 27 p. 266. 267.

ἔφη ὁ Νεῖλος „ὂν γε ἡμεῖς οἱ Γυμνοὶ χρόνῳ ἤδη ὑβρίζοντα μήπω μετεστήσαμεν τοῦ σκιρτᾶν". „ἀλλ' ἔστιν" εἶπεν „ἐπὶ τοὺς ὑβριστὰς τούτους φάρμακον, ᾧ λέγεται Μίδας ποτὲ χρήσασθαι· μετεῖχε μὲν γὰρ τοῦ τῶν σατύρων γένους ὁ Μίδας οὗτος, ὡς ἐδήλου τὰ ὦτα, σάτυρος δὲ ἐπ' αὐτὸν εἷς κατὰ τὸ ξυγγενὲς ἐκώμαζε τὰ τοῦ Μίδου διαβάλλων ὦτα, καὶ οὐ μόνον ᾄδων, ἀλλὰ καὶ αὐλῶν τούτω, ὁ δ', οἶμαι, τῆς μητρὸς ἀκηκοώς, ὅτι σάτυρος οἴνῳ θηρευθείς, ἐπειδὰν ἐς ὕπνον καταπέσῃ, σωφρονεῖ καὶ διαλλάττεται, κρήνην τὴν οὖσαν αὐτῷ περὶ τὰ βασίλεια κεράσας οἴνῳ ἐπαφῆκεν αὐτῇ τὸν σάτυρον, ὁ δὲ ἔπιέ τε καὶ ἦλω. καὶ ὅτι μὴ ψεύδεται ὁ λόγος, ἴωμεν παρὰ τὸν κωμάρχην, καὶ ἣν ἔχωσιν οἱ κωμῆται οἶνον, κεράσωμεν αὐτὸν τῷ σατύρῳ, καὶ ταὐτὰ τῷ Μίδου πείσεται". ἔδοξε ταῦτα καὶ ἀμφορέας Αἰγυπτίους τέτταρας οἰνοχοήσας ἐς ληνόν, ἀφ' ἧς ἔπινε τὰ ἐν τῇ κώμῃ πρόβατα, ἐκάλει τὸν σάτυρον ἀφανῶς τι ἐπιπλήττων, ὁ δὲ οὔπω μὲν ἑωρᾶτο, ὑπεδίδου
268 δὲ ὁ οἶνος, ὥσπερ πινόμενος· ἐπεὶ δὲ ἐξεπόθη „σπεισώμεθα" ἔφη „τῷ σατύρῳ, καθεύδει γάρ." καὶ εἰπὼν ταῦτα ἡγεῖτο τοῖς κωμήταις ἐς Νυμφῶν ἄντρον, πλέθρου οὔπω ἀπέχον τῆς κώμης, ἐν ᾧ καθεύδοντα δείξας αὐτὸν ἀπέχεσθαι εἶπε τοῦ παίειν ἢ λοιδορεῖσθαί οἱ, „πέπαυται γὰρ τῶν ἀνοήτων". τοῦτο μὲν δὴ τοιοῦτον Ἀπολλωνίου, μὰ Δί', οὐχὶ ὁδοῦ πάρεργον, ἀλλὰ παρόδου ἔργον, κἂν ἐντύχῃ τις ἐπιστολῇ τοῦ ἀνδρός, ἣν πρὸς μειράκιον ὑβρίζον γράφων καὶ σάτυρον δαίμονα σωφρονίσαι φησὶν ἐν Αἰθιοπίᾳ, μεμνῆσθαι χρὴ τοῦ λόγου τούτου. σατύρους δὲ εἶναί τε καὶ ἐρωτικῶν ἅπτεσθαι μὴ ἀπιστῶμεν· οἶδα γὰρ κατὰ τὴν Λῆμνον τῶν ἐμαυτοῦ τινα ἰσηλίκων, οὐ τῇ μητρὶ ἐλέγετο τις ἐπιφοιτᾶν σάτυρος, ὡς εἰκὸς ἦν τῇ ἱστορίᾳ ταύτῃ, νεβρίδα γὰρ ξυμφυᾶ ἐᾠκει ἐνημμένῳ κατὰ τὸν νῶτον, ἧς οἱ ποδεῶνες οἱ πρῶτοι ξυνειληφότες τὴν δέρην περὶ τὸ στέρνον αὐτὸ ἀφήπτοντο. ἀλλὰ μὴ πλείω ὑπὲρ τούτων, οὔτε γὰρ ἡ πεῖρα ἀπιστητέα οὔτε ἐγώ.

XXVIII Καταβάντι δὲ αὐτῷ ἐξ Αἰθιοπίας ἡ μὲν πρὸς τὸν Εὐφράτην διαφορὰ τότε μάλιστα ἐπέδωκε ἐκ τῶν ὁσημέραι διαλέξεων, ἐπέτρεπε δὲ αὐτὰς Μενίππῳ τε καὶ Νείλῳ, σμικρὰ ἐπιτιμῶν αὐτὸς τῷ Εὐφράτῃ, τοῦ δὲ Νείλου σφόδρα ἐπεμελεῖτο.

XXIX Ἐπεὶ δὲ Τίτος ἠρήκει τὰ Σόλυμα καὶ νεκρῶν πλέα ἦν πάντα τὰ ὅμορά τε ἔθνη ἐστεφάνουν αὐτόν, ὁ δὲ οὐκ ἠξίου ἑαυτὸν τούτου, μὴ γὰρ αὐτὸς ταῦτα εἰργάσθαι, θεῷ δὲ ὀργὴν φήναντι ἐπιδεδωκέναι τὰς ἑαυτοῦ χεῖρας, ἐπῄνει ὁ Ἀπολλώνιος ταῦτα, γνώμη τε γὰρ περὶ τὸν ἄνδρα ἐφαί-
269 νετο καὶ ξύνεσις ἀνθρωπείων τε καὶ θείων, καὶ σωφροσύνης μεστὸν τὸ μὴ στεφανοῦσθαι ἐφ' αἵματι. ξυντάττει δὴ πρὸς αὐτὸν ἐπιστολήν, ἧς διάκονον ποιεῖται τὸν Λάμιν, καὶ ἐπιστέλλει ὧδε·

Ἀπολλώνιος Τίτῳ στρατηγῷ Ῥωμαίων χαίρειν.

Μὴ βουληθέντι σοι ἐπ' αἰχμῇ κηρύττεσθαι, μηδ' ἐπὶ δηίῳ αἵματι δίδωμι ἐγὼ τὸν σωφροσύνης στέφανον, ἐπειδὴ ἐφ' οἷς δεῖ στεφανοῦσθαι, γιγνώσκεις. ἔρρωσο." ὑπερησθεὶς δὲ ὁ Τίτος τῇ ἐπιστολῇ „καὶ ὑπὲρ ἐμαυτοῦ" ἔφη „χάριν οἶδά σοι καὶ ὑπὲρ τοῦ πατρός, καὶ μεμνήσομαι τούτων, ἐγὼ μὲν γὰρ Σόλυμα ἥρηκα, σὺ δὲ ἐμέ".

1. ὂν τε. 2. a. ib. μήτε. fc, a et m. γρ. ib. κατεστήσαμεν. v. 2. εἶπεῖν. s, a. 3. μὲν om. p. 4. διαβαλὼν. λ β f, v, l. διαβαλων. sic. l. (p, π.) διαβάλλων. s, E. 5. τούτω. p, l, v. τούτῳ. f. s, a, m. τοῦτο. o. 7. περὶ τὸν. p. ξ s. ταῦτα τὰ M. p. 9. ἀφ' ἧς. l. 10. ἐπιπάττων. p. 11. δὲ. p, l, s. δ'. E. ib. ἐξεπόθει. l, a. ib. σπεισόμεθα. s, E. 12. ἐν Νυμφῶν ἄντροις. 2, a. ib. οὔπω om. p. 13. εἶπεν. p. ib. λοιδορεῖσθαι ἢ παίειν om. οἱ. p. 14. Δία. p. 15. σωφρονῆσαι. p. 16. ἐπ' Αἰθιοπίᾳ. 1 et m. γρ. 17. ἰσηλίκων. Φ. (334, a, 21.) 18. τις om. a, m. ib. ἐδόκει. l, s, a, m. 19. Fo: αὐτῷ.

21. αὐτῷ om. p. ib. τότε μάλιστα ἐπέδωκε. 1. (et ψ.) ἐπέδωκε om. 2 nisi quod τότε μάλιστα. sec m. post ἐπέδωκε adjicit s. ἐπέδωκε τότε μάλιστα. a, m. ἐπέδωκε μάλιστα. o. 22. αὐτὸς. C, a, m. αὐτὸν. o. Sc.: αὐτάς. ib. σμικρὰ. p. ib. αὐτὸς om. f, v, l, a et s. pr. m.

24. ἐπεὶ δὲ Τίτος – ὅμορα ἔθνη – χεῖρας. Φ. (334, a, 22.) ib. Τίτος. E. ib. Ἱεροσόλυμα. Φ. ib. πάντων. ΦA. 27. ἐν αἵματι. v. 28. ἧ. p. ἣν. v.

30. μὴ βουληθέντι σοι. 1, f, v. μή σοι βουληθέντι. ψ. r. βουληθέντι σοι μὴ. l, s, E. 33. ῥηται. π.

Ἀναρρηθεὶς δὲ αὐτοκράτωρ ἐν τῇ Ῥώμῃ καὶ ἀριστείων ἀξιωθεὶς τούτων ἀπῆει μὲν ἰσομοιρήσων XXX
τῆς ἀρχῆς τῷ πατρί, τὸν δὲ Ἀπολλώνιον ἐνθυμηθείς, ὡς πολλοῦ ἄξιος αὐτῷ ἔσται κἂν πρὸς βραχὺ
ξυγγενόμενος, ἐδεῖτο αὐτοῦ ἐπ' Ἄργους ἥκειν, καὶ περιβαλὼν ἐλθόντα „πάντα μοι ὁ πατὴρ" ἔφη
„ἐπέστειλεν, ὧν ξύμβουλον ἐποιεῖτό σε, καὶ ἰδοὺ ἡ ἐπιστολή, ὡς εὐεργέτης τε αὐτοῦ ἐν αὐτῇ γέ-
γραψαι καὶ πᾶν ὅ τι ἐσμέν, ἐγὼ δὲ ἔτη μὲν τριάκοντα ταυτὶ γέγονα, ἀξιούμενος δὲ ὧν ὁ πατὴρ 5
ἑξηκοντούτης ὢν καὶ καλούμενος ἐς τὸ ἄρχειν πρὶν οὐκ οἶδ' εἰ ἀρχθῆναι εἰδέναι, δέδια μὴ μει-
ζόνων, ἢ ἐμὲ χρή, ἅπτωμαι." ἐπιψηλαφήσας δὲ αὐτοῦ τὸν αὐχένα ὁ Ἀπολλώνιος, καὶ γὰρ δὴ ἔρ-
ρωτο αὐτὸν ἴσα τοῖς ἀσκοῦσι τὸ σῶμα, „καὶ τίς" εἶπε „βιάσεται ταῦρον αὐχένα οὕτω κρατερὸν
ὑποσχεῖν ζυγῷ"; „ὁ ἐκ νέου" ἔφη. „μοσχεύσας με", τὸν πατέρα τὸν ἑαυτοῦ λέγων ὁ Τῖτος καὶ
τὸ ὑπ' ἐκείνου ἂν μόνου ἀρχθῆναι, ὃς ἐκ παιδὸς αὐτὸν τῇ ἑαυτοῦ ἀκροάσει ξυνείθιζε". „χαίρω" 10
εἶπεν ὁ Ἀπολλώνιος „πρῶτον μὲν παρεσκευασμένον σε ὁρῶν ἕπεσθαι τῷ πατρί, ὑφ' οὗ χαίρουσιν 270
ἀρχόμενοι καὶ οἱ μὴ φύσει παῖδες, θεραπεύσοντά τε τὰς ἐκείνου θύρας, ᾧ ξυνθεραπευθήσῃ. νεό-
τητος δὲ γήρᾳ ἅμα ἐς τὸ ἄρχειν ἰούσης τίς μὲν λύρα, τίς δὲ αὐλὸς ἡδεῖαν ὧδε ἁρμονίαν καὶ ξυγ-
κεκραμένην ἀείσεται; πρεσβύτερα γὰρ ξυμβήσεται νέοις, ἐξ ὧν καὶ γῆρας ἰσχύσει καὶ νεότης οὐκ
ἀτακτήσει." „ἐμοὶ δέ", εἶπεν ὦ Τυανεῦ, περὶ ἀρχῆς καὶ βασιλείας τί ὑποθήσῃ; „ἆ γε" ἔφη „σεαυ- 15 XXXI
τὸν πέπεικας, ὑποκείμενος γὰρ τῷ πατρὶ δῆλά που, ὡς ὁμοιώσῃ αὐτῷ· καὶ τὸν Ἀρχύτου δ' ἂν
εἶποιμι νυνὶ λόγον, γενναῖος γὰρ καὶ μαθεῖν ἄξιος· ἐγένετο ὁ Ἀρχύτας ἀνὴρ Ταραντῖνος τὰ Πυθα-
γόρου σοφός· οὗτος ὑπὲρ παίδων ἀγωγῆς γράφων „ἔστω" φησὶν „ὁ πατὴρ παράδειγμα ἀρετῆς τοῖς
παισίν, ὡς καὶ τῶν πατέρων ξυντονώτερον βαδιουμένων ἐπὶ τὰς ἀρετάς, ἣν ὁμοιῶνται σφισιν οἱ
παῖδες". ἐγὼ δέ σοι καὶ Δημήτριον ξυστήσω τὸν ἐμαυτοῦ ἑταῖρον, ὃς ξυνέσται σοι ὁπόσα βούλει, 20
διδάσκων, τί δεῖ πράττειν τῶν ἀγαθῶν." „τίς δέ", ἔφη „Ἀπολλώνιε, ἡ σοφία τοῦ ἀνδρὸς τούτου";
„παρρησία" εἶπε „καὶ τὸ ἀληθεύειν ἐκπλήττεσθαί τε ὑπὸ μηδενός, ἔστι γὰρ τοῦ Κυνικοῦ κράτους".
δυσχερῶς δὲ τοῦ Τίτου τὸν κύνα ἀκούσαντος „Ὁμήρῳ μέντοι" ἔφη „νέος ὢν ὁ Τηλέμαχος καὶ
δυοῖν ἐδόκει κυνῶν δεῖσθαι καὶ ξυμπέμπειν αὐτοὺς ὀπαδοὺς τῷ μειρακίῳ ἐς τὴν τῶν Ἰθακησίων
ἀγορὰν καίτοι ἀλόγους ὄντας, σοὶ δὲ ξυνέσται κύων, ὃς ὑπὲρ σοῦ τε πρὸς ἑτέρους καὶ πρὸς αὐ- 25
τόν σε, εἴ τι ἁμαρτάνοις, σοφῶς ἅμα καὶ οὐδὲ ἀλόγως ὑλακτήσει". „δίδου" εἶπε „τὸν ὀπαδὸν
κύνα, ξυγχωρῶ δὲ αὐτῷ καὶ δακεῖν, εἴ τι με ἀδικοῦντα αἴσθοιτο". „γέγραπται" ἔφη „πρὸς αὐ-
τὸν ἐπιστολή, φιλοσοφεῖ δὲ ἐπὶ τῆς Ῥώμης". „γεγράφθω", εἶπεν „ἐβουλόμην δ' ἂν καὶ πρὸς σὲ
ὑπὲρ ἐμοῦ τινα γράφειν, ὡς ἅμα τῆς ἐς τὴν Ῥώμην ὁδοῦ κοινωνὸς ἡμῖν γένοιο". „ἀφίξομαι",
ἔφη „ὑπότε ἀμφοῖν λῷον". μεταστησάμενος δὲ ὁ Τῖτος τοὺς παρόντας „αὐτοί" εἶπεν „ὦ Τυανεῦ, 30 271 XXXII
γεγόναμεν, ξυγχωρεῖς γάρ που ἐρωτᾶν ὑπὲρ τῶν ἐμοὶ σπουδαιοτάτων"; „ἐρώτα", ἔφη „καὶ το-
σούτῳ προθυμότερον, ὅσῳ ὑπὲρ μειζόνων". „περὶ ψυχῆς" εἶπε „τῆς ἐμαυτοῦ, καὶ οὓς μάλιστα
φυλαττοίμην ἄν, ἔσται μοι ἡ ἐρώτησις, εἰ μὴ δόξω δειλὸς δεδιὼς ἤδη ταῦτα". „ἀσφαλὴς μὲν
οὖν" ἔφη „καὶ ἐφεστηκώς, προορᾶν γὰρ τούτου χρὴ μάλιστα". καὶ ἐς τὸν ἥλιον ἀναβλέψας ὤμνυ
αὐτόν, ἢ μὴν αὐτὸς μέλλειν ὑπὲρ τούτων πρὸς αὐτὸν λέξειν μηδὲ ἐρωτῶντα, τοὺς γὰρ θεοὺς φῆναί οἱ, 35
προειπεῖν αὐτῷ ζῶντος μὲν τοῦ πατρὸς δεδιέναι τοὺς ἐκείνῳ πολεμιωτάτους, ἀποθανόντος δὲ τους
ἑαυτῷ οἰκειοτάτους. „ἀποθανοῦμαι δὲ" εἶπε „τίνα τρόπον"; „ὃν γε" ἔφη „Ὀδυσσεὺς λέγεται, φασὶ

2. αὐτῷ. E. 3. περιβαλὼν οὖν. v. ib. μοι om. v. 4. ἀπέστειλεν. l, v. 5. ἔτι. l. 6. οὐκ οἶδ' εἰ πρὶν. o. 8. κρατερὸν. π. καρτερὸν. p, 2, E. 9. ὃ. p. 10. αὐτῷ. π, v. ib. χαίρω. 1, f. χαίρω οὖν. f. pr. m. l, s, E. χαίρων. v. 11. παρασκευασμένον. s, a. 12. θεραπεύσαντα. v. 14. ξυμβλήσεται. p. ib. ἰσχύει. v. 15. ὑποθήσει. v. ib. ἄγε. E. corr. J ad Vers. germ. 16. δ' ἂν om. p. δὲ ἄν. f, v, l. δὲ om. s, a, m. 21. τὸν ἀγαθὸν. 1, l ex corr. τῶν ἀγαθῶν. 2, E. 24. ξυμπέμπει. B. ib. ὀπαδοὺς. l. m. idem 26. 26. σοφῶς. π, 2, E, σαφῶς. p, J. ib. σε om. p. 27. αὐτῷ. 1. αὐτὸν. 2, E. ib. Fo: γεγράψεται. 29. γράφειν τινα. v. ib. τῆς ἐς. p. τῆς τε ἐς. π, 2, E. 31. τῶν ἐμαυτοῦ. p. ib. σπουδαιοτάτων. p. ib. τοσοῦτο. f, s et l ante corr. τοσοῦτον. v. 32. ὅσον. f, v, s. 33. ἢ om. p. 35. μὴ ἐρωτῶντα. p. 37. Ὀδυσεὺς. v. ut statim.

VI, 30 31 32. p. 270. 271.

γὰρ κἀκείνῳ τὸν θάνατον ἐκ θαλάττης ἐλθεῖν". ταῦτα ὁ Δάμις ὧδε ἑρμηνεύει· φυλάττεσθαι μὲν αὐτὸν τὴν αἰχμὴν τῆς τρυγόνος, ἣ τὸν Ὀδυσσέα βεβλῆσθαί φασι, δυοῖν δὲ ἐτοῖν μετὰ τὸν πατέρα τὴν ἀρχὴν κατασχόντα ὑπὸ τοῦ θαλαττίου λαγὼ ἀποθανεῖν, τὸν δὲ ἰχθὺν τοῦτον παρέχεσθαι χυμοὺς ἀπορρήτους ὑπὲρ πάντα τὰ ἐν τῇ θαλάττῃ καὶ γῇ ἀνδροφόνα, καὶ Νέρωνα μὲν ἐσποιῆσαι τοῖς ἑαυτοῦ ὄψοις τὸν λαγὼν τοῦτον ἐπὶ τοὺς πολεμιωτάτους, Δομετιανὸν δὲ ἐπὶ τὸν ἀδελφὸν Τίτον, οὐ τὸ ξὺν ἀδελφῷ ἄρχειν δεινὸν ἡγούμενον, ἀλλὰ τὸ ξὺν πράῳ τε καὶ χρηστῷ. τοιαῦτα διαλεχθέντες ἰδίᾳ περιέβαλον ἀλλήλους ἐν φανερῷ, ἀπιόντα δὲ προσειπὼν „νίκα, ὦ βασιλεῦ", ἔφη

XXXIII „τοὺς μὲν πολεμίους ὅπλοις, τὸν δὲ πατέρα ἀρεταῖς". ἡ δὲ πρὸς τὸν Δημήτριον ἐπιστολὴ ὧδε εἶχεν·

Ἀπολλώνιος φιλόσοφος Δημητρίῳ κυνὶ χαίρειν.

Δίδωμί σε βασιλεῖ Τίτῳ διδάσκαλον τοῦ τῆς βασιλείας ἤθους, σὺ δ' ἀληθεῦσαί τέ μοι πρὸς αὐτὸν δίδου καὶ γίγνου αὐτῷ, πλὴν ὀργῆς, πάντα. ἔρρωσο.

XXXIV 272 Οἱ δὲ τοὺς Ταρσοὺς οἰκοῦντες τὸν μὲν ἄλλον χρόνον ἤχθοντο τῷ Ἀπολλωνίῳ διά τε τὰς ἐπιπλήξεις, ἐπειδὴ ξυντόνους αὐτὰς ἐποιεῖτο, διά τε τὸ ἀνειμένοι καὶ τρυφῶντες μηδὲ τὴν τοῦ λόγου ἀνέχεσθαι ῥώμην, τότε δ' οὕτω τι ἡττήθησαν τοῦ ἀνδρός, ὡς οἰκιστήν τε αὐτὸν ἡγεῖσθαι καὶ στήριγμα τοῦ ἄστεος. ἔθυε μὲν γὰρ δημοσίᾳ ὁ βασιλεύς, ξυνελθοῦσα δὲ ἡ πόλις ἱκέτευεν ὑπὲρ τῶν μεγίστων, ὁ δὲ μεμνῆσεσθαι τούτων πρὸς τὸν πατέρα ἔφη καὶ πρεσβεύσειν αὐτὸς ὑπὲρ ὧν δέονται· παρελθὼν δὲ ὁ Ἀπολλώνιος „εἰ δὲ ἐνίους" ἔφη „τούτων ἐλέγξαιμι σοὶ μὲν καὶ πατρὶ τῷ σῷ πολεμίους, πεπρεσβευμένους δὲ ὑπὲρ νεωτέρων ἐς τὰ Σόλυμα, ξυμμάχους δ' ἀφανεῖς τῶν σοι φανερωτάτων ἐχθρῶν, τί πείσονται"; „τί δὲ ἄλλο γε", εἶπεν „ἢ ἀπολοῦνται"; „εἶτα οὐκ αἰσχρὸν" ἔφη „τὰς μὲν τιμωρίας αὐτίκα ἀπαιτεῖν, τὰς δὲ εὐεργεσίας ὀψὲ διδόναι, καὶ τὰς μὲν καθ' ἑαυτὸν ποιεῖσθαι, τὰς δὲ ἐς κοινωνίαν γνώμης ἀνατίθεσθαι"; ὑπερησθεὶς δὲ ὁ βασιλεὺς „δίδωμι τὰς δωρεάς", εἶπεν „οὐ γάρ μοι ἀχθέσεται ὁ πατὴρ ἀληθείας ἡττωμένῳ καὶ σοῦ.

XXXV Τοσαῦτα ἔθνη φασὶν ἐπελθεῖν τὸν Ἀπολλώνιον σπουδάζοντά τε καὶ σπουδαζόμενον. αἱ δὲ ἐφεξῆς ἀποδημίαι πολλαὶ μὲν ἐγένοντο τῷ ἀνδρί, οὐ μὴν τοσαῦταί γε ἔτι, οὐδὲ ἐς ἕτερα ἔθνη πλὴν ἃ ἔγνω, περί τε γὰρ τὴν ἐπὶ θαλάττῃ Αἴγυπτον καταβάντι αὐτῷ ἐξ Αἰθιοπίας διατριβὴ πλείων ἐγένετο, περί τε Φοίνικας καὶ Κίλικας Ἴωνάς τε καὶ Ἀχαιοὺς καὶ Ἰταλοὺς πάλιν οὐδαμοῦ ἐλλείποντι τὸ μὴ οὐχ ὁμοίῳ φαίνεσθαι. χαλεποῦ γὰρ τοῦ γνῶναι ἑαυτὸν δοκοῦντος χαλεπώτερον ἔγωγε ἡγοῦμαι τὸ μεῖναι τὸν σοφὸν ἑαυτῷ ὅμοιον, οὐδὲ γὰρ τοὺς πονηρῶς φύντας ἐς τὸ λῷον μεταστήσει μὴ πρότερον ἐξασκήσας τὸ μὴ αὐτὸς μεθίστασθαι. ὑπὲρ μὲν δὴ τούτων ἐν ἑτέροις λόγοις ἱκα-

273 νῶς εἴρηκα διδάσκων τοὺς μὴ μαλακῶς αὐτοῖς ὁμιλοῦντας, ὅτι τὸν ἀτεχνῶς ἄνδρα μήτε μεταστήσει τι μήτε δουλώσεται. ὡς δὲ μήτε ἐς λόγων ἴοιμεν μῆκος ἀκριβῶς ἀναδιδάσκοντες τὰ παρ' ἑκάστοις αὐτῷ φιλοσοφηθέντα μήτ' αὖ διαπηδῶντες φαινοίμεθα λόγον, ὃν οὐκ ἀπόνως παραδίδομεν τοῖς ἀπείροις τοῦ ἀνδρός, δοκεῖ μοι τὰ σπουδαιότερα ἐπελθεῖν τούτων καὶ ὁπόσα μνήμης ἀξιώσεται. ἡγώμεθα δὲ αὐτὰ παραπλήσια ταῖς τῶν Ἀσκληπιαδῶν ἐπιδημίαις.

XXXVI Μειράκιον ἑαυτοῦ μὲν ἀπαιδεύτως εἶχε, τοὺς δὲ ὄρνις ἐπαίδευε καὶ ξυνοίκους ἐπὶ σοφίᾳ ἐποιεῖτο· ἐδίδασκε δὲ αὐτοὺς λαλεῖν τε ὅσα οἱ ἄνθρωποι καὶ τερετίζειν ὅσα αὐλοί. τούτῳ περιτυχὼν

1. κακεῖνο. m. κείνῳ. v. 4. ἐσποιῆσαι. l. ἐμποιῆσαι. 2, E. 5. ἑαυτοῖς. π. ib. ἐπὶ om. 2, a. 6. οὐ τῷ. π. ib. ἅμα τῷ. 2, a. ib. ξυμπράῳ. f. ξυν πρὶ. p. 7. ἐν φανερῷ ἀλλήλους. p. 8. κυνὶ om. s, a. γρ. Σουνιεῖ est in m. et cod. epistolarum ducta lectio

10. μοι l, f, v. με. l, s. E. 11. πάντα om. 2, a.

13. τι om. π. 16. μεμνῆσθαι. C, E. Scr. μεμνήσεσθαι. 18. δ' om. 2, a. 19. ἐχθρὸν. mg. αἰσχρὸν. v. 20. εἰς καθ' ἑαυτὸν. π. εἰς ἑαυτὸν. p. ὑφ' ἑαυτῷ. f, v, l, s, E. ἐφ' ἑαυτῷ. ψ. 22. ἀχθεσθήσεται. π. ἀχθέσεται. p, 2, E. ib. πεττομένῳ. fc. πεττωμένῳ. a. πεπτωμένῳ. m.

23. τὸν Ἀπ. φασὶν ἐπελθεῖν. v. ib. ἐπελθεῖν om. l. 24. τοσαῦτά γε ἔτη. p. 25. ἐπὶ θ. l et m. γρ. ἐν θ. 2, E. 26. οὐδαμῆ. p. 29. μεθίστασθαι π, B. μὴ μεθίστασθαι. p, 2, E. 31. ἴωμεν. v. 33. σπουδαιότατα. l, s, a. 34. ἐπιθυμίαις. p.

35. μὲν ἑαυτοῦ. v. 36. τε om. a. ib. ὅσα αὐλοί. C. ὅσα οἱ αὐλοί. E.

VI, 33. 34. 35. 36. p. 272. 273.

„τί" ἔφη „ἐπιτηδεύεις"; ἐπεὶ δὲ τάς τε ἀηδόνας αὐτῷ διῇει καὶ τοὺς κοψίχους καὶ ὑπόσα εὐγλωττίζοι τοὺς χαραδρίους, τὴν φωνὴν δὲ ἀπαίδευτον ἐφαίνετο „δοκεῖς μοι" ἔφη „διαφθείρειν τοὺς ὄρνις, πρῶτον μὲν τῷ μὴ ξυγχωρεῖν αὐτοῖς τὸ ἑαυτῶν φθέγμα οὕτως ἡδὺ ὄν, ὡς μηδ' ἂν τὰ μουσικὰ τῶν ὀργάνων ἐς μίμησιν αὐτοῦ καταστῆναι, εἶτα καὶ τῷ κάκιστα Ἑλλήνων αὐτὸς διαλεγόμενος μαθητὰς αὐτοὺς ποιεῖσθαι ἀφωνίας, ἐπιτρίβεις δ', ὦ μειράκιον, καὶ τὸν σεαυτοῦ οἶκον· βλέψαντι γὰρ ἐς τοὺς ἀκολούθους καὶ ὡς κατεσκεύασαι, τῶν ἁβρῶν ἔμοιγε καὶ οὐκ ἁπλούτων φαίνῃ, τοὺς δὲ τοιούτους ὑποβλίττουσιν οἱ συκοφάνται κέντρα ἐπ' αὐτοὺς ἡρμένοι τὴν γλῶτταν. καὶ τί χρήσῃ τῇ φιλορνιθίᾳ τότε; οὐδὲ γὰρ τὰ πασῶν ἀηδόνων μέλη ξυμφέρων ἀποσοβήσεις αὐτοὺς ἐγκειμένους τε καὶ ἐρείδοντας, ἀλλ' ἐπαντλεῖν χρὴ τῶν ὄντων καὶ προβάλλειν αὐτοῖς τὸ χρυσίον, ὥσπερ τὰ μειλίγματα τοῖς κυσί, κἂν ὑλακτῶσιν, αὖθις διδόναι καὶ αὖθις, εἶτα αὐτὸν πεινῆν ὕστερον καὶ ἀπορεῖν. δεῖ δέ σοι ἐκτροπῆς λαμπρᾶς καὶ μεταβολῆς ἤδη τινὸς τῶν τρόπων, ὡς μὴ λάθῃς πτερορρυήσας τὸν πλοῦτον καὶ ἀξίως πράττων τοῦ θρηνεῖσθαι μᾶλλον ὑπ' ὀρνίθων ἢ ᾄδεσθαι. τὸ δὲ 274
φάρμακον τῆς μεταβολῆς οὐ μέγα· ἔστι γάρ τι ἐν ἁπάσαις πόλεσιν ἔθνος ἀνθρώπων, ὃ σὺ οὔπω μὲν γιγνώσκεις, καλοῦσι δὲ αὐτὸ διδασκάλους· τούτοις ἀπὸ τῆς οὐσίας μικρὰ δοὺς ἀσφαλῶς κεκτήσῃ τὰ πλείω, ῥητορικὴν γάρ σε παιδεύσουσι τὴν τῶν ἀγοραίων, ῥᾳδία δ' ἡ τέχνη. εἰ μὲν γὰρ παιδά σε ἑώρων ἔτι, ξυνεβούλευον ἂν φοιτᾶν ἐπὶ φιλοσόφων τε καὶ σοφιστῶν θύρας καὶ σοφίᾳ πάσῃ τὴν οἰκίαν τὴν σεαυτοῦ φράττειν, ἐπεὶ δὲ ἔξωρος τούτων τυγχάνεις ὤν, τὸ γοῦν ὑπὲρ σεαυτοῦ λέγειν ἔκμαθε, νομίσας, εἰ μὲν τὰ τελεώτερα ἔμαθες, κἂν ὅμοιος ἀνδρὶ ὁπλιτεύοντί τε καὶ φοβερῷ δόξαι, ταυτὶ δ' ἐκμαθὼν τὴν τῶν ψιλῶν τε καὶ σφενδονητῶν σκευὴν ἕξεις, βάλλοις γὰρ ἂν τοὺς συκοφάντας, ὥσπερ τοὺς κύνας." ξυνῆκε τὸ μειράκιον τούτων καὶ τὰς τῶν ὀρνίθων διατριβὰς ἐκλιπὸν ἐς διδασκάλων ἐβάδισεν, ὑφ' ὧν καὶ ἡ γνώμη αὐτῷ καὶ ἡ γλῶττα ἴσχυσεν.

Δυοῖν δὲ λόγοιν ἐν Σάρδεσι λεγομένοιν, τοῦ μέν, ὡς ὁ Πακτωλός ποτε τῷ Κροίσῳ ψῆγμα XXXVII
χρυσοῦ ἄγοι, τοῦ δέ, ὡς πρεσβύτερα τῆς γῆς εἴη τὰ δένδρα, τὸν μὲν πιθανῶς ἔφη πεπιστεῦσθαι, χρυσία γὰρ εἶναί ποτε τῷ Τμώλῳ ψαμμώδη καὶ τοὺς ὄμβρους αὐτὰ φέρειν ἐς τὸν Πακτωλὸν κατασύροντας, χρόνῳ δέ, ὅπερ φιλεῖ τὰ τοιαῦτα, ἐπιλιπεῖν αὐτὰ ἀποκλυσθέντα, τοῦ δ' ἑτέρου λόγου καταγελάσας „ὑμεῖς μὲν" ἔφη „προγενέστερα τῆς γῆς φατε εἶναι τὰ δένδρα, ἐγὼ δὲ πολὺν οὕτω χρόνον φιλοσοφήσας οὔπω ἔγνων οὐρανοῦ προγενεστέρους ἀστέρας" διδάσκων ὅτι μηδ' ἂν γένοιτό τι τοῦ ἐν ᾧ φύεται μὴ ὄντος.

Στασιάζοντος δὲ τὴν Ἀντιόχειαν τοῦ τῆς Συρίας ἄρχοντος καὶ καθιέντος ἐς αὐτοὺς ὑποψίας, XXXVIII
ὑφ' ὧν διειστήκεσαν ἐκκλησιαζομένη πόλις, σεισμοῦ δὲ γενναίου προσπεσόντος, ἔπτηξαν καὶ ὅπερ 275
ἐν διοσημίαις εἴωθεν, ὑπὲρ ἀλλήλων ηὔξαντο. παρελθὼν οὖν ὁ Ἀπολλώνιος „ὁ μὲν Θεὸς" ἔφη „διαλλακτὴς ὑμῶν σαφὴς γέγονεν, ὑμεῖς δὲ οὐδ' ἂν αὖθις στασιάσαιτε, τὰ αὐτὰ φοβούμενοι". καὶ κατέστησεν αὐτοὺς ἐς ἔννοιαν ὧν πείσονται, καὶ ταυτὸ τοῖς ἑτέροις φοβήσονται.

Ἄξιον δὲ καὶ τούτου ἐπιμνησθῆναι· ἔθνέ τις ὑπὲρ θησαυροῦ τῇ Γῇ καὶ οὐδὲ τῷ Ἀπολλωνίῳ XXXIX

1. ταύτας. v. ib. εὐγλωττίζοι. 1, f et v. ex corr. εὐγλωττίζει. l, s, E. 2. μοι om. v. 3. τῷ. π, B. τὸ. p, 2, E. 3. τὸ ἑαυτῶν. l, s, a, m. τὸ αὐτὸ. v. 4. καταστῆσαι. π ubi suprascr. ult. v. καταστῆσαι. a. ib. καὶ τῷ. C praeter v. καὶ τὸ. v, E. ib. αὐτοὺς λεγομένους et corr. διαλεγομένους. p. 5. αὐτοὺς om. a. ib. καὶ ἀφωνίας. p. 7. ὑπ' αὐτοὺς. v. 9. τὸν ὄντων. l. 11. ἐκτροπῆς καὶ μεταβολῆς λαμπρᾶς. p. ib. πτερορυήσας. p. 14. κτήσῃ. f, v, l. 15. παιδεύσουσι. C. παιδεύουσι. E. ib. τὴν om. p. ib. δ' om. l. 17. πράττειν. π. ib. ἐπειδὴ. a, m. ib. τὸ μὲν. l. 18. ὁπλιτεύοντι τότε. a, m. ubi mg. γρ. τε. 19. βάλλοις. π, f. βαλεῖς. p. βάλοις. v, l, s, E. 20. ἂν om. p. 21. εἰς διδασκάλων ἐβάδιζεν — ἴσχυσε. Φ. (334, a, 27).

23. χρυσοῦ. π, 2. χρυσίον. p. χρυσοῦν. E. 24. κατασύροντας. 1. κατασύραντας. 2, E. 25. ἐπιλιπεῖν αὐτά. C. [1: ἐκλιπεῖν αὐτά] αὐτὰ ἀπολιπεῖν. fc, E. 27. μηδ' om. m.

29. ἐπ' αὐτούς. p. 31. διοσημείαις. f, l. ib. εὔξαντο. 2, a. 32. σαφὴς om. v. ib. στασιάσαιτε. π. ex corr. 2. στασιάσητε. p. στασιάσετε. E. 33. ὧν. 1. ὧν ποτε. 2, E. ib. καὶ ταὐτὸ. C, E. Fo: καὶ ὡς ταὐτὸ. ib. τοῖς ἑτέροις. C. τοῖς ἑταίροις. E.

VI, 37. 38. 39. p. 274. 275

προσεύχεσθαι ὑπὲρ τούτου ὤκνει, ὁ δὲ ἐνθυμηθείς, οἷων ἐρᾷ „δεινόν γε", ἔφη „χρηματιστὴν ὁρῶ". „κακοδαίμονα μὲν οὖν", εἶπεν „ᾧγέ ἐστιν οὐδὲν πλὴν ὀλίγων, ἃ μὴ ἀπόχρη βόσκειν τὸν οἶκον". „ἔοικας" ἔφη „πολλοὺς τρέφειν καὶ ἀργοὺς οἰκέτας, οὐδὲ γὰρ αὐτός γε τῶν ἀσύφων φαίνῃ". ὁ δὲ ῥήμα ἐπιδακρύσας „θυγάτριά μοι" εἶπεν „ἔστι τέτταρα καὶ φερνῶν δεῖ τεττάρων, ἐμοὶ δὲ εἰσὶ δισμύριαί που δραχμαὶ νῦν, ἐπειδὰν δὲ ταῖς θυγατράσι κατανεμηθῶσιν, ἐκεῖναί τε σμικρὰ εἰληφέναι δόξουσιν ἐγώ τε ἀπολοῦμαι ἔχων οὐδέν". παθὼν οὖν τι πρὸς αὐτὸν ὁ Ἀπολλώνιος „ἐπιμεληθησόμεθά σου" ἔφη „κἀγὼ καὶ ἡ Ἶρις, φασὶ γάρ σε θύειν αὐτῇ". καὶ εἰπὼν ταῦτα προῆει τὰ προάστεια, ὥσπερ οἱ τοὺς καρποὺς ὠνούμενοι, ἰδὼν δέ τι χωρίον ἐλαῶν πλῆρες καὶ ἡσθεὶς τοῖς δένδρεσιν, ὡς εὐφυᾶ τε ἦν καὶ μεγάλα καί τινος κηπίου ἐν αὐτῷ ὄντος, ἐν ᾧ σμήνη τε καὶ ἄνθη ἐωρᾶτο, παρῆλθεν ἐς τὸ κηπίον ὥς τι ἐπισκεψόμενος μεῖζον καὶ προσευξάμενος τῇ Πανδώρᾳ ἐχώρει ἐς τὸ ἄστυ. βαδίσας δὲ παρὰ τὸν τοῦ ἀγροῦ δεσπότην, ᾧ πλοῦτος ἐκ τῶν παρανομωτάτων πεπόριστο τὰς Φοινίκων οὐσίας ἐνδεικνύντι „χωρίον" ἔφη „τὸ δεῖνα πόσου ἐπρίω καὶ τί πεπόνηταί σοι ἐς αὐτό"; τοῦ δὲ πέρυσι μὲν ἐωνῆσθαι τὸν ἀγρόν, πεντακισχιλίων δὲ καὶ μυρίων φήσαντος, οὕπω δ' 276 ἐκπεπονηκέναι τι, πείθει τὸν ἄνθρωπον ἀποδόσθαι οἱ δισμυρίων αὐτὸν ἕνρημα ποιησάμενον τὰς πεντακισχιλίας. ὁ μὲν δὴ τοῦ θησαυροῦ ἐρῶν οὕπω ξυνίει τοῦ δώρου, ἀλλ' οὐδ' ᾤετο ἴσα ἔχειν, τοσούτῳ δὲ ἐλάττω, ὅσῳ τὰς μὲν δισμυρίας ἐν ταῖν χεροῖν οὔσας ἐφ' ἑαυτῷ εἶναι ἄν, τὸν δ' ἀντ' αὐτῶν ἀγρὸν ἐπὶ πάχναις κείσεσθαι καὶ χαλάζαις καὶ τοῖς ἄλλοις, ἃ τοὺς καρποὺς φθείρει, ἐπεὶ δὲ ἀμφορέα μὲν τρισχιλίων δαρεικῶν αὐτίκα εὗρε περὶ αὐτὸ μάλιστα τὸ ἐν τῷ κηπίῳ σμῆνος, εὐφόρου δὲ τοῦ τῆς ἐλαίας καρποῦ ἔτυχεν οὐκ εὐφορούσης τότε τῆς ἄλλης γῆς, ὕμνοι αὐτῷ ἐς τὸν ἄνδρα ᾖδοντο καὶ μνηστήρων θεραπευόντων αὐτὸν πλέα ἦν πάντα.

XL. Κἀκεῖνα ἀξιομνημόνευτα εὗρον τοῦ ἀνδρός· ἐρᾶν τις ἐδόκει τοῦ τῆς Ἀφροδίτης ἕδους, ὃ ἐν Κνίδῳ γυμνὸν ἵδρυται, καὶ τὰ μὲν ἀνετίθει, τὰ δ' ἀναθήσειν ἔφασκεν ὑπὲρ τοῦ γάμου, Ἀπολλωνίῳ δὲ καὶ ἄλλως μὲν ἄτοπα ἐδόκει ταῦτα, ἐπεὶ δὲ μὴ παρητεῖτο ἡ Κνίδος, ἀλλ' ἐναργεστέραν ἔφασαν τὴν θεὸν δόξειν, εἰ ἐρῷτο, ἔδοξε τῷ ἀνδρὶ καθῆραι τὸ ἱερὸν τῆς ἀνοίας ταύτης, καὶ ἐρομένων τῶν Κνιδίων αὐτόν, εἴ τι βούλοιτο τῶν θυτικῶν ἢ εὐκτικῶν διορθοῦσθαι „ὀφθαλμοὺς" ἔφη „διορθώσομαι, τὰ δὲ τοῦ ἱεροῦ πάτρια ἐχέτω, ὡς ἔχει". καλέσας οὖν τὸν θρυπτόμενον ἤρετο αὐτόν, εἰ θεοὺς νενόμικε, τοῦ δ' οὕτω νομίζειν θεοὺς φήσαντος, ὡς καὶ ἐρᾶν αὐτῶν, καὶ τῶν γάμων μνημονεύσαντος, οὓς θύσειν ἡγεῖτο „σὲ μὲν ποιηταὶ" ἔφη „ἐπαίρουσι τοὺς Ἀγχίσας τε καὶ τοὺς Πηλέας θεαῖς ξυζυγῆναι εἰπόντες, ἐγὼ δὲ περὶ τοῦ ἐρᾶν καὶ ἐρᾶσθαι τόδε γιγνώσκω· θεοὶ θεῶν ἄνθρωποι ἀνθρώπων θηρία θηρίων καὶ καθάπαξ ὅμοια ὁμοίων ἐρᾷ ἐπὶ τῷ ἔτυμα καὶ ξυγγενῆ τίκτειν, τὸ δὲ ἑτερογενὲς τῷ μὴ ὁμοίῳ ξυνελθὸν οὔτε ζυγὸς οὔτε ἔρως. εἰ δὲ ἐνεθυμοῦ τὰ Ἰξίονος, 277 οὐδ' ἂν ἐς ἔννοιαν καθίστασο τοῦ μὴ ὁμοίων ἐρᾶν. ἀλλ' ἐκεῖνος μὲν τροχῷ εἰκασμένος δι' οὐρανοῦ κνάμπτεται, σὺ δ', εἰ μὴ ἄπει τοῦ ἱεροῦ, ἀπολῇ ἐν ἁπάσῃ τῇ γῇ οὐδ' ἀντειπεῖν ἔχων τὸ

1. τούτων. p. ib. ὤκνει om. p. ib. δεινὸν γε – οἶκον. Φ. (334, a, 29). ib. δεινὸν γάρ. ΦA, B. δεινόν τε. v. 3. οὐ γάρ. 2, a. 4. μοι om. p. 5. σμικρὸν. s, a, m. 6. ἐγώ τε. 1. ἐγὼ δὲ. 2, E. 7. ἐς τὰ. o. 9. κηπίον. s. 10. ἐποψόμενος. p. ib. ἐς ἄστυ. 2, a. 11. πεπόριστο. 1. ἐπεπόριστο. 2, E. 13. μὲν om. v. ib. ἐωνεῖσθαι. l. ib. δὲ καὶ μυρίων. π. καὶ μυρίων. p, 2, E. 14. ἐκπεπονηκέναι τι. π. ἐκπεπονηκέναι. p, 2, E. ib. πείθει – καρποὺς φθείρει. Φ. (334, a, 31). ib. τὰς πεντακισχιλίας. π et p. ex corr. Φ. τοὺς πεντακισχιλίους. f, l, s, E. τοὺς πεντακισμυρίους. v. 15. ἀλλ' οὐδ' ᾤετο. π. ἀλλ' ᾤετο. p, 2, E, Φ. 16. ταῖς χερσὶν. v. Φ. 19. τῆς ἐλαίας – τότε om. v. ib. αὐτῷ. l, v, l, s. αὐτῶν. f. αὐτό. E.

21. εἴδους. p, v, l. ἔδους. a. 23. δὲ καὶ ἄλλως μὲν. 1. (u) et m. γρ. o. μὲν καὶ ἄλλως. 2, a, m. ib. καὶ ταῦτα. a, m. 24. καθῆραι. 1. καθᾶραι. 2, E. 25. καὶ εὐκτικῶν. m. 27. τοῦ δ' οὕτω μνημονεύσαντος, mediis omissis. p. ib. αὐτοῦ καὶ τὸν γάμον. v. 28. θύσειν. p. θήσειν. π. θύειν. 2, E. ib. ἡγοῖτο. v. 29. συζυγῆναι. π, 2. ξυζυγῆναι. E. συμμιγῆναι. p. ib. τόδε. π, 2. a. τὸ δὲ. m, o. τάδε. p. 30. ἐπὶ τῷ. C. ἐπὶ τὸ. E. ib. ἔτυμα. π et m. γρ. ἕτοιμα. p. ὅμοια. 2, E. 31. τῷ δὲ. s. ib. τῷ om. p. τὸ. v. ib. ἐνθύμου. s. ἐνθυμοῦ. a. ἐνεθύμου. m. o. 32. ἠκισμένος. B. 33. κνάμπτεται. π, B. κάμπτεται. p, 2, E. ib. τοῦ μὴ. l, s, a, m. ubi γρ. τὸ.

VI, 40. p. 276. 277.

μὴ οὐ δίκαια τοὺς θεοὺς ἐπὶ σοὶ γνῶναι". ὧδε ἡ παροινία ἐσβέσθη καὶ ἀπῆλθεν ὁ φάσκων ἐρᾶν ὑπὲρ ξυγγνώμης θύσας.

Σεισμῶν δὲ κατασχόντων ποτὲ τὰς ἐν τῷ ἀριστερῷ Ἑλλησπόντῳ πόλεις, Αἰγύπτιοι μὲν καὶ Χαλδαῖοι περὶ αὐτὰς ἠγείροντο ὑπὲρ ξυλλογῆς χρημάτων, ὡς δεκαταλάντους θυσίας Γῇ καὶ Ποσειδῶνι θύσοντες, ξυνέφερον δ' αἱ πόλεις τὰ μὲν ἀπὸ τοῦ κοινοῦ, τὰ δὲ ἀπὸ τῶν οἴκων ὑποκείμενοι τῷ φόβῳ, οἱ δέ, εἰ μὴ ἐπὶ τραπεζῶν ἐκτεθείη τὸ ἀργύριον, οὐκ ἂν ἔφασαν ὑπὲρ αὐτῶν θῦσαι· δοκεῖ δὴ τῷ ἀνδρὶ μὴ περιιδεῖν τοὺς Ἑλλησποντίους καὶ παρελθὼν ἐς τὰς πόλεις τοὺς μὲν ἀπήλασεν ὡς θησαυρὸν πεποιημένους τὰ ἑτέρων κακά, τὰς δὲ αἰτίας τῶν μηνιμάτων ξυλλαβὼν καὶ ὡς ἑκάστῃ πρόσφορον θύσας ἀπεύξατο τὴν προσβολὴν δαπάνῃ σμικρᾷ, καὶ ἡ γῆ ἔστη. XLII

Δομετιανοῦ δὲ βασιλέως ὑπὸ τὸν αὐτὸν χρόνον εὐνούχους τε μὴ ποιεῖν νομοθετήσαντος ἀμπέλους τε μὴ φυτεύειν ἔτι καὶ τὰς πεφυτευμένας δὲ αὐτῶν ἐκκόπτειν παρελθὼν ἐς τοὺς Ἴωνας ὁ Ἀπολλώνιος „τὰ μὲν προστάγματα οὐ πρὸς ἐμὲ" ἔφη „ταῦτα, μόνος γὰρ ἴσως ἀνθρώπων οὔτε αἰδοίων δέομαι οὔτε οἴνου, λέληθε δὲ ὁ θαυμασιώτατος τῶν μὲν ἀνθρώπων φειδόμενος, τὴν δὲ γῆν εὐνουχίζων". ὅθεν ἐς Θάρσος ἡ Ἰωνία ἦλθε πρεσβεύσασθαι πρὸς τὸν βασιλέα ὑπὲρ ἀμπέλων καὶ παραιτήσασθαι νόμον, ὃς ἐκέλευε καὶ δηοῦσθαι τὴν γῆν καὶ μὴ φυτεύεσθαι. XLIII 278

Κἀκεῖνα ἐν Ταρσοῖς τοῦ ἀνδρὸς ᾄδουσι· κύων ἐνεπεπτώκει ἐφήβῳ λυττῶν καὶ ἀπῆγε τὸν ἔφηβον τὸ δῆγμα ἐς τὰ τῶν κυνῶν πάντα, ὑλάκτει τε γὰρ καὶ ὠρύετο καὶ τετράπους ἔθει τῷ χεῖρε ὑπέχων τῷ δρόμῳ. νοσοῦντι δ' αὐτῷ τριακοστὴν ἡμέραν ἐφίσταται μὲν ὁ Ἀπολλώνιος ἄρτι ἐς τοὺς Ταρσοὺς ἥκων, κελεύει δὲ ἀνιχνευθῆναί οἱ τὸν κύνα, ὃς ταῦτα εἰργάσατο, οἱ δ' οὔτε ἐντετυχηκέναι τῷ κυνὶ ἔφασαν, ἔξω γὰρ τείχους εἰλῆφθαι αὐτὸν τοῦ ἐφήβου πρὸς ἀκοντίοις ὄντος, οὔτ' ἂν τοῦ νοσοῦντος μαθεῖν, ἥτις ἡ ἰδέα τοῦ κυνός, ἐπεὶ μηδὲ αὐτὸν ἔτι οἶδεν. ἐπισχὼν οὖν „ὦ Δάμι," ἔφη „λευκὸς ὁ κύων λάσιος προβατευτικὸς Ἀμφιλοχικῷ ἴσος, προσέστηκε δὲ τῇ δεῖνι κρήνῃ τρέμων, τὸ γὰρ ὕδωρ καὶ ποθεῖ καὶ δέδοικεν· ἄγε μοι τοῦτον ἐπὶ τὴν τοῦ ποταμοῦ ὄχθην, ἐφ' ἧς αἱ παλαῖστραι, μόνον εἰπών, ὅτι ὑπ' ἐμοῦ καλοῖτο". ἑλχθεὶς δ' ὁ κύων ὑπὸ τοῦ Δάμιδος ὑπεκλίθη τοῖς τοῦ Ἀπολλωνίου ποσίν, ὥσπερ οἱ βώμιοι τῶν ἱκετῶν κλαίων, ὁ δ' ἡμέρου τε αὐτὸν ἔτι μᾶλλον καὶ τῇ χειρὶ ἐπράυνε, τὸν ἔφηβόν τε ἴστη ἐγγὺς ξυνέχων αὐτός, ὡς δὲ μὴ λάθοι τοὺς πολλοὺς μέγα ἀπόρρητον „μεθέστηκε μὲν" ἔφη „ἐς τὸν παῖδα τοῦτον ἡ Τηλέφου ψυχὴ τοῦ Μυσοῦ, Μοῖραι δ' ἐπ' αὐτῷ ταὐτὰ βούλονται", καὶ εἰπὼν ταῦτα ἐκέλευσε τὸν κύνα περιλιχμήσασθαι τὸ δῆγμα, ὡς ἰατρὸς αὐτῷ πάλιν ὁ τρώσας γένοιτο. ἐπεστράφη τὸ ἐντεῦθεν ἐς τὸν πατέρα ὁ παῖς καὶ ξυνῆκε τῆς μητρὸς προσεῖπέ τε τοὺς ἥλικας καὶ ἔπιε τοῦ Κύδνου, περιώφθη δὲ οὐδὲ ὁ κύων, ἀλλὰ κἀκεῖνον εὐξάμενος τῷ ποταμῷ δι' αὐτοῦ ἦκεν. ὁ δ' ἐπεὶ διέβη τὸν Κύδνον, ἐπιστὰς τῇ ὄχθῃ φωνήν τε ἀφῆκεν, ὅπερ ἥκιστα περὶ τοὺς λυττῶντας τῶν κυνῶν ξυμβαίνει, καὶ τὰ ὦτα ἀνακλάσας ἔσεισε τὴν οὐρὰν ξυνιεὶς τοῦ ἐρρῶσθαι, φαρμακοποσία γὰρ λύττης ὕδωρ, ἢν θαρσήσῃ αὐτὸ ὁ λυττῶν. 279

Τοιαῦτα τοῦ ἀνδρὸς τὰ ὑπὲρ ἱερῶν τε καὶ πόλεων καὶ τὰ πρὸς δήμους καὶ ὑπὲρ δήμων καὶ τὰ ὑπὲρ τεθνεώτων ἢ νοσούντων καὶ τὰ πρὸς σοφούς τε καὶ μὴ σοφοὺς καὶ τὰ πρὸς βασιλέας, οἳ ξύμβουλον αὐτὸν ἀρετῆς ἐποιοῦντο.

1. παροίνοια. l.
ου
3. Ἑλλησπόντω. π. 5. ἀπὸ κοινοῦ. v. 6. ἐπὶ om. p. ib. περὶ. v. 7. τὰς μὲν. 2, a, m. 8. πεποιημένας. 2. a, m. ib. ξυλλαβὼν. 1, f, v. λαβὼν. l. s, E. 9 μικρᾷ. p.

10. ὅτι Δομετιανὸν φησι τὸν βασιλέα νομοθετῆσαι εὐνούχους τε μὴ ποιεῖν καὶ ἀμπέλους μὴ φυτεύειν, ἀλλὰ καὶ τὰς οὔσας ἐκτέμνειν. εἰπεῖν δὲ πρὸς ταῦτα τὸν Ἀπολλώνιον ὡς „ἐγὼ μὲν ἴσως οὔτε αἰδοίων δέομαι – εὐνουχίζων". Φ. (331, a, 5). 13. ἂν ἀνθρώπων. p. 15. ἐκέλευσε. v.

18. νοσοῦντί τι. v, s. 19. ἀνιχνευθῆναί οἱ. 1. οἱ ἀνιχνευθῆναι. 2, E. 20. ἔξω δὲ. a. 21. εἶδεν. l, s, a. 22. προέστηκε. l, v. 25. οἰκετῶν. p, v. 26. ὡς δὲ. π, m, o. ὡς. p, 2, a. ib. λάθῃ. o. 27. μὲν, ἔφη, ἐς. 1, f, v. μὲν δὴ εἰς. l, s, a. μὲν δὴ, ἔφη, ἐς. m, o. 28. ταῦτα. C, E. ταὐτὰ. J. ep. cr. 44. 29. πάλιν αὐτῷ. p. 31. ἐπιδὴ. π. 33. αὐτῷ. p, v.

34. καὶ τὰ. π, m, o. καὶ. p, 2, a. 36. ἐποίουν. C, E. ἐποιοῦντο. Bo. ad Her. 322.

Η'.

Οἶδα καὶ τὰς τυραννίδας, ὡς ἔστιν ἀρίστη βάσανος ἀνδρῶν φιλοσοφούντων, καὶ ξυγχωρῶ σκοπεῖν, ὅ τι ἕκαστος ἑτέρου ἧττον ἢ μᾶλλον ἀνὴρ ἔδοξεν, ὁ λόγος δέ μοι ξυντείνει ἐς τόδε· κατὰ τοὺς χρόνους, οὓς Δομετιανὸς ἐτυράννευσε, περιέστησαν τὸν ἄνδρα κατηγορίαι καὶ γραφαί, ὅπως μὲν ἀρξάμεναι καὶ ὁπόθεν καὶ ὅ τι ἑκάστῃ ὄνομα, δηλώσω αὐτίκα. ἐπεὶ δὲ ἀνάγκη λέξαι, τί μὲν εἰπών, τίς δὲ εἶναι δόξας ἀπῆλθε τῆς κρίσεως ἑλὼν μᾶλλον τὸν τύραννον ἢ ἁλοὺς αὐτός, δοκεῖ μοι διελθεῖν πρὸ τούτων, ὁπόσα εὗρον ἀφηγήσεως ἄξια σοφῶν ἀνδρῶν πρὸς τυράννους ἔργα παραδεικνύειν τε αὐτὰ τοῖς Ἀπολλωνίου· χρὴ γάρ που τἀληθὲς οὕτω μαστεύειν. Ζήνων μὲν τοίνυν ὁ Ἐλεάτης, διαλεκτικῆς δὲ οὗτος δοκεῖ ἄρξαι, τὴν Νεάρχου τοῦ Μυσοῦ καταλύων τυραννίδα ἧλω καὶ στρεβλωθεὶς τοὺς μὲν ἑαυτοῦ ξυνωμότας ἀπεσιώπησεν, οἳ δ' ἦσαν τῷ τυράννῳ βέβαιοι, διαβαλὼν τούτους ὡς οὐ βεβαίους, οἱ μὲν ὡς ἐπ' ἀληθέσι ταῖς αἰτίαις ἀπέθανον, ὁ δ' ἐλεύθερα τὰ Μυσῶν ἦγαγε τὴν τυραννίδα περὶ ἑαυτῇ σφήλας. Πλάτων δὲ ὑπὲρ τῆς Σικελιωτῶν ἐλευθερίας ἀγωνά φησιν ἄρασθαι συλλαβὼν τῆς διανοίας ταύτης Δίωνι. Φύτων δὲ Ῥηγίου ἐκπεσὼν κατέφυγε μὲν ἐπὶ Διονύσιον τὸν Σικελίας τύραννον, μειζόνων δὲ ἀξιωθεὶς ἢ τὸν φυγόντα εἰκὸς ξυνῆκε μὲν τοῦ τυράννου καὶ ὅτι τοῦ Ῥηγίου ἐρᾷη, Ῥηγίνοις δ' ἐπιστέλλων ταῦτα ἦλω, καὶ ὁ μὲν τύραννος ἑνὸς τῶν μηχανημάτων ἀνάψας αὐτὸν ζῶντα προσήγαγε τοῖς τείχεσιν, ὡς μὴ βάλοιεν οἱ Ῥηγῖνοι τὸ μηχάνημα φειδοὶ τοῦ Φύτωνος, ὁ δὲ ἐβόα βάλλειν, σκοπὸς γὰρ αὐτοῖς ἐλευθερίας εἶναι. Ἡρακλείδης δὲ καὶ Πύθων οἱ Κότυν ἀποκτείναντες τὸν Θρᾷκα νεανία μὲν ἦστην ἄμφω, τὰς δὲ Ἀκαδημίους διατριβὰς ἐπαινοῦντες σοφώ τε ἐγενέσθην καὶ οὕτως ἐλευθέρω. τὰ δὲ Καλλισθένους τοῦ Ὀλυνθίου τίς οὐκ οἶδεν; ὃς ἐπὶ τῆς αὐτῆς ἡμέρας ἐπαινέσας τε καὶ διαβαλὼν Μακεδόνας, ὅτε μέγιστοι δυνάμει ἦσαν, ἀπέθανεν ἀηδὴς δόξας. Διογένης δὲ ὁ Σινωπεὺς καὶ Κράτης ὁ Θηβαῖος ὁ μὲν εὐθὺ Χαιρωνείας ἦκων ἐπέπληξεν ὑπὲρ Ἀθηναίων Φιλίππῳ περὶ ὧν Ἡρακλείδης εἶναι φάσκων ἀπώλλυ ὅπλοις τοὺς ὑπὲρ ἐκείνων ὅπλα ἠρμένους, ὁ δ' ἀνοικιεῖν Θήβας Ἀλεξάνδρου δι' αὐτὸν φήσαντος οὐκ ἂν ἔφη δεηθῆναι πατρίδος, ἣν κατασκάψει τις ὅπλοις ἰσχύσας. καὶ λέγοιτο μὲν πολλὰ τοιαῦτα, ὁ λόγος δὲ οὐ ξυγχωρεῖ μῆκος τῷ γε ἀνάγκην ἔχοντι καὶ πρὸς ταῦτα ἀντειπεῖν οὐχ ὡς οὐ καλὰ ἢ οὐκ ἐν λόγῳ πᾶσιν, ἀλλ' ὡς ἧττω τῶν Ἀπολλωνίου, κἂν ἄριστα ἑτέρων φαίνηται· τὸ μὲν τοίνυν τοῦ Ἐλεάτου ἔργον καὶ οἱ τὸν Κότυν ἀπεκτονότες οὔπω ἀξιόλογα, Θρᾷκας γὰρ καὶ Γέτας δουλοῦσθαι μὲν ῥᾴδιον, ἐλευθεροῦν δὲ εὔηθες, οὐδὲ γὰρ τῇ ἐλευθερίᾳ χαίρουσιν, ἅτε, οἶμαι, οὐκ αἰσχρὸν ἡγούμενοι τὸ δουλεύειν. Πλάτων δὲ ὡς μὲν οὐ σοφόν τι ἔπαθε τὰ ἐν Σικελίᾳ διορθούμενος μᾶλλον ἢ τὰ Ἀθήνησιν, ἢ ὡς εἰκότως ἐπράθη σφαλείς τε καὶ σφήλας, οὐ λέγω διὰ τοὺς δυσχερῶς ἀκροωμένους. τὰ δὲ τοῦ Ῥηγίνου πρὸς Διονύσιον μὲν ἐτολμᾶτο τυραννεύοντα οὐ βεβαίως Σικελίας, ὁ δ' ὑπ' ἐκείνου πάντως ἀποθανὼν ἄν, εἰ καὶ μὴ ὑπὸ Ῥηγίνων ἐβλήθη, θαυμαστόν, οἶμαι, οὐδὲν ἔπραττε τὸν ὑπὲρ τῆς ἑτέρων ἐλευθερίας θάνατον μᾶλλον ἢ τὸν ὑπὲρ τῆς αὐτοῦ δουλείας αἱρούμενος. Καλλισθένης δὲ τὸ δόξαι κακὸς οὐδ' ἂν νῦν διαφύγοι, τοὺς γὰρ αὐτοὺς ἐπαινέ-

2. ὅτι. p, s, a, m. (corr. Hu.) ib. ἧττων. p. ib. ἔδοξεν. π. πρὸς αὐτὰς ἔδοξεν. p, 2, E. ib. δὲ om. p. 3. ὅπως δὲ. l. 4. ἑκάστῃ. l. ἑκάστῃ αὐτῶν. 2, E. 8. δοκεῖ. l, f, v, o. ἐδόκει. l, s, a, m. ib. καταλύων. l, f, v. καταβαλὼν. l, s, E. 9. αὐτοῦ. v. 11. αὐτὴν. v. ib. Σικελίας τῶν. f, al. m. 12. ταύτῃς. B. ib. Φοίτων. a, m. ubi Φύτων. γρ. ib. ἐκ Ῥηγίου πεσών. p. 13. συνῆκε. l, s, a, m. 15. μηχανῶν. 2, a. 16. Φοίτωνος. a, m, ubi iterum. Φύτων. γρ. 17. Κότυν. π, l, s, a, m. Κόττυν. p, f, v, o. ib. νεανία. π et m. γρ. Ἀνίω et mg. Λινίω. p. ἀνίω (hoc est ἀνθρωπίω) 2, Φ. ἀνθρωπίω. o. ἀνθρωπείω. a, m. ib. Ἀκαδημείους. 2, a, m. 18. ἐπαινοῦντε. B. 23. λέγοιτο μὲν. C, E. λέγοιτο μὲν ἂν. J. 24. ὡς οὐχ. v. 25. ἧττον. π. ἧττων. v. ib. τῶν Ἀπολλωνίου. l, f. l. τοῦ Ἀπ. s, v, E. 26. αὐτοῦ, Ἐλεάτου. v. τὸ Ἐλεάτου. l. ib. Κότυν. π, l, s, a. Κόττυν. p, f, v, m, o. 27. οὐ γὰρ. l, s, a, m. ib. ἐν τῇ ἐλευθερίᾳ. p. 28. Πλάτων μὲν ὡς οὐδὲ σοφὸν. v. 30. Ῥηγίου. v. ut 14. 32. αὐτοῦ. 2. (s. pr. m.) a. om. 33. κακῶς. v.

σας καὶ διαβαλὼν ἢ διέβαλεν, οὓς ἐνόμισεν ἐπαίνων ἀξίους, ἢ ἐπῄνεσεν, οὓς ἐχρῆν διαβάλλοντα φαίνεσθαι, καὶ ἄλλως ὁ μὲν καθιστάμενος ἐς τὸ λοιδορεῖσθαι τοῖς ἀγαθοῖς ἀνδράσιν οὐκ ἔχει ἀποδρᾶναι τὸ μὴ οὐ δόξαι βάσκανος, ὁ δὲ τοὺς πονηροὺς κολακεύων ἐπαίνοις αὐτὸς ἀποίσεται τὴν αἰτίαν τῶν ἁμαρτηθέντων σφίσιν, οἱ γὰρ κακοὶ κακίους ἐπαινούμενοι. Διογένης δὲ πρὸ Χαιρωνείας μὲν εἰπὼν ταῦτα πρὸς τὸν Φίλιππον κἂν ἐφύλαξε τὸν ἄνδρα καθαρὸν τῶν ἐπ' Ἀθηναίους 5
ὅπλων, εἰργασμένοις δ' ἐπιστὰς ὠνείδιζε μέν, οὐ μὴν διωρθοῦτο. Κράτης δὲ καὶ αἰτίαν ἂν λάβοι 282
πρὸς ἀνδρὸς φιλοπόλιδος μὴ ξυναράμενος Ἀλεξάνδρῳ τῆς βουλῆς, ᾗ ἐς τὸ ἀνοικίσαι τὰς Θήβας ἐχρῆτο. Ἀπολλώνιος δὲ οὔθ' ὑπὲρ πατρίδος κινδυνευούσης δείσας οὔτε τοῦ σώματος ἀπογνοὺς οὔτ' ἐς ἀνοήτους ὑπαχθεὶς λόγους οὔθ' ὑπὲρ Μυσῶν ἢ Γετῶν οὔτε πρὸς ἄνδρα, ὃς ἦρχε νήσου μιᾶς ἢ χώρας οὐ μεγάλης, ἀλλ' ὑφ' ᾧ θάλαττά τε ἦν καὶ γῆ πᾶσα, πρὸς τοῦτον, ἐπειδὴ πικρῶς ἐτυ- 10
ράννευε, παρέταττεν ἑαυτὸν ὑπὲρ τοῦ τῶν ἀρχομένων κέρδους, χρησάμενος μὲν τῇ διανοίᾳ ταύτῃ
καὶ πρὸς Νέρωνα, ἡγείσθω δ' οὖν τις ἀκροβολισμοὺς ἐκεῖνα, ἐπεὶ μὴ ὁμόσε χωρῶν, ἀλλὰ τὸν IV
Βίνδικα ἐπιρρωννὺς καὶ τὸν Τιγελλῖνον ἐκπλήττων σαθροτέραν τὴν τυραννίδα ἐποίει, καί τις ἀναφύεται λόγος ἀλαζὼν ἐνταῦθα, ὡς οὐδὲν γενναῖον ἐπιθέσθαι Νέρωνι ψαλτρίας τινὸς ἢ αὐλητρίδος
βίον ζῶντι· ἀλλὰ περί γε Δομετιανοῦ τί φήσουσιν; ὃς τὸ μὲν σῶμα ἔρρωτο, ἡδονὰς δὲ τὰς μὲν 15
ἐξ ὀργάνων τε καὶ κτύπων τὰς τὸ θυμοειδὲς ἀπομαραινούσας παρῃτεῖτο, τὰ δὲ ἑτέρων ἄχη καὶ ὅ
τι ὀλοφύραιτό τις, ἐς τὸ εὐφραῖνον εἶλκε, τὴν δ' ἀπιστίαν δήμων μὲν ἐκάλει πρὸς τοὺς τυράννους
φυλακτήριον, τυράννων δὲ πρὸς πάντας, τὴν δὲ νύκτα πάντων μὲν ἔργων ἠξίου παύειν βασιλέα,
φόνων δὲ ἄρχειν, ὅθεν ἠκρωτηριάσθη μὲν ἡ βουλὴ τοὺς εὐδοκιμωτάτους, φιλοσοφία δὲ οὕτω τι
ἔπτηξεν, ὡς ἀποβαλόντες τὸ σχῆμα οἱ μὲν ἀποδρᾶναι σφῶν ἐς τὴν Κελτῶν ἐσπέραν, οἱ δὲ ἐς τὰ 20
ἔρημα Λιβύης τε καὶ Σκυθίας, ἔνιοι δ' ἐς λόγους ἀπενεχθῆναι ξυμβούλους τῶν ἁμαρτημάτων. ὁ δ',
ὥσπερ τῷ Σοφοκλεῖ πεποίηται πρὸς τὸν Οἰδίπουν ὁ Τειρεσίας ὑπὲρ ἑαυτοῦ λέγων 283

οὐ γάρ τί σοι ζῶ δοῦλος, ἀλλὰ Λοξίᾳ,

οὕτω τὴν σοφίαν δέσποιναν πεποιημένος ἐλεύθερος ἦν τῆς Δομετιανοῦ φορᾶς τὰ Τειρεσίου τε καὶ Σοφοκλέους ἑαυτῷ ἐπιθεσπίσας καὶ δεδιὼς μὲν οὐδὲν ἴδιον, ἃ δὲ ἑτέρους ἀπώλλυ, ἐλεῶν, ὅθεν 25
ξυνίστη ἐπ' αὐτὸν νεότητά τε, ὁπόσην ἡ βουλὴ εἶχε, καὶ ξύνεσιν, ὁπόση περὶ ἐνίους αὐτῶν ἐωρᾶτο,
φοιτῶν ἐς τὰ ἔθνη καὶ φιλοσοφῶν πρὸς τοὺς ἡγεμόνας, ὡς οὔτε ἀθάνατος ἡ τῶν τυράννων ἰσχὺς
αὐτῷ τε τῷ φοβεροὶ δοκεῖν ἁλίσκονται μᾶλλον. διῄει δὲ αὐτοῖς καὶ τὰ Παναθήναια τὰ Ἀττικά,
ἐφ' οἷς Ἁρμόδιός τε καὶ Ἀριστογείτων ᾄδονται, καὶ τὸ ἀπὸ Φυλῆς ἔργον, ὃ καὶ τριάκοντα ὁμοῦ
τυράννους εἶλε, καὶ τὰ Ῥωμαίων δὲ αὐτῶν διῄει πάτρια, ὡς κἀκεῖνοι δῆμος τὸ ἀρχαῖον ὄντες τὰς 30
τυραννίδας ἐώθουν ὅπλοις. τραγῳδίας δὲ ὑποκριτοῦ παρελθόντος ἐς τὴν Ἔφεσον ἐπὶ τῇ Ἰνοῖ τῷ V
δράματι καὶ ἀκροωμένου τοῦ τῆς Ἀσίας ἄρχοντος, ὃς καίτοι νέος ὢν φανερὸς ἐν ὑπάτοις ἀτολμότερον ὑπὲρ τούτων διενοεῖτο, ὁ μὲν ὑποκριτὴς ἐπέραινεν ἤδη τὰ ἰαμβεῖα, ἐν οἷς ὁ Εὐριπίδης διὰ
μακρῶν αὐξηθέντας τοὺς τυράννους ἁλίσκεσθαί φησιν ὑπὸ μικρῶν, ἀναπηδήσας δὲ ὁ Ἀπολλώνιος
„ἀλλ' ὁ δειλὸς" ἔφη „οὗτος οὔτε Εὐριπίδου ξυνίησιν οὔτε ἐμοῦ". καὶ μὴν καὶ λόγου ἀφικομένου, 35 VI 284
ὡς λαμπρὰν κάθαρσιν εἴη Δομετιανὸς πεποιημένος τῆς Ῥωμαίων Ἑστίας, ἐπειδὴ τρεῖς τῶν Ἑστιά-

ὑπ

5. μὲν om. p. 7. ἀνοικῆσαι. p. 9. ἀπαχθεὶς. s. sec. m. corr. ἐπαχθεὶς. l. ib. ὃς ἦρχε om. v. 11. καὶ τῇ. p. 12. τὸν Βίνδικα. π. τὸν μὲν Βίνδικα. p, 2 et E (ubi Βένδικα). 13. ἐπιρωνὺς. p. ib. ἀναφύεται. 1, f, v. ἀνεφύετο. l, s, E. 14. ᾗ αὐλητρίδος. π. ἢ καὶ αὐλητρίδος. p, 2, E. 15. Δομιτιανοῦ. f. sic ubique. ib. ἡδονὰς μέν. v. 16. κτύπων. 1. (u.) τύπων. 2, E. 17. ὀλοφύραιτό τις. π, 2. ὠλοφύρετό τις. p, E. 19. ἡ μὲν. v. ib. φιλοσοφία — συμ-

Α

βούλους τῶν ἁμαρτημάτων. Φ. (334, a, 38). 23. οὐ γάρ τι σοι. l, a. ib. ἀδοξία. f. sic al. m. 24. οὔπω. f, v et l ante corr. 26. ὁπόση. l, s, a. 28. φοβερῷ. a, m. φοβεροὺς. B. 29. τριάκοντα ὁμοῦ. 1, f, v. ὁμοῦ τριάκοντα. l, s, E. 31. οἱνοῖ. l. 32. φανερῶς. p. ib. ἀποτολμότερον. 2. (s ante corr.) 33. ὑποκριτὴν. a, m. (corr. Hu.)

VII. 4. 5. 6. p. 282. 283. 284.

ὧν ἀπέκτεινεν ἐπ' αἰτίᾳ τῆς ζώνης καὶ τῷ μὴ καθαρεῦσαι γάμων, ἃς ἀγνῶς τὴν Ἰλιάδα Ἀθηνᾶν καὶ τὸ ἐκεῖ πῦρ θεραπεύειν ἔδει, „εἰ γὰρ καὶ σὺ“ ἔφη „καθαρθείης, Ἥλιε, τῶν ἀδίκων φόνων. ὧν πᾶσα ἡ οἰκουμένη μεστὴ νῦν.“ καὶ οὐδὲ ἰδίᾳ ταῦτα, ὥσπερ οἱ δειλοί, ἀλλ' ἐν τῷ ὁμίλῳ καὶ

VII ἐς πάντας ἐκήρυττέ τε καὶ ἠΰχετο. ἐπεὶ δὲ Σαβῖνον ἀπεκτονὼς ἕνα τῶν ἑαυτοῦ ξυγγενῶν Ἰουλίαν ἤγετο, ἡ δὲ Ἰουλία γυνὴ μὲν ἦν τοῦ πεφονευμένου, Δομετιανοῦ δὲ ἀδελφιδῆ, μία τῶν Τίτου θυγατέρων, ἔθυε μὲν ἡ Ἔφεσος τοὺς γάμους, ἐπιστὰς δὲ τοῖς ἱεροῖς ὁ Ἀπολλώνιος „ὦ νὺξ“ ἔφη

VIII „τῶν πάλαι Δαναΐδων, ὡς μία ἦσθα“. καὶ μὴν καὶ τὰ ἐν τῇ Ῥώμῃ ὧδε αὐτῷ ἐπράττετο· ἀρχὴ πρέπειν ἐδόκει Νερούᾳ, ἧς μετὰ Δομετιανὸν σωφρόνως ἥψατο, ἦν δὲ καὶ περὶ Ὄρφιτόν τε καὶ Ῥοῦφον ἡ αὐτὴ δόξα. τούτους Δομετιανὸς ἐπιβουλεύειν ἑαυτῷ φήσας οἱ μὲν ἐς νήσους καθείρχθη-
285 10 σαν, Νερούᾳ δὲ προσίταξεν οἰκεῖν Τάραντα. ὧν δὲ ἐπιτήδειος αὐτοῖς ὁ Ἀπολλώνιος τὸν μὲν χρόνον, ὃν Τίτος ὁμοῦ τῷ πατρὶ καὶ μετὰ τὸν πατέρα ἦρχεν, ἀεί τι ὑπὲρ σωφρυσύνης ἐπέστελλε τοῖς ἀνδράσι προσποιῶν αὐτοὺς τοῖς βασιλεῦσιν ὡς χρηστοῖς, Δομετιανοῦ δέ, ἐπεὶ χαλεπὸς ἦν, ἀφίστη τοὺς ἄνδρας καὶ ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας ἐρρώννυ. τὰς μὲν δὴ ἐπιστολιμαίους ξυμβουλίας οὐκ ἀσφαλεῖς αὐτοῖς ᾤετο, πολλοὺς γὰρ τῶν ἐν δυνάμει καὶ δοῦλοι προὔδοσαν καὶ φίλοι καὶ γυναῖκες
15 καὶ οὐδὲν ἀπόρρητον ἐχώρησε τότε οἰκία, τῶν δὲ αὐτοῦ ἑταίρων τοὺς σωφρονεστάτους ἄλλοτε ἄλλον ἀπολαμβάνων „διάκονον“ εἶπεν ἂν „ποιοῦμαί σε ἀπορρήτου λαμπροῦ· βαδίσαι δὲ χρὴ ἐς τὴν Ῥώμην παρὰ τὸν δεῖνα καὶ διαλεχθῆναί οἱ καὶ γενέσθαι πρὸς τὴν πιθὼ τοῦ ἀνδρὸς πᾶν ὅ τι ἐγώ“. ἐπεὶ δὲ ἤκουσεν, ὅτι φεύγοιεν ὁρμῆς μὲν ἐνδειξάμενοί τι ἐπὶ τὸν τύραννον, ὄκνῳ δ' ἐκπεσόντες ὧν διενοήθησαν, διελέγετο μὲν ὑπὲρ Μοιρῶν καὶ ἀνάγκης περὶ τὸ νέμος τῆς Σμύρνης, ἐν ᾧ ὁ
IX 20 Μέλης, εἰδὼς δὲ τὸν Νερούαν ὡς αὐτίκα δὴ ἄρξοι, διῆει τὸν λόγον καὶ ὅτι μηδ' οἱ τύραννοι τὰ ἐκ Μοιρῶν οἷοι βιάξεσθαι, χαλκῆς τε εἰκόνος ἱδρυμένης Δομετιανοῦ πρὸς τῷ Μέλητι, ἐπιστρέψας ἐς αὐτὴν τοὺς παρόντας „ἀνόητε“, εἶπεν „ὡς πολὺ διαμαρτάνεις Μοιρῶν καὶ ἀνάγκης· ᾧ γὰρ μετὰ σὲ τυραννεῦσαι πέπρωται, τοῦτον κἂν ἀποκτείνῃς, ἀναβιώσεται“. ταῦτα ἐς Δομετιανὸν ἀφίκετο ἐκ διαβολῶν Εὐφράτου, καὶ ὑπὲρ ὅτου μὲν τῶν ἀνδρῶν ἐχρησμῴδει αὐτά, οὐδεὶς ξυνίει, τιθέ-
25 μενος δὲ ὁ τύραννος εὖ τὸν ἑαυτοῦ φόβον ὥρμησεν ἀποκτεῖναι τοὺς ἄνδρας· ὡς δὲ μὴ ἔξω λόγου πράττων αὐτὸ φαίνοιτο, ἐκάλει τὸν Ἀπολλώνιον ἀπολογησόμενον ὑπὲρ τῶν πρὸς αὐτοὺς ἀπορρή-
286 των· ἢ γὰρ ἀφικομένου καταψηφισάμενος οὐδὲ ἀκρίτους ἀπεκτονέναι δόξειν, ἀλλ' ἐν ἐκείνῳ ἁλωκότας, ἢ εἰ σοφίᾳ τινὶ τοῦ φανεροῦ ὑπεξέλθοι, μᾶλλον ἤδη ἀπολεῖσθαι σφᾶς ὡς κατεψηφισμένους καὶ ὑπὸ τοῦ κοινωνοῦ τῆς αἰτίας.

X 30 Διανουμένου δὲ αὐτοῦ ταῦτα καὶ γράφοντος ἤδη πρὸς τὸν τῆς Ἀσίας ἄρχοντα, ὡς ξυλληφθείη τε καὶ ἀναχθείη, προεἶδε μὲν ὁ Τυανεὺς πάντα δαιμονίως τε καὶ ὥσπερ εἰώθει, πρὸς δὲ τοὺς ἑταίρους εἰπὼν δεῖσθαι ἀποδημίας ἀπορρήτου, τοὺς μὲν ἐσῆλθεν Ἀβάριδος τοῦ ἀρχαίου δόξα, καὶ ὅτι ἐς τοιόνδε τι ὁρμήκει, ὁ δὲ οὐδὲ τῷ Λάμιδι τὸν ἑαυτοῦ νοῦν ἐκφήνας ἐς Ἀχαιοὺς ξὺν αὐτῷ ἔπλει, Κορίνθου δὲ ἐπιβὰς καὶ τῷ Ἡλίῳ περὶ μεσημβρίαν ὁπόσα εἰώθει δράσας ἀφῆκεν ἐς

1. ἀγνῶς. π et p. ante corr. ἁγνὰς. p. ex corr. 2, E. 3. ἡ om. f, l, v. 5. ἀδελφιδῆ. f. al. m. erasit δ. 6. ὁ om. p. ib. ὦ νὺξ. s. 7. καὶ μὴν om. fc, a, m. 9. τούτοις v et s. ante corr. 12. τοὺς. f. ib. χρηστοὺς. π, m. ib. ἀφίστη Δομετιανοῦ (Δομιτιανοῦ A. Δομητιανοῦ. B.) τοὺς — διαλεχθῆναί οἱ. E. (463.) 13. τῆς om. E. in edd. ib. ἐρρωνν. s, a, m. ἐρρόννυε. E. ib. καὶ τὰς μὲν ἐπιστολιμαίους. E. 14 αὐτῷ. l, s, a, m. ubi γρ. αὐτοῖς ᾤετο. ib. ᾠοντο. a, m. ib. πολλοὺς — οἰκία om. E. ib. τῶν ἐν. π. ἐν. p, 2, E. 15. τῶν δὲ ἑταίρων. E. ib. σωφροσυντ-
ἀπο
στάτους. l. idem αὐτοῦ. 16. διαλαμβάνων. EA. (sic.) ib. διάκονον ἔλεγε ποιοῦμαι. E. ib. ἀπορήτου. EB. ib. βαδίσαι δέ σε χρὴ ἐς Ῥώμην. E. 17. τὸν δεῖνα καὶ τὸν δεῖνα. EB. 20. δὴ ἄρξοι. π, 2 et m. γρ. διάρξοι. p. δὴ ἄρξαι. fc, E. ib. μὴ δ'. l, a, m. μήδ'. o. 21. χαλκῆς εἰκόνος — ἀναβιώσεται. E. 22. διαμαρτάνοις. l, s, E. ib. καὶ εἰ ἀποκτείνειας. E. 25. ἑαυτὸν. v. 27. δόξειν. o. δόξειεν. C, a, m. ib. ἀλλ' ἐκείνῳ. o. 28. ἐπεξέλθοι. 2, a, m. ib. ἤδη om. 2, a. 29. κοινοῦ. s. ante corr. a, m. ubi γρ. κοιτωνοῦ.
30. αὐτοῦ om. 2, a. 31. ταῦτα et in mg. γρ. πάντα. p. ib. τε om. a, m. 33. ὁρμήκει. C., E. Fo: ὡρμήκοι. 34. ἐπὶ μεσημβρίαν. v. περιμεσημβρίαν. l.

VII, 7. 8. 9. 10. p. 285. 286.

τὸ Σικελῶν καὶ Ἰταλῶν ἔθνος ἅμα ἐσπέρᾳ. τυχὼν δὲ οὐρίου πνεύματος καὶ τινος εὐροίας ὑποδραμούσης τὸ πέλαγος ἀφίκετο ἐς Δικαιάρχειαν πεμπταῖος. Δημητρίῳ δὲ ἐντυχών, ὃς ἐδόκει θαρσαλεώτατος τῶν φιλοσόφων, ἐπεὶ μὴ πολὺ ἀπὸ τῆς Ῥώμης διητᾶτο, ξυνίει μὲν αὐτοῦ ἐξεστηκότος τῷ τυράννῳ, διατριβῆς δὲ ἕνεκα „εἴληφά σε“ εἶπε „τρυφῶντα καὶ τῆς εὐδαίμονος Ἰταλίας, εἰ δὴ εὐδαίμων, τὸ μακαριώτατον οἰκοῦντα, ἐν ᾧ λέγεται καὶ Ὀδυσσεὺς Καλυψοῖ ξυνὼν ἐκλαθέσθαι κασνοῦ Ἰθακησίου καὶ οἴκου.“ περιβαλὼν δ' αὐτὸν ὁ Δημήτριος καί τι καὶ ἐπευφημήσας „ὦ θεοί,“ ἔφη „τί πείσεται φιλοσοφία κινδυνεύουσα περὶ ἀνδρὶ τοιούτῳ;“ „κινδυνεύει δὲ“ εἶπε „τί;“ „ἆ γε,“ ἔφη „προειδὼς ἥκεις· εἰ γὰρ τὸν σὸν ἀγνοῶ νοῦν, οὐδὲ τὸν ἐμαυτοῦ οἶδα. διαλεγώμεθα δὲ μὴ ἐνταῦθα, ἀλλ' ἴωμεν οὗ μόνων ἡμῶν ἡ ξυνουσία ἔσται, παρατυγχανέτω δὲ καὶ ὁ Δάμις, ὃν ἐγώ, νὴ τὸν Ἡρακλέα, Ἰόλεων ἡγοῦμαι τῶν σῶν ἄθλων.“ ἄγει δὲ αὐτοὺς εἰπὼν ταῦτα ἐς τὸ Κικέρωνος τοῦ παλαιοῦ χωρίον, ἔστι δὲ τοῦτο πρὸς τῷ ἄστει. ἱζησάντων δὲ ὑπὸ πλατάνῳ οἱ μὲν τέττιγες ὑποψαλλούσης αὐτοῖς τῆς ὥρας ἐν ᾠδαῖς ἦσαν, ἀναβλέψας δὲ ἐς αὐτοὺς ὁ Δημήτριος „ὦ μακάριοι“ ἔφη „καὶ ἀτεχνῶς σοφοί, ὡς ἐδίδαξάν τε ὑμᾶς ᾠδὴν ἄρα Μοῦσαι μήπω ἐς δίκας ἢ διαβολὰς ὑπαχθεῖσαν, γαστρός τε κρείττους ἐποίησαν καὶ ἀνώκισαν τοῦ ἀνθρωπείου φθόνου ἐς ταυτὶ τὰ δένδρα, ἐφ' ὧν ὄλβιοι τὴν ἐφ' ὑμῶν τε καὶ Μουσῶν εὐδαιμονίαν ᾄδετε.“ ὁ δὲ Ἀπολλώνιος ξυνίει μέν, οἳ τείνει ταῦτα, διαβαλὼν δ' αὐτὰ ὡς ἀργότερα τῆς ἐπαγγελίας, „εἶτα“ εἶπε „τεττίγων βουληθεὶς διελθεῖν ἔπαινον οὐκ ἐς τὸ φανερὸν διῄεις αὐτόν, ἀλλ' ἐνταῦθα πτήξας, ὥσπερ δημοσίᾳ κειμένου νόμου μηδένα ἐπαινεῖν τέττιγας;“ „οὐχ ὑπὲρ ἐπαίνου“ ἔφη „ταῦτα εἶπον, ἀλλ' ἐνδεικνύμενος, ὅτι τούτοις μὲν ἀνεῖται τὰ αὐτῶν μουσεῖα, ἡμῖν δὲ οὐδὲ γρύξαι συγγνώμη, ἀλλ' ἔγκλημα ἡ σοφία εὕρηται, καὶ ἡ μὲν Ἀνύτου καὶ Μελήτου γραφὴ „Σωκράτης“ φησὶν „ἀδικεῖ διαφθείρων τοὺς νέους καὶ δαιμόνια καινὰ ἐπεσάγων, ἡμᾶς δὲ οὑτωσὶ γράφονται· ἀδικεῖ ὁ δεῖνα σοφὸς ὢν καὶ δίκαιος καὶ ξυνιεὶς μὲν θεῶν, ξυνιεὶς δὲ ἀνθρώπων, νόμων τε πέρι πολλὰ εἰδώς. σὺ δ', ὅσῳ περ ἡμῶν σοφώτατος, τοσούτῳ σοφωτέρα κατηγορία ἐπὶ σὲ εὕρηται· βούλεται γάρ σε Δομετιανὸς μετέχειν τῶν ἐγκλημάτων, ἐφ' οἷς Νερούας τε καὶ οἱ ξὺν αὐτῷ φεύγουσι.“ „φεύγουσι δ'“ ἦδ' ὅς „ἐπὶ τῷ;“ „ἐπὶ τῇ μείζονι γε“ ἔφη „τῶν νῦν αἰτιῶν, ὡς δοκεῖ τῷ διώκοντι· φησὶ γὰρ αὐτοὺς ἐπὶ τὴν ἀρχὴν τὴν αὐτοῦ πηδῶντας ἠρηκέναι, σὲ δὲ ἐξορμῆσαι τοὺς ἄνδρας ἐς ταῦτα παῖδα, οἶμαι, τεμύντα.“ „μῶν“ ἔφη „ὡς ὑπ' εὐνούχου ἡ ἀρχὴ καταλυθείη;“ „οὐ τοῦτο“ ἔφη „συκοφαντούμεθα, φασὶ δ', ὡς παῖδα θύσαις ὑπὲρ μαντικῆς, ἣν τὰ νεαρὰ τῶν σπλάγχνων φαίνει, πρόσκειται δὲ τῇ γραφῇ καὶ περὶ ἀμπεχόνης καὶ διαίτης καὶ τὸ ἔστιν ὑφ' ὧν προσκυνεῖσθαί σε. ταυτὶ γὰρ Τελεσίνου ἤκουον ἀνδρὸς ἐμοί τε καὶ σοὶ ἐπιτηδείου.“ „ἕρμαιον,“ εἶπεν „εἰ Τελεσίνῳ ἐντευξόμεθα, λέγεις γάρ που τὸν φιλόσοφον, ὃς ἐπὶ Νέρωνος ἐν ὑπάτοις ἦρξεν;“ „ἐκεῖνον μὲν οὖν“ ἔφη „λέγω, ξυγγένοιο δ' ἂν αὐτῷ τίνα τρόπον; αἱ γὰρ τυραννίδες ὑποπτότεραι πρὸς τοὺς ἐν ἀξίᾳ πάντας, ἢν ἐς κοινὸν ἴωσι λόγον τοῖς ἐν οἵᾳ σὺ νῦν αἰτίᾳ, Τελεσῖνος δὲ καὶ τῷ κηρύγματι ὑπεξῆλθεν, ὃ κεκήρυκται νῦν ἐς φιλοσοφίαν πᾶσαν, ἀσπασάμενος μᾶλλον τὸ φεύγειν ὡς φιλόσοφος ἢ τὸ

2. ὃς — πολύ om. p. ib. θαρσαλεώτατος. π. θαρσαλεώτερος. 2, E. 6. δὲ. l. ib. ἐπευφημήσας. p, l. ἀπευφημήσας. π. ἀπευφημήσας. 2, E. 7. παρὰ. π. ib. κινδυνεύω. π. κινδυνεύω. p, 2, E. ib. ἆ γε. π, s, B, o. ἆτε. p, 2 praeter s. ἄγε. a, m. 8. προειδὼς ἥκεις om. a. ib. τὸν om. l. ib. μηδὲ ἐνταῦθα p. 9. οὗ μόνον. a. οὐ μόνον. v. 10. ἄψειν αὐτοὺς. 2. ib. lacuna in l. ante εἰπών. 11. ἱζησάντων — ἦσαν. Φ. (334, b, 5.) ib. δ' ὑπὸ. p, l. 12. ἐν ᾠδαῖς ἦσαν, ὑποψαλλούσης αὐτοῖς τῆς ὥρας. Φ. ib. αὐτοῖς. p, Φ. δὲ ἐς αὐτοὺς. π. αὐτοὺς. 2, E. 13. ᾗ εἰς. v. 14. ἀνώκησαν. p. ἀπώκισαν. v, B. ib. ἀνθρωπείου. 1. ἀνθρωπίνου. 2, E. 16. περὶ τεττίγων. p. 18. ὑπὲρ ἐκείνων p. ib. ἔφη ταῦτα. π, f, l. ταῦτα ἔφη. p, u, v, o ἔφη om. s, a, m. 19. συγγνώμη. 1, B. γνώμη. 2, E. 20. Μελίτου. m, o. 24. ἐπί τῳ. p, v, l. 25. μείζονι γε. 1. μείζονι. 2, E. ib. διώκοντι. π. διώξαντι. p, 2, E. 26. αὐτοῦ. l. αὐτοῦ 27. ὡς om. s, a. ib. εἶπε. v. 28. νεαρὰ. a et m. γρ. ib. πρόκειται. f, v, l. 30. ἐμοῦ. a. ib. σοί. π. 32. λέγων. v. ib. ὑποπτότεραι. 1. ὑπόπτεροι. 2, E. υποπτοι. B et J ad Vers. ib. ᾧ. l.

ὡς ὕπατος μένειν." „μὴ κινδυνευέτω" εἶπεν „ὁ ἀνὴρ ἐμοῦγε ἕνεκα, ἱκανῶς γὰρ ὑπὲρ φιλοσοφίας κινδυνεύει. ἀλλ' ἐκεῖνό μοι εἰπέ, Δημήτριε, τί δοκῶ σοι λέγων ἢ τί πράττων εὐ θήσεσθαι τὸν ἐμαυτοῦ φόβον;" „μὴ παίζων," ἔφη „μηδέ, ἃ δέδιας, φοβεῖσθαι λέγων, εἰ γὰρ φοβερὰ ἡγοῦ ταῦτα, κἂν ᾖχου ἀποδρὰς τὸν ὑπὲρ αὐτῶν λόγον." „σὺ δ' ἂν ἀπέδρας," εἶπεν „εἰ περὶ ὧν ἐγὼ ἐκινδύνευες;" „οὐκ ἄν," ἔφη „μὰ τὴν Ἀθηνᾶν, εἴ τις ἐδίκαζε, τὸ δ' ἄνευ δίκης καὶ ὃ μηδ', εἰ ἀπολογοίμην, ἀκροασόμενος ἢ ἀκροασόμενος μέν, ἀποκτενῶν δὲ καὶ μὴ ἀδικοῦντα. οὐκ ἂν ἔμοιγ' οὖν ξυνεχώρησας ἐλέσθαι ποτὲ ψυχρὸν οὕτω καὶ ἀνδραποδώδη θάνατον ἀντὶ τοῦ φιλοσοφίᾳ προσήκοντος. φιλοσοφίᾳ δέ, οἶμαι, προσήκει ἢ πόλιν ἐλευθεροῦντα ἀποθανεῖν ἢ γονεῦσι τοῖς ἑαυτοῦ καὶ παισὶ καὶ ἀδελφοῖς καὶ τῇ ἄλλῃ ξυγγενείᾳ ἀμύνοντα ἢ ὑπὲρ φίλων ἀγωνιζόμενον,
289 οἷ ξυγγενείας αἱρετώτεροι σοφοῖς ἀνδράσιν ἢ οἳ ἡμπολημένοι ἐξ ἔρωτος. τὸ δὲ μὴ ἐπ' ἀληθέσι, κεκομψευμένοις δ' ἀποθανεῖν καὶ παρασχεῖν τῷ τυράννῳ σοφῷ δόξαι πολλῷ βαρύτερον ἢ εἴ τις, ὥσπερ φασὶ τὸν Ἰξίονα, μετέωρος ἐπὶ τροχοῦ κνάμπτοιτο. σοὶ δὲ ἀγῶνος οἶμαι ἄρξειν αὐτὸ τὸ ἥκειν ἐνταῦθα, σὺ μὲν γὰρ τῷ τῆς γνώμης ὑγιαίνοντι προστίθης τοῦτο καὶ τῷ μὴ ἂν θαρρῆσαι τὴν δεῦρο ὁδόν, εἴ τι ἠδίκεις, Δομετιανῷ δὲ οὐ δόξεις, ἀλλ' ἀπόρρητόν τινα ἰσχὺν ἔχων θρασέως ἐρρῶσθαι. τὸ γὰρ καλοῦντος μέν, οὔπω δ' ἡμέραι δέκα, ὥς φασι, σὲ δ' ἀφῖχθαι πρὸς τὴν κρίσιν οὐδ' ἀκηκοότα πω, ὡς κριθήσῃ, νοῦν τῇ κατηγορίᾳ δώσει, προγιγνώσκων γὰρ ἂν φαίνοιο καὶ ὁ λόγος ὁ περὶ τοῦ παιδὸς ἰσχύσει. καὶ ὅρα, μὴ τὰ περὶ Μοιρῶν καὶ ἀνάγκης, ὑπὲρ ὧν ἐν Ἰωνίᾳ διειλέχθαι σέ φασιν, ἐπὶ σὲ ἥκῃ καὶ βουλομένης τι τῆς εἱμαρμένης ἄτοπον, σὺ δ' ἠναγκασμένος χωρῇς ἐπ' αὐτὸ οὐκ εἰδώς, ὡς σοφώτερον ἀεὶ τὸ φυλάττεσθαι. εἰ δὲ μὴ ἐκλέλησαι τῶν ἐπὶ Νέρωνος, οἶσθά που τοὐμὸν καὶ ὅτι μὴ ἀνελεύθερος ἐγὼ πρὸς θάνατον. ἀλλ' εἰχέ τι ῥᾳστώνης ἐκεῖνα· Νέρωνα γὰρ ἡ κιθάρα τοῦ μὲν προσφόρου βασιλείᾳ σχήματος ἐδόκει ἐκκρούειν, τὰ δὲ ἄλλα οὐκ ἀηδῶς ἤρμοττεν, ἦγε γάρ τινας πολλάκις δι' αὐτὴν ἐκχειρίας, καὶ ἀπείχετο τῶν
290 φόνων· ἐμὲ γοῦν οὐκ ἀπέκτεινε καίτοι τὸ ξίφος ἐπ' ἐμαυτὸν ἕλκοντα διὰ τοὺς σούς τε κἀμοῦ λόγους, οὓς ἐπὶ τῷ βαλανείῳ διῆλθον, αἴτιον δ' ἦν τοῦ μὴ ἀποκτεῖναι τὸ τὴν εὐφωνίαν αὐτῷ ἐπιδοῦναι τότε καὶ τό, ὡς ᾤετο, μελῳδίας λαμπρᾶς ἅψασθαι. νυνὶ δὲ τίνι μὲν εὐφωνίᾳ, τίνι δὲ κιθάρᾳ θύσομεν; ἄμουσα γὰρ καὶ μεστὰ χολῆς πάντα, καὶ οὔτ' ἂν ὑφ' ἑαυτοῦ ὅδε οὔτ' ἂν ὑφ' ἑτέρων θελχθείη. καίτοι Πίνδαρος ἐπαινῶν τὴν λύραν φησίν, ὡς καὶ τὸν τοῦ Ἄρεος θυμὸν θέλγει καὶ τῶν πολεμικῶν ἴσχει αὐτόν, οὑτοσὶ δὲ καίτοι μουσικὴν ἀγωνίαν καταστησάμενος ἐνταῦθα καὶ στεφανῶν δημοσίᾳ τοὺς νικῶντας ἔστιν οὓς καὶ ἀπέκτεινεν αὐτῶν, ὕστατά φασι μουσικὴν ἀγωνίαν
310 αὐλήσαντάς τε καὶ ᾄσαντας. βουλευτέα δέ σοι καὶ ὑπὲρ τῶν ἀνδρῶν, προσαπολεῖς γὰρ κἀκείνους ἢ θρασὺς δόξας ἢ εἰπών, ἃ μὴ πείσεις. ἡ σωτηρία δέ σοι παρὰ πόδα· τῶν γὰρ νεῶν τούτων, πολλαὶ δ', ὡς ὁρᾷς, εἰσίν, αἱ μὲν ἐς Λιβύην ἀφήσουσιν, αἱ δ' ἐς Αἴγυπτον, αἱ δ' ἐς Φοινίκην καὶ Κύπρον, αἱ δ' εὐθὺ Σαρδοῦς, αἱ δ' ὑπὲρ Σαρδώ· μιᾶς ἐπιβάντι σοι κομίζεσθαι κράτιστον ἐς ὁτιδὴ τῶν ἐθνῶν τούτων, αἱ γὰρ τυραννίδες ἧττον χαλεπαὶ τοῖς φανεροῖς τῶν ἀνδρῶν, ἢν ἐπαινοῦντας
315 αἴσθωνται τὸ μὴ ἐν φανερῷ ζῆν."

1. καὶ κινδυνευέτω. v. ib. γε om. 2. ib. γὰρ om. m. 2. τί om. v. ib. ἢ τί — λέγων om. fc, a. ib. τί om. p et l. pr. m. 3. ἃ μὴ. o. 4. εἶπεν ὑπὲρ ὧν ἐκινδύνευες. eraso εἰ. p. 5. ὃ μηδ' m, o. 6. ἀκροασάμενος C. ἀκροασόμενος. m, o. · ib. ἀκροασόμενος π, 2, E. ἀκροασάμενος. p. 10. οἳ ξυγγενείας. l. οἱ ξυγγενεία. f. ἢ ξυγγενείᾳ l. s, a. οἱ ξυγγενείας. m. o. ib. καὶ ἢ. o. ib. ἢ οἱ. C, (praeter l, ubi οἱ deest) E. ἢ ὅσοι. J. Sc. ἢ οἳ. 11. κεκομ-
οι
ψευμένους δ'. π. καὶ κεκομψευμένους. p. κεκομψευμένους δ'. 2, E. 12. κνάμπτοιτο. π, v, m, o. κάμπτοιτο. p. κράτοιτο. f, l, s, E. ib. σὺ δ'. v, l, s, a, m. 13. αὐτό. π, m, o. αὐτῷ. p, 2, a. ib. μὴ. π, s, E. μηδὲ. p, 2. praeter s. 16. οὐκ ἀκηκοότα ὡς. p. 19. δὲ om. 2, a. 24. τῷ τὴν. l. 25. μὲν om. v. 26. μεστὰ χολῆς. π, m, o μετὰ σχολῆς. p, 2, a et m. γρ. 27. Ἄρεος. π et p ex corr. Ἄρεως. 2, E. 30. περὶ. l. ib. γὰρ κἀκείνους. l. γάρ που κἀκείνους. 2, E. 31. πόδας p. 33. ὅτι δὴ. l, J. ad Vers. germ. ὅτι δεῖ. 2, E. 35. αἴσθωνται τὸ. π et m. γρ. αἴσθωνταί πω. p, 2, a, m. αἰσθωνταί πω τό. o.

VII. p. 289. 290.

Ἠττηθεὶς δ' ὁ Δάμις τῶν τοῦ Δημητρίου λόγων „ἀλλὰ σύ γε" ἔφη „φίλος ἀνδρὶ παρὼν γένοιο ἂν ἀγαθόν τι τούτῳ μέγα, ἐμοῦ γὰρ σμικρὸς λόγος, εἰ ξυμβουλέυοιμι αὐτῷ μὴ κυβιστᾶν ἐς ὀρθὰ ξίφη, μηδ' ἀναρριπτεῖν πρὸς τυραννίδα, ἧς οὐ χαλεπωτέρα ἐνομίσθη. τῆς γοῦν ὁδοῦ τῆς ἐνταῦθα, εἰ μή σοι ξυνέτυχον, οὐδὲ τὸν νοῦν ἐγίγνωσκον, ἕπομαι μὲν γὰρ αὐτῷ θᾶττον ἢ ἑαυτῷ τις, εἰ δὲ ἔροιο με, ποῖ πλέω ἢ ἐφ' ὅ τι, καταγέλαστος ἐγὼ τοῦ πλοῦ Σικελικὰ μὲν πελάγη καὶ Τυρρηνοὺς κόλπους ἀναμετρῶν, οὐκ εἰδὼς δέ, ὑπὲρ ὅτου. καὶ εἰ μὲν ἐκ προρρήσεως ἐκινδύνευον, εἶχον ἂν πρὸς τοὺς ἐρωτῶντας λέγειν, ὡς Ἀπολλώνιος μέν θανάτου ἐρᾷ, ἐγὼ δ' ἀντεραστὴς ξυμπλέω, ἐπεὶ δ' οὐδὲν οἶδα, ἐμὸν ἤδη λέγειν, ὑπὲρ ὧν οἶδα, λέξω δὲ αὐτὸ ὑπὲρ τοῦ ἀνδρός· εἰ μὲν γὰρ ἐγὼ 291
ἀποθάνοιμι, οὔπω δεινὰ φιλοσοφία πείσεται, σκευοφόρῳ γὰρ εἴκασμαι στρατιώτου γενναίου λόγου ἀξιούμενος, ὅτι τοιῷδε ἕπομαι, εἰ δὲ ἔσται τις, ὃς ἀποκτενεῖ τοῦτον, εὔποροι δ' αἱ τυραννίδες τὰ μὲν ξυνθεῖναι, τὰ δὲ ἐξᾶραι, τρόπαιον μὲν οἶμαι κατὰ φιλοσοφίας ἑστήξει σφαλείσης περὶ τῷ ἄριστα ἀνθρώπων φιλοσοφήσαντι, πολλοὶ δὲ Ἄνυτοι καθ' ἡμῶν καὶ Μέλητοι, γραφαὶ δ' αἱ μὲν ἔνθεν, αἱ δὲ ἐκεῖθεν ἐπὶ τοὺς Ἀπολλωνίῳ ξυγγενομένους, ὡς ὁ μέν τις ἐγέλασε καθαπτομένου τῆς τυραννίδος, ὁ δ' ἐπέρρωσε λέγοντα, ὁ δ' ἐνέδωκε λέξαι τι, ὁ δ' ἀπῆλθε ξὺν ἐπαίνῳ ὧν ἤκουσεν. ἐγὼ δ' ἀποθνήσκειν μὲν ὑπὲρ φιλοσοφίας οὕτω φημὶ δεῖν, ὡς ὑπὲρ ἱερῶν καὶ τειχῶν καὶ τάφων, ὑπὲρ σωτηρίας γὰρ τῶν τοιῶνδε πολλοὶ καὶ ὀνομαστοὶ ἄνδρες ἀποθανεῖν ἠσπάζοντο, ὡς δὲ ἀπολέσθαι φιλοσοφίαν μήτε ἐγὼ ἀποθάνοιμι μήτε ὅστις ἐκείνης τε καὶ Ἀπολλωνίου ἐρᾷ."

Πρὸς ταῦτα ὁ Ἀπολλώνιος „Δάμιδι μὲν ὑπὲρ τῶν παρόντων εὐλαβῶς διειλεγμένῳ ξυγγνώμην" XIV
ἔφη „προσήκει ἔχειν, Ἀσσύριος γὰρ ὢν καὶ Μήδοις προσοικήσας, οὗ τὰς τυραννίδας προσκυνοῦσιν, οὐδὲν ὑπὲρ ἐλευθερίας ἐνθυμεῖται μέγα, σὺ δ' οὐκ οἶδ' ὅ τι πρὸς φιλοσοφίαν ἀπολογήσῃ, φόβους ὑποτιθείς, ὧν, εἴ τι καὶ ἀληθὲς ἐφαίνετο, ἀπάγειν ἐχρῆν μᾶλλον ἢ ἔσω καθιστάναι τοῦ φοβεῖσθαι τὸν μηδ' ἃ παθεῖν εἰκὸς ἦν δεδιότα. σοφὸς δ' ἀνὴρ ἀποθνησκέτω μὲν ὑπὲρ ὧν εἶπας, ἀποθάνοι δ' ἄν τις ὑπὲρ τούτων καὶ μὴ σοφός, τὸ μὲν γὰρ ὑπὲρ ἐλευθερίας ἀποθνήσκειν νόμῳ προστέτακται, τὸ δ' ὑπὲρ ξυγγενείας ἢ φίλων ἢ παιδικῶν φύσις ὥρισε, δουλοῦται δὲ ἅπαντας ἀνθρώπους φύσις καὶ νόμος, φύσις μὲν καὶ ἑκόντας, νόμος δὲ ἄκοντας· σοφοῖς δὲ οἰκειότερον τελευτᾶν ὑπὲρ ὧν ἐπετήδευσαν· ἃ γὰρ μὴ νόμου ἐπιτάξαντος, μηδὲ φύσεως ξυντεκούσης αὐτοὶ ὑπὸ ῥώμης τε καὶ θράσους ἐμελέτησαν, ὑπὲρ τούτων, εἰ καταλύοι τις αὐτά, ἴτω μὲν πῦρ ἐπὶ τὸν σοφόν, 292
ἴτω δὲ πέλεκυς, ὡς νικήσει αὐτὸν οὐδὲν τούτων, οὐδὲ ἐς ὁτιοῦν περιελᾷ ψεῦδος, καθέξει δέ, ὁπόσα οἶδε, μεῖον οὐδὲν ἢ ἃ ἐμνήθη. ἐγὼ δὲ γιγνώσκω μὲν πλεῖστα ἀνθρώπων, ἅτε εἰδὼς πάντα, οἶδα δὲ ὧν οἶδα τὰ μὲν σπουδαίοις, τὰ δὲ σοφοῖς, τὰ δὲ ἐμαυτῷ, τὰ δὲ θεοῖς, τυράννοις δὲ οὐδέν. ὡς δὲ οὐχ ὑπὲρ ἀνοήτων ἥκω, σκοπεῖν ἔξεστιν· ἐγὼ γὰρ περὶ μὲν τῷ ἐμαυτοῦ σώματι κινδυνεύω οὐδέν, οὐδ' ἀποθάνοιμι ὑπὸ τῆς τυραννίδος, οὐδ' εἰ αὐτὸς βουλοίμην, ξυνίημι δὲ κινδυνεύων περὶ τοῖς ἀνδράσιν, ὧν εἴτε ἀρχὴν εἴτε προσθήκην ποιεῖταί με ὁ τύραννος, εἰμὶ πᾶν ὅ τι βούλεται. εἰ δὲ προυδίδουν σφᾶς ἢ βραδύνων ἢ βλακεύων πρός τὴν αἰτίαν, τίς ἂν

1. ἠττηθεὶς – χαλεπωτέρα. Φ (334, b, 7). 2. ἐμοῦ δὲ. a, m. ib. ἐπ' ὀρθά. Φ. 3. ἀναρρίπτειν. Φ. ib. ἧς οὔπω. Φ. 4. σοι om. v, l, et s pr. m. ib. μὲν om. v, a, m. 5. ἔροιτο. o. εὕροιο. v. 6. δὲ om. o. ib. ὑπὲρ τούτου. v. 7. τοὺς om. fc. E. 11. φιλοσοφίαν. l, s, a, m. ib. καὶ περὶ. p, s. sec. m. a, m. 12. ἀνθρώπῳ. a, m. ib. γραφαὶ, αἱ. 2. 13. ἐπὶ τῷ Ἀπ. v. 14. λέξαντι. p. ante corr. et v. ib. ὃν ἤκουσεν. f, al. m. supra sc. ᾧ. 16. τῶν om. l et s. pr. m. ib. καὶ om. v. ib. ἠσπάζοντο. π, l. ἠσπάσαντο. p, f, v, s, E. 18. ὥστε. v.
19. προσοικίσας. s, E. 22. εἰ μηδ'. C, a, m. καὶ μήδ'. o. Priorem particulam delevi. Fo. εἴ τις, μηδ'. ib. καὶ μὴ ὑπὲρ. v, l. 24. παίδων. p. ib. φύσις μὲν. s, E. ib. δηλοῦται. l. ib. φύσις καὶ νόμος om. p. 25. νόμοι. v. 26. ἐπιτήδευσαν. s, a. ib. ὑπὲρ ῥώμης. p. 28. αὐτῶν οὐδὲν τούτων. et corr. τοῦτον. p. 30. ἐγὼ – θεοῖς. E. (458.)
ἐγὼ
29. ἅτε δὴ. E praeter B. 31. ἐγὼ γὰρ. π. ἐγώ. p. λέγω γὰρ. f, v, l. λέγω γὰρ. s, sec. m. λέγω ἐγὼ γὰρ fc, a. ἐγὼ γὰρ λέγω. m, o. 32. κινδυνεύω δὲ. 2, a et m. γρ. ib. Fo. ἀποθάνοιμ' ἄν. ib. ὑπὸ τῆς. π, m, o. ὑπὲρ τῆς p. 2, a et m. γρ. 34. προυδίδουν. π. προυδίδων. p, f, v, o. προδίδων. l, s, a. προυδίδω. m. ib. εἴτε βραδύνων εἴτε. p. ib. ἢ βακχεύων πρὸς. v.

τοῖς σπουδαίοις ἔδοξα; τίς δ' οὐκ ἂν ἀπέκτεινέ με εἰκότως, ὡς παίζοντα ἐς ἄνδρας, οἷς, ἃ παρὰ τῶν θεῶν ἦτουν, ἀνετέθη; ὅτι δ' οὐκ ἦν μοι διαφυγεῖν τὸ μὴ οὐ προδότης δόξαι, δηλῶσαι βούλομαι· τυραννίδων ἤθη διττά, αἱ μὲν γὰρ ἀκρίτους ἀποκτείνουσιν, αἱ δὲ ὑπαχθέντας δικαστηρίοις, ἐοίκασι δ' αἱ μὲν τοῖς θερμοῖς τε καὶ ἑτοίμοις τῶν θηρίων, αἱ δὲ τοῖς μαλακωτέροις τε καὶ ληθάργοις. ὡς μὲν δὴ χαλεπαὶ ἄμφω, δῆλον πᾶσι παράδειγμα ποιουμένοις τῆς μὲν ὁρμώσης καὶ ἀκρίτου Νέρωνα, τῆς δὲ ὑποκαθημένης Τιβέριον, ἀπώλλυσαν γὰρ ὁ μὲν οὐδ' οἰηθέντας, ὁ δ' ἐκ πολλοῦ δείσαντας. ἐγὼ δ' ἡγοῦμαι χαλεπωτέρας τὰς δικάζειν προσποιουμένας καὶ ψηφίζεσθαί τι ὡς ἐκ τῶν νόμων, πράττουσι μὲν γὰρ κατ' αὐτοὺς οὐδέν, ψηφίζονται δ', ἅπερ οἱ μηδὲν κρίναντες, ὄνομα τῷ
293 διατρίβοντι τῆς ὀργῆς θέμενοι νόμον. τὸ δ' ἀποθνήσκειν κατεψηφισμένους ἀφαιρεῖται τοὺς ἀθλίους καὶ τὸν παρὰ τῶν πολλῶν ἔλεον, ὃν ὥσπερ ἐντάφιον χρὴ ἐπιφέρειν τοῖς ἀδίκως ἀπελθοῦσι. δικαστικὸν μὲν δὴ τὸ τῆς τυραννίδος ταύτης ὁρῶ σχῆμα, τελευτᾶν δέ μοι δοκεῖ ἐς ἄκριτον, ὧν γὰρ πρὶν ἢ δικάσαι κατεψηφίσατο, τούτους ὡς μήπω δεδικασμένους ὑπάγει τῇ κρίσει, καὶ ὁ μὲν ψήφῳ ἁλοὺς ἐν αὐτῇ δῆλον ὡς ὑπὸ τοῦ μὴ κατὰ νόμους κρίναντος ἀπολωλέναι φησίν, ὁ δ' ἐκλιπὼν τὸ δικάσασθαι πῶς ἂν διαφύγοι τὸ μὴ οὐκ ἐφ' ἑαυτῷ ἐψηφίσθαι; τὸ δὲ καὶ τοιῶνδε ἀνδρῶν κειμένων ἐπ' ἐμοὶ νῦν ἀποδρᾶναι τὸν ἐμαυτοῦ τε κἀκείνων ἀγῶνα ποῖ με τῆς γῆς ἐάσει καθαρὸν δόξαι; ἔστω γὰρ σὲ μὲν εἰρηκέναι ταῦτα, ἐμὲ δὲ ὀρθῶς εἰρημένοις πείθεσθαι, τοὺς δὲ ἀπεσφάχθαι, τίς μὲν ὑπὲρ εὐπλοίας εὐχὴ τῷ τοιῷδε; ποῖ δὲ ὁρμιεῖται; πορεύσεται δὲ παρὰ τίνα; ἐξαλλάττειν γὰρ χρὴ οἶμαι πάσης, ὁπόσης Ῥωμαῖοι ἄρχουσι, παρ' ἄνδρας δὲ ἥκειν ἐπιτηδείους τε καὶ μὴ ἐν φανερῷ οἰκοῦντας, τουτὶ δ' ἂν Φραώτης τε εἴη καὶ ὁ Βαβυλώνιος καὶ Ἰάρχας ὁ θεῖος καὶ Θεσπεσίων ὁ γενναῖος. εἰ μὲν δὴ ἐπ' Αἰθιόπων στελλοίμην, τί ἄν, ὦ λῷστε, πρὸς Θεσπεσίωνα εἴποιμι; εἴτε γὰρ κρύπτοιμι ταῦτα, ψευδολογίας ἐραστὴς δόξω, μᾶλλον δὲ δοῦλος, εἴτε ἐς ἀπαγγελίαν αὐτῶν ἴοιμι, τοιῶνδέ που δεήσει λόγων· ἐμέ, ὦ Θεσπεσίων, Εὐφράτης πρὸς ὑμᾶς διέβαλεν, ἃ μὴ ἐμαυτῷ ξύνοιδα· ὁ μὲν γὰρ κομπαστὴν ἔφη καὶ τερατώδη με εἶναι καὶ ὑβριστὴν σοφίας, ὁπόση Ἰνδῶν, ἐγὼ
294 δὲ ταυτὶ μὲν οὐκ εἰμί, προδότης δὲ τῶν ἐμαυτοῦ φίλων καὶ σφαγεὺς καὶ οὐδὲν πιστὸν καὶ τὰ τοιαῦτά εἰμι, στέφανόν τε ἀρετῆς, εἴ τις, στεφανωσόμενος ἥκω τοῦτον, ἐπειδὴ τοὺς μεγίστους τῶν κατὰ τὴν Ῥώμην οἴκων οὕτως ἀνεῖλον, ὡς μηδὲ οἰκήσεσθαι αὐτοὺς ἔτι. ἐρυθριᾷς, Δημήτριε, τούτων ἀκούων, ὁρῶ γάρ. τίς οὖν, εἰ καὶ Φραώτην ἐνθυμηθείης κἀμὲ παρὰ τὸν ἄνδρα τοῦτον ἐς Ἰνδοὺς φεύγοντα, πῶς μὲν ἂν ἐς αὐτὸν βλέψαιμι; τί δ' ἂν εἴποιμι ὑπὲρ ὧν φεύγω; μῶν ὡς ἀφικόμην μὲν καλὸς κἀγαθὸς πρότερον καὶ τὸν θάνατον τὸν ὑπὲρ φίλων οὐκ ἄθυμος, ἐπεὶ δὲ ξυνεγενόμην αὐτῷ, τὸ θειότατον τουτὶ τῶν κατὰ ἀνθρώπους ἄτιμον ἔρριψά σοι; ὁ δὲ Ἰάρχας οὐδὲ ἐρήσεται οὐδὲν ἥκοντα, ἀλλ' ὥσπερ ὁ Αἴολός ποτε τὸν Ὀδυσσέα κακῶς χρησάμενον τῷ τῆς εὐπλοίας δώρῳ ἄτιμον ἐκέλευσε χωρεῖν τῆς νήσου, κἀμὲ δήπου ἀπελᾷ τοῦ ὄχθου, κακὸν εἰπὼν ἐς τὸ Ταντάλειον γεγονέναι πόμα, βούλονται γὰρ τὸν ἐς αὐτὸ κύψαντα καὶ κινδύνων κοινωνεῖν τοῖς φίλοις. οἶδα, ὡς δεινὸς εἶ, Δημήτριε, λόγους ξυντεμεῖν πάντας, ὅθεν μοι δοκεῖς καὶ τοιοῦτό τι ἐρεῖν πρός με· ἀλλὰ μὴ παρὰ τούτους ἴθι, παρ' ἄνδρας δέ, οἷς μήπω ἐπέμιξας, καὶ εὖ κείσεταί σοι τὸ ἀποδρᾶναι, ῥᾷον γὰρ ἐν οὐκ εἰδόσι λήσῃ. βασανιξέσθω δὲ καὶ ὅδε ὁ λόγος, ὅπῃ τοῦ πιθανοῦ ἔχει· δοκεῖ γάρ

1. τίς οὐκ. p. 2. ἀνετέθην. f, pr. m., s, a, m. ib. οὐ μὴ. E. ib. προδότη. f. 3. δικαστηρίῳ. p. 5. χαλεπαί. C. χαλεπόν. τῆς a, m. χαλεπώ. o. 6. ὑποκαθειμένης. B. 8. γὰρ om. s, a. 9. τῆς ὀργῆς. 1, B. πρὸς ὀργῆς. f, al. m. τῆς πρὸς ὀργῆς. v, l, s, a, m. τοῖς πρὸς ὀργῆς. o ex conj. Salm. 11. μὲν δὴ et τῆς om. l. δὴ τὸ τῆς om. s. pr. m. 13. φήσει. p. 14. μὴ ἑαυτῷ v. μὴ οὐκ ἐπ' αὐτῷ. o. ib. καὶ om. p. 18. δὲ ἥκειν. C. δὴ ἥκειν. E. ib. καὶ om. p. 19. Θεσπίων. f ut alibi. 20. στελοίμην. l. 23. ὁπόση Ἰνδῶν. 1, m. ὁπόσης Ἰνδῶν. 2, a. ὁπόση Αἰθιόπων. o. 24. προδότης τε. a, m. 25. εἴ τις. 1. εἴ τις ἐνταῦθα. 2, E. 26. μὴ οἰκήσεσθαι. l, s, a, m. μὲν om. s, a. 32. εἰπὼν ἐς. p. ex corr. u, o. εἰπόντες. π. 2, a, m. ib. Ταντάλιον. π, l, s, a. 33. γεγονέναι. p. ex corr. o. γέγονέ με. u, (sic quidem Ol.) γέγονε. π, 2. a, m. ib. εἰς αὐτόν. s, a. 34. τοιοῦτόν τι. p. 35. περὶ. p. 36. οὐκ ἐν εἰδόσι. p, a. ἐν εἰδόσι. s. sec. m. supra scr. οὐκ. ib. γὰρ με. f, v, l.

μοι περὶ αὐτοῦ τάδε· ἐγὼ ἡγοῦμαι τὸν σοφὸν μηδὲν ἰδίᾳ μηδ' ἐφ' ἑαυτοῦ πράττειν, μηδ' ἂν ἐνθυμηθῆναί τι οὕτως ἀμάρτυρον, ὡς μὴ αὐτὸν γοῦν ἑαυτῷ παρεῖναι, καὶ εἴτε Ἀπόλλωνος αὐτοῦ τὸ Πυθοῖ γράμμα, εἴτε ἀνδρὸς ὑγιῶς ἑαυτὸν γνόντος καὶ διὰ τοῦτο γνώμην αὐτὸ ποιουμένου ἐς πάντας, δοκεῖ μοι ὁ σοφὸς ἑαυτὸν γιγνώσκων καὶ παραστάτην ἔχων τὸν ἑαυτοῦ νοῦν μήτ' ἂν πτῆξαί τι ὧν οἱ πολλοί, μήτ' ἂν θαρσῆσαί τι ὧν ἕτεροι μὴ ξὺν αἰσχύνῃ ἅπτονται· δοῦλοι γὰρ 5 295
τῶν τυραννίδων ὄντες καὶ προδοῦναι αὐταῖς ποτε τοὺς φιλτάτους ὥρμησαν, τὰ μὲν μὴ φοβερὰ δείσαντες, ἃ δὲ χρὴ δεῖσαι μὴ φοβηθέντες. σοφία δὲ οὐ ξυγχωρεῖ ταῦτα· πρὸς γὰρ τῷ Πυθικῷ ἐπιγράμματι καὶ τὸ τοῦ Εὐριπίδου ἐπαινεῖ ξύνεσιν ἡγουμένου περὶ τοὺς ἀνθρώπους εἶναι τὴν ἀπολλῦσαν αὐτοὺς νόσον, ἐπειδὰν ἐνθυμηθῶσιν, ὡς κακὰ εἰργασμένοι εἰσίν. ἦδε γάρ που καὶ τῷ Ὀρέστῃ τὰ τῶν Εὐμενίδων εἴδη ἀνέγραφεν, ὅτε δὴ ἐμαίνετο ἐπὶ τῇ μητρί, νοῦς μὲν γὰρ τῶν πρα- 10
κτέων κύριος, σύνεσις δὲ τῶν ἐκείνῳ δοξάντων. ἦν μὲν δὴ χρηστὰ ἔληται ὁ νοῦς, πέμπει ἤδη τὸν ἄνδρα ἡ ξύνεσις ἐς πάντα μὲν ἱερά, πάσας δὲ ἁγυιάς, πάντα δὲ τεμένη, πάντα δὲ ἀνθρώπων ἤθη κροτοῦσά τε καὶ ᾄδουσα, ἐφυμνήσει δὲ αὐτῷ καὶ καθεύδοντι, παριστᾶσα χορὸν εὔφημον ἐκ τοῦ τῶν ὀνείρων δήμου, ἢν δ' ἐς φαῦλα ὀλισθήσῃ ἡ τοῦ νοῦ στάσις, οὐκ ἐᾷ τοῦτον ἡ ξύνεσις οὔτε ὄμμα ὀρθὸν ἐς ἀνθρώπων τινὰ ἀφεῖναι οὔτε τὸ ἀπ' ἐλευθέρας γλώττης φθέγμα, ἱερῶν τε ἀπελαύ- 15
νει καὶ τοῦ εὔχεσθαι, οὐδὲ γὰρ χεῖρα αἴρειν ξυγχωρεῖ ἐς τὰ ἀγάλματα, ἀλλ' ἐπικόπτει αἴροντας, ὥσπερ τοὺς ἐπανατεινομένους οἱ νόμοι, ἐξίστησι δὲ αὐτοὺς καὶ ὁμίλου παντὸς καὶ δειματοῖ καθεύδοντας, καὶ ἃ μὲν ὁρῶσι μεθ' ἡμέραν καὶ εἰ δή τινα ἀκούειν ἢ λέγειν οἴονται, ὀνειρώδη καὶ ἀνεμιαῖα ποιεῖ τούτοις, τὰς δὲ ἀμυδρὰς καὶ φαντασιώδεις πτοίας ἀληθεῖς ἤδη καὶ πιθανὰς τῷ φόβῳ. ὡς μὲν δὴ ἐλέγξει με ἡ σύνεσις ἐς εἰδότας τε καὶ μὴ εἰδότας ἥκοντα, προδότης εἰ γενοίμην τῶν 20
ἀνδρῶν, δεδεῖχθαί μοι σαφῶς οἶμαι καὶ ὡς φαίνει ἀλήθεια, προδώσω δὲ οὐδὲ ἐμαυτόν, ἀλλ' ἀγωνοῦμαι πρὸς τὸν τύραννον, τὸ τοῦ γενναίου Ὁμήρου ἐπειπών· ξυνὸς Ἐνυάλιος."

Ὑπὸ τούτων ὁ Δάμις τῶν λόγων αὐτὸς μὲν οὕτω διατεθῆναί φησιν, ὡς ὁρμήν τε ἀναλαβεῖν XV 296
καὶ θάρσος, τὸν Δημήτριον δὲ μὴ ἀπογνῶναι τοῦ ἀνδρός, ἀλλ' ἐπαινέσαντα καὶ ξυνθέμενον οἷς εἶπεν ἐπιθειάσαι οἱ ὑπὲρ οὗ κινδυνεύει καὶ φιλοσοφίᾳ αὐτῇ, ὑπὲρ ἧς καρτερεῖ ταῦτα, ἡγεῖσθαί 25
τε αὐτοῖς οὐ καταλύων ἐτύγχανε, τὸν δὲ Ἀπολλώνιον παραιτούμενον τοῦτο „δείλη ἤδη" φάναι „καὶ χρὴ περὶ λύχνων ἁφὰς ἐς τὸν Ῥωμαίων λιμένα ἀφεῖναι, τουτὶ γὰρ ταῖς ναυσὶ ταύταις νόμιμον. ξυσσιτήσομεν δέ, ἐπειδὰν εὖ τἀμὰ ἔχῃ, νυνὶ γὰρ ἂν καὶ κατασκευασθείη τις αἰτία ἐπὶ σὲ ὡς ξυσσιτήσαντα τῷ τοῦ βασιλέως ἐχθρῷ, καὶ μηδὲ τὴν ἐπὶ τοῦ λιμένος μεθ' ἡμῶν ἴθι, μὴ καὶ τὸ λόγου σε κεκοινωνηκέναι μοι διαβάλῃ ἐς ἀπορρήτους βουλάς." ξυνεχώρησε μὲν δὴ ὁ Δημήτριος 30
καὶ περιβαλὼν αὐτοὺς ἀπῄει μεταστρεφόμενός τε καὶ τὰ δάκρυα ἀποψῶν, ὁ δὲ Ἀπολλώνιος ἰδὼν ἐς τὸν Δάμιν „εἰ μὲν ἔρρωσαι" ἔφη „καὶ θαρσεῖς ἅπερ ἐγώ, βαδίσωμεν ἅμφω ἐπὶ τὴν ναῦν, εἰ δὲ ἀθύμως ἔχεις, ὥρα σοι καταμένειν ἐνταῦθα, Δημητρίῳ γὰρ ξυνέσῃ τὸν χρόνον τοῦτον ἀνδρὶ σοί τε κἀμοὶ ἐπιτηδείῳ." ὑπολαβὼν δὲ ὁ Δάμις „καὶ τίνα" ἔφη „νομιῶ ἐμαυτόν, εἰ τοιαῦτά σου

1. τὰ δε. E. ib. μηδὲ ἰδίᾳ p. 2. αὐτὸν. l, E. ib. Ἀπολλώνιος. a. 5. πτῆξαι — θαρσῆσαι. l. 6. μὲν φοβερὰ. p. μὲν δὴ φοβερά. v. 8. Εὐριππίδου. l. ib. ἐπαινεῖ. 1, o et m. γρ. ἐπῄνει. 2, a, m. 9. ἀπολῦσαν. p. ἀπολλύσαν. l, a, m. ἀπολλύσασαν. o. ib. αὐτοὺς. C, E. Sc. αὐτοὺς νόσον. 10. δὴ ἐμαίνετο. p. δειμαίνεται. π. δὴ μαίνεται. 2, E. 12. δὲ τὰ τεμένη. v. ib. ἀνθρώπων εἴδη. v et s pr. m. 13. περιστᾶσα. v. 14. δόμου. l, s, a. 15. ὀφθῆναι. v. 16. ἐπικόπτει. p, S. ἐπισκώπτει. π, 2, E. 18. καθημέραν. 2. (μεθημέραν s ex corr.) ib. καὶ εἰ δὴ. π, Bo. καὶ ἤδη. p, 2, a, m. κἂν ἤδη. o. 19. τῷ φόβῳ. p. τοῦ φόβου. π, 2, E. 20. εἰ om. l, s (pr. m.) a, m. 21. οὐδ'. p, f.
22. ξυνθέμενος. a. 25. φιλοσοφίαν αὐτὴν. C, a, m. φιλοσοφίᾳ αὐτῇ. o. 28. ξυσσιτήσομαι. p. ib. ἐπὶ σὲ αἰτία. οι
p. αἰτία ἐπί σε. o. 29. ξυσσιτήσοντα. f, v, l. ib. τοῖς βασιλεῦσιν. p. 30. σε κεκοινωνηκέναι με. π. inde σε κεκ. μοι. m. (ubi γρ. λόγου κεκ. με.) κεκοινηκέναι με. p, 2, a. κεκ. σε o. ib. μεταβάλῃ. f, l et s. pr. m. μεταβάλλῃ. v. ib. ἐς om. a. 32. ἔρρωσο. v. 34. καί τινα. π, m, o. ib. ἐπ' αὐτὸν. f, v, l.

διειλεγμένου σήμερον ὑπὲρ φίλων καὶ κοινωνίας κινδύνων, οἳ ἐπ' αὐτοὺς ἥκουσιν, ἐγὼ δ' ἀνήκοος τοῦ λόγου φεύγοιμί σε καὶ ἀποκινδυνεύοιμί σου, μήπω πρότερον κακὸς ὑπὲρ σοῦ δόξας;" „ὀρθῶς" ἔφη „λέγεις καὶ ἴωμεν, ἐγὼ μέν, ὡς ἔχω, σὲ δὲ χρὴ μετασκευάζειν σαυτὸν ἐς τὸ δημοτικώτερον καὶ μήτε κομᾶν, ὡς γοῦν ἔχεις. τρίβωνά τε ἀνταλλάττεσθαι τουτονὶ τοῦ λίνου καὶ τὸ ὑπόδημα παραιτεῖσθαι τοῦτο· τί δὲ βούλεταί μοι ταῦτα, χρὴ διαλεχθῆναι· λῷον γὰρ καὶ πλείω καρτερῆσαι
297 πρὸ τῆς δίκης. οὐ δὴ βούλομαι κοινωνῆσαί μοι τούτων ξυλληφθέντα, ξυλληφθείης γὰρ ἂν διαβεβλημένου τοῦ σχήματος, ἀλλ' ὡς μὴ φιλοσοφοῦντα μέν, ἐπιτήδειον δὲ ἄλλως ὄντα μοι ξυνέπεσθαί τε καὶ παρατυγχάνειν οἷς πράττω." αἰτία μὲν ἦδε τοῦ μεταβαλεῖν τὸν Δάμιν τὸ τῶν Πυθαγορείων σχῆμα, οὐ γὰρ ὡς κακίων γε αὐτὸ μεθεῖναί φησιν, οὐδὲ μεταγνούς, τέχνην δὲ ἐπαινέσας, ἣν ὑπῆλθεν ἐς τὸ ξυμφέρον τοῦ καιροῦ.

XVI Ἀποπλεύσαντες δὲ τῆς Δικαιαρχείας τριταῖοι κατῆραν ἐς τὰς ἐκβολὰς τοῦ Θύμβριδος, ἀφ' ὧν ξύμμετρος ἐς τὴν Ῥώμην ἀνάπλους. τὸ μὲν δὴ βασίλειον ξίφος ἦν ἐπ' Αἰλιανῷ τότε, ὁ δ' ἀνὴρ οὗτος πάλαι τοῦ Ἀπολλωνίου ἦρα ξυγγεγονώς ποτε αὐτῷ κατ' Αἴγυπτον καὶ φανερὸν μὲν οὐδὲν ὑπὲρ αὐτοῦ πρὸς τὸν Δομετιανὸν ἔλεγεν, οὐ γὰρ ξυνεχώρει ἡ ἀρχή, τὸν γὰρ δοκοῦντα τῷ βασιλεῖ ἀπηχθῆσθαι πῶς μὲν ἂν πρὸς αὐτὸν ἐπῄνεσε, πῶς δ' ἂν ὡς ἐπιτήδειον αὐτῷ παρῃτήσατο; τέχναι μήν ὁπόσαι εἰσὶν ἀφανῶς ἀμύνουσαι, πάσαις ὑπὲρ αὐτοῦ ἐχρῆτο, ὅς γε καὶ τὸν χρόνον, ὃν, πρὶν ἥκειν, διεβάλλετο „ὦ βασιλεῦ", ἔφη „κουφολόγον οἱ σοφισταὶ χρῆμα καὶ ἀλαζὼν ἡ τέχνη, καὶ ἐπεὶ μηδὲν χρηστὸν τοῦ εἶναι ἀπολαύουσι, θανάτου γλίχονται, καὶ οὐ περιμένουσιν αὐτοῦ τὸ αὐτόματον, ἀλλ' ἐπισπῶνται τὸν θάνατον ἐκκαλούμενοι τοὺς ἔχοντας ξίφη. ταῦθ' ἡγοῦμαι καὶ Νέρωνα ἐνθυμηθέντα μὴ ὑπαχθῆναι ὑπὸ Δημητρίου ἀποκτεῖναι αὐτόν, ἐπεὶ γὰρ θανατῶντα ᾔσθετο, οὐ κατὰ ξυγγνώμην ἐπανῆκεν αὐτῷ τὸν θάνατον, ἀλλὰ καθ' ὑπεροψίαν τοῦ κτεῖναι. καὶ μὴν καὶ Μουσώνιον τὸν Τυρρηνὸν πολλὰ τῇ ἀρχῇ ἐναντιωθέντα τῇ νήσῳ ξυνέσχεν, ᾗ ὄνομα Γύαρα, καὶ οὕτω τι τῶν σοφιστῶν τούτων ἥττους Ἕλληνες, ὡς τότε μὲν κατὰ ξυνουσίαν αὐτοῦ ἐσπλεῖν πάντας, νυνὶ δὲ κατὰ ἱστορίαν τῆς κρήνης· ἐν γὰρ τῇ νήσῳ ἀνύδρῳ οὔσῃ πρότερον εὕρημα Μουσωνίου
XVII 298 κρήνη ἐγένετο, ἣν ᾄδουσιν Ἕλληνες, ὅσα Ἑλικῶνι τὴν τοῦ ἵππου." τούτοις μὲν δὴ διῆγεν ὁ Αἰλιανὸς τὸν βασιλέα, πρὶν ἥκειν Ἀπολλώνιον, ἀφικομένου δὲ σοφωτέρων ἥπτετο, κελεύει μὲν γὰρ ξυλληφθέντα αὐτὸν ἀναχθῆναί οἱ, λοιδορουμένου δ' αὐτῷ τοῦ τὴν κατηγορίαν ξυνθέντος ὡς γόητι καὶ ἱκανῷ τὴν τέχνην ὁ μὲν Αἰλιανὸς „τῷ βασιλείῳ δικαστηρίῳ" ἔφη „σαυτόν τε καὶ τὰ τούτου φύλαττε," ὁ δ' Ἀπολλώνιος „εἰ μὲν γόης" ἔφη „ἐγώ, πῶς κρίνομαι; εἰ δὲ κρίνομαι, πῶς γόης εἰμί; εἰ μὴ ἄρα τὸ συκοφαντεῖν ἰσχυρὸν οὕτως εἶναί φησιν, ὡς μηδὲ τῶν γοητευόντων ἥττασθαι αὐτό." βουλομένου δὲ τοῦ κατηγόρου λέγειν τι ἀμαθέστερον, ἐκκρούων αὐτὸν ὁ Αἰλιανὸς „ἐμοὶ" εἶπεν „ἄφες τὸν καιρὸν τὸν πρὸ τῆς δίκης, ἔλεγχον γὰρ ποιήσομαι τῆς τοῦ σοφιστοῦ γνώμης ἰδίᾳ καὶ οὐκ ἐν ὑμῖν, κἂν μὲν ὁμολογῇ ἀδικεῖν, ξυντετμήσονταί οἱ ἐν τῷ δικαστηρίῳ λόγοι καὶ σὺ ἄπει εἰρηνικῶς, εἰ δὲ ἀντιλέγει, δικάσει ὁ βασιλεύς." παρελθὼν οὖν ἐς τὸ ἀπόρρητον δικαστήριον, ἐν ᾧ τὰ μεγάλα καὶ ἐλέγχεται καὶ σιωπᾶται „χωρεῖτε" ἔφη „ἐνθένδε καὶ μηδεὶς ἐπακροάσθω, δι-

1. καὶ κινδύνων. s, a, m. 5. διαλιχθῆναι. π. λιχθῆναι. p, 2, E. 6. ἀδικίας. v et suprascr. γρ. δίκης. ib. δὲ βούλομαι. v. ib. περὶ τούτων. s. sec. m. E. ib. ξυλληφθέντα γὰρ. v et s pr. m. 8. αἰτία μὲν — καιροῦ. Ἑ (458). ib. ἦδη. Ἑ. ib. τὸν om. ΕΛ. ib. Πυθαγορίων. ΕΒ. 9. ὡς om. p, 2, a, Ἑ. ib. κακίων. 2. κακίω. π, p (pr. m.) E. κακία. p. sec. m. ΕΛ, B. ib. μεταγνοὺς αὐτοῦ. C, E. μεταγνούς. ΕΛ, B.

11. δικαιᾶς ἀρχείας. f. al. m. corr. ib. ἐμβολὰς. f, v. 12. ἀναπλεύσας. v. 15. μὲν πρὸς. a. ib. αὐτῷ. 1. ἑαυτῷ. 2, E. ib. τέχναι μήν. p, f, l, s. τέχναι μὲν. π, v, E. ib. ὅς γε. o. 16. ὃν πρὶν. l, f, v, et m γρ. πρίν. l. s. E. 18. χρηστὸν om. s. pr. m. 19. ἔχοντα. v. 20. μὴ ὑπαχθῆναι ὑπὸ Δημητρίου ἀποκτεῖναι. 1. et m. γρ. μὴ ἀποκτεῖναι. 2, E. μήπω ἀποκτεῖναι. v. 22. Γύαρα. B, o. Τύαρα. p, 2, a, m. Τύανα. π et m. γρ. 24. καὶ γὰρ. v. 25. μὲν δὴ. 1. μὲν οὖν. 2, E. 27. αὐτοῦ τοῦ. p. 28. δικαστηρίῳ ἔφη. C. ἔφη δικαστηρίῳ. E. 30. φησιν. 1. et m. γρ. φασιν. 2, E. 34. εἰρηνικὸς. v. ib. ἀντιλέγεις. f.

VII, 16. 17. p. 297. 298.

κεῖ γὰρ τῷ βασιλεῖ τοῦτο." ὡς δὲ ἐγένοντο αὐτοί, „ἐγώ," ἔφη „ὦ Ἀπολλώνιε, μειράκιον ἦν XVIII
κατὰ τοὺς χρόνους, οὓς ὁ πατὴρ τοῦ βασιλέως ἐπ' Αἴγυπτον ἦλθε τοῖς μὲν θεοῖς θύσων, χρησό-
μενος δ' ὑπὲρ τῶν ἑαυτοῦ σοί, καὶ χιλίαρχον μὲν ὁ βασιλεὺς ἦγεν ἤδη τῶν πολεμικῶν εἰδότα, σὺ
δ' οὕτω τι μοι ἐπιτηδείως εἶχες, ὡς χρηματίζοντος τοῦ βασιλέως ταῖς πόλεσιν ἀπολαβών με ἰδίᾳ
ποδαπός τε εἴην λέγειν καὶ ὅ τί μοι τὸ ὄνομα καὶ ὡς ἔχω τοῦ πατρός, προὔλεγες δέ μοι καὶ τὴν 5
ἀρχὴν ταύτην, ἣ τοῖς μὲν πολλοῖς μεγίστη δοκεῖ καὶ μείζων ἢ πάντα ὁμοῦ τὰ ἀνθρώπων, ἐμοὶ δὲ
ὕλος καὶ κακοδαιμονία φαίνεται, τυραννίδος γὰρ φύλαξ χαλεπῆς εἰμι, κἂν μὲν σφήλω αὐτήν, δε-
δοικα τὰ ἐκ τῶν θεῶν, σοὶ δ' ὅπως εὔνους εἰμί, δεδήλωκα, ὁ γὰρ εἰπὼν ἀφ' ὧν εἴρηκά που τὸ
μηδ' ἂν παύσασθαί σε ἀγαπῶν, ἔστ' ἂν ᾖ τὸ ἐκείνων μεμνῆσθαι . . . τὸ δὲ ἰδίᾳ ἐθελῆσαι ἐρέσθαι 299
σε, ὑπὲρ ὧν ὁ κατήγορος ξυντέθεικε, σόφισμα οὐ φαῦλον ὑπὲρ ξυνουσίας ἐμοὶ τῆς πρὸς σὲ γέγο- 10
νεν, ὅπως θαρροίης μὲν τὰ ἐπ' ἐμοὶ ὄντα, προγνοίης δὲ τὰ ἐπὶ τῷ βασιλεῖ· ὅ τι μὲν γὰρ ψηφι-
εῖται ἐπὶ σοί, οὐκ οἶδα, διάκειται δέ, ὥσπερ οἱ καταψηφίσασθαι μὲν ἐπιθυμοῦντες, αἰσχυνόμενοι δὲ τὸ
μὴ ἐπ' ἀληθέσι, καὶ πρόφασιν ἀπωλείας ἀνδρῶν ὑπάτων ποιεῖταί σε, βούλεται μὲν γάρ, ἃ μὴ δεῖ,
πράττειν δ' αὐτὰ καταρρυθμίζων ἐς τὴν τοῦ δικαίου δόξαν. δεῖ δὴ κἀμοὶ πλάσματος καὶ ὁρμῆς
ἐπὶ σέ, εἰ γὰρ ὑπόψεταί με ὡς ἀνιέντα, οὐκ οἶδ' ὁπότερος ἡμῶν ἀπολεῖται θᾶττον." πρὸς ταῦτα 15 XIX
ὁ Ἀπολλώνιος „ἐπεὶ ὑγιῶς" ἔφη „διαλεγόμεθα καὶ ὁπόσα καρδία ἴσχει σύ τε εἴρηκας ἐμοί τε εἰ-
πεῖν δίκαιον, φιλοσοφεῖς τε ὑπὲρ τῶν σεαυτοῦ πραγμάτων, ὡς οἱ σφόδρα μοι ξυνδιατρίψαντες,
καί, νὴ Δία, οὕτω φιλανθρώπως πρὸς ἡμᾶς ἔχεις, ὡς ξυγκινδυνεύειν ἡγεῖσθαί μοι, λέξω τὸν ἐμαυ-
τοῦ νοῦν· ἐμοὶ γὰρ ἀποδρᾶναι μὲν ἦν ὑμᾶς ἐς πολλὰ μέρη τῆς γῆς, ἃ μὴ ὑμῶν ἀκροᾶται, παρ' 20
ἄνδρας τε ἀφικέσθαι σοφοὺς καὶ σοφωτέρους ἢ ἐγώ, θεούς τε θεραπεύειν ξὺν ὀρθῷ λόγῳ βαδί-
σαντι ἐς ἤθη ἀνθρώπων θεοφιλεστέρων ἢ οἱ ἐνταῦθα, παρ' οἷς οὔτε ἔνδειξις οὔτε γραφὴ οὐδεμία,
δι' αὐτὸ γὰρ τὸ μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι δικαστηρίων οὐ δέονται, δείσας δὲ προδότου λαβεῖν
αἰτίαν, εἰ φύγω μὲν αὐτὸς τὴν ἀπολογίαν, ἀπόλοιντο δὲ οἱ δι' ἐμοῦ κινδυνεύοντες, ἧκω ἀπολογη-
σόμενος. ὑπὲρ δὲ ὧν ἀπολογεῖσθαί με δεῖ, φράζε." „αἱ μὲν ἰδέαι τῆς γραφῆς ποικίλαι τε" ἔφη XX
„καὶ πλείους, καὶ γὰρ τὴν ἐσθῆτα διαβάλλουσι καὶ τὴν ἄλλην δίαιταν καὶ τό ἐστιν ὑφ' ὧν προσ- 25
κυνεῖσθαί σε καὶ τὸ ἐν Ἐφέσῳ ποτὲ ὑπὲρ λοιμοῦ χρῆσαι, διειλέχθαι δὲ καὶ κατὰ τοῦ βασιλέως 300
τὰ μὲν ἀφανῶς, τὰ δ' ἐκφάνδην, τὰ δ' ὡς θεῶν ἀκούσαντα, τὸ δὲ ἐμοὶ μὲν ἀπιθανώτατον,
γιγνώσκω γάρ, ὅτι μηδὲ τὸ τῶν ἱερῶν αἷμα ἀνέχῃ, τῷ δὲ βασιλεῖ πιθανώτατον διαβάλλεται· φασὶν
ἐς ἀγρὸν βαδίσαντά σε παρὰ Νερούαν τεμεῖν αὐτῷ παῖδα Ἀρκάδα θυομένῳ ἐπὶ τὸν βασιλέα καὶ
ἐπᾶραι αὐτὸν τοῖς ἱεροῖς τούτοις, πεπρᾶχθαι δὲ ταῦτα νύκτωρ φθίνοντος ἤδη τοῦ μηνός. τοῦτο 30
δὲ τὸ κατηγόρημα, ἐπειδὴ πολλῷ μεῖζον, μὴ ἕτερόν τι παρ' ἐκεῖνο ἡγώμεθα, ὁ γὰρ λαμβανόμενος
τοῦ σχήματος καὶ τῆς διαίτης καὶ τοῦ προγιγνώσκειν ἐς τοῦτο δήπου ξυντείνει καὶ ταῦτά γε καὶ
τὴν παρανομίαν τὴν ἐς αὐτὰ δοῦναί σοί φησι καὶ τὸ ἐς τὴν θυσίαν θάρσος. χρὴ οὖν παρεσκευά-
σθαι τὴν ὑπὲρ τούτων ἀπολογίαν, ἔστω δέ σοι ὁ λόγος μὴ ὑπερορῶν τοῦ βασιλέως." καὶ ὁ Ἀπολ-

3. ἐμαυτοῦ. f. ib. σοί. l. σοι. E. 6. ᾖ. s. ib. μὲν om. s, a, m. 7. καὶ ὕλος. v. 8. ἐκ θεῶν. p. ib. εἴρηκας. p. ib. που μηδ'. o. 9. τῶν ἐκείνου. o. ib. Post μεμνῆσθαι lacunae signa posui. 10. ὁ om. v. ib. οὐ om. 2, a. 11. ὅ τι μὲν — δόξαν. Φ (334, b, 12). ib. ὅτι. a, m. ib. γὰρ om. 2, E. 12. διάκειται δ'. p. ib. αἰσχυνόμενος. s ex corr. 13. ἀνδρῶν ὑπάτων. 1. ὑπάτων ἀνδρῶν. 2, E, ΦB. (cett. ὑπ' αὐτῶν ἀνδρῶν.) ib. βούλεται μὲν ἃ — δόξαν. b. ib. δεῖν. 2, a, m. (s habet δεῖ a sec. m.) 14. πράττει δ' αὐτὰ. 1, s, sec. m. h, Φ. καταπράττειν αὐτὰ. f, v, l et s pr. m. πράττειν αὐτὰ. E. ib. μὴ δεῖ κἀμοί. f, v, et l pr. m: sec. del. μὴ et suprascr. οὖν post δεῖ. 16. διειλεγόμεθα. π. 19. ἃ om. v. 20. τοῦ ἀφικέσθαι. a. ib. σοφότερος. v. ib. βαδίσαντι. 1, B. βαδίσαντας. 2, a, m. βαδίσαντα. o. 21. ἔθη. a, m. ib. ἢ ἐνταῦθα. 1. ἢ οἱ ἐνταῦθα. 2, E. 22. μήτε alterum om. π. 23. εἰ φύγω μὲν. 1. οι ἢ φύγω μὲν. 2, E. Fo: εἰ φύγοιμι μὲν. ib. ἧκω καί. o. 26. λιμοῦ. s. ib. τε καί. v, l, s. 27. τὰ δὲ. s. ib. θεῶν. 1, o. θεῖν. sic s ex corr. θεονῶν. v. θεὸν. 2, a, m. 28. ἱερῶν. π et m. γρ. ἱερείων. p, 2, E. 29. θυομένῳ ἐπί. l. θυομένῳ τε ἐπί. f, v, l. θυομένῳ γε ἐπί. s, E. 30. τοῦτο δή. E. 31. ἐκείνου. f, v. 32. διαίτης. π, B, J. ad Vers. germ. δίκης. p, 2, E. 33. αὐτά. C, E. Fo: αὐτόν.

VII, 18. 19. 20. p. 299. 300.

λώνιος „τοῦ μὲν μὴ ὑπερορᾶν ἔστω τεκμήριόν σοι τὸ ὑπὲρ ἀπολογίας ἀφῖχθαί με, εἰ δὲ καὶ θρασέως οὕτω τἀμὰ εἶχεν, ὡς ὑπὲρ τυραννίδας αἱρεσθαι, ἀλλὰ σοί γε ὑπέσχον ἐμαυτὸν τοιῷδε ὄντι καὶ ἀγαπῶντί με. τὸ μὲν γὰρ ἐχθρῷ πονηρὸν δόξαι δεινὸν οὔπω, οἱ γὰρ ἐχθροὶ μισοῦσιν οὐκ ἀφ' ὧν δημοσίᾳ διαβέβληταί τις, ἀλλ' ἀφ' ὧν ἰδίᾳ προσκέκρουκε, τὸ δὲ πρὸς ἀνδρὸς φίλου λαβεῖν αἰτίαν, ὡς κακὸς φαίνοιτο, βαρύτερον τοῦτο ἢ τὰ ἐχθρῶν ὁμοῦ πάντα, οὐ γὰρ ἂν διαφύγοι τὸ
XXI μὴ οὐ κἀκείνοις, δι' ἃ κακὸς ἦν, ἀπηχθῆσθαι." ἐδόκει τῷ Αἰλιανῷ εὖ λέγειν, καὶ παρακελευσάμενος αὐτῷ θαρρεῖν ἑαυτοῦ ἐλάβετο ὡς μὴ ἂν ἐκπλαγέντος τοῦ ἀνδρός, μηδ' ἂν Γοργείη κεφαλὴ ἐπ' αὐτὸν αἴροιτο. καλέσας οὖν τοὺς προστεταγμένους τὰ τοιαῦτα „κελεύω" ἔφη „ξυνέχειν τοῦτον,
301 ἔστ' ἂν ὁ βασιλεὺς ἥκοντά τε αὐτὸν μάθῃ καὶ λέγοντα ὁπόσα εἴρηκε" καὶ ἐῴκει τοῖς μάλα ὠργισμένοις. παρελθὼν δὲ ἐς τὰ βασίλεια τὰ προσήκοντα τῇ ἀρχῇ ἔπραττεν.

Ἐνταῦθα ὁ Δάμις ἀπομνημονεύει ἔργου ὁμοίου τε καὶ ἀνομοίου τῷ ἐπ' Ἀριστείδου ποτὲ Ἀθήνησιν· ὀστράκῳ μὲν γὰρ τὸν Ἀριστείδην ἐλαύνειν ἐπ' ἀρετῇ, ἔξω δὲ τείχους ἤδη ὄντι προσελθόντα τῶν ἀγροίκων τινὰ δεῖσθαι αὐτοῦ γράφειν τι αὐτῷ ἐπ' Ἀριστείδην ὄστρακον. ἐκεῖνος μὲν οὔτε τὸν ἄνδρα εἰδὼς οὔτ' αὐτὸ τὸ γράφειν, ἀλλὰ μόνον τὸν ὑπὲρ τοῦ δικαίου φθόνον, χιλίαρχος δὲ τῶν σφόδρα γιγνωσκόντων τὸν Ἀπολλώνιον προσειπὼν αὐτὸν ἤρετο κατὰ ὕβριν, ὑπὲρ ὅτου κινδυνεύοι, τοῦ δὲ οὐκ εἰδέναι φήσαντος „ἀλλ' ἐγώ" ἔφη „οἶδα· τὸ γὰρ προσκυνεῖσθαί σε ὑπὸ τῶν ἀνθρώπων διαβέβληκεν ὡς ἴσων ἀξιούμενον τοῖς θεοῖς." „καὶ τίς" εἶπεν „ὁ προσκυνήσας ἐμέ"; „ἐγώ" ἔφη „ἐν Ἐφέσῳ παῖς ἔτι ὤν, ὁπότε ἡμᾶς λάσω τοῦ λοιμοῦ." „καλῶς ποιῶν" εἶπεν „αὐτός γε σὺ καὶ ἡ σωθεῖσα Ἔφεσος πόλις." „διὰ ταῦτ' οὖν" ἔφη „καὶ ἀπολογίαν ὑπὲρ σοῦ παρεσκεύακα, ἢ σε ἀπαλλάξει τῆς αἰτίας· ἴσμεν γὰρ ἔξω τείχους καὶ ἣν μὲν ἀποκόψω σου τὸν αὐχένα τῷ ξίφει, διαβέβληται ἡ αἰτία καὶ ἀφεῖσαι, ἣν δὲ ἐκπλήξῃς με καὶ μεθῶ τὸ ξίφος, θεῖόν τε ἀνάγκη νομίζεσθαί σε καὶ ὡς ἐπ' ἀληθέσι κρίνεσθαι." τοσῷδε μὲν δὴ ἀγροικότερος οὗτος τοῦ τὸν Ἀριστείδην ἐλαύνοντος, ἔλεγε δὲ ταῦτα μασώμενός τε καὶ ξυγγελῶν, ὁ δ' οὐκ ἀκηκούτι ὅμοιος διελέγετο πρὸς τὸν Δάμιν ὑπὲρ τοῦ Δέλτα, περὶ ᾧ φασι τὸν Νεῖλον σχίζεσθαι.

XXII Ἐπεὶ δὲ καλέσας αὐτὸν ὁ Αἰλιανὸς ἐκέλευσε τὸ ἐλευθέριον οἰκεῖν δεσμωτήριον „ἔστ' ἂν γένηται σχολὴ" ἔφη „τῷ βασιλεῖ, ξυγγενέσθαι γάρ σοι ἰδίᾳ πρότερον βούλεται," ἀπῆλθε μὲν τοῦ δικαστηρίου καὶ παρελθὼν ἐς τὸ δεσμωτήριον „διαλεγώμεθα", ἔφη „Δάμι, τοῖς ἐνταῦθα· τί γὰρ ἂν
302 ἄλλο πράττοι τις τὸν χρόνον τοῦτον, ὃν διαλέξεταί μοι ὁ τύραννος ὑπὲρ ὧν δεῖται;" „ἀδολέσχας" εἶπεν „ἡγήσονται ἡμᾶς, ἢν ἐκκρούωμεν αὐτοὺς ὧν ἀπολογήσονται, καὶ ἄλλως ἄτοπον περιπατεῖν ἐς ἀνθρώπους ἀθύμως ἔχοντας." „καὶ μὴν τούτοις μάλιστα δεῖ" ἔφη „τοῦ διαλεξομένου τε καὶ θεραπεύσοντος· εἰ γὰρ ἐνθυμηθείης τὰ τοῦ Ὁμήρου ἔπη, ἐν οἷς Ὅμηρος τὴν Ἑλένην φησὶ τὰ ἐξ Αἰγύπτου φάρμακα οἰνοχοεῖν ἐς τὸν κρατῆρα, ὡς τὰ ἄχη τῆς ψυχῆς ἀποβρέχοιτο, δοκῶ μοι τὴν Ἑλένην λόγους Αἰγυπτίους ἐκμαθοῦσαν ἐπᾴδειν τοῖς ἀθύμοις ἐν τῷ κρατῆρι, ἰωμένην αὐτοὺς λόγῳ τε ἀναμὶξ καὶ οἴνῳ." „καὶ εἰκὸς μέν," εἶπεν „εἴπερ ἐς Αἴγυπτόν τε ἦλθε καὶ ὡμίλησε τῷ Πρωτεῖ, ἢ ὡς Ὁμήρῳ δοκεῖ, Πολυδάμνῃ ξυνεγένετο τῇ τοῦ Θῶνος· νυνὶ δὲ ἀναβεβλήσθων οὗτοι, δέομαι γάρ τι ἐρέσθαι σε." „οἶδα," ἔφη „ὃ με ἐρήσῃ, τοὺς γάρ τοι λόγους, οἳ γεγόνασί μοι πρὸς τὸν

1. μὲν om. p, u, s, a, m. 2. σύ γε. v. 3. με om. v. ib. τῷ μὲν. p. ib. πονηρῷ. p. 7. αὐτοῦ. o. 9. ὀργισμένοις. a.

11. τῷ. B. τὸ. π. τοῦ. p, 2, E. 12. ὄντι ἤδη. v. 14. ὑπὲρ τοῦ. 1. ὑπὲρ. 2, E. 15. αὐτὸν. 1. αὐτὸς. 2, E. ib. κινδυνεύει. π, v. 16. τῶν ἀνθρώπων. 1. ἀνθρώπων. 2, E. 17. ἴσων. π. et p ex corr. ἴσον. p. pr. m. 2, E. 20. εἰ μὲν. v. 21. διαβέβληται – με om. 2, a, m. ib. ἐκπλήξεις. o. 22. τὸ σῶμα μὲν δὴ. p. ib. δὴ om. v. 23. ἔλεγε – σχίζεσθαι. Φ (334, b, 17.) ib. αὐτὰ. Φ. ib. μασσώμενος. Φ praeter A B. ib. ὁ δὲ. Φ. 24. περὶ ᾧ. 1. περὶ ὃ. 2, E. ib. τὸ Νεῖλον. s.

25. δεσμοτήριον. o. 26. ἔφη, σχολὴ. o. 28. ἄλλο ἄν. v. ib. ἐς τὸν. f. 30. ἐκθύμως. p. 31. ἐνθυμηθείην. o. ib. τὰ Ὁμήρου. p. 34. καὶ εἰκὸς. p. εἰκὸς. π, 2, E. 36. γάρ τι. C. γὰρ. E.

ἄνδρα καὶ ἅττα εἶπε καὶ εἰ φοβερὸς ἦν ἢ πρᾷος, βούλει ἀκοῦσαί μου·" καὶ διῆλθε πάντας. προσκυνήσας οὖν ὁ Δάμις „οὐκ ἀπιστῶ", ἔφη „καὶ τὴν Λευκοθέαν ποτὲ κρήδεμνον τῷ Ὀδυσσεῖ δοῦναι μετὰ τὴν ναῦν, ἧς ἐκπεσὼν ἀνεμέτρει ταῖς ἑαυτοῦ χερσὶ τὸ πέλαγος· καὶ γὰρ ἡμῶν ἐς ἀμήχανά τε καὶ φοβερὰ ἐμβεβηκότων θεῶν τις ὑπερέχει, οἶμαι, χεῖρα, ὡς μὴ ἐκπέσοιμεν σωτηρίας πάσης." ἐπιπλήττων δ' ὁ Ἀπολλώνιος τῷ λόγῳ „ποῖ παρατενεῖς," ἔφη „δεδιὼς ταῦτα καὶ μήπω γιγνώσκων, ὅτι σοφία μὲν τὰ ξυνιέντα ἑαυτῆς ἐκπλήττει πάντα, αὐτὴ δ' ὑπ' οὐδενὸς ἐκπλήττεται;" „ἀλλ' ἡμεῖς" εἶπε „παρὰ ἀξύνετον ἥκομεν καὶ οὐ μόνον οὐκ ἐκπληττόμενον ἡμᾶς, ἀλλ' οὐδὲ ἀξιοῦντα εἶναί τι, ὃ ἐκπλήξει αὐτόν." „ξυνίης οὖν," ἔφη „ὦ Δάμι, ὅτι τετύφωται καὶ ἀνοήτως ἔχει;" „ξυνίημι, τί δ' οὐ μέλλω;" εἶπε. „καὶ σοὶ δὲ" ἔφη „καταφρονητέα τοῦ τυράννου τοσούτῳ μᾶλλον, ὅσῳ καὶ γιγνώσκεις αὐτόν." διαλεγομένοις δ' αὐτοῖς ταῦτα προσελθών τις, οἶμαι, Κίλιξ „ἐγώ", ἔφη „ἄνδρες, ὑπὲρ πλούτου κινδυνεύω." καὶ ὁ Ἀπολλώνιος „εἰ μὲν ἀφ' ὧν οὐ θεμιτόν," ἔφη „πλουτῶν, οἷον λῃστείας ἢ φαρμάκων, ἃ δὴ ἀνδροφόνα, ἢ τάφους ἐκίνησας, ὅσοι τῶν πάλαι βασιλέων εἰσίν, οἳ πολύχρυσοί τε καὶ θησαυρώδεις, οὐ κρίνεσθαί σε χρὴ μόνον, ἀλλὰ καὶ ἀπολωλέναι, ταυτὶ γὰρ πλοῦτος μέν, ἀλλ' ἐπίρρητός τε καὶ ὠμός, εἰ δὲ κληρονομήσας ἢ διδούσης ἐμπορίας ἐλευθερίου τε καὶ μὴ καπήλου, τίς οὕτω βαρύς, ὡς ἀφελέσθαι σε νόμου σχήματι τὰ κτηθέντα σοι κατὰ νόμους;" „τὰ μὲν ὄντα μοι παρὰ πλειόνων" ἔφη „ξυγγενῶν ἐστιν, ἐς μίαν δ' οἰκίαν τὴν ἐμὴν ἥκει, χρῶμαι δ' αὐτοῖς οὔθ' ὡς ἑτέρων, ἐμὰ γάρ, οὔθ' ὡς ἐμοῖς, κοινὰ γὰρ πρὸς τοὺς ἀγαθούς ἐστί μοι· διαβάλλουσι δ' ἡμᾶς οἱ συκοφάνται μὴ ἐπ' ἀγαθῷ τῆς τυραννίδος ἐκτῆσθαι τὸν πλοῦτον, ἐμοῦ τε γὰρ νεώτερα πειρωμένου πράττειν ἐφόδιον ἂν γενέσθαι αὐτόν, ἑτέρῳ τε, ὅτῳ προσθείμην, ῥοπὴν ἂν οὐ σμικρὰν τἀμὰ εἶναι. μεμαντευμέναι δ' ἤδη καθ' ἡμῶν αἰτίαι, ὡς ὕβριν μὲν τίκτει πᾶς ὁ ὑπὲρ τὸ μέτρον πλοῦτος, ὁ δ' ὑπὲρ τοὺς πολλοὺς τὸν αὐχένα ἴστησι καὶ τὸ φρόνημα ἐγείρει νόμοις τε οὐκ ἐᾷ πείθεσθαι καὶ τοὺς ἄρχοντας, οἳ ἐς τὰ ἔθνη φοιτῶσι, μόνον οὐκ ἐπὶ κόρρης παίει δουλουμένους τοῖς χρήμασιν ἢ ὑπερορῶντας αὐτῶν διὰ τὴν ἰσχὺν τοῦ πλούτου. ἐγὼ δὲ μειράκιον μὲν ὤν, πρὶν οὐσίαν ἑκατὸν ταλάντων ἐκτῆσθαι, κατάγελων ἡγούμην πάντα καὶ σμικρὰ ὑπὲρ τῶν ὄντων ἐδεδίειν, ἐπεὶ δὲ τάλαντά μοι πεντακόσια ἐπὶ μιᾶς ἡμέρας ἐγένετο τελευτήσαντος ἐπ' ἐμοὶ τοῦ πρὸς πατρὸς θείου, τοσοῦτον ἡ γνώμη μετέβαλεν, ὅσον οἱ καταρτύοντες τῶν ἵππων καὶ μεταβάλλοντες τοῦ ἀπαιδεύτου τε καὶ ἀκολάστου ἦθους. ἐπιδιδόντος δέ μοι τοῦ πλούτου καὶ τὰ μὲν ἐκ γῆς, τὰ δὲ ἐκ θαλάττης φέροντος, οὕτω τι ἐδουλώθην ὑπὸ τοῦ περὶ αὐτὸν δέους, ὡς ἀπαντλεῖν τῆς οὐσίας τὸ μὲν ἐς τοὺς συκοφάντας, οὓς ἔδει μειλίττεσθαι τῇ ἀπομαγδαλιᾷ ταύτῃ, τὸ δὲ ἐς τοὺς ἄρχοντας, ὡς ἰσχὺς πρὸς τοὺς ἐπιβουλεύοντας εἴη μοι, τὸ δὲ ἐς τοὺς ξυγγενεῖς, ὡς μὴ φθονοῖεν τῷ πλούτῳ, τὸ δὲ ἐς τοὺς δούλους, ὡς μὴ κακίους γίγνοιντο ἀμελεῖσθαι φάσκοντες, ἐβουκολεῖτο δέ μοι καὶ ἀγέλη φίλων λαμπρά· προορῶντες γὰρ οὗτοί μου τὰ μὲν αὐτοὶ ἔδρων, τὰ δέ μοι προὔλεγον. ἀλλ' ὅμως οὕτω μὲν χαρακώσαντες τὸν πλοῦτον, οὕτω δὲ ἀσφαλῶς τειχισάμενοι κινδυνεύομεν περὶ αὐτῷ νῦν, καὶ οὔπω δῆλον οὐδ' εἰ τὸ σῶμα ἀθῶοι μενοῦμεν." καὶ ὁ Ἀπολλώνιος, „θάρρει," ἔφη „τὸν γὰρ πλοῦτον τοῦ σώματος ἐγγυητὴν ἔχεις· δέδεσαι μὲν γὰρ δι' αὐτόν, ἀνήσει δέ σε ἀπολυόμενος οὐ μόνον τοῦ δεσμωτηρίου τοῦδε, ἀλλὰ καὶ τοῦ θεραπεύειν τοὺς συκοφάντας τε καὶ τοὺς δούλους, οἷς δι' αὐτὸν ὑπέκεισο." ἑτέρου δ' αὖ φήσαντος

303 Κίλιξ XXIII XXIV 304

1. καὶ om. p. 2. τῷ om. m, o. 3. οἷς ἐκπεσών. s. pr. m. a, m. ib. τὸ πέλαγος. p. τοῦ πελάγους. π. 2. E. 4. τε om. 2, a. 7. ἀξιοῦντα ἡμᾶς. v. 8. ἐκπλήξει. C et m. γρ. ἐκπλήττει. fc, E. 9. σὺ. l. ib. δὲ. π. δὴ. p, 2, E. 10. δ' om. v. 13. οἳ. eras. p. οἱ B. ib. μόνον χρὴ. v. 14. τε καὶ ὠμὸς om. fc, a. ib. διδοὺς ἐμπορίαις. p. ex corr. 15. οὑτὼ βαρὺς. 2. E. οὕτως ὠμός. l. 18. κεκτῆσθαι. p. ex corr. 20. μικράν. l. 21. μέτρον. l. μέτριον. 2, E. ib. πλουτῶν. v. 24. οὐσίαν. l. οὐσίας. 2, E. 26. ἐπ' om. p. 27. τὸν ἵππον. p ex corr. 28. Πλούτου et infra 35. o. ib. ὑπὲρ. s, a. ib. αὐτῷ. l et suprasc. ὸν. 29. ἀπομαγδαλία. E. 31. ὡς φθ. v. 32. προνοοῦντες. p ex corr. ib. οὕτω. p. ib. μου. π. μοι. p ex corr. 2, E. 33. ἀλλ' ὅμως — νῦν. Φ (334, b, 20). ib. μὲν οὕτω. v. 36. ὁ ἀπολυόμενος. v. Fo: ἀπολυόμενον. ib. τοῦ δεσμωτηρίου om. f, v, l, s pr. m. a. 37. τοὺς om. p.

VII, 21. 21. p. 303. 304.

γραφὴν φεύγειν, ἐπειδὴ θύων ἐν Τάραντι, οὐ ἦρχε, μὴ προσέθηκε ταῖς δημοσίαις εὐχαῖς, ὅτι Δομετιανὸς Ἀθηνᾶς εἴη παῖς „σὺ μὲν ᾠήθης“ ἔφη „μὴ ἂν τὴν Ἀθηνᾶν τεκεῖν παρθένον οὖσαν τὸν
XXV ἀεὶ χρόνον, ἠγνόεις δ', οἶμαι, ὅτι ἡ θεὸς αὕτη Ἀθηναίοις ποτὲ δράκοντα ἔτεκε.“ καθεῖρκτό τις καὶ ἐπὶ τοιᾷδε αἰτίᾳ· χωρίον ἐν Ἀκαρνανίᾳ περὶ τὰς ἐκβολὰς τοῦ Ἀχελῴου ἔχων περιέπλει τὰς Ἐχινάδας ἐν ἀκατίῳ μικρῷ, διασκεψάμενος δὲ αὐτῶν μίαν, ἣ ξυνῆπτεν ἤδη τῇ ἠπείρῳ, δένδρεσί
305 τε ὡραίοις διεφύτευσε καὶ ἀμπέλοις ἡδυοίνοις δίαιτάν τε ἱκανὴν τῷ σώματι κατεσκευάσατο ἐν αὐτῇ, καὶ γάρ τι καὶ ὕδωρ ἐκ τῆς ἠπείρου ἐσήγετο ἀποχρῶν τῇ νήσῳ· ἐκ τούτου ἀνέφυ γραφή, μὴ καθαρὸς εἶναι ὁ Ἀκαρνὰν οὗτος, ἔργα δὲ αὐτῷ ξυνειδὼς οὐ φορητὰ τῆς μὲν ἄλλης γῆς ἐξίστασθαί τε καὶ ἀποφοιτᾶν ὡς μεμιασμένης ἑαυτῷ, τὴν δ' Ἀλκμαίωνος τοῦ Ἀμφιάρεω λύσιν, δι' ἣν τὰς
10 ἐκβολὰς τοῦ Ἀχελῴου μετὰ τὴν μητέρα ᾤκησεν, ᾗρῆσθαι αὐτόν, εἰ μὴ καὶ ἐφ' ὁμοίοις, ἀλλ' ἐπὶ σχετλίοις ἴσως καὶ οὐ πόρρω ἐκείνων, ὁ δ' οὐ τοῦτ' ἔφασκεν, ἀλλὰ ἀπραγμοσύνης ἐρῶν ἐκεῖ οἰκῆσαι, τὸ δὲ ἄρα ἐς δίκας αὐτῷ περιστῆναι, δι' ἃς καὶ εἰρχθαι αὐτόν.

XXVI Προσιόντων δὲ τῷ Ἀπολλωνίῳ πλειόνων ἔνδον καὶ ὁλοφυρομένων τοιαῦτα, πεντήκοντα γάρ που εἶναι οἱ ἐν τῷ δεσμωτηρίῳ τούτῳ καὶ οἱ μὲν νοσεῖν αὐτῶν, οἱ δὲ ἀθύμως παρεῖσθαι, οἱ δὲ
15 ἐγκαρτερεῖν τὸν θάνατον, οἱ δ' ἐπιβοᾶσθαι τέκνα καὶ γονέας τοὺς αὐτῶν καὶ γάμους „ὦ Δάμι,“ ἔφη „δοκοῦσί μοι τοῦ φαρμάκου δεῖσθαι οἱ ἄνδρες, οὐ καταρχὰς ἐπεμνήσθην. εἴτ' οὖν Αἰγύπτιον τοῦτο, εἴτ' ἐν πάσῃ τῇ γῇ φύεται ῥιζοτομούσης αὐτὸ σοφίας ἐκ τῶν ἑαυτῆς κήπων, προσδῶμεν αὐτοῦ τοῖς ἀθλίοις τούτοις, μὴ προανέλῃ σφᾶς ἡ γνώμη.“ „προσδῶμεν“ ἦ δ' ὃς ὁ Δάμις „ἐοίκασι γὰρ δεομένοις.“ ξυγκαλέσας οὖν αὐτοὺς ὁ Ἀπολλώνιος „ἄνδρες“, εἶπεν „οἱ κοινωνοῦντες
20 ἐμοὶ ταυτησὶ τῆς στέγης, ἐλεῶ ὑμᾶς, ὡς ὑφ' αὑτῶν ἀπόλλυσθε, οὔπω εἰδότες, εἰ κατηγορία ἀπολεῖ ὑμᾶς· δοκεῖτε γάρ μοι προαποκτιννύντες αὑτοὺς τοῦ καταψηφισθέντος ἂν ὑμῶν, ὡς οἴεσθε, θα-
306 νάτου, καὶ θαρρεῖν μὲν ἃ δέδιτε, δεδιέναι δ' ἃ θαρρεῖτε. οὐ μὴν προσήκει γε, ἀλλ' ἐνθυμηθέντας τὸν Ἀρχιλόχου τοῦ Παρίου λόγον, ὃς τὴν ἐπὶ τοῖς λυπηροῖς καρτερίαν τλημοσύνην καλῶν θεῶν αὐτήν φησιν εὕρημα οὖσαν, ἀναφέρειν τῶν σχετλίων τούτων, ὥσπερ οἱ τέχνῃ τοῦ ῥοθίου ὑπεραί-
25 ροντες, ἐπειδὰν τὸ κῦμα ὑπὲρ τὴν ναῦν ἵστῆται, μηδ' ἡγεῖσθαι χαλεπὰ ταῦτα, ἐφ' ἃ ὑμεῖς μὲν ἄκοντες, ἐγὼ δὲ ἑκὼν ἥκω. εἰ μὲν γὰρ ξυντίθεσθε ταῖς αἰτίαις, ὀλοφυρτέα ἡ ἡμέρα μᾶλλον, ἐν ᾗ ὁ λογισμὸς ἐς ἄδικά τε καὶ ὠμὰ ὁρμήσας ὑμᾶς ἔσφηλεν, εἰ δ' οὔτε σὺ τὴν ἐν τῷ Ἀχελῴῳ νῆσον ὑπὲρ ὧν ὁ κατήγορός φησιν ἐρεῖς ᾠκηκέναι, οὔτε σὺ τὸν σεαυτοῦ πλοῦτον ἔφεδρόν ποτε τῇ βασιλείᾳ στήσασθαι, οὔθ' ἑκὼν σὺ τοῦ μὴ πρὸς Ἀθηνᾶς δοκεῖν ἀφῃρῆσθαι τὸν ἄρχοντα, οὔθ' ὑπὲρ
30 ὧν ἀφῖχθε κινδυνεύων ἕκαστος, ἀληθῆ ταῦτα εἶναι φήσει, τί βούλεταί“ φησιν „ὁ ὑπὲρ τῶν οὐκ ὄντων θρῆνος οὗτος; ὅσῳ γὰρ τοὺς οἰκειοτάτους ἐπιβοᾶσθε, τοσῷδε χρὴ ἐρρῶσθαι μᾶλλον, ἄθλα γάρ που τῆς τλημοσύνης ταύτης ἐκεῖνα. ἢ τὸ καθεῖρχθαι δεῦρο δεινὸν εἶναί φατε καὶ τὸ ἐν τῷ δεσμωτηρίῳ ζῆν; ἡ ἀρχὴν ὧν πείσεσθαι ἡγεῖσθε; ἢ καὶ καθ' αὑτὸ τιμωρίαν, εἰ καὶ μηδὲν ἐπ' αὐτῷ πάθοιτε; ἀλλ' ἔγωγε τὴν ἀνθρωπείαν εἰδὼς φύσιν ἀναδιδάξω λόγον ὑμᾶς οὐδὲν ἀπεοικότα τοῖς
35 τῶν ἰατρῶν σιτίοις, καὶ γὰρ ἰσχὺν ἐντίθησι καὶ ἀποθανεῖν οὐκ ἐάσει· οἱ ἄνθρωποι ἐν δεσμωτηρίῳ ἐσμὲν τὸν χρόνον τοῦτον, ὃς δὴ ὠνόμασται βίος· αὕτη γὰρ ἡ ψυχὴ σώματι φθαρτῷ ἐνδεθεῖσα

5. Ἐχινίδας. π. 7. τοι. p. 8. αὐτῷ. l. αὐτῷ. 2, E. 10. κατὰ. ψ, a, m. (non fc.) ib. ᾗρῆσθαι. l. ἠρῆσθαι. E. ib. εἰ μὴ — αὐτὸν om. p.

15. τῶν αὐτῶν. f. 16. μοι om. v. 17. ἐν ἁπάσῃ. f, v. ib. τῇ om. v. 18. ἀνέλῃ. s, a. ib. ὃς — Ἀπολλώνιος om. p. 19. αὐτοῖς. l. 21. αὐτοὺς. f. 23. τοῦ Ἀ. v. 24. εὕρημα οὖσαν. l. οὖσαν εὕρημα. 2, E. An εὕρημα εἶναι? 25. ὑπὲρ τὴν ναῦν om. 2. (s pr. m.) ib. ἡγεῖσθαι. l. ἡγεῖσθε. 2, E. 28. ἐρεῖς om. a. 30. ἀφῖχθαι. π. ἀφῖχθε. p, s, o. ἀφίχθαι. f, v, l, a, m. ib. φησι. p. 31. ἆθλα. l, E. ἄρθρα. 2 (r, ψ.) 32. τὸ ἐν om. p. 33. περιέσεσθαι. f, l. περιέσεσθε. v. πείσεσθε. s. 34. ἀπεοικότα. p, u, o. ἐοικότα. π, 2, a, m. 35. ἐν τῷ δ. s, a. 36. ὃς μὲν δὴ. l. ib. βίος om. l.

πολλὰ μὲν καρτερεῖ, δουλεύει δὲ πᾶσιν, ὁπόσα ἐπ ἄνθρωπον φοιτᾷ, οἰκία τε οἷς ἐπενοήθη πρῶτον, ἀγνοῆσαί μοι δοκοῦσιν ἄλλο δεσμωτήριον αὐτοῖς περιβάλλοντες, καὶ γὰρ δὴ καὶ ὁπόσοι τὰ βασίλεια οἰκοῦσιν, ἀσφαλῶς ἐν αὐτοῖς κατεσκευασμένοι, δεδέσθαι μᾶλλον τούτους ἡγώμεθα ἢ οὓς 307
αὐτοὶ δήσουσι. πόλεις δ' ἐνθυμουμένῳ μοι καὶ τείχη δοκεῖ ταῦτα δεσμωτήρια εἶναι κοινά, ὡς δεδέσθαι μὲν ἀγοράζοντας, δεδέσθαι δὲ ἐκκλησιάζοντας καὶ θεωμένους αὖ καὶ πομπὰς πέμποντας. καὶ Σκυθῶν ὁπόσοι ἁμαξεύουσιν, οὐ μεῖον ἡμῶν δέδενται, Ἴστροι τε γὰρ αὐτοὺς ὁρίζουσι καὶ θερμώδοντες καὶ Τανάιδες οὐ ῥᾴδιοι ποταμοὶ ὑπερβῆναι, ἢν μὴ ὑπὸ τοῦ κρυμοῦ στῶσιν, οἰκίας τε ἐπὶ τῶν ἁμαξῶν πέπανται καὶ φέρονται μέν, ἀλλ' ἐν αὐταῖς ἐπτηχότες. εἰ δὲ μὴ μειρακιώδης ὁ λόγος, φασὶ καὶ τὸν Ὠκεανὸν δεσμοῦ ἕνεκα τῇ γῇ περιβεβλῆσθαι. ἴτε, ὦ ποιηταί, ταυτὶ γὰρ ὑμέτερα, καὶ ῥαψῳδεῖτε πρὸς τούτους τοὺς ἀθύμους, ὡς Κρόνος μέν ποτε ἐδέθη βουλαῖς τοῦ Διός, Ἄρης δὲ ὁ πολεμικώτατος ἐν οὐρανῷ μὲν ὑπὸ Ἡφαίστου πρότερον, ἐν γῇ δὲ ὑπὸ τῶν τοῦ Ἀλωέως. ταῦτ' ἐνθυμούμενοι καὶ πολλοὺς τῶν σοφῶν τε καὶ μακαρίων ἀνδρῶν, οὓς δῆμοί τε ἀσελγεῖς ἔδησαν, τυραννίδες δὲ προὐπηλάκισαν, δεχώμεθα καὶ ταῦτα, ὡς μὴ τῶν δεξαμένων αὐτὰ λειποίμεθα." οὕτω τοὺς ἐν τῷ δεσμωτηρίῳ τὰ ῥηθέντα μετέβαλεν, ὡς σίτου τε οἱ πολλοὶ ἅψασθαι καὶ ἀπελθεῖν τῶν δακρύων βῆναί τε ἐπ' ἐλπίδος μηδ' ἂν παθεῖν μηδὲν ἐκείνῳ ξυνόντες.

Τῆς δ' ὑστεραίας διελέγετο μὲν ἐς τὸν αὐτὸν νοῦν ξυντείνων, ἐσπέμπεται δέ τις ἀκροατὴς XXVII
τῶν διαλέξεων ὑπὸ τοῦ Δομετιανοῦ καθειμένος, τὸ μὲν δὴ σχῆμα αὐτοῦ, κατηφὴς ἐδόκει καὶ κινδυνεύειν τι, ὡς ἔφασκε, μέγα, γλώττης τε οὐκ ἀνεπιτηδεύτως εἶχεν, οἷοι τῶν συκοφαντικῶν οἱ συνειλοχότες ὀκτὼ ῥήματα ἢ δέκα. ὁ δὲ Ἀπολλώνιος ξυνιεὶς τῆς τέχνης διελέγετο, ἃ μὴ ἐκείνῳ προῦβαινε, ποταμῶν τε γὰρ πρὸς αὐτοὺς ἐμέμνητο καὶ ὀρῶν καὶ θηρία διῄει καὶ δένδρα, ὑφ' ὧν οἱ μὲν διήγοντο, ὁ δ' οὐδὲν ἐπέραινεν. ὡς δὲ καὶ ἀπάγειν αὐτὸν ἐς λοιδορίας τοῦ τυράννου ἐπειρᾶτο 308
„ὦ τᾶν", ἔφη „σὺ μέν, ὅ τι βούλει, λέγε, οὐ γὰρ διαβεβλήσῃ γε ὑπ' ἐμοῦ, ἐγὼ δὲ ὁπόσα μέμφομαι τὸν βασιλέα, πρὸς αὐτὸν λέξω."

Ἐγένετο καὶ ἕτερα ἐν τῷ δεσμωτηρίῳ τούτῳ ἐπεισόδια, τὰ μὲν ἐπιβεβουλευμένα, τὰ δέ, ὡς XXVIII
ξυνέπεσεν, οὔπω μεγάλα, οὐδ' ἄξια ἐμοὶ σπουδάσαι, Δάμις δέ, οἶμαι, ὑπὲρ τοῦ μὴ παραλελοιπέναι τι αὐτῶν ἐπεμνήσθη, τὰ δὲ λόγου ἐχόμενα· ἑσπέρα μὲν ἦν, καθεῖρκτο δὲ ἡμέραν ἤδη πέμπτην, παρελθὼν δέ τις ἐς τὸ δεσμωτήριον Ἑλληνικὸς τὴν φωνὴν „ποῦ" ἔφη „ὁ Τυανεύς"; καὶ ἀπολαβὼν αὐτὸν „αὔριον" ἔφη „διαλέξεταί σοι ὁ βασιλεύς. Λίλιανοῦ δὲ ταῦτα ἀκηκοέναι δόκει." „ξυνίημι" ἦ δ' ὅς „τοῦ ἀπορρήτου, μόνου γὰρ δὴ ἐκείνου εἰδέναι αὐτό." „καὶ μὴν καὶ τῷ ἐπὶ τοῦ δεσμωτηρίου προείρηται" ἔφη „πᾶν, εἴ τι βούλοιο, ἐπιτηδείῳ σοι εἶναι." „καλῶς μὲν ποιοῦντες ὑμεῖς," εἶπεν „ἐγὼ δὲ καὶ τὸν ἐνταῦθα βίον καὶ τὸν ἔξω ταυτὸν πράττω, διαλέγομαι μὲν γὰρ ὑπὲρ τῶν παραπιπτόντων, δέομαι δ' οὐδενός." „οὐδὲ τοῦ ξυμβουλεύσοντος," ἔφη „Ἀπολλώνιε, ὡς διαλέξῃ σῷ βασιλεῖ;" „νὴ Δί'" εἶπεν „εἰ μὴ κολακεύειν πείθοι." „τί δ', εἰ μὴ ὑπερορᾶν," ἔφη,

1. ὃ πᾶσι. p. 3. ἐν om. m, o ib. κατεσκευασμένα. m, o. ib. οὓς ἂν αὐτοὶ δήσωσι. p. 4. μοι om. s, a, m. 6. Ἴστροι τε γὰρ αὐτοὺς καὶ Τανάιδες ὁρίζουσι — ὑπερβῆναι. Φ (334, b, 23). 7. ῥάδιον. a, m. ῥάδιοι. o. ib. οἰκίας — πέπανται. Φ (334, b, 22). 8. πέπανται. 1, m. γρ. Φ. πέπτανται. 2, E. ib. ἐν αὐτῷ. p. ib. μὴ om. p. 11. τῶν om. π, v. 12. τε delendum videtur. 14. ἐν τῷ δεσμωτηρίῳ. p, l. ἐν δεσμ. π, v, E. 15. μήδ' ἐν. (pro μηδὲν). a, m.

17. καθειμένος. f, s, E. καθήμενος. f, v, l. ib. τὸ μὲν δὴ. f, m, o. τὸ δὲ δὴ. f, l, s, a. τὸ δὴ. v. 18. ὡς eras. in p. ib. οἷοι. f, a, m, et s. sec. m. οἷα. f, ψ, v, r, l, s, o. ib. συνειληχότες. C, E. συνειλοχότες. Toup. ad Suid. II, 1 4. 19. ξυνείς. v. 20. οἱ om. l. 21. ὡς δὲ καὶ. f, m. ὡς δὲ. 2, a. ὡς δ'. o. ib. ἐπάγειν. π. ἀπάγειν. p, 2, E. 23 ὑπ' αὐτὸν. v et suprascr. πρὸς.

26. τὰ δὲ. f, v. τὰ δέ γε. f, l, s, E. ib. ἐχόμενα· ἑσπέρα. p, 2, a. ἐχόμενά εἰσι ταῦτα. π, m, o. ib. ἤδη om. a, m. 28. ἐδόκει. C, E. δόκει. B. ib. ξυνιημι δὲ. s, a, m. 31. τὸν ἔξω. f. et m. γρ. τὸν ἐνθένδε. 2, E. οιο 32. ξυμβουλεύσαντος. π. ib. Ἀπολλώνιος ὡς διαλέξῃ. p. 33. Δία. p. ib. πείθοι κολακεύειν. v.

VII, 27. 28. p. 307. 308.

„μηδ' ὑπερφρονεῖν αὐτοῦ;" „ἄριστα" εἶπε „ξυμβουλεύσει καὶ ὡς ἐμαυτὸν πέπεικα." „ὑπὲρ τούτων μὲν ἥκω" ἔφη „καὶ χαίρω παρεσκευασμένον σε ὁρῶν ξυμμέτρως, δεῖ δὲ καὶ πρὸς τὸ φθέγμα τοῦ βασιλέως παρεσκευάσθαι σε καὶ πρὸς τὸ δύστροπον τοῦ προσώπου, φθέγγεται μὲν γὰρ βαρύ, κἂν πρᾴως διαλέγηται, ἡ δ' ὀφρὺς ἐπίκειται τῷ τοῦ ὀφθαλμοῦ ἤθει, μεστὴ δ' ἡ παρειὰ χολῆς, τουτὶ γὰρ μάλιστα ἐπιφαίνει. ταῦτα, ὦ Τυανεῦ, μὴ ἐκπληττώμεθα, ἔστι γὰρ φύσεως μᾶλλον καὶ ἀεὶ ὅμοια." καὶ ὁ Ἀπολλώνιος „Ὀδυσσεὺς μέντοι" ἔφη „παριὼν ἐς τὸ τοῦ Πολυφήμου ἄντρον
309 καὶ μήτε ὁπόσος ἐστί, προακηκοὼς πρότερον, μηδ' οἷα σιτεῖται, μηδ' ὡς βροντᾷ ἡ φωνή, ἐθάρρησέ τε αὐτὸν καίτοι ἐν ἀρχῇ δείσας καὶ ἀπῆλθε τοῦ ἄντρου ἀνὴρ δόξας, ἐμοὶ δὲ ἐξελθεῖν αὖθις ἐμαυτόν τε σώσαντα καὶ τοὺς ἑταίρους, ὑπὲρ ὧν κινδυνεύω." τοιαῦτα διαλεχθεὶς πρὸς τὸν ἥκοντα καὶ ἀπαγγείλας αὐτὰ πρὸς τὸν Δάμιν ἐκάθευδεν.

XXIX Περὶ δὲ ὄρθρον γραμματεύς τις ἦκων τῶν βασιλείων δικῶν „κελεύει σε ὁ βασιλεύς", ἔφη „ὦ Ἀπολλώνιε, περὶ πλήθουσαν ἀγορὰν ἐς τὴν αὐλὴν ἥκειν, οὕπω ἀπολογησόμενον, ἀλλ' ἰδεῖν τέ σε, ὅστις ὢν τυγχάνεις, βούλεται καὶ ξυγγενέσθαι μόνῳ." „τί οὖν" εἶπεν „ὑπὲρ τούτων ἐμοὶ διαλέγῃ;" „οὐ γὰρ σὺ" ἔφη „Ἀπολλώνιος;" „νὴ Δί'," εἶπεν „ὁ Τυανεύς γε." „πρὸς τίνα οὖν" ἔφη „ταῦτα εἶπω;" „πρὸς τοὺς ἄξοντάς με," εἶπε „χρὴ γάρ που ὡς ἐκ δεσμωτηρίου φοιτᾶν." „προστέτακται" ἔφη „προτέροις γε ἐκείνοις ταῦτα, κἀγὼ δὲ ἀφίξομαι τοῦ καιροῦ, νυνὶ δὲ παραγγέλλων ἦλθον,
XXX ταυτὶ γὰρ μάλα ἐσπέρας προστέτακται." ὁ μὲν δὴ ἀπῆλθεν, ὁ δ' Ἀπολλώνιος ἀναπαύσας ἑαυτὸν ἐπὶ τῆς κλίνης „ὕπνου" ἔφη „δέομαι, Δάμι, χαλεπὴ γάρ μοι ἡ νὺξ γέγονεν ἀναμνησθῆναι βουλομένῳ ὧν Φραώτου ποτὲ ἤκουσα." „καὶ μὴν ἐγρηγορέναι τε" εἶπεν „ἐχρῆν μᾶλλον καὶ ξυντάττειν ἑαυτὸν ἐς τὸ παρηγγελμένον μέγα οὕτως ὄν." „καὶ πῶς ἂν ξυνταττοίμην" ἔφη „μηδέ, τί ἐρήσεται, εἰδώς;" „αὐτοσχεδιάσεις οὖν" εἶπεν „ὑπὲρ τοῦ βίου;" „νὴ Δί'," ἔφη „ὦ Δάμι, αὐτοσχεδίῳ γὰρ αὐτῷ χρῶμαι. ἀλλ' ὅ γε ἀνεμνήσθην τοῦ Φραώτου βούλομαι διελθεῖν πρὸς σέ, χρηστὸν γὰρ ἐς τὰ παρόντα καὶ σοὶ δόξει· τοὺς λέοντας, οὓς τιθασεύουσιν ἄνθρωποι, κελεύει Φραώτης μήτε παίειν, μυησικακεῖν γὰρ αὐτούς, εἰ παίοιντο, μήτε θεραπεύειν, ἀγερώχους γὰρ ἐκ τούτου γίγνεσθαι, ξὺν ἀπειλῇ δὲ μᾶλλον καταψῶντας ἐς εὐάγωγα ἦθη ἄγειν. τοῦτο δὲ οὐχ ὑπὲρ τῶν λεόντων εἶπεν,
310 οὐ γὰρ ὑπὲρ θηρίων ἀγωγῆς ἐσπουδάζομεν, ἀλλ' ἡνίαν ἐπὶ τοὺς τυράννους διδούς, ᾗ χρωμένους οὐκ ἂν ἐκπεσεῖν ἥγειτο τοῦ ξυμμέτρου." „ἄριστα μὲν" ἔφη „ὁ λόγος οὗτος ἐς τὰ τυράννων ἦθη εἴρηται, ἀλλ' ἔστι τις καὶ παρὰ τῷ Λισώπῳ λέων ὁ ἐν τῷ σπηλαίῳ, φησὶ δ' αὐτὸν ὁ Αἴσωπος οὐ νοσεῖν μέν, δοκεῖν δέ, καὶ τῶν θηρίων, ἃ ἐφοίτα παρ' αὐτόν, ἅπτεσθαι, τὴν δὲ ἀλώπεκα τί τούτῳ χρησόμεθα, εἶπε, παρ' οὗ μηδὲ ἀναλύει τις, μηδὲ δείκνυταί τι τῶν ἐξιόντων ἴχνος;" καὶ ὁ Ἀπολλώνιος „ἀλλ' ἐγὼ" ἔφη „σοφωτέραν τὴν ἀλώπεκα ἡγούμην ἄν, εἰ παρελθοῦσα ἔσω μὴ ἦλθε, ἀλλ' ἐξῆλθε τοῦ σπηλαίου τὰ ἴχνη τὰ ἑαυτῆς δεικνῦσα." ταῦτα εἰπὼν ὕπνου ἔσπασε κομιδῇ
XXXI βραχὺ καὶ ὅσον ἐπ' ὀφθαλμοὺς ἦλθεν, ἡμέρα δ' ὡς ἐγένετο, προσευξάμενος τῷ Ἡλίῳ, ὡς ἐν δεσμωτηρίῳ εἰκός, διελέγετο τοῖς προσιοῦσιν, ὑπόσα ἠρώτων, καὶ οὕτως ἀγορᾶς πληθούσης ἀφικνεῖται γραμματεὺς κελεύων ἐπὶ θύρας ἤδη εἶναι „μὴ καὶ θᾶττον" ἔφη „ἐσκληθῶμεν". ὁ δὲ εἰπὼν „ἴωμεν" ξὺν ὁρμῇ προῆλθε. πορευομένῳ δ' αὐτῷ δορυφόροι ἐπηκολούθουν τέτταρες πλέον ἀπέχοντες ἢ οἱ φυλακῆς ἕνεκα ὁμαρτοῦντες, ἐφείπετο δὲ καὶ ὁ Δάμις δεδιὼς μέν, ξυνοοῦντι δ' ὅμοιος.

1. μηδ' ὑπερφρονεῖν — χαίρω om. p. ib. ξυμβουλεύσει. π et m. γρ. ξυμβουλεύει. 2. ξυμβουλεύεις. fc, E. 3. τουτὶ. l. ταυτί 2, E. 8. αὐτὸν. E. ib. ἐξελθεῖν. l. ἐξελθεῖν τε. 2, E.
11. ὦ om. v. 14. νὴ Δία. p. 15. εἶπεν. p. ib. προτέτακται. f, s pr. m. 16. προτέροις. l. πρὸς τούτοις. 2, E.
17. ἀπὸ. p. ἀπὸ. π. 19. εἶπερ. s, m. 20. οὕτως om. v. ib. ὅτι. π. τί. p, 2, s. ὅ τί. m, o. 21. νὴ Δία. p.
23. τιθασεύουσιν. π. τιθασσεύουσιν. p, 2, E. ib. οἱ ἄνθρωποι. s, a, m. 25. τῶν λεόντων — ὑπὲρ om. 2, a. 27. ἐς τὰ τυράννων. l, m, o. ἐς τυράννων. 2, a. 33. ἡμέρας. a. 37. ἐφήπτετο. f. ἐπείπετο. p.

VII, 29. 30. 31. p 309. 310.

ἑώρων μὲν δὴ ἐς τὸν Ἀπολλώνιον ἅπαντες, αὐτοῦ τε γὰρ τοῦ σχήματος ἀπεβλέπετο καὶ θεία ἐδόκει ἡ περὶ τῷ εἴδει ἔκπληξις, καὶ αὐτὸ δὲ τὸ ἥκειν ὑπὲρ ἀνδρῶν κινδυνεύσοντα καὶ τοὺς βασκαίνοντας αὐτῷ πρότερον ἐπιτηδείους ἐποίει τότε. προσεστὼς δὲ τοῖς βασιλείοις καὶ τοὺς μὲν θεραπευομένους ὁρῶν, τοὺς δὲ θεραπεύοντας, ἐσιόντων τε καὶ ἐξιόντων κτύπον „δοκεῖ μοι", ἔφη „ὦ Δάμι, βαλανείῳ ταῦτα εἰκάσθαι, τοὺς μὲν γὰρ ἔξω ἔσω ὁρῶ σπεύδοντας, τοὺς δὲ ἔσω ἔξω, παραπλήσιοι δέ εἰσιν οἱ μὲν ἐκλελουμένοις, οἱ δ' ἀλούτοις." τὸν λόγον τοῦτον ἄσυλον κελεύω φυλάττειν καὶ μὴ τῷ δεῖνι ἢ τῷ δεῖνι προσγράφειν αὐτὸν οὕτω τι Ἀπολλωνίου ὄντα, ὡς καὶ ἐς ἐπιστολὴν αὐτῷ ἀναγεγράφθαι. ἰδὼν δέ τινα μάλα πρεσβύτην ἐπιθυμοῦντα μὲν ἄρχειν, δι' αὐτὸ δὲ τοῦτο ἀρχόμενον καὶ θεραπεύοντα τὸν βασιλέα „τοῦτον", ἔφη „ὦ Δάμι, οὐδὲ Σοφοκλῆς πω 311
πέπεικε τὸν λυττῶντα τε καὶ ἄγριον δεσπότην ἀποφυγεῖν." „ὃν ἡμεῖς," εἶπεν „Ἀπολλώνιε, καὶ αὐτοὶ ᾐρήμεθα· ταῦτά τοι καὶ προσεστήκαμεν θύραις τοιαύταις." „δοκεῖς μοι" ἔφη „ὦ Δάμι, καὶ τὸν Αἰακόν, ὅσπερ ἐν Ἅιδου λέγεται, φρουρὸν ἡγεῖσθαι τουτωνὶ τῶν πυλῶν εἶναι, τεθνεῶτι γὰρ δὴ ἔοικας." „οὐ τεθνεῶτι," ἔφη „τεθνηξομένῳ δέ." καὶ ὁ Ἀπολλώνιος, „ἀφυής," εἶπεν „ὦ Δάμι, πρὸς τὸν θάνατον εἶναί μοι φαίνῃ, καίτοι ξυνών μοι χρόνον, ἐκ μειρακίου φιλοσοφῶν, ἐγὼ δὲ ᾤμην παρεσκευάσθαι τέ σε πρὸς αὐτὸν καὶ τὴν ἐν ἐμοὶ τακτικὴν εἰδέναι πᾶσαν, ὥσπερ γὰρ τοῖς μαχομένοις καὶ ὁπλιτεύουσιν οὐκ εὐψυχίας δεῖ μόνον, ἀλλὰ καὶ τάξεως ἑρμηνευούσης τοὺς καιροὺς τῆς μάχης, οὕτω καὶ τοῖς φιλοσοφοῦσιν ἐπιμελητέα τῶν καιρῶν, ἐν οἷς ἀποθανοῦνται, ὡς μὴ ἄτακτοι, μηδὲ θανατῶντες, ξὺν ἀρίστῃ δ' αἱρέσει ἐς αὐτοὺς φέροιντο. ὅτι δὲ ἄριστά τε καὶ κατὰ τὸν προσήκοντα φιλοσοφίᾳ καιρὸν εἱλόμην ἀποθνήσκειν, εἴ τις ἀποκτείνειν βούλοιτο, ἑτέροις τε ἀπολελόγημαι σοῦ παρόντος, αὐτόν τε σὲ διδάσκων ἀπείρηκα." ἐπὶ τοσοῦτον μὲν δὴ ταῦτα, ἐπεὶ XXXII
δὲ σχολὴ τῷ βασιλεῖ ἐγένετο τὰ ἐν ποσὶ διωσαμένῳ πάντα ἐς λόγους ἀφικέσθαι τῷ ἀνδρί, παρῆγον μὲν αὐτὸν ἐς τὰ βασίλεια οἱ ἐπιμεληταὶ τῶν τοιούτων οὐ ξυγχωρήσαντες τῷ Δάμιδι ἐπισπέσθαι οἱ, θαλλοῦ δὲ στέφανον ἔχων ὁ βασιλεὺς ἅρτι μὲν τῇ Ἀθηνᾷ τεθυκὼς ἐτύγχανεν ἐν αὐλῇ Ἀδώνιδος, ἡ δὲ αὐλὴ ἀνθέων ἐτεθήλει κήποις, οὓς Ἀδώνιδι Ἀσσύριοι ποιοῦνται ὑπὲρ ὀργίων ὁμωροφίους αὐτοὺς φυτεύοντες. πρὸς δὲ τοῖς ἱεροῖς ὧν μετεστράφη καὶ ἐκπλαγεὶς ὑπὸ τοῦ εἴδους τοῦ ἀνδρὸς 312
„Αἰλιανέ," εἶπε „δαίμονά μοι ἐπεσήγαγες". ἀλλ' οὔτε ἐκπλαγεὶς ὁ Ἀπολλώνιος καθαπτόμενός τε ὧν ἤκουσεν „ἐγὼ δὲ" ἔφη „τὴν Ἀθηνᾶν ᾤμην ἐπιμεμελῆσθαί σου, βασιλεῦ, τρύπον, ὃν καὶ τοῦ Διομήδους ποτὲ ἐν Τροίᾳ, τὴν γάρ τοι ἀχλύν, ὑφ' ἧς οἱ ἄνθρωποι χεῖρον βλέπουσιν, ἀφελοῦσα τῶν τοῦ Διομήδους ὀφθαλμῶν ἔδωκεν αὐτῷ θεούς τε διαγιγνώσκειν καὶ ἄνδρας, σὲ δ' οὔπω ἡ θεὸς ἐκάθηρεν, ὦ βασιλεῦ, τὴν κάθαρσιν ταύτην· ἢ μὴν ἔδει γε, ὡς αὐτὴν τὴν Ἀθηνᾶν ὁρῴης ἄμεινον τούς τε ἄνδρας μὴ ἐς τὰ τῶν δαιμόνων εἴδη τάττοις." „σὺ δέ," εἶπεν „ὦ φιλόσοφε, πότε τὴν ἀχλὺν ἐκαθήρω ταύτην;" „πάλαι" ἔφη „καξ ὅτου φιλοσοφῶ." „πῶς οὖν" εἶπε „τοὺς ἐμοὶ πολεμιωτάτους ἄνδρας θεοὺς ἐνόμισας;" „καὶ τίς" ἔφη „πρὸς Ἰάρχαν σοι πόλεμος ἢ πρὸς Φραώτην τοὺς Ἰνδούς, οὓς ἐγὼ μύνους ἀνθρώπων θεούς τε ἡγοῦμαι καὶ ἀξίους τῆς ἐπωνυμίας ταύτης;" „μὴ ἄπαγε ἐς Ἰνδούς," εἶπεν „ἀλλ' ὑπὲρ τοῦ φιλτάτου σοι Νερούα καὶ τῶν κοινωνούντων αὐτῷ τῆς αἰτίας λέγε." „ἀπολογῶμαι ὑπὲρ αὐτοῦ" ἔφη „τι ἢ" — „μὴ ἀπολογοῦ" εἶπεν „ἀδικῶν γὰρ

1. ἑώρων — ἔκπληξις. Φ (334, b, 24). ib. πάντες. Φ. ἅπαντες om. s, a, m. ib. ἀπιβλέπετο. 1, f, v, Φ. ἐπεβλέπετο. s, l, E. 3. προσεστὼς. l, s, a. 5. εἰκάσθαι. p, 2, a et m. γρ. εἰκάσαι. π, m, o. 7. ἐς om. p. s. μὲν ἄρχειν. 1. μὲν τοῦ ἄρχειν. 2, E. 9. οὐ Σοφοκλῆς. p. 11. ταῦτά σοι. π et m γρ. ib. προσεστήκαμεν. l, s, a, m. ib. θύραις om. v. ib. μοι om. l. pr. m. 12. ὥσπερ. π. ὥσπερ p, 2, E. 14. φαίνῃ om. π. ib. φιλοσοφῶν. π et m. γρ. φιλοσόφῳ. p, 2, E. 19. ἀποκτενεῖν. π. 20. αὐτόν τέ σε. o. 22. αὐτὸν ἐς τὰ βασίλεια. 1, m, o. ἐς τὰ βασίλεια αὐτόν. 2, a. 23. Ἀδώνιος. π. 26. ἐπισήγαγες. l. 27. ἐπιλελῆσθαι. f, l. ἐπιμελῆσθαι. v. ib. καὶ τὸν Διομήδους. s, a. 28. ὑφ' οἷς. l. 29. γιγνώσκειν. a. 31. τε om. v. 32. ἔφη. v. 33. καί τις — ταύτης. E (453). ib. ἔφη om. E. ib. καὶ πρὸς. E praeter A, B. ib. Φοραώτην. EB. 35. σοι. 1, m, o. σου. 2, a. 36. ἀπολογῶμαι. C praeter v. ἀπολογοῦμαι. v, E. corr. Ha. 64. ib. τι ἢ. π, 2, E. τι ἢ μὴ; p. Ha. l. c.

εἴληπται, ἀλλ' οὐχ ὡς αὐτὸς ἀδικεῖς ξυνειδὼς ἐκείνῳ τοιαῦτα, τοῦτό με ἀναδίδασκε." „εἰ, ἃ ξύνοιδα," ἔφη „ἀκοῦσαι βούλει, ἄκουε, τί γὰρ ἂν τἀληθῆ κρύπτοιμι;" ὁ μὲν δὴ βασιλεὺς ἀπορρήτων τε λαμπρῶν ἀκροάσασθαι ᾤετο καὶ ἐς τὸ ξυντεῖνον τῆς ἀπωλείας τῶν ἀνδρῶν ἥκειν πάντα, ὁ
XXXIII δ' ὡς μετέωρον αὐτὸν ὑπὸ τῆς δόξης ταύτης εἶδεν, „ἐγώ" ἔφη „Νερούαν σωφρονέστατον ἀνθρώ-
5 πων οἶδα καὶ πρᾳότατον καὶ σοὶ ἐπιτηδειότατον καὶ ἄρχοντα μὲν ἀγαθόν, εὐλαβῆ δ' οὕτω πρὸς ὄγκον πραγμάτων, ὡς καὶ τὰς τιμὰς δεδιέναι, οἱ δὲ ἀμφ' αὐτόν, Ῥοῦφον γάρ που λέγεις καὶ Ὄρ-
313 φιτον, σώφρονες μὲν καὶ οἵδε οἱ ἄνδρες, ὁπόσα οἶδα, καὶ διαβεβλημένοι πρὸς πλοῦτον, νωθροὶ δὲ πράττειν ὁπόσα ἔξεστι, νεώτερα δὲ οὔτ' ἂν αὐτοὶ ἐνθυμηθεῖεν οὔτ' ἂν ἑτέρῳ ἐνθυμηθέντι ξυνάραιντο." ἀνοιδήσας δ' ὁ βασιλεὺς ὑφ' ὧν ἤκουσε „συκοφάντην με οὖν" εἶπεν „ἐπ' αὐτοῖς εἴλη-
10 φας, ἵν', οὓς ἐγὼ μιαρωτάτους ἀνθρώπων καὶ τοῖς ἐμοῖς ἐπιπηδῶντας εὗρον, σὺ δ', ὡς χρηστοί τέ εἰσι καὶ νωθροί; καὶ γὰρ ἂν κἀκείνους ἡγοῦμαι ὑπὲρ σοῦ ἐρωτωμένους μήθ' ὡς γόης εἶ, φάνσι, μήθ' ὡς ἴτης μήθ' ὡς ἀλαζὼν μήθ' ὡς φιλοχρήματος μήθ' ὡς φρονῶν ὑπὲρ τοὺς νόμους. οὕτως, ὦ μιαραὶ κεφαλαί, κακῶς ξυντέταχθε. ἐλέγξει δ' ἡ κατηγορία πάντα· καὶ γὰρ ὁπόσα ὁμώμοται
15 ὑμῖν καὶ ὑπὲρ ὧν καὶ ὁπότε καὶ τί θύσασιν, οὐδὲν μεῖον οἶδα, ἢ εἰ παρετύγχανόν τε καὶ ἐκοινώνουν." ὁ δὲ οὐδὲ ταῦτα ἐκπλαγεὶς „αἰσχρόν," ἔφη „βασιλεῦ, καὶ οὐκ ἐκ τῶν νόμων ἢ δικάζειν ὑπὲρ ὧν πέπεισαι ἢ πεπεῖσθαι ὑπὲρ ὧν μὴ ἐδίκασας. εἰ δ' οὕτως ἔχει, ξυγχώρησον ἐνθένδε μοι τῆς ἀπολογίας ἄρξασθαι· κακῶς, ὦ βασιλεῦ, περὶ ἐμοῦ φρονεῖς, καὶ πλείω μὲ ἀδικεῖς ἢ ὁ συκοφάντης, ἃ γὰρ ἐκεῖνος διδάξειν ἔφη, σὺ πρὶν ἀκοῦσαι πέπεισαι." „τῆς μὲν ἀπολογίας" εἶπεν „ὁπόθεν βούλει, ἄρχου, ἐγὼ δὲ καὶ ἐς ὅ τι παύσομαι οἶδα καὶ ὁπόθεν ἤδη προσήκει ἄρξασθαι."
XXXIV 20 ἄρχεται τὸ ἐνθένδε τῆς ἐς τὸν ἄνδρα ὕβρεως γενείων τε ἀποκείρας αὐτὸν καὶ χαίτης ἔν τε τοῖς κακουργοτάτοις δήσας. ὁ δ' ὑπὲρ μὲν τῆς κουρᾶς „ἐλελήθειν, ὦ βασιλεῦ," ἔφη „περὶ ταῖς θριξὶ κινδυνεύων." ὑπὲρ δὲ τῶν δεσμῶν „εἰ μὲν γόητά με ἠγῇ," ἔφη „πῶς δήσεις; εἰ δὲ δήσεις, πῶς
314 γόητα εἶναι φήσεις;" „καὶ ἀνήσω γε οὐ πρότερον," εἶπεν „ἢ ὕδωρ γενέσθαι σε ἢ τι θηρίον ἢ δένδρον." „ταυτὶ μὲν" ἔφη „οὐδ' εἰ δυναίμην, γενοίμην ἄν, ὡς μὴ προδοίην ποτὲ τοὺς οὐδεμιᾷ
25 δίκῃ κινδυνεύοντας, ὧν δ', ὅσπερ εἰμί, πᾶσιν ὑποθήσω ἐμαυτὸν οἷς ἂν περὶ τὸ σῶμα τουτὶ πράττῃς, ἔστ' ἂν ὑπὲρ τῶν ἀνδρῶν ἀπολογήσωμαι." „ὑπὲρ δὲ σοῦ" εἶπε „τίς ὁ ἀπολογησόμενος ἔσται;" „χρόνος" ἔφη „καὶ θεῶν πνεῦμα καὶ σοφίας ἔρως, ᾗ ξύνειμι."
XXXV Τὸν μὲν δὴ προάγωνα τῆς ἀπολογίας, ὃς δὴ ἐγένετο αὐτῷ πρὸς Δομετιανὸν ἰδίᾳ, τοιόνδε διαγράφει ὁ Δάμις, οἱ δὲ βασκάνως ταῦτα ξυνθέντες ἀπολελογῆσθαι μὲν αὐτόν φασι πρότερον,
30 δεδέσθαι δὲ μετὰ ταῦτα, ὅτε δὴ κείρασθαι, καί τινα ἐπιστολὴν ἀνέπλασαν ξυγκειμένην μὲν ἰωνικῶς, τὸ δὲ μῆκος ἄχαρι, ἐν ᾗ βούλονται τὸν Ἀπολλώνιον ἱκέτην τοῦ Δομετιανοῦ γίγνεσθαι παραιτούμενον ἑαυτὸν τῶν δεσμῶν. Ἀπολλώνιος δὲ τὰς μὲν διαθήκας τὰς ἑαυτοῦ τὸν Ἰώνιον ἑρμηνεύει τρόπον, ἐπιστολῇ δὲ ἐοικὸς ξυγκειμένῃ οὔπω Ἀπολλωνίου προσέτυχον, καίτοι ξυνειλοχὼς αὐτοῦ πλείστας, οὐδὲ μακρηγορίαν πω τοῦ ἀνδρὸς ἐν ἐπιστολῇ εὗρον, βραχεῖαι γὰρ καὶ ἀπὸ σκυτάλης πᾶσαι.

1. εἰ ἃ ξύνοιδα. 1 et m. γρ. ἢ ἃ ξύνοιδα. 2 εἰ μὲν ἦ ξύνοιδα. fc, E. 2. βούλει; l. 3. ἀκροάσασθαι. π, ν et m. γρ. ἀκροάσεσθαι. p, f, o. ἀκροᾶσθαι. l, s, a, m. ib. ἥκειν. l, s, a, m. 4. σωφρονέστερον. f, v, l. 9. δ' om. s, a, m. ib. με οὖν. f. al. m. suprascr. μὲν. μὲν οὖν. l, s. pr. m. 10. ἦν — λέγῃς. p. ex corr. 11 εἶσι καὶ. π. εἶσι λέγεις καὶ. p, 2, E. ib. εἶναι φάναι. p. 12. ὡς ἀναιδῆς. a. Lips. (pro ὡς ἴτης.) 13. συντέταχθε. f, l, s. 14. τί θύουσιν. p. τί ἔθυσεν. l. ib. οὐδὲ. p. pr. m. ib. ᾗ καὶ εἰ. E. 16. περὶ ὧν. v. ib. ἔχει. π. ἔχεις. p, 2, E. 17. περὶ ἐμοῦ. π. ὑπὲρ ἐμοῦ. p, 2, E. ib. πλείω μὲν. s, a, m. 18. εἶπεν om. s, a, m. 20. τοενθένδε τι. a. τὸ ἐνθένδε τι. m. 21. ὑπὲρ μὲν — κινδυνεύων. Φ (334, b, 27). ib. ἐληλήθην. f, l. 22. εἰ μὲν — φήσεις. Ἐ (459). ib. γόητά τε. p. ib. δήσεις; καὶ ἀνήσω. C, E. δήσεις; εἰ δὲ δήσεις, πῶς γόητα εἶναι φήσεις; Ἐ probante B. 26. τίς ἀπολογησόμενος. m, o. 27. χρόνος γάρ. v.

28. μὲν δή. π. μὲν. p, 2, E. ib. ὃς δή. C, E. Deleverim δή. 29. γράφει. π. ib. αὐτὸν om. p. 31. γίγνεσθαι. 1, v. γενέσθαι. f, l, s, E. 32. Ἰώνων. f, v, l. 33. ξυνειλοχὼς. 1, f, v. ξυνειλοχὼς et η suprascr. penult. l. ξυνειληχὼς. s, E. 34. πω om. a, m. ib. ἐν ἐπιστολῇ om. f, v, l et s. pr. m.

VII, 33. 34. 35. p. 313. 314.

καὶ μὴν καὶ νικῶν τὴν αἰτίαν ἀπῆλθε τοῦ δικαστηρίου, καὶ πῶς ἄν ποτε ἐδέθη μετὰ τὴν ἀφεῖσαν ψῆφον; ἀλλὰ μήπω τὰ ἐν τῷ δικαστηρίῳ· ἔτι καὶ τὰ ἐπὶ τῇ κουρᾷ καὶ ἄττα διελέχθη, λεγέσθω πρότερον, ἄξια γὰρ σπουδάσαι· δυοῖν γὰρ ἡμέραιν δεδεμένου τοῦ ἀνδρὸς ἀφικνεῖταί τις ἐς τὸ δε- XXXVI
σμωτήριον τὸ προσελθεῖν αὐτῷ ἐωνῆσθαι φάσκων, ξύμβουλος δὲ σωτηρίας ἥκειν· ἦν μὲν δὴ Συ-
ρακούσιος οὗτος, Δομετιανοῦ δὲ νοῦς τε καὶ γλῶττα, καθεῖτο δ', ὥσπερ ὁ πρότερος, ἀλλ' ὑπὲρ
πιθανωτέρων οὗτος. ὁ μὲν γὰρ πόρρωθεν, ὁ δ' ἐκ τῶν παρόντων ἑλὼν „ὦ θεοί," ἔφη „τίς ἂν 315
ᾠήθη δεθῆναι Ἀπολλώνιον;" „ὁ δήσας," εἶπεν „οὐ γὰρ ἄν, εἰ μὴ ᾠήθη, ἔδησε." „τίς δ' ἂν
τὰς ἀμβροσίας ποτὲ ἀποτμηθῆναι χαίτας;" „ἐγὼ" εἶπεν „ὁ κομῶν." „φέρεις δὲ πῶς ταῦτα;"
„ὥς γε εἰκὸς" εἶπε „τὸν μήθ' ἑκουσίως μήτ' ἀκουσίως ἐς αὐτὰ ἥκοντα." „τὸ δὲ σκέλος πῶς"
ἔφη „χαρτερεῖ;" „οὐκ οἶδα," εἶπεν „ὁ γὰρ νοῦς πρὸς ἑτέροις ἐστί." „καὶ μὴν πρὸς τὸ ἀλγοῦν" 10
ἔφη „ὁ νοῦς." „οὐ μὲν οὖν," εἶπε „νοῦς μὲν γὰρ ὁ γ' ἐν ἀνδρὶ τοιῷδε ἢ οὐκ ἀλγήσει ἢ τὸ ἀλ-
γοῦν παύσει." „τί δὲ δὴ ἐνθυμεῖται ὁ νοῦς;" „αὐτὸ" εἶπε „τὸ μὴ ἐννοεῖν ταῦτα." πάλιν δ' αὐ-
τοῦ τὰς χαίτας ἀνακαλοῦντος καὶ περιάγοντος ἐς αὐτὰς τὸν λόγον, „ὤνησαι," ἔφη „νεανίσκε, μὴ
τῶν ἐν Τροίᾳ ποτὲ Ἀχαιῶν εἷς γενόμενος, ὡς σφόδρα ἄν μοι δοκεῖς τὰς Ἀχιλλείους κόμας ὀλοφύ-
ρεσθαι Πατρόκλῳ τμηθείσας, εἰ δὴ ἐτμήθησαν, καὶ λειποθυμῆσαι δ' ἂν ἐπ' αὐταῖς· ὃς γὰρ τὰς 15
ἐμάς, ἐν αἷς πολιαί τε ἦσαν καὶ αὐχμός, ἐλεεῖν φάσκεις, τί οὐκ ἂν πρὸς ἐκείνας ἔπαθες τὰς ἠσκη-
μένας τε καὶ ξανθάς;" τῷ δὲ ἄρα ξὺν ἐπιβουλῇ ταῦτα ἐλέγετο, ἵν' ὑπὲρ ὧν ἀλγεῖ μάθοι, καὶ νὴ
Δία, εἰ λοιδορεῖται τῷ βασιλεῖ ὑπὲρ ὧν πέπονθεν· ἀνακοπεὶς δ' ὑφ' ὧν ἤκουσε „διαβέβλησαι,"
ἔφη „πρὸς τὸν βασιλέα περὶ πλειόνων, μάλιστα δ' ὑπὲρ ὧν οἱ περὶ Νερούαν ὡς ἀδικοῦντες
φεύγουσιν, ἀφίκοντο μὲν γάρ τινες ἐς αὐτὸν διαβολαὶ καὶ περὶ τῶν ἐν Ἰωνίᾳ λόγων, οὓς ἀντιξόως 20
τε αὐτῷ καὶ ἀπηχθημένως εἶπας, καταφρονεῖ δὲ τούτων, ὡς φασιν, ἐπειδὴ πρὸς τὰ μείζω παρώ- 316
ξυνται, καίτοι τοῦ κἀκεῖνα διαβάλλοντος ἀνδρὸς ὑψοῦ προήκοντος τῆς δόξης." „οἷον ἔφη" Ὀλυμ-
πιονίκην εἴρηκας, εἰ δόξης φησὶν ἅπτεσθαι διαβολαῖς ἰσχύων. ξυνίημι δ', ὡς ἔστιν Εὐφράτης, ὃν
ἐγὼ οἶδα πάντ' ἐπ' ἐμὲ πράττοντα, ἠδίκημαι δ' ὑπ' αὐτοῦ καὶ μείζω ἕτερα· αἰσθόμενος γάρ ποτε
φοιτήσειν μέλλοντα παρὰ τοὺς ἐν Αἰθιοπίᾳ Γυμνοὺς ἐς διαβολάς μου πρὸς αὐτοὺς κατέστη, καὶ εἰ 25
μὴ τῆς ἐπιβουλῆς ξυνῆκα, τάχ' ἂν ἀπῆλθον μηδ' ἰδὼν τοὺς ἄνδρας." θαυμάσας οὖν ὁ Συρακού-
σιος τὸν λόγον „εἶτ'" ἔφη „τοῦ διαβληθῆναι βασιλεῖ μεῖζον ἦγῃ τὸ τοῖς Γυμνοῖς μὴ χρηστὸς ἂν
ἐξ ὧν Εὐφράτης καθίει δόξαι;" „νὴ Δί'," εἶπεν „ἐκεῖ μὲν γὰρ μαθησόμενος ἦα, ἐνταῦθα δὲ
ὑπὲρ διδασκαλίας ἧκω." „τῆς τί" ἔφη „διδασκούσης;" „τὸ εἶναί με" εἶπε „καλὸν κἀγαθόν,
τουτὶ δὲ ὁ βασιλεὺς οὔπω οἶδεν." „ἀλλ' ἔστιν" ἔφη „τὰ σεαυτοῦ εὖ θέσθαι διδαξαμένῳ αὐτόν, 30
ἃ καὶ πρὶν ἐνταῦθα ἥκειν λέξας οὐδ' ἂν ἐδέθης." ξυνιεὶς οὖν τοῦ Συρακουσίου ξυνελαύνοντος
αὐτὸν ἐς τὸν ὅμοιον τῷ βασιλεῖ λόγον οἰομένου τε, ὡς ἀπαγορεύων πρὸς τὰ δεσμὰ ψεύσεταί τι κατὰ
τῶν ἀνδρῶν „ὦ βέλτιστε," εἶπεν „εἰ τάληθῆ πρὸς Δομετιανὸν εἰπὼν ἐδέθην, τί πείσομαι μὴ ἀλη-
θεύσας; ἐκείνῳ μὲν γὰρ τἀληθὲς δοκεῖ δεσμῶν ἄξιον, ἐμοὶ δὲ τὸ ψεῦδος." ὁ μὲν δὴ Συρακούσιος
ἀγασθεὶς αὐτὸν ὡς ὑπερφιλοσοφοῦντα, ταυτὶ γὰρ εἰπὼν ἀπῆλθεν, ἐχώρει ἐκ τοῦ δεσμωτηρίου, ὁ 35 XXXVII
δ' Ἀπολλώνιος ἰδὼν ἐς τὸν Δάμιν „ξυνίης" ἔφη „τοῦ Πύθωνος τούτου;" „ξυνίημι μέν" εἶπε

1. ἐδέθη om. π. ἐδόκει (pro ἐδέθη) l, s, a, m. ubi ἴσ. ἐδέθη. 2. prius καὶ eras. p. ib. τὰ δὲ. p. ex corr. ib. διελέχθη. E. 3. ἀφικνεῖται — γλῶττα. Φ (334, b, 28). 4. δὴ om. v. 5. κάθητο. f, v, l. 8. ἀμβροσίου. π. ib. ταύτας. p, f, v, l. 9. αὐτὸ. f, v, l. 11. μὲν om. 2, a. ib. ἐν om. m. 12. δὴ om. s, a. ib. ὁ om. 2, a. ib. μὴ om. a, m. 13. ὄνησαι. π. ὤνησο. p, 2, a. ὠνήσω. m, o. 14. δοκῆς. π. ib. ὀλοφύρεσθαι. C. ὀλοφύρασθαι. E. 15. ὃς γὰρ. 1, m. γρ. ὁ γὰρ. f, v, l. εἰ γὰρ. s, E. 16. ἐν αἷς πολιαὶ. π. ἐν αἷς ποτε πολιαὶ. p, 2, E. ib. ἐλεεῖς. l, s, a, m. ib. φασιν. v. ib ὅτι οὐκ ἂν. v. τί οὖν om. ἄν. p. ib. τὰς κειμένας. l. 17. μάθῃ suprascr. οι. l, s. 18. διαβέβληται. 2. 19. ὑπὲρ ὧν om. 2, a, m. 21. παροξύνεται. v. 22. προήκοντος om. l. 25. ἐν om. l. 27. διαβληθῆναι. p. 28. Δία. p. ib. μὲν om. l (pr. m), s, a, m. 29. ἦκον. p. ex corr. ib. εἶπε om. 2 (s pr. m), E. 30. ἔφη om. 2 (s. pr. m.), a, m. ib. διαδεξάμενος. π. ib. διδαξαμένῳ δ'. E. ib. αὐτῷ. v. 31. ἔλεξας. p. ex corr. ib. οὐδ' ἄν. 1. οὐκ ἄν. 2, E. 33. πρὸς τὸν. v. 34. δεσμεῖν. π. 36. ξυνίεις. l, s, E.

ὑποκαθημένου τε καὶ ὑπαγομένου σε, τί δ' ὁ Πύθων βούλεταί σοι καὶ τίς ὁ τοῦ ὀνόματος νοῦς, οὐκ οἶδα." „ἐγένετο" ἔφη „Πύθων ὁ Βυζάντιος ἀγαθός, φασί, ῥήτωρ τὸ κακὰ πείθειν· οὗτος ὑπὲρ Φιλίππου τοῦ Ἀμύντου πρεσβεύων παρὰ τοὺς Ἕλληνας ὑπὲρ τῆς δουλείας αὐτῶν τοὺς μὲν ἄλλους εἶα, ἀλλ' ἐν Ἀθηναίοις γε αὐτοῖς, ὅτε δὴ μάλιστά γε ῥητορικῇ ἔρρωντο, ἀδικεῖσθαί τε ὑπ' 317 αὐτῶν ἔφασκε τὸν Φίλιππον καὶ δεινὰ πράττειν Ἀθηναίους τὸ Ἑλληνικὸν ἐλευθεροῦντας. ὁ Πύθων ταῦτα ῥέων, ὥς φασιν, ἀλλὰ Δημοσθένης ὁ Παιανιεὺς ἀντειπὼν θρασυνομένῳ μόνος, τὸ ἀνασχεῖν αὐτὸν τάττει ἐν τοῖς ἑαυτοῦ λόγοις. ἐγὼ δὲ τὸ μὴ ὑπαχθῆναι ἐς ἃ ἐδόκει τούτῳ οὐκ ἄν ποτε ἄθλον ἐμαυτοῦ φαίην, Πύθωνι δ' αὐτὸν ταὐτὸν πράττειν ἔφην, ἐπειδὴ τυράννου τε μισθωτὸς ἀφίκετο καὶ ἀτόπων ξύμβουλος."

XXXVIII Διαλέγεσθαι μὲν δὴ τὸν Ἀπολλώνιον πλείω τοιαῦτα, ἑαυτὸν δὲ ὁ Δάμις ἀπορεῖν μὲν ὑπὲρ τῶν παρόντων φησί, λύσιν δὲ αὐτῶν ὁρᾶν οὐδεμίαν, πλὴν ὅσαι παρὰ τῶν θεῶν εὐξαμένοις τισὶ κἀκ πολλῷ χαλεπωτέρων ἦλθον, ὀλίγον δὲ πρὸ μεσημβρίας „ὦ Τυανεῦ", φάναι, σφόδρα γὰρ δὴ χαίρειν αὐτὸν τῇ προσρήσει „τί πεισόμεθα;" „ὅ γε ἐπάθομεν," ἔφη „πέρα δ' οὐδέν, οὐδὲ ἀποκτενεῖ ἡμᾶς οὐδείς." „καὶ τίς" εἶπεν „οὕτως ἄτρωτος; λυθήσῃ δὲ πότε;" „τὸ μὲν ἐπὶ τῷ δικά- σαντι" ἔφη „τήμερον, τὸ δὲ ἐπ' ἐμοὶ ἄρτι." καὶ εἰπὼν ταῦτα ἐξήγαγε τὸ σκέλος τοῦ δεσμοῦ καὶ πρὸς τὸν Δάμιν ἔφη „ἐπίδειξιν πεποίημαί σοι τῆς ἐλευθερίας τῆς ἐμαυτοῦ καὶ θάρρει." τότε πρῶτον ὁ Δάμις φησὶν ἀκριβῶς ξυνεῖναι τῆς Ἀπολλωνίου φύσεως, ὅτι θεία τε εἴη καὶ κρείττων ἀνθρώπου, μὴ γὰρ θύσαντα, πῶς γὰρ ἐν δεσμωτηρίῳ; μηδ' εὐξάμενόν τι, μηδὲ εἰπόντα καταγελάσαι XXXIX τοῦ δεσμοῦ καὶ ἐναρμόσαντα αὖ τὸ σκέλος τὰ τοῦ δεδεμένου πράττειν. οἱ δὲ εὐηθέστεροι τῶν ἀνθρώπων ἐς τοὺς γόητας ἀναφέρουσι ταῦτα, πεπόνθασι δ' αὐτὸ ἐς πολλὰ τῶν ἀνθρωπείων· δέονται 318 μὲν γὰρ αὐτῆς ἀθληταί, δέονται δὲ ἀγωνισταὶ πάντες διὰ τὸ νικᾶν γλίχεσθαι, καὶ ξυλλαμβάνει μὲν αὐτοῖς ἐς τὴν νίκην οὐδέν, ἃ δὲ ἀπὸ τύχης νικῶσι, ταῦθ' οἱ κακοδαίμονες αὐτοὺς ἀφελόμενοι λογίζονται τῇ τέχνῃ ταύτῃ, ἀπιστοῦσι δ' αὐτῇ οὐδ' οἱ ἡττώμενοι σφῶν, „εἰ γὰρ τὸ δεῖνα ἔθυσα καὶ τὸ δεῖνα ἐθυμίασα, οὐκ ἂν διέφυγέ με ἡ νίκη." τοιαῦτα λέγουσι καὶ τοιαῦτα οἴονται. φοιτᾷ δὲ καὶ ἐπὶ θύρας ἐμπόρων κατὰ ταὐτά, καὶ γὰρ δὴ κἀκείνους εὕροιμεν ἂν τὰ μὲν χρήματα τῆς ἐμπορίας λογιζομένους τῷ γόητι, τὰ δὲ ἄτοπα τῇ αὐτῶν φειδοῖ καὶ τῷ μὴ ὁπόσα ἔδει θῦσαι. ἀνῆπται δὲ ἡ τέχνη τοὺς ἐρῶντας μάλιστα, νοσοῦντες γὰρ εὐπαράγωγον οὕτω νόσον, ὡς καὶ γραιδίοις ὑπὲρ αὐτῆς διαλέγεσθαι, θαυμαστόν, οἶμαι, οὐδὲν πράττουσι προσιόντες τοῖς σοφισταῖς τούτοις καὶ ἀκροώμενοι σφῶν τὰ τοιαῦτα, οἳ κεστόν τε αὐτοῖς φέρειν διδοῦσι καὶ λίθους, τοὺς μὲν ἐκ τῶν τῆς γῆς ἀπορρήτων, τοὺς δὲ ἐκ σελήνης τε καὶ ἀστέρων ἀρώματά τε ὁπόσα ἡ Ἰνδικὴ κηπεύει, καὶ χρήματα μὲν αὐτοὺς λαμπρὰ ὑπὲρ τούτων πράττονται, ξυνδρῶσι δὲ οὐδέν. ἢν μὲν γὰρ παθόντων τι τῶν παιδικῶν πρὸς τοὺς ἐρῶντας ἢ δώροις ὑπαχθέντων προβαίνῃ τὰ ἐρωτικά, ὑμνεῖται ἡ τέχνη ὡς ἱκανὴ πάντα, εἰ δ' ἀποτυγχάνοι ἡ πεῖρα, ἐς τὸ ἐλλειφθὲν ἡ ἀναφορά, μὴ γὰρ τὸ δεῖνα θυμιᾶσαι, μηδὲ θῦσαι ἢ τῆξαι, τουτὶ δὲ μέγα εἶναι καὶ ἄπορον. οἱ μὲν οὖν τρόποι, καθ'

1. ὑποκαθημένου. π. καθημένου. p, 2, a, m. καθειμένου. B, o. 2. ἐγένετο Πύθων – πείθειν. Φ (334, b, 32). ib. ἐγένετο δὲ. E. ib. τοῦ κακὰ πείθειν. Φ. τὸ καταπείθειν. π, 2, E. κατὰ τὸ πείθειν. p. ib. φησί. l. 4. γε om. a, m. ib. ῥητορικῇ. 1, f. ῥητορικὴ v, l, s, E. ib. ἔρρωντο. 1. ἔρρωτο. 2, E. 6. ῥέων. C. (etiam fc). δημηγορέων. E. ib. μόνῳ. l. 7. λόγοις. C, E ἐπαίνοις. B. Fo: ἀξιολόγοις. ib. ὑπαχθῆναι. 1. ὑπαχθῆναί με. 2, E. ib. ἆθλιον. p. 8. αὐτῷ. p. ib. ἔφην πράττειν. v.

12. πολλῶν. C, E. πολλῷ. J. ad Vers. germ. 13. τῷ μὲν. v. 16. τότε πρῶτον – δεδεμένου πράττειν. Ἐ (459). 17. Θεῖά τε. l. 18. Θύσαντά τι. Ἐ. ib. ἂν ἐν δικαστηρίῳ. ἘΒ. ib. εὐξάμενον μηδὲ εἰπόντα τι. Ἐ. 19. αὐτῷ τὸ σκέλος. Ἐ. 22. αὐτοῖς. l. αὐτοὺς. a. 23. οὐδ' οἱ ἡττώμενοι. π. οὐδ' ἡττώμενοι. p, 2, E. ib. ἔθυσα καὶ τὸ δεῖνα om. f, v, l. 24. μοι ἡ. l, s, a et m. γρ. 25. καὶ om. p. ib. ἐπὶ θύραις. C, E. Fo: ἐπὶ θύρας. ib. ἐμπόρων. f, v, l et s. sec. m. ib. τάχα μὲν. p. 26. εὐπορίας. f. al. m. corr. ἐμ. ib. τῇ ἑαυτῇ. l. αὐτῶν. E. ib. τὸ μὴ. p, l. 28. αὐτοῖς. s pr. m. E. 29. δίδωσι. π. Scr. δεδοῦσι. δώσουσι. p, 2, E. 30. ἡ Ἰνδικὴ. π et m. γρ. ἡ Ἰνδῶν. p, 2. E. 31. αὐτοὺς. 1. αὐτοῖς. 2, E. 32. ἐρωτῶντας. π. 33. ἀποτυγχάνοι. 1, f. ἀποτυγχάνει. v, l, s, E.

VII, 38. 39. p. 317. 318.

οὓς καὶ διοσημίας καὶ ἕτερα πλείω τερατεύονται καὶ ἀναγεγράφαταί τισιν, οἳ ἐγέλασαν πλατὺ ἐς 319
τὴν τέχνην, ἐμοὶ δ' ἀποπεφάνθω μηδ' ἐκείνοις ὁμιλεῖν τοὺς νέους, ἵνα μηδὲ παίζειν τὰ τοιαῦτα
ἐθίζοιντο. ἀποχρῶσα ἡ ἐκτροπὴ τοῦ λόγου· τί γὰρ ἂν πλείω καθαπτοίμην τοῦ πράγματος, ὃ καὶ
φύσει διαβέβληται καὶ νόμῳ;

Ἐνδειξαμένου δὲ τοῦ Ἀπολλωνίου τῷ Δάμιδι ἑαυτὸν καὶ πλείω διαλεχθέντος, ἐπέστη τις περὶ 5 XL
μεσημβρίαν σημαίνων ἀπὸ γλώττης τυσαῦτα· „ἀφίησί σε ὁ βασιλεύς, Ἀπολλώνιε, τούτων τῶν δε-
σμῶν Αἰλιανοῦ ξυμβουλεύσαντος, τὸ δὲ ἐλεύθερον δεσμωτήριον ξυγχωρεῖ οἰκεῖν, ἔστ' ἂν ᾖ ἡ ἀπο-
λογία, ἐς ἡμέραν δὲ ἴσως ἀπολογήσῃ πέμπτην." „τίς οὖν" ἔφη „ὁ μετασκευάσων με ἐνθένδε;"
„ἐγώ," εἶπε „καὶ ἔπου." καὶ ἰδόντες αὐτὸν οἱ ἐν τῷ ἐλευθέρῳ δεσμωτηρίῳ περιέβαλλον πάντες,
ὡς οὐδ' οἰηθεῖσιν αὐτοῖς ἐπανήκοντα. ὧν γὰρ δὴ πόθον ἴσχουσι πατρὸς παῖδες ἐς νουθετήσεις κα- 10
θισταμένου σφίσιν ἡδείας τε καὶ ξυμμέτρους ἢ τὰ ἐφ' ἡλικίας ἀφερμηνεύοντος, τὸν αὐτὸν κἀκεῖνοι
τοῦ Ἀπολλωνίου εἶχον καὶ ὡμολόγουν ταῦτα, ὁ δ' οὐκ ἐπαύετο ἀεί τι ξυμβουλεύων.

Καλέσας δὲ τῆς ὑστεραίας τὸν Δάμιν „ἐμοὶ μὲν" ἔφη „τὰ τῆς ἀπολογίας ἐς τὴν προειρημέ- XLI
νην ἡμέραν ἔσται, σὺ δὲ τὴν ἐπὶ Δικαιαρχείας βάδιζε, λῷον γὰρ πεζῇ ἰέναι, κἂν προσείπῃς Δη-
μήτριον, στρέφου περὶ τὴν θάλατταν, ἐν ᾗ ἐστιν ἡ Καλυψοῦς νῆσος, ἐπιφανέντα γάρ με ἐκεῖ 15
ὄψει." „ζῶντα" ἔφη ὁ Δάμις „ἢ τί;" γελάσας δὲ ὁ Ἀπολλώνιος „ὡς μὲν ἐγὼ οἶμαι, ζῶντα," εἶπεν „ὡς δὲ σὺ οἶει, ἀναβεβιωκότα." ὁ μὲν δὴ ἀπελθεῖν φησιν ἄκων καὶ μήτ' ἀπογιγνώσκων ὡς
ἀπολουμένου μήτ' εὔελπις ὡς οὐκ ἀπολεῖται. καὶ τριταῖος μὲν ἐλθεῖν ἐς Δικαιάρχειαν, ἀκοῦσαι δὲ 320
καὶ περὶ τοῦ χειμῶνος, ὃς περὶ τὰς ἡμέρας ἐκείνας ἐγένετο, ὅτι πνεῦμα ὕπομβρον καταῤῥαγὲν τῆς 20
θαλάσσης τὰς μὲν κατέδυσε τῶν νεῶν, αἳ ἐκεῖσε ἔπλεον, τὰς δὲ ἐς Σικελίαν τε καὶ τὸν πορθμὸν
ἀπεώσατο, καὶ ξυνεῖναι τότε ὑπὲρ ὅτου ἐκέλευσεν αὐτὸν πεζῇ κομίζεσθαι.

Τὰ ἐπὶ τούτοις ἀναγράφει Δάμις ἐξ ὧν Ἀπολλωνίου φησὶν ἀκηκοέναι πρὸς Δημήτριόν τε καὶ XLII
πρὸς αὐτὸν εἰπόντος. μειράκιον μὲν γὰρ ἐκ Μεσσήνης τῆς ἐν Ἀρκαδίᾳ περίβλεπτον ὥρᾳ ἀφικέσθαι
ἐς τὴν Ῥώμην, ἐρᾶν δ' αὐτοῦ πολλοὺς μέν, Δομετιανὸν δὲ παρὰ πάντας, τούς δ' οὕτως ἐρᾶν, 25
ὡς μηδὲ τὸ ἀντερᾶν ἐκείνῳ δεδιέναι. ἀλλ' ἐσωφρόνει τὸ μειράκιον καὶ ἐφείδετο τῆς ἑαυτοῦ ὥρας.
εἰ μὲν δὴ χρυσοῦ κατεφρόνησεν ἢ χρημάτων ἢ ἵππων ἢ τοιῶνδε δελεασμάτων, οἷς ὑπάγονται τὰ
παιδικὰ ἔνιοι, μὴ ἐπαινῶμεν, χρὴ γὰρ οὕτω παρεσκευάσθαι τὸν ἄνδρα, ὁ δὲ μειζόνων ἀξιωθεὶς
ἂν ἢ ὁμοῦ πάντες, οὓς ὀφθαλμοὶ βασιλέων ἐσπάσαντο, οὐκ ἠξίου ἑαυτὸν ὧν ἠξιοῦτο. ἐδέθη τοί-
νυν, τοῦτο γὰρ τῷ ἐραστῇ ἔδοξε. καὶ προσελθὼν τῷ Ἀπολλωνίῳ, βουλομένῳ μέν τι λέγειν ἐῴκει, 30
αἰδῶ δὲ ξύμβουλον σιωπῆς ἔχων οὕπω ἐθάῤῥει· ξυνεὶς οὖν ὁ Ἀπολλώνιος „σὺ μὲν οὐδ' ἡλικίαν
πω τοῦ ἀδικεῖν ἄγων καθεῖρξαι," ἔφη „καθάπερ ἡμεῖς οἱ δεινοί." „καὶ ἀποθανοῦμαί γε," εἶπε
„τὸ γὰρ σωφρονεῖν θανάτου τιμῶνται οἱ ἐφ' ἡμῶν νόμοι." „καὶ οἱ ἐπὶ Θησέως," εἶπε „τὸν γὰρ
Ἱππόλυτον ἐπὶ σωφροσύνῃ ἀπώλλυ ὁ πατὴρ αὐτὸς." „κἀμὲ" εἶπεν „ὁ πατὴρ ἀπολώλεκεν.

1. διοσημείους. p. διοσημείας. l. ib. ἀναγεγράφθαι. p. 2. ἀποπεφάνθαι. o.
5. τῷ Ἀπολλωνίῳ. f, v. ib. διαλεχθέντες. 2. 6. ἀφίησι — οἰκεῖν E (460). ib. τῶν δεσμῶν τούτων. p. τουτωνὶ τῶν δ. E. pergit: καὶ ἐλεύθερον. (om. Αἰλ. ξυμβ.) 7. ξυμβουλεύοντος. p ib. ἔστ' ἂν ᾖ. l. ἔστ' ἂν ᾖ ἡ. J. ἔστ' ἂν ἡ 1, f, v, s, E. 8. τίς οὖν ὁ μετασκευάσων με ἐντεῦθεν; ὁ δὲ· ἐγώ, ἔφη, καὶ ἕπου. ΕΑ, B. 9. ἐν τῷ δεσμωτηρίῳ τῷ ἐλευθέρῳ. v. ib. περιέβαλλον. 1, f. περιέβαλον. v, l, s, E. 10. ὡς δ' (om. οὐ) l. 11. ξυμμέτρου. a. ib. ἂν ἑρμηνεύοντος. p. αὐ ἑρμηνεύοντος. π, 2, E. ἀφερμηνεύοντος. J. ad Im. 6 6.
15. γὰρ ἐκεῖ. m, o. 17. δὴ om. p ib. φασιν. p, a, m. 18. ἀπολογουμένου. l, s. ib. μὲν ἐλθεῖν. 1, f, l, s. m. γρ. μὲν δὴ ἀπελθεῖν. m. μὲν δὴ ἐλθεῖν. o. ib. δὲ περὶ. l. δὴ περὶ. v, s. 21. αὐτὸν ἐκέλευσε. p.
23. αὐτὸν. E. ib. Μεσήνης. f. ib. ἀφικέσθαι ἐς. π et m. γρ. o. ἀφικέσθαι τι ἐς. p, 2, a, m. 26. ἢ λίθων ἢ ἵππων. 2, E. ib. τοιῶνδε. 1. τοιούτων. 2, E. ib. δελεαμάτων. l. pr. m. ib. κατὰ τὰ παιδικά. π. 27. μὴ ἐπαιτῶμεν. π. ἢ ἐπαίνῳ μέν. 2, a, m. οὐκ ἐπαινῶ μέν. p. pr. m. οὐκ. eras. sec. οὐκ ἐπαινῶ μέν. o. ἐπαινῶμεν. B. μὴ ἐπαινῶ. Hu. 27. παρασκευάσθαι. f. al. m. corr. 28. ἐσπάσαντο. π, f, l, s. ἐπεσπάσαντο. p. ἠσπάσαντο. E. 30. ἔχον. p. ib. ξυνεὶς. π. ξυνιεὶς. p, 2, E. 31. ἄγον. p. 32. εἶπε. C, E. Fo: ἔφη. 33. ὁ πατὴρ αὐτοῦ. a, m. ὁ πατὴρ αὐτὸς. fc. sic subscriptum. ib. κἀμὲ. C. αὐτὸς κἀμὲ. E. αὐτοῦ.

ὄντα γάρ με Ἀρκάδα ἐκ Μεσσήνης οὐ τὰ Ἑλλήνων ἐπαίδευσεν, ἀλλ' ἐνταῦθα ἔστειλε μαθησόμενον
321 ἦθη νομικά, καὶ με ὑπὲρ τούτων ἥκοντα ὁ βασιλεὺς κακῶς εἶδεν." ὁ δ' ὥσπερ οὐ ξυνιείς, ὃ λέγει,
„εἰπέ μοι," ἔφη „μειράκιον, μὴ γλαυκὸν ἡγεῖταί σε ὁ βασιλεὺς καίτοι μελανόφθαλμον, ὡς ὁρῶ,
ὄντα, ἢ στρεβλὸν τὴν ῥῖνα καίτοι τετραγώνως ἔχοντα, καθάπερ τῶν ἑρμῶν οἱ γεγυμνασμένοι, ἢ τὴν
κόμην ἕτερόν τι παρ' ὃ ἐστιν; ἔστι δ', οἶμαι, ἡλιῶσά τε καὶ ὑποφαίνουσα, καὶ μὴν καὶ τὸ στόμα
οὕτω ξύμμετρον, ὡς καὶ σιωπῇ πρέπειν καὶ λύγῳ, δέρη τε τούτοις ἐλευθέρα καὶ φρονοῦσα. τί οὖν
ἕτερον τούτων ὁ βασιλεὺς ἡγήσεταί σε, ἐπειδὴ κακῶς ὑπ' αὐτοῦ λέγεις ὀφθῆναι;" „αὐτό με τοῦτο
ἀπολώλεκεν, ὑπαχθεὶς γάρ μου ἐρᾶν οὐ φείδεται ὧν ἐπαινεῖ, ἀλλ' αἰσχύνειν διανοεῖταί με, ὥσπερ
οἱ τῶν γυναικῶν ἐρῶντες." ἀγασθεὶς δ' αὐτὸν ὁ Ἀπολλώνιος τὸ μὲν ξυγκαθεύδειν ὅ τι ἡγοῖτο καὶ
εἰ αἰσχρὸν τοῦτο ἢ μή, καὶ τὰ τοιαῦτα τῶν ἐρωτημάτων παρῆκεν, ἐπειδήπερ ἐρυθριῶντα ἑώρα τὸν
Ἀρκάδα καὶ κεκοσμημένως φθεγγόμενον, ἤρετο δ' αὐτὸν ὧδε· „κέκτησαί τινας ἐν Ἀρκαδίᾳ δού-
λους;" „νὴ Δί'," ἔφη „πολλούς γε." „τούτων οὖν" εἶπε „τίνα ἡγῇ σεαυτόν;" „ὅγε," ἔφη „οἱ
νόμοι, δεσπότης γὰρ αὐτῶν εἰμι." „δεσποτῶν δ'," εἶπεν „ὑπηκόους εἶναι δούλους χρὴ ἢ ἀπαξι-
οῦν, ἃ δοκεῖ τοῖς τοῦ σώματος κυρίοις;" ὁ δ' ἐνθυμηθεὶς ἐς οἵαν ἀπόκρισιν περιάγοιτο „ἡ μὲν
τῶν τυράννων ἰσχὺς" ἔφη „ὡς ἄμαχός τε καὶ χαλεπή, οἶδα, δι' αὐτὸ γάρ πω καὶ δεσπόζειν τῶν
ἐλευθέρων βούλονται, τοῦ δ' ἐμοῦ σώματος ἐγὼ δεσπότης καὶ φυλάξω αὐτὸ ἄσυλον." „πῶς;" εἶπε
322 „πρὸς ἐραστὴν γὰρ ὁ λόγος κωμάζοντα μετὰ ξίφους ἐπὶ τὴν σὴν ὥραν." „τὸν τράχηλον" ἔφη
„ὑποσχὼν μᾶλλον, ἐκείνου γὰρ δεῖ τῷ ξίφει." ἐπαινέσας δὲ αὐτὸν ὁ Ἀπολλώνιος „Ἀρκάδα σε"
ἔφη „ὁρῶ". καὶ μὴν τοῦ μειρακίου τούτου καὶ ἐν ἐπιστολῇ μέμνηται καὶ διαγράφει αὐτὸ πολλῷ
ἧδιον ἢ ἐγὼ ἐνταῦθα σωφροσύνης τε ἐπαινῶν πρὸς ὃν γράφει φησὶ τὸ μειράκιον τοῦτο μηδ' ἀπο-
θανεῖν ὑπὸ τοῦ τυράννου, θαυμασθὲν δὲ τῆς ῥώμης ἐπὶ Μαλέαν πλεῦσαι ζηλωτὸν τοῖς ἐν Ἀρκαδίᾳ
μᾶλλον ἢ οἱ τὰς τῶν μαστίγων καρτερήσεις παρὰ Λακεδαιμονίοις νικῶντες.

Η'.

1 Ἴωμεν ἐς τὸ δικαστήριον ἀκροασόμενοι τοῦ ἀνδρὸς ἀπολογουμένου ὑπὲρ τῆς αἰτίας. ἡλίου
γὰρ ἐπιτολαὶ ἤδη καὶ ἀνεῖται τοῖς ἐλλογίμοις ἡ ἐς αὐτὸ πάροδος, τὸν βασιλέα τε οἱ ξυνδιαιτώμενοί
φασι μηδὲ σίτου ἅψασθαι, διορῶντα, οἶμαι, τὰ ἐν τῇ δίκῃ· καὶ γάρ τι καὶ βιβλίον πρόχειρον
ἔχειν αὐτὸν τὰ μὲν ξὺν ὀργῇ, τὰ δὲ ἧττον. ἀνατυποῦσθαι δὲ χρὴ οἷον ἀχθόμενον τοῖς νόμοις,
11 ἐπειδὴ εὗρον δικαστήρια. ἐντευξόμεθα δὲ καὶ τῷ ἀνδρὶ διαλέξεσθαι ἡγουμένῳ μᾶλλον ἢ δραμεῖσθαί

1. ὄντα γάρ με. C. ὄντα με γὰρ. E. ib. *Μεσήνης.* f. ib. οὐθ' Ἑλλήνων. 2. 2. ἤδη. p. ib. ὁ om. v. ib. ξυνιείς. π, l. ξυνείς. E. ib. ὅτι. v. 3. ἡγῆται. v. 4. ἢ τὴν — ὑποφαίνουσα. Φ (334, b, 33). 6. δὲ ῥη δὲ. p. ib. τούτοις. C, E. Fo: οὕτως. 7. ἡγήσεται. π. ἡγεῖται. p, 2, E. ib. τὸ ὀφθῆναι. π. ὠφθαι. p, 2, E. Delevi τό. 9. γυναικῶν. π. γυναίων. p, 2, E. ib. ἡγεῖτο. v. ἡγεῖτο. s sec. m. corr. οι. 10. ἐπειδή γε. v. 12. Δία. p. ib. οὖν om. l, s. ib. εἶπε „τίνα ἡγῇ. 1, f, l, s, a. τίνα, εἶπεν, ἡγῇ. m, o. ib. ὅγε. C, E. Fo: ὅν γε. 13. δεσπότης δ'. v, l. ib. εἶποι. a. 14. τοῦ om. m. 15. δι' αὐτό. π. δι' αὐτῶν. p, 2, E. ib. πω καὶ. C, E. Fo: τοῦτο καὶ. 16. δ' om. v, s, a, m. 18. ὑποσχών. l. ὑπόσχω. 2, E. ib. δὴ. a. 19. καὶ μὴν καὶ. v. ib. αὐτό. π. αὐτόν. p, 2, E. 20. τε om. a. ib. μὴ ἀποθανεῖν. p. 21. θαυμασθὲν δὲ τῆς Ῥώμης. E. Ser. Φ. δ. τῆς ῥώμης. ib. *Μαλέαν.* p, f, s, fc. *Μαλίειαν.* π. *Μελέαν.* l. *Μαλίαν.* E. 22. καρτερήσεις. l. καρτερίας. 2, E. 24. αὐτόν. l, s. αὐλὴν. B. ib. ξυνδιαιτούμενοι. p. ex corr. 25. σίτου ἅψασθαι. l. σίτου χθὲς ἅψασθαι. 2, E. ib. καὶ γάρ τι. C. καὶ γάρ τοι. E. 26. αὐτοῦ. π. αὐτοῦ. p, 2, E. αὐτόν. Hu.

VIII, 1. 2. p. 321. 322.

τινα ὑπὲρ τῆς ψυχῆς ἀγῶνα, τουτὶ δ' ἂν τεκμηραίμεθα τοῖς γε πρὸ τοῦ δικαστηρίου· προιὼν γὰρ ἤρετο τὸν γραμματέα, ὑφ' οὗ ἤγετο, οἷ βαδίζοιεν, τοῦ δὲ ἐς τὸ δικαστήριον ἡγεῖσθαι αὐτῷ φήσαντος „δικάσομαι" ἔφη „πρὸς τίνα;" „πρός γε τὸν σεαυτοῦ" εἶπε „κατήγορον, δικάσει δὲ ὁ βασιλεύς." „ἐμοὶ δὲ" ἔφη „καὶ τῷ βασιλεῖ τίς ὁ δικάσων; δείξω γὰρ αὐτὸν φιλοσοφίαν ἀδικοῦντα." „καὶ τίς" εἶπε „βασιλεῖ φιλοσοφίας λόγος, κἂν ἀδικῶν ταύτην τύχῃ;" „ἀλλὰ φιλοσοφίᾳ πολὺς" ἔφη „βασιλέως, ἵν' ἐπιτηδείως ἄρχῃ." ἐπαινέσας δὲ ὁ γραμματεύς, καὶ γὰρ δὴ καὶ μετρίως διέκειτο πρὸς τὸν Ἀπολλώνιον, ὡς καὶ καταρχὰς ἐδείκνυ, „πόσῳ δὲ" εἶπε „τὸν λόγον διαμετρήσεις ὕδατι; τουτὶ γάρ με χρὴ πρὸ τῆς δίκης εἰδέναι." „εἰ μὲν ὁπόσα" ἔφη „ἀπαιτεῖ ἡ δίκη, ξυγχωρεῖ μοι λέγειν, οὐκ ἂν φθάνοι διαμετρηθεὶς οὐδὲ ὁ Θύμβρις, εἰ δὲ ὁπόσα ἐρήσεται, μέτρον τοῦ ἀποκρινομένου ὁ ἐρωτῶν." „ἐναντίας" εἶπεν „ἀρετὰς ἐπήσκησας βραχυλογεῖν τε καὶ μακρηγορεῖν ὑπὲρ τῶν αὐτῶν φάσκων." „οὐκ ἐναντίας," ἔφη „ἀλλ' ὁμοίας· ὁ γὰρ θᾶττον ἱκανὸς οὐδὲν ἂν θᾶττον λείποιτο. καὶ ξυμμετρία δὲ ἀμφοῖν ξυγκειμένη τρίτη μὲν οὐκ ἂν φαίην, πρώτη δ' ἂν εἴη ἀρετὴ λόγου, ἐγὼ δὲ καὶ τὸ σιωπᾶν ἐν δικαστηρίῳ τετάρτην ἀρετὴν οἶδα." „ἀνόνητόν γε" εἶπε „σεαυτῷ καὶ παντὶ τῷ κινδυνεύειν μέλλοντι." „καὶ μὴν καὶ Σωκράτην" ἔφη „τὸν Ἀθηναῖον μέγα ὤνησεν, ὅτε ἔφυγε τὴν γραφήν." „καὶ πῶς ὤνησεν" εἶπε „τόν, ἐπειδὴ ἐσιώπα, ἀποθανόντα;" „οὐκ ἀπέθανεν," ἔφη „Ἀθηναῖοι δὲ ᾤοντο." ὧδε μὲν παρεσκεύαστο πρὸς τὰ ἐκ τοῦ τυράννου πάντα, προεστῶτι δ' αὐτῷ τοῦ δικαστηρίου προσελθὼν ἕτερος γραμματεὺς „ὦ Τυανεῦ," ἔφη „γυμνὸς ἔσελθε." „λουσόμεθα οὖν" εἶπεν „ἢ δικασόμεθα;" „οὐχ' ὑπὲρ ἐσθῆτος" ἔφη „ταῦτα προείρηται, ἀλλ' ἀπαγορεύει σοι ὁ βασιλεὺς μήτε περίαπτον μήτε βιβλίον μήτ' ἄλλο γραμματεῖον ὅλως μηδὲν ἐσφέρειν ἐνταῦθα." „μηδὲ νάρθηκα" εἶπεν „ἐπὶ τοὺς ἀνοήτως αὐτὸν ταῦτα πείθοντας;" „ἀναβοήσας δὲ ὁ κατήγορος" ὦ βασιλεῦ, „πληγὰς" ἔφη „ἀπειλεῖ μοι ὁ γόης, ἐγὼ γάρ σε ταυτὶ πέπεικα." „οὐκοῦν" εἶπε „σὺ μᾶλλον γόης, ἃ γὰρ μὴ ἐγὼ πέπεικά πω τὸν βασιλέα, ὡς οὐκ εἰμί, σὺ φῂς αὐτὸν ὡς εἴην πεπεικέναι." παρῆν δὲ τῷ κατηγόρῳ λοιδορουμένῳ ταῦτα καὶ τῶν Εὐφράτου τις ἀπελευθέρων, ὃν ἐλέγετο Εὐφράτης ἄγγελον τῶν ἐν Ἰωνίᾳ τοῦ Ἀπολλωνίου διαλέξεων στεῖλαι ὁμοῦ χρήμασιν, ἃ τῷ κατηγόρῳ ἀπεδόθη.

Τοιαῦτα ἠκροβολίσαντο πρὸ τῆς δίκης, τὰ δὲ ἐν αὐτῇ· κεκόσμητο μὲν τὸ δικαστήριον ὥσπερ ἐπὶ ξυνουσίᾳ πανηγυρικοῦ λόγου, μετεῖχον δὲ αὐτῆς οἱ ἐπίδηλοι πάντες ἀγῶνα ποιουμένου τοῦ βασιλέως ὅτι ἐν πλείστοις ἐλεῖν αὐτὸν ἐπὶ τῇ τῶν ἀνδρῶν αἰτίᾳ. ὁ δ' οὕτω τι ὑπερεώρα τοῦ βασιλέως, ὡς μηδὲ ἐς αὐτὸν βλέπειν, ἐπηρεάσαντος δὲ τοῦ κατηγόρου τὴν ὑπεροψίαν καὶ κελεύσαντος ὁρᾶν αὐτὸν ἐς τὸν ἁπάντων ἀνθρώπων θεόν, ἀνέσχεν ὁ Ἀπολλώνιος τοὺς ὀφθαλμοὺς ἐς τὸν ὄροφον ἐνδεικνύμενος μὲν τὸ ἐς τὸν Δία ὁρᾶν, τὸν δὲ ἀσεβῶς κολακευθέντα κακίῳ τοῦ κολακεύσαντος ἡγούμενος. ἐβόα καὶ τοιαῦτα ὁ κατήγορος „ἤδη μέτρει, βασιλεῦ, ὕδωρ, εἰ γὰρ ξυγχωρήσεις αὐτῷ μῆκος λόγων, ἀπάγξει ἡμᾶς. ἔστι δέ μοι καὶ βιβλίον τοῦτο ξυγγεγραμμένον τὰς αἰτίας, ὑπὲρ ὧν χρὴ λέγειν αὐτόν, ἀπολογείσθω δὲ κατὰ μίαν." ὁ δ', ὡς ἄριστα ξυμβουλεύσαντος ἐπαινέσας ἐκέλευσε τὸν ἄνδρα κατὰ τὴν τοῦ συκοφάντου ξυμβουλίαν ἀπολογεῖσθαι, τὰς μὲν ἄλλας παρελθὼν αἰτίας, ὡς οὐκ ἀξίας καταστῆσαί τινα ἐς λόγον, ὑπὲρ τεττάρων δέ, ἃς ἀπόρους τε καὶ δυσαποκρίτους ᾤετο, ὧδε ἐρωτήσας· „τί γὰρ μαθών," ἔφη „Ἀπολλώνιε, οὐ τὴν αὐτὴν ἔχεις ἅπασι στολήν,

2. διομωτήριον. v. 3. εἶπε. p. ἔφη. π, 2, E. 5. καὶ τίς — λόγος om. p. 6. ἄρχῃ. p. ἄρχοι. π, 2, E. 7. ὡς καταρχάς. p, u, v, o. 9. ξυγχωρῶν. v. ib. ἐρήσεται. π. αἰρήσεται. p. εἰρήσεται. 2, E. 10. ἀπήσκηκας. a. 13. καὶ τὸ σιωπᾶν δὲ ἐγὼ. v. ib. τῷ σιωπᾶν. m, o. ib. ἀνόνητόν γε. l, f, v, B. ἀνόητόν γε. l, s, a, m. 14. σαυτῷ. p. 15. μέγα ὤνησεν π μάλα ὤτησεν. p, 2, E. ib. τὸ ἐπειδὴ. p. 20. πάντα πείθοντα. p. 21. ἐγὼ — γόης om. 2, a. Bb. 24. ὧν ἔλετο. v. ib. ὁ Εὐφρ. l, s. ib. τοῦ om. l et s pr. m. 25. ἀπεδόθη. π, o. ἐπεδόθη. p, 2, a, m.

27. λόγου om. fc. a, m. πανηγυρικῇ. B. ib. αὐτῆς. s om. pr. m. 29. κατηγορουμένου. 2, a et m. γρ. 30. αὐτὸν om. p. 32. ξυγχωρήσειν. a, m. 33. ἀπάγξει. l, m, o. ἀπάξει. 2, s. μήκει λόγων ἀπάξει. B. 34. δὲ om. a.

35. τοῦ om. v. ib. παρελθόντα. B. 37. τί δὴ μαθὼν — ἔχοι στολήν. Ἐ (458). ib. παθὼν. π, ἘB.

325 ἀλλ' ἰδίαν τε καὶ ἐξαίρετον;" „ὅτι με" εἶπεν „ἡ τρέφουσα γῆ καὶ ἀμφιέννυσι, ξῷα δὲ ἄθλια οὐκ ἐνοχλῶ." πάλιν ἤρετο „τοῦ χάριν οἱ ἄνθρωποι θεόν σε ὀνομάζουσιν;" „ὅτι πᾶς" εἶπεν „ἄνθρωπος, ἀγαθὸς νομιζόμενος θεοῦ ἐπωνυμίᾳ τιμᾶται." ὁ λόγος οὗτος ὁπόθεν ἐφιλοσοφήθη τῷ ἀνδρί, δεδήλωκα ἐν τοῖς Ἰνδῶν λόγοις. τρίτον ἤρετο ὑπὲρ τοῦ ἐν Ἐφέσῳ λοιμοῦ „πόθεν γὰρ" ἔφη „ὁρ-
5 μώμενος ἢ τῷ ξυμβαλλόμενος προεῖπας τῇ Ἐφέσῳ νοσήσειν αὐτούς;" „λεπτοτέρᾳ," εἶπεν „ὦ βασιλεῦ, διαίτῃ χρώμενος πρῶτος τοῦ δεινοῦ ᾐσθόμην· εἰ δὲ βούλει, λέγω καὶ λοιμῶν αἰτίας." ὁ δ', οἶμαι, δείσας μὴ τὴν ἀδικίαν καὶ τοὺς μὴ καθαροὺς γάμους καὶ ὁποῖα οὐκ εὐλόγως ἔπραττεν, ἐπιγράψῃ ταῖς τοιαύταις νόσοις „οὐ δέομαι" ἔφη „τοιᾶσδε ἀποκρίσεως." ἐπεὶ δὲ τὴν τετάρτην ἐρώτησιν ἐπέφερεν ἐς τοὺς ἄνδρας, οὐκ εὐθὺς ὥρμησεν, ἀλλὰ πολὺν μὲν χρόνον διαλιπών, πολλὰ
10 δὲ ἐνθυμηθείς, ἰλιγγιῶντι δὲ ὅμοιος ἠρώτησεν οὐ κατὰ τὴν ἁπάντων δόξαν· οἱ μὲν γὰρ ᾤοντο αὐτὸν ἐκπηδήσαντα τοῦ πλάσματος μήτε τῆς προσηγορίας ἀφέξεσθαι τῶν ἀνδρῶν, σχέτλιά τε ὑπὲρ τῆς θυσίας βοήσεσθαι, ὁ δὲ οὐχ ὧδε, ἀλλ' ὑφέρπων τὴν ἐρώτησιν „εἰπέ μοι" ἔφη „προελθὼν τῆς οἰκίας τῇ δεῖνι ἡμέρᾳ καὶ ἐς ἀγρὸν πορευθεὶς τίνι ἐθύσω τὸν παῖδα;" καὶ ὁ Ἀπολλώνιος ὥσπερ μειρακίῳ ἐπιπλήττων „εὐφήμει," ἔφη „εἰ μὲν γὰρ προῆλθον τῆς οἰκίας, ἐγενόμην ἐν ἀγρῷ, εἰ δὲ
15 τοῦτο, καὶ ἔθυσα, εἰ δὲ ἔθυσα, καὶ ἔφαγον. λεγόντων δὲ αὐτὰ οἱ πίστεως ἄξιοι." τοιαῦτα τοῦ
326 ἀνδρὸς εἰπόντος καὶ ἐπαίνου ἀρθέντος μείζονος ἢ βασίλειον ξυγχωρεῖ δικαστήριον, ξυμμαρτυρεῖν αὐτῷ νομίσας ὁ βασιλεὺς τοὺς παρόντας καὶ παθών τι πρὸς τὰς ἀποκρίσεις, ἐπειδὴ ἔρρωντό τε καὶ νοῦν εἶχον „ἀφίημί σε" εἶπε „τῶν ἐγκλημάτων, προσμενεῖς δέ, ἔστ' ἂν ἰδίᾳ ξυγγενώμεθα." ὁ δὲ ἐπιρρώσας ἑαυτὸν „σοὶ μὲν χάρις, ὦ βασιλεῦ," ἔφη „διὰ δὲ τοὺς ἀλιτηρίους τούτους ἀπο-
20 λώλασι μὲν αἱ πόλεις, πλήρεις δ' αἱ νῆσοι φυγάδων, ἡ δὲ ἤπειρος οἰμωγῆς, τὰ δὲ στρατεύματα θειλίας, ἡ δὲ ξύγκλητος ὑπονοίας. δός, εἰ βούλοιο, κἀμοὶ τόπον, εἰ δὲ μή, πέμπε τὸν ληψόμενόν μου τὸ σῶμα, τὴν γὰρ ψυχὴν ἀδύνατον· μᾶλλον δὲ οὐδ' ἂν τὸ σῶμα τοὐμὸν λάβοις,

οὐ γάρ με κτενέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι.

καὶ εἰπὼν ταῦτα ἠφανίσθη τοῦ δικαστηρίου, τόν τε παρόντα καιρὸν εὖ τιθέμενος ὑπὲρ ὧν οὐδ'
25 ἁπλῶς ὁ τύραννος, ἀλλὰ καὶ ἐκ περιουσίας ἐρωτήσων δῆλος ἦν — ἐμεγαλοφρονεῖτο γάρ που τῷ μὴ ἀπεκτονέναι αὐτὸν — τοῦ τε μὴ ἐς τὰ τοιαῦτα ὑπαχθῆναι προορῶν. τυχεῖν δ' αὖ τούτου ἄριστα ἠγεῖτο, εἰ μὴ ἀγνοοῖτο τῆς φύσεως, ἀλλὰ γιγνώσκοιτο, ὡς ἔχοι τοῦ μὴ ἂν ποτε ἁλῶναι ἄκων. καὶ γὰρ τὸ δέος τὸ περὶ τοῖς ἀνδράσιν εὖ ἤδη αὐτῷ εἶχεν, ὑπὲρ ὧν γὰρ μηδὲ ἐρέσθαι τι ὁ τύραννος ὥρμησε, πῶς ἂν τούτους ἐς τὸ πιθανὸν ἀπέκτεινεν ἐπὶ ταῖς οὐκ ἐν δικαστηρίῳ πεπιστευμέναις αἰ-
30 τίαις; τοιάδε εὗρον τὰ ἐν τῇ δίκῃ.

VI Ἐπεὶ δὲ καὶ λόγος μὲν αὐτῷ ξυνεγράφη τις ὡς πρὸς ὕδωρ ἐς τὴν ἀπολογίαν ἀφήσοντι, ξυνεῖλε δὲ αὐτὸν ὁ τύραννος ἐς ἃς εἴρηκα ἐρωτήσεις, ἀναγεγράφθω καὶ ὁ λόγος. οὐκ ἀγνοῶ μὲν γάρ, ὅτι
327 διαβάλλουσιν αὐτὸν οἱ τὰς βωμολόχους ἰδέας ἐπαινοῦντες, ὡς ἧττον μέν, ἢ αὐτοί φασι δεῖν, κεκολασμένον, ὑπεραίροντα δὲ τοῖς τε ὀνόμασι καὶ ταῖς γνώμαις, τὸν δὲ ἄνδρα ἐνθυμουμένῳ οὔ
35 μοι δοκεῖ ὁ σοφὸς ὑγιῶς ἂν ὑποκρίνεσθαι τὸ ἑαυτοῦ ἦθος πάρισα ἐπιτηδεύων καὶ ἀντίθετα καὶ

2. νενομίκασιν. Ἐ (458). 3. ἐπωνυμίᾳ τιμᾶται om. v. ib. ὃς. a, m. 4. δεδήλωκα. C. δεδήλωται. E. 5. νοσήσειν. 1. νοσεῖν. 2, E. ib. χαλεπωτέρᾳ. p. ib. λεπτοτέρᾳ, ἔφη, χρώμενος, ὦ βασιλεῦ, διαίτῃ πρῶτος τοῦ δεινοῦ ᾐσθόμην. Ἐ (448). 8 τοιαύτης. v. ib. ἐπεὶ δὲ. p, B. ἐπειδὴ δὲ. π. ἐπειδὴ. 2, E. 9. μὲν ἤδη. v. 11. σχέτλιά τε. π et m. γρ. σχέτλια δὲ. p, 2, E. 14. εἰ δὲ τοῦτο, καὶ ἔθυσα. π. m. γρ. καὶ ἔθυσα. p, 2, E. 15. εἰ δ' ἔθυσα. p. ib. τοῦ ἀνδρὸς. C. τἀνδρὸς. E. 17. καὶ παθών τι. C, o. καὶ παθόντι. π, a, m. 18. εἶπε om. v. 21. δός, εἰ βούλει — μόρσιμός εἰμι. Ἐ (458). 22. τὸ σῶμα om. a, m. 25. κτανέεις. π. ib. οὔτι. p. 25. τῷ μὴ. π. τοῦ μὴ. p, τὸ μὴ. 2, E. 26. τοῦ τε. 1 et m. γρ. τό τε. 2, E. 27. ἀγνοεῖτο. E. 28. μὴ ἔρεσθαι. 1, s. 30. τὰ om. p.

31. ἐπειδὴ δὲ — ὁ λόγος. Ἐ (460). ib. ἐπεὶ δὲ. C, o. ἐπειδὴ. a, m. ib. ἀφηγήσοντι. 1 et s pr. m. fc. E. εις

32. γὰρ om. π, E. Fo: διαβαλοῦσιν. ib. ἢ om. m. ib. αἰτίας φασί. v. 34. ἐνθυμουμένῳ. π. ἐνθυμουμένῳ. m (ubi γρ. ἐνθυμουμένοις) et o. ἐνθυμουμένοις. p, 2, a. 35. ὑποκρίνεσθαι. π, B. ὑποκρίνασθαι. o. ἀποκρίνεσθαι. p. f et s. sec. m. pro ἀποκρίνασθαι. 1, a, m.

κροτάλου δίκην κτυπῶν τῇ γλώττῃ, ῥητορικοῖς μὲν γὰρ πρὸς τρόπου ταῦτα καὶ οὐδὲ ἐκείνοις δεῖ· δεινότης γὰρ ἐν δικαστηρίοις ἡ μὲν φανερὰ κἂν διαβάλοι τινὰ ὡς ἐπιβουλεύοντα τοῖς ψηφιουμένοις, ἡ δ' ἀφανὴς κἂν ἀπέλθοι κρατοῦσα, τὸ γὰρ λαθεῖν τοὺς δικάζοντας, ὡς δεινός ἐστιν, ἀληθεστέρα δεινότης. σοφῷ δὲ ἀνδρὶ ἀπολογουμένῳ, οὐ γὰρ κατηγορήσει γε ὁ σοφός, ἃ ἐπιτιμᾶν ἔρρωται, ἤθους τε δεῖ ἑτέρου παρὰ τοὺς δικανικοὺς ἄνδρας, λόγου τε κατεσκευασμένου μέν, μὴ δοκοῦντος δέ, καὶ ὑπόσεμνος ἔστω καὶ μὴ πολὺ ἀποδέων τοῦ ὑπερόπτης εἶναι ἔλεός τε ἀπέστω λέγοντος· ὁ γὰρ μὴ ἀντιβολῆσαι ξυγχωρῶν τί ἂν οὗτος ἐπὶ ἐλέῳ εἴποι; τοιόσδε ὁ λόγος δόξει τοῖς γε μὴ μαλακῶς ἀκροασομένοις ἐμοῦ τε καὶ τοῦ ἀνδρός· ξυνετέθη γὰρ αὐτῷ ὧδε·

1 „Ὁ μὲν ἀγὼν ὑπὲρ μεγάλων σοί τε, ὦ βασιλεῦ, κἀμοί· σύ τε γὰρ κινδυνεύεις ὑπὲρ ὧν μήποτε VII
αὐτοκράτωρ, εἰ πρὸς φιλοσοφίαν οὐδεμιᾷ δίκῃ διαβεβλῆσθαι δόξεις, ἐγώ τε ὑπὲρ ὧν μηδὲ Σωκρά- 10
της ποτὲ Ἀθήνησιν, ὃν οἱ γραψάμενοι τὴν γραφὴν καινὸν μὲν τὰ δαιμόνια ἡγοῦντο, δαίμονα δὲ οὔτε ἐκάλουν οὔτε ᾠοντο. κινδύνου δὲ ἐφ' ἑκάτερον ἡμῶν οὕτω χαλεποῦ ἥκοντος οὐκ ὀκνήσω καὶ σοὶ ξυμβουλεύειν, ὁπόσα ἐμαυτὸν πέπεικα. ἐπειδὴ γὰρ κατέστησεν ἡμᾶς ὁ κατήγορος ἐς τουτονὶ τὸν ἀγῶνα, ἐσῆλθε τοὺς πολλοὺς οὐκ ἀληθὴς περὶ ἐμοῦ τε καὶ σοῦ δόξα· σὲ μὲν γὰρ ᾠοντο ξυμ- 328
βούλῳ τῆς ἀκροάσεως ὀργῇ χρήσεσθαι, δι' ἣν κἂν ἀποκτεῖναί με, ὅ τι ποτέ ἐστι τὸ ἀποκτεῖναι, 15
ἐμὲ δ' ἐκποιήσειν ἐμαυτὸν τοῦ δικαστηρίου τρόποις, ὁπόσοι τοῦ ἀποδρᾶναί εἰσιν, ἦσαν δ', ὦ βασιλεῦ, μυρίοι, καὶ τούτων ἀκούων οὐκ ἐς τὸ προκαταγιγνώσκειν ἦλθον, οὐδὲ κατεψηφισάμην τῆς σῆς ἀκροάσεως ὡς μὴ τὸ εὐθὺ ἐχούσης, ἀλλὰ ξυνθέμενος τοῖς νόμοις ἔστηκα ὑπὸ τῷ λόγῳ. τούτου ξύμβουλος καὶ σοὶ γίγνομαι· δίκαιον γὰρ τὸ μὴ προκαταγιγνώσκειν, μηδὲ καθῆσθαι πεπεισμένον, ὡς ἐγώ τί σε κακὸν εἴργασμαι, μηδ' ὑπὲρ μὲν τοῦ Ἀρμενίου τε καὶ Βαβυλωνίου καὶ ὅσοι 20
τῶν ἐκείνῃ ἄρχουσιν, οἷς ἵππος τε παμπόλλη ἐστὶ καὶ τοξεία πᾶσα καὶ χρυσῆ γῆ καὶ ἀνδρῶν ὄχλος, ὃν ἐγὼ οἶδα, ἀκούειν ξὺν γέλωτι τὸ πείσεσθαί τι ὑπ' αὐτῶν, ὅ σε καὶ τὴν ἀρχὴν ταύτην ἀφαιρήσεται, κατ' ἀνδρὸς δὲ σοφοῦ καὶ γυμνοῦ πιστεύειν, ὡς ἐστι τούτῳ ὅπλον ἐπὶ τὸν Ῥωμαίων αὐτοκράτορα, καὶ προσδέχεσθαι ταῦτα Αἰγυπτίου συκοφάντου λέγοντος, ἃ μηδὲ τῆς Ἀθηνᾶς ποτε ἤκουσας, ἣν σεαυτοῦ προορᾶν φῂς, εἰ μή, νὴ Δία, ἡ κολακευτικὴ καὶ τὸ συκοφαντεῖν οὕτω τι νῦν 25
τοῖς ἀλιτηρίοις τούτοις ἐπιδέδωκεν, ὡς τοὺς θεοὺς ὑπὲρ μὲν τῶν σμικρῶν καὶ ὁπόσα ὀφθαλμίαι τέ εἰσι καὶ τὸ μὴ πυρέξαι, μηδ' ἀνοιδῆσαί τι τῶν σπλάγχνων, ἐπιτηδείους εἶναί σοι ξυμβούλους φάσκειν ἰατρῶν δίκην ἐφαπτομένους καὶ θεραπεύοντας, ὅτου αὐτῶν πονήρως ἔχοις, περὶ δὲ τῇ ἀρχῇ καὶ τῷ σώματι κινδυνεύοντί σοι μήθ' οὓς φυλάττεσθαι χρὴ ξυμβουλεύειν μήθ' ὅ τι ἔσται σοι πρὸς αὐτοὺς ὅπλον διδάσκειν ἥκοντας, ἀλλ' εἶναί σοι τοὺς συκοφάντας αἰγίδα Ἀθηνᾶς καὶ Διὸς 30
χεῖρα, εἰδέναι μὲν ὑπὲρ σοῦ φάσκοντας, ἃ μηδ' οἱ θεοί, προεγρηγορύτας δέ σου καὶ προκαθεύδοντας, εἰ δὴ καθεύδουσιν οὗτοι, κακοῖς, φασιν, ἐπαντλοῦντες κακὰ καὶ τὰς Ἰλιάδας ταύτας ἀεὶ ξυντιθέντες. καὶ τὸ μὲν ἱπποτροφεῖν αὐτοὺς κἀπὶ ζευγῶν ἐς τὴν ἀγορὰν ἐκκυκλεῖσθαι λευκῶν καὶ 329
ἡ ἐν ἀργύρῳ καὶ χρυσῷ ὀψοφαγία καὶ γάμοι μυριάδων δύο καὶ τριῶν ἐωνημένα παιδικὰ καὶ τὸ μοιχεύειν μέν, ὃν λανθάνουσι χρόνον, γαμεῖν δέ, ἃς ἐμοίχευσαν, ὅταν ἐπ' αὐταῖς ληφθῶσι, καὶ οἱ 35
κροτοῦντες αὐτοὺς ἐπὶ ταῖς καλαῖς νίκαις, ἐπειδὰν φιλόσοφός τις ἢ ὕπατος ἀδικῶν οὐδὲν ἄλῳ μὲν ὑπὸ τούτων, ἀπόληται δὲ ὑπὸ σοῦ, δεδόσθω τῇ τῶν καταράτων τρυφῇ καὶ τῷ μήτε νόμων αὐτοῖς

1. ῥητορικῇ. p. ib. πρὸς τρόπον. f, E. ib. ἐκείνης δεῖ p. ἐκείνοις δὴ. m, o. 2. διαβάλλοι. 1, l. 3. ἐπέλθοι. p. ib. δεινὸν. o. 5. δὴ ἑτέρου. v. 6. ὃ μὴ γάρ. v. 8. ἀκροασομένοις. 1, s. ἀκροασαμένοις. f, v, l, E.
10. ὁ αὐτοκράτωρ. 2, a, m. 12. ὃ' ἐφ' ἑκ. f. 15. χρήσασθαι. p. ib. ὅτι πω, sed corr. ὅ τι που. p. ὅ τί ποτ'. f. 16. τρόποις δ'. 2, E. ib. ἀποδρᾶν. 2, E. 17. οὐκ ἐν τῷ. a, m. 20. εἴργασμαι hinc lacuna in v, usque ad p. 357. ed. Ol. ib. μὲν om. l, s, a. 21. ἐκείνης. l, s. ib. ἵππος παμπόλλη. p. ib. χρυσὴ γῆ καὶ ἀνδρῶν ὄχλος. l. ἀνδρῶν ὄχλος καὶ χρυσῆ γῆ. 2, E. 22. ὃν ἐγὼ. π, l. ὧν ἐγὼ. p, f, v, s, E. ib. καὶ. eras. s. 25. τι νῦν eras. s. τοι νῦν. l. τί νῦν. E. 26. μὴ om. 2. 28. ὅτου αὐτῶν. l. ὅτου ἂν. 2, E. 32. κακοῖς om. p. 33. κἀπιζευγῶν. f. (sic.) 37. ὑπὸ om. a. ib. τροφῇ. p. ib. τὸ. C, E. Scr. τῷ.

ἔτι μήτ' ὀφθαλμῶν εἶναι φόβον, τὸ δ' οὕτω τι ὑπὲρ τοὺς ἀνθρώπους φρονεῖν, ὡς προγιγνώσκειν βούλεσθαι τῶν θεῶν, ἐγὼ μὲν οὔτ' ἐπαινῶ καὶ ἀκούων δέδια, σὺ δ' εἰ προσδέξοιο, γράψονται καὶ σὲ ἴσως ὡς διαβάλλοντα τὴν περὶ τοῦ θείου δόξαν. ἐλπὶς γὰρ καὶ κατὰ σοῦ ξυγκείσεσθαι τοιαύτας γραφάς, ἐπειδὰν μηδεὶς τοῖς συκοφάνταις λοιπὸς ᾖ. καὶ ξυνίημι μὲν ἐπιτιμῶν μᾶλλον ἢ ἀπολογούμενος, εἰρήσθω δέ μοι ταῦθ' ὑπὲρ τῶν νόμων, οὓς εἰ μὴ ἄρχοντας ἡγοῖο, οὐκ ἄρξεις. τίς οὖν ξυνήγορος ἔσται μοι ἀπολογουμένῳ; εἰ γὰρ καλέσαιμι τὸν Δία, ὑφ' ᾧ βεβιωκὼς οἶδα, γοητεύειν με φήσουσι καὶ τὸν οὐρανὸν ἐς τὴν γῆν ἄγειν. διαλεγώμεθα οὖν περὶ τούτου ἀνδρί, ὃν τεθνάναι μὲν οἱ πολλοί φασιν, ἐγὼ δὲ οὔ φημι· ἔστι δὲ οὗτος ὁ πατὴρ ὁ σός, ᾧ ἐγὼ τοσούτου ἄξιος, ὅσου περ ἐκεῖνος σοί· σὲ μὲν γὰρ ἐποίησεν, ὑπ' ἐμοῦ δὲ ἐγένετο. οὗτος, ὦ βασιλεῦ, ξυλήπτωρ ἔσται μοι τῆς ἀπολογίας πολλῷ τἀμὰ βέλτιον ἢ σὺ γιγῶσκων· ἀφίκετο μὲν γὰρ ἐς Αἴγυπτον οὔπω αὐτοκράτωρ, θεοῖς τε τοῖς ἐν Αἰγύπτῳ θύσων καμοὶ ὑπὲρ τῆς ἀρχῆς διαλεξόμενος. ἐντυχὼν δέ μοι κομῶντί τε καὶ ὧδε ἐσταλμένῳ οὐδὲ ἤρετο οὐδὲ ἓν περὶ τοῦ σχήματος, ἡγούμενος τὸ ἐν ἐμοὶ πᾶν εὖ ἔχειν, ἐμοῦ δ' ἕνεχ' ἥκειν ὁμολογήσας ἀπῆλθεν ἐπαινέσας καὶ εἰπὼν μὲν ἃ μὴ πρὸς ἄλλον, ἀκούσας δ' ἃ μὴ παρ' ἄλλου, ᾗ τε διάνοια, ᾗ ἐς τὸ ἄρχειν ἐχρῆτο, ἐρρώσθη αὐτῷ παρ' ἐμοῦ μάλιστα, μεθεστηκυῖα ἤδη ὑφ' ἑτέρων [οὐκ] ἐπιτηδείων μέν, οὐ μὴν σοί γε δόξαι, οἱ γὰρ μὴ ἄρχειν αὐτὸν πείθοντες καὶ σὲ δήπου αὐτὸ ἀφῃροῦντο τὸ μετ' ἐκεῖνον ταῦτ' ἔχειν, ἐμοῦ δὲ ξυμβουλεύοντος ἑαυτόν τε μὴ ἀπαξιοῦν ἀρχῆς ἐπὶ θύρας αὐτῷ φοιτώσης ὑμᾶς τε κληρονόμους αὐτῆς ποιεῖσθαι, εὖ ἔχειν τὴν γνώμην φήσας αὐτός τε μέγας ἤρθη καὶ ὑμᾶς ἦρεν· εἰ δὲ γόητά με ᾤετο, οὐδ' ἂν ξυνῆψέ μοι κοινωνίαν φροντίδων, οὐδὲ γὰρ τοιαῦτα ἥκων διελέγετο, οἷον· ἀνάγκασον τὰς Μοίρας ἢ τὸν Δία, τύραννον ἀποφῆναί με ἢ ψεύσασθαι διοσημίας ὑπὲρ ἐμοῦ δείξας τὸν ἥλιον ἀνίσχοντα μὲν ἀπὸ τῆς ἑσπέρας, δυόμενον δέ, ὅθεν ἄρχεται. οὐ γὰρ ἂν μοι ἐπιτήδειος ἄρχειν ἔδοξεν ἢ ἐμὲ ἡγούμενος ἱκανὸν ταῦτα ἢ σοφίσμασι θηρεύων ἀρχήν, ἣν ἀρεταῖς ἔδει κατακτᾶσθαι. καὶ μὴν καὶ δημοσίᾳ διελέχθην ἐν ἱερῷ, γοήτων δὲ ξυνουσίαι φεύγουσι μὲν ἱερὰ θεῶν, ἐχθρὰ γὰρ τοῖς περὶ τὴν τέχνην, νύκτα δὲ καὶ πᾶν, ὅ τι ἀφεγγές, αὐτῶν προβαλλόμενοι οὐ ξυγχωροῦσι τοῖς ἀνοήτοις οὐδὲ ὀφθαλμοὺς ἔχειν οὔτε ὦτα. διελέχθη μοι καὶ ἰδίᾳ μέν, παρετύγχανον δὲ ὅμως Εὐφράτης καὶ Δίων, ὁ μὲν πολεμιώτατά μοι ἔχων, ὁ δ' οἰκειότατα. Δίωνα γὰρ μὴ παυσαίμην γράφων ἐν φίλοις. τίς ἂν οὖν ἐπ' ἀνδρῶν σοφῶν ἢ μεταποιουμένων γε σοφίας ἐς γόητας ἔλθοι λόγους; τίς δ' οὐκ ἂν παραπλησίως φυλάξαιτο καὶ ἐν φίλοις καὶ ἐν ἐχθροῖς κακὸς φαίνεσθαι; καὶ οἱ λόγοι ἦσαν ἐναντιούμενοι τοῖς γόησι· σὺ μὲν γὰρ ἴσως τὸν πατέρα ἠγῇ τὸν σεαυτοῦ βασιλείας ἐρῶντα γόησι μᾶλλον ἢ ἑαυτῷ πιστεῦσαι καὶ ἀνάγκην ἐπὶ τοὺς θεούς, ἵνα τούτου τύχοι, παρ' ἐμοῦ εὑρέσθαι, ὁ δὲ τοῦτο μὲν καὶ πρὶν ἐς Αἴγυπτον ἥκειν ἔχειν ᾤετο, μετὰ ταῦτα δ' ὑπὲρ μειζόνων ἐμοὶ διελέγετο, ὑπὲρ νόμων καὶ ὑπὲρ πλούτου δικαίου θεοί τε ὡς θεραπευτέοι καὶ ὁπόσα παρ' αὐτῶν ἀγαθὰ τοῖς κατὰ τοὺς νόμους ἄρχουσι, μαθεῖν ἦρα· οἷς πᾶσιν ἐναντίον χρῆμα οἱ γοήτες, εἰ γὰρ ἰσχύοι ταῦτα, οὐκ ἔσται ἡ τέχνη. προσήκει δέ, ὦ βασιλεῦ, κἀκεῖνα ἐπεσκέφθαι· τέχναι ὁπόσαι κατ' ἀνθρώπους εἰσί, πράττουσι μὲν ἄλλο ἄλλη, πᾶσαι δ' ὑπὲρ χρημάτων, αἱ μὲν σμικρῶν, αἱ δ'

1. πέρα γιγνώσκειν. J. ad Vers. germ. 3. διαβάλλοντα τὴν. 1. διαβ. ἐς τὴν. 2, E. 4. ἐκεῖνός σοι. E. Scr. ἐκεῖνος σοί. ib. σὲ μὲν ἐποίησεν, ὑπ' ἐμοῦ δὲ ἐγένετο. E (461). ib. οὗτος, ὦ βασιλεῦ. 1. οὗτος ὁ βασιλεὺς. 2, a, m. ων οὗτος βασιλεὺς. o. 15. οὐκ ἐπιτηδείων. π, u et m. γρ. οὐκ ἐπιτηδεία. sic. p ex corr. οὐκ ἐπιτήδεια. 2, E. Fo: ἐπιτηδείων om. οὐκ. ib. οὐ μὴν. π. οὐ μὲν. p, 2, E. 16. πείθοντες. C. πείσαντες. E. (m. γρ. πείθοντες.) 17. τε om. p. ib. μὴ ἀπαξιοῦν. 1, m, o. μὴ ἀξιοῦν. f. inde ἀξιοῦν. l, s. μὴ ἀξιοῦν. fc, a et m. γρ. ib. αὐτῷ. 1. αὐτοῦ. 2, E. 19. ἀνάγκασον. 1, B. ἀναγκάσαν. m. ἀναγκάσαι. 2, a, o. 20. Διός. o. ib. ἢ ψεύσασθαι. C, E. Fo: ἢ τιράτευσαι. τοῖς 22. ἀρχὴν. π, B, o. ἀρετὴν. p, 2, a, m. 24. γὰρ τὰ. π. γὰρ τοῖς. m, o. τοῖς om. p. γὰρ τὰ. 2. δὲ τὰ. a et m. γρ. ib. αὐτῶν. E. 25. οὔτε ὦτα. 1. οὐδὲ ὦτα. 2, E. ib. παρετύγχανε. p. 27. γράφειν. p. 30. ἀνάγειν. C, B. ἀνάγκην. J. ad Im. 245. 31. ἐρέσθαι. π et m. γρ. 32. νόμων. 1 et m. γρ. νόμου. 2, E.

αὖ μεγάλων, αἱ δ' ἀφ' ὧν θρέψονται, καὶ οὐχ αἱ βάναυσοι μόνον, ἀλλὰ καὶ τῶν ἄλλων τεχνῶν σοφαί τε ὁμοίως καὶ ὑπόσοφοι πλὴν ἀληθοῦς φιλοσοφίας. καλῶ δὲ σοφοὺς μὲν ποιητικὴν μουσικὴν ἀστρονομίαν σοφιστὰς καὶ τῶν ῥητόρων τοὺς μὴ ἀγοραίους, ὑποσόφους δὲ ζωγραφίαν πλαστικὴν ἀγαλματοποιοὺς κυβερνήτας γεωργούς, ἣν ταῖς ὥραις ἔπωνται, καὶ γὰρ αἵδε αἱ τέχναι σοφίας οὐ πολὺ λείπονται. ἔστι τι, ὦ βασιλεῦ, ψευδόσοφοί τε καὶ ἀγείροντες, ὃ μὴ μαντικὴν ὑπολάβῃς, πολλοῦ μὲν γὰρ ἀξία, ἢν ἀληθεύῃ, εἰ δ' ἐστὶ τέχνη, οὔπω οἶδα, ἀλλὰ τοὺς γόητας ψευδοσόφους φημί· τὰ γὰρ οὐκ ὄντα εἶναι καὶ τὰ ὄντα ἀπιστεῖσθαι, πάντα ταῦτα προστίθημι τῇ τῶν ἐξαπατωμένων δόξῃ, τὸ γὰρ σοφὸν τῆς τέχνης ἐπὶ τῇ τῶν ἐξαπατωμένων τε καὶ θεωμένων ἀνοίᾳ κεῖται, ἡ δὲ τέχνη φιλοχρήματοι πάντες, ἃ γὰρ κομψεύονται, ταῦθ' ὑπὲρ μισθοῦ σφισιν εὕρηται, μαστεύουσι δ' ὑπερβολὰς χρημάτων ὑπαγόμενοι τοὺς ὀτουδὴ ἐρῶντας ὡς ἱκανοὶ πάντα. τίνα οὖν, ὦ βασιλεῦ, πλοῦτον περὶ ἡμᾶς ἰδὼν ψευδοσοφίαν ἐπιτηδεύειν με οἴει, καὶ ταῦτα τοῦ σοῦ πατρὸς κρείττω με ἡγουμένου χρημάτων; ὅτι δ' ἀληθῆ λέγω, ποῦ μοι ἡ ἐπιστολὴ τοῦ γενναίου τε καὶ θείου ἀνδρός; ὃς με ἐν αὐτῇ ᾄδει τά τε ἄλλα καὶ τὸ πένεσθαι."

Αὐτοκράτωρ Οὐεσπασιανὸς Ἀπολλωνίῳ φιλοσόφῳ χαίρειν.

„Εἰ πάντες, Ἀπολλώνιε, κατὰ ταὐτά σοι φιλοσοφεῖν ἤθελον, σφόδρα ἂν εὐδαιμόνως ἔπραττε φιλοσοφία τε καὶ πενία· φιλοσοφία μὲν ἀδεκάστως ἔχουσα, πενία δὲ αὐθαιρέτως. ἔρρωσο." 332

„Ταῦθ' ὁ πατὴρ ὁ σὸς ὑπὲρ ἐμοῦ ἀπολογείσθω, φιλοσοφίας μὲν τὸ ἀδέκαστον, πενίας δὲ τὸ αὐθαίρετον ἐμοὶ ὁριζόμενος, ἐμέμνητο γάρ που καὶ τῶν κατὰ τὴν Αἴγυπτον, ὅτ' Εὐφράτης μὲν καὶ πολλοὶ τῶν προσποιουμένων φιλοσοφεῖν προσιόντες αὐτῷ χρήματα οὐδ' ἀφανῶς ἤτουν, ἐγὼ δ' οὐ μόνον οὐ προσήειν ὑπὲρ χρημάτων, ἀλλὰ κἀκείνους ἐώθουν ὡς οὐχ ὑγιαίνοντας, διεβεβλήμην δὲ πρὸς χρήματα μειράκιον ὢν ἔτι· τὰ γοῦν πατρῷα, λαμπρὰ δ' ἦν οὐσία ταῦτα, μιᾶς μόνης ἰδὼν ἡμέρας ἀδελφοῖς τε τοῖς ἐμαυτοῦ ἀφῆκα καὶ φίλοις καὶ τῶν ξυγγενῶν τοῖς πένησι μελετῶν που ἀφ' Ἑστίας τὸ μηδενὸς δεῖσθαι, ἐάσθω δὲ Βαβυλὼν καὶ Ἰνδῶν τὰ ὑπὲρ Καύκασόν τε καὶ ποταμὸν Ὕφασιν, δι' ὧν ἐπορευόμην ἐμαυτῷ ὅμοιος· ἀλλὰ τῶν γε ἐνταῦθα καὶ τοῦ μὴ πρὸς ἀργύριον βλέπειν ποιοῦμαι μάρτυρα τὸν Αἰγύπτιον τοῦτον· δεινὰ γὰρ πεπρᾶχθαί τε μοι καὶ βεβουλεῦσθαι φήσας οὐδ' ὁπόσων χρημάτων ἐπανούργουν ταῦτα, εἴρηκεν, οὔθ' ὅ τι ἐνθυμηθεὶς κέρδος, ἀλλ' οὕτως ἀνόητος αὐτῷ δοκῶ τις, ὡς γοητεύειν μέν, ἃ δ' ὑπὲρ πολλῶν ἕτεροι χρημάτων, αὐτὸς ἀδικεῖν οὐδ' ἐπὶ χρήμασιν, ἀγοράν, οἶμαι, προκηρύττων τοιαύτην· ἴτε, ὦ ἀνόητοι, γοητεύω γὰρ καὶ οὐδ' ὑπὲρ χρημάτων, ἀλλὰ προῖκα. κερδανεῖτε δὲ ὑμεῖς μὲν τὸ ἀπελθεῖν ἕκαστος ἔχων, ὅτου ἐρᾷ, ἐγὼ δὲ κινδύνους καὶ γραφάς. ἀλλ' ἵνα μὴ ἐς ἀνοήτους ἴωμεν λόγους, ἐρώμεθα τὸν κατήγορον, ὑπὲρ ὅτου χρὴ λέγειν πρώτου. καίτοι τί χρὴ ἐρωτᾶν; διῆλθε γὰρ ὑπὲρ τῆς στολῆς τὰς ἀρχὰς τοῦ λόγου, καί, νὴ Δί', ὧν σιτοῦμαί τε καὶ οὐ σιτοῦμαι. ἀπολογοῦ δὴ ὑπὲρ τούτων, θεῖε Πυθαγόρα, κρινόμεθα γὰρ ὑπὲρ ὧν σὺ μὲν εὗρες, ἐγὼ δὲ ἐπαινῶ. ἀνθρώποις ἡ γῆ φύει, βασιλεῦ, πάντα, καὶ σπουδὰς 333
ἄγειν πρὸς τὰ ζῷα βουλομένοις δεῖ οὐδενός, τὰ μὲν γὰρ δρέπονται αὐτῆς, τὰ δ' ἀροῦνται κουροτροφούσης, ὡς ταῖς ὥραις ἔοικεν, οἱ δ' ὥσπερ ἀνήκοοι τῆς γῆς μάχαιραν ἐπ' αὐτὰ ἔθηξαν ὑπὲρ

1. ὑφ' ὧν. s. ὧν. o. 4. οἳ ταῖς ὥραις ἔπονται. p. 5. ψευδόσοφόν τε καὶ ἀγείρον. o. 6. ἀλλὰ — εἶναι παρ' αὐτοῖς, καὶ τὰ ὄντα ἄπιστα. Ἐ (461). 8. τε om. p. ib. θεωμένων. 1, s, E. τεθεωμένων f, l. Fo: θυομένων. 9. φιλοχρήματοι γὰρ πάντες. C, E. Sc: φιλοχρήματοι πάντες. 10. δ' om. f, l. 12. γενναίου καὶ. m, o. 13. τοῦ πένεσθαι. l.

15. ταῦτα. p. ib. σφόδρ' ἂν. p. 19. οὐδ' ἀφανῶς. π, s et m. γρ. οὐκ ἀφανῶς. p, f, l, E. ib. ἐγὼ δὲ οὐ μόνον — τοῖς πένησιν. Φ (334, b, 35). 20. προσήειν. π et J. ad Vers. germ. προσίειν. p. sed corr. προσήειν. προσήκειν. 2, E, Φ praeter A, ubi προσήσειν. 21. ὢν ἔτι. C. ὂν ἔτι. E. ἔτι ὤν. Φ. 22. τε om. p. ib. ἀφῆκα. π et m. γρ. ἀνῆκα. p, 2, E. 26. οὐδ'. p. οὔθ'. π, 2, E. 28. προκηρύττω. f, l. ib. οὐδὲ. p. 32. Δία. p. 34. δρέπωνται. E. ib. κουροτροφούσης. π. ubi αις suprascr. 35. ἔθηξεν. π, s.

ἐσθῆτός τε καὶ βρώσεως. Ἰνδοὶ τοίνυν Βραχμᾶνες αὐτοί τε οὐκ ἐπῄνουν ταῦτα καὶ τοὺς Γυμνοὺς Αἰγυπτίων ἐδίδασκον μὴ ἐπαινεῖν αὐτά· ἔνθεν Πυθαγόρας ἑλών, Ἑλλήνων δὲ πρῶτος ἐπέμιξεν Αἰγυπτίοις, τὰ μὲν ἔμψυχα τῇ γῇ ἀνῆκεν, ἃ δ' αὐτὴ φύει, ἀκήρατα εἶναι φάσκων ἐσιτεῖτο, ἐπιτήδεια γὰρ σῶμα καὶ νοῦν τρέφειν, ἐσθῆτά τε, ἣν ἀπὸ θνησειδίων οἱ πολλοὶ φοροῦσιν, οὐ καθαρὰν εἶναι φήσας λίνον ἠμπίσχετο καὶ τὸ ὑπόδημα κατὰ τὸν αὐτὸν λόγον βύβλου ἐπλέξατο, ἀπέλαυσέ τε τοῦ καθαροὺς εἶναι πολλὰ μέν, πρῶτον δὲ τὸ τῆς ἑαυτοῦ ψυχῆς αἰσθέσθαι· γενόμενος γὰρ κατὰ τοὺς χρόνους, οὓς ὑπὲρ τῆς Ἑλένης ἡ Τροία ἐμάχετο, καὶ τῶν τοῦ Πάνθου παίδων κάλλιστος ὢν καὶ κάλλιστα ἐσταλμένος ἀπέθανε μὲν οὕτω νέος, ὡς καὶ Ὁμήρῳ παρασχεῖν θρῆνον, παρελθὼν δ' ἐς πλείω σώματα κατὰ τὸν Ἀδραστείας θεσμόν, ὃν ψυχὴ ἐναλλάττει, πάλιν ἐπανῆλθεν ἐς ἀνθρώπου εἶδος καὶ Μνησαρχίδῃ ἐτέχθη τῷ Σαμίῳ σοφὸς ἐκ βαρβάρου καὶ Ἴων ἐκ Τρωὸς καὶ οὕτω τι ἀθάνατος, ὡς μηδ' ὅτι Εὔφορβος ἦν ἐκλελῆσθαι. τὸν μὲν δὴ πρόγονον τῆς ἐμαυτοῦ σοφίας εἴρηκα καὶ τὸ μὴ αὐτὸς εὑρών, κληρονομήσας δὲ ἑτέρου ταῦτ' ἔχειν. κἀγὼ μὲν οὐ κρίνω τοὺς τρυφῶντας ὑπὲρ τοῦ φοινικίου ὄρνιθος, οὐδ' ὑπὲρ τοῦ ἐκ Φάσιδος ἢ Παιόνων, οὓς πιαίνουσιν ἐς τὰς αὑτῶν δαῖτας οἱ τῇ γαστρὶ χαριζόμενοι πάντα, οὐδ' ἐγραψάμην πω οὐδένα ὑπὲρ
334 τῶν ἰχθύων, οὓς ὠνοῦνται πλείονος ἢ τοὺς κοππατίας ποτὲ οἱ λαμπροί, οὐδ' ἀλουργίδος ἐβάσκηνα οὐδενί, οὐδὲ Παμφύλου τινὸς ἢ μαλακῆς ἐσθῆτος, ἀσφοδέλου δέ, ὦ θεοί, καὶ τραγημάτων καὶ καθαρᾶς ὑποφαγίας γραφὴν φεύγω, καὶ οὐδὲ ἡ ἐσθὴς ἄσυλος, ἀλλὰ κἀκείνην λωποδυτεῖ με ὁ κατήγορος ὡς πολλοῦ ἀξίαν τοῖς γόησι. καίτοι ἀφελόντι τὸν ὑπὲρ ἐμψύχων τε καὶ ἀψύχων λόγον, δι' ὧν καθαρός τις ἢ μὴ δοκεῖ, τί βελτίων ἡ ὀθόνη τοῦ ἐρίου; τὸ μέν γε πρωτότατον ζῴου ἐπέχθη καὶ σπουδαζομένου θεοῖς, οἳ μὴ ἀπαξιοῦσι τὸ ποιμαίνειν καί, νὴ Δί', ἠξίωσάν ποτε αὐτὸ καὶ χρυσοῦ εἴδους ἢ θεοὶ ἢ λόγοι. λίνον δὲ σπείρεται μέν, ὡς ἔτυχε, χρυσοῦ δὲ οὐδεὶς ἐπ' αὐτῷ λόγος, ἀλλ' ὅμως, ἐπειδὴ μὴ ἀπ' ἐμψύχου ἐδρέφθη, καθαρὸν μὲν Ἰνδοῖς δοκεῖ, καθαρὸν δὲ Αἰγυπτίοις, ἐμοὶ δὲ καὶ Πυθαγόρᾳ διὰ τοῦτο σχῆμα γέγονε διαλεγομένοις εὐχομένοις θύουσι. καθαρὸν δὲ καὶ τὸ ἐννυχεύειν ὑπ' αὐτῷ, καὶ γὰρ τὰ ὀνείρατα τοῖς, ὡς ἐγώ, διαιτωμένοις ἐτυμωτέρας τὰς
335 αὐτῶν φήμας ἄγει. ἀπολογώμεθα καὶ ὑπὲρ τῆς οὔσης ποτὲ ἡμῖν κόμης, ἐπειδή τις γραφὴ καὶ 6
αὐχμοῦ εὕρηται, κρινέτω δὲ μὴ ὁ Αἰγύπτιος, ἀλλὰ τὰ ξανθὰ καὶ διεκτενισμένα μειράκια, τοὺς ἐραστὰς ἐξαψάμενα καὶ τὰς ἑταίρας, ἐφ' ἃς κωμάζει, καὶ ἑαυτὰ μὲν εὐδαίμονα ἡγείσθω καὶ ζηλωτὰ τῆς κόμης καὶ τοῦ λειβομένου ἀπ' αὐτῆς μύρου, ἐμὲ δὲ ἀναφροδισίαν πᾶσαν καὶ ἐραστὴν τοῦ μὴ ἐρᾶν. εἰρήσεται γὰρ πρὸς αὐτά· ὦ κακοδαίμονες, μὴ συκοφαντεῖτε τὸ Δωριέων εὕρεμα, τὸ γὰρ
336 κομᾶν ἐκ Λακεδαιμονίων ἦκει κατὰ χρόνους ἐπιτηδευθὲν αὐτοῖς, ἐς οὓς μαχιμώτατα αὐτῶν εἶχον, καὶ βασιλεὺς τῆς Σπάρτης Λεωνίδας ἐγένετο κομῶν ὑπὲρ ἀνδρίας καὶ τοῦ σεμνὸς μὲν φίλοις, φοβερὸς δὲ ἐχθροῖς φαίνεσθαι· ταῦτά τοι καὶ ἡ Σπάρτη ἐπ' αὐτῷ κομᾷ μεῖον οὐδὲν ἢ ἐπὶ Λυκούργῳ τε καὶ Ἰφίτῳ. σοφοῦ δὲ ἀνδρὸς κόμης φειδέσθω σίδηρος, οὐ γὰρ θεμιτὸν ἐπάγειν αὐτόν, οὗ πᾶσαι μὲν αἰσθητηρίων πηγαί, πᾶσαι δ' ὀμφαί, ὅθεν εὐχαί τε ἀναφαίνονται καὶ σοφίας ἑρμηνεὺς
337 λόγος. Ἐμπεδοκλῆς μὲν γὰρ καὶ στρόφιον τῶν ἁλουργοτάτων περὶ αὐτὴν ἁρμόσας ἐσόβει περὶ τὰς τῶν Ἑλλήνων ἀγυιὰς ὕμνους ξυντιθείς, ὡς θεὸς ἐξ ἀνθρώπου ἔσοιτο, ἐγὼ δὲ ἠμελημένῃ κόμῃ

4. φρονοῦσιν. π. 5. αὐτὸν om. p, f, l. ib. βύβλον. E. ib. ἐπελέξατο. p. ib. ἀπήλασέ τε. π in m. 7. κατὰ τοὺς χρόνους. p. κατὰ χρόνους. π, 2, E. 8. οὕτως. p. ουτως. s. 10. ἐτάχθη. s. 11. Εὔφορβος ἦν. p. Εὔφορβος εἶναι. π. Εὔφορβον εἶναι. 2, E. ib. ἐκλελῆσθαι. 1, s. λελῆσθαι. f, l, E. 12. μὲν αὐτὸς. p. ib. δὲ. C. δ'. E. ib. ἔχω. p. 13. φοινικίου. 1. φοινικείου. 2. E. 17. ἐσθῆτος ἄσυλος. s, a. 18. τῶν ὑπὲρ. s. ib. ἐμψύχων τε καὶ. C. ἐμψύχων καὶ. E. 19. βελτίω. π. βέλτιον. l. ubi ω suprascr. ib. τὸ μὲν γὰρ. o. 20. Δία. p. 21. εἴδους. C, Hu. εἶδος. E. ib. καὶ om. p. 22. ἐθρέφθη. l. 25. αὐτῶν. E. ib. ἀπολογώμεθα. C ἀπολογούμεθα. E. ib. ἡμῖν om. a. 27. ἑαυτὰ. 1, s. αὐτὰ. f, l, E. 29. εὕρημα. π. ubi ε penultimae suprascr. 30. αὐτοῖ. p. 31. ἐγένετο, κομῶν. sic interp. E. ib. ἀνδρίας. p. 32. μείων. f et ον suprascr. 33. σοφοῦ — λόγος. Φ (335, b, 2). ib. αἱ πᾶσαι. Φ praeter A. 34. αἰσθητήριον. f, m. ib. πᾶσαι δὲ. Φ. ib. ὅθεν om. Φ. 35. στρόφιον. π, s. στροφίων. p, f, l, E. 36. ἐξ αὐτοῦ. f, l.

χρώμενος καὶ οὔπω τοιῶνδε ὕμνων ἐπ' αὐτῇ δεηθεὶς ἐς γραφὰς ἄγομαι καὶ δικαστήρια. καὶ τί φῶ
τὸν Ἐμπεδοκλέα; πότερ' ἑαυτὸν ἢ τὴν τῶν ἐπ' αὐτοῦ ἀνθρώπων εὐδαιμονίαν ᾄδειν, παρ' οἷς οὐκ
7 ἐσυκοφαντεῖτο ταῦτα; μὴ πλείω διαλεγώμεθα ὑπὲρ τῆς κόμης, ἐτμήθη γὰρ καὶ προὔλαβε τὴν κατη-
γορίαν ὁ φθόνος, δι' ὃν ὑπὲρ τῆς ἑτέρας αἰτίας χρὴ ἀπολογεῖσθαι χαλεπῆς οὔσης, καὶ οἵας, ὦ 336
βασιλεῦ, μὴ σοὶ μόνον, ἀλλὰ καὶ τῷ Διὶ παρασχεῖν φόβον· φησὶ γὰρ τοὺς ἀνθρώπους θεὸν ἡγεῖ- 5
σθαί με καὶ δημοσίᾳ τοῦτ' ἐκφέρειν ἐμβεβροντημένους ὑπ' ἐμοῦ· καίτοι καὶ πρὸ τῆς αἰτίας ἐκεῖνα
διδάσκειν ἔδει, τί διαλεχθεὶς ἐγώ, τί δ' οὕτω θαυμάσιον εἰπὼν ἢ πράξας ὑπηγαγόμην τοὺς ἀν-
θρώπους προσεύχεσθαί μοι, οὔτε γάρ, ἐς ὅ τι ἢ ἐξ ὅτου μετέβαλον ἢ μεταβαλεῖ μοι ἡ ψυχή, διε-
λέχθην ἐν Ἕλλησι, καίτοι γιγνώσκων, οὔτε δόξας περὶ ἐμαυτοῦ τοιαύτας ἀπέστειλα, οὔτ' ἐς λόγια 10
καὶ χρησμῶν ᾠδὰς ἐξῆλθον, οἷα τῶν θεοκλυτούντων φορά, οὐδ' οἶδα πόλιν οὐδεμίαν, ἐν ᾗ ἔδοξε
ξυνιόντας Ἀπολλωνίῳ θύειν. καίτοι πολλοῦ ἄξιος ἑκάστοις ἐγενόμην, ὁπόσα ἐδέοντό μου, ἐδέοντο
δὲ τοιαῦτα· μὴ νοσεῖν οἱ νοσοῦντες ὁσιώτεροι μύειν ὁσιώτεροι θύειν ὕβριν ἐκτετμῆσθαι νόμους
ἐρρῶσθαι. μισθὸς δ' ἐμοὶ μὲν τούτων ὑπῆρχε τὸ βελτίους αὐτοὺς αὑτῶν φαίνεσθαι, σοὶ δὲ ἐχαρι-
ζόμην ταῦτα· ὥσπερ γὰρ οἱ τῶν βοῶν ἐπιστάται τὸ μὴ ἀτακτεῖν αὐτὰς χαρίζονται τοῖς κεκτημένοις 15
τὰς βοῦς καὶ οἱ τῶν ποιμνίων ἐπιμεληταὶ πιαίνουσιν αὐτὰ ἐς τὸ τῶν πεπαμένων κέρδος νόσους τε
ἀφαιροῦσι μελιττῶν οἱ νομεῖς αὐτῶν, ὡς μὴ ἀπόλοιτο τῷ δεσπότῃ τὸ σμῆνος, οὕτω που καὶ ἐγὼ
τὰ πολιτικὰ παύων ἐλαττώματα σοὶ διωρθούμην τὰς πόλεις, ὥστ' εἰ καὶ θεὸν ἡγοῦντό με, σοὶ
κέρδος ἡ ἀπάτη εἶχε, ξὺν προθυμίᾳ γάρ που ἠκροῶντό μου, δεδιότες πράττειν, ἃ μὴ δοκεῖ θεῷ.
ἀλλ' οὐχὶ τοῦτο ᾤοντο, ὅτι δ' ἐστί τις ἀνθρώπῳ πρὸς θεὸν ξυγγένεια, δι' ἣν μόνον ζῴων θεοὺς 20
οἶδε, φιλοσοφεῖ δὲ καὶ ὑπὲρ τῆς ἑαυτοῦ φύσεως καὶ ὅπῃ μετέχει τοῦ θείου. φησὶ μὲν οὖν καὶ τὸ
εἶδος αὐτὸ θεῷ ἐοικέναι, ὡς ἀγαλματοποιία ἑρμηνεύει καὶ χρώματα, τάς τε ἀρετὰς θεόθεν ἥκειν
ἐπ' αὐτὸν πέπεισται καὶ τοὺς μετέχοντας αὐτῶν ἀγχιθέους τε εἶναι καὶ θείους. διδασκάλους δὲ τῆς
διανοίας ταύτης μὴ Ἀθηναίους καλῶμεν, ἐπειδὴ τοὺς δικαίους καὶ τοὺς Ὀλυμπίους καὶ τὰς τοιάσδε 337
ἐπωνυμίας πρῶτοι ἔθεντο, θειοτέρας, ὡς τὸ εἰκός, οὔσας ἢ ἐπ' ἀνθρώπῳ κεῖσθαι, ἀλλὰ τὸν Ἀπόλλω 25
τὸν ἐν τῇ Πυθοῖ· ἀφίκετο μὲν γὰρ ἐς τὸ ἱερὸν αὐτοῦ Λυκοῦργος ὁ ἐκ τῆς Σπάρτης ἄρτι γεγραμ-
μένων αὐτῷ τῶν νόμων, οἷς ἡ Λακεδαίμων τέτακται, προσειπὼν δ' αὐτὸν ὁ Ἀπόλλων βασανίζει
τὴν περὶ αὐτοῦ δόξαν, ἐν ἀρχῇ τοῦ χρησμοῦ φάσκων ἀπορεῖν, πότερα χρὴ θεὸν ἢ ἄνθρωπον κα-
λεῖν, προιὼν δὲ ἀποφαίνεται καὶ ψηφίζεται τὴν ἐπωνυμίαν ταύτην, ὡς ἀνδρὶ ἀγαθῷ. καὶ οὐδεὶς
ἐπὶ τὸν Λυκοῦργον ἀγὼν ἢ κίνδυνος ἐκ τούτων παρὰ Λακεδαιμονίοις, ὡς ἀθανατίζοντα, ἐπεὶ μὴ
ἐπέπληξε τῷ Πυθίῳ προσρηθεὶς τούτοις, ἀλλὰ ξυνετίθεντο τῷ μαντείῳ, πεπεισμένοι δήπου καὶ 30
πρὸ τοῦ χρησμοῦ ταῦτα. τὰ δὲ Ἰνδῶν καὶ Αἰγυπτίων ταῦτα· Ἰνδοὺς Αἰγύπτιοι τὰ μὲν ἄλλα συκο-
φαντοῦσι καὶ διαβάλλουσιν αὐτῶν τὰς ἐπὶ τοῖς πράγμασι δόξας, τὸν δὲ λόγον, ὃς ἐς τὸν δημιουρ-
γὸν τῶν ὅλων εἴρηται, οὕτω τι ἐπαινοῦσιν, ὡς καὶ ἑτέρους διδάξασθαι Ἰνδῶν ὄντα. ὁ λόγος δὲ
τῆς μὲν τῶν ὅλων γενέσεώς τε καὶ οὐσίας θεὸν δημιουργὸν οἶδε, τοῦ δὲ ἐνθυμηθῆναι ταῦτα αἴτιον

2. ἑαυτὸν. 1. ἑαυτοῦ. 2. B. ib. τῶν ἑαυτοῦ. f, l. ib. ᾄδειν. 1, s. ἄγειν. f, l, E. (ἄγειν; a, m.) 3. διαλεγώμεθα. C. διαλεγόμεθα. E. 5. μόνῳ. p. ib. θεοὺς. f, l. 8. ἢ om. ante ἐξ. E. 9. ἀπέστειλα. π, s. ultrobique ε primae suprasc. 10. θεοκλυτοῦντα. p. 11. ἐγινόμην. f, l. 12. τὰ τοιαῦτα. f, l. 13. αὐτῶν. E. 15. πεπραμένων. l. 17. παύων om. o. 18. ἠκροῶντο που. o. ib. δεδιότες πράττειν. π, s. δεδιότες μὴ πράττειν. p, f, l, E. ib. θεῷ. C. θεοῖς. E. 19. ἀνθρώπῳ. π et p ex. corr. ἀνθρώπων. f, l, E. ib. μόνων. l. 20. φιλοσοφεῖτε δὲ καὶ sic ὂν π et m. γρ. τε καὶ. ib. ὅπου. p. 22. ἐπ' αὐτῷ. π. ἐπ' αὐτὸ. s. ἐπ' αὐτῷ. p, f, l. ib. πέπεισται. π, f, l. πεπείται s in ord. πεπίστευται in mg. πεπίστευται. p, E. ib. διδασκάλους τε. f, l. 23. καὶ τὰς — ὡς τὸ om. p. 26. καὶ οἷς. p, f, l. 27. περὶ αὐτὸν. f, l. ib. ἄνθρωπον καλεῖν. π. ἄνθρωπον αὐτὸν καλεῖν. p, f, l, E. 29. ἀθανατίζοιτα. π, m. γρ. et s (pr. m.) ἀθάνατα ζῶντα. p, f, l et s. (sec. m.) a, m. ἀθανατιῶντα. o. ib. μηδὲ. p. 30. ἐξέπληξε. f, l. 31. ταῦτα om. f, l, a. 32. ἀλλὰ τὸν λόγον — οἶδε. φ. 33. οὕτω τοι. φ. ib. δοξάζεσθαι. p. ib. ὁ δὲ λόγος. φ. 34. δημιουργὸν om. φ.

τὸ ἀγαθὸν εἶναι αὐτόν· ἐπεὶ τοίνυν ξυγγενῆ ταῦτα, ἔχομαι τοῦ λόγου καὶ φημὶ τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων θεοῦ τι ἔχειν. κόσμος δὲ ὁ μὲν ἐπὶ θεῷ δημιουργῷ κείμενος τὰ ἐν οὐρανῷ νομιζέσθω καὶ τὰ ἐν θαλάττῃ καὶ γῇ πάντα, ὧν μετουσία ἴση ἀνθρώποις, πλὴν τύχης. ἔστι δέ τις καὶ ἐπ' ἀνδρὶ ἀγαθῷ κόσμος οὐχ ὑπερβάλλων τὰ σοφίας μέτρα, ὃν που καὶ αὐτός, ὦ βασιλεῦ, φήσεις
338 ἀνδρὸς δεῖσθαι θεῷ εἰκασμένου· καὶ τί τὸ σχῆμα τοῦ κόσμου τοῦδε; αἱ ψυχαὶ ἀτακτοῦσαι μανικώτερον ἅπτονται παντὸς σχήματος, καὶ ἔωλοι μὲν αὐταῖς νόμοι, σωφροσύνη δ' οὐδαμοῦ, θεῶν δὲ τιμαὶ ἄτιμοι, λαλιᾶς δ' ἐρῶσι καὶ τρυφῆς, ἐξ ὧν ἀργία φύεται πονηρὰ ξύμβουλος ἔργου παντός. αἱ δὲ μεθύουσαι ψυχαὶ πηδῶσι μὲν ἐπὶ πολλά, τὸ δὲ σκίρτημα τοῦτο ἴσχει οὐδέν, οὐδ' εἰ πάντα πίνοιεν, ὁπόσα, ὥσπερ ὁ μανδραγόρας, ὑπνηλὰ ἐνομίσθη. ἀλλὰ δεῖ ἀνδρός, ὃς ἐπιμελήσεται τοῦ περὶ αὐτὰς κόσμου, θεὸς ὑπὸ σοφίας ἥκων. οὗτοσὶ γὰρ ἀπόχρη αὐτὰς ἐρώτων τε ἀπάγειν, ἐφ' οὓς ἀγριώτερον τῆς ξυνήθους ὁμιλίας ἐκφέρονται, καὶ φιλοχρηματίας, δι' ἣν οὔπω πᾶν ἔχειν φασίν, ἐπεὶ μὴ καὶ τὸ στόμα ὑπέχουσιν ἐπιρρέοντι τῷ πλούτῳ. φόνων γὰρ ἀνασχεῖν μὲν αὐτὰς μὴ προσάπτεσθαι οὐκ ἀδύνατον ἴσως ἀνδρὶ τοιούτῳ, ἀπονῖψαι δὲ οὔτε ἐμοὶ δυνατὸν οὔτε τῷ πάντων δημιουργῷ θεῷ. ἔστω, βασιλεῦ, κατηγορία καὶ ὑπὲρ τῆς Ἐφέσου, ἐπειδὴ ἐσώθη, καὶ κρινέτω με ὁ 8
15 Αἰγύπτιος, ὡς ἔστι πρόσφορον τῇ γραφῇ. ἔστι γὰρ δήπου ἡ κατηγορία τοιαύτη· περὶ Σκύθας ἢ Κελτούς, οἳ ποταμὸν Ἴστρον ἢ Ῥῆνον οἰκοῦσι, πόλις ᾤκισται μείων οὐδὲν Ἐφέσου τῆς ἐν Ἰωνίᾳ· ταύτην ὁρμητήριον βαρβάρων οὖσαν, οἳ μὴ ἀκροῶνται σου, λοιμὸς μέν τις ἀπολεῖν ἔμελλεν, Ἀπολλώνιος δὲ ἰάσατο. ἔστι μὲν γάρ τις καὶ πρὸς ταῦτα ἀπολογία σοφῷ ἀνδρί, ἣν ὁ βασιλεὺς τὸ ἀντίξοον ὅπλοις, ἀλλὰ μὴ νόσοις αἱρεῖν βούληται, μὴ γὰρ ἐξαλειφθείη πόλις μηδεμία, μήτε σοί, βασι-
339 20 λεῦ, μήτε ἐμοί, μήτε ἴδοιμι πρὸς ἱεροῖς νόσον, δι' ἣν οἱ νοσοῦντες ἐν αὐτοῖς κείσονται. ἀλλὰ μὴ ἔστω ἐν σπουδῇ τὰ βαρβάρων, μηδὲ τάττωμεν αὐτοὺς ἐς τὸ ὑγιαῖνον πολεμιωτάτους ὄντας καὶ οὐκ ἐνσπόνδους τῷ περὶ ἡμᾶς γένει. τὴν δὲ Ἔφεσον τίς ἀφαιρήσεται τοῦ σώζεσθαι βεβλημένην μὲν τὰς ἀρχὰς τοῦ γένους ἐπ τῆς καθαρωτάτης Ἀτθίδος, ἐπιδεδωκυῖαν δὲ παρὰ πάσας, ὁπόσαι Ἰωνικαί τε καὶ Λύδιοι, προβεβηκυῖαν δὲ ἐπὶ τὴν θάλατταν διὰ τὸ ὑπερήκειν τῆς γῆς, ἐφ' ἧς ᾠκίσθη, μεστὴν
25 δὲ φροντισμάτων οὖσαν φιλοσόφων τε καὶ ῥητορικῶν, ὑφ' ὧν ἡ πόλις οὐχ ἵππῳ, μυριάσι δὲ ἀνθρώπων ἰσχύει, σοφίαν ἐπαινοῦσα; τίς δ' ἂν σοφὸς ἐκλιπεῖν σοι δοκεῖ τὸν ὑπὲρ πόλεως τοιαύτης ἀγῶνα ἐνθυμηθεὶς μὲν Δημόκριτον ἐλευθερώσαντα λοιμοῦ ποτε Ἀβδηρίτας, ἐννοήσας δὲ Σοφοκλέα τὸν Ἀθηναῖον, ὃς λέγεται καὶ ἀνέμους θέλξαι τῆς ὥρας ὑπερπνεύσαντας, ἀκηκοὼς δὲ τὰ Ἐμπεδοκλέους, ὃς νεφέλης ἀνέσχε φορὰν ἐπ' Ἀκραγαντίνους ῥαγείσης; ἐπικόπτει με ὁ κατήγορος· ἀκούεις 9
30 γάρ που καὶ σύ, ὦ βασιλεῦ, καί φησιν, οὐκ ἐπειδὴ σωτηρίας αἴτιος Ἐφεσίοις ἐγενόμην, γράφεσθαί με, ἀλλ' ἐπειδὴ προεῖπον ἐμπεσεῖσθαί σφισι τὴν νόσον, τουτὶ γὰρ ὑπὲρ σοφίαν εἶναι καὶ τερατῶδες, τῆς δ' ἐπὶ τοσόνδε ἀληθείας οὐκ ἂν ἐφικέσθαι με, εἰ μὴ γόης τε ἦν καὶ ἀπόρρητος. τί οὖν ἐνταῦθα ἐρεῖ Σωκράτης ὑπὲρ ὧν ἔφασκε τοῦ δαιμονίου μανθάνειν; τί δὲ Θαλῆς τε καὶ Ἀναξαγόρας, τῷ Ἴωνε, ὁ μὲν τὴν εὐφορίαν τὴν τῶν ἐλαιῶν, ὁ δὲ πολλὰ τῶν οὐρανίων παθῶν
340 35 προειπόντε; ἢ γοητεύοντε προειπεῖν ταῦτα; καὶ μὴν καὶ ὑπήχθησαν οὗτοι δικαστηρίοις ἐφ' ἑτέραις αἰτίαις, καὶ οὐδαμοῦ τῶν αἰτιῶν εἴρηται, γόητας εἶναι σφᾶς, ἐπειδὴ προγιγνώσκουσι. καταγέλαστον γὰρ τοῦτο ἐδόκει καὶ οὐδ' ἐν Θετταλίᾳ πιθανὸν κατ' ἀνδρῶν λέγεσθαι σοφῶν, οὗ τὰ γύναια κα-

2. κείμενος δημιουργῷ. p. 3. ὧν μετουσία. 1, s. ᾧ μετουσία. f, l, E. οὗ μετ. o. ib. καὶ om. p. 4. τὰ τῆς. p. ὑ

10. θεὸς ἀπὸ. π. θεὸς ἀπὸ. p, 2, E. 12. φόνον. p. ib. δὲ ἀνασχεῖν αὐτὰς. p. 13. ἴσων. a. 15. ἔστω. o. ib. καὶ Κελτούς. E. 16. τὸν ποταμὸν. l. 18. ἔστι μὲν γάρ τις. C, E. Fo: ἔστι μέν τις. 21. τὰ om. p. ib. τάττωμεν. a, m. ib. οὐκ ἐνσπόνδους. 1, s. οὐκ ἐκσπόνδους. f, l. a, m. ἐκσπόνδους. o. 22. μὲν om. f, l. 24. προβεβηκυῖαν. 1, s. προβεβληκυῖαν. f, l, E. 25. ἵππων. p. 33. γοῦν. E. 34. τὴν εὐφορίαν. C. εὐφορίαν. E. 35. προειπών τε. π. ib. ἢ. C, E. Ser. ἦ. 36. εἶναι σφᾶς. l. 37. ἐδόκει μοι. s.

κῶς ἤκουσεν ἐπὶ τῇ τῆς σελήνης ἕλξει. πόθεν οὖν τοῦ περὶ τὴν Ἔφεσον πάθους ἠσθόμην; ἤκουσας μὲν καὶ τοῦ κατηγόρου εἰπόντος, ὅτι μὴ κατὰ τοὺς ἄλλους διαιτῶμαι, κἀμοὶ δὲ ὑπὲρ τῶν ἐμαυτοῦ σιτίων, ὡς λεπτὰ καὶ ἡδίω τῆς ἑτέρων συβάριδος, ἐν ἀρχῇ εἴρηται· τοῦτό μοι, ὦ βασιλεῦ, τὰς αἰσθήσεις ἐν αἰθρίᾳ τινὶ ἀπορρήτῳ φυλάττει κοὐκ ἐᾷ θολερὸν περὶ αὐτὰς οὐδὲν εἶναι, διορᾶν τε, ὥσπερ ἐν κατόπτρου αὐγῇ, πάντα γιγνόμενά τε καὶ ἐσόμενα. οὐ γὰρ περιμενεῖ γε ὁ σοφὸς τὴν γῆν ἀναθυμιῶσαν ἢ τὸν ἀέρα διεφθορότα, ἢν τὸ δεινὸν ἄνωθεν ῥέῃ, ἀλλὰ ξυνήσει αὐτῶν καὶ ἐπὶ θύραις ὄντων ὕστερον μὲν ἢ οἱ θεοί, θᾶττον δὲ ἢ οἱ πολλοί, θεοὶ μὲν γὰρ μελλόντων, ἄνθρωποι δὲ γιγνομένων, σοφοὶ δὲ προσιόντων αἰσθάνονται. λοιμῶν δ' αἰτίας ἰδίᾳ, βασιλεῦ, ἐρώτα, σοφώτεραι γὰρ ἢ ἐς τοὺς πολλοὺς λέγεσθαι· ἆρ' οὖν τὸ οὕτως διαιτᾶσθαι λεπτότητα μόνον ἐργάζεται τῶν αἰσθήσεων ἢ ἰσχὺν ἐπὶ τὰ μέγιστά τε καὶ θαυμασιώτατα; θεωρεῖν δ' ἔξεστιν, ὃ λέγω, καὶ ἀπ' ἄλλων μέν, οὐχ ἥκιστα δὲ κἀκ τῶν ἐν Ἐφέσῳ περὶ τὴν νόσον ἐκείνην πραχθέντων· τὸ γὰρ τοῦ λοιμοῦ εἶδος, πτωχῷ δὲ γέροντι εἴκαστο, καὶ εἶδον καὶ ἰδὼν εἶλον, οὐ παύσας νόσον, ἀλλ' ἐξελών, ὅτῳ δ' εὐξάμενος, δηλοῖ τὸ ἱερόν, ὃ ἐν Ἐφέσῳ ὑπὲρ τούτου ἱδρυσάμην, Ἡρακλέους μὲν γὰρ Ἀποτροπαίου ἐστί, ξυνεργὸν δ' αὐτὸν εἰλόμην, ἐπειδὴ σοφός τε καὶ ἀνδρεῖος ὢν ἐκάθηρέ ποτε λοιμοῦ 341
τὴν Ἦλιν τὰς ἀναθυμιάσεις ἀποκλύσας, ἃς παρεῖχεν ἡ γῆ κατ' Αὐγέαν τυραννεύοντα. τίς ἂν οὖν σοι, βασιλεῦ, δοκεῖ φιλοτιμούμενος γόης φαίνεσθαι θεῷ ἀναθεῖναι, ὃ αὐτὸς εἴργαστο; τίνας δ' ἂν κτήσασθαι θαυμαστὰς τῆς τέχνης θεῷ παρεὶς τὸ θαυμάζεσθαι; τίς δ' ἂν Ἡρακλεῖ εὔξασθαι γόης ὤν; τὰ γὰρ τοιαῦτα οἱ κακοδαίμονες βόθροις ἀνατιθέασι καὶ χθονίοις θεοῖς, ὧν τὸν Ἡρακλέα ἀποτακτέον, καθαρὸς γὰρ καὶ τοῖς ἀνθρώποις ἐύνους. ἠυξάμην αὐτῷ καὶ ἐν Πελοποννήσῳ ποτέ, λαμίας γάρ τι φάσμα κἀκεῖ περὶ τὴν Κόρινθον ἦλυε σιτούμενον τῶν νέων τοὺς καλούς, καὶ ξυνήρατό μοι τοῦ ἀγῶνος οὐ θαυμασίων δεηθεὶς δώρων, ἀλλὰ μελιττούτης καὶ λιβανωτοῦ καὶ τοῦ ὑπὲρ σωτηρίας τι ἀνθρώπων ἐργάσασθαι, τουτὶ γὰρ καὶ κατὰ τὸν Εὐρυσθέα μισθὸν τῶν ἄθλων ἠγεῖτο. μὴ ἄχθου, βασιλεῦ, τὰ Ἡρακλέους ἀκούων· ἔμελε γὰρ αὐτοῦ τῇ Ἀθηνᾷ, ἐπειδὴ χρηστὸς καὶ σω- 342
τήριος τοῖς ἀνθρώποις. ἀλλ' ἐπεὶ κελεύεις με ὑπὲρ τῆς θυσίας ἀπολογεῖσθαι, τουτὶ γὰρ καὶ τῇ χειρὶ ἐνδείκνυσαι, ἄκουε ἀπολογίας ἀληθοῦς· ἐγὼ γὰρ πάνθ' ὑπὲρ σωτηρίας τῶν ἀνθρώπων πράττων οὕπω ὑπὲρ αὐτῶν ἔθυσα, οὐδ' ἂν θύσαιμι οὐδέν, οὐδ' ἂν θίγοιμι ἱερῶν, ἐν οἷς αἷμα, οὐδ' ἂν εὐξαίμην ἐς μάχαιραν βλέπων ἢ θυσίαν, ἣν φησιν. οὐ Σκύθην με, ὦ βασιλεῦ, ᾔρηκας, οὐδ' ἐκ τῆς ἀμίκτου ποθέν, οὐδ' ἐπέμιξά πω Μασσαγέταις ἢ Ταύροις, ὡς κἀκείνους ἂν τοῦ τῆς θυσίας ἔθους μετέβαλον· ἀνοίας δ' ἂν ποῖ ἤλαυνον, ἵνα πλεῖστα μὲν ὑπὲρ μαντικῆς διαλεγόμενος καὶ ὅπη ἔρρωται ἢ μή, ἄριστα δ' ἀνθρώπων ᾐσθημένος, ὅτι τὰς αὐτῶν βουλὰς οἱ θεοὶ τοῖς ὁσίοις τε καὶ σοφοῖς ἀνδράσι καὶ μὴ μαντευομένοις φαίνουσι, μιαιφονίας ἅπτωμαι καὶ σπλάγχνων ἀθύτων ἐμοὶ καὶ ἀκαλλιερήτων; ἐφ' οἷς ἀπέλιπεν ἄν με καὶ ἡ τοῦ δαιμονίου ὀμφὴ μὴ καθαρὸν ὄντα. καὶ μὴν εἴ τις ἀφελὼν τὸ τῆς θυσίας μύσος ἐξετάζοι τὸν κατήγορον πρὸς ἃ μικρῷ πρόσθεν εἴρηκεν, ἀπαλλάττει με τῆς αἰτίας αὐτός, ὃν γάρ φησι προειπεῖν Ἐφεσίοις τὴν νόσον θυσίας οὐδεμιᾶς δεηθέντα, τί σφαγίων ἐδεήθην ἂν ἐφ' ἃ καὶ μὴ θυσαμένῳ παρῆν εἰδέναι; μαντικῆς δὲ τί ἐδεόμην ὑπὲρ ὧν

πά
1. ἀήθους. π. πάθους. J. ἀήθους. p, f, l, s, E. 2. καὶ om. p. 4. αἰθρίᾳ. π, s. αἰτίᾳ. p, f, l, E. εὐδίᾳ. J. ad Im. 275. ib. καὶ οὐκ. f, l. 5. περιμένει. f, l. 7. ἢ θεοὶ. l, E. 9. ἆρ' οὖν. s, J. ἄρ' οὖν. E. ib. οὕτως. C. οὕτω. E. 10. ἢ ἰσχύν. π, s, E. ἢ καὶ ἰσχὺν. p, 2. ib. τε om. s. 11. τὸ γὰρ — ἐξελών. E. (449.) ib. γὰρ om. l. ib. τοῦ om. E praeter B. 12. πτωχῷ ὧδε ἀγείροντι. E. 13. μὲν γὰρ. p. μὲν. π, 2, E. 14. τοῦ λοιμοῦ. f, l. 15. ἀποκλύσας. π, 2, E. ἀποκλείσας. p et m. γρ. ib. παρείχετο. f, l. ib. Αὐγέαν. C. Αὐγίαν. a, m. Αὐγείαν. o. ib. ἐπιὼν τυραννεύοντα. 2, E. 16. δοκεῖ. C. δοκῇ. E. ib. εἴργαστο. 1, f, l, fc, a, m. εἴργασε. s. εἴργα. o. 19. Πελοποννήσῳ. p. 20. κακεῖ φάσμα. s, a. 21. μελιτούσης. f, l. 23. τοῦ Ἡρ. s. 26. ηὐξάμην. f, l, a. 27. ἣν φησιν. C. ἣν φῃς. fc, E. ib. εἴρηκας. p. 29. ἵνα om. o. 30. αὐτῶν. π. αὐτῶν. l, E. 31. μὴ om. f, l. ib. οὐ μιαιφονίας. p. ib. ἅπτωμαι. π, s. ἅπτομαι. p, f, l, E. 33. μῦσος. C. μῖσος. E. μύσος. B, J. ib. σμικρῷ. p. 35. ἂν deleverim.

αὐτός τε ἐπεπείσμην καὶ ἕτερος; εἰ γὰρ ὑπὲρ Νερούα καὶ τῶν ἀμφ' αὐτὸν κρίνομαι, λέξω πάλιν,
343 ἃ καὶ πρώην εἶπον, ἡνίκα ἠτιῶ ταῦτα· Νερούαν γὰρ ἄξιον μὲν ἀρχῆς ἡγοῦμαι πάσης καὶ λόγου παντὸς ἐπ' εὐφημίαν ἥκοντος, ἀγωνιστὴν δὲ φροντίδων οὐ χρηστόν, καταλέλυται γὰρ τὸ σῶμα ὑπὸ τῆς νόσου, δι' ἣν καὶ ἡ γνώμη μεστὴ ἅσης καὶ οὐδὲ τὰ οἴκοι ἱκανή· σὲ γοῦν ἐπαινεῖ μὲν σώματος, ἐπαινεῖ δὲ γνώμης, εἰκὸς μέν, οἶμαί, τι πράττων, προθυμοτέρα γὰρ ὄντως ἡ ἀνθρωπεία φύσις ἐπαινεῖν, ἃ μὴ αὐτὴ ἔρρωται. πέπονθε δέ τι καὶ πρὸς ἐμὲ χρηστὸν Νερούας, καὶ οὔτε γελάσαντά πω αὐτὸν ἐπ' ἐμοῦ οἶδα οὔτε εὐηθισάμενόν τι τῶν εἰωθότων ἐν φίλοις, ἀλλ' ὥσπερ τὰ μειράκια πρὸς τοὺς πατέρας τε καὶ διδασκάλους τοὺς αὐτῶν, εὐλαβῶς μὲν φθέγγεται τὸ ἐπ' ἐμοῦ πᾶν, ἐρυθριᾷ δὲ ἔτι, εἰδὼς δὲ τὸ ἐπιεικὲς ἐπαινοῦντά με οὕτω τι ἄγαν ἐπιτηδεύει αὐτό, ὡς καμοὶ ταπεινότερος τοῦ μετρίου φαίνεσθαι. πῶς οὖν πιθανὸν ἡγήσαιτο ἄν τις ἀρχῆς ἐπιθυμῆσαι Νερούαν ἀγαπῶντα, εἰ τῆς ἑαυτοῦ οἰκίας ἄρξοι, ἢ ὑπὲρ μεγάλων διαλέγεσθαί μοι τὸν μηδ' ὑπὲρ μικρῶν τεθαρρηκότα, ἢ ξυνάπτειν ἐμοὶ γνώμην ὑπὲρ ὧν μηδ' ἂν πρὸς ἄλλον, εἰ τοὐμὸν ἐνεθυμήθη, ξυνῆψεν; ἢ πῶς ἔτ' ἐγὼ σοφὸς γνώμην ἑρμηνεύειν ἀνδρὸς μαντικῇ μὲν πιστεύων, ἀπίστων δὲ σοφίᾳ; τὸν δὲ Ὄρφιτον καὶ τὸν Ῥοῦφον, τοὺς δικαίους μὲν καὶ σώφρονας, νωθροὺς δὲ ἄνδρας, ὡς εὖ οἶδα, εἰ μὲν ὡς τυραννεύσοντας διαβεβλῆσθαί φασιν, οὐκ οἶδ' εἴτε τούτων πλέον διαμαρτάνουσιν, εἴτε Νερούα, εἰ δ' ὡς ξυμβούλω γεγονότε, πιθανώτερος ἀρχῇ ἐπιθέσθαι Νερούας, ἢ οἵδε ξυμβουλεῦσαι; ἀλλὰ μὴν τόν γε ὑπὲρ τούτων κρίνοντα κἀκεῖνα εἰκὸς ἦν ἐνθυμεῖσθαι, τί ἐβούλετό μοι τὸ 11
344 ξυλλαμβάνειν τοῖς ἐπὶ νεώτερα ἥκουσι· χρήματα μὲν γὰρ οὔ φησι παρ' αὐτῶν γεγενῆσθαί μοι, οὐδὲ δώροις ἐπαρθέντα με ταῦτα εἰργάσθαι, σκεψώμεθα δέ, μὴ μεγάλων δεόμενος ἀνεβαλόμην τὰς παρ' αὐτῶν εὐεργεσίας ἐς ὃν ᾧοντο ἄρξειν χρόνον, ἐν ᾧ μεγάλα μὲν ἂν αἰτεῖν ὑπῆρξε, μειζόνων δ' ἀξιοῦσθαι· πῶς οὖν ταῦτα ἔσται δῆλα; ἐνθυμήθητι, βασιλεῦ, σεαυτὸν καὶ τοὺς ἔτι πρὸ σοῦ ἄρχοντας, ἀδελφὸν δήπου τὸν σεαυτοῦ καὶ πατέρα Νέρωνά τε, ἐφ' ὧν ἤρξαν, κατὰ τούτους γὰρ μάλιστα τοὺς βασιλέας βεβίωταί μοι ἐς τὸ φανερόν, τὸν ἄλλον χρόνον Ἰνδοῖς φοιτῶντι. τούτων δὴ τῶν ὀκτὼ καὶ τριάκοντα ἐτῶν, τοσοῦτον γὰρ τὸ ἐς σὲ μῆκος, οὔτε ἐπὶ θύρας βασιλείους ἐφοίτησα πλὴν ἐν Λίγύπτῳ τοῦ σοῦ πατρός, ἐπεὶ μήτε βασιλεύς πω ἐτύγχανεν ὢν ὡμολόγει τε δι' ἐμὲ ἥκειν, οὔτε ἀνελεύθερόν τι διελέχθην βασιλεῦσιν ἢ ὑπὲρ βασιλέων δήμοις οὔτ' ἐπιστολαῖς ἐλαμπρυνάμην ἢ γραφόντων ἐμοὶ βασιλέων ἢ αὐτὸς ἐνδεικνύμενος γράφειν, οὔθ' ὑπὲρ δωρεῶν κολακεύων βασιλέας ἐμαυτοῦ ἀπηνέχθην. εἰ γοῦν ἔροιό με πλουσίους ἐνθυμηθεὶς καὶ πένητας, ποτέρου τῶν ἐθνῶν τούτων ἐμαυτὸν γράφω, τῶν πλουσιωτάτων φήσω, τὸ γὰρ δεῖσθαι μηδενὸς ἐμοὶ Λυδία καὶ τὸ Παμφυλοῦ πᾶν. πῶς οὖν ἢ τὰς παρὰ τῶν οὔπω βασιλέων δωρεὰς ἀνεβαλλόμην ἐς ὃν ἄρξειν αὐτοὺς ᾠμην χρόνον ὁ μηδὲ τὰς παρ' ὑμῶν ἑλόμενος, οἷς βέβαιον ἡγούμην τὸ ἄρχειν, ἢ βασιλειῶν μεταβολὰς ἐπενόουν μηδὲ ταῖς καθεστηκυίαις ἐς τὸ τιμᾶσθαι χρώμενος; καὶ μὴν ὁπόσα γίγνεται φιλοσόφῳ ἀνδρὶ κολακεύοντι τοὺς δυνατούς, δηλοῖ τὰ Εὐφράτου· τούτῳ γὰρ ἐντεῦθεν τί λέγω χρή-
345 ματα; πηγαὶ μὲν οὖν εἰσι πλούτου, κἀπὶ τῶν τραπεζῶν ἤδη διαλέγεται κάπηλος ὑποκάπηλος τελώ-

1. ἕτερον a et m. γρ. ἑταῖρος. B. 2. καὶ πρὶν. m. γρ. ib. Νερούαν — χρηστὸν. Φ (335, a, 5). ib. δὲ ἄξιον. (δὲ ἀξίαν A, B) Φ. 3. ἐπ' εὐφημίαν. f, s, a, m. εἰς εὐφημίαν. f, ψ, l, o, Φ. ib. χρήσιμον. a. 4. ἅτης. m, o. ἅσης. l 5. προθυμοτέρα δ' et suprascr. γὰρ. π. προθυμοτέρα δ'. p, f, l, E. ib. ὄντως. C et J ad Im. 702. οὕτως. E. 6. χρηστὸν. p, f, l, o. χρήσιμον. π, s, a, m. 7. εὐηθησάμενον. p, a. εὐήθως τί καὶ μυρῶς διαπραξάμενον. s. idem, sed μωρῶς. a. Est scholion ex π, quod m. in mg. habet. 8. αὐτῶν. l. 11. ἢ τῆς. f et l ante corr. μηδὲ τῆς. p. ib. ἄρξειν f et l ante corr. ἄρξειν p pr. m. et ἄρχειν. sec. m. ib. ἢ om. f et l pr. m. 12. μηδ' ἂν. C, E. Fo: μηδὲ. 13. ἔστ' ἐγὼ. m. γρ. ib. σοφὸς γνώμην ἑρμηνεύειν ἀνδρὸς. π, s, fc, a, m. σοφὸς νεύειν ἀνδρὸς. f, l. σοφὸς εἶην ἀνὴρ. p, u. σοφός. o. 14. τοὺς om. o. 16. οἶδε. l. 17. τούτων. π, s, E. τοιούτων. p, f, l. 18. γεγεννῆσθαι. o. 24. τοσοῦτόν γε. f, l. 26. οὔτε. p. οὔτ'. E. 29. φημί. p. ib. δεῖσθαι μηδενὸς. π, s, E. μηδενὸς δεῖσθαι. p, f, l. ib. τὸ Παχτωλοῦ πᾶν. π, s, E. τὰ Παχτωλοῦ πάντα. p ex corr. f, l. 30. ἀνεβαλλόμην. π. ἀνεβαλόμην. p, f, l, s. 31. ἡγοῦμαι. p, f, l. 32. καὶ μὴν — κακίω ὢν ἑρμηνεύω. Ἐ (454). 33. τὸ Εὐφράτου. p. ib. τῷ γὰρ Εὐφράτῃ ἐκ τοῦ κολακεύειν τοὺς δυνατοὺς τί λέγω — ἐκτετμῆσθαι. Φ (335, a, 8). 34. καὶ περὶ τῶν. Ἐ.

νης ὀβολοστάτης πάντα γιγνόμενος τὰ πωλούμενά τε καὶ πωλοῦντα. ἐντετύπωται δ' ἀεὶ ταῖς τῶν δυνατῶν θύραις καὶ προσέστηκεν αὐταῖς πλείω καιρὸν ἢ οἱ θυρωροί, ἀπελήφθη δὲ καὶ ὑπὸ θυρωρῶν πολλάκις, ὥσπερ τῶν κυνῶν οἱ λίχνοι, δραχμὴν δὲ οὐδὲ φιλοσόφῳ ἀνδρὶ προέμενός ποτε ἐπιτειχίζει τὸν ἑαυτοῦ πλοῦτον ἑτέροις, τὸν Αἰγύπτιον τουτονὶ βύσκων χρήμασι καὶ ὀξύνων ἐπ' ἐμὲ γλῶτταν ἀξίαν ἐκτετμῆσθαι.

12 Εὐφράτην μὲν δὴ καταλείπω σοί, σὺ γάρ, ἢν μὴ κόλακας ἐπαινῇς, εὑρήσεις τὸν ἄνθρωπον κακίω ὧν ἑρμηνεύω, τῆς δὲ λοιπῆς ἀπολογίας ἀκροῶ· τίς οὖν αὕτη καὶ ὑπὲρ τίνων; ἤδετό τις, ὦ βασιλεῦ, παιδὸς Ἀρκάδος ἐν τῇ κατηγορίᾳ θρῆνος, τετμῆσθαι μὲν αὐτον ὑπ' ἐμοῦ νύκτωρ, εἰ δ' ὄναρ φησίν, οὔπω οἶδα, εἶναι δὲ πατέρων τε ἀγαθῶν ὁ παῖς οὗτος καὶ τὸ εἶδος οἷοι Ἀρκάδων οἱ ἐν αὐχμῷ καλοί. τοῦτόν φασιν ἱκετεύοντά τε καὶ ὀλοφυρόμενον ἀπεσφάχθαι κἀμὲ τὰς χεῖρας ἐς τὸ τοῦ παιδὸς αἷμα βάψαντα θεοῖς ὑπὲρ ἀληθείας εὔχεσθαι. μέχρι τούτων ἐμὲ κρίνουσιν, ὁ δὲ ἐφεξῆς λόγος τῶν θεῶν ἅπτεται, φασὶ γὰρ τοὺς θεοὺς ἀκοῦσαι μὲν ὠδέ μου εὐξαμένου, δοῦναι δὲ ἱερὰ εὔσημα καὶ μὴ ἀποκτεῖναι ἀσεβοῦντα. τὴν μὲν οὖν ἀκρόασιν, ὡς οὐ καθαρά, τί ἄν, ὦ βασιλεῦ, 346
λέγοιμι; ἀλλ' ὑπὲρ ὧν γέ μοι ἀπολογητέα, τίς ὁ Ἀρκὰς οὗτος; εἰ γὰρ μὴ ἀνώνυμος τὰ πατέρων, μηδ' ἀνδραποδώδης τὸ εἶδος, ὥρα σοι ἐρωτᾶν, τί μὲν ὄνομα τοῖς γειναμένοις αὐτόν, τίνος δὲ οἰκίας οὗτος, τίς δ' ἐθρέψατο αὐτὸν ἐν Ἀρκαδίᾳ πόλις, τίνων δὲ βωμῶν ἁπαχθεὶς ἐνταῦθα ἐθύετο. οὐ λέγει ταῦτα καίτοι δεινὸς ὢν μὴ ἀληθεύειν. οὐκοῦν ὑπὲρ ἀνδραπόδου κρίνει με. ᾧ γὰρ μήτ' αὐτῷ ὄνομα μήθ' ὧν ἔφυ, μὴ πόλις μὴ κλῆρός ἐστιν, οὐχί, ὦ θεοί, τοῦτον ἐν ἀνδραπόδοις χρὴ τάττειν; ἀνώνυμα γὰρ πάντα. τίς οὖν ὁ κάπηλος τοῦ ἀνδραπόδου; τίς ὁ πριάμενος αὐτὸ ἐξ Ἀρκάδων; εἰ γὰρ τὸ γένος τούτων ἐπιτήδειον τῇ σφαττούσῃ μαντικῇ, πολλῶν μὲν χρημάτων εἰκὸς ἐωνῆσθαι τὸν παῖδα, πεπλευκέναι δέ τινα ἐς Πελοπόννησον, ἵν' ἐνθένδε ἡμῖν ἀναχθείη ὁ Ἀρκάς, ἀνδράποδα μὲν γὰρ Ποντικὰ ἢ Λύδια ἢ ἐκ Φρυγῶν πρίαιτ' ἂν κἀνταῦθά τις, ὧν γε καὶ ἀγέλαις ἐντυχεῖν ἐστιν ἅμα φοιτώσαις δεῦρο, ταυτὶ γὰρ τὰ ἔθνη καὶ ὁπόσα βαρβάρων, πάντα τὸν χρόνον ἑτέρων ἀκροώμενοι οὕπω τὸ δουλεύειν αἰσχρὸν ἡγοῦνται· Φρυξὶ γοῦν ἐπιχώριον καὶ ἀποδίδοσθαι τοὺς αὑτῶν καὶ ἀνδραποδισθέντων μὴ ἐπιστρέφεσθαι, Ἕλληνες δὲ ἐλευθερίας ἐρασταὶ ἔτι καὶ οὐδὲ δοῦλον ἀνὴρ Ἕλλην πέρα ὅρων ἀποδώσεται, ὅθεν οὐδὲ ἀνδραποδισταῖς οὔτε ἀνδραπόδων καπήλοις ἐς αὐτοὺς παριτητέα, ἐς δὲ Ἀρκαδίαν καὶ μᾶλλον, πρὸς γὰρ τῷ παρὰ πάντας ἐλευθεριάζειν Ἕλληνας δέονται καὶ ὄχλου δούλων. ἔστι δὲ πολλὴ ἡ Ἀρκαδία καὶ ὑλώδης οὐ τὰ μετέωρα μόνον, ἀλλὰ καὶ τὰ ἐν ποσὶ πάντα. δεῖ δὴ αὐτοῖς πολλῶν μὲν γεωργῶν, πολλῶν δὲ αἰπόλων συφορβῶν τε καὶ 347
ποιμένων καὶ βουκόλων τῶν μὲν ἐπὶ βουσί, τῶν δ' ἐφ' ἵπποις, δρυτόμων τε δεῖται πολλῶν ἡ χώρα καὶ τοῦτο ἐκ παίδων γυμνάζονται. εἰ δὲ καὶ μὴ τοιάδε ἦν τὰ τῶν Ἀρκάδων, ἀλλ' εἶχον, ὥσπερ ἕτεροι, προσαποδίδοσθαι τοὺς αὑτῶν δούλους, τί τῇ θρυλουμένῃ σοφίᾳ ξυνεβάλλετο τὸ ἐξ Ἀρκαδίας εἶναι τὸν σφαττόμενον; οὐδὲ γὰρ σοφώτατοι τῶν Ἑλλήνων Ἀρκάδες, ἵν' ἑτέρου τι ἀνθρώπου πλέον περὶ τὰ λογικὰ τῶν σπλάγχνων φαίνωσιν, ἀλλὰ ἀγροικότατοι ἀνθρώπων εἰσὶ καὶ συώδεις τά τε ἄλλα καὶ τὸ γαστρίζεσθαι τῶν δρυῶν. ῥητορικώτερον ἴσως ἀπολελόγημαι τοὐμοῦ τρόπου, τὰ τῶν Ἀρκάδων ἀφερμηνεύων ἤθη καὶ παριὼν ἐς Πελοπόννησον τῷ λόγῳ. ἡ γὰρ ἐμοὶ προσήκουσα ἀπο-

1. πάντα τι. ΈΑ, B. 2. πλέον ἢ. Φ. ib. ἀπελήφθη — προέμενος om. Φ. ib. ἀπελήφθη. C, a, m. ἀπειλήφθη. o. ἀπειλίφθη. ΈΑ, B. ib. ὑπὸ θυρωρῶν. Έ. ὑπὸ θυρῶν. C, E. 3. δραγμὴν. ΈΑ, B. ib. ἀνδρὶ ποτε προέμενος. π, s, E, Έ. ἀνδρὶ πρ. ποτε. p. ποτὲ ἀνδρὶ πρ. f, l. 4. νῦν τὸν. Έ. ib. πλοῦτον, ἑτέροις. E. ib. ἑτέροις. ΈΑ. ubi αι suprasc.

6. σοι. E. 7. ἑρμηνεύων. ΈB. ib. τί. E. 8. αὐτὸν om. s, a. 12. μου om. p, f, l. 16. ἐθρέψατ' αὐτὸν. p. ib. πόλει. p. ib. τίνων βωμῶν δὲ. a, m. 18. μὴ κλῆρος μή ἐστιν. f, l. 19. πράττειν. p. ib. αὐτὰ. f, l. 21. Πελοπόνησον. p. ib. ἀναχθῇ. o ex ψ. 22. κἂν ταῦτα. s. ib. γέ τις. o. 24. ἡγοῦντο. p. 25. αὐτῶν. l. αὐτῶν. E. 26. οὔτ' ἀνδραπόδων. p, f, l, a. 27. τὸ. p, f, l. ib. Ἕλληνας om. f. l. 29. μὲν om. f, l. 30. βουκόλων καὶ ποιμένων. p. ib. δ' om. a. 31. εἰ καὶ. f, l. ib. δὲ ἦν. f, l. 32. αὐτῶν. l. αὐτῶν. E. ib. θρυλλουμένῃ. l, E. 33. τὸ σφαττόμενον. E. (non fc.) 34. λογικὰ. π. λογιστικὰ. p, f, l, E. 36. Πελοπόνησον. p.

λογία τίς; οὐκ ἔθυσα οὐ θύω οὐ θιγγάνω αἵματος, οὐδ' εἰ βώμιον αὐτὸ εἴη, Πυθαγόρας τε γὰρ
ὧδε ἐγίγνωσκεν οἵ τε ἀπ' αὐτοῦ παραπλησίως, καὶ κατ' Αἴγυπτον δὲ οἱ Γυμνοὶ καὶ Ἰνδῶν οἱ σο-
φοί, παρ' ὧν καὶ τοῖς ἀμφὶ Πυθαγόραν αἱ τῆς σοφίας ἀρχαὶ ἐφοίτησαν. κατὰ ταῦτα θύοντες οὐ
δοκοῦσιν ἀδικεῖν τοῖς θεοῖς, ἀλλὰ γηράσκειν τε αὐτοῖς ξυγχωροῦσιν ἀρτίοις τὰ σώματα καὶ ἀνόσοις,
καὶ σοφωτέροις ἀεὶ δοκεῖν μὴ τυραννεύεσθαι μηδενὸς δεῖσθαι. καὶ οὐκ ἀπεικός, οἶμαι, ἀγαθῶν
348 δεῖσθαι σφᾶς ὑπὲρ καθαρῶν θυμάτων. δοκῶ γάρ μοι καὶ τοὺς θεοὺς τὸν αὐτὸν ἐμοὶ νοῦν ὑπὲρ
θυσιῶν ἔχοντας τὰ λιβανοφόρα τῆς γῆς ἐν καθαρῷ τῆς οἰκουμένης ἐκφυτεύειν, ἵν' ἀπ' αὐτῶν θύ-
οιμεν μὴ σιδηροφοροῦντες ἐν ἱεροῖς, μηδ' αἷμα ἐς βωμοὺς ῥαίνοντες. ἐγὼ δ', ὡς ἔοικεν, ἐμαυτοῦ
καὶ τῶν θεῶν ἐκλαθόμενος ἔθυον τρόπον, ὃν μήτ' αὐτὸς εἴωθα μήτε τις ἀνθρώπων θύοι. ἀπαλ- 13
λαττέτω με τῆς αἰτίας καὶ ὁ καιρός, ὃν εἴρηκεν ὁ κατήγορος· τὴν γὰρ ἡμέραν ἐκείνην, ἐν ᾗ ταῦτα
εἰργάσθαι μοί φησιν, εἰ μὲν ἐγενόμην ἐν ἀγρῷ, ἔθυσα, εἰ δὲ ἔθυσα, καὶ ἔφαγον. εἶτά με, ὦ βα-
σιλεῦ, θαμινὰ ἐρωτᾷς, εἰ μὴ ἐπεχωρίαζον τῇ Ῥώμῃ τότε; καὶ σύ, βέλτιστε βασιλέων, ἐπεχωρίαζες,
ἀλλ' οὐκ ἂν εἴποις θῦσαι τοιαῦτα, καὶ ὁ συκοφάντης, ἀλλ' οὐχ ὁμολογήσει τὰ τῶν ἀνδροφόνων
πράττειν, εἰ κατὰ τὴν Ῥώμην διῃτᾶτο, καὶ μυριάδες ἀνθρώπων, ἃς βέλτιον ξενηλατεῖν ἢ ὑπάγειν
γραφαῖς, ἐν αἷς τεκμήριον ἀδικημάτων ἔσται τὸ ἐνταῦθα εἶναι. καίτοι τὸ ἐς τὴν Ῥώμην ἥκειν καὶ
παραιτεῖται τάχα τῆς τοῦ νεώτερα πράττειν δοκεῖν αἰτίας, τὸ γὰρ ἐν πόλει ζῆν, ἐν ᾗ πάντες μὲν
ὀφθαλμοί, πᾶσα δὲ ἀκρόασις ὄντων τε καὶ οὐκ ὄντων, οὐ ξυγχωρεῖ νεωτέρων ἅπτεσθαι τοῖς γε μὴ
λίαν θανατῶσι, τοὺς δ' εὐλαβεστέρους τε καὶ σώφρονας βραδέως ἄγει καὶ ἐφ' ἃ ἔξεστι. τί οὖν, 14
ὦ συκοφάντα, κατὰ τὴν νύκτα ἐκείνην ἔπραττον; εἰ μὲν ὡς σεαυτὸν ἐρωτᾷς, ἐπειδὴ καὶ σὺ ἐρω-
τᾶν ἥκεις, ἀγῶνας ἡτοίμαζον καὶ κατηγορίας ἐπ' ἄνδρας χρηστοὺς καὶ ἀπολεῖσθαι τοὺς οὐκ ἀδι-
κοῦντας καὶ πεῖσαι τὸν βασιλέα μὴ ἀληθῆ λέγων, ἵν' ἐγὼ μὲν εὐδοκιμοίην, μιαίνοιτο δὲ οὗτος, εἰ
δ' ὡς φιλοσόφου πυνθάνῃ, τὸν Δημοκρίτου ἐπῄνουν γέλωτα, ὃν ἐς πάντα τὰ τῶν ἀνθρώπων
349 γελᾷ, εἰ δ' ὡς ἐμοῦ, Φιλίσκος ὁ Μηλιεὺς ἐτῶν ξυμφιλοσοφήσας ἐμοὶ τεττάρων ἐνόσει τότε, καὶ
παρ' αὐτῷ ἀπεκάθευδον οὕτω διακειμένῳ χαλεπῶς, ὡς καὶ ἀποθανεῖν ὑπὸ τῆς νόσου. καίτοι πολ-
λὰς ἂν ἠυξάμην ἴυγγας ὑπὲρ τῆς ἐκείνου ψυχῆς γενέσθαι μοι, καί, νὴ Δί', εἴ τινες Ὀρφέως εἰσὶν
ὑπὲρ τῶν ἀποθανόντων μελῳδίαι, μηδ' ἐκείνας ἀγνοῆσαι, καὶ γὰρ ἄν μοι δοκῶ καὶ ὑπὸ τὴν γῆν
πορευθῆναι δι' αὐτόν, εἰ ἐφικτὰ ἦν ταῦτα· οὕτω με ἀνήρτητο πᾶσιν οἷς φιλοσόφως τε καὶ κατὰ
τὸν ἐμὸν νοῦν ἔπραττε. ταῦτ' ἔστι μέν σοι, βασιλεῦ, καὶ Τελεσίνου ἀκοῦσαι τοῦ ὑπάτου, παρῆν
γὰρ κἀκεῖνος τῷ Μηλιεῖ, θεραπεύων αὐτὸν νύκτωρ, ὁπόσα ἐγώ. εἰ δὲ Τελεσίνῳ ἀπιστεῖς, ἐπειδὴ
τῶν φιλοσοφούντων ἐστί, καλῶ τοὺς ἰατροὺς μάρτυρας, εἰσὶ δ' οὗτοι Σέλευκός τε ὁ ἐκ Κυζίκου
καὶ Στρατοκλῆς ὁ Σιδώνιος· τούτους ἐρώτα, εἰ ἀληθῆ λέγω, καὶ μαθηταὶ δ' αὐτοῖς ὑπὲρ τοὺς
τριάκοντα εἴποντο, τῶν αὐτῶν δήπου μάρτυρες, τὸ γὰρ προκαλεῖσθαι δεῦρο τοὺς τῷ Φιλίσκῳ
προσήκοντας ἀναβολὰς ἴσως ἡγήσῃ τῆς δίκης, ἐπειδὴ αὐτίκα τῆς Ῥώμης ἀπῆραν ἐς τὰ Μηλιέων
ἤθη κατὰ ὁσίαν τοῦ νεκροῦ. ἴτε, ὦ μάρτυρες, καὶ γὰρ δὴ καὶ παρήγγελται ὑμῖν ὑπὲρ τούτου·
ΜΑΡΤΥΡΕΣ. παρ' ὅσον μὲν τοίνυν τῆς ἀληθείας ἡ γραφὴ ξυνετέθη, δηλοῖ σαφῶς ἡ μαρτυρία
τῶν ἀνδρῶν, οὐ γὰρ ἐν προαστείοις, ἀλλ' ἐν ἄστει, οὐκ ἔξω τείχους, ἀλλ' ἐπ' οἰκίας, οὐδὲ παρὰ
Νερούᾳ, παρὰ Φιλίσκῳ δέ, οὐδὲ ἀποσφάττων, ἀλλ' ὑπὲρ ψυχῆς εὐχόμενος, οὐδ' ὑπὲρ βασιλείας,
ἀλλ' ὑπὲρ φιλοσοφίας, οὐδ' ἀντὶ σοῦ χειροτονῶν νεώτερον, ἀλλ' ἄνδρα σώζων ἐμαυτῷ ὅμοιον. τί 15
οὖν ὁ Ἀρκὰς ἐνταῦθα; τί δ' οἱ τῶν σφαγίων μῦθοι; τί δὲ τὸ τὰ τοιαῦτα πείθειν; ἔσται γάρ ποτε
καὶ ὃ μὴ γέγονεν, ἂν ὡς γεγονὸς κριθῇ· τὸ δ' ἀπίθανον τῆς θυσίας, ὦ βασιλεῦ, ποῖ τάξεις; ἐγέ-

1. αὐτὸ εἴη om. p. ib. γαρ om. p, f, l. 3. ταὐτὰ. f, l. 9. θύει. l. 12. ἐπερωτᾷς. f, l. 17. μὲν om. s. 20. ἀπολογεῖσθαι. π, s, a, m. ἀπολεῖσθαι. p, u, f, ψ, l, o. Fo: ἀπολέσαι. 22. ὑπῄνουν. m. 24. καὶ om. p. f, l. 25. ηὐξαίμην. p. ib. ἴυγγας. p, u, o. ὑγιείας. f, l, s, a, m. ὑγιέας. et ἴυγγας in mg. π ut etiam s, m. ib. Δία. p. 27. καὶ om. p. 28. καὶ Τελεσινοῦ βασιλεῦ. p. 32. μαρτυρεῖν. B. 35. παρόσον. f, l. 39. τὰ om. p, f, l. ib. ὅτε. o.

νοντο μὲν γὰρ καὶ πρότερον σφαγίων μάντεις ἀγαθοὶ τὴν τέχνην καὶ οἷοι ὀνομάσαι, Μεγιστίας ἐξ 350
Ἀκαρνανίας Ἀρίστανδρος ἐκ Λυκίας, Ἀμπρακία δὲ Σιλανὸν ἤνεγκε, καὶ ἐθύοντο ὁ μὲν Ἀκαρνὰν
Λεωνίδᾳ βασιλεῖ Σπάρτης, ὁ δὲ Λύκιος Ἀλεξάνδρῳ τῷ Μακεδόνι, Σιλανὸς δὲ Κύρῳ βασιλείας
ἐρῶντι, καὶ εἴ τι ἐν ἀνθρώπου σπλάγχνοις ἦ σαφέστερον ἦ σοφώτερον ἦ ἐτυμώτερον ἀπέκειτο, οὐκ
ἄπορος ἦν ἡ θυσία, βασιλέων γε παρισταμένων αὐτοῖς, οἷς πολλοὶ μὲν ἦσαν οἰνοχόοι, πολλὰ δ' 5
αἰχμάλωτα, παρανομίαι δ' ἀκίνδυνοι καὶ φύβος οὐδεὶς κατηγορίας, εἴ τι ἔσφαττον· ἀλλ', οἶμαι,
παρίστατο τοῖς ἀνδράσιν, ὃ κἀμοὶ νῦν κινδυνεύοντι ὑπὲρ τοιούτων, ὅτι τὰ μὲν ἄλογα τῶν ζῴων
εἰκός, ἐπειδὴ ἐν ἀγνοίᾳ τοῦ θανάτου σφάττεται, μὴ θολοῦσθαί τι τῶν σπλάγχνων ὑπὸ ἀξυνεσίας
ὧν πείσονται, ἄνθρωπον δὲ ἀεί τι ἐν τῇ ψυχῇ ἔχοντα θανάτου καὶ μήπω ἐφεστηκότος δεῖμα πῶς
εἰκὸς παρόντος ἤδη καὶ ἐν ὀφθαλμοῖς ὄντος δεῖξαί τι ἐπὶ τῶν σπλάγχνων μαντικὸν ἢ ὅλως εὔθυ- 10
τον; ὅτι δὲ ὀρθῶς τε καὶ κατὰ φύσιν στοχάζομαι τούτων, σκόπει, βασιλεῦ, ὧδε· τὸ ἧπαρ, ἐν ᾧ
φασι τὸν τῆς αὐτῶν μαντικῆς εἶναι τρίποδα οἱ δεινοὶ ταῦτα, ξύγκειται μὲν οὐ καθαροῦ αἵματος,
πᾶν γάρ, ὅ τι ἀκραιφνές, καρδία ἴσχει δι' αἱματηρῶν φλεβῶν ἀποχετεύουσα ἐς πᾶν τὸ σῶμα, χο-
λὴν δ' ἐπὶ ἥπατι κειμένην ὀργὴ μὲν ἀνίστησι, φόβοι δὲ ὑπάγουσιν ἐς τὰ κοῖλα τοῦ ἥπατος. ὑπὸ
μὲν δὴ τῶν παροξυνόντων ζέουσα καὶ μηδὲ τῷ ἑαυτῆς ἀγγείῳ φορητὸς οὖσα ὑπτίῳ ἐπιχεῖται τῷ 15
ἥπατι, καθ' ὃ ἐπέχει χολὴ πᾶσα τὰ λεῖά τε καὶ μαντικὰ τοῦ σπλάγχνου, ὑπὸ δὲ τῶν δειματούν-
των ξυνιζάνουσα ξυνεπισπᾶται καὶ τὸ ἐν τοῖς λείοις φῶς, ὑπονοστεῖ γὰρ τότε καὶ τὸ καθαρὸν τοῦ
αἵματος, ὑφ' οὗ σπληνοῦται τὸ ἧπαρ, ὑποτρέχοντος φύσει τὸν περὶ αὐτὸ ὑμένα καὶ τῷ πηλώδει 351
ἐπιπολάζοντος. τί οὖν, ὦ βασιλεῦ, τῆς μιαιφονίας ἔργον, εἰ ἄσημα τὰ ἱερὰ ἔσται; ἄσημα δ' αὐτὰ
ἡ ἀνθρωπεία φύσις ἐργάζεται ξυνιεῖσα τοῦ θανάτου καὶ αὐτοὶ οἱ ἀποθνήσκοντες, οἱ μὲν γὰρ εὖ- 20
ψυχοι ξὺν ὀργῇ τελευτῶσιν, οἱ δ' ἀθυμότεροι ξὺν δέει. ἔνθεν ἡ τέχνη παρὰ τοῖς οὐκ ἀνεπιστή-
μοσι βαρβάροις χιμαίρας μὲν καὶ ἄρνας ἐπαινεῖ σφάττειν, ἐπειδὴ εὐήθη τὰ ζῷα καὶ οὐ πόρρω
ἀναισθήτων, ἀλεκτρυόνας δὲ καὶ σῦς καὶ ταύρους, ἐπειδὴ θυμοειδῆ ταῦτα, οὐκ ἀξιοῖ τῶν ἑαυτῆς
ἀπορρήτων. ξυνίημι, ὦ βασιλεῦ, παροξύνων τὸν κατήγορον, ἐπειδὴ σοφώτερόν σε ἀκροατὴν εἴργα-
σμαι, καί μοι δοκεῖς καὶ προσέχειν τῷ λόγῳ. εἰ δὲ μὴ σαφῶς τι αὐτοῦ φράζοιμι, ξυγχωρῶ σοι 25
16 ἐρωτᾶν με. εἴρηταί μοι τὰ πρὸς τὴν τοῦ Αἰγυπτίου γραφήν· ἐπεὶ δ', οἶμαι, χρὴ μηδὲ τὰς Εὐφρά-
του διαβολὰς ὑπερορᾶσθαι, σύ, ὦ βασιλεῦ, δικάζοις, ὁπότερος ἡμῶν φιλοσοφεῖ μᾶλλον· οὐκοῦν ὁ
μὲν ἀγωνίζεται μὴ ταληθῆ περὶ ἐμοῦ λέγειν, ἐγὼ δ' οὐκ ἀξιῶ, καὶ ὁ μέν σε ἡγεῖται δεσπότην,
ἐγὼ δ' ἄρχοντα, καὶ ὁ μὲν ξίφος ἐπ' ἐμέ σοι δίδωσιν, ἐγὼ δὲ λόγον. ἀλλ' ὑπὲρ ὧν γε διαβέβλη-
κεν, οἱ λόγοι εἰσίν, οὓς ἐν Ἰωνίᾳ εἶπον, φησὶ δ' αὐτοὺς οὐκ ἐς τὸ σοὶ ξυμφέρον ὑπ' ἐμοῦ εἰρῆ- 30
σθαι. καίτοι τὰ μὲν λεχθέντα ἦν ὑπὲρ Μοιρῶν καὶ ἀνάγκης. παράδειγμα δ' ἐγίγνετό μοι τοῦ λόγου
τὰ τῶν βασιλέων πράγματα, ἐπειδὴ μέγιστα τῶν ἀνθρωπείων δοκεῖ τὰ ὑμέτερα, Μοιρῶν τε ἰσχὺν
ἐφιλοσόφουν καὶ τὸ οὕτως ἄτρεπτα εἶναι, ἃ κλώθουσιν, ὡς, εἰ καὶ βασιλείαν τῳ ψηφίσαιντο ἑτέρῳ
δὴ ὑπάρχουσαν, ὁ δ' ἀποκτείνειε τοῦτον, ὡς μὴ ἀφαιρεθείη ποτὲ ὑπ' αὐτοῦ τὸ ἄρχειν, κἂν ἀνα- 352
βιῴη ὁ ἀποθανὼν ὑπὲρ τῶν δοξάντων ταῖς Μοίραις. τὰς γὰρ ὑπερβολὰς τῶν λόγων ἐσαγόμεθα 35
διὰ τοὺς τοῖς πιθανοῖς ἀπειθοῦντας, ὥσπερ ἂν εἰ καὶ τοιόνδε ἔλεγον· ὅτῳ πέπρωται γενέσθαι τε-

υ ω

1. οἷον. p. 2. Σιλιανὸν. a et m. γρ. 4. ἑτοιμότερον. f, l. ἑτοιμότερον. π. (sic corr.) 8. μὴ δὲ. p, f, l. 9. ἔχοντα om. fc, a. 11. τὸ ἧπαρ — ἐπιπολάζοντος. h. 12. οἱ δεινοὶ ταῦτα om. h. ib. μὲν om. h. 13. πᾶν δὲ. h. ib. χολὴν δὲ. h. 16. καθό. p, f, l. 18. τῇ φύσει. f, l. φύσει om. h. ib. αὐτὸν. h. αὐτοῦ. E. 26. μηδὲ om. p, f, l. 28. οὐκ ἀξιῶ λέγειν. ψ. 29. ἐπ' ἐμοί. p. ib. μὲν οὖν. 1 et s pr. m. (ubi δὲ est a sec.) a, m. δ' οὖν. f, l. μὲν οὖ. B, o. Scr. δὲ λόγον. 30. σοὶ om. m, o. 31. ἐγίγνετο. C (f, l. ἐγίνετο). 32. ἀνθρώπων. m. γρ. 33. οὕτως ἄτρεπτα — ἐντεθυμῆσθαί με. E (461). ib. τῳ. f, l, m, o. ib. ἑτέρῳ. f, l, ψ, o, E. ἑτέρων. 1, s, a, m, B. 34. ἤδη. E. ib. οὐκ ἂν ἀποκτείνειέ τις. E. ib. καὶ ἀναβ. l. ib. ἀναβιῶναι. E. 35. τὰς — ἔλεγον om. E.

VIII, p. 350. 351. 352.

κτονικῷ, οὗτος, κἂν ἀποκοπῇ τὼ χεῖρε, τεκτονικὸς ἔσται, καὶ ὅτῳ νίκην ἐν Ὀλυμπίᾳ δρόμου ἆρασθαι, οὗτος, οὐδ' εἰ πηρωθείη τὸ σκέλος, ἁμαρτήσεται τῆς νίκης, καὶ ὅτῳ ἔνευσαν Μοῖραι τὸ ἐν τοξείᾳ κράτος, οὗτος, οὐδ' εἰ ἀποβάλοι τὰς ὄψεις, ἐκπεσεῖται τοῦ σκοποῦ. τὰ δὲ τῶν βασιλέων ἔλεγον ἐς τοὺς Ἀκρισίους δήπου ὁρῶν καὶ τοὺς Λαΐους Ἀστυάγη τε τὸν Μῆδον καὶ πολλοὺς ἑτέρους εὖ τίθεσθαι τὰ αὑτῶν ἐν ἀρχῇ δόξαντας, ὧν οἱ μὲν παῖδας, οἱ δὲ ἐκγόνους ἀποκτείνειν οἰηθέντες ἀφῃρέθησαν ὑπ' αὐτῶν τὸ βασιλεύειν ἀναφύντων ἐξ ἀφανοῦς ξὺν τῷ πεπρωμένῳ. καὶ εἰ μὲν ἠγάπων κολακευτικήν, εἶπον ἂν καὶ τὰ σὰ ἐντεθυμῆσθαι, ὅτε ἀπείληψο μὲν ὑπὸ Βιτελλίου ἐνταῦθα, κατεπίμπρατο δὲ ὁ νεὼς τοῦ Διὸς περὶ τὰς ὀφρῦς τοῦ ἄστεος, ὁ δ' εὖ κείσεσθαι τὸ ἑαυτοῦ ἔφασκεν, εἰ μὴ διαφύγοις αὐτόν — καίτοι μειράκιον ἱκανῶς ἦσθα καὶ οὔπω οὗτος — ἀλλ' ὅμως, ἐπειδὴ Μοίραις ἐδόκει ἕτερα, ὁ μὲν ἀπώλετο αὐταῖς βουλαῖς, σὺ δὲ τἀκείνου νῦν ἔχεις. ἐπὶ δ' ἁρμονίᾳ κολακευτικῇ ἄχθομαι, δοκεῖ γάρ μοι τῶν ἐκρύθμων τε καὶ οὐκ εὐφθόγγων εἶναι, τεμνέσθω μοι ἥδε ἡ νευρὰ καὶ μηδὲν ἧγοῦ τῶν σῶν ἐντεθυμῆσθαί με, ἀλλὰ διειλέχθαι μόνα τὰ ὑπὲρ Μοιρῶν καὶ ἀνάγκης, ταυτὶ γάρ φησιν εἰρῆσθαί μοι ἐπὶ σέ. καίτοι τὸν λόγον τοῦτον ἀνέχονται μὲν καὶ οἱ πολλοὶ τῶν θεῶν, οὐκ ἄχθεται δὲ οὐδὲ ὁ Ζεὺς ἀκούων καὶ ταῦτα τῶν ποιητῶν ἐν τοῖς Λυκίοις λόγοις

ὤμοι ἐγών, ὅτε μοι Σαρπηδόνα

καὶ τοιαῦτ' ἐς αὐτὸν ᾀδόντων, ἐν οἷς τοῦ υἱέος ἐξίστασθαί φησι ταῖς Μοίραις, λεγόντων τε αὖ ἐν ψυχοστασίᾳ, ὅτι Μίνω τὸν ἀδελφὸν τοῦ Σαρπηδόνος ἀποθανόντα χρυσῷ μὲν σκήπτρῳ ἐτίμησε καὶ
353 δικάζειν ἔταξεν ἐν τῇ τοῦ Ἀϊδωνέως ἀγορᾷ, Μοιρῶν δ' οὐ παρῃτήσατο. σὺ δ', ὦ βασιλεῦ, τοῦ χάριν ἄχθῃ τῷ λόγῳ, θεῶν καρτερούντων αὐτόν, οἷς πέπηγεν ἀεὶ τὰ πράγματα, καὶ μὴ ἀποκτεινόντων τοὺς ποιητὰς ἐπ' αὐτῷ; προσήκει γὰρ ταῖς Μοίραις ἕπεσθαι καὶ πρὸς τὰς μεταβολὰς τῶν πραγμάτων μὴ χαλεποὺς εἶναι, Σοφοκλεῖ τε μὴ ἀπιστεῖν

μόνοις οὐ γίγνεται
θεοῖσι γῆρας, οὐδὲ μὴν θανεῖν ποτε,
τὰ δ' ἄλλα συγχεῖ πάνθ' ὁ παγκρατὴς χρόνος,

ἄριστα δὴ ἀνθρώπων λέγοντι. ἐγκύκλιοι γὰρ αἱ κατ' ἀνθρώπους εὐπραγίαι καὶ ἐφήμερον, ὦ βασιλεῦ, τὸ τοῦ ὄλβου μῆκος· τἀμὰ οὗτος καὶ τὰ τούτου ἕτερος καὶ ὁ δεῖνα τὰ τοῦ δεῖνος ἔχων οὐκ ἔχει. ταῦτ' ἐννοῶν, ὦ βασιλεῦ, παῦε μὲν φυγάς, παῦε δ' αἷμα, καὶ φιλοσοφίᾳ μὲν ὅ τι βούλει χρῶ, ἀπαθὴς γὰρ ἥ γε ἀληθής, δάκρυα δὲ ἀνθρώπων ἀφαίρει, ὡς νῦν γε ἠχὼ μυρία μὲν ἐκ θαλάττης, πολλῷ δὲ πλείων ἐξ ἠπείρων φοιτᾷ θρηνούντων, ὅ τι ἑκάστῳ θρήνου ἄξιον. τὰ δὲ ἐντεῦθεν φυόμενα πλείω ὄντα ἢ ἀριθμεῖσθαι ταῖς τῶν συκοφαντῶν γλώτταις ἀνῆπται διαβαλλόντων σοί τε πάντας καὶ σέ, ὦ βασιλεῦ, πᾶσιν."

VIII Ὧδε μὲν δὴ τῷ ἀνδρὶ τὰ ἐκ παρασκευῆς εἶχεν, ἐπὶ τελευτῇ δ' εὗρον τοῦ λόγου τὰ τελευταῖα τοῦ προτέρου τὸ

1. οὕτως. Ἐ. ib. ἀποκοπῇ. p, f, l. Ἐ. ἀποκοπείη. π, E. ib. Ὀλυμπίοις. p. 3. τοξικῇ. Ἐ. ib. εὐσκόπου. ἘA (sic) εὐσκόπου. ἘB. 4. Ἀστυάγην. ἘA. ib. τὸν δήμων. π. ib. πολλοὺς ἄλλους. Ἐ. praeter A, B. 5. τὰ τοιαῦτα. π. τὰ αὐτῶν τοιαῦτα. p, 2, Ἐ. τὰ τοιαῦτα. Ἐ. ib. ἐν ἀρχῇ om. Ἐ. ib. ἐγγόνους. π. ἐγγόνους. p, 2, o. ἐκγόνους. a. ἐκδαγόνους. m. ib. ἀποκτείνειν. C. ἀποκτένειν. ἘA. ἀποκταίνειν. ἘB. ἀποκτεῖναι. E. 6. ἐπ' αὐτοὺς ἐξ ἀφανοῦς Ἐ. 7. καὶ τάδε. Ἐ. ib. ἐνθυμεῖσθαι. f, l. ib. ὑπὸ τοῦ. E ib. Βιτελλίου. s. ib. ἐνταῦθα om. Ἐ. s. ναὸς. Ἐ. ib. κεῖσθαι. f, l. 9. διαφύγῃς. p. 10. ἐπεὶ ἘA et B ex corr. fuit ἐπὶ. 11. ἁρμονία κολακευτικὴ. ἘA, B. ib. ἐκ ῥυθμῶν. f. 12. τετμήσθω. Ἐ. 14. καὶ om. p. ib. οἱ λοιποὶ. l. ib. οὐδὲ om. f, l. 16. ἐγὼ. f, l, a. 17. υἱέως. f, l, E. 20. θεὸν. a. 23. μόνοις. f, l. μόνοισιν. l, s, E. 24. θεοῖς. f, l. ib. πότε. o. 25. συγχρεῖ. l. ib. πάντα. f, l. 29. ὧν νῦν. o. 30. πλείω. a, m. ib. ἑκάστου. p, f, l. 31. γλώσσαις. f, l. 32. πάντας. B. πάντα. C, E. 33. τὰ om. l. ib. ἐπὶ τελευτῇ. π, m, o. ἐπὶ τελευτῆς. p, 2, a.

VIII, 8. p. 353.

οὐ γάρ με κτενέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι.

καὶ τὰ πρὸ τούτου ἔτι, ἀφ' ὧν τοῦτο. ἐπεὶ δὲ ἀπῆλθε τοῦ δικαστηρίου δαιμόνιόν τε καὶ οὐ ῥᾴδιον εἰπεῖν τρόπον, οὐκ ἔπαθεν ὁ τύραννος, ὅπερ οἱ πολλοὶ ᾠοντο· οἱ μὲν γὰρ ᾠοντο αὐτὸν σχέτλια 354
ὑπὲρ τούτου βοήσεσθαι καὶ δίωξιν ποιήσεσθαι τοῦ ἀνδρὸς κηρύξειν τε ἐς τὴν αὑτοῦ πᾶσαν, μηδαμοῦ παριτητέα εἶναί οἱ, ὁ δ' οὐδὲν τούτων, ἀλλ' ὥσπερ ἀγωνιζόμενος πρὸς τὴν τῶν πολλῶν δόξαν ἢ ξυνιεὶς λοιπόν, ὅτι μηδὲν ἐπὶ τὸν ἄνδρα οἱ αὔταρκες. εἰ δ' ὑπερεώρα, ξυμβαλώμεθα τοῖς ἐφεξῆς, φανείη γὰρ ἂν ξυνταραχθεὶς μᾶλλον ἢ καταφρονήσας· ἠκροᾶτο μὲν γὰρ ἑτέρας ἐπ' ἐκείνῃ IX
δίκης, πόλις δ' ἦν ἀγωνιζομένη πρὸς ἄνδρα ὑπὲρ διαθηκῶν, οἶμαι, διέφευγον δ' αὐτὸν οὐ μόνον τὰ τῶν δικαζομένων ὀνόματα, ἀλλὰ καὶ ὁ νοῦς τῆς δίκης. ἀνόητοι μὲν γὰρ αἱ ἐρωτήσεις ἦσαν, αἱ δ' ἀποκρίσεις οὐδ' ὑπὲρ ὧν ἡ κρίσις· ἃ σφόδρα ἤλεγχε τὸν τύραννον, ὡς ἐξεπέπληκτό τε καὶ
ἠπόρει δι' αὐτὸ μάλιστα τὸ πεπεῖσθαι πρὸς τῶν κολακευόντων, ὅτι μηδὲν ἂν διαφύγοι αὐτόν.

Οὕτω τὸν τύραννον διαθεὶς καὶ παίγνιον τῆς ἑαυτοῦ φιλοσοφίας ἀποφήνας τὸν Ἕλλησί τε καὶ X
βαρβάροις φοβερὸν πᾶσι πρὸ μεσημβρίας μὲν ἀπῆλθε τοῦ δικαστηρίου, περὶ δείλην δ' ἐν Δικαιαρχείᾳ ἐφάνη Δημητρίῳ τε καὶ Δάμιδι, καὶ τοῦτ' ἄρ' ἦν τὸ παρακελεύσασθαι αὐτὸν τῷ Δάμιδι μὴ περιμείναντι τὴν ἀπολογίαν πεζεῦσαι ἐς Δικαιάρχειαν. τὰ μὲν γὰρ βεβουλευμένα οὐ προὔλεγε,
τὸν δ' ἑαυτῷ ἐπιτηδειότατον ἐκέλευε πράττειν, ἃ τοῖς βεβουλευμένοις εἵπετο. ἐτύγχανε μὲν δὴ ὁ XI
Δάμις τῆς προτεραίας ἀφιγμένος καὶ τῷ Δημητρίῳ ξυγγεγονὼς ὑπὲρ τῶν πρὸ τῆς δίκης, ὁ δ' εὐ- 355
λαβέστερον ἢ τὸν ὑπὲρ Ἀπολλωνίου ἀκροώμενον εἰκὸς διατεθεὶς ἦν ὑφ' ὧν ἤκουσε, καὶ πάλιν τῆς ὑστεραίας ὑπὲρ τῶν αὐτῶν ἠρώτα, ξυναλύων αὐτῷ παρὰ τὴν θάλατταν, ἐν ᾗ τὰ περὶ τὴν Καλυψὼ μυθεύματα· ἀπεγίγνωσκον μὲν γὰρ ὡς οὐχ ἥξοντος, ἐπειδὴ τὰ τῆς τυραννίδος χαλεπὰ ἦν
πᾶσι, τὰ δ' ὑπ' αὐτοῦ προστατόμενα ἐτίμων διὰ τὴν φύσιν τοῦ ἀνδρός. ἀπειπόντες οὖν ἐκάθηντο ἐς τὸ νύμφαιον, ἐν ᾧ ὁ πίθος, λευκοῦ δ' οὗτός ἐστι λίθου ξυνέχων πηγὴν ὕδατος οὔθ' ὑπερβάλλουσαν τοῦ στομίου οὔτ', εἴ τις ἀπαντλοίη, ὑποδιδοῦσαν. διαλεχθέντες δ' ὑπὲρ τῆς φύσεως τοῦ ὕδατος οὐ μάλα ἐσπουδακότως διὰ τὴν ἐπὶ τῷ ἀνδρὶ ἀθυμίαν ἐπανῆγον τὸν λόγον ἐς τὰ πρὸ τῆς δίκης. ἀνολοφυραμένου δὲ τοῦ Δάμιδος καί τι καὶ τοιοῦτον εἰπόντος „ἆρ' ὀψόμεθά ποτε, XII
ὦ θεοί, τὸν καλόν τε καὶ ἀγαθὸν ἑταῖρον;" ἀκούσας ὁ Ἀπολλώνιος, καὶ γὰρ δὴ καὶ ἐφεστὼς ἤδη τῷ νυμφαίῳ ἐτύγχανεν, „ὄψεσθε", εἶπε „μᾶλλον δὲ ἑωράκατε." „ζῶντα;" ἔφη ὁ Δημήτριος „εἰ δὲ τεθνεῶτα, οὔπω πεπαύμεθα ἐπὶ σοὶ κλάοντες." προτείνας οὖν ὁ Ἀπολλώνιος τὴν χεῖρα „λαβοῦ μου", ἔφη „κἂν μὲν διαφύγω σε, εἴδωλόν εἰμί σοι ἐκ Φερσεφάττης ἥκον, οἷα φαίνουσιν οἱ χθόνιοι θεοὶ τοῖς ἀθυμοτέροις τὰ πένθη, εἰ δὲ ὑπομείναιμι ἁπτόμενον, πεῖθε καὶ Δάμιν ζῆν τέ με
καὶ μὴ ἀποβεβληκέναι τὸ σῶμα." οὐκέθ' οἷοι ἀπιστεῖν ἦσαν, ἀλλ' ἀναστάντες ἐξεκρέμαντο τοῦ ἀνδρὸς καὶ ἠσπάζοντο ὑπέρ τε τῆς ἀπολογίας ἡρώτων· ὁ μὲν γὰρ Δημήτριος οὐδ' ἀπολελογῆσθαι αὐτόν, ἀπολέσθαι γὰρ ἂν καὶ μὴ ἀδικοῦντα, Δάμις δ' ἀπολελογῆσθαι μέν, θᾶττον δ' ἴσως, οὐ γὰρ ἐπ' ἐκείνης γε τῆς ἡμέρας ᾤετο. ὁ δ' Ἀπολλώνιος „ἀπολελόγημαι", ἔφη „ὦ ἄνδρες, καὶ νι- 356
κῶμεν, γέγονε δέ μοι τὰ τῆς ἀπολογίας τήμερον οὐ πρὸ πολλοῦ τῆς ἡμέρας, προῆει γὰρ ἤδη ἐς
μεσημβρίαν." „πῶς οὖν" ἔφη ὁ Δημήτριος „τοσήνδε ὁδὸν ἐν σμικρῷ τῆς ἡμέρας ἤνυσας;" καὶ ὁ Ἀπολλώνιος „πλὴν κριοῦ" ἔφη „καὶ πτερῶν κηροῦ ξυγκειμένων πάντα οἷον, θεὸν ἐπιγράφων τῇ

1. κτανέεις. 1, E. 3. τὸν τρόπον. f, l. ib. ὅπερ. l. ὥσπερ. m. 4. ποιήσεσθαι. p. ποιήσασθαι. π, f, l, E. ib. αὐτοῦ. E. 5. παραιτητέα. s pr. m. a, m. ib. ἀλλὰ delendum videtur. 6. εἰ ξυνιεὶς. o. ib. ανδρά οἱ. l. 8. διεφ. αὐτὸν. l. 10. ἃ μὴ p sic. ib. ὥσπερ f sic.

13. Δικαιαρχία. p. 14. Δημητρίῳ δὲ. f, l. 15. περιμείναντα. f. l. ib. πλεῦσαι. C, E. πεζεῦσαι. J. 16. ἐκέλευσε. p. 17. πρὸ om. l. 20. τὰ om. p, f, l. 21. πραττόμενα. p. ib. τοῦ om. o. 25. ἀνολοφυραμένου. π. ἀνολοφυρομένου. p, 2, E. ib. ὀψώμεθα. s. 27. εἶπεν. p. 28. λαβοῦμαι. π. λαβοῦ μου. p, f, l. λαβοῦ μοι. E. Fo: λαβοῦ με. 34. ὦ om. l. 37. κριοῦ. π. Ἰκάρου. p.

VIII, 9. 10. 11. 12. p. 351. 355. 356.

πομπῇ ταύτῃ." „πανταχοῦ μὲν" ἦ δ' ὁ Δημήτριος „τῶν σῶν ἔργων τε καὶ λόγων θεὸν ἀεί τινα προορᾶν ἡγοῦμαι, παρ' οὗ τὰ σὰ οὕτως ἔχει, τὴν δ' ἀπολογίαν, ἥ τις γέγονε καὶ ἅττα ἡ κατηγορία εἶχε καὶ τὸ τοῦ δικάζοντος ἦθος καὶ ὅ τι ἤρετο καὶ ὅτῳ ξυγκατέθετο ἢ ὅτῳ μή, λέγε ὁμοῦ πάντα, ἵνα καὶ Τελεσίνῳ ἕκαστα φράζοιμι, οὐ γὰρ ἀνήσει ἐρωτῶν τὰ σά, ὅς γε καὶ πρὸ πεντεκαίδεκα ἴσως ἡμερῶν ἐμοὶ ξυμπίνων ἐν Ἀνθίῳ κατέδαρθε μὲν ἐπὶ τῆς τραπέζης, μεσούσης δ' αὐτῷ τῆς κύλικος ἔδοξεν ὄναρ πῦρ ἐν τῇ γῇ πελαγίσαν τοὺς μὲν ἀπολαμβάνειν τῶν ἀνθρώπων, τοὺς δὲ φθάνειν ὑποφεύγοντας, καὶ γὰρ δὴ καὶ ῥεῖν αὐτὸ παραπλησίως τῷ ὕδατι, σὲ δ' οὐχ ὅπερ οἱ πολλοὶ παθεῖν, ἀλλὰ διανεῦσαι αὐτοῦ σχισθέντος. ἐπὶ δὲ τῷ ἐνυπνίῳ τούτῳ θεοῖς εὐξυμβόλοις ἔσπεισεν ἐμοί τε παρεκελεύσατο ὑπὲρ σοῦ θαρρεῖν." καὶ ὁ Ἀπολλώνιος „οὐ θαυμάζω Τελεσῖνον" εἶπεν „ὑπερκαθεύδοντα, καὶ γὰρ δὴ καὶ ὑπερεγρήγορέ μου πάλαι, τὰ δ' ὑπὲρ τῆς δίκης πεύσεσθε μέν, οὐ μὴν ἐνταῦθα, δεῖλη τε γὰρ ἱκανῶς ἤδη καὶ βαδίζειν ὥρα ἐς ἄστυ, ἡδίους δ' οἱ καθ' ὁδὸν λόγοι παραπέμψαι βαδίζοντας. ἴωμεν οὖν διαλαλοῦντες ὑπὲρ ὧν ἐρωτᾶτε, λέξω δὲ τὰ τήμερον δήπου
357 ἐν τῷ δικαστηρίῳ πραχθέντα. τὰ γὰρ πρὸ τῆς κρίσεως ἅμφω ἴστε, σὺ μὲν παρατυχών, σὺ δ' ἠκροαμένος, οἶμαι, τούτου, μὰ Δία, οὐχ ἅπαξ, ἀλλὰ καὶ πάλιν, εἰ μὴ ἐκλέλησμαι Δημητρίου, ἃ δ' οὕπω ἴστε, δίειμι, διείρων ἀπὸ τῆς προρρήσεως καὶ τοῦ γυμνὸς ἐπελθεῖν." διῄει δὲ καὶ τοὺς ἑαυτοῦ
XIII λόγους καὶ ἐπὶ πᾶσι τὸ „οὐ γάρ με κτενέεις" καὶ τὸ ἀπελθεῖν τῆς κρίσεως, ὡς ἀπῆλθε. τότε ἀναβοήσας Δημήτριος „ἐγὼ μὲν ᾠμην σεσωσμένον ἀφῖχθαί σε, σοὶ δ' ἀρχὴ κινδύνων ταῦτα, ξυλλήψεται γάρ σε καταγγελλόμενον καὶ πάσης ἀποστροφῆς εἰργόμενον." ὁ δ' ἐρῶσθαι τῷ Δημητρίου δέει φράζων „εἰ γὰρ καὶ ὑμεῖς" εἶπεν „ὧδε αὐτῷ εὐάλωτοι ἦτε· ἀλλ' ὅπως μὲν τἀκείνου νῦν ἔχει, ἐγὼ οἶδα· κολακευόντων γὰρ ἀεὶ λόγων ἀκροατὴς γιγνόμενος νῦν ἐπιπληττόντων ἠκρόαται, ῥήγνυνται δ' ὑπὸ τῶν τοιούτων αἱ τύραννοι φύσεις καὶ περὶ ταῦτα χολῶσιν. ἐμοὶ δὲ ἀναπαύλης δεῖ γόνυ οὕπω κάμψαντι ἐκ τοῦ ἄθλου." καὶ ὁ Δάμις „ἐγώ, Δημήτριε, διεκείμην μὲν οὕτως" ἔφη „πρὸς τὰ τοῦδε τοῦ ἀνδρὸς πράγματα, ὡς καὶ τῆς ὁδοῦ ταύτης ἀπάγειν αὐτόν, ἐφ' ἧς ἥκει, ξυνεβούλευες δέ που καὶ σὺ ταῦτα, ὡς μὴ ἐς κινδύνους ἑκουσίους τε καὶ χαλεποὺς ἴοι, ἐπεὶ δ' ἐτύγχανε μὲν δεδεμένος, ὡς ἐμοὶ ἐφαίνετο, ἄπορα δ' ἡγουμένῳ τὰ περὶ αὐτὸν ἐφ' ἑαυτῷ ἔφη τὸ λελύσθαι εἶναι καὶ τὸ σκέλος ἐλευθερώσας τοῦ δεσμοῦ ἔδειξε, τότε πρῶτον κατενόησα τοῦ ἀνδρός, θεσπέσιόν τε εἶναι αὐτὸν καὶ κρείσσω τῆς ἡμεδαπῆς σοφίας· ὅθεν, εἰ καὶ χαλεπωτέροις τούτων ἐντύχοιμι, οὐδὲν ἂν δείσαιμι ὑπὸ τούτῳ καὶ κινδυνεύων. ἀλλ' ἐπειδὴ πλησίον ἐσπέρα, βαδίζωμεν ἐς τὴν καταγωγὴν ἐπιμέλειαν ποιησόμενοι τοῦ ἀνδρός." καὶ ὁ Ἀπολλώνιος „ὕπνου" ἔφη „δέομαι μόνου, τὰ δ' ἄλλα ἐν ἴσῳ τίθεμαι λόγῳ, κἂν παρῇ τι αὐτῶν, κἂν ἀπῇ." μετὰ ταῦτα εὐξάμενος Ἀπόλλωνι καὶ ἔτι τῷ Ἡλίῳ παρῆλθεν ἐς τὴν οἰκίαν, ἣν ᾤκει ὁ Δημήτριος, καὶ τὼ πόδε ἀπονιψάμενος παρακελευ-
358 σάμενός τε τοῖς ἀμφὶ τὸν Δάμιν δειπνεῖν, ἐπειδὴ ἄσιτοι αὐτῷ ἐφαίνοντο, ἔρριψεν ἐς τὴν κλίνην ἑαυτὸν καὶ ἐφυμνήσας τῷ ὕπνῳ τὸ Ὁμήρου ἔπος ἐκάθευδεν, ὡς οὐκ ἐπ' ἀξίοις φροντίσαι τοῖς παροῦσιν.

XIV Περὶ δὲ ὄρθρον ἐρομένου αὐτὸν τοῦ Δημητρίου, ποῖ τῆς γῆς τρέψοιτο, καὶ κτυπεῖσθαι δοκοῦντος τὰ ὦτα ὑπὸ ἐννοίας ἱππέων, οὓς ᾤετο ἐπικείσεσθαι ἤδη τῷ Ἀπολλωνίῳ διὰ τὴν ὀργὴν τοῦ τυράννου „διώξεται μέν," ἔφη „με οὐδὲ αὐτός, οὐδὲ ἕτερος, ἐμοὶ δὲ ἐς τὴν Ἑλλάδα ὁ πλοῦς ἔσται." „σφαλερός γε," εἶπε „τὸ γὰρ χωρίον φανερώτατον· ὃν δὲ μηδ' ἂν ἐν τῷ ἀφανεῖ διαφύ-

ω ο

2. ἡ ἀπολογία. p. 4. ἐρωτῶν. p, f, l. ἐρωτᾶν. π. ἐρωτᾶν. E. 5. κατέδραθε. f, l. 6. πελαγίσαν. π. 10. πεύσασθε. π. 14. Δία. p. 15. δίειμι om. p, f, l. ubi gl. λείπει τὸ διειμι. — τὸ δίειμι. π et m. γρ. δίειμι. o. ib. διείρω. l. ib. ἐλθεῖν. f, l. 16. κτανέεις. π, s, E. 17. σεσωσμένον. a, m. 19. αὐτοῦ. l. ib. τε ἦτε. f, l. 20. κολακευόντων — ἠκροᾶτο. h. ib. ἀκροᾶται. π, s, a, m. ἠκροᾶτο. p, f, l, o. Scr. ἠκρόαται. 21. καλύψαντι. a. 24. ἑκουσίους κινδύνους. v. 25. ἐφ' ἑαυτὸ. a. 28. καὶ om. a.

35. ὄρθρου. v. ib. στρέψοιτο. p. 36. ἐπικεῖσθαι. p, f, l. 37. με om. p. 38. σφαλερόν γε. v.

VIII, 13. 14. p. 357. 358.

γοις, πῶς ἂν ἐν τῷ φανερῷ λάθοις;" „οὐ δέομαι" ἔφη „λανθάνειν, εἰ γάρ, ὡς σὺ οἴει, τοῦ τυράννου ἡ γῆ πᾶσα, βελτίους οἱ ἐν τῷ φανερῷ ἀποθνήσκοντες τῶν ἐν τῷ ἀφανεῖ ζώντων." καὶ πρὸς τὸν Δάμιν „αἰσθάνῃ" ἔφη „νεὼς ἀφιείσης ἐς Σικελίαν;" „αἰσθάνομαι," εἶπε „καὶ γὰρ ἐπὶ θαλάττῃ καταλύομεν καὶ ὁ κηρύττων ἀγχοῦ θυρῶν, στέλλεταί τε ἡ ναῦς ἤδη· ξυμβάλλομαι δ' αὐτὸ τῇ τῶν ἐμπλεόντων βοῇ καὶ οἷς περὶ τὴν ἀναίρεσιν τῶν ἀγκυρῶν πράττουσιν." „ἐπιβῶμεν" εἶπε „τῆς νεὼς ταύτης, ὦ Δάμι, πλευσούμενοι νῦν μὲν ἐς Σικελίαν, ἐκεῖθεν δ' ἐς Πελοπόννησον." „ξυνδοκεῖ μοι," ἔφη „καὶ πλέωμεν." καὶ προσειπόντες τὸν Δημήτριον ἀθύμως ἐπ' αὐτοῖς ἔχοντα θαρρεῖν τε πείσαντες, ὡς ἄνδρα ὑπὲρ ἀνδρῶν, ἔπλευσαν ἐπὶ Σικελίας ἀνέμῳ ἐπιτηδείῳ, Μεσσήνην τε παραπλεύσαντες ἐγένοντο ἐν Ταυρομενείῳ τριταῖοι. μετὰ ταῦτ' ἐπὶ Συρακουσῶν κομισθέντες ἀνήγοντο ἐς Πελοπόννησον περὶ μετοπώρου ἀρχάς, ὑπεράραντες δὲ τοῦ πελάγους ἀφίκοντο δι' ἡμέρας ἕκτης ἐπὶ τὰς τοῦ Ἀλφειοῦ ἐκβολάς, ἀφ' ὧν ὁ ποταμὸς οὗτος Ἀδρίᾳ καὶ Σικελικῷ πελάγει 359 ἐπιχεῖται πότιμος. ἀποβάντες οὖν τῆς νεὼς καὶ πολλοῦ ἄξιον ἡγούμενοι τὸ ἐς Ὀλυμπίαν ἥκειν διητῶντο ἐν τῷ ἱερῷ τοῦ Διός, οὐδαμοῦ ὑπὲρ Σκιλλοῦντα ἀποφοιτῶντες, φήμης δ' ἀθρόας τε καὶ ξυντόνου κατασχούσης τὸ Ἑλληνικὸν ζῆν τὸν ἄνδρα καὶ ἀφῖχθαι ἐς Ὀλυμπίαν, καταρχὰς μὲν ἐδόκει μὴ ἐρρῶσθαι ὁ λόγος, πρὸς γὰρ τῷ μὴ ἐλπίδος τι ἀνθρωπείας ἐπ' αὐτῷ ἔχειν, ἐπειδὴ δεδίεσθαι αὐτὸν ἤκουσαν, οὐδὲ ἐκείνων ἀνήκοοι ἦσαν ἀποθανεῖν καταφλεχθέντα, οἱ δ' ἐλχθῆναι ζῶντα καταπαγέντων ἐς τὰς κλεῖδας αὐτοῦ ἀγκίστρων, οἱ δ' ἐῶσθαι ἐς βάραθρον, οἱ δ' ἐς βυθόν, ἐπειδὴ δὲ ἥκειν ἐπιστεύθη, οὐδ' ἐπ' Ὀλυμπιάδα οὐδεμίαν μετέωρος οὕτω ξυνῄει ἡ Ἑλλάς, ὡς ἐπ' ἐκεῖνον τότε, Ἦλις μὲν καὶ Σπάρτη αὐτόθεν, Κόρινθος δὲ ἀπὸ τῶν τοῦ Ἰσθμοῦ ὁρίων, Ἀθηναῖοι δέ, εἰ καὶ Πελοποννήσου ἔξω, ἀλλ' οὐκ ἐλείποντο τῶν πόλεων, αἱ ἐπὶ θύραις εἰσὶ τῆς Πίσης, αὐτοὶ μάλιστα οἱ ἐπικυδέστατοι Ἀθηναίων ἐς τὸ ἱερὸν στείχοντες καὶ νεότης ἡ ἐξ ἁπάσης τῆς γῆς Ἀθήναζε φοιτῶσα. καὶ μὴν καὶ Μεγαρόθεν τινὲς ἐπεχωρίασαν τῇ Ὀλυμπίᾳ τότε κἀκ Βοιωτῶν πολλοὶ κἀργόθεν Φωκέων τε καὶ Θετταλῶν ὅ τι εὐδόκιμον, οἱ μὲν ξυγγεγονότες ἤδη τῷ Ἀπολλωνίῳ ἀνακτησόμενοι σοφίαν, ἐπειδὴ πλειόνων τε καὶ θαυμασιωτέρων ἀκροάσεσθαι ᾤοντο, οἱ δ' ἄπειροι αὐτοῦ δεινὸν ἡγούμενοι τοιοῦδε ἀνδρὸς ἀνήκοοι φαίνεσθαι. πρὸς μὲν δὴ τοὺς ἐρωτῶντας, ὅτῳ τρόπῳ διαφύγοι τὸν τύραννον, οὐδὲν ᾤετο δεῖν φορτικὸν φράζειν, ἀλλ' ἀπολελογῆσθαί τε ἔφασκε 360 καὶ σεσῶσθαι, πολλῶν δ' ἐξ Ἰταλίας ἡκόντων, οἳ ἐκήρυττον τὰ ἐν τῷ δικαστηρίῳ, διέκειτο μὲν ἡ Ἑλλὰς οὐ πόρρω τοῦ προσκυνεῖν αὐτόν, θεῖον ἡγούμενοι ἄνδρα δι' αὐτὸ μάλιστα τὸ μηδ' ἐς κόμπον μηδένα ὑπὲρ αὐτῶν καθίστασθαι.

Νεανίσκου δὲ τῶν ἡκόντων Ἀθήνηθεν μάλα εὔνουν τὴν Ἀθηνᾶν εἶναι τῷ βασιλεῖ φήσαντος, XVI „πέπαυσο" εἶπεν „Ὀλυμπίασιν ὑπὲρ τούτων ἐρωτῶν καὶ διαβάλλων τὴν θεὸν τῷ πατρί. ἐπιδιδόντος δὲ τοῦ νεανίσκου τῇ ἀχθηδόνι καὶ δίκαια πράττειν τὴν θεὸν φήσαντος, ἐπειδὴ καὶ ὁ βασιλεὺς τὴν ἐπώνυμον Ἀθηναίοις ἦρξεν „εἴθε" ἔφη „καὶ ἐν Παναθηναίοις" ἐπιστομίζων αὐτὸν τῇ μὲν πρότερα τῶν ἀποκρίσεων, ὡς κακῶς εἰδότα περὶ τῶν θεῶν, εἰ τυράννοις αὐτοὺς εὔνους ἡγοῖτο, τῇ δὲ ἐφεξῆς, ὡς οὐκ ἀκόλουθα τοῖς ἐφ' Ἁρμοδίῳ καὶ Ἀριστογείτονι ψηφιζομένων Ἀθηναίων, εἰ τοὺς ἄνδρας ἐκείνους τιμᾶν ἐπ' ἀγορᾶς νομίζοντες ὑπὲρ ὧν ἐν Παναθηναίοις ἔδρασαν, τυράννοις λοιπὸν χαρίζονται τὸ κεχειροτονημένους αὐτῶν ἄρχειν. ξυμβουλεύοντος δ' αὐτῷ τοῦ Δάμιδος ὑπὲρ XVII

1. ἂν om. p. 4. αὐτῷ. l. 5. τῇ τε. f, l, v. 6. *Πελοπόνησον*. p. 8. *Μεσήνην*. p, f. 9. ἐν τῷ. p. ib. *Ταυρομενίῳ*. f, l. 10. *Πελοπόνησον*. p. ib. δι' eras. p. 12. γὰρ τῆς. v. 15. μὴ ἐρρῶσθαι. π, s, E. μηδ' ἐρρῶσθαι. p, f, l, v. 16. οὐδὲ — ἦσαν om. p. ib. ἑαθῆναι. C, E. ἑλχθῆναι. J. ad Vers. germ. 17. καταπαρέντων. p. ib. αὐτῶν. s (sed αὐτοῦ. sec. m). 18. ἐπὶ. l. ib. οὐδὲ μίαν. f, l. ib. ξυνεῖη. v. 19. μὲν γὰρ καὶ. E. 20. *Πελοποννήσου*. p. ib. *Πίσσης*. p, a. 22. κἀκ *Βοιωτῶν*. C et m. γρ. καὶ *Βοιωτῶν*. E. 23. καργόθεν. hic desinit s. 24. ἀκροάσισθαι. f, l. 26. διαφύγοι. π, m, o. διαφεύγοι. p, f, v, a. διαφεύγει. l. 28. ἐς om. p, a, m.

30. *Ἀθήνηθε*. p. 33. *Ἀθήνας*. o. ib. ἦρξεν — Παναθηναίοις om. p. ib. εἰ δὲ ἔφη. o. 35. οὐκ om. 2, a. ib. ψηφιζόμενον. 2, a. 36. ἐκείνους τιμᾶν. π. ἐκείνους. p, 2. E. ib. ἐπ' Ἀθηναίοις. v. 37. αὐτῶν. π. αὐτῶν. E.

VIII, 15. 16. 17. p. 359. 360.

χρημάτων, ἐπειδὴ τῶν ἐφοδίων σφίσι πάνυ σμικρὰ ἐλείπετο „αὔριον" ἔφη „τούτου ἐπιμελήσομαι." καὶ παρελθὼν τῇ ὑστεραίᾳ ἐς τὸ ἱερὸν „δός", εἶπεν, ὦ ἱερεῦ „χιλίας μοι δραχμὰς ἀπὸ τῶν τοῦ Διὸς χρημάτων, εἰ μὴ σφόδρα οἴει χαλεπανεῖν αὐτόν." καὶ ὁ ἱερεὺς „οὐχ ὑπὲρ τούτων" ἔφη „χαλεπανεῖ, ἀλλὰ μᾶλλον, εἰ μὴ πλείω λήψῃ."

XVIII 8 Θετταλοῦ δὲ ἀνδρός, ᾧ ὄνομα Ἰσαγόρας, ξυνόντος αὐτῷ ἐν Ὀλυμπίᾳ „εἰπέ μοι" ἔφη „ὦ
361 Ἰσαγόρα, ἔστι τι πανήγυρις;" „νὴ Δί'," εἶπε „τό γε ἥδιστον καὶ θεοφιλέστατον τῶν κατ' ἀνθρώπους." „τίς δὲ δὴ ὕλη τούτου; ὥσπερ ἂν εἰ ἐγὼ μὲν ἠρόμην ὑπὲρ ὕλης τοῦδε τοῦ ἀγάλματος, σὺ δ' ἀπεκρίνου χρυσοῦ καὶ ἐλέφαντος ξυντεθῆναι αὐτό." „καὶ τίς" ἔφη „ὕλη, Ἀπολλώνιε, τοῦ γε ἀσωμάτου;" „μεγίστη" εἶπε „καὶ ποικιλωτάτη, τεμένη τε γὰρ ἐν αὐτῇ καὶ ἱερὰ καὶ δρύμοι καὶ
10 σκηνὴ δήπου, ἔθνη τε ἀνθρώπων τὰ μὲν ἐκ τῆς ὁμόρου, τὰ δὲ ἐκ τῶν ὑπερορίων τε καὶ ὑπὲρ θάλατταν." καὶ μὴν καὶ τεχνῶν πλείστων αὐτὴν ξυγκεῖσθαι καὶ σοφισμάτων σοφίας τε ἀληθινῆς καὶ ποιητῶν καὶ ξυμβουλιῶν καὶ διαλέξεων γυμνῆς τε ἀγωνίας καὶ μουσικῆς, ὡς Πυθοῖ πάτριον. „ἔοικεν," ἔφη „Ἀπολλώνιε, οὐ μόνον σωματοειδὲς εἶναι ἡ πανήγυρις, ἀλλὰ καὶ θαυμασιωτέρας ὕλης ἢ αἱ πόλεις, τὰ γὰρ τῶν σπουδαίων σπουδαιότατα καὶ τὰ τῶν ἐλλογίμων ἐλλογιμώτατα ξυγκαλεῖ
15 καὶ ξυνοικίζει." „ἆρ' οὖν," εἶπεν „ὦ Ἰσαγόρα, καθάπερ ἔνιοι τείχη καὶ ναῦς ἡγοῦνται, τοὺς ἄνδρας ἡγησόμεθα, ἢ ἑτέρας ἐπ' αὐτοῖς δέῃ δόξης;" „τελεία," ἔφη „ὦ Τυανεῦ, ἥδε ἡ δόξα καὶ δίκαιον ἕπεσθαι αὐτῇ." „καὶ μὴν ἀτελὴς" εἶπεν „ἐνθυμουμένῳ περὶ αὐτῆς ὃν ἐγὼ τρόπον· δοκοῦσι γάρ μοι καὶ νῆες ἀνδρῶν δεῖσθαι καὶ ἄνδρες νηῶν καὶ μηδ' ἂν ἐνθυμηθῆναί ποτε ἀνθρώπους τὴν θάλατταν, εἰ μὴ ναῦς ἦν, σώζειν τε ἄνδρας μὲν τείχη, τείχη δὲ ἄνδρας, πανήγυρις δὲ
362 20 κατὰ τὸν αὐτὸν λόγον εἶναι μὲν καὶ ἡ τῶν ἀνδρῶν ξύνοδος, εἶναι δὲ καὶ αὐτὸ τὸ χωρίον, ἐς ὃ χρὴ ξυνιέναι, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τείχη μὲν καὶ νῆες οὐδ' ἂν ἐγένοντο, εἰ μὴ δι' ἀνθρώπων χεῖρας, τὰ δὲ χωρία ταῦτα ὑπὸ χειρῶν μὲν ἀνθρωπείων ἐφθάρη τὸ αὐτοσχέδια μὴ εἶναι ἀφαιρεθέντα, φύσεως δ' εὖ ἥκοντα ἐπάξια τοῦ ξυμφοιτᾶν ἐς αὐτὰ ἐνομίσθη, γυμνάσια μὲν γὰρ καὶ στοαὶ καὶ κρῆναι καὶ οἶκοι, τέχνῃ ταῦτα ἀνθρωπεία εἰργάσθη, καθάπερ τὰ τείχη καὶ αἱ νῆες, Ἄλφειὸς
25 δὲ οὗτος καὶ ἱππόδρομος καὶ στάδιον καὶ ἄλση πρὸ ἀνθρώπων δήπου ἐγένετο, ὁ μὲν ἀποχρῶν ποτὸν εἶναι καὶ λουτρόν, ὁ δ' εὐρὺ πεδίον ἐναγωνίσασθαι τοῖς ἵπποις, τὸ δ' ἐγκονίσασθαι καὶ διαδραμεῖν ἀθληταῖς διὰ τὸ παρέχεσθαί τινα ὄρον, αὐλῶνα σταδίου μῆκος, τὰ δὲ ἄλση στεφανῶσαι τοὺς νικῶντας καὶ τοὺς δρομικοὺς τῶν ἀθλητῶν γυμνάσαι. ταῦτα γάρ που καὶ Ἡρακλεῖ ἐνθυμηθέντι καὶ τὸ αὐτοφυὲς τῆς Ὀλυμπίας ἀγασθέντι ἐπάξιος ἐφάνη ὁ χῶρος τῶν ἔτι νῦν σπουδαζομέ-
30 νων ἐνταῦθα."

XIX Ἡμερῶν δὲ τετταράκοντα διαλεχθεὶς ἐν Ὀλυμπίᾳ καὶ πλεῖστα σπουδάσας „καὶ κατὰ πόλεις μὲν" ἔφη „διαλέξομαι ὑμῖν, ἄνδρες Ἕλληνες, ἐν πανηγύρεσιν ἐν πομπαῖς ἐν μυστηρίοις ἐν θυσίαις ἐν σπονδαῖς — ἀστείου δὲ ἀνδρὸς δέονται — νῦν δὲ ἐς Λεβάδειαν χρὴ καταβῆναί με, ἐπεὶ τῷ Τροφωνίῳ μήπω ξυγγέγονα καίτοι ἐπιφοιτήσας ποτὲ τῷ ἱερῷ." καὶ εἰπὼν ταῦτα ἐχώρει δὴ ἐπ'
35 Ἀρκαδίας οὐδενὸς λειπομένου τῶν θαυμαζόντων αὐτόν. τὸ δ' ἐν Λεβαδείᾳ στόμιον ἀνάκειται μὲν
363 Τροφωνίῳ τῷ Ἀπόλλωνος ἐσβατὸν μόνον τοῖς ὑπὲρ χρησμῶν φοιτῶσιν, ὁρᾶται δ' οὐκ ἐν τῷ ἱερῷ, μικρὸν δ' ἄνω τοῦ ἱεροῦ ἐν γηλόφῳ, ξυγκλείουσι δ' αὐτὸ σιδήρεοι ὀβελίσκοι κύκλῳ περιβάλλοντες.

1. πάνυ σφίσι. p. 3. χαλεπανεῖν. π. χαλεπαίνειν. p, 2, E. 4. χαλεπανεῖ. C. χαλεπαίνει. E.
5. ὦ om. l. 6. Δία. p. ib. φιλόθεον. v. 8. ἀπεκρίνου. 1, m, o. ἀπεκρίνω. 2, a. 10. ὑπερορίων. C, B. ὑπὲρ ὁρίων. E (non fc). 11. πλείστων αὐτὴν. 1. πλείστων εἰκὸς αὐτὴν. 2. E. 15. ἡγοῦνται τὰς πανηγύρεις. o. 16. ἡγησώμεθα. m, o. ib. ἐπ' αὐταῖς. o. ib. δόξης. C. δέοι δόξης. E. Scr. δέῃ δόξης. ib. τελείας. 2, a. 18. ἀνθρώποις. p, 2, a. 19. ἦν. 1. ᾖ. 2, E. ib. μὲν om. a. 20. δὲ αὐτὸ. m, o. 21. ὅσον. v. ib. κἂν νῆες. a. 22. χεῖρας. π, m. γρ. et o. χρείας. 2, a. χειρὸς. p ex corr. et u. ib. διεφθάρη. l. 23. γὰρ om. p. 24. ἀνθρώπου. v. 26. ὁ δ'. C. ὅδ'. E. Scr. τὸ δ'. ib. ἀγκονίσασθαι. p. ib. καὶ . . . . αδραμεῖν. fc, a. ib. ὁρῶν. π. ubi ὄρον suprasc.
31. Ὀλυμπίοις. p. ib. σπ. κατὰ. p, v. 32. εἶπε. v. 33. ἐν σπονδαῖς. 2, a, o. ἐν σπουδαῖς. π, m. ἐν σπονδαῖς ἐν σπουδαῖς. p, u. 34. φοιτήσας. a. 35. Fo: ἐπὶ Βοιωτίας. 36. μόνον. 1 et m. γρ. μόνοις. 2, E.

VIII, 18. 19. p. 361. 362. 363.

ἡ δὲ κάθοδος οἵα ἰζήσαντα ἐπισπάσασθαι. λευκῇ δ' ἐσθῆτι ἐσταλμένοι πέμπονται μελιτούττας ἀπάγοντες ἐν ταῖν χεροῖν μειλίγματα ἑρπετῶν, ἃ τοῖς κατιοῦσιν ἐγχρίπτει. ἀναδίδωσι δ' ἡ γῆ τοὺς μὲν οὐ πόρρω, τοὺς δὲ πορρωτάτω, καὶ γὰρ ὑπὲρ Λοκροὺς ἀναπέμπονται καὶ ὑπὲρ Φωκέας, οἱ δὲ πλεῖστοι περὶ τὰ Βοιωτῶν ὅρια. παρελθὼν οὖν ἐς τὸ ἱερὸν „βούλομαι" ἔφη „καταβῆναι ὑπὲρ φιλοσοφίας." ἀντιλεγόντων δὲ τιῶν ἱερέων καὶ πρὸς μὲν τοὺς πολλοὺς λεγόντων, μὴ ἄν ποτε γόητι ἀνθρώπῳ παρασχεῖν ἔλεγχον τοῦ ἱεροῦ, πρὸς δὲ τὸν ἄνδρα πλαττομένων ἀποφράδας καὶ οὐ καθαρὰς χρῆσαι, τὴν μὲν ἡμέραν ἐκείνην διελέχθη περὶ τὰς πηγὰς τῆς Ἐρκύνης ὑπὲρ αἰτίας τοῦ μαντείου καὶ τρόπου, μόνον γὰρ ἐκεῖνο δι' αὐτοῦ χρᾷ τοῦ χρωμένου, ἑσπέρα δ' ὡς ἐγένετο, ἐλθὼν ἐπὶ τὸ στόμιον μετὰ τῶν ξυνακολουθούντων νέων καὶ τέτταρας τῶν ὀβελίσκων ἀνασπάσας, οἳ ξυνέχουσι τὰς τῆς παρόδου κλεῖδας, ἐχώρει ὑποχθόνιος αὐτῷ τρίβωνι, καθάπερ ἐς διάλεξιν ἑαυτὸν στείλας, οὕτω τι τῷ θεῷ φίλα πράττων, ὡς ἐπιστάντα τοῖς ἱερεῦσι τὸν Τροφώνιον ἐς ἐπίπληξίν τε αὐτοῖς καταστῆναι ὑπὲρ τοῦ ἀνδρὸς ἐς Αὐλίδα τε ἕπεσθαι κελεῦσαι πάντας, ὡς ἐκεῖ ἀναδυσομένου θαυμασιώτατα ἀνθρώπων. ἀνέσχε γὰρ δι' ἡμερῶν ἑπτά, ὅσων μήπω τις τῶν ὑπελθόντων τὸ μαντεῖον, φέρων βιβλίον προσφορώτατον τῇ ἐρωτήσει. ὁ μὲν γὰρ κατῆλθεν εἰπὼν „τίνα, ὦ Τροφώνιε, καὶ σὺ τὴν ἀρετήν τε καὶ καθαρωτάτην φιλοσοφίαν ἠγῇ;" τὸ δὲ βιβλίον τὰς Πυθαγόρου εἶχε δόξας, ὡς καὶ τοῦ μαντείου τῇ σοφίᾳ ταύτῃ ξυντιθεμένου. ἀνάκειται τὸ βιβλίον τοῦτο ἐν Ἀνθίῳ καὶ σπουδάζεται διὰ τὴν αἰτίαν, τὸ δὲ Ἄνθιον Ἰταλῶν τῶν ἐπὶ θαλάττῃ. ταῦτα μὲν δὴ καὶ τῶν Λεράδειαν οἰκούντων ξυγχωρῶ ἀκροᾶσθαι. περὶ δὲ τοῦ βιβλίου τούτου γνώμη ἀποπεφάνθωμοι, διακομισθῆναι μὲν αὐτὸ βασιλεῖ Ἀδριανῷ ὕστερον, ὅτε δὴ καί τινας τῶν τοῦ Ἀπολλωνίου ἐπιστολῶν, οὐ γὰρ δὴ πάσας γε, καταμεῖναι δὲ ἐς τὰ βασίλεια τὰ ἐν τῷ Ἀνθίῳ, οἷς μάλιστα δὴ τῶν περὶ τὴν Ἰταλίαν βασιλείων ἔχαιρεν.

Ἀφίκοντο δ' αὐτῷ κἀξ Ἰωνίας οἱ ὁμιληταὶ πάντες, οὓς ὠνόμαζεν Ἀπολλωνιείους ἡ Ἑλλάς, καὶ ξυμμιχθέντες τοῖς αὐτόθεν νεύτης ἐγένοντο θαυμάσαι ἄξιοι τοῦ πλήθους καὶ τῆς ἐς τὸ φιλοσοφεῖν ὁρμῆς. ῥητορικὴ μὲν γὰρ ἀπέκειτο ἀμελουμένη καὶ σμικρὰ προσεῖχον τοῖς τὴν τέχνην ξυγκροτοῦσιν, ὡς μόνης διδασκάλου τῆς γλώττης, ὠθίζοντο δὲ ἐπὶ τὴν ἐκείνου φιλοσοφίαν πάντες. ὁ δ', ὥσπερ τοὺς Γύγας φασὶ καὶ τοὺς Κροίσους ἀκλείστους παρέχειν τὰς τῶν θησαυρῶν θύρας, ἵν' ἀπαντλεῖν εἴη τοῖς δεομένοις, οὕτω παρεῖχε τὴν ἑαυτοῦ σοφίαν τοῖς ἐρῶσι, περὶ παντὸς ἐρωτᾶν ξυγχωρῶν. διαβαλλόντων δ' αὐτὸν ἐνίων, ὅτι τὰς τῶν ἡγεμόνων ἐπιδημίας ἐκτρέποιτο καὶ ἀπάγοι τοὺς ἀκροατὰς ἐς τὰς ἡσυχίας μᾶλλον, καί τινος ἀποσκώψαντος μετελαύνειν αὐτὸν τὰ πρόβατα, ἐπειδὰν τοὺς ἀγοραίους προσιόντας μάθῃ, „νὴ Δί'," εἶπεν „ἵνα μὴ ἐμπίπτωσι τῇ ποίμνῃ οἱ λύκοι." τί δ' ἐβούλετο αὐτῷ τοῦτο; τοὺς ἀγοραίους ὁρῶν ἀποβλεπομένους ὑπὸ τῶν πολλῶν καὶ προιόντας ἐκ πενίας ἐς πλοῦτον ἀπεχθείας τε οὕτως ἀσπαζομένους, ὡς αὐτὸ τὸ ἀπέχθεσθαι πωλεῖν ἀπῆγε τοὺς νέους τοῦ ξυνεῖναί σφισι καὶ τοὺς ξυγγενομένους αὐτοῖς ἐνουθέτει πικρότερον, οἷον ἀποπλύνων βαφῆς ἀτόπου· διεβέβλητο μὲν γὰρ πρὸς αὐτοὺς καὶ τὸν ἄλλον χρόνον, ὑπὸ δὲ τῶν ἐν τῇ Ῥώμῃ δεσμωτηρίων καὶ τῶν δεδεμένων τε καὶ ἀπολλυμένων οὕτω διετέθη πρὸς τὴν

1. ἡ δὲ ἡ. v. ib. ἀπάγοντες. C. ἐπάγοντες. E. 6. καθαροὺς. o. 7. διειλέχθη. E. 8. αὐτὸ. f. al. m. corr. αὐτὸ. l. 12. τοῦ om. v. ib. ἐς δ' Αὐλίδα. p. 13. ὅσον. π. et ω suprasc. ὅσον. v. 15. τὴν ἀρετήν τε. π. τήν τε ἀρετὴν. p, 2, a, m τήν τε ἀρίστην. o. Fo: τὴν ἀρτιωτάτην τε. 16. δόξας εἶχεν. 2. 17. Ἀνθίῳ. π. Ἀντίῳ ex Ἀνθίῳ. l. ib. ἐν ἐπὶ. a, m. 18. γρ. ἀκροᾶσθαι. π. ἀκροάσασθαι. p, 2, E. ib. ἀπεφάνθη. p. 19. ὅτε δὴ. a, m. ib. δὴ om. l.

22. αὐτῷ. a, m. ib. ὠνόμαζεν. C. ὠνόμαζον. E. ib. Ἀπολλωνιείους. π. Ἀπολλωνείους. p. u. Ἀπολλωνίους. f, o. Ἀπολλωνίου. l, v, r, a, m. ib. ἡ Ἑλλὰς. C, o. ἡκιάς. fc, a, m. 23. νεότης ἐγένετο — ὁρμῆς. Φ (335, a, 17). 26. γίγας. l. ib. κατὰ τοὺς. v. 27. τοῖς ἐρῶσι. p. τοῖς ἐρωτῶσι. π, 2, E. ib. πᾶν. v. 29. ἀπάγει. E. 30. Δία. p. 31. οἱ λύκοι. C. λύκοι. E. 33. αὐτῶν. π. αὐτῶν. p, 2, E. 34. γραφῆς. v. 35. ἐν τῇ. 1. ἐν. 2, E. ib. οὕτω om. fc, a. ib. διετίθετο. a, m. ubi γρ. διετέθη.

VIII, 20. 21. 22. p. 361. 365.

τέχνην, ὡς πάντα ταῦτα τῶν συκοφαντούντων καὶ τῶν δεινότητι ἐπηρμένων ἡγεῖσθαι μᾶλλον ἢ τοῦ τυράννου.

XXIII Περὶ δὲ τὸν χρόνον, ὃν τῇ Ἑλλάδι ἐνεσπούδαζεν, ἐπεῖχε τὸν οὐρανὸν διοσημία τοιαύτη· τὸν τοῦ ἡλίου κύκλον περιελθὼν στέφανος ἐοικὼς ἴριδι τὴν ἀκτῖνα ἡμαύρου. ὅτι μὲν δὴ ἐς νεώτερα ἡ διοσημία ἔφερε, δῆλα ἦν πᾶσιν, ὁ δ' ἄρχων τῆς Ἑλλάδος καλέσας αὐτὸν ἐξ Ἀθηνῶν ἐς Βοιωτίαν „ἀκούω σε," εἶπεν „Ἀπολλώνιε, σοφὸν εἶναι τὰ δαιμόνια." „εἴ γε" ἔφη „ἀκούεις, ὅτι καὶ τὰ ἀνθρώπεια." „ἀκούω" εἶπε „καὶ ξύμφημι." „ἐπεὶ τοίνυν" ἔφη „ξυνομολογεῖς, μὴ πολυπραγμόνει θεῶν βουλάς, τουτὶ γὰρ ἡ τῶν ἀνθρώπων σοφία ἐπαινεῖ." ἐπεὶ δὲ ἐλιπάρει τὸν Ἀπολλώνιον εἰπεῖν, ὅπη διανοεῖται, δεδιέναι γὰρ μὴ ἐς νύκτα μεταστῇ πάντα, „θάρρει," ἔφη „ἔσται γάρ τι ἐκ τῆς νυκτὸς ταύτης φῶς."

XXIV Μετὰ ταῦθ' ὁ μέν, ἐπειδὴ τῶν κατὰ τὴν Ἑλλάδα ἱκανῶς εἶχε δυοῖν ἐνδιατρίψας ἐτοῖν, ἔπλει ἐς Ἰωνίαν ξυνεπομένης αὐτῷ τῆς ἑταιρείας, καὶ τὸν μὲν πλείω χρόνον ἐφιλοσόφει περὶ τὴν Σμύρναν τε καὶ τὴν Ἔφεσον, ἐπιὼν καὶ τὰς ἄλλας καὶ ἐν οὐδεμιᾷ τῶν πόλεων ἀηδὴς εἶναι δοκῶν. ἀλλὰ καὶ πυθεῖσθαι ἄξιος καὶ κέρδος μέγα τοῖς δεξιοῖς.

XXV Εὐθουν δὲ οἱ θεοὶ Δομετιανὸν ἤδη τῆς τῶν ἀνθρώπων προεδρίας. ἔτυχε μὲν γὰρ Κλήμεντα
366 ἀπεκτονὼς ἄνδρα ὕπατον, ᾧ τὴν ἀδελφὴν τὴν ἑαυτοῦ ἐδεδώκει, πρόσταγμα δ' ἐπεποίητο περὶ τὴν τρίτην ἢ τετάρτην ἡμέραν τοῦ φόνου κἀκείνην ἐς ἀνδρὸς φοιτᾶν· Στέφανος τοίνυν ἀπελεύθερος τῆς γυναικός, ὃν ἐδήλου τὸ τῆς διοσημίας σχῆμα, εἴτε τὸν τεθνεῶτα ἐνθυμηθείς, εἴτε πάντας, ὥρμησε μὲν ἴσα τοῖς ἐλευθερωτάτοις Ἀθηναίοις ἐπὶ τὸν τύραννον, ξίφος δ' ὑφείρας τῷ τῆς ἀριστερᾶς πήχει καὶ τὴν χεῖρα ἐπιδέσμοις ἀναλαβὼν οἷον κατεαγυῖαν ἀπιόντι τοῦ δικαστηρίου προσελθὼν „δέομαί σου", ἔφη „βασιλεῦ, μόνου, μεγάλα γάρ, ὑπὲρ ὧν ἀκούσῃ. οὐκ ἀπαξιώσαντος δὲ τοῦ τυράννου τὴν ἀκρόασιν ἀπολαβὼν αὐτὸν ἐς τὸν ἀνδρῶνα, οὗ τὰ βασίλεια „οὐ τέθνηκεν" εἶπεν „ὁ πολεμιώτατός σοι Κλήμης, ὡς σὺ οἴει, ἀλλ' ἔστιν οὗ ἐγὼ οἶδα, καὶ ξυντάττει ἑαυτὸν ἐπὶ σέ." μέγα δ' αὐτοῦ βοήσαντος περὶ ὧν ἤκουσε, τεταραγμένῳ προσπεσὼν ὁ Στέφανος καὶ τὸ ξίφος τῆς ἐσκευασμένης χειρὸς ἀνασπάσας διῆκε τοῦ μηροῦ πρὸς μὲν τὸν αὐτίκα θάνατον οὐ καιρίαν, πρὸς δὲ τὸν μετὰ ταῦτα οὐκ ἄκαιρον. ὁ δ' ἐρρωμένος μὲν καὶ ἄλλως τὸ σῶμα, γεγονὼς δὲ περὶ τὰ πέντε καὶ τετταράκοντα ἔτη ξυνεπλάκη τρωθείς, καὶ καταβαλὼν τὸν Στέφανον ἐπέκειτο τοὺς ὀφθαλμοὺς ὀρύττων καὶ τὰς παρειὰς ξυντρίβων πυθμένι χρυσῆς κύλικος αὐτοῦ κειμένης περὶ τὰ ἱερά, ἐκάλει δὲ καὶ τὴν Ἀθηνᾶν ἀρωγόν. συνέντες οὖν οἱ δορυφόροι κακῶς πράττοντος ἐσῆλθον
XXVI ἀθρόοι καὶ τὸν τύραννον ἀπέκτειναν λειποθυμοῦντα ἤδη. ταῦτ' ἐπράττετο μὲν κατὰ τὴν Ῥώμην, ἐωρᾶτο δ' Ἀπολλωνίῳ κατὰ τὴν Ἔφεσον. διαλεγόμενος γὰρ περὶ τὰ τῶν ξυστῶν ἄλση κατὰ μεσημ-
367 βρίαν, ὅτε δὴ καὶ τὰ ἐν τοῖς βασιλείοις ἐγίγνετο, πρῶτον μὲν ὑφῆκε τῆς φωνῆς, οἷον δείσας, εἶτ' ἐλλιπέστερον ἢ κατὰ τὴν ἑαυτοῦ δύναμιν ἡρμήνευσεν ἴσα τοῖς μεταξὺ λόγων διορῶσί τι ἕτερον, εἶτα ἐσιώπησεν, ὥσπερ οἱ τῶν λόγων ἐκπεσόντες, βλέψας τε δεινὸν ἐς τὴν γῆν καὶ προβὰς τρία ἢ τέτταρα τῶν βημάτων „παῖε τὸν τύραννον, παῖε" ἐβόα, οὐχ ὥσπερ ἐκ κατόπτρου τινὸς εἴδωλον

1. ὃν τῇ. π. ὃν ἐν τῇ. p, 2, E. ib. διοσημεία. π, 2. 4. νεώτερα. C. νεώτερον. E. 5. διοσημεία. π. 2. 6. ἀκούω σου. v. ib. ὅτι om. a. 9. ὅπη. 1, f, l. ὅ, τι. v. ὅποι. E. ib. ἔστι. p.

13. καὶ ἐν οὐδεμιᾷ — ἄξιος. Φ (335, a, 18). ib. ἀηδὴς εἶναι. p. ἀηδὴς. π, 2, E, Φ. 14. ποθῆσθαι. π. sed m. γρ. ποθῆς. ποθῆσαι. Φ praeter A, B.

15. δὲ om. fc, a, m. ib. οἱ om. o. ib. τὸν Δομετιανὸν. v. 16. ὑπ' αὐτὸν. f, l. ib. τὴν ἑαυτοῦ ἀδελφὴν. f, l. ἀδελφιδῆν. conj. o. ib. τὴν om. E. 18. διοσημείας. f, l. 19. ἐλευθερωτάτοις Ἀθηναίοις. l. ἐλ. ποτε Ἀθ. 2. E. ib. ὑφόρας. a. 21. ἀκούσῃ. π. ἀκροάσῃ. p. 2, E. ib. ἀξιώσαντος. f. al. m. ἀξιώσαντος. l. ἐπαξιώσαντος. v.

23. οὗ ἐγὼ οἶδα. π, m, o. εὖ ἐγὼ οἶδα. p, 2, a. 30. ἔπραττον . p. (sic.) ἔπραττε. a. 32. ἐν τοῖς βα ... π. sic explicit.

VIII, 23. 24. 25. 26. p. 366. 367.

ἀληθείας ἔλκων, ἀλλ' αὐτὰ ὁρῶν καὶ ξυλλαμβάνειν δοκῶν τὰ δρώμενα. ἐκπεπληγμένης δὲ τῆς Ἐφέσου, παρῆν γὰρ διαλεγομένῳ πᾶσα, ἐπισχὼν ὅσον οἱ διορῶντες, ἔστ' ἂν γένηταί τι τῶν ἀμφιβόλων τέλος „θαρρεῖτε", εἶπεν „ὦ ἄνδρες, ὁ γὰρ τύραννος ἀπέσφακται τήμερον. τί λέγω τήμερον; ἄρτι, νὴ τὴν Ἀθηνᾶν, ἄρτι, περὶ τὸν καιρὸν τῶν ῥημάτων, οἷς ἐπεσιώπησα." μανίαν δὲ ταῦθ' ἡγουμένων τῶν κατὰ τὴν Ἔφεσον καὶ βουλομένων μὲν αὐτὸν ἀληθεύειν, δεδιότων δὲ τὸν τῆς ἀκροάσεως κίνδυνον „οὐ θαυμάζω" ἔφη „τῶν μήπω προσδεχομένων τὸν λόγον, ὃν μηδ' ἡ Ῥώμη γιγνώσκει πᾶσα· ἀλλ' ἰδοὺ γιγνώσκει, διαφοιτᾷ γάρ, καὶ πιστεύουσι μὲν ἤδη μύριοι, πηδῶσι δ' ὑφ' ἡδονῆς δὶς τόσοι καὶ διπλάσιοι τούτων καὶ τετραπλάσιοι καὶ πάντες οἱ ἐκείνῃ δῆμοι. ἀφίξεται τουτὶ τὸ ῥῆμα καὶ δεῦρο, καὶ τὸ μὲν θύειν ὑμᾶς ἐπ' αὐτοῖς ἀναβεβλήσθω ἐς καιρόν, ὃν ἀπαγγελθήσεται ταῦτα, ἐγὼ δὲ εἰμι προσευξόμενος τοῖς θεοῖς ὑπὲρ ὧν εἶδον." ἔτ' ἀπιστουμένων τούτων ἦλθον οἱ τῶν εὐαγγελίων δρόμοι μάρτυρες τῆς σοφίας τοῦ ἀνδρός, καὶ γὰρ ἡ τοῦ τυράννου σφαγὴ καὶ ἡ τοῦτο ἐνεγκοῦσα ἡμέρα καὶ ἡ μεσημβρία καὶ οἱ κτείνοντες, πρὸς οὓς ἡ παρακέλευσις, οὕτως εἶχεν, ὡς οἱ θεοὶ τούτων ἕκαστα διαλεγομένῳ τῷ ἀνδρὶ ἀνέφαινον. XXVII

Τριάκοντα δ' ἡμέραις μετὰ ταῦτα ἐπιστείλαντος αὐτῷ τοῦ Νερούα τὴν μὲν ἀρχὴν ἤδη τῶν Ῥωμαίων ἔχειν θεῶν τε βουλαῖς κἀκείνου, κατασχεῖν δ' ἂν αὐτὴν ῥᾷον, εἰ ξύμβουλος αὐτῷ ἔλθοι, τὸ μὲν αὐτίκα ἐκεῖνο γράφει πρὸς αὐτὸν αἴνιγμα· „ξυνεσόμεθα, ὦ βασιλεῦ, χρόνον ἀλλήλοις πλεῖ- 368
„στον, ὃν μήτε ἡμεῖς ἑτέρου, μήτ' ἄλλος ἡμῶν ἄρξει" συνιεὶς ἴσως ἑαυτοῦ τε, ὡς μετ' οὐ πολὺ μεταστησομένου ἀνθρώπων, Νερούα τε, ὡς χρόνον βραχὺν ἄρξοντος, ἐς ἐνιαυτὸν γὰρ καὶ μῆνας τέτταρας τὰ τῆς βασιλείας αὐτῷ προὔβη σωφρονεστάτῳ δόξαντι· ἵνα δὲ μὴ ἀμελῶν φαίνοιτο φίλου τε ἀγαθοῦ καὶ ἄρχοντος, ξυνέθηκε μετὰ ταῦτα πρὸς αὐτὸν ἐπιστολὴν ξύμβουλον τῶν ἀρχικῶν καὶ καλέσας τὸν Δάμιν „σοῦ" ἔφη „δεῖται ταῦτα, τὰ γὰρ ἀπόρρητα τῆς ἐπιστολῆς γέγραπται μὲν πρὸς τὸν βασιλέα, ἔστι δ' οἷα ἢ ὑπ' ἐμοῦ λέγεσθαι ἢ διὰ σοῦ." καὶ ὑψὲ ὁ Δάμις ξυνεῖναί φησι τῆς τέχνης, τὴν μὲν γὰρ ἐπιστολὴν ἄριστά τε αὐτῷ καὶ ὑπὲρ μεγάλων ξυγγεγράφθαι, πεμφθῆναι δ' ἂν καὶ δι' ἑτέρου. τίς οὖν ἡ τέχνη τοῦ ἀνδρός; πάντα τὸν χρόνον, ὃν ἐβίω, λέγεται θαμὰ ἐπιφθέγγεσθαι „λάθε βιώσας, εἰ δὲ μὴ δύναιο, λάθε ἀποβιώσας." ἀπάγων οὖν ἑαυτοῦ τὸν Δάμιν, ἵνα μὴ ὑπὸ μάρτυσι καταλύοι, τὴν ἐπιστολὴν ἐσκήψατο καὶ τὸ ἀναφοιτῆσαι αὐτὸν ἐς τὴν Ῥώμην. αὐτὸς μὲν δὴ παθεῖν τι ἀπιὼν αὐτοῦ φησιν οὐδὲ εἰδὼς τὰ μέλλοντα, τὸν δ' εὖ εἰδότα μηδὲν μέν οἱ εἰπεῖν, ὥσπερ εἰώθασιν οἱ μηκέτ' ἀλλήλους ὀψόμενοι, τοσοῦτον αὐτῷ περιεῖναι τοῦ πεπεῖσθαι, ὅτι ἀεὶ ἔσται, παρεγγυῆσαι δὲ ὧδε· „ὦ Δάμι, κἂν ἐπὶ σεαυτοῦ φιλοσοφῇς, ἐμὲ ὅρα." XXVIII

Τὰ μὲν δὴ ἐς Ἀπολλώνιον τὸν Τυανέα Δάμιδι τῷ Ἀσσυρίῳ ἀναγεγραμμένα ἐς τόνδε τὸν λόγον τελευτᾷ, περὶ γὰρ τρόπου, καθ' ὃν ἐτελεύτα, εἴγε ἐτελεύτα, πλείους μὲν λόγοι, Δάμιδι δὲ οὐδεὶς εἴρηται, ἐμοὶ δὲ οὐδὲ τοῦτο χρὴ παραλελεῖφθαι, δεῖ γάρ που τὸν λόγον ἔχειν τὸ ἑαυτοῦ πέρας. οὐδ' ὑπὲρ ἡλικίας τοῦ ἀνδρὸς εἴρηται οὐδὲν τῷ Δάμιδι, ἀλλὰ τοῖς μὲν ὀγδοήκοντα, τοῖς δ' ὑπὲρ τὰ ἐνενήκοντα, τοῖς δὲ καὶ πρόσω τῶν ἑκατὸν ἐλθεῖν γηράσκων πᾶν τὸ σῶμα καὶ ἄρτιος, νεότητος δὲ ἡδίων. ἔστι γάρ τις ὥρα καὶ περὶ ῥυτίσιν, ἣ μάλιστα περὶ ἐκεῖνον ἤνθησεν, ὡς εἰκόνες τε δηλοῦσι τἀνδρὸς ἐν τῷ Τυανάδε ἱερῷ καὶ λόγοι μᾶλλον ὑμνοῦντες τὸ Ἀπολλωνίου γῆρας ἢ 369

1. δοκῶν om. fc, a, m. 4. ἐπεσιώπησα. p, f, l, a, m. ἐσιώπα. v. ἀπεσιώπησα. o. 5. ἀληθεύειν αὐτὸν μέν. p. ἀληθεύειν αὐτὸν. 2, E. Sc: μὲν αὐτὸν ἀληθεύειν. 7. πηδῶσιν ὑφ' ἡδονῆς. 2. 8. διπλάσιον. v. ib. οἱ ἐν ἐκείνῃ. p. οἱ ἐκεῖνοι. v. 9. μὲν μὴ θύειν. f, l, a, m.

16. ἐκεῖνος. o. 17. ἄρξει. C, B. ἄρξοι. E. ib. συνιεὶς. l. ξυνιεὶς. E. 24. τοῦ ἀνδρὸς. C. τἀνδρὸς. E. 26. μάρτυρι. v. ib. καταλύη. p. ib. ἐσκήψατο. C. ἐσκέψατο. E. 27. αὐτοῦ. C. αὐτὸς. E, et fc, ubi φησιν αὐτὸς. 29. ὦ Δάμι. v. (β α)

30. ἐς τόνδε — τελευτᾷ, εἴγε ἐτελεύτα. περὶ γὰρ. m sic transposita. 31. περὶ — ἐτελεύτα om. l. ib. ἐτελεύτησε. p. 33. τοῦ ἀνδρὸς. C. τἀνδρὸς. E. 34. ἐννενήκοντα. m, o. ib. γηράσκων πᾶν. C, E. Fo: ἀκέραιος ὤν. ib. ἄρτιον. v. 36. τοῦ ἀνδρὸς. C. τάνδρος. E. ib. Τυάναδ'. p ex corr.

XXX τὴν Ἀλκιβιάδου ποτὲ νεότητα. τελευτῆσαι δ' αὐτὸν οἱ μὲν ἐν Ἐφέσῳ θεραπευόμενον ὑπὸ δυοῖν ὀμωαῖν, τεθνάναι γὰρ ἤδη οἱ ἀπελεύθεροι, περὶ ὧν κατ' ἀρχὰς εἶπον, ἐλευθερώσαντα δὲ τὴν ἑτέραν αἰτίαν πρὸς τῆς ἑτέρας ἔχειν, ἐπεὶ μὴ τῶν αὐτῶν ἠξίωτο, τὸν δ' Ἀπολλώνιον „καὶ δουλεύσαι" φάναι „προσήκει σὲ αὐτῇ, τουτὶ γάρ σοι ἀγαθοῦ ἄρξει." τελευτήσαντος οὖν ἡ μὲν δουλεύειν ἐκείνῃ, ἡ δ' ἐκ μικρᾶς αἰτίας ἀποδύσθαι αὐτὴν καπήλῳ, παρ' οὗ πρίασθαί τις οὐδ' εὐπρεπῆ οὖσαν, ἀλλ' ἐρῶν οὗτος καὶ χρηματιστὴς ἱκανὸς ὢν γυναῖκά τε ἀνειπεῖν καὶ παῖδας ἐξ αὐτῆς ἐγγράψαι. οἱ δ' ἐν Λίνδῳ τελευτῆσαι αὐτὸν παρελθόντα ἐς τὸ ἱερὸν τῆς Ἀθηνᾶς καὶ ἔσω ἀφανισθέντα, οἱ δ' ἐν Κρήτῃ φασὶ θαυμασιώτερον ἢ οἱ ἐν Λίνδῳ· διατρίβειν μὲν γὰρ ἐν τῇ Κρήτῃ τὸν Ἀπολλώνιον μᾶλλον ἢ πρὸ τούτου θαυμαζόμενον, ἀφικέσθαι δ' ἐς τὸ ἱερὸν τῆς Δικτύννης ἀωρί, φυ-
370 λακὴ δὲ τῷ ἱερῷ κυνῶν ἐπιτέτακται φρουροὶ τοῦ ἐν αὐτῷ πλούτου, καὶ ἀξιοῦσιν αὐτοὺς οἱ Κρῆτες μήτε τῶν ἄρκτων μήτε τῶν ὧδε ἀγρίων λείπεσθαι, οἱ δ' οὔθ' ὑλακτεῖν ἥκοντα σαίνειν τε αὐτὸν προσιόντες, ὡς μηδὲ τοὺς ἄγαν ἐθάδας. οἱ μὲν δὴ τοῦ ἱεροῦ προιστάμενοι ξυλλαβόντες αὐτὸν ὡς γόητα καὶ λῃστὴν δῆσαι μείλιγμα τοῖς κυσὶ προβεβλῆσθαί τι ὑπ' αὐτοῦ φάσκοντες, ὁ δ' ἀμφὶ μέσας νύκτας ἑαυτὸν λῦσαι, καλέσας δὲ τοὺς δήσαντας, ὡς μὴ λάθοι, δραμεῖν ἐπὶ τὰς τοῦ ἱεροῦ θύρας, αἱ δ' ἀνεπετάσθησαν, παρελθόντος δὲ ἔσω τὰς μὲν θύρας ξυνελθεῖν, ὥσπερ ἐκέκλειντο, βοὴν δὲ ᾄδουσῶν παρθένων ἐκπεσεῖν. τὸ δὲ ᾆσμα ἦν· „στεῖχε γᾶς, στεῖχε ἐς οὐρανόν, στεῖχε." οἷον· ἴθι ἐκ τῆς γῆς ἄνω.

XXXI Περὶ ψυχῆς δέ, ὡς ἀθάνατος εἴη, ἐφιλοσόφει ἔτι, διδάσκων μέν, ὅτι ἀληθὴς ὁ ὑπὲρ αὐτῆς λόγος, πολυπραγμονεῖν δὲ μὴ ξυγχωρῶν τὰ ὧδε μεγάλα· ἀφίκετο μὲν γὰρ ἐς τὰ Τύανα μειράκιον θρασὺ περὶ τὰς ἔριδας καὶ μὴ ξυντιθέμενον ἀληθεῖ λόγῳ, τοῦ δὲ Ἀπολλωνίου ἐξ ἀνθρώπων μὲν ἤδη ὄντος, θαυμαζομένου δ' ἐπὶ τῇ μεταβολῇ καὶ μηδ' ἀντιλέξαι θαρροῦντος μηδενός, ὡς οὐκ ἀθάνατος εἴη, λόγοι μὲν οἱ πλείους ὑπὲρ ψυχῆς ἐγίγνοντο, καὶ γὰρ νεότης τις ἦν αὐτόθι σοφίας ἐρῶντες, τὸ δὲ μειράκιον οὐδαμῶς τῇ τῆς ψυχῆς ἀθανασίᾳ ξυντιθέμενον „ἐγώ", ἔφη „ὦ παρόντες, τουτονὶ μῆνα δέκατον Ἀπολλωνίῳ διατελῶ εὐχόμενος ἀναφῆναί μοι τὸν ὑπὲρ ψυχῆς λόγον, ὁ δ' οὕτω τέθνηκεν, ὡς μηδ' ἐφίστασθαι δεομένῳ, μηδ', ὡς ἀθάνατος εἴη, πείθειν." τοιαῦτα μὲν τὸ μειράκιον τότε, πέμπτῃ δὲ ἀπ' ἐκείνης ἡμέρᾳ περὶ τῶν αὐτῶν σπουδάσαν κατέδαρθε μὲν οὐ
371 διελέγετο, τῶν δὲ ξυσπουδαζόντων νέων οἱ μὲν πρὸς βιβλίοις ἦσαν, οἱ δ' ἐσπούδαζον γεωμετρικοὺς ἐπιχαράττοντες τύπους τῇ γῇ, τὸ δ', ὥσπερ ἐμμανές, ἀναπηδῆσαν ὠμόυπνον ἱδρῶτί τε πολλῷ ἐρρεῖτο καὶ ἐβόα „πείθομαί σοι." ἐρομένων δ' αὐτὸ τῶν παρόντων, ὅ τι πέπονθεν, „οὐχ ὁρᾶτε" ἔφη
30 „ὑμεῖς Ἀπολλώνιον τὸν σοφόν, ὡς παρατυγχάνει τε ἡμῖν ἐπακροώμενος τοῦ λόγου καὶ περὶ ψυχῆς ῥαψῳδεῖ θαυμάσια;" „ποῦ δ' οὗτος;" ἔφασαν „ὡς ἡμῖν γε οὐδαμοῦ φαίνεται καίτοι βουλομένοις ἂν τοῦτο μᾶλλον ἢ τὰ πάντων ἀνθρώπων ἀγαθὰ ἔχειν." καὶ τὸ μειράκιον „ἔοικεν ἐμοὶ μόνῳ διαλεξόμενος ἥκειν ὑπὲρ ὧν μὴ ἐπίστευον· ἀκούετ' οὖν, οἷα τῷ λόγῳ ἐπιθειάζει·

ἀθάνατος ψυχὴ κοὐ χρῆμα σόν, ἀλλὰ προνοίας,
35 *ἥ μετὰ σῶμα μαρανθέν, ἀτ' ἐκ δεσμῶν θοὸς ἵππος,*
ῥηιδίως προθοροῦσα κεράννυται ἠέρι κούφῳ
δεινὴν καὶ πολύτλητον ἀποστέρξασα λατρείην·

1. ἐν om. v, a, m. 4. σεαυτῇ. f, l. 5. αὐτὸν. f, l. 7. Λίνδων. v. 8. ἢ ἐν. p, v, l. ib. γὰρ om. a, m.

9. Δικτύννης. l, a, m. 11. αὐτὸν om. 2. 15. δὲ εἴσω. p, v. δ' om. l. ib. ἐκέκληντο. v. ἐκέκλιντο. a. 16. ᾄδουσαν παρθένον. l. ib. στεῖχε, στεῖχε εἰς οὐρανόν, στεῖχε. E. (464).

18. ὁ om. v. ib. περὶ αὐτῆς. p. 19. δὲ καὶ ξυγχωρεῖν. fc, a, m. 22. ὑπὲρ ψυχῆς οἱ πλείους. v. ib. τίς. a. τὶς. m, o. 24. περὶ ψυχῆς. p. 25. τεθναίη. C, E. τέθνηκεν. J. ad Vers. germ. ib. μήθ' ὡς. f, l. 26. περισπουδασάντων. fc, a, m. 27. δὲ ..... ξυσπουδαζόντων. a sic cum lacuna. 28. τόπους. m. 31. γε om. v. 32. διαλεγόμενον. p. 33. ἐπιθειάζει. C. ἐπιθιάζοι. E. 34. ἡ ψυχὴ. 2. ib. προνοίας. p. προνοίης. 2, E. 36. κούφῃ. l, v.

VIII, 30. 31. p. 370. 371.

σοὶ δὲ τί τῶνδ' ὄφελος, ὅ ποτ' οὐκέτ' ἐὼν τότε δόξεις;
ἦ τί μετὰ ζῳοῖσιν ἐὼν περὶ τῶνδε ματεύεις;

καὶ σαφὴς οὗτος Ἀπολλωνίου τρίπους ἕστηκεν ὑπὲρ τῶν τῆς ψυχῆς ἀπορρήτων, ἵν' εὔθυμοί τε καὶ τὴν αὑτῶν φύσιν εἰδότες, οἷ τάττουσι Μοῖραι, πορευοίμεθα. τάφῳ μὲν οὖν ἢ ψευδοταφίῳ τοῦ ἀνδρὸς οὐδαμοῦ προστυχὼν οἶδα καίτοι τῆς γῆς, ὁπόση ἐστίν, ἐπελθὼν πλείστην, λόγοις δὲ παν- 5
ταχοῦ δαιμονίοις, καὶ ἱερὰ Τύανάδε βασιλείοις ἐκπεποιημένα τέλεσιν· οὐδὲ γὰρ βασιλεῖς ἀπηξίουν 372
αὐτὸν ὧν αὐτοὶ ἠξιοῦντο.

1. δὴ. 2, a. ib. *ἰὼν.* a, m. 2. *μαστεύεις.* C. 4. *αὐτῶν.* a, m. ib. *πορευόμεθα.* a, m. ib. *τἀνδρὸς.* E. 5. *οὐδαμῶς.* f. ib. *λόγοι — δαιμόνιοι καὶ ἱερὰ.* B. 6. *Τύανα δὲ.* C, E. *Τυάναδε.* B. 7. *ὧν καὶ.* f. ib. *ἠσπάζοντο.* l.

NOTAE

IN

PHILOSTRATI LIBROS DE TYANENSI APOLLONIO.

NOTAE

IN

PHILOSTRATI LIBROS DE TYANENSI APOLLONIO.

I.

1, 2. Particulam ποτὲ ad utrumque colon pertinet, ut vertendum sit: Pythagoram olim fuisse nondum Ionem, sed Euphorbum inter Trojanos. — Adscripsit B.: »Revocavimus versionem interpretis Rhinuccini. Nam Aldus et alii perperam: »Ionem quidem minime fuisse.“ Sententia est, olim fuisse Euphorbum Troem, tandem autem annis volventibus post varias μετεμψυχώσεις Pythagoram fuisse Ionem sive Samium. Samii enim Iones. Noster p. 387. ed. M. καὶ Μνησαρχίδῃ τῷ Σαμίῳ σοφὸς ἐκ βαρβάρου καὶ Ἴων ἐκ Τρωός. Loquitur de Pythagora.“ — ib. cf. Il. ρ 51 et Iambl. c. 14. vit. Pythag. τῶν Ὁμηρικῶν στίχων μάλιστα ἐκείνους ἐξύμνει — καὶ πυκνῶς ἀνεφώνει τοὺς ἐπιταφίους ἑαυτοῦ. Ultima vulgo perperam versa interpretaberis: crebro eos appellabat sepulcrales versus suos. — 3. Ad Θνησιδίων B.: „Interpres et Budaeus vertunt: *morticina materia*. Et Suidas: Θνησίδειον (sic) νεκρόν. Hesychius: Θνησίδιον, νεκριμαῖον. Sed videtur Pythagoras non solum ab ovis morticinae, sed omni omnino lana abstinuisse. Ph. p. 387. ed. M. ἐσθῆτά τε, ἣν ἀπὸ Θνησιδίων οἱ πολλοὶ φοροῦσιν, οὐ καθαρὰν εἶναι φήσας λίνον ἠμπίσχετο. Plut. de Is. et Os. τὸ δὲ λίνον φύεται ἐξ ἀθανάτου τῆς γῆς. Linum ex immortali terra nascitur. Lana vero ex pecore mortali.“ — 6. De commercio cum diis vide Procl. in Alcib. p. 9. in Tim. IV, 248. Iambl. de myst. 4. et quae praeterea collegit Lobeck Aglaoph. 104. — 8. B ad ἑαυτῷ: „Ita et Suidas, videtur tamen legendum αὐτῷ. Nempe enim dicit hos alios, (τοὺς ἐπαινοῦντας) de Pythagora memorare, non ipsum de se.“ — 13. Id. ad σιωπᾶν λόγος: „Claudianus de Consulatu Mallii Theodori: Quicquid Democritus risit dixitque tacendo Pythagoras.“ — 14. βαδίσαι cf. ad constructionem Her. 746. ποταμοὶ καὶ δαίμονες ἔρχονται τὴν Μαιῶτιν καὶ τὸν Πόντον, ad metaphoram 4, 26. βαίνων ἐπὶ τοῦ λόγου. — 15. »Color ex Hom. Il. χ, 9. τίπτε με — διώκεις αὐτὸς θνητὸς ἐὼν θεὸν ἄμβροτον;“ Bo. — 16. Lectio κόρη est concinnior et excusationem habet a trochaco in quarto pede hexametri admisso, cf. Empedocl. vs. 163. ed. Karsten. p. 104.

2, 8. B: „Male Suidas ὡς μὴ σοφόν. Noster p. 270. ed. M. Θαυμασιουργίας καὶ βιαίου τέχνης μὴ δεῖσθαι σοφόν.“ — 10. De hoc itinere consule C. F. Hermann, Geschichte und System der Platonischen Philosophie I, p. 51—57. qui ipsius Platonis testimonio docet, nil arcanae sapientiae eum a sacerdotibus Aegyptiis percepisse. Cum Nostro faciunt Olympiodorus, Appulejus, Lucanus, Quintilianus, ibid. laudati. — 14. προὔλεγε· ταῦτα ἐκ μετεώρου σοφίας οὐκ ἀπὸ μαγγανείας, ὡς Ἀπολλώνιος. διὸ καὶ ὁ μὲν ἐθαυμάζετο ὁ Ἀναξαγόρας, ὁ δὲ ἐβδελύσσετο πρὸς ἅπαντα μὲν (dele μὲν) ὁ Ἀπολλώνιος. f, s. — 15. Diog. L. II, 10. De domo quis praeter Ph. narraverit, ignotum. — 17. Ad ποταμοὺς B.: „Edd. priores ποταμοῦ. Sed Αἰγὸς ποταμοὶ dicitur urbs in Hellesponto. Correxerat etiam Salmasius.“ — 20. Idem ad ἄγνοιαν. „Ita Ms. Lutet. et interpres Latinus et supra Philost. οὔπω οἱ ἄνθρωποι γιγνώσκουσιν. Suidas tamen et Editio Aldina ἄνοιαν, stultitiam.“ — 25. Id. ad παρ' οὗς: „Sic restitui, ut et Salm. Ita παρὰ τὸν νόμον, Act. Apost. 18, 13. Pr. ed. παρ' οἷς.“ — 26. Δάμις· τούτου τοῦ Δάμιδος ὡς ἀθέου Λουκιανὸς (καὶ Λ. s) μέμνηται. f. s. Schol. ridiculo errore respicit Luc. Jup. Trag. §. 16. et alios locos.

3, 5. Ad Νινίῳ B.: „Et Edit. pr. et Suidas in Δάμις habent Νίνῳ. Sine dubio tamen legendum Νινίῳ (ut et Salmasius in libri sui margine adnotavit) ex Stephano et aliis. Νίνιος ὁ πολίτης τῆς Νίνου, civis Ninius.“ — 7. De Moeragene vide Prooemium. — 12. Ἑλλάς. Colonia erat Caracallae Caesaris cf. num. apud Mionett. Descr. IV, nr. 232. — 13. cf. Eus. 440. — 14. Locus est Od. δ 456. — 21. ἐκπεπόνηται. vide exitum huius vitae. — 22. ἀφικομένη· ὥρα τὴν σύνταξιν· ἀφικομένης ἔδει. f, s. — 27. Ridet haec Eus. 439. ficta ad similitudinem nascentis Apollinis apud Callimachum h. in Delum 249. f, s. — 30. ὕδωρ ὀρκίου Διός. cf. Paus. V, 24, 2. Alteram lectionem tuearis ex 48, 19. Asbamaeum tangit Amm. Marc. XXIII, 6. fortasse nostrum locum respiciens. Male autem huc referunt Mannert Geogr. VI, 2, 264. et Hisely Disput. de historia Cappadociae, quae Strabo XII, 536. de lacco

aquae salsae prope Cataoniam narrat. – 31. *ὁ θερμαινόμενος λέβης* est apud Hom. Od. *μ* 237.

4, 1. Similia vide apud Cr. S. III, 826. – 3. *οἱ μὲν δὴ ἐγχώριοι· ἀνατροπὴ.* f, s. – 4. *Διὸς* ut alter Hercules *ἀλεξίκακος* aut Apollo. cf. 159, 14. – 6. *ὀφθαλμοί – ἐφέροντο.* Compara Ev. Luc. II, 52. – 7. *περίβλεπτος.* Ut Alexander Pseudom. apud Luc. §. 5. – 8. *Εὐθύδημον.* „Alius est orator insignis, qui fuit Mylasis natus, de quo Strab. XIV, 659 (453)." Ol. Nobis videtur idem esse, aetas et studia conveniunt, de patria potuit errare Philostr. – 15. cf. V. S. 569. – 17. *ἀπεσπούδαζε· ἀντὶ τοῦ ἔξω σπουδῆς ἐποιεῖτο.* f, s. – 20. *οἱ ὄρνιθες· τοὺς ψιττακοὺς λέγει.* f, s. Picam salutantem super limen de cavea intrantes habet Petron. c. 28. vide et Mart. VII, 87. XIV, 76. Pers. Prolog. 8. laudatos Bekkero Gall. I, 74. – 22. *διακείμενοι· διάθεσιν ἔχοντες.* f, s. *μελετώμενοι· ἀντὶ τοῦ διδασκόμενοι.* f, s. – 25. *ἄλλως τε κἂν· μάλιστα.* f, s. – 26. *βαίνων ὑπὸ τοῦ λόγου· ἀντὶ τοῦ ῥυθμιζόμενος, προκόπτων, προαγόμενος, μετεωριζόμενος ὑπὸ τοῦ λόγου ἤτοι τῶν μαθημάτων.* f, s.

5, 7. *τραγήματα· καὶ μὲν* (fo. *μὴν*) *τραγήματα πυκνοτέραις ἀναθυμιάσεσι πλέον ἀνθρώπου θολοῦσι τὸν νοῦν καὶ πρὸς ἀργίαν ὑπαλείφουσιν. ἐρίβινθος μὲν καὶ φακοὶ μελαγχολικῷ τῷ χυμῷ, κύαμοι δέ, εἰ μήπω τῷ πυθαγορικῷ ζήλῳ βδελυκτοὶ ἐφαίνοντο, παχέως αἵματα τῇ γενέσει τε καὶ ἐπιβλύσει . . .* f. – 8. cf. Iambl. V. P. p. 36 et 230. ed. K. – 11. cf. Jambl. V. P. p. 312. – 23. Ad *ἐναντία τ. ν. πρ.* B. „Interpres vertit: Tu vero omnia facis, quae morbo penitus adversantur, quo nihil dici potest quod magis adversetur autoris menti, *πράττειν τῇ νόσῳ* hic accipio ut *πράττειν Φιλίππῳ, Λεσβίοις, Λακεδαιμονίοις.*" Debuit B. laudare locos ut Dem. adv. Neaer. §. 56. *τὰ πρόσφορα τῇ νόσῳ φέρουσαι.* et quae notavi Gymnast. p. 33. – 26. *εἰσελθόντος αὐτόν· ἀντὶ τοῦ καταλαβόντος.* f, s. Et paullo ante *διδούς· ἀντὶ τοῦ προσέχων.* f. – 27. *ἤγαγεν· ἀλλ' οὐχ ὁ ἐμὸς οὕτω Χριστὸς οὐδὲ διαίτῃ προμηθούμενος τὰ τῆς ὑγιείας, ἀλλὰ τῷ μὲν λεπρῷ „θέλω" φησὶ „καθαρίσθητι· καὶ „ἐγερθεὶς" ἄλλῳ πάλιν „ἆρον τὸν κράβατον, καὶ τῷ κωφῷ „διανοίχθητι". ὡσαύτως καὶ οἱ μαθηταὶ αὐτοῦ „ἀνάστα καὶ στῆθι ἐπὶ τοὺς πόδας σου." ἀλλ' οὐκ ἐκ φυλακῆς τῶν βλαπτόντων τὴν ῥῶσιν προμνηστευόμενος.* f.

6, 11. *περόναις· περόναις γὰρ τὸ παλαιὸν ἐχρῶντο αἱ γυναῖκες, αἷς συνῆπτον τὰ πρὸς τῷ στήθει μέρη τῆς γυναικείας πόρπης.* f, s. – ib. *τὸ μέτριον.* De hoc praecepto vide Anaximenis Rhet. c. 2. – 18. *τὰ ὀφειλόμενα.* cf. Plat. Alcib. II, 142. Iambl. V. P. p. 302. – 22. *ἐσφοιτᾶν· καθ' ὑπερβιβασμόν· εἰς ἱερά.* f, s. – 25. *Σαρδόνων.* Huet.: „Sardonia urbs Indiae, unde fortasse *Σάρδονοι* vel *Σαρδόνιοι*, Ptol. vel a Sardibus urbe." Placet illa explicatio, quamvis *Σάρδιων* restituant Olear. ad h. l. Faber ad Anacr. od. 2. Boiss. ad Eun. 448. nisi cogitaverit de Sardinia Apollonius et ipsa aurifera. – 29. *ἀγορὰν ἦγεν. ἀντὶ τοῦ ἀγορανόμος ἦν.* f, s. Recte correxit hanc expl. jam Ol.

7, 2. *ἐπιρρήτων· λείπει πραγμάτων. ἡ σύνταξις δὲ οὕτως· καὶ κατὰ τί γὰρ τῶν ἀσελγῶν τε καὶ ἐπιρρήτων πραγμάτων οὐκ ὢν ἐλάττων.* f, s. Veram lectionem *ἐλίττων* illustro ex Ael. H. A. V, 38. ubi dicitur luscinia captiva *ποικίλα τε ἀναμέλπειν καὶ τακερῶς ἐλίττειν τὸ μέλος.* – ib. *ταυρηδὸν ὑπυβλ.* est ex Pl. Phaedone 117, b. – 6. *ξὺν Ἀρχελάῳ.* Vide Dionem C. LVII, 17. p. 863. ed. Reim. ac Tac. A. II, 41. Legati, de quo hic agitur, nulla apud historicos mentio. – 24. *ἄνω βαίνων.* ut est apud Soph. Aj. 1230. *ὑφὴλ' ἐκόμπεις κἀπ' ἄκρων ὠδοιπόρεις.* – 26. De Anaxagora cf. Diog. L. II, 9. cum Menagii notis. de Cratete eundem VI, 87. Suidae excerpta h. l. recepit Cedrenus 278. ed. B. – 29. Pythagorae dictum celebrat Jambl. p. 98. ed. K. – 31. *Σοφοκλέους.* vid. Pl. Rep. I, 329, b.

8, 2. Res haec tangitur V. S. 570. – 10. *δοκίμῳ κ. ἐγ. ἀντὶ τοῦ γενναίᾳ καὶ μηδὲν ὕπτιον ἐχούσῃ.* f, s. – 13. cf. Schneidewin ad Simonidem. p. 194. – 19. ex Od. *ν*, 18. De suo addit Ap. verba *τε καὶ γλῶττα.* — 30. *τρίτη.* „Pamphyliae prima Perga, secunda Side. Divisa Pamphylia Side metropolis Pamphyliae secundae facta est, Aspendus secunda, ut legitur in *τάξει προκαθεδρίας* episcoporum ex ed. Beveregii." Ol.

9, 3. Similia habet Suet. Tib. 58. collegit Spanh. de U. et P. N. I, 20. Nimirum Tiberium ipsum sub specie Jovis Olympii cultum fuisse ab Antiochenis eorum numi ostendunt, cf. C. O. Müller Antiqu. Antioch. 286. inde vilissima adulatio ad alios populos fluxisse videtur. – 8. In altaribus deposuerunt tiliones, quos antea praesidi intenderant. – 13. *φωνὴν – ῥῆξαι.* ex Dem. Ph. III. §. 61. – 20. *μεγάλῃ.* „metropoles appellabant *μεγάλας*." Ol. – 21. De hoc templo vid. Müller. l. c. 246, sqq. – ib. Assyrios Ph. cum Syris confundit. – 22. De transformatione Daphnae hic facta egit Arrianus apud Eustath. ad Dionys Per. 918. – 23. Illas cupressos illustrant Eust. l. c. et Liban. p. 351. aliique a Muellero l. c. 250. laudati. – 25. Cyparissum juvenem Cretensem, qui ad Orontem veniens in arborem cognominem mutatus est, Labes apud Serv. ad Virg. Aen. III, 680. Aliam fabulam sequitur Ovid. Met. X, 105. – 26. *νεανικώτερον. σημείωσαι ἀντὶ τοῦ κατὰ νεανικὴν ἀβρότητα, φιλόμυθος γὰρ ἡ νεότης.* f, s. — 33. *τὰ ὁμιλούμενα. τὰ θορυβώδη.* f, s. – 34. *κλιστά.* Nota ionismum. – 36. *εἰ – εἴη.* Male haec Mueller ad Antiochiam retulit, l. c. 235. – 35. *ἴσως Πυθαγορείους λέγει διὰ τὴν τετρακτύν.* f, s.

10, 7. ἀνίστατο. Apollonius cum sedens disseruisset apud sacerdotes et discipulos, publicas orationes stans habebat. cf. infra p. 59, 9. V. S. 519. et Eunap. ed. Boiss. p. 82. ὁ δὲ ἀπὸ τῆς καθέδρας – διαλεχθεὶς – ἀνέστη θαρραλέως ἐπὶ τὸν ἀγῶνα. – 9. De unctione ante lotionem cf. Bekker Gallus II, 46. Etiam Plato Legg. VI, 761. balnea calida vocat γεροντικά. – ἀ. ἐς αὐτὰ h. e. cum Antiochenorum civitati balneis interdictum esset. – 13. διθυραμβώδη. συνθέτοις ὀνόμασι σεμνυνομένην καὶ ἐκτοπωτάτοις πλάσμασι ποικιλλομένην. τοιοῦτοι γὰρ οἱ διθύραμβοι ἅτε Διονυσίων τελετῶν ἀφορμημένων. διθύραμβος δὲ ὁ Διόνυσος παρὰ τὸ δὶς (ἀπὸ δὶς, f.) βεβηκέναι τὴν θύραν τοῦ βίου. πρότερον μὲν τῆς μητρὸς εἶτα καὶ τοῦ Διὸς τοῦ μηροῦ. f, s. – 13. φλεγμαίνουσαν. hinc sumsit flosculum Psellus Opusc. ed. Boiss. 49. – φλεγμαίνουσαν λέγει τὴν ὑπέρσεμνον οἷα ἡ Θουκυδίδου, λεπτολογίᾳ δὲ οἱονεὶ περιττότητι χρώμενος τοῖς διπλασιασμοῖς τῶν κώλων καὶ τῶν ὀνομάτων εἱρωνευόμενος. f, s. διῆγε. ἀντὶ τοῦ· διανέπαυε τοὺς λόγους ἐπὶ μακρῷ. f, l, s. εἱρωνευομένου ἀντὶ τοῦ συνειρόντος τῇ περιττότητι. f, l, s. – 17. κύρια. ἀντὶ τοῦ· κυριολεξίᾳ ἐχρῆτο. f, l, s. – 18. ἀπὸ σκήπτρου θεμιστευόμενα ductum videtur ex Pind. O. 1, 12. – 19. στενολεσχούντων· τῶν διαλεκτικῶν. f, s. Vox est Aristophanea, cf. Nub. 319. – 25. Βρ. τε καὶ Τρκάνιοι Ph. ne errore quidem potuit scribere. cf. 93, 14. Ideo Ol. Γερμᾶνες hic posuit, Strabone XV, 490. laudato, Rhoer ex eodem fonte protulit correctionem Τλόβιοι ad Porphyr. de abst. p. 358., altera illa non meliorem. Etiam Σαρμᾶνες aptum nomen h. l. vide Cr. S. I, 489. – 26. ἀποδημεῖν. ἴσως ἐπεὶ ἐώρα αὐτὸν τῇ συνηθείᾳ ὀλιγωρούμενον τῷ μηδὲν πλέον τῶν ἄλλων ἐπάγεσθαι τῶν καθ' Ἑλλάδα σοφῶν f. – 27. Satis callide magis in transitu usum narrat Apollonium, apud quos multo diutius, quam apud ipsos Brachmanes degit.

11, 10. μεταλαμβάνω δὲ πάσας. αἰτιατικὴ (αὐτῶν s.) f, s. Excidisse videtur: ἀντὶ γενικῆς. – 13. προσηύξατο ἀντὶ τοῦ· προσεκύνησεν αὐτόν. f, l, s. – 14. ξυμμέτρως ἀντὶ τοῦ· ἀπερίττως. f, l, s. – 17. ἐκφατνίσματα. τοῦτο διὰ τὸ τὰ ἐκπίπτοντα τῆς δαιτὸς τοὺς κύνας σιτεῖσθαι. f (ubi deest τὸ), l, s. – 18. ᾗ εἶπεν. Quod addendum conjeci ἀμελῶς, lucor ex 92, 31. μὴ δοκοίην θρασύνεσθαι πρὸς τὸν ἀμελῶς αὐτὰ εἰπόντα. Jacobs. ad Vers. Germ. proponit παραφθεγξάμενος εἶπε.

12, 2. Accipe hoc de dextro Euphratis alveo, sinister enim in Tigrin infunditur. Str. II, 80. Dionys. P. 980. Plin. H. N. V. 21. – 4. Dicit hoc etiam Paus. II, 5, 2. Adscribit Huet.: „Euphrates Tigridi immixtus per duos alveos in mare devolvitur, quorum alter Phison, alter Gehon appellatur. Gen. 2, 11, 13. Horum fluviorum seu potius alveorum situm ignorantes plerique existimaverunt Gehon eundem esse ac Nilum, Phison vero eundem ac Gangem.“ – 9. Corvos inprimis observari ab his populis docet Porphyr. de abst. III, 221 (104). Vide praeterea, quae habet Bochart Hieroz. I, 1, 3. et Boettiger Kunstmythologie I. p. 96. – 14. μὴ ἐρωτηθεὶς ἀντὶ τοῦ· ἐξειπών· ἐχόμενον γὰρ τῆς ἐρωτήσεως τὸ ἐκλαλῆσαι καὶ εἰπεῖν. f, s. – 15. Bardanes dicitur, de quo vide plura Tac. Ann. XI, 8, 9. – 21. Ol. confert apte Senec. de Benef. III, 7. – 33. De vino Babylonio. cf. Plin. XIII, 4.

13, 1. Agit de novem satrapis inferioribus, undecim superioribus Parthici regni Plinius VI, 25. – 6. φοινίκος βαλάνους illustrat Xenopho Anab. II, 3, 14. – 9. ὅρα τοῦ σατράπου ἀπεδέξατο· λείπει δὲ ἴσως τὴν προαίρεσιν. f, l, s. – 15. τόκος. σημείωσαι. λείπει τὸ ἐστὶν οὕτως. f, l (s: σῆ διὰ τὸ ἐ. ὀ.) – ib. τρὶς. Imo quinquies. cf. Jac. ad Ael. H. A. IV, 34, 9. – 18. τοῖς λέγουσιν. Fons fabulae apud Herodot. III, 108. refutatae ab Aristot. de nat. an. VI, 31. – 19. Locutionem ἐπιτήδεια εἶναι pluribus explicui ad Gymn. p. 93. – 22. τεκμαίρεσθαι – σκύμνων. ὅρα τεκμαιρόμενον γενικῇ· λείπει ἡ ἐξ. f, l, s. – 23. cf. Euseb. 438. – 24. Locus est Il. β. 307.

14, 9. Δαρείῳ· ἀντὶ τοῦ ὑπὸ Δαρείου. f, l, s. – 13. ἐξαλλάξαντες. ἔξω γενόμενοι. π. – ib. Ducta haec ex Herod. VI, 119. qui Eretriensium domicilia 210 stadia dicit a Susis abesse; noster unius diei itinere a Babylone remota putat. – 16. Scopelianum dicit. – 18. μελετῶν. ἀναγινώσκοι. π. – 19. παραιτεῖσθαι. καταλιμπάνειν. π. – 24. ὕπομβρος. διάβροχος. π. – 26. παρεφθορότος. διεφθαρμένου. π. – 29. τὸν Καφηρέα ἀνέφυγε. constructio est ut p. 46, 5. καταβαίνοντες τὸ ὄρος. Sch.: οὗτος ὁ Καφηρεύς ἐστιν ἀκρωτήριον τῆς Εὐβοίας. Ξυλοφάγος νῦν λέγεται. Καφηρεὺς δὲ διὰ τὰς τῶν ἀνέμων ἀντιπνοίας παρὰ (ἀπὸ f) τὸ κᾶπος, (κάππος f) ὃ σημαίνει τὸ πνεῦμα, ὅπου καὶ ὁ Ναύπλιος τοὺς φρυκτοὺς ἀνάψας ἔσφηλε τοὺς Ἕλληνας. f, s. – 33. Non potest esse is, quem Ctesias Dariaeum appellat, septemdecim ille annis post pugnam Marathoniam ab Artaxerxe patre obtruncatus, sed ex annorum computatione Artaxerxes Mnemon.

15, 3. Epigramma est in Anthol. Pal. VII, 256. – 17. Babylonem adhuc integram fingit, quia magorum sedes erat. cf. Baur l. c. 117. – 19. Verbis ξὺν ὁμοιότητι τοῦ εἴδους exprimuntur illa Herodotea I, 180.: τὸ μέσον αὐτῆς ποταμὸς διείργει – τὸ ὦν δὴ τεῖχος ἑκάτερον τοὺς ἀγκῶνας ἐς τὸν ποταμὸν ἐλήλαται. – 21. „Semiramidem intelligit, cujus cuniculos sub Euphrate actos luculenter describit Diodorus Siculus II, 8.“ Ol. – 30. Ὀρφεῖς voluit Hu. Vatem tiara et anaxyride in anaglyphis ornatum illustrat Welcker ad Phil. I. VI, p. 612. – 35. „Quae de coeli similitudine legun-

tur, ad symbolicam veterum populorum aedificandi rationem pertinent, quam in rem vid. Porphyr. de antr. nymph. c. 6. id. de Styge ap. Stob. Ecl. I, 4. p. 145. ed. Heeren. et Eust. ad Od. XV, 404. p. 583. Bas." Cr.

16, 3. cf. uberrimam Creuzeri notam ad Plot. III, 149. inprimis Hermiam ab eo laudatum (ad. Pl. Phaedr. 148.) et Symb. I, 221 sq. de iyngibus avibus, deorum glossis. Lob. Aglaoph. 906. ἴυγγας refert ad rotas perpetuo circumactas. — 8. Eusebius haec carpit p. 438. — 14. σατραπεύεται. ἀντὶ τοῦ· ὑπὸ σατράπου ταῦτα διοικεῖται τῷ βασιλεῖ. f. — 21. διάγειν ἀντὶ τοῦ· κατέχειν, διαναπαύειν. f. — 25. Senec. Ep. 17. reges Parthos non potest quisquam salutare sine munere. — 29. ἀναστήσας τ. γ. erecto animo. — 31. κατασχὼν intellige de habitatione regiae.

17, 19. Hujus deae imaginem vide in nummo ap. Combe Mus. Hunt. IX, 42. et ap. Panofk. Berl. Ak. 1840, 380. — 22. Pamphyliorum modos nemo praeter Ph. tetigit. — ib. παρήλλαξε noli ad Damophylam referre, verbum est intransitivum, ut 54, 9. al. — 25. παρῴδηται illinc expressa sunt carmina (h. e. ex Sapphicis poematibus.) ἀπὸ τῶν Σαπφ. ut 106, 20. ὡς ἀπὸ Ἰνδῶν μοι διαλέγῃ. — 26. Jac. Ep. ad Schn. p. 37. scribi voluit βασιλικὸν ὄγκον. At vide Lob. ad S. Aj. 145. — 29. ἀναγιγνώσκων ἀντὶ τοῦ· ἀναγνωρίζων. f, l. — 31. ἀπεζωγράφησε ἀντὶ τοῦ· διέγραψε, ἐζωγράφησε. f, s. — 32. καὶ ὃ ἐκέλευσε dictum esse possit ratione verborum 17, 15. habita.

18, 1. De hoc alborum equorum sacrificio cf. Brisson. de reg. Pers. princ. p. 339 sq. 370. et Kleuker Suppl. in Zendav. II, 1, p. 86 sq. — 6. „Tangebant revera ignem sacrificantes, quod moneo propter Ol. interpretationem (probans ignem). Just. XXII, 28. expositis ignibus Cereris tactisque." Bo. — 13. ἐξ ὄνυχος. ἀπὸ τῆς παροιμίας. f. — 18. Haec impugnat Eus. 438 et 450. — 21. ἐπιστολὴν αὐτὰ πεποίηται ἀντὶ τοῦ· δι' ἐπιστολῆς ἐσήμανεν. f. — 31. διαφερόντων ἀντὶ τοῦ· διακομιζομένων. f.

19, 19. τὸ — διδῷ. G. J. Bekker ὁ μακαρίτης acquievit in lectione edd. ante Ol. (Spec. Philostr. 103.) Jac. ad Schn. p. 37. proposuit σὺ δ' ὅπως. Ham. L. Ph. 19. ἄλλοις πᾶσιν. Recte senserunt, verbo φασιν locum non esse, si retineatur ἄλλως, sed idoneam medicinam non invenerunt. Indicat φασι proverbialem laudari locutionem; respicitur autem ad Diogenis dictum Ael. V. H. IX, 34.: περιτυχὼν Λακεδαιμονίοις ἐν ἐξωμίσι φαύλαις καὶ ὑπώσαις „ἄλλος" εἶπεν „οὗτος τῦφος, cf. etiam Diog. Laert. VI, 8. et quod infra est 115, 11. — 25. Αἰσχίνης. vid. Diog. II, 61. Ath. 507. Luc. paras. §. 32. — 26. Πλάτων. Veram itineris causam exponit C. F. Hermann Gesch. u. Syst. der Plat. Philos. p. 66—75. cf. Athen. 116 et 507, 6. Ael. V. H. XIV, 33. ubi lege: „ἀλλ' ἐγὼ" εἶπεν „οὐκ ἐπανῆλθον ἐκεῖσε, ὅθεν ἐπράθην, ὥσπερ οἱ κύνες. — 27. Aristippi avaritiam tangit Diog. II, 11. — ib. Ἑλίκων. cf. Plat. Epp. 13. Plut. Dio. 19. — ib. Φύτων. Boiss. confert Leop. Em. XI, 22. vide Nostrum 130, 12. et Diod. Sic. XIII, 320. Fortasse hic est Φύτιος Iamblichi V. Pyth. p. 362. ed. Kiessl. — 29. De Eudoxo egi ad Vit. S. p. 161. — 30. βασιλεῖ. Nectanabidi, cui Agesilaus Eudoxum commendaverat. — ib. de Speusippo vide Diog. IV, 1. Ath. VII, 279. e. XII, 546, d.

20, 7. πάσας κακίας συνειληφὼς ἢ πάσης κακίας μετειληφώς, τούτων γὰρ ἑκάτερον δεῖ ἐγγεγράφθαι. π. — 15. ἐν σπουδαίῳ. in loco celebrato. — ib. De Philippi et Alexandri ludis Olympicis cf. Wesseling ad Diod. p. II, 125. et Meyer „Olympische Spiele" p. 326. in Encyclop. Ersch. et Gruber.

21, 3. ζώνης maluit Huet. — 11. οὐ πολλῶν θανάτων ἄξιος sumsit ex Dem. π. παρ. §. 15. — 14. θεάματα. δεινοῦ κόλακος ταῦτα ὑποτρέχειν εἰδότος βάρβαρον σκαιότητα, ἀλλ' οὐ φιλοσόφου ψυχῆς καθαρὰν παρρησίαν ῥεούσης καὶ ἀμιγῆ τῶν αἰμυλίων ῥημάτων. f. —

22, 17. Locus est Hom. Od. ε. 97.

II.

23, 5. ἱπποκόμος τ. κ. καταχρηστικῶς εἶπε· κυρίως γὰρ καμηλεὺς λέγεται. f, l. — 12. ὑπερβολαί τὰ ὕψη, αἱ ἐξοχαί, αἱ ἀκρώρειαι. π. ἀνεστᾶσιν. ὑψοῦνται. π. — 13. Philostrato ipse Caucasus est ὁ Ταῦρος ἕτερος et Paropamisus pro Caucaso. Jac. maluit κέρατι ἑτέρῳ scribere (Additam. 204). — 18. de styrace Pamphylio cf. Plin. XII, 25. fin. — 22. Ham. p. 22. corrigebat ἑλὼν citra necessitatem. — 23. Citat haec Schol. Arist. Ran. 218. — 24. ὑπεξεύχθη. ὑπετάγη. π. — 25. ἀνοίστρησεν. ἐξέμηνεν. π. καθήκει. κατέρχεται. π. — 28. vid. Arrian. Ind. 5.

24, 1. ἐπὶ φιλανθρωπίᾳ. δριμεῖα ἡ λέξις αὕτη, διὰ τὸ φιλεῖν γὰρ τοὺς ἀνθρώπους. f. — 4. δεσμὰ. cf. Diod. Sic. XVII, 83. — ib. οὐ ῥᾴδια ξυμβάλλειν τὴν ὕλην. οὐκ εὔκολον ἔχοντά ἐστι κατανόησιν τῆς ὕλης λείπει ἡ εἰς πρόθεσις μετὰ τοῦ ἄρθρου. τὸ πλῆρες· οὐ ῥᾴδια εἰς τὸ συμβάλλειν τὴν ὕλην. f. — 8. ὧδε. ἀντὶ τοῦ· ἐπὶ τοσοῦτον τῶν μύθων ἥττηνται. f. — 12. φάσμα ἤτοι Ἑκάτης ἢ ὀνοσκελίδος. f. — 18. „εἰπέ μοι" ἔφη. τὸ ἔφη προστίθησιν Ἀττικῷ ἔθει. πλέον δὲ τοῦτο πολὺ παρὰ Πλάτωνι. f, l. — 27. cf. Cr. Symb. II, 467. 480, 494.

25, 2. De Anaxagora vid. Valck. Diatr. c. IV. — 3. „Aldus et Morellus ediderunt προσήκον, quod non est nauci. Restituimus ex conjectura προσοίκον: quod etiam in suo codice invenisse videtur Rhinuccinus,

qui vertit *propinque*." B. — 4. *Παγγαίῳ*. Orpheus. — 14. De hoc camelorum genere egit Bochart Hieroz. I, 2, 88. — 33. cf. Schneidewin Delect. 173, 5.

26, 5. Legendi h. l. Hieronym. ep. 2. et Chrysost. ad Jes. c. 5. — 10. Similia concedebat Pythagoras *τοῖς ἄλλοις, ὅσοις ὁ βίος μὴ πάνυ ἦν ἐκκεκαθαρμένος — καὶ τούτοις χρόνον τινὰ ὥριζε τῆς ἀποχῆς*. Iambl. V. P. 234. ed. K. Carpit tamen haec Eus. 441. — 16. Scr. *ὠδοποίηται*, quod operae recipere omiserunt. — 17. cf. Cr. Symb. I, 472 seqq. qui adhibet Nonnum Dionys. XXI, 331. de luco Deriadis Indi idem narrantem: *οὐ χόες ἠεροφοιτος ἐδύσατο δάσκιον ὕλην ἐκ Διὸς ὑετίοιο*. — 21. *ἀνέμῳ ἐσπνεῖσθαι* ut Im. 842. *ἐσπνέοντος αὐτὰς τοῦ ἀνεμοῦ*. — 25. „Editio Aldina *ἐλθόντα* exhibet, cujus loco Morellus reposuit *ἐλάσαι*, ut opinor, ex msto Regio." B. — 27. „Inepte utraque editio *ἀργύριον*." B. — 28. cf. Cr. Symb. I, 392. qui *ἐπηλύτην Ἀσσύριον* Mithram esse suspicatur. — 33. Dionysus Thebanus *Μηρὸν* montem ab Indi filio donum accepit, cum se ex Jovis *μηρῷ* natum dixisset.

27, 5. Arrianus V, 1, 2 et 2, 5. ac Curt. VIII, 10. Alexandrum Nysae morantem et cum exercitu bacchantem exhibent. Vide Droysen Alexander 310, not. 18. — 10. Nomen Aornos explicatur a Ph. aliter atque a Luc. Rhet. praec. §. 7. et Dionys. Perieg. 1143 cum Eust. Compara Lucret. VI, 749. et Sil. It. VI, 154. simile quid de Parthenone in acropoli Athenarum narrantes. — 24. *ἡ μάστιξ ἐλλειπτικῶς εἴρηται καὶ ἀντιπτωτικῶς. ἐλλειπτικῶς μὲν τοῦ ἐπιφέρειν, ἀντιπτωτικῶς δέ, ἀντὶ γὰρ τοῦ εἰπεῖν κατὰ τὴν αἰτιατικὴν καὶ τὸ μὴ ἀεὶ τὴν μάστιγα, εἶπεν κατ' εὐθεῖαν*. f. — 27. *ἀνειλῆσαι*. Frustra h. l. tentat Ham. p. 29. Boni equitis est evolvere hostium aciem, h. e. dividere et disturbare.

28, 5. *περιφρονῶν. ἀντὶ τοῦ διὰ πολλῆς φροντίδος ποιούμενος. Ἀριστοφάνης· ἀεροβατῶν καὶ περιφροτῶν τὸν ἥλιον*. f. (*Νεφ.* 225.) — 10. *ψελλιζομένῳ*. Nimirum *ἐς τὰ πολεμικά*, ut est Heroic. 730. aut addendum aut subaudiendum. — 24. cf. Bochart Hieroz. I, 2, 24. et A. G. Schlegel Ind. Bibl. I, 176. Numerus singulis elephantis insidentium hic nimis augetur; quaternos tantum, *ἡνίοχον* et ternos *τοξότας* imponi solitos fuisse docet Strabo XV, 487. — 27. *ἐς τὸ ἀκοντίζειν*. Plin. illustrat VIII, 2. — 30. vid. Jac. ad Ael. H. A. XIII, 8. — 31. *τῷ Ἡλίῳ*. vid. Ael. H. A. VII, 44. ubi dicuntur Indi elephantum colere. Adde Spanh. de U. et P. Num. I, 169.

29, 6. *παραθήγισθαι*. „Virg. G. III, 225. ipse *suis* dentesque Sabellicus exacuit sus. Cum ergo nonnulla animalia dentes acuant, nulla vero, ex Juba, cornua, apparet, dentes elephantis revera dentes esse, cum ipse eos quandoque exacuat, non cornua, quae nunquam acuuntur." Huet. — 14. Ham. p. 30. corrigebat *διὰ τὸ ἐσφίχθαι* (debuit *ἐσφίγχθαι*) *τ. χ.* At digitos dicit Ph. non esse constrictos, indeque *βάσιν* ipsam *πολυσχιδῆ*. — 22. Jac. ad Anth. 641. velit *κωφούς* pro *κούφους*, quod defenditur loco 41, 6. *κοῦφοί τε οὔπω ἔδοξαν*. — 32. cf. Cic. ad Att. VII, 2, 4.

30, 11. Claudian. Paneg. in Manl. Th. C. vs. 302. — 13. Il. ϱ, 133. — 14. Arr. Ind. c. 15—20. Plin. VIII, 18. — 18. *ἀετίτην*. de his et similibus cf. Ael. H. A. I, 35. Bochart. II, 2, 27. *λυχνίτην*. Ael. H. A. VIII, 22. Boch. II, 5, 8. ac Böttigeri Kunstmyth. II, 221. — 23. cf. Jac. ad Ael. H. A. I, 24. — 26. Fabulam Pindarus fr. 161. ap. B. et Herodotus III, 109. secuti sunt. Vide Jac. ad Ael. H. A. I, 24. — ib. *τίκτονται. τόκοι γίγνονται. π.* — 27. Locus est Eur. Andr. 415. ed. Hm. ubi scribitur: *ἔπραξα· πᾶσι δ' ἀνθρώποις κτέ.* — 28. *ὦ* praetuli respiciens Heroic. 702. Lectiones sub textu sic erant adornandae: *ὦ ὦ. π. ὦ.* p, 2, E.

31, 22. Jac. ad V. g. scribebat *ξυστὸν* pro *αὐτόν*, provocans ad Ael. H. A. VII, 45. neglecta medii *ἐξελίσθαι* notione, quam Abresch. ad Aesch. p. 118. exponit. — 25. *Πυθαγόρᾳ* Ol. mutavit in *Πύθωνι* ex Arr. Ind. c. 15. At nomina ejusdem sensus facile permutabantur. — ib. in *Ἀκεσίνου* vulgarem appellationem recepi contra codd. — 26. Eandem serpentium magnitudinem tradit Ael. H. A. XV, 21. ubi cf. Jac. — 32. *ὑπεραγασθῆναι* (in 2 et E) natum videtur ex praepositione genitivo explicando adscripta.

32, 10. *μείζω*. „excipiunt Gangem Str. XV, 701. Arrian. V, 4, 1." Ol. — 13. *εἰπόντας* Anaxagoram et Euripidem. vid. Valck. Diatr. 30. — 22. Bo. ad Her. 644. velit *αὖρας*. Vide tamen 48, 27.

33, 3. cf. Herodot. II, 37. Byssus lino similis videbatur et quasi species ejus habebatur. cf. Becker Charicl. II, 335. — 11. Iac. correctio confirmatur Her. 683, 2. — 13. Suave argumentum Alexandri victoris magnanimitas in curando et honorando Poro spectata. — 21. At Embisarum ex vicinis regibus socium Pori fuisse narrat Diod. Sic. XVII, 87. — 23. Jac. Add. ad Ath. 125. scribi velit *Δαρεῖον ἦρηκε βασιλέα. βασιλέα ἔφη κτέ.* — ib. de hoc elephanto cf. Curt. VIII, 14, 13. — 24. *οἶσει*. Ambiguitas est in verbo, quod et „portare" et „celebrem reddere" significat.

34, 1. Narrat tamen Diod. S. XVII, 89. duo filios Pori in hoc proelio cecidisse. — 11. *χρώματα ποιοῦσα*. Jac. voluit *χρ. ποικίλλουσα*. Non opus. cf. ep. 2. — 13. respicit Ar. Nub. 345. sqq. — 15. ex Pl. Phaedr. 246, c. — ib. ad *ἀθύρων* vide Cr. Symb. I, 399. — 16. cogitat de Hom. Il. o, 364.

35, 7. *ὁ Τιμόμαχος οὗτος τῶν περὶ τὴν γραφικὴν ἦν περιττός, ὃς καὶ τὴν Κολχίδα Μήδειαν γράψας τοῖς*

ἐξ Ἰάσονος αὐτοῦ τόκοις ἀπηνέστατα χρησαμένην κλέος ἀπειρέσιον ἀπηνέγκατο. f, l, s. De hoc pictore vid. Plin. XXXV, 11. et quae laudat Cr. ad G. J. Beck. Spec. 115. — 20. οἱ δὲ τ. ἰ. τοῖχοι, τῇ συντάξει ταύτῃ Ὅμηρος ἀρχὴν ἔδωκε διὰ τὸ οἱ δὲ δύο σκόπελοι. ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει καὶ τὰ ἑξῆς. ἀντὶ γὰρ γενικῆς εὐθείᾳ ἐχρήσατο. οὕτω δὲ κἀνταῦθα δοτικῇ δέον χρήσασθαι καὶ εἰπεῖν τοῖς δὲ τ. ἰ. τοίχοις εὐθείᾳ εἶπεν· οἱ δὲ τ. ἰ. τοῖχοι. f, s. — 21. μαργ. Salm. explicat „tessellatitio opere," nimirum ἔδος confundens cum ἔδαφος. — 27. reprehendit haec Eus. 441. ipse reprehensus a Bauero l. c. 158. — 32. ex Theogn. 77. — 35. δορυφορεῖται. δριμεῖα ἡ λέξις· οὐ γὰρ ἐπὶ τῆς πομπῆς ἀξιοῦσθαι, ὡς εἴωθε χρῆσθαι, νῦν ἡ λέξις εἴληπται, ἀλλὰ τὸ τοῖς δόρασιν ἐκδικεῖσθαι. ἤτοι τὸ προπολεμεῖν αὐτῆς τοῖς βαρβάροις. f.

36, 3. Jac. Additam. 151. voluit ὡς μὴ φ. — 17. Eus. 442. — 32 διαστρώννυνται: ἑτεροχρονία, ἀντὶ γὰρ παρῳχημένου ἐνιστός. f. — 34. σύες. Contra Aelianum H. A. XVI, 37.

37, 4. Wyttenb. ad Sel. H. Gr. p. 590. notat hanc imitationem Xenoph. Anab. IV, 7. — 7. Plura dabit Bekker Charicl. I, 498. — 14. Scr. περὶ σὲ. Jac. Additam. 254. proposuit περισσὴ. — 16. cf. Hom. Od. γ, 13 et ι, 254. — 22. γ. τε δεδάναι: ἀντὶ τοῦ ἀρέσκεσθαι. f. — 23. κατὰ κοινοῦ τὸ ἀποθνήσκειν, ἐπειδὴ δὲ ἤσθετο ἑαυτοῦ μὴ ἀκριβῶς ἀποφήν(αντος) περὶ τῶν παρεγγραφομένων, ὡς ἐκ παντὸς [τοῦ] ἀποθνήσκειν αὐτοὺς δέοι, προστίθησι τό· οὐκ οἶδ' ὅ τι ἐπὶ τούτων κατὰ κοινοῦ ..... κατὰ προ ..... οἷον· παρὰ τοὺς ἄνδρας, οὓς σῦ ὥρμηκας. f. — 30. οἱ τούτων: τὸ ἄρθρον ἐνήλλακται μετὰ τῆς γενικῆς. δέον γὰρ εἰπεῖν· εἶτα τὸ εἰς τοὺς γονεῖς τούτων ἦκον καὶ τρίτον γένος εἰς ἄνω εἶπεν· οἱ τούτων γονεῖς. f. — 31. Jac. laudat Plat. Gorg. 324, e. 33. μνημονικὸς. cf. Iambl. Vit. Pyth. p. 212.

38, 4. Idem narratur de Aegyptiis. cf. Böttiger Kunstmyth. II, 103. — 7. vid. Iambl. l. c. 150. — ib. Hinc profecit, sententiâ Jacobsii, Ach. Tat. 136, 25. — 13. Huet. comparat Acro. ad Hor. Od. II, 2. — 16. καταλειφθείς. σημείωσαι τὴν σύνταξιν, ἀντὶ γὰρ γενικῆς εὐθεῖα ὑπείληπται. f et s ubi γενικῆς δοτικὴ ὑ. debuere δοτικῆς εὐθεῖα ὑ. — 31. de pleonasmo verbi δοκῶ huic scriptori proprio egi ad Gymn. 10, 18.

39, 17. Ol. h. l. recte intelligens contra usum scriptoris dedit τὸν δὲ εἴσω κ. πέρι τὸ τεῖχος εἶρξαν. Debuerat saltem πέριξ scribere, Herodoteo more, IV, 52. al. Ipse malui transpositione huic loco mederi. Piers. ad Moer. 134. εἶλξαν corrigebat, quae emendatio multis probata cum 39, 11 et statim sequentibus parum consentit. Hominem portis palatii expletis exitu arcuerunt, ut fame interiret. — 30. Res illustratur ex Arr. Ind. c. 5. Aornum enim cum Alexander cepisset, eandem petram ab Hercule capi non potuisse Macedones commenti sunt. Hinc videtur Ph. suam narrationem eo deflexisse, ut ex Aorno faceret τὴν τῶν σοφῶν τύρσιν. Quod autem Bacchum Herculi jungit, quasi Sivae Ramam, cf. Visc. Mus. PC. IV, 210–15. Strab. XI. p. 443. ed. Tz. Eorum adversus illos Σοφοὺς certamen admonet contentionis Sivaitarum et Brachmanum. — 35. Hoc dicit Ph.: de Herculis Thebani ad Indos itinere vulgo nil constare, igitur ne Gades quidem eum venisse.

40, 13. Ad ἀτρεμήσει ..... γίνεσθαι ὅραμα. οὐκοῦν διὰ τὸν νοῦν ἀτρεμεῖ ὁ ὕπνος, οὐδὲν (sc. οὐδὲ) τῷ μὴ ἀκινήτῳ ἡ ἀγρυπνία, ἀλλὰ τῷ συμμέτρως ἔχειν τῶν ἀπὸ τοῦ στομάχου ἀναδόσεων τὸ κράνιον θερμότητα καὶ ὑγρότητα, εἶτα πρὸς τοὺς ὀφθαλμοὺς καταρρευσάσης τῆς τοιαύτης ἀκράτου ὑγρότητος ἐκήλησέ τε τῷ παρ' ἑαυτῆς ἡδίστῳ τὴν αἴσθησιν καὶ πρὸς τὴν ἀπὸ τοῦ ὕπνου ἐπηγάγετο ἄνεσιν. εἰ δὲ ἀσυμμέτρως ἀναπεμφθείη ἢ τῷ ὑγρῷ ἢ τῷ θερμῷ πλεονεκτουμένη ἑκατέρωθεν τὴν ἀγρυπνίαν ἀποτίκτει, τοῦ μὲν ὑγροῦ τὸ θερμὸν παραθεμένου, ὃ τὴν ἀπεψίαν εἴωθε ποιεῖν καὶ παραφέρεσθαι δοκεῖν τῷ ζώῳ προξενεῖ, ὡς ἐπὶ τῶν ἄγαν μεθυόντων ἐστὶν ἰδεῖν τῆς τοῦ οἴνου πλεονεξίας τὴν ὑγρότητα ἐπεισαγούσης, παρ' ὃ καὶ διπλᾶ βλέπειν πάντα περιγίνεται τῆς ὑγρότητος τὰς ἀπὸ τῶν ὀφθαλμῶν ἀπορρεούσας ἀκτῖνας πρὸς τὸ ὁρατὸν χωλεύειν παρεχομένης καὶ ἐστὶ κατὰ μίαν αὐτῶν συμβολὴν διασπώσης καὶ πρὸς διάφορα κατεπειγούσης ὁρώμενα. εἰ δὲ τὸ θερμὸν κατακρατήσει, ξηρότητος τὰ κοῖλα τοῦ ἐγκεφάλου ἀναπλησθέντα, τοῦτο γὰρ τῇ ἄγαν θερμότητι ἐπακολουθεῖ, ἀφεῖλε τοὺς ὀφθαλμοὺς τῆς γαληνιάσης συστάσεως καὶ πρὸς ἐγρήγορσιν ἀηδῆ παρεπέμψατο. ἀπὸ τῶν μεμηνότων ἡ πίστις τῶν λεγομένων, καὶ ἀγρυπνία συνέχονται ἀπὸ ξηρότητος καὶ τὸν ὀφθαλμὸν ἄγριον ἐπιφαίνουσιν ἐξ ἀνωμαλίας τῆς διακινούσης αὐτὸν διαφορήσεως τοῦτο πάσχοντα. f. — 18. τοῦτο h. e. τὸ μεμεθυσμένον s. ὁ μεθύων. cf. Soph. Ant. 334. ed. Herm. — 24. vid. Schneidew. Delect. 191. — 28. ex Eur. Bacch. 916. — 34. fragmentum est ex Menandro nr. 11. incert. ed. Meinecke. p. 234.

μόνου σὺν τῷ πατρὶ ἐπιμνησθέντα, ἐπειδὴ θαῦμα δηλώσειν ἔμελλε πατέρα Ὁμήρῳ ποταμὸν εἶναι. καὶ ἄλλως οὐκ εὐτυχὲς τῷ βουλομένῳ πολλὰ εἰδέναι πατέρα μὲν τοῦ δεῖνος ἐξεπίστασθαι καὶ μητέρα, τὰς δὲ περὶ αὐτὸν ἀρετάς τε καὶ κακίας οὐ γιγνώσκειν, μηδ' ὅ τι κατώρθωσέ τε οὗτος καὶ ἐσφάλη ἢ τύχῃ ἢ γνώμῃ. τὸ δὲ φρόντισμα τοῦτο, ἄριστε ἀνθυπάτων, καὶ τὰ ἄχθη σοι κουφιεῖ τῆς γνώμης, ὥσπερ ὁ κρατὴρ τῆς Ἑλένης τοῖς Αἰγυπτίοις φαρμάκοις. ἔρρωσο Μουσηγέτα.

Dedicatio *τῷ λαμπροτάτῳ ὑπάτῳ Ἀντωνίῳ Γορδιανῷ Φλαύιος Φιλόστρατος.* f, ρ, k, o. *τῷ λαμπροτάτῳ ὑπάτῳ Ἀντωνίνῳ Γορδιανῷ Φιλόστρατος.* R. *Φιλόστρατος Ἀντωνίῳ* ν, β. inscript. om. μ. *Φλαβίου Φιλοστράτου βίοι σοφιστῶν ὑπάτῳ Ἀντωνίνῳ.* h, ψ. τ. λ. υ. *Ἀντωνίνῳ τῷ μετὰ Σεβῆρον ἄρξαντι εὐτυχεῖν Φιλόστρατος Φλαύιος.* b, c, d. τ. λ. υ. *Ἀντωνίνῳ τῷ μετὰ Σεβῆρον ἄρξαντι χ.* (h. e. *χαίρειν*) οκ. τ. λ. υ. *τῷ μετὰ Σ. ἄρξαντι* l. *τῷ λαμπ.....Γοργιανῷ Φιλόστρατος.* mediis injuria temporis deletis, p. τ. λ. υ. *Ἀντωνίνῳ Φιλόστρατος.* φ, g, π. e. m. Illustrissimo Consuli Antonino Philostratus. Bonf.

1. *τοὺς ἐν δόξῃ τοῦ φιλοσοφῆσαι σοφιστεύσαντας.* C, e, m, ubi ἴσ: *τοῦ σοφιστεῦσαι φιλοσοφήσαντας.* Idem voluere Val. Ol. J. alii. Scr. *τοὺς φιλοσοφήσαντας ἐν δόξῃ τοῦ σοφιστεῦσαι.* ib. *καὶ* om. p. 2. *βιβλία.* ν, β. *βύβλους.* μ. *βίβλους* R, f, ρ, k, 2 (praeter μ) 3, E. ib. *καὶ* om. β. 3. *ἀναφέροντα.* h, ψ, g. 4. *ἐν τῷ τοῦ Δαφναίου ἱερῷ* om. R, ν, β, 2, b, c, d, l, 3. habent f, ρ, k et p. mg. ib. *οὐ προσέγραψα, μὰ Δία,* f. *οὐ προέγραψα, μὰ Δί'.* ν, β. *οὐκ ἔγραψα μὰ Δί.* R. *οὐ* prius deest ρ, k (ex corr.) et 2, 3; E. 5. *τῶν ἀπ' εὐδ.* 2. ib. *ὀκ ἐκ πατέρων.* R. *οὐ*

6. *μόνου.* 2, 3. *μόνον.* 1, E ib. *σὺν τῷ πατρὶ* om. o. ib. *δηλῶσαι.* h, ψ. ib. *Ὁμήρῳ.* f, ρ. *Ὁμήρου.* g. 7. *οὐκ εὐτυχὲς βουλομένῳ.* 2. e. ib. *πολὺν εἰδέναι* R. ib. *καὶ μητέρα* om. ν, β. 8. *κατώρθωσέν τε.* f. *κατ. τε οὗτος ἢ ἐσφάλη.* R. *κατώρθωσεν οὗτος ἐσφάλη.* β, ν. 9. *φρόντισμα τούτων.* ν. φρ. *τοῦ λόγου.* g, π. ib. *ἀνθυπάτων.* f, ρ, k. *ἁπάντων.* R. *πάντων.* β. *ὑπάτων.* ν, 2, 3, E. 10. *Αἰγυπτίοις ἑφερμηνεύει.* R. *μουσιγέτα.* k *μοσηγέτα.* h, ψ.

ΦΙΛΟΣΤΡΑΤΟΥ

ΒΙΟΙ ΣΟΦΙΣΤΩΝ.

Α'.

Τὴν ἀρχαίαν σοφιστικὴν ῥητορικὴν ἡγεῖσθαι χρὴ φιλοσοφοῦσαν· διαλέγεται μὲν γὰρ ὑπὲρ ὧν οἱ φιλοσοφοῦντες, ἃ δὲ ἐκεῖνοι τὰς ἐρωτήσεις ὑποκαθήμενοι καὶ τὰ σμικρὰ τῶν ζητουμένων προβιβάζοντες οὔπω φασὶ γιγνώσκειν, ταῦτα ὁ παλαιὸς σοφιστὴς ὡς εἰδὼς λέγει. προοίμια γοῦν ποιεῖται τῶν λόγων τὸ „οἶδα" καὶ τὸ „γιγνώσκω" καὶ „πάλαι διέσκεμμαι" καὶ „βέβαιον ἀνθρώπῳ οὐδέν". ἡ δὲ τοιαύτη ἰδέα τῶν προοιμίων εὐγένειάν τε προηχεῖ τῶν λόγων καὶ φρόνημα καὶ κατάληψιν σαφῆ τοῦ ὄντος. ἥρμοσται δὲ ἡ μὲν τῇ ἀνθρωπίνῃ μαντικῇ, ἣν Αἰγύπτιοί
481 *τε καὶ Χαλδαῖοι καὶ πρὸ τούτων Ἰνδοὶ ξυνέθεσαν, μυρίοις ἀστέρων στοχαζόμενοι τοῦ ὄντος, ἡ δὲ τῇ θεσπιῳδῷ τε καὶ χρηστηριώδει· καὶ γὰρ δὴ καὶ τοῦ Πυθίου ἐστὶν ἀκούειν*

„οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης"

καὶ

„τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς"

καὶ

„Νέρων Ὀρέστης Ἀλκμαίων μητροκτόνοι"

καὶ πολλὰ τοιαῦτα, ὥσπερ σοφιστοῦ, λέγοντος.

Ἡ μὲν δὴ ἀρχαία σοφιστικὴ καὶ τὰ φιλοσοφούμενα ὑποτιθεμένη διῄει αὐτὰ ἀποτάδην καὶ ἐς μῆκος, διελέγετο μὲν γὰρ περὶ ἀνδρίας, διελέγετο δὲ περὶ δικαιότητος, ἡρώων τε πέρι καὶ θεῶν καὶ ὅπη ἀπεσχημάτισται ἡ ἰδέα τοῦ κόσμου. ἡ δὲ μετ' ἐκείνην, ἣν οὐχὶ νέαν, ἀρχαία γάρ, δευτέραν δὲ μᾶλλον προσρητέον, τοὺς πένητας ὑπετυπώσατο καὶ τοὺς πλουσίους καὶ τοὺς ἀριστέας καὶ τοὺς τυράννους καὶ τὰς ἐς ὄνομα ὑποθέσεις, ἐφ' ἃς ἡ ἱστορία ἄγει. ἦρξε δὲ τῆς μὲν ἀρχαιοτέρας

Φλαυίου Φιλοστράτου βίοι σοφιστῶν est inscr. in R, f, b, c, d, g, π.

2. τῶν ζητουμένων προβιβάζοντες. f, ρ, k. τῶν ζητουμένων προσβιβάζοντες. R, ν, β. τῷ ζητουμένῳ προσβιβάζοντες. 2, 3, E. 3. οὔτω. β. ib. προοίμια δὲ. Nic. Greg. ap. Synes. ed. Pet. 418. 4. τὸ οἶδα τὸ γιγνώσκω. φ. ib. τὸ πάλαι. Nic. Greg. ib. ὅτι vel ὡς βέβαιον. B. 6. ὄντος, ἔοικε δὲ τῇ θεσπεσιῳδῷ καὶ χρηστηριώδει μαντικῇ. Nic. Greg. 7. μυρίοις ἀστέρων R, π, b, c, d. μυρίοις. ρ, k. μορίοις. ν, β, 2, ρ, φ, E. σημείοις. g. 8. θεσπιῴδει. μ. θεσπιῷ. ox, h, ψ, l. ib. καὶ γὰρ δὴ ἐκ. R, μ, E. καὶ γὰρ ἐκ. h, ψ, etiam g, cum lac. ib. ἐστὶν ἀκούειν. ρ, k. ἐστιν ἀκούειν. R, f. ἀκούειν ἐστὶν 2, 3, E. 9. μετέωρα. β. 13. Νέρων καὶ Ὀρεστης καὶ Ἀλκμαίων. ν, β. Νέρων Ὀρέστης καὶ Ἀλκμαίων. g. 14. καὶ om. ρ.

15. αὐτὰ om. h. αὐτή. E. ib. ἀποτάδην καὶ om. p, (pr. m.) π, g. 16. διελέγετο μὲν περὶ. p. (pr. m.) π, g. ib. ἀνδρείας. β, ν, h, ψ. ib. δὲ καὶ. β. ib. ἡρώων τε καὶ θεῶν. π, g. 17. ἡ ἰδέα τοῦ λόγου. R. ib. ἡ δὴ ν. ib. ἐκείνην οὐχὶ νέαν. R, β, ν. ἐκείνην οὐχὶ νέα. f, ρ, k. ἐκείνην ἣν οὐχὶ νέαν. 2, 3, E. 18. καὶ ἀριστέας. h.

1, p. 481. = 4. 5.

Γοργίας ὁ Λεοντῖνος ἐν Θετταλοῖς, τῆς δὲ δευτέρας Αἰσχίνης ὁ Ἀτρομήτου τῶν μὲν Ἀθήνησι πολιτικῶν ἐκπεσών, Καρίᾳ δὲ ἐνομιλήσας καὶ Ῥόδῳ, καὶ μετεχειρίζοντο τὰς ὑποθέσεις οἱ μὲν ἀπὸ Αἰσχίνου κατὰ τέχνην, οἱ δὲ ἀπὸ Γοργίου κατὰ τὸ δόξαν.

Σχεδίων δὲ πηγὰς λόγων οἱ μὲν ἐκ Περικλέους ῥυῆναι πρώτου φασίν, ὅθεν καὶ μέγας ὁ 482
Περικλῆς ἐνομίσθη τὴν γλῶτταν, οἱ δὲ ἀπὸ τοῦ Βυζαντίου Πύθωνος, ὃν Δημοσθένης μόνος
Ἀθηναίων ἀνασχεῖν φησι θρασυνόμενον καὶ πολὺν ῥέοντα, οἱ δὲ Αἰσχίνου φασὶ τὸ σχεδιάζειν
εὕρημα, τοῦτον γὰρ πλεύσαντα ἐκ Ῥόδου παρὰ τὸν Κᾶρα Μαύσωλον σχεδίῳ αὐτὸν λόγῳ ἦσαι.
ἐμοὶ δὲ πλεῖστα μὲν ἀνθρώπων Αἰσχίνης δοκεῖ σχεδιάσαι πρεσβεύων τε καὶ ἀποπρεσβεύων συνη-
γορῶν τε καὶ δημηγορῶν, καταλιπεῖν δὲ μόνους τοὺς συγγεγραμμένους τῶν λόγων, ἵνα τῶν
Δημοσθένους φροντισμάτων μὴ πολλῷ λείποιτο, σχεδίου δὲ λόγου Γοργίας ἄρξαι — παρελθὼν
γὰρ οὗτος ἐς τὸ Ἀθηναίων θέατρον ἐθάρρησεν εἰπεῖν „προβάλλετε“ καὶ τὸ κινδύνευμα τοῦτο
πρῶτος ἀνεφθέγξατο, ἐνδεικνύμενος δήπου πάντα μὲν εἰδέναι, περὶ παντὸς δὲ ἂν εἰπεῖν ἐφιεὶς
τῷ καιρῷ — τοῦτο δ' ἐπελθεῖν τῷ Γοργίᾳ διὰ τόδε· Προδίκῳ τῷ Κείῳ συνεγέγραπτό τις οὐκ
ἀηδὴς λόγος· ἡ ἀρετὴ καὶ ἡ κακία φοιτῶσαι παρὰ τὸν Ἡρακλέα ἐν εἴδει γυναικῶν, ἐσταλμέναι
ἡ μὲν ἀπατηλῷ τε καὶ ποικίλῳ, ἡ δὲ ὡς ἔτυχεν, καὶ προτείνουσαι τῷ Ἡρακλεῖ νέῳ ἔτι ἡ μὲν
ἀργίαν καὶ τρυφήν, ἡ δὲ αὐχμὸν καὶ πόνους· καὶ τοῦ ἐπὶ πᾶσι διὰ πλειόνων συντεθέντος, τοῦ
λόγου ἔμμισθον ἐπίδειξιν ἐποιεῖτο Πρόδικος περιφοιτῶν τὰ ἄστη καὶ θέλγων αὐτὰ τὸν Ὀρφέως 483
τε καὶ Θαμύρου τρόπον, ἐφ' οἷς μεγάλων μὲν ἠξιοῦτο παρὰ Θηβαίοις, πλειόνων δὲ παρὰ Λακε-
δαιμονίοις, ὡς ἐς τὸ συμφέρον τῶν νέων ἀναδιδάσκων ταῦτα· ὁ δὴ Γοργίας ἐπισκώπτων τὸν
Πρόδικον, ὡς ἔωλά τε καὶ πολλάκις εἰρημένα ἀγορεύοντα, ἐπαφῆκεν ἑαυτὸν τῷ καιρῷ. οὐ μὴν
φθόνου γε ἥμαρτεν· ἦν γάρ τις Χαιρεφῶν Ἀθήνησιν, οὐχ ὃν ἡ κωμῳδία πύξινον ἐκάλει, ἐκεῖνος
μὲν γὰρ ὑπὸ φροντισμάτων ἐνόσει τὸ αἷμα, ὃν δὲ νυνὶ λέγω, ὕβριν ἤσκει καὶ ἀναιδῶς ἐτώθαζεν.
οὗτος ὁ Χαιρεφῶν τὴν σπουδὴν τοῦ Γοργίου διαμασώμενος „διὰ τί“ ἔφη „ὦ Γοργία, οἱ κύαμοι
τὴν μὲν γαστέρα φυσῶσι, τὸ δὲ πῦρ οὐ φυσῶσιν;“ ὁ δὲ οὐδὲν ταραχθεὶς ὑπὸ τοῦ ἐρωτήματος
„τουτὶ μὲν“ ἔφη „σοὶ καταλείπω σκοπεῖν, ἐγὼ δὲ ἐκεῖνο πάλαι οἶδα, ὅτι ἡ γῆ τοὺς νάρθηκας ἐπὶ
τοὺς τοιούτους φύει.“

Δεινότητα δὲ οἱ Ἀθηναῖοι περὶ τοὺς σοφιστὰς ὁρῶντες ἐξεῖργον αὐτοὺς τῶν δικαστηρίων, ὡς
ἀδίκῳ λόγῳ τοῦ δικαίου κρατοῦντας καὶ ἰσχύοντας παρὰ τὸ εὐθύ, ὅθεν Αἰσχίνης καὶ Δημοσθένης
προὔφερον μὲν αὐτὸ ἀλλήλοις, οὐχ ὡς ὄνειδος δέ, ἀλλὰ ὡς διαβεβλημένον τοῖς δικάζουσιν, ἰδίᾳ

1. *Αἰσχύνης*. h, ψ. (sic ubique). 2. *ἀπὸ Αἰσχίνου οἱ μὲν κατὰ τέχνην*. 1. *κατὰ τὴν τέχνην οἱ μὲν ἀπὸ Αἰσχίνου*. β, ν, 2, 3, E. Inde feci *οἱ μὲν ἀπὸ Αἰσχίνου κατὰ τέχνην*. 3. *κατὰ δόξαν*. ν.

4. *ῥυῆναι πρώτου φασίν*. f, ρ, k et f. mg: *γρ. καὶ πρὸ τοῦ*. *πρώτου* om. R. *πρῶτον ῥυῆναι φασὶν*. ν, β. *πρώτου ῥυῆναί φασιν*. 2, 3, E. 5. *ὑπὸ τοῦ*. φ, π, g, b, c, d. 6. *ἀναχῆ φασί*. β, ν. ib. *πολὺ ῥέοντα*. f, ρ, k, o. 7. *ἐκ Ῥόδου* R, f, ρ, k. *ἐς Ῥόδον*. ν, β, 2, 3, E. ib. *περὶ τὸν Κάρα*. ν, β, o, h, ψ, φ, π, g, b, c, d. ib. *σχεδία αὐτὸν λόγον*. ν. ib. *ἦσαι*. R, f. et ρ ante corr. *ᾄσαι*. ρ. sec. m. k, β, ν, 2, 3, E. 8. *τε καὶ ἀποπρεσβεύων*. om. f, 2 (l.) *πρεσβεύων*. *δημηγορῶν*. *συνηγορῶν* R. 9. *μόνον τοὺς* k. *μόνα τὰ συγγεγραμμένα*. ν, β. 10. *λείποιτο* et suprascr. *λίποιντο*. f. *λείποιτο* etiam π, g. *λείποιντο*. ρ. *λίποιντο*. k. *λίποιτο*. R, ν, β, 2, p, φ, E. ib. *ἄρξαι, ὁ δὲ Γοργίας ἐς τὸ τῶν Ἀθηναίων θέατρον ἐπικόπτων Πρόδικον τὸν Κῖον ἑωλά τε* deinde lacuna usque ad *Εἴδοξος* in ν, β. 12. *πρῶτον*. h, ψ, c. ib. *ἐφθέγξατο*. R. ib. *δὲ ἂν*. f. 13. *τοῦ καιροῦ*. R. ib. *καὶ τόδε*. R. ib. *ἠροδίκῳ*. k. ib. *Κείῳ*. R, f, μ, o. *Κίῳ*. ceteri C et c, m. 14. *περὶ τὸν*. h, φ, c, m. ib. *γυναικῶν* om. R, f. 16. *τοῦ ἐπὶ πᾶσι*. R. *τὸ ἐπὶ πᾶσι*. f, ρ, k, 2, 3, E. ib. *συντιθέντος*. h, ψ, φ, b, c, d, E. 17. *Θέλων*. k. 18. *Θαμύρου*. R, f. *Θαμύριδος*. k, 2, 3, E. ib. *παρ' Ἀθηναίοις*. h, ψ. ib. *παρὰ Λακεδαιμονίοις*. R, f, k. *παρὰ Λακεδαιμονίοις*. ρ, suprasc. sec. m. *ἐν Λακεδαίμονι*. 2, 3, E. 19. *ὡς ἐς τὸ*. ρ. sec. m. *ὡς ἐς τὸ*. k, 2, 3, E. *ἐς τὸ*. R, f ib. *ὁ δὴ*. C. *ὁ δὲ*. E. ib. *ἐπισκώπτων*. R, k, μ, π, g, c, d. *ἐπισκόπτων*. f. *ἐπικόπτων*. h. *ἐπικόπτων*. p, φ, E. 20. *ὡς ἑωλά τε*. k (sic). *ὡς δὴ ἕωλα*. μ. 21. *ἐκάλεσε*. R. 22. *μὲν* om. μ, h, ψ. ib. *νυνὶ*. f, k, o. *νῦν*. R, 2, 3, c, m. 23. *Γοργία*. h. ib. *διαμασώμενος*. R, ρ, k. *καταμασώμενος*. f. *διαμασσώμενος*. 2, 3, a, m, o. *διαμασσόμενος*. i, j. 24. *μὲν* om. f, ψ. ib. *ἐρωτήσαντος*. ρ, k. 25. *πάλαι ἐκεῖνο*. h.

27. *δεινότατα*. π, g. 28. *τὸ ἐ . . . . .* R. 29. *διαβεβλημένοι*. h, ψ, ox, i, j, m, o.

1, p. 482. 483. = 5. 6.

γὰρ ἠξίουν ἀπ' αὐτοῦ θαυμάζεσθαι, καὶ Δημοσθένης μέν, εἰ πιστέα Αἰσχίνῃ, πρὸς τοὺς γνωρίμους
484 ἐκόμπαζεν, ὡς τὴν τῶν δικαστῶν ψῆφον πρὸς τὸ δοκοῦν ἑαυτῷ μεταγαγών, Αἰσχίνης δὲ οὐκ ἄν μοι δοκεῖ πρεσβεῦσαι παρὰ Ῥοδίοις, ἃ μήπω ἐγίγνωσκον, εἰ μὴ καὶ Ἀθήνησιν αὐτὰ ἐσπουδάκει.

Σοφιστὰς δὲ οἱ παλαιοὶ ἐπωνόμαζον οὐ μόνον τῶν ῥητόρων τοὺς ὑπερφωνοῦντάς τε καὶ
5 λαμπρούς, ἀλλὰ καὶ τῶν φιλοσόφων τοὺς ξὺν εὐροίᾳ ἑρμηνεύοντας, ὑπὲρ ὧν ἀνάγκη προτέρων λέγειν, ἐπειδὴ οὐκ ὄντες σοφισταί, δοκοῦντες δὲ παρῆλθον ἐς τὴν ἐπωνυμίαν ταύτην.

α. Εὔδοξος μὲν γὰρ ὁ Κνίδιος τοὺς ἐν Ἀκαδημίᾳ λόγους ἱκανῶς ἐκφροντίσας ὅμως ἐνεγράφη τοῖς σοφισταῖς ἐπὶ τῷ κόσμῳ τῆς ἀπαγγελίας καὶ τῷ σχεδιάζειν εὖ, καὶ ἠξιοῦτο τῆς τῶν σοφιστῶν ἐπωνυμίας καθ' Ἑλλήσποντον καὶ Προποντίδα κατά τε Μέμφιν καὶ τὴν ὑπὲρ Μέμφιν
10 Αἴγυπτον, ἣν Αἰθιοπία τε ὁρίζει καὶ τῶν ἐκείνῃ σοφῶν οἱ Γυμνοί.

485 β. Λέων δὲ ὁ Βυζάντιος νέος μὲν ὢν ἐφοίτα Πλάτωνι, ἐς δὲ ἄνδρας ἥκων σοφιστὴς προ-ερρήθη πολυειδῶς ἔχων τοῦ λόγου καὶ πιθανῶς τῶν ἀποκρίσεων. Φιλίππῳ μὲν γὰρ στρατεύοντι ἐπὶ Βυζαντίους προαπαντήσας „εἰπέ μοι, ὦ Φίλιππε," ἔφη „τί παθὼν πολέμου ἄρχεις;" τοῦ δὲ εἰπόντος „ἡ πατρὶς ἡ σὴ καλλίστη πόλεων οὖσα ὑπηγάγετό με ἐρᾶν αὐτῆς καὶ διὰ τοῦτο ἐπὶ θύρας
15 τῶν ἐμαυτοῦ παιδικῶν ἥκω" ὑπολαβὼν ὁ Λέων „οὐ φοιτῶσιν" ἔφη „μετὰ ξιφῶν ἐπὶ τὰς τῶν παιδικῶν θύρας οἱ ἄξιοι τοῦ ἀντεραστὰς εἶναι, οὐ γὰρ πολεμικῶν ὀργάνων, ἀλλὰ μουσικῶν οἱ ἐρῶντες δέονται". καὶ ἠλευθέρου τὸ Βυζάντιον Δημοσθένους μὲν πολλὰ πρὸς Ἀθηναίους εἰπόντος, Λέοντος δὲ ὀλίγα πρὸς αὐτὸν Φίλιππον. καὶ πρεσβεύων δὲ παρ' Ἀθηναίους οὗτος ὁ Λέων ἐστασίαζε μὲν πολὺν ἤδη χρόνον ἡ πόλις καὶ παρὰ τὰ ἤθη ἐπολιτεύετο, παρελθὼν δ' ἐς τὴν ἐκκλησίαν προσέβαλεν
20 αὐτοῖς ἀθρόον γέλωτα ἐπὶ τῷ εἴδει, ἐπειδὴ πίων ἐφαίνετο καὶ περιττὸς τὴν γαστέρα, ταραχθεὶς δὲ οὐδὲν ὑπὸ τοῦ γέλωτος „τί," ἔφη „ὦ Ἀθηναῖοι, γελᾶτε; ἢ ὅτι παχὺς ἐγὼ καὶ τοσοῦτος; ἔστι μοι καὶ γυνὴ πολλῷ παχυτέρα, καὶ ὁμονοοῦντας μὲν ἡμᾶς χωρεῖ ἡ κλίνη, διαφερομένους δὲ οὐδὲ ἡ οἰκία" καὶ ἐς ἓν ἦλθεν ὁ τῶν Ἀθηναίων δῆμος ἁρμοσθεὶς ὑπὸ τοῦ Λέοντος σοφῶς ἐπισχεδιάσαντος τῷ καιρῷ.

25 γ. Δίας δὲ ὁ Ἐφέσιος τὸ μὲν πεῖσμα τῆς ἑαυτοῦ φιλοσοφίας ἐξ Ἀκαδημίας ἐβίβλητο, σοφιστὴς δὲ ἐνομίσθη διὰ τόδε· τὸν Φίλιππον ὁρῶν χαλεπὸν ὄντα τοῖς Ἕλλησιν ἐπὶ τὴν Ἀσίαν

α

1. παρ' αὐτοῦ. π, g. ib. εἰ πιστέα Αἰσχ. R. εἰ πιστέα Αἰσχ. f. (sic). εἰ πειστέα Αἰσχ. k et p. mg. ἐπὶ τῷ Αἰσχ. 2, 3, E. 2. μεταγαγών. 1. μετάγων. 2, 3, E. 3. παρὰ τοῖς Ῥοδίοις. R. ib. ἐγίγνωσκον. Val. ἐγίγνωσκεν. C, E.

4. σοφιστὰς — ταύτην. Synes. Dio 36, c. ib. σοφιστὰς οἱ παλαιοὶ ὠνόμαζον. h. ib. τε om. f, k. 5. προτέρων. f, k, 2, φ, π, g, E. προτέρα. R (sic). πρότερον. p, b, c, d, Syn. 6. εἰπεῖν. Syn. ib. δόξαντες. Syn. ib. ταύτην om. h.

7. γὰρ om. R, ν, β, μ. 8. ἐπαγγελίας. f, k. 9. ὁμωνυμίας. R. ib. κατά γε M. b, c, d. 10. ἐκείνων σοφιστῶν. h.

11. τῷ Πλάτωνι. ν, β. 12. πιθανὸς. h. ib. στρατεύουσι. h, ψ. 13. τί μαθὼν. f. 14. εἰπόντος· ἡ τε πατρὶς. R. εἰπόντος ὡς ἡ πατρὶς. f, ρ, k, ν, β, 2, 3, E. Scr. εἰπόντος· ἡ πατρὶς. 15. τῶν om. h, ψ, c, d, m, o. τῶν ἐμῶν π. Arsen. ed. W. 341. 16. πολεμίων. g. 17. ἠλευθερούτο τὸ B. k, μ. ἐλευθερούτο τὸ B. p (sic). ib. Δημοσθένης. h, ψ. ib. πρὸς τοὺς Ἀθηναίους. b. 18. παρ' Ἀθηναίους. ν, β, h, ψ, νε, ρε, παρ' Ἀθηναίοις f, ρ, k, μ, ox. b, c, d, 3, E. παρ' Ἀθηναίοις εἰπόντος. k. ib. οὗτος ὁ Λέων. R. ὁ Λέων οὗτος ς. 19. γὰρ πολύν. β. ib. παρὰ ἤθη. μ. ib. καὶ παρελθὼν εἰς. ν, β. ib. προσέβαλλεν. f. 20. Σ. ν. Λέων. οὗτος ἦν σφόδρα παχύς. καὶ πρεσβεύσας πρὸς Ἀθηναίους γέλωτα ἐκίνησε καὶ πρεσβείας ἐκράτησεν, ἐπειδὴ πίων ἐφαίνετο καὶ περιττὸς τὴν γαστέρα, ταραχθεὶς — τῷ καιρῷ. ib. ἐπεὶ πίων. ν, β. ib. τὴν γαστέρα περιττός. R. 21. τοιοῦτος. ψ, Σ praeter A, E, V. 22. καὶ ante γυνὴ om. g. ib. οὐδ' οἰκία. ν. correctum in οὐδ' ἠκία. οὐδὲν, οὐδὲ ἡ οἰκία. h. 23. σαφῶς. R. σοφῶς — καιρῷ om. ψ.

26. διὰ τοῦτο. g.

1, 1, 2, 3. p. 481. 485. = 6. 7. 8.

στρατεύειν ἔπεισε, καὶ πρὸς τοὺς Ἕλληνας διεξῆλθε λέγων, ὡς δέον ἀκολουθεῖν στρατεύοντι, 486
καλὸν γὰρ εἶναι καὶ τὸ ἔξω δουλεύειν ἐπὶ τῷ οἴκοι ἐλευθεροῦσθαι.

δ'. Καὶ Καρνεάδης δὲ ὁ Ἀθηναῖος ἐν σοφισταῖς ἐγράφετο, φιλοσόφως μὲν γὰρ κατεσκεύαστο τὴν γνώμην, τὴν δὲ ἰσχὺν τῶν λόγων ἐς τὴν ἄγαν ἤλαυνε δεινότητα.

ε'. Οἶδα καὶ Φιλόστρατον τὸν Αἰγύπτιον Κλεοπάτρᾳ μὲν συμφιλοσοφοῦντα τῇ βασιλίδι, σοφιστὴν δὲ προσρηθέντα, ἐπειδὴ λόγου ἰδέαν πανηγυρικὴν ἥρμοστο καὶ ποικίλην, γυναικὶ ξυνών, ᾗ καὶ αὐτὸ τὸ φιλολογεῖν τρυφὴν εἶχεν, ὅθεν καὶ παρῴδουν τινὲς ἐπ' αὐτῷ τόδε τὸ ἐλεγεῖον·

πανσόφου ὀργὴν ἔσχε Φιλοστράτου, ὃς Κλεοπάτρᾳ
νῦν προσομιλήσας τοῖος ἰδεῖν πέφαται.

ς'. Καὶ Θεόμνηστον δὲ τὸν Ναυκρατίτην ἐπιδήλως φιλοσοφήσαντα ἡ περιβολὴ τῶν λόγων ἐς τοὺς σοφιστὰς ἀπήνεγκεν.

ζ'. Δίωνα δὲ τὸν Προυσαῖον οὐκ οἶδ' ὅ τι χρὴ προσειπεῖν διὰ τὴν ἐς πάντα ἀρετήν, Ἀμαλ- 487
θείας γὰρ κέρας ἦν, τὸ τοῦ λόγου, ξυγκείμενος μὲν τῶν ἄριστα εἰρημένων τοῦ ἀρίστου, βλέπων δὲ πρὸς τὴν Δημοσθένους ἠχὼ καὶ Πλάτωνος, ᾗ, καθάπερ αἱ μαγάδες τοῖς ὀργάνοις, προσηχεῖ ὁ Δίων τὸ ἑαυτοῦ ἴδιον ξὺν ἀφελείᾳ ἐπεστραμμένῃ. ἀρίστη δὲ ἐν τοῖς Δίωνος λόγοις καὶ ἡ τοῦ ἤθους κρᾶσις· ὑβριζούσαις τε γὰρ πόλεσι πλεῖστα ἐπιπλήξας οὐ φιλολοίδορος, οὐδὲ ἀηδὴς ἔδοξεν, ἀλλ' οἷον ἵππων ὕβριν χαλινῷ καταρτύων μᾶλλον ἢ μάστιγι, πόλεών τε εὐνομουμένων ἐς ἐπαίνους καταστὰς οὐκ ἐπαίρειν αὐτὰς ἔδοξεν, ἀλλ' ἐπιστρέφειν μᾶλλον ὡς ἀπολουμένας, εἰ μεταβάλοιντο. ἦν δὲ αὐτῷ καὶ τὸ τῆς ἄλλης φιλοσοφίας ἦθος οὐ κοινὸν οὐδὲ εἰρωνικόν, ἀλλὰ ἐμβριθῶς μὲν ἐγκείμενον, κεχρωσμένον δέ, οἷον ἡδύσματι, τῇ πραότητι. ὡς δὲ καὶ ἱστορίαν ἱκανὸς ἦν ξυγγράφειν, δηλοῖ τὰ Γετικά, καὶ γὰρ δὴ καὶ ἐς Γέτας ἦλθεν, ὁπότε ἠλᾶτο. τὸν δὲ Εὐβοέα καὶ τὸν τοῦ ψιττακοῦ ἔπαινον καὶ ὁπόσα οὐχ ὑπὲρ μεγάλων ἐσπούδασται τῷ Δίωνι, μὴ μικρὰ ἡγώμεθα, ἀλλὰ σοφιστικά, σοφιστοῦ γὰρ τὸ καὶ ὑπὲρ τοιούτων σπουδάζειν.

Γενόμενος δὲ κατὰ τοὺς χρόνους, οὓς Ἀπολλώνιός τε ὁ Τυανεὺς καὶ Εὐφράτης ὁ Τύριος 488

1. ἐποίησεν. R, v, f. Scr. ἔπεισεν. ib. λέγων. l. λόγον. 2, 3, E. ib. δέον. C, E. Fo: δέοι. 2. καὶ om. R. ib. δουλεύειν ἐποίησε. h, ψ.

3. καὶ Καρνεσαδὲ. R. καὶ om. b, c, d. καὶ Κ. μὲν ὁ Ἀθ. σ. ἐγράφετο. g. δὲ om. ψ. ἐγέγραπτο. μ. ὁ. om. o. ib. φιλόσοφος. R, k. ib. γὰρ om. c, h.

5. συμφιλοσοφοῦντα. r, f. συμφιλοσοφήσαντα. β, ν, 2, 3, E. 6. λόγου ἰδέαν πανηγυρικὴν ἥρμοστο. ρ, k, 2, 3, E. ἥρμοστο λόγου ἰδέαν πανηγυρικὴν. ν, β. λόγου ἰδέαν πανηγυρικὴν καὶ ποικίλην ἤσκει. R. ib. γυναιξὶ ξυνών. h, ψ, p (ante corr.), φ, e, m (corr. a B.). 7. ᾗ. g. ᾗ. 1, 2, p, φ, π, o. ᾗ. e, m. ib. αὐτή. ν, β. ib. αὐτὸς. c, m. ib. τοῦτο. h. 9. ἔσχε. ρ, k, ν, β, 2, 3, o. ἔσχε. R, r, f, e, m (in mg). ib. Κλεοπέτρᾳ. h. 10. πέφανται. R, r, f, ρ, ν, β, μ, ox, h, π, g, b, c, d. πέφατε. ψ. πέφανται k (sic). πέφανται p, l, e. πέφαται. φ. corr. al. m. ἐφάνη. m, o.

11. καὶ om. R. ib. δὲ om. b, c, d. ib. Θεόμνηστον om. g. 12. ἀπήνεγκεν. r, f, φ. ἐπήνεγκε. ρ, k.

13. Βίωνα. h. 14. ξυγκείμενον. 2. ib. τοῦ ἀρίστου. R. τοῖς ἀρίστοις ς. 15. ᾗ καθάπερ. R, e, m. ᾗ καθ. μ. o. 16. ὠφελείᾳ. h. ἀσφαλείᾳ. ψ. ib. λόγοις ᾗ. β, ν, g. 18. ἔδειξεν. r (sic). ib. ὕβριν ἵππων. μ. ib. καταρτύνων. E. ib. εὐνοουμένων. h, ψ. 19. αὐτοὺς. h, ψ. 20. μεταβάλλοιντο. ψ, π, b. ib. αὐτοῦ. R. ib. ἄλλης φιλ. εἶδος R. ib. οὐ om. ψ. ib. κοινωνικόν. ν, β. ib. εἰρωνίζον, καὶ ἐμβριθῶς E. 22. ἱκανῶς. g. ib. ξυγγράφειν. f, b. ib. δηλοῦσι. R. 23. τοῦ Δίωνος. R. 24. ἡγούμεθα. h, ψ. ib. σοφιστοῦ τε γὰρ καὶ. R. ib. καὶ om. g. ib. ὑπὲρ τῶν τοιούτων. ν, β. ib. γράφειν. R.

25. κατὰ τοὺς χρόνους. k, ρ. κατὰ χρόνους. 1 praeter k, 2, 3 (praeter p,) E. ib. ὁ Ἀπ. β.

1. 4. 5. 6. 7. p. 486. 487. 488. = 8. 9. 10. §. 1, 2.

ἐφιλοσόφουν, ἀμφοτέροις ἐπιτηδείως εἶχε καίτοι διαφερομένοις προς ἀλλήλους ἔξω τοῦ φιλοσοφίας ἤθους. τὴν δὲ ἐς τὰ Γετικὰ ἔθνη πάροδον τοῦ ἀνδρὸς φυγὴν μὲν οὐκ ἀξιῶ ὀνομάζειν, ἐπεὶ μὴ προσετάχθη αὐτῷ φυγεῖν, οὐδὲ ἀποδημίαν, ἐπειδὴ τοῦ φανεροῦ ἐξέστη κλέπτων ἑαυτὸν ὀφθαλμῶν τε καὶ ὤτων καὶ ἄλλα ἐν ἄλλῃ γῇ πράττων δέει τῶν κατὰ τὴν πόλιν τυραννίδων, ὑφ' ὧν ἠλαύνετο φιλοσοφία πᾶσα. φυτεύων δὲ καὶ σκάπτων καὶ ἐπαντλῶν βαλανείοις τε καὶ κήποις καὶ πολλὰ τοιαῦτα ὑπὲρ τροφῆς ἐργαζόμενος οὐδὲ τοῦ σπουδάζειν ἠμέλει, ἀλλ' ἀπὸ δυοῖν βιβλίοιν ἑαυτὸν ξυνεῖχεν· ταυτὶ δὲ ἦν ὅ τε Φαίδων ὁ τοῦ Πλάτωνος καὶ Δημοσθένους ὁ κατὰ τῆς πρεσβείας. θαμίζων δὲ ἐς τὰ στρατόπεδα, ἐν οἷσπερ εἰώθει τρύχεσθαι, καὶ τοὺς στρατιώτας ὁρῶν ἐς νεώτερα ὁρμῶντας ἐπὶ Λομετιανῷ ἀπεσφαγμένῳ οὐκ ἐφείσατο ἀταξίαν ἰδὼν ἐκραγεῖσαν, ἀλλὰ γυμνὸς ἀναπηδήσας ἐπὶ βωμὸν ὑψηλὸν ἤρξατο τοῦ λόγου ὧδε·

„αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς,"

καὶ εἰπὼν ταῦτα καὶ δηλώσας ἑαυτόν, ὅτι μὴ πτωχός, μηδὲ ὧν ᾤοντο, Δίων δὲ εἴη ὁ σοφός, ἐπὶ μὲν τὴν κατηγορίαν τοῦ τυράννου πολὺς ἔπνευσεν, τοὺς δὲ στρατιώτας ἐδίδαξεν ἀμείνω φρονεῖν τὰ δοκοῦντα Ῥωμαίοις πράττοντας. καὶ γὰρ ἡ πειθὼ τοῦ ἀνδρὸς οἷα καταθέλξαι καὶ τοὺς μὴ τὰ Ἑλλήνων ἀκριβοῦντας· Τραιανὸς γοῦν ὁ αὐτοκράτωρ ἀναθέμενος αὐτὸν ἐπὶ τῆς Ῥώμης ἐς τὴν χρυσῆν ἅμαξαν, ἐφ' ἧς οἱ βασιλεῖς τὰς ἐκ τῶν πολέμων πομπὰς πομπεύουσιν, ἔλεγε θαμὰ ἐπιστρεφόμενος ἐς τὸν Δίωνα „τί μὲν λέγεις, οὐκ οἶδα, φιλῶ δέ σε ὡς ἐμαυτόν."

Σοφιστικώτατοι δὲ τοῦ Δίωνος αἱ τῶν λόγων εἰκόνες, ἐν αἷς εἰ καὶ πολύς, ἀλλὰ καὶ ἐναργὴς καὶ τοῖς ὑποκειμένοις ὅμοιος.

489 ἡ. Ὁμοίως καὶ Φαβωρῖνον τὸν φιλόσοφον ἡ εὐγλωττία ἐν σοφισταῖς ἐκήρυττεν. ἦν μὲν γὰρ τῶν ἑσπερίων Γαλατῶν οὗτος, Ἀρελάτου πόλεως, ἣ ἐπὶ Ἠριδανῷ ποταμῷ ᾤκισται, διφυὴς δὲ ἐτέχθη καὶ ἀνδρόθηλυς, καὶ τοῦτο ἐδηλοῦτο μὲν καὶ παρὰ τοῦ εἴδους, ἀγενείως γὰρ τοῦ προσώπου καὶ γηράσκων εἶχεν, ἐδηλοῦτο δὲ καὶ τῷ φθέγματι, ὀξυηχὲς γὰρ ἠκούετο καὶ λεπτὸν καὶ ἐπίτονον, ὥσπερ ἡ φύσις τοὺς εὐνούχους ἥρμοκεν. θερμὸς δὲ οὕτω τις ἦν τὰ ἐρωτικά, ὡς καὶ μοιχοῦ λαβεῖν
11 αἰτίαν ἐξ ἀνδρὸς ὑπάτου. διαφορᾶς δὲ αὐτῷ πρὸς Ἀδριανὸν βασιλέα γενομένης οὐδὲν ἔπαθεν. ὅθεν ὡς παράδοξα ἐπεχρησμῴδει τῷ ἑαυτοῦ βίῳ τρία ταῦτα· Γαλάτης ὢν ἑλληνίζειν, εὐνοῦχος ὢν μοιχείας κρίνεσθαι, βασιλεῖ διαφέρεσθαι καὶ ζῆν. τουτὶ δὲ Ἀδριανοῦ ἔπαινος εἴη ἂν μᾶλλον, εἰ βασιλεὺς ὢν ἀπὸ τοῦ ἴσου διεφέρετο πρὸς ὃν ἐξῆν ἀποκτεῖναι. βασιλεὺς δὲ κρείττων,

1. ἀμφοτέροις ἐπιτηδείως εἶχε. R, r, f, β, ν. ἀμφοτέροις μὲν ἐπιτηδείως εἶχε. ρ. particula a sec. m. supra scr. ἀμφ. μὲν ἐπιτηδ. εἶχε. k, 2, 3, E. ib. πρὸς om. R. 2. τὰ Γετικὰ. C. Γετικὰ E. ib. ἔθη. R. ib. οὐκ ἀπαξιῶ, ἐπειδὴ προσετάχθη. r, ρ, k, et f. ubi corr. in mg. οὐκ ἀξιοῦν, ἐπεὶ οὐ προσετάχθη. R. 3. αὐτοῦ φυγή, οὐδὲ ἀποδημία. R. 4. καὶ ἄλλα — πράττων om. R. ib. κατὰ τὴν πόλιν. R, β, ν. κατὰ τὴν Ῥώμην. r, f, ρ, k, et p ex corr. Ῥωμαίων. 2, 3, E. ib. τυραννίδα. h, ψ, φ, E. 5. βαλανείοις τε. r, f, ρ, k. βαλανείοις. β, ν. 2, 3, E. ib. πολλάκις. k. 6. τροφῆς. h, ψ. ib. ἀλλὰ δυοῖν. R. ib. βιβλίων. ψ, E. 7. Δημοσθένης. R, g, h, ψ, E. 8. ἐς τὰ στρατόπεδα. ν, β. ἑστρατόπαιδα. r. ἑστρατοπεδα. f. ἐς στρατόπεδον. b, c, d, ox. ἐς στρατόπεδα. ς. 13. ἀμείνω. R. ἄμεινον. ς. 14. καὶ γὰρ ἡ. r, f. καὶ γὰρ καὶ ἡ. R, ρ, k, ν, β, 2, 3, E. ib. οἷα. E. ib. μὴ τῶν. β, ν. 15. Τρ. γ' οὖν. r. ib. ὁ αὐτοκράτωρ R et p ex corr. αὐτοκράτωρ. ς. ib. ἐς τὴν χρυσῆν ἅμαξαν ἐπὶ τῆς Ῥώμης. R. 16. τοῖς ἐκ. π, g. ib. πόλεων. R. ib. θαμινὰ k. 17. ἐς τὸν Δ. r, f, ve. πρὸς τὸν Δ. ς. ib. Δίωνος. h. ib. τί με. π.

α

18. δὲ om. R. ib. καὶ πολλοῖς. R. ib. ἐναργής. 1 (ἐνεργὴς. r), p, ubi καὶ in ordine omissum habet margo. ἐνεργής. h, ψ, φ, π, g, b, c, d, e. ἐναργός. μ. ἐνεργὸς. ox. 19. ὑποκειμένοις. 1, p, φ, E. κειμένοις. 2. συγκειμένοις. π, g, b, c, d. ib. ὅμοιαι. R.

20. ὁμοίως καὶ. 1. καὶ. 2, 3, E. ib. Φαβουρῖνον. R, r. sic ubique. ib. τὸν σοφὸν. f. ib. εὐγλωττία om. artic. R, r, f, ν, β, non ρ, k. 21. Ἀρελάτου — ᾤκισται om. R et r. pr. m. ib. ἐπὶ ῥιδανῷ. r. ἐπὶ Ἠριδανῷ. f, ρ, k. ἐπ' Ἠριδανῷ. ν, β, 2, 3. e, m. ἐπὶ Ῥοδανῷ. o ut voluere Salm. Casaub. Huet. 24. ἥρμοκεν. r, f. ib. οὕτως τις. R. οὕτω τι ο ex ve. ib. καὶ ὡς. h. 25. Ἀνδριανὸν. k, h. ib. γενόμενος. μ. 26. ὅθεν καί. g. ib. παράδοξον. R. ib. βιβλίῳ. k. 27. τουτὶ δὲ. 1 et p ex corr. τοῦ δὲ. 2, 3, E. ib. εἴη ἂν 1. ἂν εἴη. ve, β, ν, 2, 3, E. 28. ἀπὸ τοῦ ἴσου διεφέρετο. 1. διεφέρετο ἀπὸ τοῦ ἴσου. 2, 3, E.

1, 7. 8. §. 1, 2. p. 489. = 10. 11.

„ὅτε χώσεται ἀνδρὶ χέρηι,“

ἦν ὀργῆς κρατῇ, καὶ

„θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων“

ἦν λογισμῷ κολάζηται. βέλτιον δὲ ταῦτα ταῖς τῶν ποιητῶν δόξαις προσγράφειν τοὺς εὖ τιθεμένους τὰ τῶν βασιλέων ἤθη.

Ἀρχιερεὺς δὲ ἀναρρηθεὶς ἐς τὰ οἴκοι πάτρια ἐφῆκε μὲν κατὰ τοὺς ὑπὲρ τῶν τοιούτων νόμους, 490
ὡς ἀφειμένος τοῦ λειτουργεῖν, ἐπειδὴ ἐφιλοσόφει, τὸν δὲ αὐτοκράτορα ὁρῶν ἐναντίαν ἑαυτῷ θέσθαι διανοούμενον, ὡς μὴ φιλοσοφοῦντι, ὑπετέμετο αὐτὸν ὧδε· „ἐνύπνιόν μοι,“ ἔφη „ὦ βασιλεῦ, γέγονεν, ὃ καὶ πρὸς σὲ χρὴ εἰρῆσθαι· ἐπιστὰς γάρ μοι Δίων ὁ διδάσκαλος ἐνουθέτει με ὑπὲρ τῆς δίκης λέγων, ὅτι μὴ ἑαυτοῖς μόνον, ἀλλὰ καὶ ταῖς πατρίσι γεγόναμεν· ὑποδέχομαι δή, ὦ βασιλεῦ, τὴν λειτουργίαν καὶ τῷ διδασκάλῳ πείθομαι.“ ταῦτα ὁ μὲν αὐτοκράτωρ διατριβὴν ἐπεποίητο, 111
καὶ διῆγε τὰς βασιλείους φροντίδας ἀπονεύων ἐς σοφιστάς τε καὶ φιλοσόφους, Ἀθηναίοις δὲ δεινὰ ἐφαίνετο καὶ συνδραμόντες αὐτοὶ μάλιστα οἱ ἐν τέλει Ἀθηναῖοι χαλκῆν εἰκόνα κατέβαλον τοῦ ἀνδρὸς ὡς πολεμιωτάτου τῷ αὐτοκράτορι· ὁ δέ, ὡς ἤκουσεν, οὐδὲν σχετλιάσας οὐδὲ ἀγριάνας ὑπὲρ ὧν ὕβριστο „ὤνητ' ἄν“ ἔφη „καὶ Σωκράτης εἰκόνα χαλκῆν ὑπ' Ἀθηναίων ἀφαιρεθεὶς μᾶλλον ἢ πιὼν κώνειον.“

Ἐπιτηδειότατος μὲν οὖν Ἡρώδῃ τῷ σοφιστῇ ἐγένετο διδάσκαλόν τε ἡγουμένῳ καὶ πατέρα καὶ πρὸς αὐτὸν γράφοντι „πότε σε ἴδω καὶ πότε σου περιλείξω τὸ στόμα;“ ὅθεν καὶ τελευτῶν κληρονόμον Ἡρώδην ἀπέφηνε τῶν τε βιβλίων, ὁπόσα ἐκέκτητο, καὶ τῆς ἐπὶ τῇ Ῥώμῃ οἰκίας καὶ τοῦ Αὐτοληκύθου. ἦν δὲ οὗτος Ἰνδὸς μὲν καὶ ἱκανῶς μέλας, ἄθυρμα δὲ Ἡρώδου τε καὶ Φαβωρίνου, ξυμπίνοντας γὰρ αὐτοὺς διῆγεν ἐγκαταμιγνὺς Ἰνδικοῖς Ἀττικὰ καὶ πεπλανημένῃ τῇ γλώττῃ βαρβαρίζων.

Ἡ δὲ γενομένη πρὸς τὸν Πολέμωνα τῷ Φαβωρίνῳ διαφορὰ ἤρξατο μὲν ἐν Ἰωνίᾳ προσθεμένων αὐτῷ τῶν Ἐφεσίων, ἐπεὶ τὸν Πολέμωνα ἡ Σμύρνα ἐθαύμαζεν, ἐπέδωκε δὲ ἐν τῇ Ῥώμῃ, ὕπατοι γὰρ καὶ παῖδες ὑπάτων οἱ μὲν τὸν ἐπαινοῦντες, οἱ δὲ τόν, ἤρξαν αὐτοῖς φιλοτιμίας, ἣ πολὺν ἐκαίει φθόνον καὶ σοφοῖς ἀνδράσιν. συγγνωστοὶ μὲν οὖν τῆς φιλοτιμίας, τῆς ἀνθρωπείας φύσεως 491
τὸ φιλότιμον ἀγήρω ἡγουμένης, μεμπτέοι δὲ τῶν λόγων, οὓς ἐπ' ἀλλήλους ξυνέθεσαν. ἀσελγὴς γὰρ λοιδορία, κἂν ἀληθὴς τύχῃ, οὐκ ἀφίησιν αἰσχύνης οὐδὲ τὸν ὑπὲρ τοιούτων εἰπόντα. τοῖς μὲν

2. κρατέῃ. r. 3. βασιλῆων. f. (sic.) διοτρεφέος βασιλῆος. β, v. 4. ἦν λογισμῷ. 1. ἦν μὴ λογισμῷ. 2, 3, E. ib. βέλτιον δὲ. 1. βέλτιον γὰρ. 2, 3, E. ib. προγράφειν. R. ib. τοὺς εὖ τιθεμένους. 1 et p ex corr. τῶν εὖ τιθεμένων. 2, 3, E.

6. ὡς τὰ οἴκοι. R, r, f, β, v. εἰς τὰ οἴκοι. p, h. ἐς τ. ὁ. ς. 7. ἑαυτῷ. R. αὐτῷ cett. C (praeter μ, qui om. pronomen,) et E. 8. ὦ βασιλεῦ ἔφη. f, ρ, k. 9. ἐνουθέτει μὲν. ox. h, l. ib. ὑπὸ τῆς. f, β, v. 10. μόνοιν. h. ib. τοῖς πατρίσι. φ, (in mg. ταῖς) i. ib. ὑποδέχομαι δὲ. k, E. 11. τοῖς διδασκάλοις β. idem, superscr. τῷ διδασκάλῳ. v. ib. πεποίητο. R. 12. διῆγεν. r, f. ib. ἀπονεύων σοφιστὰς καὶ φιλ. R. ib. δεινὰ k (sic). δεινὸς. β, v. Atheniensibus cum gravis videretur. Bonf. Inde δεινὸς. o. 13. δραμόντες. π. 14. οἱ δὲ ὡς. k. ib. ὡς ἤκουσεν om. R. ib. σχεταλιάσας. f. ib. οὐδὲν ἀγρ. β. 15. ὤναιτ' ἄν. v. ὤνατ' ἄν. β. ὄναιτ' ἄν. p, g. ib. μᾶλλον om. R, π, g. 16. κώνιον. r.

17. Ἡρώδης. e, m. ib. διδάσκαλον — στόμα. om. R. β, v. ib. διδάσκαλον ἡγούμενος. K. 18. πότε σε εἶδω. r, f, ρ, k. ποῦ σε εἶδω. 2, 3, e. 19. ἀπέφαινε. f, k. ib. τῶν βιβλίων. R. ib. ὁπόσα ἐκέκτητο. r, f, ρ et p sec. m. ὅσα ἐκέκτητο. k. om. haec R, v, β, 2, 3, E. ib. τῆς ἐπὶ τῇ Ῥώμῃ r, f, ρ. τῆς ἐπὶ Ῥ. R, v, β, 2, 3, E. τῆς αὐτῆς ἐπὶ τῇ Ῥ. k. 20. μὲν om. 1. Ἰνδὸς μέγας καὶ. h. ib. Ἡρώδου καὶ Φαβ· μ.

23. τῷ Φ. — ἐπεὶ τὸν Πολέμωνα om. R. r, et v etiam usque ad ἐθαύμαζεν. 24. ἐθαύμασεν. R. ib. δὴ ἐν. v. δ' ἐν. m, o. 25. παῖδες ὕπατοι. h. ib. ἦρξεν αὐτοὶ. R. 26. ἐκχέει. v, β. ἡ πολὺν ἐκαίει om. R, r, k. ib. φθόνον καὶ σοφοῖς ἀνδράσι. ρ, v, β, p ex corr. Haec omissa in R, r, k, φ. καὶ σοφοῖς ἀνδράσι τὸν πόλεμον. f, 2, 3, E. ib. συγγνωστοὶ μὲν οὖν τῆς φιλοτιμίας om. R, r. συγγνωστοὶ μὲν οὖν τῆς φιλοτιμίας, τῆς ἀνθρωπείας φύσεως τὸ φιλότιμον ἀγήρων ἡγουμένης. v, β, p ex corr. τῆς ἀνθρωπείας φύσεως τὸ φιλότιμον ἄγηρων ἡγουμένης. συγγνωστοὶ μὲν οὖν τῆς φιλοτιμίας. f, ρ, k, 2, 3, E. 27. ἀγήρω. R. ἀγήρων. ς. ib. μεμπτέοι. r, f, ρ, v, β. μεμπτέον. R, k. μεμπτοὶ. 2, 3, E. ib. ἐπ' ἀλλήλους. R, k. ἐπ' ἀλλήλοις. ς. 28. οὐδὲ τὸν αὐτὸν. k.

1, 8. §. 3. p. 490. 491. = 11. 12.

οὖν σοφιστὴν τὸν Φαβωρῖνον καλοῦσιν ἀπέχρη ἐς ἀπόδειξιν καὶ αὐτὸ τὸ διενεχθῆναι αὐτὸν σοφιστῇ, τὸ γὰρ φιλότιμον, οὗ ἐμνήσθην, ἐπὶ τοὺς ἀντιτέχνους φοιτᾷ.

IV Ἥρμοσται δὲ τὴν γλῶτταν ἀνειμένως μέν, σοφῶς δὲ καὶ ποτίμως. ἐλέγετο δὲ σὺν εὐροίᾳ σχεδιάσαι. τὰ μὲν δὴ ἐς Πρόξενον μήτ' ἂν ἐνθυμηθῆναι τὸν Φαβωρῖνον ἡγώμεθα μήτ' ἂν ξυνθεῖναι, ἀλλ' εἶναι αὐτὰ μειρακίου φρόντισμα μεθύοντος, μᾶλλον δὲ ἐμοῦντος, τὸν δὲ ἐπὶ τῷ λήρῳ καὶ τὸν ὑπὲρ τῶν μονομάχων καὶ τὸν ὑπὲρ τῶν βαλανείων γνησίους τε ἀποφαινόμεθα καὶ εὖ ξυγκειμένους, καὶ πολλῷ μᾶλλον τοὺς φιλοσοφουμένους αὐτῷ τῶν λόγων, ὧν ἄριστοι οἱ Πυρρώνειοι· τοὺς γὰρ Πυρρωνείους ἐφεκτικοὺς ὄντας οὐκ ἀφαιρεῖται καὶ τὸ δικάζειν δύνασθαι.

Διαλεγομένου δὲ αὐτοῦ κατὰ τὴν Ῥώμην μεστα ἦν σπουδῆς πάντα, καὶ γὰρ δὴ καὶ ὅσοι τῆς Ἑλλήνων φωνῆς ἀξύνετοι ἦσαν, οὐδὲ τούτοις ἀφ' ἡδονῆς ἡ ἀκρόασις ἦν, ἀλλὰ κἀκείνους ἔθελγε τῇ τε ἠχῇ τοῦ φθέγματος καὶ τῷ σημαίνοντι τοῦ βλέμματος καὶ τῷ ῥυθμῷ τῆς γλώττης. ἔθελγε δὲ αὐτοὺς τοῦ λόγου καὶ τὸ ἐπὶ πᾶσιν, ὃ ἐκεῖνοι μὲν ᾠδὴν ἐκάλουν, ἐγὼ δὲ φιλοτιμίαν, ἐπειδὴ τοῖς ἀποδεδειγμένοις ἐφυμνεῖται. Δίωνος μὲν οὖν ἀκοῦσαι λέγεται, τοσοῦτον δὲ ἀφέστηκεν, ὅσον οἱ μὴ ἀκούσαντες.

492 Τοσαῦτα μὲν ὑπὲρ τῶν φιλοσοφησάντων ἐν δόξῃ τοῦ σοφιστεῦσαι. οἱ δὲ κυρίως προσρηθέντες σοφισταὶ ἐγένοντο οἵδε·

Θ'. Σικελία Γοργίαν ἐν Λεοντίνοις ἤνεγκεν, ἐς ὃν ἀναφέρειν ἡγώμεθα τὴν τῶν σοφιστῶν τέχνην, ὥσπερ ἐς πατέρα· εἰ γὰρ τὸν Αἰσχύλον ἐνθυμηθείημεν, ὡς πολλὰ τῇ τραγῳδίᾳ ξυνεβάλετο ἐσθῆτί τε αὐτὴν κατασκευάσας καὶ ὀκρίβαντι ὑψηλῷ καὶ ἡρώων εἴδεσιν ἀγγέλοις τε καὶ ἐξαγγέλοις καὶ οἷς ἐπὶ σκηνῆς τε καὶ ὑπὸ σκηνῆς χρὴ πράττειν, τοῦτο ἂν εἴη καὶ ὁ Γοργίας τοῖς ὁμοτέχνοις. ὁρμῆς τε γὰς τοῖς σοφισταῖς ἦρξε καὶ παραδοξολογίας καὶ πνεύματος καὶ τοῦ τὰ μεγάλα μεγάλως ἑρμηνεύειν, ἀποστάσεών τε καὶ προσβολῶν, ὑφ' ὧν ὁ λόγος ἡδίων ἑαυτοῦ γίγνεται καὶ σοβαρώτερος, περιεβάλλετο δὲ καὶ ποιητικὰ ὀνόματα ὑπὲρ κόσμου καὶ σεμνότητος. πῶς μὲν οὖν καὶ ῥᾷστα ἀπεσχεδίαζεν, εἴρηταί μοι κατὰ ἀρχὰς τοῦ λόγου. διαλεχθεὶς δὲ Ἀθήνησιν ἤδη γηράσκων εἰ μὲν ὑπὸ τῶν πολλῶν ἐθαυμάσθη, οὔπω θαῦμα, ὁ δέ, οἶμαι, καὶ τοὺς ἐλλογιμωτάτους ἀνηρτήσατο.

493 Κριτίαν μὲν καὶ Ἀλκιβιάδην νέω ὄντε, Θουκυδίδην δὲ καὶ Περικλέα ἤδη γηράσκοντε. καὶ Ἀγάθων

1. ἀπέχρη. r, f. ἀποχρῆ. ς. ib. αὐτὸ τὸ διενεχθῆναι αὐτὸν σοφιστῇ. ν, β. αὐτὸ τὸ σοφιστῇ αὐτὸν διενεχθῆναι ς. nisi quod e. αὐτῷ τῷ, etiam h, m. αὐτῷ τὸ k. 2. ἐμνήσθην. 1. ἐπεμνήσθην. 2, 3, E.

3. ἥρμοσται. 1, p ex corr. Θ. s. v. ἥρμοστο. 2, 3, E. ib. ποτίμως. C praeter φ, ubi προτίμως. ποτίμως etiam a. προτίμως. i, j. προθύμως. m, o. — ib. δὲ σὺν. 1. δὲ καὶ σὺν β, ν. 2, 3, E. ib. εὐροίαν. k. εὐροίᾳ. E. 4. ἡγώμεθα. C. ἡγούμεθα. E. 5. ταῦτα. f, ρ, k. ib. φρόντισμα. k. φροντίσματα. ς. ib. ἐπὶ τῷ λήρῳ. R, r, β, ν et p in mg. ἐπὶ τῶν λήρων. f, ρ. ἐπὶ τῶν κληρων. k. ἐπὶ τῷ ἀώρῳ. 2, 3, E. ἐτῷ ἀώρῳ. h. 6. ἀποφαινομεθα. r (sic ἀτόνως). ἀποφαινόμεθα. k, φ, π, g, E. ἀποφαινοίμεθα. R, f, ν, β. ἀποφαινώμεθα. μ, h, p. 7. αὐτοῦ τῶν. R. μὲν αὐτῷ τῶν. ν, β. ib. οἱ ἄριστοι. k. ib. *Πυρρούνιοι* R. *Πυρρώνιοι*. r. *Πυρώνειοι*. ν, β. 8. τοὺς — δύνασθαι om. β, ν. ib. *Πυρρωνίους*. r.

9. οὐ γὰρ. g. 11. τῇ τε ἠχῇ. 1. τῇ τε ἠχοῖ. 2, 3, E. 12. τοῦ λόγου καὶ τὸ ἐπὶ πᾶσι. ν, β, ρ, k. τοῦ λόγου καὶ τὸ ἐπιπᾶσιν. R, r. τοῦ λόγου. καὶ τὸ ἐπὶ πᾶσιν f. καὶ τὸ ἐπὶ πᾶσι τοῦ λόγου. 2, 3, et in φ: καὶ τῇ ἐπιτάσει τοῦ λόγου al. m. in mg. inde habent E. τῶ ἐπιπᾶσι τ. λόγ. l. 13. ἀκοῦσαι λέγων. k. 14. μηδὲ. μ.

15. τοσαῦτα. 1, p, g. καὶ τοσαῦτα. μ, h, φ, π, E.

17. ἐν Λεοντίνων. μ, ox, h. ib. ἤγαγεν. h. ib. ἡγώμεθα. 1 et p ex corr. ἡγούμεθα. 2, 3, E. ib. τὴν τῶν σοφιστῶν τέχνην, ὥσπερ ἐς πατέρα. 1. ὥσπερ ἐς πατέρα τὴν τῶν σοφιστῶν τέχνην. 2, 3, E. 18. συνεβάλλετο. R. ξυνεβάλλετο. ν. 19. ἐπισκευάσας. ν, β. 20. καὶ ὑπὸ σκηνῆς om. R. ib. καὶ ὁ Γοργίας τοῖς ὁμοτέχνοις. r. καὶ ὁ Γοργίας ἐν τοῖς ὁμοτέχνοις. f, ρ, k. ὁ Γοργίας ἐν τοῖς ὁμοτέχνοις. R. καὶ ἐν τοῖς ὁμοτέχνοις ὁ Γοργίας. ν, β, 2, 3, E. 22. ἀποστάσεώς τε. 2. ib. προσβολῶν. Val. o. προ βολῶν R, sic lacunula relicta. προβολῶν r, ρ, k, ν, β. προβόλων. f, 2, φ, π, g, e. προβόλῶν p. τριβόλων. m. περιβολῶν. B. ib. ὅδ' ἑαυτοῦ. ν, β, γίνεται. R, ν, β, om. ς. ib. σοβαρώτερον. ox, h. 23. παρεβάλετο. R. περιεβάλετο. ν, β, 2, 3, E. ib. καὶ λαμπρότητος. R. ib. πῶς. 1. ὅπως. 2, 3, E. 24. κατὰ ἀρχὰς. r, ν, β. κατὰ ἀρχὰς τοῦ λόγου om. R, ν. β. 25. ὑπὲρ τῶν π. k. ὑπὸ πολλῶν. ν, β. 26. ὄντες — γηράσκοντες. ν, β. ὄντι — γηράσκοντι. h.

1, 8. §. 1, 9. §. 1. p. 492. 493. = 12. 13. 14.

δὲ ὁ τῆς τραγῳδίας ποιητής, ὃν ἡ κωμῳδία σοφόν τε καὶ καλλιεπῆ οἶδε, πολλαχοῦ τῶν ἰάμβων γοργιάζει.

Ἐμπρέπων δὲ καὶ ταῖς τῶν Ἑλλήνων πανηγύρεσι τὸν μὲν λόγον τὸν Πυθικὸν ἀπὸ τοῦ βωμοῦ 11
ἤχησεν, ἐφ' οὗ καὶ χρυσοῦς ἀνετέθη, ἐν τῷ τοῦ Πυθίου ἱερῷ, ὁ δὲ Ὀλυμπικὸς λόγος ὑπὲρ τοῦ
μεγίστου αὐτῷ ἐπολιτεύθη· στασιάζουσαν γὰρ τὴν Ἑλλάδα ὁρῶν ὁμονοίας ξύμβουλος αὐτοῖς ἐγένετο 5
τρέπων ἐπὶ τοὺς βαρβάρους καὶ πείθων ἄθλα ποιεῖσθαι τῶν ὅπλων μὴ τὰς ἀλλήλων πόλεις, ἀλλὰ
τὴν τῶν βαρβάρων χώραν. ὁ δὲ ἐπιτάφιος, ὃν διῆλθεν Ἀθήνησιν, εἴρηται μὲν ἐπὶ τοῖς ἐκ τῶν
πολέμων, [πεσοῦσιν] οὓς Ἀθηναῖοι δημοσίᾳ ξὺν ἐπαίνοις ἔθαψαν, σοφίᾳ δὲ ὑπερβαλλούσῃ ξύγκει-
ται, παροξύνων τε γὰρ τοὺς Ἀθηναίους ἐπὶ Μήδους τε καὶ Πέρσας καὶ τὸν αὐτὸν νοῦν τῷ
Ὀλυμπικῷ ἀγωνιζόμενος ὑπὲρ ὁμονοίας μὲν τῆς πρὸς τοὺς Ἕλληνας οὐδὲν διῆλθεν, ἐπειδὴ πρὸς 10
Ἀθηναίους ἦν ἀρχῆς ἐρῶντας, ἣν οὐκ ἦν κτήσασθαι μὴ τὸ δραστήριον αἱρουμένους, ἐνδιέτριψε 494
δὲ τοῖς τῶν Μηδικῶν τροπαίων ἐπαίνοις, ἐνδεικνύμενος αὐτοῖς, ὅτι τὰ μὲν κατὰ τῶν βαρβάρων
τρόπαια ὕμνους ἀπαιτεῖ, τὰ δὲ κατὰ τῶν Ἑλλήνων θρήνους.

Λέγεται δὲ ὁ Γοργίας ἐς ὀκτὼ καὶ ἑκατὸν ἐλάσας ἔτη μὴ καταλυθῆναι τὸ σῶμα ὑπὸ τοῦ 111
γήρως, ἀλλ' ἄρτιος καταβιῶναι καὶ τὰς αἰσθήσεις ἠβῶν. 15

ι'. Πρωταγόρας δὲ ὁ Ἀβδηρίτης σοφιστὴς καὶ Δημοκρίτου μὲν ἀκροατὴς οἴκοι ἐγένετο,
ὡμίλησε δὲ καὶ τοῖς ἐκ Περσῶν μάγοις κατὰ τὴν Ξέρξου ἐπὶ τὴν Ἑλλάδα ἔλασιν. πατὴρ γὰρ ἦν
αὐτῷ Μαίανδρος πλούτῳ κατεσκευασμένος παρὰ πολλοὺς τῶν ἐν τῇ Θρᾴκῃ, δεξάμενος δὲ καὶ τὸν
Ξέρξην οἰκίᾳ τε καὶ δώροις τὴν ξυνουσίαν τῶν μάγων τῷ παιδὶ παρ' αὐτοῦ εὔρατο. οὐ γὰρ παι-
δεύουσι τοὺς μὴ Πέρσας Πέρσαι μάγοι, ἢν μὴ ὁ βασιλεὺς ἐφῇ. τὸ δὲ ἀπορεῖν φάσκειν, εἴτε εἰσὶ 20
θεοί, εἴτε οὐκ εἰσί, δοκεῖ μοι Πρωταγόρας ἐκ τῆς Περσικῆς παιδεύσεως παρανομῆσαι· μάγοι γὰρ
ἐπιθειάζουσι μὲν οἷς ἀφανῶς δρῶσι, τὴν δὲ ἐκ φανεροῦ δόξαν τοῦ θείου καταλύουσιν οὐ βουλό-
μενοι δοκεῖν παρ' αὐτοῦ δύνασθαι. διὰ μὲν δὴ τοῦτο πάσης γῆς ὑπὸ Ἀθηναίων ἠλάθη, ὡς μέν
τινες, κριθείς, ὡς δὲ ἐνίοις δοκεῖ, ψήφου ἐπενεχθείσης μὴ κριθέντι. νήσους δὲ ἐξ ἠπείρων
ἀμείβων καὶ τὰς Ἀθηναίων τριήρεις φυλαττόμενος πάσαις θαλάτταις ἐνεσπαρμένας κατέδυ πλέων 25
ἐν ἀκατίῳ μικρῷ.

Τὸ δὲ μισθοῦ διαλέγεσθαι πρῶτος εὗρε, πρῶτος δὲ παρέδωκεν Ἕλλησι πρᾶγμα οὐ μεμπτόν,
ἃ γὰρ σὺν δαπάνῃ σπουδάζομεν, μᾶλλον ἀσπαζόμεθα τῶν προῖκα. γνοὺς δὲ τὸν Πρωταγόραν ὁ
Πλάτων σεμνῶς μὲν ἑρμηνεύοντα, ἐνυπτιάζοντα δὲ τῇ σεμνότητι καί που καὶ μακρολογώτερον τοῦ 495
συμμέτρου, τὴν ἰδέαν αὐτοῦ μύθῳ μακρῷ ἐχαρακτήρισεν. 30

1. σοφὸν δὲ. v. ἡδυεπῆ. R. ib. *ἰαμβείων*. E.
3. τοῖς τῶν Ἑλλήνων. π, g. 4. ὑφ' οὗ. π, g. ib. Ὀλυμπιακὸς. f, k, π, g. 6. ἀλλὰ τὰς τῶν πολεμίων χώρας. R. 7. τὴν βαρβάρων. f, k. ib. οὗ διῆλθεν. h. 8. πεσοῦσιν C. E. Inclusi. ib. οὓς οἱ Ἀθηναῖοι. E. ib. σύγκειται. p. 9. δήμους. R. ib. αὐτοῦ. φ, e, m. 10. Ὀλυμπιακῷ. h, π. 11. ἐνδιέτριψεν. f. 12 κατὰ βαρβάρων. g. 13. τροπαῖα. o. τρόπαια. f, v, h, p, g, e. de ceteris non constat.
14. ὑπὸ τοῦ γήρως. 1. ὑπὸ γήρως. 2, 3, E. 15. ἡμῶν. R.
16. δὲ om. R. ib. Ἀὐδηρίτης. v, β, 2, ρ, π, g. ib. μὲν καὶ Δημοκρίτου. C. E. Sc. καὶ Δημοκρίτου μὲν. 17. τὴν Ξέρξου. 1. τὴν τοῦ Ξ. 2, 3, E. ib. πατὴρ γὰρ. r, f, ρ, k. πατὴρ μὲν γὰρ. R, v, β, 2, 3, E. 18. Μέανδρος. r, f, v, ox. Μένανδρος. h. ib. ἐν Θρᾴκῃ. R, v, p, π, g. ib. καὶ τὸν Ξέρξην. R. τὸν Ξ. ς. Ξέρξῃ. p (sic).
19. εὔρατο. R, r, μ. εὔρατο. f. εὔρετο. ς. 20. ἔφη. ρ, μ, m, o. 21. οὐκ εἰσίν. f. ib. παρορμῆσαι. R. 22. τὴν τε. ρ. τοῦ δὲ v. τὰ δὲ. π, g. ib. καταλέγουσιν. v. ib. βαλόμενοι. φ. 23. βούλεσθαι R. ib. πάσης τῆς k. ib. ἠλάσθη. f, k, g. 24. ἐπενεχθείσης. R, r, f, ρ, k. ἐνεχθήσης. v, β. ἐνεχθείσης. 2, 3, E. 25. τὰς om. μ.
27. πρῶτος εὗρε. R, r, f, v, β. πρῶτος μὲν εὗρε. 2, 3, E. ib. καὶ πρῶτος παρέδωκε. R, v, β. 29. ἐνυπτιάζοντα. R, r, f, v, β. ὑπτιάζοντα. 2, 3, E. ib. καί που καὶ ἐς ὀλίγα καταφεύγων τῶν ἐκ ποιητικῆς ὀνομάτων μακρολογώτερα τοῦ συμμέτρου. v, β. ib. μακρολογώτερος. k. 30. ξυμμέτρου. f.

ια΄. Ἱππίας δὲ ὁ σοφιστὴς ὁ Ἠλεῖος τὸ μὲν μνημονικὸν οὕτω τι καὶ γηράσκων ἔρρωτο, ὡς καὶ πεντήκοντα ὀνομάτων ἀκούσας ἅπαξ ἀπομνημονεύειν αὐτὰ καθ' ἣν ἤκουσε τάξιν, ἐσήγετο δὲ ἐς τὰς διαλέξεις γεωμετρίαν ἀστρονομίαν μουσικὴν ῥυθμούς, διελέγετο δὲ καὶ περὶ ζωγραφίας καὶ περὶ ἀγαλματοποιίας. ταῦτα ἑτέρωθι. ἐν Λακεδαίμονι δὲ γένη τε διῄει πόλεων καὶ ἀποικίας καὶ ἔργα, ἐπειδὴ οἱ Λακεδαιμόνιοι διὰ τὸ βούλεσθαι ἄρχειν τῇ ἰδίᾳ ταύτῃ ἔχαιρον. ἔστιν δὲ αὐτῷ καὶ Τρωικὸς διάλογος, οὐ λόγος· ὁ Νέστωρ ἐν Τροίᾳ ἀλούσῃ ὑποτίθεται Νεοπτολέμῳ τῷ Ἀχιλλέως, ἃ χρὴ ἐπιτηδεύοντα ἄνδρα ἀγαθὸν φαίνεσθαι. πλεῖστα δὲ Ἑλλήνων πρεσβεύσας ὑπὲρ τῆς Ἤλιδος οὐδαμοῦ κατέλυσε τὴν ἑαυτοῦ δόξαν δημηγορῶν τε καὶ διαλεγόμενος, ἀλλὰ καὶ χρήματα πλεῖστα ἐξέλεξε καὶ φυλαῖς ἐνεγράφη πόλεων μικρῶν τε καὶ μειζόνων. παρῆλθε καὶ ἐς τὴν Ἴυνκὸν ὑπὲρ χρημάτων, τὸ δὲ πολίχνιον τοῦτο Σικελικοί εἰσιν, οὓς ὁ Πλάτων [τῷ Γοργίᾳ] ἐπισκώπτει, εὐδοκιμῶν
496 δὲ καὶ τὸν ἄλλον χρόνον ἔθελγε τὴν Ἑλλάδα ἐν Ὀλυμπίᾳ λόγοις ποικίλοις καὶ πεφροντισμένοις εὖ. ἑρμήνευε δὲ οὐκ ἐλλιπῶς, ἀλλὰ περιττῶς καὶ κατὰ φύσιν, ἐς ὀλίγα καταφεύγων τῶν ἐκ ποιητικῆς ὀνόματα.

ιβ΄. Προδίκου δὲ τοῦ Κείου ὄνομα τοσοῦτον ἐπὶ σοφίᾳ ἐγένετο, ὡς καὶ τὸν Γρύλλου Ξενοφῶντα ἐν Βοιωτοῖς δεθέντα ἀκροᾶσθαι διαλεγομένου, καθιστάντα ἐγγυητὴν τοῦ σώματος. πρεσβεύων δὲ παρὰ Ἀθηναίους παρελθὼν ἐς τὸ βουλευτήριον ἱκανώτατος ἔδοξεν ἀνθρώπων, καίτοι δυσήκοον καὶ βαρὺ φθεγγόμενος. ἀνίχνευε δὲ οὗτος τοὺς εὐπατρίδας τῶν νέων καὶ τοὺς ἐκ τῶν βαθέων οἴκων, ὡς καὶ προξένους ἐκτῆσθαι ταύτης τῆς θήρας, χρημάτων τε γὰρ ἥττων ἐτύγχανε καὶ ἡδοναῖς ἐδεδώκει. τὴν δὲ Ἡρακλέους αἵρεσιν τὸν τοῦ Προδίκου λόγον οὐδὲ Ξενοφῶν ἀπηξίωσε μὴ οὐχὶ ἑρμηνεῦσαι. καὶ τί ἂν χαρακτηρίζοιμεν τὴν τοῦ Προδίκου γλῶτταν, Ξενοφῶντος αὐτὴν ἱκανῶς ὑπογράφοντος;

497 ιγ΄. Πῶλον δὲ τὸν Ἀκραγαντῖνον Γοργίας σοφιστὴν ἐξεμελέτησε πολλῶν, ὥς φασι, χρημάτων, καὶ γὰρ δὴ καὶ τῶν πλουτούντων ὁ Πῶλος. εἰσὶ δέ, οἳ φασι καὶ τὰ πάρισα καὶ τὰ ἀντίθετα καὶ τὰ ὁμοιοτέλευτα Πῶλον εὑρηκέναι πρῶτον, οὐκ ὀρθῶς λέγοντες, τῇ γὰρ τοιᾷδε ἀγλαΐᾳ τοῦ λόγου Πῶλος εὑρημένῃ κατεχρήσατο, ὅθεν ὁ Πλάτων διαπτύων αὐτὸν ἐπὶ τῇ φιλοτιμίᾳ ταύτῃ φησίν· „ὦ λῷστε Πῶλε, ἵνα σε προσείπω κατὰ σέ."

ιδ΄. Οἱ δὲ καὶ Θρασύμαχον τὸν Καρχηδόνιον ἐν σοφισταῖς γράφοντες δοκοῦσί μοι παρα-

1. οὕτω τοι. p, v. ib. καὶ om. R. 2. ὡς πεντήκοντα. 2. ib. εἰσήγαγε. 2. 3. καὶ περὶ ἀγαλματοποιίας. 1. καὶ ἀγ. 2, 3, E. 4. ταῦτα ἑτέρωθι. R om. et v, β, in quibus om. omnia usque ad φαίνεσθαι. ib. καὶ ἀποικίας ἔργα. R. 5. ἐπειδή. r, f, k. ἐπεὶ. ς. ib. φασὶ τὸ. R. ib. ἔστιν δὲ — φαίνεσθαι om. R, v, β. 6. τῷ Ἀχιλλέως. r, f, μ, p. ex corr. j. τοῦ Ἀχιλλέως. ox, o. τὸν Ἀχιλλέα. h, φ, π, g, a, i. 7. ἐπιτηδεύοντα ἀ. r, f, μ. ἐπιτηδεύοντ' ἀ. ς. ib. ὑπὲρ τῆς Ἤλιδος. r, v, β. ὑπὲρ τῆς Ἥλιδος. f. ὑπὲρ τῆς Ἔλιδος. k. ὑπὲρ τῆς Ἥλιδος om. R, 2, 3, E. 8. κατέλυκε. v, β. ib. ἀλλὰ καὶ χρήματα. 1. ἀλλὰ χρ. 2, 3, E. 9. ἐξήλεγξε. R. ib. μικρῶν τε καὶ μειζόνων om. R, v, β. ib. παρῆλθε — ἐπισκώπτει om. R, v, β, 2, 3, e, m. 12. ἑρμήνευε. R, r et ρ ante corr. ἡρμήνευε. ς. ib. οὐτ' ἐλλιπῶς. v. ib. περιττὸν. v. ib. ἐς ὀλίγα — ὀνόματα om. R, v, β. ἐς ὀλιγαττεύων. r, f. εἰς ὀλίγα φεύγων. ρ, k. ἐς ὀλίγα καταφεύγων. 2, 3, E. 13. ὀνόματα. r, f, ρ, k et p. ex corr. ὀνομάτων. 2, 3, E.

14. Κείου. R, f, v, β, ve, o. Κίου. cett. C et e, m. ib. τὴν Γρύλου Ξενοφῶντος. v, β. 15. διαλεγόμενος. R. 16. παρὰ Ἀθηναίους. v, β. παρὰ Ἀθηναίοις. R, r, f, k, ox, p, φ, E. παρ' Ἀθηναίοις. μ, h. καὶ παρ' Ἀθηναίοις. π, g. ib. δικαστήριον. μ. ib. ἄνθρωπος. 1. 17. φεγγόμενος. f. φθεγξάμενος. R. ib. ἀνίχνευε οὕτως εὐπατρίδας. R. 18. βαθέων οἴκων. C (οἶκον r) et o. βαθέων. e, m. ib. ἐκτῆσθαι. r. κεκτῆσθαι. ς. ib. γὰρ om. p. 19. τὴν δὲ — ἑρμηνεῦσαι om. R. ib. τὸν τοῦ Προδίκου λόγον. r, k, B. τῶν τοῦ Προδίκου λόγων. 2, p, φ, e, m. τῶν τοῦ Προδίκου λόγον. o, et, ut videtur, π, g. 20. μὴ οὐχ. r, f. ib. χαρακτηρίζομεν. v. χαρακτηρίζωμεν. k.

22. Παῦλον δὲ. R. Πῶλον et om. δὲ. 2, φ, π, g, E. 23. εἰσὶ δ' οἳ φασι. f, μ, h, φ. 24. καὶ ὁμοιοτέλευτα. r, f, k. 25. οὐχ εὑρηκὼς κατεχρήσατο. μ.

27. Καρχηδόνιον. C, e, m. Χαλκηδόνιον. o.

1, 11, 12, 13, 14. p. 496. 497. = 15. 16. 17.

κούειν Πλάτωνος ταὐτὸν εἶναι λέοντα ξυρεῖν καὶ συκοφαντεῖν Θρασύμαχον· δικογραφίαν γὰρ αὐτῷ προφέροντός ἐστί που ταῦτα καὶ τὸ ἐν δικαστηρίοις συκοφαντοῦντα τρίβεσθαι.

ιέ. Ἀντιφῶντα δὲ τὸν Ῥαμνούσιον οὐκ οἶδ', εἴτε χρηστὸν δεῖ προσειπεῖν, εἴτε φαῦλον. χρηστὸς μὲν γὰρ προσειρήσθω διὰ τάδε· ἐστρατήγησε πλεῖστα, ἐνίκησε πλείστα, ἑξήκοντα τριήρεσι πεπληρωμέναις ηὔξησεν Ἀθηναίοις τὸ ναυτικόν, ἱκανώτατος ἀνθρώπων ἔδοξεν εἰπεῖν τε καὶ γνῶναι· διὰ μὲν δὴ ταῦτα ἐμοί τε ἐπαινετέος καὶ ἑτέρῳ. κακὸς δ' ἂν εἰκότως διὰ τάδε φαίνοιτο· κατέλυσε τὴν δημοκρατίαν, ἐδούλωσε τὸν Ἀθηναίων δῆμον, ἐλακώνισε κατ' ἀρχὰς μὲν ἀφανῶς, ὕστερον δ' ἐπιδήλως, τυράννων τετρακοσίων δῆμον ἐπαφῆκε τοῖς Ἀθηναίων πράγμασιν. 498

Ῥητορικὴν δὲ τὸν Ἀντιφῶντα οἱ μὲν οὐκ οὖσαν εὑρεῖν, οἱ δ' εὑρημένην αὐξῆσαι, γενέσθαι τε αὐτὸν οἱ μὲν αὐτομαθῶς σοφόν, οἱ δὲ ἐκ πατρός. πατέρα γὰρ εἶναι δὴ αὐτῷ Σώφιλον διδάσκαλον ῥητορικῶν λόγων, ὃς ἄλλους τε τῶν ἐν δυνάμει καὶ τὸν τοῦ Κλεινίου ἐπαίδευσεν. πιθανώτατος δὲ ὁ Ἀντιφῶν γενόμενος καὶ προσρηθεὶς Νέστωρ ἐπὶ τῷ περὶ παντὸς εἰπὼν ἂν πεῖσαι νηπενθεῖς ἀκροάσεις ἐπήγγειλεν, ὡς οὐδὲν οὕτω δεινὸν ἐρούντων ἄχος, ὃ μὴ ἐξελεῖν τῆς γνώμης. καθάπτεται δὲ ἡ κωμῳδία τοῦ Ἀντιφῶντος ὡς δεινοῦ τὰ δικανικὰ καὶ λόγους κατὰ τοῦ δικαίου ξυγκειμένους ἀποδιδομένου πολλῶν χρημάτων αὐτοῖς μάλιστα τοῖς κινδυνεύουσιν. τουτὶ ὁποίαν ἔχει φύσιν, ἐγὼ δηλώσω· ἄνθρωποι κατὰ μὲν τὰς ἄλλας ἐπιστήμας καὶ τέχνας τιμῶσι τοὺς ἐν ἑκάστῃ αὐτῶν προὔχοντας καὶ θαυμάζουσι τῶν ἰατρῶν τοὺς μᾶλλον παρὰ τοὺς ἧττον, θαυμάζουσι δ' ἐν μαντικῇ καὶ μουσικῇ τὸν σοφώτερον, τὴν αὐτὴν καὶ περὶ τεκτονικῆς καὶ πασῶν βαναύσων τιθέμενοι ψῆφον, ῥητορικὴν δὲ ἐπαινοῦσι μέν, ὑποπτεύουσι δὲ ὡς πανοῦργον καὶ φιλοχρήματον καὶ κατὰ τοῦ δικαίου ξυγκειμένην. γιγνώσκουσι δ' οὕτω περὶ τῆς τέχνης οὐχ οἱ πολλοὶ μᾶλλον, ἀλλὰ καὶ τῶν σπουδαίων οἱ ἐλλογιμώτατοι· καλοῦσι γοῦν δεινοὺς ῥήτορας τοὺς ἱκανῶς μὲν συνιέντας, ἱκανῶς δὲ ἑρμηνεύοντας, οὐκ εὔφημον ἐπωνυμίαν τιθέμενοι τῷ πλεονεκτήματι. τούτου δὲ φύσιν τοιαύτην ἔχοντος οὐκ ἀπεικὸς ἦν, οἶμαι, γενέσθαι καὶ τὸν Ἀντιφῶντα κωμῳδίας λόγον αὐτὰ μάλιστα κωμῳδούσης τὰ λόγου ἄξια. 499

Ἀπέθανε μὲν οὖν περὶ Σικελίαν ὑπὸ Διονυσίου τοῦ τυράννου, τὰς δ' αἰτίας, ἐφ' αἷς ἀπέθανεν, Ἀντιφῶντι μᾶλλον ἢ Διονυσίῳ προσγράφομεν· διεφαύλιξε γὰρ τὰς τοῦ Διονυσίου τραγῳδίας, ἐφ' αἷς ὁ Διονύσιος ἐφρόνει μεῖζον ἢ ἐπὶ τῷ τυραννεύειν, σπουδάζοντος δὲ τοῦ τυράννου III

1. ταὐτὸν εἶναι. R, f, v, β. ταὐτὸν εἶναι φάσκοντος. ρ (sec. m. add.), k, 2, 3, E. ib. δικορραφίαν. φ. ex corr. m in mg. 2. προσφέροντος. h, π, g. in p. erasum est σ. ib. ἐστί που. R, r, f. ἔστι ὅπου. k. ἐστὶ δήπου. ς. ib. τρίβεσθαι συκοφαντοῦντα. μ.

4. διὰ τόνδε. R. ib. ἐνίκησε πλεῖστα. om. k. πλεῖστα om. R, v. bis. ib. ἑξήκοντα τριήρεσι πεπληρωμέναις om. R, v. 5. τε om. μ, h. 6. κακῶς. R. ib. φαίνοιτο om. R, v, 2, 3, e, m. In p est a sec. m. 7. ἐδούλωσε τὸν ἀῖον Ἀθηναῖον δῆμον om. R. ib. τῶν Ἀθηναίων. r, k. τὸν Ἀθηναίων. φ. corr. al. m. 8. ἐπιδόλως. h. ib. τυράννων τετρακοσίων. 1 etp ex corr. τυράννων οὖν. 2. E. τυράνναν. 3.

9. ῥητορικὴν τε. k. ib. γενέσθαι δὲ. p. 10. αὐτοφυῶς σοφόν. R ib. πατέρα γὰρ εἶναι δὴ αὐτῷ Σώφιλον. v, β. πατέρα δὴ αὐτῷ Σ. r, f. πατέρα δὴ αὐτοῦ Σούφιλον. ρ. ubi εἶναι φασὶ in mg. πατέρα δὴ αὐτῷ Σοφῖλον εἶναι φασί. ρ et p, qui tantum discrepat in δὲ. πατέρα δέ φασιν αὐτῷ Σοφῖλον. 2, 3, E. 11. ῥητορικῆς λόγων. v. ib. οὗς. g. ib. Κλεινίου υἱὸν Ἀλκιβιάδην. ρ sec. μ. k, p. 12. Νέστορος. R. ib. ἐπὶ τοῦ. R. ib. εἰπὼν ἂν. 1. ἂν εἰπὼν. 2, 3, E. 13. ἐρώτων. R. ib. μὴ ἐξελεῖν. 1. μὴ δ' ἐξέλοιτο. μ. ἐξέλοι. v, β, ox, h, 3, E. 14. καθάπτεται δὲ. μ. κ. δ'. E. ib. τὰ om. e, m. 15. ἀποδιδόναι. R. ib. τὸ δὲ. 1. ib. ὅποι. R. ὁποῖον. r. 16. τινῶν τοῦ. R. 17. θαυμάζουσι τῶν. R, r, f. θαυμάζουσι μὲν τῶν. ς. 18. ἐν τῇ μαντικῇ. E. ib. αὐτὴν περὶ. v, β. ib. καὶ πασῶν βαναύσων. 1 et p in mg. καὶ περὶ βαναύσων. 2, 3, E. 19. ῥ. δ' ἐπαινοῦσι. r, f, v. 20. οἱ πολλοὶ μᾶλλον. 1. οἱ πολλοὶ μόνον. 2, 3, E. 21. καλοῦσί γ' οὖν. r, f. κ. γοῦν. k, v, β. κ. δὲ R. κ. δ' οὖν. 2, 3, E. ib. ἱκανῶς δὲ. f, μ. 22. εὔφωνον. R, r, et f. ubi mg. γρ. εὔφημον 23. τῷ Ἀντιφῶντι. π. 24. τὰ τοῦ λόγου. v.

25. οὖν om. R. ib. Διονύσου. g. sic ubique. ib. αἰτίας, αἷς. k. 26. καὶ τὰς. r. 27. ὁ Διονύσιος. r, f, ρ. k. ἐκεῖνος. R, v, β, 2, 3, E. ib. ἐφρόντιζε. v. ἐφρόνει. μ. ib. μεῖζον. v. μᾶλον. et sec. m. μᾶζον. μ. ib. τυραννεύειν. r, p in mg. ve. τυραννεῖν. ς.

1, 18, §. 1, 2, 3. p. 498. 499. = 17. 18.

500 περὶ εὐγενείας χαλκοῦ καὶ ἐρομένου τοὺς παρόντας, τίς ἦπειρος ἢ νῆσος, ἣ τὸν ἄριστον χαλκὸν φύει, παρατυχὼν ὁ Ἀντιφῶν τῷ λόγῳ „ἐγὼ ἄριστον" ἔφη „οἶδα τὸν Ἀθήνησιν, οὗ γεγόνασιν Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνες." ἐπὶ μὲν δὴ τούτοις ἀπέθανεν, ὡς ὑφέρπων τὸν Διονύσιον καὶ τρέπων ἐπ' αὐτὸν τοὺς Σικελιώτας, ἥμαρτε δὲ ὁ Ἀντιφῶν πρῶτον μὲν τυράννῳ προσκρούων, ὑφ' ᾧ ζῆν ἥρητο μᾶλλον ἢ οἴκοι δημοκρατεῖσθαι, ἔπειτα Σικελιώτας μὲν ἐλευθερῶν, Ἀθηναίους δὲ δουλούμενος. καὶ μὴν καὶ τοῦ τραγῳδίαν ποιεῖν ἀπάγων τὸν Διονύσιον ἀπῆγεν αὐτὸν τοῦ ῥᾳθυμεῖν, αἱ γὰρ τοιαίδε σπουδαὶ ῥᾴθυμοι, καὶ οἱ τύραννοι δὲ αἱρετώτεροι τοῖς ἀρχομένοις ἀνειμένοι μᾶλλον ἢ ξυντείνοντες, εἰ γὰρ ἀνήσουσιν, ἧττον μὲν ἀποκτενοῦσιν, ἧττον δὲ δράσονταί τε ἁρπάσονται, τύραννος δὲ τραγῳδίαις ἐπιτιθέμενος ἰατρῷ εἰκάσθω νοσοῦντι μέν, ἑαυτὸν δὲ θεραπεύοντι· αἱ γὰρ μυθοποιίαι καὶ αἱ μονῳδίαι καὶ οἱ ῥυθμοὶ τῶν χορῶν καὶ ἡ τῶν ἠθῶν μίμησις, ὧν ἀνάγκη τὰ πλείω χρηστὰ φαίνεσθαι, μεταβάλλει τοὺς τυράννους τοῦ ἀπαραιτήτου καὶ σφοδροῦ, καθάπερ αἱ φαρμακοποσίαι τὰς νόσους. ταῦτα μὴ κατηγορίαν Ἀντιφῶντος, ἀλλὰ ξυμβουλίαν ἐς πάντας ἡγώμεθα τοῦ μὴ ἐκκαλεῖσθαι τὰς τυραννίδας, μηδὲ ἐς ὀργὴν ἄγειν ἤθη ὠμά.

IV Λόγοι δ' αὐτοῦ δικανικοὶ μὲν πλείους, ἐν οἷς ἡ δεινότης καὶ πᾶν τὸ ἐκ τέχνης ἔγκειται, σοφιστικοὶ δὲ καὶ ἕτεροι μέν, σοφιστικώτερος δὲ ὁ ὑπὲρ τῆς ὁμονοίας, ἐν ᾧ γνωμολογίαι τε λαμπραὶ καὶ φιλόσοφοι σεμνή τε ἀπαγγελία καὶ ἐπηρθισμένη ποιητικοῖς ὀνόμασι καὶ τὰ ἀποτάδην ἑρμηνευόμενα παραπλήσια τῶν πεδίων τοῖς λείοις.

501 ις'. Κριτίας δὲ ὁ σοφιστὴς εἰ μὲν κατέλυσε τῶν Ἀθηναίων τὸν δῆμον, οὕπω κακός — καταλυθείη γὰρ ἂν καὶ ὑφ' ἑαυτοῦ δῆμος οὕτω τι ἐπηρμένος, ὡς μηδὲ τῶν κατὰ νόμους ἀρχόντων ἀκροᾶσθαι — ἀλλ' ἐπεὶ λαμπρῶς μὲν ἐλακώνισε, προυδίδου δὲ τὰ ἱερά, καθῄρει δὲ διὰ Λυσάνδρου τὰ τείχη, οὓς δ' ἤλαυνε τῶν Ἀθηναίων τὸ στῆναί ποι τῆς Ἑλλάδος ἀφῃρεῖτο πόλεμον Λακωνικὸν ἀνειπὼν ἐς πάντας, εἴ τις τὸν Ἀθηναῖον φεύγοντα δέξοιτο, ὠμότητι δὲ καὶ μιαιφονίᾳ τοὺς τριάκοντα ὑπερεβάλλετο βουλεύματός τε ἀτόπου τοῖς Λακεδαιμονίοις ξυνελάμβανεν, ὡς μηλόβοτος ἡ Ἀττικὴ ἀποφανθείη τῆς τῶν ἀνθρώπων ἀγέλης ἐκκενωθεῖσα, κάκιστος ἀνθρώπων ἔμοιγε φαίνεται ξυμπάντων, ὧν ἐπὶ κακίᾳ ὄνομα. καὶ εἰ μὲν ἀπαίδευτος ὢν ἐς τάδε ὑπήχθη, ἔρρωτο ἂν ὁ λόγος τοῖς φάσκουσιν ὑπὸ Θετταλίας καὶ τῆς ἐκείνῃ ὁμιλίας παρεφθορέναι αὐτόν, τὰ γὰρ ἀπαίδευτα ἤθη εὐπαράγωγα πάντως ἐς βίου αἵρεσιν, ἐπεὶ δὲ ἄριστα μὲν ἦν πεπαιδευμένος, γνώμας δὲ πλείστας ἑρμηνεύων, ἐς Ἱρωπίδην δ' ἀναφέρων, ὃς μετὰ Σόλωνα Ἀθηναίοις ἦρξεν, οὐκ ἂν διαφύγοι

1. ἐρωμένου. R. ib. νῆσος ἢ τὸν. r, f, ρ, k. νῆσος τὸν. R, v, β, 2, 3, E. ib. χαλκὸν φέρει. R. 2. παρατυχὼν. 1, 2. περιτυχὼν. 3, E (in φ. παρα est superscr.) ib. ἄριστον, ἔφη, οἶδα. μ. ἔφη, ἄριστον ἡγοῦμαι. pe. αἱ ἄριστον. ἔφη. ς. ib. γεγόνασιν Ἁρμοδίου. R, r, f, v, β. γεγόνασιν Ἁρμοδιου. ρ. sic suprascr. art. γεγόνασιν αἱ Ἁρμοδίου. k, 2, 3, E. 3. ἐφέρπων. g. mg. 5. εἴρητο. R, r. 6. καὶ μὴν ἐκ τοῦ. e, m. ib. ἀπήγαγεν. R. 7. καὶ οἱ τύραννοι αἱρετώτεροι. R, r et ρ ex erasione. καὶ οἱ τύραννοι οἱ αἱρετώτεροι. f, k, o. καὶ οἱ τύραντοι δὲ αἱρετώτεροι. v, β, 2, φ, π, g, e, m. 8. δράσονται. p. 9. νοσοῦντα. k. 11. χρηστὰ πλείω. R. χρηστὰ τὰ πλείω. v, β. πλείω χρηστὰ. b, g, e, m. om. art. 12. τῆς νόσου. e, m. 13. λογιζώμεθα. v, β. ib. ἐγκαλεῖσθαι. m. γρ.

14. πᾶν τὸ ἐκ τέχνης. f, ρ, k, v, β, p. πέραν τοῦ ἐκ τέχνης. R. πᾶν τὸ ἐκ τῆς τέχνης. 2, φ, π, g, e, m. ib. ἔγκειται μᾶλλον ἢ σύγκειται. 2, φ, π, g, e, m. 15. καὶ om. R, β. 17. ἑρμηνευόμενα καθάπερ τῶν πεδίων τα λεῖα. R.

18. τὸν Ἀθηναίων. R. 19. καὶ δῆμος ὑφ' ἑαυτοῦ. R. ib. οὕτω τοι. v, h. ib. ὡς μὴ τῶν. g. ib. ἀρχομένων. R. 20. μὲν λαμπρῶς. π. ib. ἐλακώνισεν. f. ib. προυδίδου τε. f. προυδίδου τὰ. o. 21. ἀφῃρητο. R, f, k, v. 22. ἀνειπὼν. R. εἰπὼν. ς. ib. τὸν Ἀθηναίων. v, β. ib. φεύγοντα om. π. ib. δέξοιτο. f, ρ, k. δέξαιτο. ς. ib. ὠμότητι δὲ. ρ, k. ὠμότητί τε. ς. ib. τοὺς τριάκοντα om. R, spatio relicto. τὰ τριάκοντα. k. ὑπερεβάλλετο. v, β. 23. βουλευμάτου τε. p. ib. μηλόβητος. R. ib. ἡ Ἀττικὴ. v, β, 2, 3, E. Ἀττικὴ om. art. R, f, ρ, k. 25. ἔρρωτο ἂν. f, k, v. ἔρρωτ' ἂν. ς. 26. τὰ μὲν γὰρ. E. 27. ἀπαράγωγα. 2. ib. παντός. g in mg. 28. Ἱροπίδην. v. ib. Ἀθηναίοις. f, ρ, v, β. Ἀθηναίων. R, ρ sec. m. k, 2, 3, E.

1, 15, §. 1, 16, §. 1, 2. p. 500. 501. = 18. 19. 20.

παρὰ τοῖς πολλοῖς αἰτίαν τὸ μὴ οὐ κακίᾳ φύσεως ἁμαρτεῖν ταῦτα. καὶ γὰρ αὖ κἀκεῖνο ἄτοπον Σωκράτει μὲν τῷ Σωφρονίσκου μὴ ὁμοιωθῆναι αὐτόν, ᾧ πλεῖστα δὴ συνεφιλοσόφησε σοφωτάτῳ τε καὶ δικαιοτάτῳ τῶν ἐφ' ἑαυτοῦ δόξαντι, Θετταλοῖς δ' ὁμοιωθῆναι, παρ' οἷς ἀγερωχία καὶ ἄκρατος καὶ τυραννικὰ ἐν οἴνῳ σπουδάζεται. ἀλλ' ὅμως οὐδὲ Θετταλοὶ σοφίας ἠμέλουν, ἀλλ' ἐγοργίαζον ἐν Θετταλίᾳ μικραὶ καὶ μείζους πόλεις ἐς Γοργίαν ὁρῶσαι τὸν Λεοντῖνον, μετέβαλον 5 502
δ' ἂν καὶ ἐς τὸ κριτιάζειν, εἴ τινα τῆς ἑαυτοῦ σοφίας ἐπίδειξιν ὁ Κριτίας παρ' αὐτοῖς ἐποιεῖτο· ὁ δὲ ἠμέλει μὲν τούτου, βαρυτέρας δ' αὐτοῖς ἐποιεῖτο τὰς ὀλιγαρχίας διαλεγόμενος τοῖς ἐκεῖ δυνατοῖς καὶ καθαπτόμενος μὲν δημοκρατίας ἁπάσης, διαβάλλων δ' Ἀθηναίους, ὡς πλεῖστα ἀνθρώπων ἁμαρτάνοντας, ὥστε ἐνθυμουμένῳ ταῦτα Κριτίας ἂν εἴη Θετταλοὺς διεφθορὼς μᾶλλον ἢ Κριτίαν Θετταλοί.

Ἀπέθανε μὲν οὖν ὑπὸ τῶν ἀμφὶ Θρασύβουλον, οἳ κατῆγον ἀπὸ φυγῆς τὸν δῆμον, δοκεῖ III
δ' ἐνίοις ἀνὴρ ἀγαθὸς γενέσθαι παρὰ τὴν τελευτήν, ἐπειδὴ ἐνταφίῳ τῇ τυραννίδι ἐχρήσατο. ἐμοὶ δὲ ἀποπεφάνθω μηδένα ἀνθρώπων καλῶς δὴ ἀποθανεῖν ὑπὲρ ὧν οὐκ ὀρθῶς εἵλετο, δι' ἃ μοι δοκεῖ καὶ ἡ σοφία τοῦ ἀνδρὸς καὶ τὰ φροντίσματα ἧττον σπουδασθῆναι τοῖς Ἕλλησιν· εἰ γὰρ μὴ ὁμολογήσει ὁ λόγος τῷ ἤθει, ἀλλοτρίᾳ τῇ γλώττῃ δόξομεν φθέγγεσθαι, ὥσπερ οἱ αὐλοί.

Τὴν δὲ ἰδέαν τοῦ λόγου δογματίας ὁ Κριτίας καὶ πολυγνώμων σεμνολογῆσαί τε ἱκανώτατος IV
οὐ τὴν διθυραμβώδη σεμνολογίαν, οὐδὲ καταφεύγουσαν ἐς τὰ ἐκ ποιητικῆς ὀνόματα, ἀλλ' ἐκ τῶν κυριωτάτων συγκειμένην καὶ κατὰ φύσιν ἔχουσαν. ὁρῶ τὸν ἄνδρα καὶ βραχυλογοῦντα ἱκανῶς καὶ 503
δεινῶς καθαπτόμενον ἐν ἀπολογίας ἤθει, ἀττικίζοντά τε οὐκ ἀκράτως, οὐδὲ ἐκφύλως — τὸ γὰρ ἀπειρόκαλον ἐν τῷ ἀττικίζειν βάρβαρον — ἀλλ' ὥσπερ ἀκτίνων αὐγαὶ τὰ Ἀττικὰ ὀνόματα διαφαί- 20
νεται τοῦ λόγου. καὶ τὸ ἀσυνδέτως δὲ χωρίῳ προσβαλεῖν Κριτίου ὥρα, καὶ τὸ παραδόξως μὲν ἐνθυμηθῆναι, παραδόξως δ' ἀπαγγεῖλαι Κριτίου ἀγών, τὸ δὲ τοῦ λόγου πνεῦμα ἐλλιπέστερον μέν, ἡδὺ δὲ καὶ λεῖον, ὥσπερ τοῦ Ζεφύρου ἡ αὔρα.

ιξ'. Ἡ δὲ Σειρὴν ἡ ἐφεστηκυῖα τῷ Ἰσοκράτους τοῦ σοφιστοῦ σήματι, ἐφέστηκε δὲ καὶ οἷον ᾄδουσα, πειθὼ κατηγορεῖ τοῦ ἀνδρός, ἣν συνεβάλετο ῥητορικοῖς νόμοις καὶ ἤθεσι, πάρισα 25
καὶ ἀντίθετα καὶ ὁμοιοτέλευτα οὐχ εὑρὼν πρῶτος, ἀλλ' εὑρημένοις εὖ χρησάμενος, ἐπεμελήθη δὲ καὶ περιβολῆς καὶ ῥυθμοῦ καὶ συνθήκης καὶ κρότου. ταυτὶ δ' ἠτοίμασέ που καὶ τὴν Δημοσθένους γλῶτταν· Δημοσθένης γὰρ μαθητὴς μὲν Ἰσαίου, ζηλωτὴς δὲ Ἰσοκράτους γενόμενος 504

1. καὶ γὰρ αὖ. p. καὶ γὰρ οὖν. 1. καὶ γὰρ ἂν. 2, φ, π, g, E. 2. τῷ Σ. — αὐτὸν om. h. ib. ᾧ πλεῖστα δὴ συνφιλοσόφησεν. 1. ω (sic) συνεφιλοσοφήσαι μάλιστα δή. μ. ᾧ συνεφιλοσόφησε, πλεῖστα δὴ. ox. h, 3, E. 3. τῷ ἐφ' ἑαυτοῦ. R. τῶν ἐφ' ἑαυτοῖς. ν, β. ib. ἀγερωχίαι τε. ox. 4. κράτος eraso ά. p. ib. καὶ τυραννικά. R, μ, p, π. καὶ τὰ τυραννικά. ox, h, φ, g, E. 5. τὸν Λεοντῖνον om. R. τὸν ἐκ Λεοντίνων ν, β. ib. μετέβαλον δ' ἂν. R, f, ν, β. μετάβαλον δ' ἂν. k. μετέβαλον δὲ. 2, 3, o. (μετέβαλλον a rec. m. g.) μετέβαλε δὲ. e, m. 6. φύσεως ἐπιδ. μ. 7. τὰς om. h. 8. μὲν om. R, ν, β. 9. Κριτίαν Θετταλοὺς. h.)

11. ὑπὸ τὸν. R. ib. ὃς κατῆγεν. μ, h, g. ἀπὸ Φυλῆς. B. 12. ἀνὴρ δυνατὸς. f, ρ, k. 13. καλῶς δὴ. R, f, k, ν, β. καλῶς. 2, 3, E. 14. ἐς τὰ φροντίσματα. e, m. ποιήματα et mg. φροντίσματα. p. 15. ἀλλοτρίᾳ τῇ γλώττῃ. f, ρ, k. ἀλλοτρίᾳ γλώττῃ. ν, β, 2, 3, E. (ἀλλοτρίᾳ δόξομεν γλώττῃ φθέγγεσθαι. h.)

17. ἐκ om. o. 18. ἱκανῶς om. g. 19. ἐν om. φ, E. ib. ἤθη i. εἴδει. o. ib. ἐνφαύλως. R, f, ν, β. ἐμφαύλως. ρ. ἐκφαύλως. 2, 3, E. Scr. ἐκφύλως. ib. τὸ δὲ ἀπειρόκαλον. μ. 20. ὡς ἀκτίνων. π, g. ib. αὐγὰς ν, β. ib. διαφαίνεται τῶν λόγων. ν, β. 21. δὲ om. f, k et p, ubi erasum. ib. Κριτίου ὥρα. R. 23. ὥσπερ τοῦ Ζεφύρου ἡ αὔρα. μ. ὥσπερ ἡ τοῦ Ζεφύρου αὔρα. ς. Scr. αὖρα.

24. Ἰσοκράτης h. sic ubique. ib. ἡ ἐφιστῶσα. R. ib σήματι. f, ν, β, ve, p. σώματι k, o. στόματι. R, γ. 2, 3, e, m, ubi mg. γρ. σήματι. ib. στόματι τοῦ σοφοῦ. R. ib καὶ οἷον. R. οἷον. ς. 25. εὐμουσίαν κατηγορεῖ. Θ. ν. κατηγορῶ. et Tricl. ad Soph. Aj. 906. ib. συνεβάλλετο. R. ib. μόνοις καὶ ἤθεσι. h. μόνος ἤθεσι. p. μόνος καὶ ἤθεσι φ, e. 26. εὑρημένος. γ. ib. δὲ om. γ. 27. παραβολῆς ν, β. ox. ib. ῥυθμοῦ. μ. ῥυθμῷ. ν, β. ῥυθμῶι. ς. ib. ταυτὶ δὲ. E. 28. Δημοσθένης μὲν γὰρ μαθητὴς Ἰσαίου. ν, γ.

1. 16, §. 3, 4. 17, §. 1. p. 502. 503. 504. = 20. 21.

ὑπερεβάλετο αὐτὸν θυμῷ καὶ ἐπιφορᾷ καὶ περιβολῇ καὶ ταχυτῆτι λόγου τε καὶ ἐννοίας. σεμνότης δ' ἡ μὲν Δημοσθένους ἐπεστραμμένη μᾶλλον, ἡ δὲ Ἰσοκράτους ἁβροτέρα τε καὶ ἡδίων. παράδειγμα δὲ ποιώμεθα τῆς Δημοσθένους σεμνότητος· „πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ, δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν δέ, ἃ ἂν ὁ θεὸς διδῷ, γενναίως." ἡ δὲ Ἰσοκράτους σεμνότης ὧδε κεκόσμηται· „τῆς γὰρ γῆς ἁπάσης τῆς ὑπὸ τῷ κόσμῳ κειμένης δίχα τετμημένης, καὶ τῆς μὲν Ἀσίας, τῆς δὲ Εὐρώπης καλουμένης, τὴν ἡμίσειαν ἐκ τῶν συνθηκῶν εἴληφεν, ὥσπερ πρὸς τὸν Δία τὴν χώραν νεμόμενος."

505 Τὰ μὲν οὖν πολιτικὰ ὤκνει καὶ ἀπεφοίτα τῶν ἐκκλησιῶν διά τε τὸ ἐλλιπὲς τοῦ φθέγματος, διά τε τὸν Ἀθήνησιν φθόνον ἀντιπολιτευόμενον αὐτοῖς μάλιστα τοῖς σοφώτερόν τι ἑτέρου ἀγορεύουσιν. ὅμως δ' οὐκ ἀπεσπούδαζε τῶν κοινῶν· τόν τε γὰρ Φίλιππον, ἐν οἷς πρὸς αὐτὸν ἔγραφεν Ἀθηναίοις δήπου διωρθοῦτο, καὶ οἷς περὶ τῆς εἰρήνης συνέγραφεν, ἀνεσκεύαζε τοὺς Ἀθηναίους τῆς θαλάττης, ὡς κακῶς ἐν αὐτῇ ἀκούοντας, ὁ πανηγυρικός τε αὐτῷ λόγος, ὃν III διῆλθεν Ὀλυμπίασι τὴν Ἑλλάδα πείθων ἐπὶ τὴν Ἀσίαν στρατεύειν παυσαμένους τῶν οἰκοι ἐγκλημάτων. οὗτος μὲν οὖν εἰ καὶ κάλλιστος λόγων, αἰτίαν ὅμως παρέδωκεν, ὡς ἐκ τῶν Γοργίᾳ σπουδασθέντων ἐς τὴν αὐτὴν ὑπόθεσιν συντεθείς. ἄριστα δὲ τῶν Ἰσοκράτους φροντισμάτων ὅ τε Ἀρχίδαμος ξύγκειται καὶ ὁ Ἀμάρτυρος, τοῦ μὲν γὰρ διήκει φρόνημα Λακεδαιμονίους τῶν Λευκτρικῶν ἀναφέρον καὶ οὐκ ἀκριβῆ μόνον τὰ ὀνόματα, ἀλλὰ καὶ ἡ ξυνθήκη λαμπρά, ἐναγώνιος δὲ ὁ λόγος, ὡς καὶ τὸ μυθῶδες αὐτοῦ μέρος, τὸ περὶ τὸν Ἡρακλέα καὶ τὰς βοῦς σὺν ἐπιστροφῇ ἑρμηνεῦσθαι, ὁ δὲ Ἀμάρτυρος ἰσχὺν ἐνδείκνυται κεκολασμένην ἐς ῥυθμούς, νόημα γὰρ ἐκ νοήματος IV ἐς περιόδους ἰσοκώλους τελευτᾷ.

506 Ἀκροαταὶ τοῦ ἀνδρὸς τούτου πολλοὶ μέν, ἐλλογιμώτατος δὲ Ὑπερίδης ὁ ῥήτωρ, Θεόπομπον γὰρ τὸν ἐκ τῆς Χίου καὶ τὸν Κυμαῖον Ἔφορον οὔτ' ἂν διαβάλοιμι οὔτ' ἂν θαυμάσαιμι. οἱ δὲ ἡγούμενοι τὴν κωμῳδίαν καθάπτεσθαι τοῦ ἀνδρός, ὡς αὐλοποιοῦ, ἁμαρτάνουσιν, πατὴρ μὲν γὰρ αὐτῷ Θεόδωρος ἦν, ὃν ἐκάλουν αὐλοποιὸν Ἀθήνησιν, αὐτὸς δὲ οὔτε αὐλοὺς ἐγίγνωσκεν οὔτε ἄλλο τι τῶν ἐν βανανσίοις, οὐδὲ γὰρ ἂν οὐδὲ τῆς ἐν Ὀλυμπίᾳ εἰκόνος ἔτυχεν, εἴ τι τῶν εὐπελῶν

ε

1. ὑπερεβάλλετο. γ, o. ὑπερεβάλετο λ, π, G. ὑπερβάλετο. p. (sic) ὑπερβάλετο. v, h, e. ib. ῥυθμῷ. μ, λ, π. ib. ταχυτῆτι. γ, G, h, e, m. ib. λόγου καὶ. f. 2. ἐπεστρωμένη. R. ἐπεστρατευμένη. v, β, γ, G. ἐπιστραμμένη g. ib. ἁβροτέρα καὶ. f, γ. 3. ποιούμεθα. k. ποιόμεθα. G. ib. τῆς Δημ. R, f, k, v, β, μ, h, γ, G. τῆς μὲν Δημ. 3, E. ib. δεινότητος 2, e, m. ubi γρ. σεμνότητος. deletum a B. ib. πέρας γὰρ. h, g. 4. καὶ ἐν. v. ib. αὐτὸν. h, G.

η

ib. τηρεῖ h. τηρεῖ. G (sic) 5. προβαλομένους. μ, λ. προσβαλλομένους. o. 6. ἃ ἂν ὁ Θεὸς. 1, β, γ, G ut Schol. H. E. 233. ἃ ὁ Θ. v. ὅ τι ἂν ὁ Θ. 2, 3, E. ib. δεινότης. μ. 7. κειμένης om. ve, o. ib. δίχα τετμημένης om. γ, G. 9. πρῶτον Δία. R. 10. πολεμικά. f. 11. τῶν Ἀθ. k. ib. σοφότερον. h, λ. ib. ἑτέρου om. μ. ἑτέρου ἀγορεύοντος. R. 13. ἔγραφεν. f. ib. ἑτέρου ἀγορεύοντος Ἀθηναίους. R. 14. τῆς θαλάττης. R, f, v, β, γ, G. ἐκ τῆς θαλάττης. ς. ib. Deleverim ὁ. 15. Ὀλυμπιασί. R. Ὀλυμπιᾶσι. h. Ὀλυμπιάσι. ς. (Ὀλυμπιάσιν. o.) ib. ἐπὶ τὴν Ἑλλάδα. γ, G. ib. πανσάμενος. e, m. 16. λόγος. R. ib. αἰτίαν om. γ, G. ib. δ' ὅμως. μ. ib. παρέδωκεν. 1, o. παραδέδωκεν. 2, 3, E. ib. ὡς

ους

ἑαυτὸν Γοργίᾳ. λ 17. τεθείς. h. ib. τῶν om. f. 18. Λακεδαιμονίους. γ, G. Λακεδαιμονίοις. p. Λακεδαιμονίοις. 1, 2, φ, π, g, e, m. Λακεδαιμόνιον. o. 19. τὰ om. R, f, k, non γ, G, v, β, 2, 3, E. 20. θυμῶδες. v, h, φ, g, e et m. γρ. ib. καὶ τὸ περὶ τὰς βοῦς. μ. ib. συνεπίστροφον. o. 21. ἑρμηνεῦσθαι. R. ἠρμηνεῦσθαι. ς. ib. ὁ δ' Ἀμάρτυρος. G. ib. κεκολασμένων. k. κεκολασμένον. h. κεκολασμένος. g.

23. ἀκροαταὶ δὲ. m, o. ib. πολλοὶ μὲν, ἐλλογιμώτατος δὲ. v, β, γ, G, g, m, o. πολλοὶ μὲν καὶ ἄλλοι, ἐλλογιμώτατοι δὲ. R. πολλοὶ μέν, ἐλλογιμώτατοι δὲ. f, ρ, k, p, φ, h, e. 24. δὲ τὸν. 2. ib. ἐκ τῆς Χίου. f. ἐκ τῆς αὐτῆς

.....

Χίου sic del. k. ἐκ Χίου. ς. ib. διαβάλλοιμι. E. ib οὔτ' ἂν θαυμάσαιμι om. R, f, γ, G. οὔτ' ἂν θαυμάσοιμι. k. 25. τοῦ ἀνδρὸς. γ, G. τοῦ ἀνδρὸς Ἰσοκράτους. R, f, β. fuitque in ρ, ubi ἀνδρὸς nunc erasum est. τοῦ Ἰσοκράτους. v, k, 2, 3, E. 27. ἐν βανανσίοις. R, f, k et p ex corr. ἐν βαναύσοις. γ, G, 2, 3, E. ib. οὐδὲ γὰρ. 1, γ, G. οὐ γὰρ. 2, 3, E. ib. ἐν Ὀλυμπίῳ. o.

1, 11, §. 2, 3, 4. p. 505. 506. = 21. 22. 23.

εἰργάζετο. ἀπέθανε μὲν οὖν Ἀθήνησιν ἀμφὶ τὰ ἑκατὸν ἔτη, ἕνα δὲ αὐτὸν ἡγώμεθα τῶν ἐν πολέμῳ ἀποθανόντων, ἐπειδὴ μετὰ Χαιρώνειαν ἐτελεύτα μὴ καρτερήσας τὴν ἀκρόασιν τοῦ Ἀθηναίων παίσματος.

ιή. Περὶ δὲ Αἰσχίνου τοῦ Ἀτρομήτου, ὃν φαμεν τῆς δευτέρας σοφιστικῆς ἄρξαι, τάδε 507
χρὴ ἐπεσκέφθαι· ἡ Ἀθήνησι δημαγωγία διειστήκει πᾶσα, καὶ οἱ μὲν βασιλεῖ ἐπιτήδειοι ἦσαν, οἱ δὲ Μακεδόσιν, ἐφέροντο δὲ ἄρα τὴν πρώτην τῶν μὲν βασιλεῖ χαριζομένων ὁ Παιανιεὺς Δημοσθένης, τῶν δὲ ἐς Φίλιππον ὁρώντων ὁ Κοθωκίδης Αἰσχίνης, καὶ χρήματα παρ' ἀμφοῖν ἐφοίτα σφίσι, βασιλέως μὲν ἀσχολοῦντος δι' Ἀθηναίων Φίλιππον τὸ μὴ ἐπὶ Ἀσίαν ἐλάσαι, Φιλίππου δὲ πειρωμένου διαλύειν τὴν ἰσχὺν Ἀθηναίων, ὡς ἐμπόδισμα τῆς διαβάσεως. διαφορᾶς δ' ἦρξεν Αἰσχίνῃ καὶ Δημοσθένει καὶ αὐτὸ μὲν τὸ ἄλλον ἄλλῳ βασιλεῖ πολιτεύειν, ὡς δ' ἐμοὶ φαίνεται, τὸ ἐναντίως ἔχειν καὶ τῶν ἠθῶν, ἐξ ἠθῶν γὰρ ἀλλήλοις ἀντιξόων φύεται μῖσος αἰτίαν οὐκ ἔχον. ἀντιξόω δ' ἦστην καὶ διὰ τάδε· ὁ μὲν Αἰσχίνης φιλοπότης τε ἐδόκει καὶ ἡδὺς καὶ ἀνειμένος καὶ πᾶν τὸ ἐπίχαρι ἐκ Διονύσου ῥηκώς, καὶ γὰρ δὴ καὶ τοῖς βαρυστόνοις ὑποκριταῖς τὸν ἐν μειρακίῳ χρόνον ὑπετραγῴδησεν, ὁ δ' αὖ συννενοφώς τε ἐφαίνετο καὶ βαρὺς τὴν ὀφρὺν καὶ ὕδωρ πίνων, 508
ὅθεν ἐν δυσκόλοις τε καὶ δυστρόποις ἐπεγράφετο, καὶ πολλῷ πλέον, ἐπειδὴ πρεσβεύοντε ξὺν ἑτέροις παρὰ τὸν Φίλιππον καὶ ὁμοδιαίτω ὄντε ὁ μὲν διακεχυμένος τε καὶ ἡδὺς ἐφαίνετο τοῖς συμπρέσβεσιν, ὁ δὲ κατεσκληκώς τε καὶ ἀεὶ σπουδάζων. ἐπέτεινε δὲ αὐτοῖς τὴν διαφορὰν ὁ ὑπὲρ Ἀμφιπόλεως ἐπὶ τοῦ Φιλίππου λόγος, ὅτε δὴ ἐξέπεσε μὲν τοῦ λόγου ὁ Δημοσθένης, ὁ δ' Αἰσχίνης οὐδὲ τῶν ἀποβεβλημένων ποτὲ τὴν ἀσπίδα ἐνθυμουμένῳ τὸ ἐν Ταμύναις ἔργον, ἐν ᾧ Βοιωτοὺς ἐνίκων Ἀθηναῖοι· ἀριστεῖα τούτου δημοσίᾳ ἐστεφανοῦτο τά τε ἄλλα καὶ χρησάμενος ἀμηχάνῳ τάχει περὶ τὰ εὐαγγέλια τῆς νίκης. διαβάλλοντος δὲ αὐτὸν Δημοσθένους, ὡς αἴτιον τοῦ Φωκικοῦ πάθους, 11
ἀπέγνωσαν Ἀθηναῖοι τὴν αἰτίαν, ἐπὶ δὲ τῷ καταψηφισθέντι Ἀντιφῶντι ἦλω μὴ κριθείς, καὶ ἀφείλοντο αὐτὸν οἱ ἐξ Ἀρείου πάγου τὸ μὴ οὐ συνειπεῖν σφισιν ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ. καὶ μὴν καὶ πυλαγόρας ἀναρρηθεὶς οὕπω παρὰ τοῖς πολλοῖς διαπέφευγε τὸ μὴ οὐκ αὐτὸς Ἐλατείᾳ ἐπιστῆσαι τὸν Φίλιππον τὴν Πυλαίαν συνταράξας εὐπροσώποις λόγοις καὶ μύθοις. Ἀθηνῶν δὲ ὑπεξῆλθεν οὐχὶ φεύγειν προσταχθείς, ἀλλ' ἀτιμίᾳ ἐξιστάμενος, ᾗ ὑπήγετο ὑπὸ Δημοσθένει καὶ Κτησιφῶντι ἐκπεσὼν τῶν ψήφων. ἡ μὲν δὴ ὁρμὴ τῆς ἀποδημίας αὐτῷ παρὰ τὸν Ἀλέξανδρον ἦν,

1. οὖν om. 2, φ, λ, e. ib. ἡγούμεθα G. 2. μετὰ Χαιρώνειαν. 1, p, γ, G. μετὰ τὰ κατὰ Χαιρώνειαν. 2, φ, π, g, E (Χερώνειαν. v, φ, e.) ib. μὴ καρρήσας. μ. ib. τοῦ παίσματος τῶν Ἀθηναίων. R. τοῦ τῶν Ἀθ. παίσματος. v.

5. ἀπεσκέφθαι. R. ἐπεσκέφθαι. h. ib. ἦσαν om. R. καὶ οἱ μὲν βασιλεῖ ἐπιτήδειοι, οἱ δὲ Μακεδόσιν ἦσαν. β. 6. Παιανεύς. ox, h pr. m. 7 τῶν δὲ — Αἰσχίνης om. v. ib. παρ' ἀμφοῖν. f, β, μ, h. παρὰ ἀμφοῖν. ς. 8. ἐπὶ Ἀσίαν. 1. ἐπὶ τὴν Ἀσίαν. 2, 3, E. 9. διαλύειν. 1 et p ex corr. παραλύειν. 2, 3, E. ib. τὴν Ἀθηναίων ἰσχύν 1. τὴν ἰσχὺν Ἀθηναίων. 2, 3, E. 10. τὸ αὐτὸ μὲν. ox. οὐκ αὐτὸ μὲν. o. ib. ὡς δ' ἐμοὶ — ἠθῶν om. R, f. 11. ἐναντίας. p. ib. καὶ τῶν ἠθῶν. β. τῶν ἠθῶν. 2, 3, E. 12. ἤσθην. R. ἴστην. μ. ἧτην. E. ib. καὶ διὰ τάδε. 1. διὰ τάδε. 2, 3, E. ib. φιλοπότης τε. π, g. 14. χρόνον χορὸν. v, m, ox. et Bonf. temporis chorum. ib. αὖ συννετηφώς τε ἐφαίνετο. f, ρ, k, ve. ἦν νενηφὼς ἐφαίνετο. R. αὖ νενηφώς τε ἐφαίνετο. 2, 3, E. Scr: συννενοφώς τε ἐφαίνετο. 15. ἐν δυσχόλοις. μ. τε om. μ, ox. ib. ἐπεγράφετο. 1, ve et p ex corr. ἐγράφετο. 2, 3, E. Fo: ὅθεν ὀτσκόλοις — ἐνεγράφετο. ib. ἐπειδὴ om. v. ib. πρεσβεύοντες. k. 16. ὄντες. k, v. ὄντοιν. μ. ib. συμπρέσβεσιν. f, β. συνπρέσβεσιν. R. συμπρίσβευσιν k et p ex corr. πρεσβεύουσιν. μ. συμπρισβεύουσιν. ς. 17. ὁ δὲ — σπουδάζων om. μ. ib. δ' αὐτοῖς. E. δὲ αὐτοῖς. μ. 18. ἐπὶ τὸ λόγος om. R. lacuna relicta. ib. ὅτε δ'. f. 19. ἀποβεβλημένων. 1. ἀποβιβλικότων. 2, 3, E. ib. τὴν ἀσπίδα. R, f, k, β et p ex corr. ἀσπίδα. ς. ib. ἐνθυμουμένων. R, f et ρ ubi mg. γρ. ἐνθυμούμενος. Hoc est in k ἀλλὰ ἐνθυμούμενος. 2, 3, E. ἐνθυμουμένους. β. Scr: ἐνθυμουμένῳ. 20. παρὰ. R. 21. διαγγελόντος. R. ib. Φωκαικοῦ. R, f, k. 22. ἤδη μὴ. R. ἦλω μὴ. f, k, β et p ex corr. ἦλω. 2, 3, E. 23. τὸ μὴ οὐ. 1 et p ex corr τὸ μὴ. v, ox, h, 3, E. τὸ συνειπεῖν. μ. 24. ἀναρρηθεὶς. C praeter φ, ubi ἀνακρηθεὶς, inde ἀνακριθείς. E. ib. οὐκ om. o. 25. περιστῆσαι. R. ib. λόγοις ἢ μύθοις. g. ib. Ἀθηναίων. R. ib. δὲ ὑπεξῆλθεν. f. ἐπεξῆλθεν. R. 26. ὑπεξιστάμενος. μ. ib. ἧς ὑπήγετο. g. 27. ἐκπεσόντων. R. ib. αὐτοῦ. R.

1. 18, §. 1, 2. p. 507. 508. = 23. 21.

ὡς αὐτίκα ἥξοντα ἐς Βαβυλῶνά τε καὶ Σοῦσα, καθορμισθεὶς δὲ ἐς τὴν Ἔφεσον καὶ τὸν μὲν τεθνάναι ἀκούων, τὰ δὲ τῆς Ἀσίας αὐτῷ ξυγκεκλυσμένα πράγματα, Ῥόδου εἴχετο, ἡ δὲ νῆσος ἀγαθὴ ἐνσπουδάσαι, καὶ σοφιστῶν φροντιστήριον ἀποφήνας τὴν Ῥόδον αὐτοῦ διῃτᾶτο θύων ἡσυχίᾳ τε καὶ Μούσαις καὶ Δωριοις ἤθεσιν ἐγκαταμιγνὺς Ἀττικά.

111 5 Τὸν δὲ αὐτοσχέδιον λόγον ξὺν εὐροίᾳ καὶ θείως διατιθέμενος τὸν ἔπαινον τοῦτον πρῶτος ἠνέγκατο. τὸ γὰρ θείως λέγειν οὔπω μὲν ἐπεχωρίασε σοφιστῶν σπουδαῖς, ἀπ' Αἰσχίνου δ' ἤρξατο θεοφορήτῳ ὁρμῇ ἀποσχεδιάζοντος, ὥσπερ οἱ τοὺς χρησμοὺς ἀναπνέοντες. ἀκροατὴς δὲ Πλάτωνός τε καὶ Ἰσοκράτους γενόμενος πολλὰ καὶ παρὰ τῆς ἑαυτοῦ φύσεως ἠγάγετο. σαφηνείας τε γὰρ φῶς
510 ἐν τῷ λόγῳ καὶ ἁβρὰ σεμνολογία καὶ τὸ ἐπίχαρι σὺν δεινότητι καὶ καθάπαξ ἡ ἰδέα τοῦ λόγου
10 κρείττων ἢ μιμήσει ὑπαχθῆναι.

IV Λόγοι δ' Αἰσχίνου κατ' ἐνίους μὲν καὶ τέταρτός τις Δηλιακὸς καταψευδόμενος τῆς ἐκείνου γλώττης· οὐ γὰρ ἄν ποτε τοὺς μὲν περὶ τὴν Ἄμφισσαν λόγους, ὑφ' ὧν ἡ Κιρραία χώρα καθιερώθη, εὐπροσώπως τε καὶ ξὺν ὥρᾳ διέθετο κακὰ βουλεύων Ἀθηναίοις, ὡς φησι Δημοσθένης, ἐπὶ δὲ τοὺς Δηλιακοὺς μύθους, ἐν οἷς θεολογία τε καὶ θεογονία καὶ ἀρχαιολογία, φαύλως οὕτως
15 ὥρμησε καὶ τοῦτο προαγωνιζόμενος Ἀθηναίων οὐ μικρὸν ἀγώνισμα ἡγουμένων τὸ μὴ ἐκπεσεῖν τοῦ ἐν Δήλῳ ἱεροῦ. τρισὶ δὴ λόγοις περιωρίσθω ἡ Αἰσχίνου γλῶττα· τῷ τε κατὰ Τιμάρχου καὶ τῇ ἀπολογίᾳ τῆς πρεσβείας καὶ τῇ τοῦ Κτησιφῶντος κατηγορίᾳ. ἔστι δὲ καὶ τέταρτον αὐτοῦ φρόν-
V τισμα, ἐπιστολαί, οὐ πολλαὶ μέν, εὐπαιδευσίας δὲ μεσταὶ καὶ ἤθους. τοῦ δὲ ἠθικοῦ καὶ Ῥοδίοις
20 ἐπίδειξιν ἐποιήσατο· ἀναγνοὺς γάρ ποτε δημοσίᾳ τὸν κατὰ Κτησιφῶντος οἱ μὲν ἐθαύμαζον, ὅπως ἐπὶ τοιούτῳ λόγῳ ἡττήθη καὶ καθήπτοντο τῶν Ἀθηναίων ὡς παρανοούντων, ὁ δὲ „οὐκ ἄν" ἔφη „ἐθαυμάζετε, εἰ Δημοσθένους λέγοντος πρὸς ταῦτα ἠκούσατε", οὐ μόνον ἐς ἔπαινον ἐχθροῦ καθιστάμενος, ἀλλὰ καὶ τοὺς δικαστὰς ἀφιεὶς αἰτίας.

511 ιθ'. Ὑπερβάντες δ' Ἀριοβαρζάνην τὸν Κίλικα καὶ Ξενόφρονα τὸν Σικελιώτην καὶ Πειθαγόραν τὸν ἐκ Κυρήνης, οἳ μήτε γνῶναι ἱκανοὶ ἔδοξαν, μήθ' ἑρμηνεῦσαι τὰ γνωσθέντα, ἀλλ' ἀποριᾳ
25 γενναίων σοφιστῶν ἐσπουδάσθησαν τοῖς ἐφ' ἑαυτῶν Ἕλλησιν, ὅν που τρόπον τοῖς σίτου ἀποροῦσιν οἱ ὄροβοι, ἐπὶ Νικήτην ἴωμεν τὸν Σμυρναῖον. οὗτος γὰρ ὁ Νικήτης παραλαβὼν τὴν ἐπιστήμην ἐς στενὸν ἀπειλημμένην ἔδωκεν αὐτῇ παρόδους πολλῷ λαμπροτέρας ὧν αὐτὸς τῇ Σμύρνῃ ἐδείματο, συνάψας τὴν πόλιν ταῖς ἐπὶ τὴν Ἔφεσον πύλαις καὶ διὰ μέγεθος ἀντεξάρας λόγοις ἔργα. ὁ δὲ ἀνὴρ οὗτος τοῖς μὲν δικανικοῖς ἀμείνων ἐδόκει τὰ δικανικά, τοῖς δὲ σοφιστικοῖς τὰ σοφιστικὰ ὑπὸ

1. ἥξαντα. R, f, k. ib. Βαβυλῶ. v. ib. Μοῦσα. μ. ib. δὲ om. f, k. ib. καὶ τὰ μὲν. π, g. 2. Ἀσίας αὐτοῦ. R. Αn Ἀσίας ἀθρόως ξ. ?. ib. ξυγκεκλυσμένα. 1, o. ξυγκεκλεισμένα. 2, φ, π, g, e, m. ξυγκεκλεισμένα. p. 3. ἡσυχίᾳ τε θύων. R. θύων ἡσυχίᾳ τε. f, β, v, m, g. θύων ἡσυχίᾳ. ς. 4. ἐγκαταμιγνείς. p et mg. ῥοδίοις.

5. εὐρροίᾳ. p. ib. πρῶτον. e. m. 7. ἀκρ. καὶ Πλάτωνος καὶ Ἰσοκρ. β. 8. πολλὰ δὲ παρὰ. k. ib. γὰρ φῶς. p. 9. ἐν τῷ λόγῳ ἔπαινος Αἰσχίνου. ρ, k et R. in mg., o.

11. λόγων. μ, v. λόγῳ. h. λόγος. ox. 12. Κυρραία. π, g. 13. ὥσπερ φησι. p. 14. μύθους om. 2, 3 (p a pr. m.), E. 15. μικρῶν p. σμικρὸν. h. ib. ἀγώνισμα om. 2, 3 (p a pr. m.), E. ib. τοῖς μὴ. R, v, β. 16. τρισὶ δή. f. τρισὶ δὲ. 2, 3, E. ib. περιορίσθω. m, ox. ib. καὶ τῇ ἀπολογίᾳ. v, E. καὶ ἀπολογίᾳ. C. 17 καὶ τοῦ. h. ib. ἔτι. k. 18. δέ γε μεσταὶ. R. μέν γε μεσταί. β. ib. Ῥοδίοις om. h. 19. καλλίστην ἐπίδειξιν. 2, φ ex corr. E. ib. κατὰ τοῦ. 2. 20. παρανοούντων. r, p ex corr. ve. παρανοούντων. f corr. sec. m. παρανομούντων ς. 21. ἐθαυμάζετο. b. ib. εἰ Δ. παρόντος ἠκούετε. R.

23. ὑπερβάντες δ' Ἀριοβαρζάνην. R, β. ὑπερβάντες Ἀρ. ς. Ἀριβαρζάνην. 2, 3, E. ib. Πειθαγόραν. 1, ve. Πυθαγόραν. ς. 24. Κυρίνης. r. 25. ἐφ' αὐτῶν. r. 26. οὗτος γὰρ ὁ Νικήτης p ex corr. οὗτος γὰρ (om. ὁ Νικήτης). ς. 27. λαμπροτέραν. R. 29. τοῖς δὴ. v.

1, 18, §. 3, 4, 19. p. 510. 511. = 21. 25. 26.

τοῦ περιδεξίως τε καὶ πρὸς ἅμιλλαν ἐς ἄμφω ἡρμόσθαι. τὸ μὲν γὰρ δικανικὸν σοφιστικῇ περιβολῇ ἐκόσμησεν, τὸ δὲ σοφιστικὸν κέντρῳ δικανικῷ ἐπέρρωσεν. ἡ δὲ ἰδέα τῶν λόγων τοῦ μὲν ἀρχαίου καὶ πολιτικοῦ ἀποβέβηκεν, ὑπόβακχος δὲ καὶ διθυραμβώδης, τὰς δ' ἐννοίας ἰδίας τε καὶ παραδόξους ἐκδίδωσιν, ὥσπερ οἱ βακχεῖοι θύρσοι τὸ μέλι καὶ τοὺς ἐσμοὺς τοῦ γάλακτος.

Μεγάλων δ' ἀξιούμενος, τῆς Σμύρνης τί οὐκ ἐπ' αὐτῷ βοώσης ὡς ἐπ' ἀνδρὶ θαυμασίῳ καὶ 5 11
ῥήτορι, οὐκ ἐθάμιζεν ἐς τὸν δῆμον, ἀλλ' αἰτίαν παρὰ τοῖς πολλοῖς ἔχων φόβου „φοβοῦμαι" ἔφη „δῆμον ἐπαίροντα μᾶλλον ἢ λοιδορούμενον." τελώνου δὲ θρασυναμένου ποτὲ πρὸς αὐτὸν ἐν δικαστηρίῳ καὶ εἰπόντος „παῦσαι ὑλακτῶν με" μάλα ἀστείως ὁ Νικήτης „νὴ Δία", εἶπεν „ἦν καὶ σὺ παύσῃ δάκνων με."

Ἡ δὲ ὑπὲρ Ἄλπεις τε καὶ Ῥῆνον ἀποδημία τοῦ ἀνδρὸς ἐγένετο μὲν ἐκ βασιλείου προστάγμα- 10 512
τος, αἰτία δὲ αὐτῆς ἥδε· ἀνὴρ ὕπατος, ᾧ ὄνομα Ῥοῦφος, τοὺς Σμυρναίους ἐλογίστευε πικρῶς καὶ δυστρόπως. τούτῳ τι προσκρούσας ὁ Νικήτης „ἔρρωσο", εἶπεν, καὶ οὐκέτι προσῄει δικάζοντι. τὸν μὲν δὴ χρόνον, ὃν μιᾶς πόλεως ἦρξεν, οὕπω δεινὰ πεπονθέναι ᾤετο, ἐπιτραπεὶς δὲ τὰ Κελτικὰ στρατόπεδα ὀργῆς ἀνεμνήσθη — αἱ γὰρ εὐπραγίαι τά τε ἄλλα τοὺς ἀνθρώπους ἐπαίρουσι καὶ τὸ μηκέτι καρτερεῖν, ἃ πρὶν εὖ πράττειν ἀνθρωπίνῳ λογισμῷ ἐκαρτέρουν — καὶ γράφει πρὸς τὸν 15
αὐτοκράτορα Νερούαν πολλὰ ἐπὶ τὸν Νικήτην καὶ σχέτλια. καὶ ὁ αὐτοκράτωρ „αὐτὸς" εἶπεν „ἀκροάσει ἀπολογουμένου, κἂν ἀδικοῦντα εὕρῃς, ἐπίθες δίκην." ταυτὶ δὲ ἔγραφεν οὐ τὸν Νικήτην ἐκδιδούς, ἀλλὰ τὸν Ῥοῦφον ἐς συγγνώμην ἑτοιμάζων, οὐ γὰρ ἄν ποτε ἄνδρα τοιοῦτον ἐφ' ἑαυτῷ γεγονότα οὔτ' ἂν ἀποκτεῖναι ὁ Ῥοῦφος, οὔτ' ἂν ἕτερον ξημιῶσαι οὐδέν, ὡς μὴ φανείη βαρὺς τῷ καθιστάντι αὐτὸν δικαστὴν ἐχθροῦ. διὰ μὲν δὴ ταῦτα ἐπὶ Ῥῆνόν τε καὶ Κελτοὺς ἦλθεν, παρελθὼν 20
δὲ ἐπὶ τὴν ἀπολογίαν οὕτω τι κατέπληξε τὸν Ῥοῦφον, ὡς πλείω μὲν ἀφεῖναι ἐπὶ τῷ Νικήτῃ δάκρυα οὐ διεμέτρησεν αὐτῷ ὕδατος, ἀποπέμψαι δὲ οὐκ ἄτρωτον μόνον, ἀλλὰ καὶ περίβλεπτον καὶ ἐν τοῖς ζηλωτοῖς Σμυρναίων. τὸν δὲ ἄνδρα τοῦτον χρόνοις ὕστερον Ἡρακλείδης ὁ Λύκιος σοφιστὴς διορθούμενος ἐπέγραψε Νικήτην τὸν κεκαθαρμένον, ἠγνόησε δὲ ἀκροθίνια Πυγμαῖα κολοσσῷ ἐφαρμόζων. 25

κ. Ἰσαῖος δὲ ὁ σοφιστὴς ὁ Ἀσσύριος τὸν μὲν ἐν μειρακίῳ χρόνον ἡδοναῖς ἐδεδώκει, γαστρός τε γὰρ καὶ φιλοποσίας ἥττητο καὶ λεπτὰ ἠμπίσχετο καὶ θαμὰ ἥρα καὶ ἀπαρακαλύπτως ἐκώμαζεν, 513
ἐς δὲ ἄνδρας ἥκων οὕτω τι μετέβαλεν, ὡς ἕτερος ἐξ ἑτέρου νομισθῆναι, τὸ μὲν γὰρ φιλόγελων ἐπιπολάζειν αὐτῷ δοκοῦν ἀφεῖλε καὶ προσώπου καὶ γνώμης, λυρῶν τε καὶ αὐλῶν κτύποις οὐδ'

1. ἥρμοσται. h. ib. σοφιστικῇ περιβολῇ. r et p. ex corr. σοφιστικῇ τινι περιβολῇ. ς. 2. τὸ δὲ σοφιστικὸν om. π, g. σοφιστικῷ. f. ib. ἡ δὴ ἰδέα. v. ib. τοῦ λόγου. μ. suprascr. ων. 3. ὑποβέβηκεν. π, g. ib. ὑπόβακχος δὲ καὶ. 4. ὑπόβακχος γάρ ἐστι καὶ. μ, v. ὑπόβακχος γὰρ καὶ. ox, h, 3, E. 4. ἐμοὺς. h. νασμοὺς. B.

5. ἀξιούμενος τῆς. R, r, f. ἀξιούμενος καὶ τῆς. ρ, k, β, 2, 3, E. ib. ὡς μετ' ἀνδρὶ. π. 6. φόβου. R, r, f. μαι φόβοῦ ρ. (sic.) φοβούμεναι. k. φοβοῦμαι. β, 2, 3, E. Ex diversis lectionibus integravi locum scribens φόβου „φοβοῦμαι" ἔφη. 7. θρασυναμένου. r, f, β, ve. θρασυνομένου. R, k, 2, 3, E. 8. νὴ Δία om. 2, 3, e, m. ib. εἶπεν. 1. ἔφη. 2, 3, E. 9. δάκνων με. R. δάκνων. ς.

10. Ἄλπεις τε καὶ Κυρήνην R, r, f. Ἄλπης τε καὶ Κυρήνην. k. et p in mg. γρ. Κυρήνην. 11. δ' αὐτῆς. r. ib. ᾧ ὄνομα Κλαύδιος Ῥοῦφος. R. 12. εἶπεν καὶ. R, f. 13. μὲν γὰρ δὴ. R. χρόνον μιᾶς. r, f. 14. στρατόπαιδα. r. ib. τάτε γ' ἄλλα. μ, h, π, g. 15. ἐκαρτέρει. R, f, ρ, k, β. ib. πρὸς τὸν αὐτοκρ. r, f, β, p. πρὸς αὐτὸν αὐτοκρ. k. πρὸς αὐτοκρ. ς. γράφειν. h. 16. Νέρωνα. h. ἔρωνα πολλὰ καὶ σχέτλια. R. Νέρβαν. r. 17. ἀκροάσει. R, r. ἀκροάσῃ. ς. ib. ταυτὶ δὴ. v. 18. διδοὺς. g. ib. Ῥοῦφον φανεῖς συγγνώμην. β. ib. ἐφ' ἑαυτῷ. r, 3, E. ὑφ' ἑαυτῷ. R, f, k, β, 2. 19. μηδὲν. p. 20. Κελτὸν ἦλθεν. R. ib. παρελθὼν δ'. E. παρελθὼν δὲ. μ, h. 21. οὕτω τοι. μ, p. 23. καὶ ἐν τοῖς. 1. ἐν τοῖς. 2, 3, E. 24. ἔγραψεν. f. ib. Σ. s. v. ἀκροθίνια· Ἡρακλείδης ὁ Λύκιος σοφιστὴς ἔφη· Νικήτης ὁ κεκαθαρμένος, ἀγνοήσας ἀκροθίνια Πυγμαίων κολοσσῷ ἐφαρμόζειν. ib. ἀκροθήνια. r, k.

26. ὁ σοφιστὴς Ἀσσύριος. R. 27. ἀπαρακωλύπτως. f, k. 28. οὕτω τοι. μ, h. οὕτω μετέβαλεν. R. 29. πρόσωπον καὶ γνώμην. g.

ἐπὶ σκηνῆς ἔτι παρετύγχανεν, ἀπέδυ δὲ καὶ τὰ λῴδια καὶ τὰς τῶν ἐφεστρίδων βαφὰς καὶ τράπεζαν ἐκόλασε καὶ τὸ ἐρᾶν μετέθηκεν, ὥσπερ τοὺς προτέρους ὀφθαλμοὺς ἀποβαλών· Ἄρδυος γοῦν τοῦ ῥήτορος ἐρομένου αὐτόν, εἰ ἡ δεῖνα αὐτῷ καλὴ φαίνοιτο, μάλα σωφρόνως ὁ Ἰσαῖος „πέπαυμαι" εἶπεν „ὀφθαλμιῶν". ἐρομένου δὲ αὐτὸν ἑτέρου, τίς ἄριστος τῶν ὀρνίθων καὶ τῶν ἰχθύων ἐς βρῶσιν, „πέπαυμαι" ἔφη ὁ Ἰσαῖος „ταῦτα σπουδάζων, ξυνῆκα γὰρ τοὺς Ταντάλου κήπους τρυγῶν", ἐνδεικνύμενος δήπου τῷ ἐρομένῳ ταῦτα, ὅτι σκιὰ καὶ ὀνείρατα αἱ ἡδοναὶ πᾶσαι.

II Τῷ δὲ Μιλησίῳ Διονυσίῳ ἀκροατὴ ὄντι τὰς μελέτας ξὺν ᾠδῇ ποιουμένῳ ἐπιπλήττων ὁ Ἰσαῖος „μειράκιον" ἔφη „Ἰωνικόν, ἐγὼ δέ σε ᾄδειν οὐκ ἐπαίδευσα." νεανίσκου δὲ Ἰωνικοῦ θαυμάζοντος πρὸς αὐτὸν τὸ τοῦ Νικήτου μεγαλοφώνως ἐπὶ τοῦ Ξέρξου εἰρημένον „ἐκ τῆς βασιλείου νεὼς Αἴγιναν ἀναθησώμεθα" καταγελάσας πλατὺ ὁ Ἰσαῖος „ἀνόητε", εἶπεν, „καὶ πῶς ἀναχθήσῃ;"

514 Τὰς δὲ μελέτας οὐκ αὐτοσχεδίους ἐποιεῖτο, ἀλλ' ἐπεσκεμμένας τὸν ἐξ ἕω ἐς μεσημβρίαν καιρόν. ἰδέαν δ' ἐπήσκησε λόγων οὔτ' ἐπιβεβλημένην, οὔτ' αὐον, ἀλλ' ἀπέριττον καὶ κατὰ φύσιν καὶ ἀποχρῶσαν τοῖς πράγμασιν. καὶ τὸ βραχέως ἑρμηνεύειν, τοῦτό τε καὶ πᾶσαν ὑπόθεσιν συνελεῖν ἐς βραχὺ Ἰσαίου εὕρημα, ὡς ἐν πλείοσι μὲν ἑτέροις, μάλιστα δὲ ἐν τοῖσδε ἐδηλώθη· τοὺς μὲν γὰρ Λακεδαιμονίους ἀγωνιζόμενος τοὺς βουλευομένους περὶ τοῦ τείχους ἀπὸ τῶν Ὁμήρου ἐβραχυλόγησε τοσοῦτον·

„ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·

οὕτω στῆτέ μοι, Λακεδαιμόνιοι, καὶ τετειχίσμεθα." κατηγορῶν δὲ τοῦ Βυζαντίου Πύθωνος, ὡς δεθέντος μὲν ἐκ χρησμῶν ἐπὶ προδοσίᾳ, κεκριμένης δὲ τῆς προδοσίας, ὡς ἀνέξευξεν ὁ Φίλιππος, ξυνέλαβε τὸν ἀγῶνα τοῦτον ἐς τρεῖς ἐννοίας, ἔστι γὰρ τὰ εἰρημένα ἐν τρισὶ τούτοις· „ἐλέγχω Πύθωνα προδεδωκότα τῷ χρήσαντι θεῷ, τῷ δήσαντι δήμῳ, τῷ ἀναξεύξαντι Φιλίππῳ, ὁ μὲν γὰρ οὐκ ἂν ἔχρησεν, εἰ μή τις ἦν, ὁ δὲ οὐκ ἂν ἔδησεν, εἰ μὴ τοιοῦτος ἦν, ὁ δὲ οὐκ ἂν ἀνέξευξεν, εἰ μὴ δι' ὃν ἦλθεν, οὐχ εὗρεν."

κά. Ὑπὲρ Σκυπελιανοῦ τοῦ σοφιστοῦ διαλέξομαι καθαψάμενος πρότερον τῶν κακίζειν αὐτὸν πειρωμένων, ἀπαξιοῦσι γὰρ δὴ τὸν ἄνδρα τοῦ τῶν σοφιστῶν κύκλου διθυραμβώδη καλοῦντες καὶ ἀκόλαστον καὶ πεπαχυσμένον. ταυτὶ περὶ αὐτοῦ λέγουσιν οἱ λεπτολόγοι καὶ νωθροὶ καὶ μηδὲν ἀπ' αὐτοσχεδίου γλώττης ἀναπνέοντες· φύσει μὲν γὰρ ἐπίφθονον χρῆμα ἄνθρωποι· διαβάλλουσι γοῦν τοὺς μὲν εὐμήκεις οἱ μικροί, τοὺς δὲ εὐειδεῖς οἱ πονηροὶ τὸ εἶδος,

1. ἐπὶ σκηναῖς. R. ib. λῴδια. R, r, f, ρ. λίδια. k. λύδια. β, 2, 3, e, m. 2. μετέθηκεν. 1. μεθῆκεν. 2, 3, E. ib. οὖν. π. τοῦ om. m, o. 3. εἰ ἡ δεῖνα καλή. R. ib. πέπαυμαι ἔφη ὀφθαλμιῶν μάλα σωφρόνως ὁ Ἰσαῖος. R. 4. τῶν ὀρνίθων καὶ τῶν ἰχθύων. 1. τῶν ἰχθύων καὶ τῶν ὀρνίθων. 2, 3, E. 5. ὁ Ἰσαῖος om. β. 6. ἐρομένῳ αὐτῷ. β. ib. Σ. v. Ἰσαῖος· ὅτι Ἰσαίου τοῦ ῥήτορος νεωτέρου ἀσωτευομένου, ὕστερον δὲ σωφρονήσαντος ἤρετο αὐτόν τις· τίς ἄριστος τῶν ἰχθύων καὶ τῶν ὀρνέων – ὡς σκιαὶ καὶ ὀνείρατα αἱ ἡδοναὶ πᾶσαι. ὡς σκιαί etiam pe habet, cum Σ B, E.

7. Μιλησίῳ om. k. ib. ποιουμένου. R. 9. τὸ τοῦ Νικήτου. r, ρ, k, β. τὸ τοῦ Ψικήτου. R. τῷ τοῦ Νικήτου. f. τὸ τῷ Νικήτῃ. v, p, g, pe. τῷ Νικήτῃ (om. τὸ) h, E. τὸ τὸν Νικήτην. μ. ib. μεγαλοφρόνως. k. μεγαλοφόνως. b. ib. νεὼς. 1, ve, pe. νηὸς. 2, 3, E. 10. ἀνόητος. π, g.

11. ὡς αὐτοσχεδίους. o. ib. ἐπεσκεμμένους. k. ἐπεσκεμμένως. β. ἐπισκιμμένας. h. 12. οὔτε ἐπιβεβλημένην. μ. 13. καὶ βραχέως. 1. καὶ τὸ βραχέως. 2, 3, E. ib. τοῦτο καί. R. τοῦ τότε καί. r, f, ρ. τοῦτὸ τε καί. k (sic). τοῦτό τε om. β, 2, 3, E. ib. καὶ πᾶσαν. r et p ex corr. καὶ πᾶσαν τὴν. ς. 14. τοὺς γάρ. μ. 15. ἀγωνιζομένους R, f, k, β. ib. καὶ βουλευομένους. R, f, k, β. τοὺς βουλομένους. m. ib. ἐβραχυλόγησεν. f. 16. τοσαῦτα. R. 17. ἀσπὶς δ' ἄρ'. R, π. ἀσπὶς ἀσπίδ'. k. ἀσπὶς ἄρ' ἐπ' ἀσπίδ'. μ. ib. καὶ κόρυς κόρυν. β. κόρης κόρη. h. 18. οὐ στῆτε. R. 19. ἐπὶ προδοσίᾳ ἐκ χρησμῶν. R. ἐκ χρησμοῦ. p. ib. τῆς om. R. 20. ξυνέβαλε. R, r, f, g, h. ib. ἐννοίας. β. ib. ἐν om. β. ib. ἐλέγχω. 1 (ἐλέγχων. R). ἐλέγξω. 2, 3, E. 21. ἀναξεύξαντι Φιλίππῳ δήμῳ. f. in r δήμῳ mg. habet. 23. ἐνέξευξεν. r. ἔξευξε. k.

24. καθαψόμενος. v. 25. αὐτῶν. k. ib. κύκνου. R. 26. ταυτί. R, r. ταυτὶ γάρ. h. ταυτὶ δὲ. C reliqui. καὶ ταυτὶ δὲ. E. 27. ἀπ' αὐτοσχεδίου. 1, o. ὑπ' αὐτοσχεδίου. 2, 3, e, m. ib. ἀναπνέοντος. v. 28. γοῦν om. π. ib. ἀειδεῖς. k. εὐεδεῖς. fe. εὐηδεῖς. h, m.

1, 20 2 21. p. 514. 515. = 27. 28. 29.

τοὺς δὲ κούφους τε καὶ δρομικοὺς οἱ βραδεῖς καὶ ἑτερόποδες, τοὺς θαρσαλέους οἱ δειλοὶ καὶ οἱ ἄμουσοι τοὺς λυρικούς, τοὺς δ' ἀμφὶ παλαίστραν οἱ ἀγύμναστοι, καὶ οὐ χρὴ θαυμάζειν, εἰ πεπηδημένοι τὴν γλῶττάν τινες καὶ βοῦν ἀφωνίας ἐπ' αὐτὴν βεβλημένοι καὶ μήτ' ἂν αὐτοί τι ἐνθυμηθέντες μέγα, μήτ' ἂν ἐνθυμηθέντος ἑτέρου ξυμφήσαντες διαπτύοιέν τε καὶ κακίζοιεν τὸν ἑτοιμότατα δὴ καὶ θαρραλεώτατα καὶ μεγαλειότατα τῶν ἐφ' ἑαυτοῦ Ἑλλήνων ἑρμηνεύσαντα. ὡς δὲ ἠγνοήκασι τὸν ἄνδρα, ἐγὼ δηλώσω, καὶ ὁποῖον αὐτῷ καὶ τὸ τοῦ οἴκου σχῆμα.

Ἀρχιερεὺς μὲν γὰρ ἐγένετο τῆς Ἀσίας αὐτός τε καὶ οἱ πρόγονοι αὐτοῦ παῖς ἐκ πατρὸς πάντες, II
ὁ δὲ στέφανος οὗτος πολὺς καὶ ὑπὲρ πολλῶν χρημάτων. δίδυμός τε ἀποτεχθεὶς ἄμφω μὲν ἤστην ἐν σπαργάνοις, πεμπταίων δὲ ὄντων κεραυνῷ μὲν ἐβλήθη ὁ ἕτερος, ὁ δὲ οὐδεμίαν ἐπηρώθη τῶν αἰσθήσεων ξυγκατακείμενος τῷ βληθέντι. καίτοι τὸ τῶν σκηπτῶν πῦρ οὕτω ὀρμὺ καὶ θειῶδες, ὡς τῶν ἀγχοῦ τοὺς μὲν ἀποκτείνειν κατ' ἔκπληξιν, τῶν δὲ ἀκοάς τε καὶ ὀφθαλμοὺς σίνεσθαι, τῶν δὲ ἐς τοὺς νοῦς ἀποσκήπτειν. ἀλλ' οὐδενὶ τούτων ὁ Σκοπελιανὸς ἦλω, διετέλεσε γὰρ δὴ καὶ ἐς γῆρας βαθὺ ἀκέραιός τε καὶ ἄρτιος. τοῦτο δὲ ὁπόθεν θαυμάζω, δηλῶσαί σοι βούλομαι· ἐδείπνουν μὲν κατὰ τὴν Λῆμνον ὑπὸ δρυὶ μεγάλῃ θερισταὶ ὀκτὼ περὶ τὸ καλούμενον Κέρας τῆς νήσου, τὸ δὲ χωρίον τοῦτο λιμήν ἐστιν ἐς κεραίας ἐπιστρέφων λεπτάς, νέφους δὲ τὴν δρῦν περισχόντος 516
καὶ σκηπτοῦ ἐς αὐτὴν ἐκδοθέντος ἡ μὲν ἐβέβλητο, οἱ θερισταὶ δὲ ἐκπλήξεως αὐτοῖς ἐμπεσούσης, ἐφ' οὑπερ ἔτυχεν ἕκαστος πράττων, οὕτως ἀπέθανεν, ὁ μὲν γὰρ κύλικα ἀναιρούμενος, ὁ δὲ πίνων, ὁ δὲ μάττων, ὁ δὲ ἐσθίων, ὁ δέ τι ποιῶν τὰς ψυχὰς ἀφῆκαν ἐπιτεθυμμένοι καὶ μέλανες, ὥσπερ οἱ χαλκοῖ τῶν ἀνδριάντων περὶ τὰς ἐμπύρους τῶν πηγῶν κεκαπνισμένοι. ὁ δὲ οὕτω τι οὐκ ἀθεεὶ ἐτρέφετο, ὡς διαφυγεῖν μὲν τὸν ἐκ τοῦ σκηπτοῦ θάνατον, ὃν μηδὲ οἱ σκληρότατοι τῶν ἀγροίκων διέφυγον, ἄτρωτος δὲ μεῖναι τὰς αἰσθήσεις καὶ τὸν νοῦν ἕτοιμος καὶ ὕπνου κρείττων, καὶ γὰρ δὴ καὶ τὸ νωθρὸν αὐτοῦ ἀπῆν.

Ἐφοίτησε δὲ τοὺς ῥητορικοὺς τῶν λόγων παρὰ τὸν Σμυρναῖον Νικήτην μελετήσαντα μὲν ἐπι- III
φανῶς, πολλῷ δὲ μεῖζον ἐν δικαστηρίοις πνεύσαντα. δεομένων δὲ τῶν Κλαζομενίων τὰς μελέτας αὐτὸν οἴκοι ποιεῖσθαι καὶ προβήσεσθαι τὰς Κλαζομενὰς ἐπὶ μέγα ἡγουμένων, εἰ τοιοῦτος ἀνὴρ ἐμπαιδεύσοι σφίσιν, τοῦτο μὲν οὐκ ἀμούσως παρῃτήσατο τὴν ἀηδόνα φήσας ἐν οἰκίσκῳ μὴ ᾄδειν, ὥσπερ δὲ ἄλσος τι τῆς ἑαυτοῦ εὐφωνίας τὴν Σμύρναν ἐσκέψατο καὶ τὴν ἠχὼ τὴν ἐκεῖ πλείστου ἀξίαν ᾠήθη. πάσης γὰρ τῆς Ἰωνίας οἷον μουσείου πεπολισμένης ἀρτιωτάτην ἐπέχει τάξιν ἡ Σμύρνα, καθάπερ ἐν τοῖς ὀργάνοις ἡ μαγάς.

Αἱ δὲ αἰτίαι, δι' ἃς ὁ πατὴρ ἐξ ἡμέρου τε καὶ πράου χαλεπὸς αὐτῷ ἐγένετο, λέγονται μὲν ἐπὶ IV
πολλά, καὶ γὰρ ἡ δεῖνα καὶ ἡ δεῖνα καὶ πλείους, ἀλλ' ἐγὼ τὴν ἀληθεστάτην δήλωσω· μετὰ γὰρ

1. τοὺς δὲ κούφους. R, r, β, v. τοὺς κούφους. 2, 3, E. ib. καὶ μικροὺς. f, k. ib. τοὺς θαρσαλέους οἱ δειλοὶ om. R, r, f, in k, β leguntur post λυρικούς. ib. καὶ ἄμουσοι. k. 2. τοὺς δ' ἀμφὶ. 1. καὶ τοὺς ἀμφὶ. v, ox, h, 3, E. καὶ οἱ ἀμφὶ. μ. ib. καὶ οὓς χρὴ. g. 4. κακίζειν. h. 5. ἑτοιμώτατον δὴ. R. ἑτοιμώτατα δὴ. r, f, β. ἑτοιμώτατα καὶ. k. ἑτοιμωτατά τε. 2, 3, E. ib. θαρσαλεώτατα. β. ib. καὶ μεγαλειότατα om. h. 6. ποῖον. π, g. ib. αὐτοῦ. R, v.

8. τε om. m. ib. ἦτην. E. 9. μὲν om. 2. 10. ξυγκείμενος. β. ib. θυῶδες. μ. 11. κατὰ ἑ. f. ib. τῶν δὲ. 1. τοὺς δὲ. 2, 3, E. 12. οὐδὲν τούτων. r. ib. δὴ om. R, v. 13. τε om. 2, 3, E. ib. τοῦτο. μ, v. ib. δὲ om. g. 14. τὴν om. R, g. ib. παρὰ. R. ib. καλούμενον om. β. 15. ἐπιστρέφων ἐς κεραίας. μ. ἐπιστρέφον. π, g. 16. αὐτῷ. R. τῆς αὐτοῖς. g. 17. ἔτυχεν ἕκαστος πράττων. 1. ἕκαστος ἔτυχε πράττων. 2, 3, E. 18. ὁ δὲ μάττων. 1. ὁ δὲ βάπτων 2, 3, E. ib. ὁ δέ τι ποιῶν. R, f, ρ, k, β, o. Desunt verba in r, 2, 3, c, m. 19. παρὰ. R. ib. ἐμπείρους. k (sic corr.). ἐμπήρους. c. ib. κεκαπνισμένοι. ρ ex corr. k. κεκαπισμένοι. p in mg. κεκαπνισμένοι om. ς. 20. ἐκ σκηπτοῦ. f. 21. ἄτρομος. R. ἄτροτος. β.

23. ἐφοίτησεν. f. ἐφοίτα. π, g. 24. καὶ ἐν. R. 25. προσθήσεσθαι. β. ib. μεγάλα. h. ib. εἰ τοιοῦτος. R, π. εἰ τοιοῦτος δὲ. r, f, k, β. εἰ τοιόσδε. 2, 3, E. Fo: εἰ τοιοῦτος δή. 26. ἐμπαιδεύοι. R. 27. ἑαυτοῦ om. f et ρ pr. m. ib. τὴν om. R, r, f et ρ pr. m. o.

30. αἱ δὲ αἰτίαι. f. αἱ δ' αἰτίαι. E. ib. χαλεπῶς. R, c. 31. καὶ ἡ δεῖνα om. R.

1, 21, § 2. 3. 4. p. 516. = 29. 30. 31.

τὴν τοῦ Σκοπελιανοῦ μητέρα γυναῖκα ὁ πρεσβύτης ἠγάγετο ἡμίγαμόν τε καὶ οὐ κατὰ νόμους, ὁ δὲ
517 ὁρῶν ταῦτα ἐνουθέτει καὶ ἀπῆγεν. τουτὶ δὲ τοῖς ἐξώροις ἀηδές. ἡ δ' αὖ ξυνετίθει κατ' αὐτοῦ λόγον, ὡς ἐρῶντος μὲν αὐτῆς, τὴν διαμαρτίαν δὲ μὴ καρτεροῦντος. ξυνελάμβανε δὲ αὐτῇ τῶν διαβολῶν καὶ οἰκέτης τοῦ πρεσβύτου μάγειρος, ᾧ ἐπωνυμία Κύθηρος, ὑποθωπεύων, ὥσπερ ἐν δράματι, τὸν δεσπότην καὶ τοιαυτὶ λέγων· „ὦ δέσποτα, βούλεταί σε ὁ υἱὸς τεθνάναι ἤδη, οὐδὲ τὸν αὐτόματον καὶ μετ' οὐ πολὺ θάνατον ἐνδιδοὺς τῷ σῷ γήρᾳ, ἀλλὰ καὶ αὐτουργῶν μὲν τὴν ἐπιβουλήν, μισθούμενος δὲ καὶ τὰς ἐμὰς χεῖρας. ἔστι γὰρ αὐτῷ φέρμακα ἀνδροφόνα ἐπὶ σέ, ὧν τὸ καιριώτατον κελεύει με ἐμβαλεῖν ἐς ἕν τι τῶν ὄψων ἐλευθερίαν τε ὁμολογῶν καὶ ἀγροὺς καὶ οἰκίας καὶ χρήματα καὶ πᾶν ὅ τι βουλοίμην ἔχειν τοῦ σοῦ οἴκου, καὶ ταυτὶ μὲν πειθομένῳ εἶναι, ἀπειθοῦντι δὲ μαστίγωσίν τε καὶ στρέβλωσιν καὶ παχείας πέδας καὶ κύφωνα βαρύν." καὶ τοιοῖσδε θωπεύμασι περιελθὼν τὸν δεσπότην τελευτῶντος μετ' οὐ πολὺ καὶ πρὸς διαθήκαις ὄντος γράφεται κληρονόμος, υἱός τε προσρηθεὶς καὶ ὀφθαλμοὶ καὶ ψυχὴ πᾶσα. καὶ οὐχὶ ταυτὶ χρὴ θαυμάζειν, ἐπεὶ πρεσβύτην ἐρῶντα ἔθελξεν ἴσως που καὶ παραπαίοντα ὑπὸ ἡλικίας καὶ αὐτοῦ τοῦ ἐρᾶν — καὶ γὰρ δὴ καὶ νέοι ἐρῶντες οὐκ ἔστιν ὅστις αὐτῶν τὸν ἑαυτοῦ νοῦν ἔχει — ἀλλ' ὅτι καὶ τῆς τοῦ Σκοπελιανοῦ νεότητός τε καὶ τῆς ἐν τοῖς δικαστηρίοις ἀκμῆς κρείττων ἔδοξεν ἀγωνισάμενος μὲν περὶ τῶν διαθηκῶν πρὸς αὐτόν, ἀντεκτείνας δὲ τῇ ἐκείνου δεινότητι τὸν ἐκείνου πλοῦτον, ἀπαντλῶν γὰρ τῆς οὐσίας καὶ μισθούμενος ὑπερβολαῖς χρημάτων γλώττας ὁμοῦ πάσας καὶ δικαστῶν ψήφους πανταχοῦ τὴν νικῶσαν ἀπηνέγκατο, ὅθεν ὁ Σκοπελιανὸς τὰ μὲν Ἀναξαγόρου μηλόβοτα εἶναι, τὰ δὲ αὐτοῦ δουλόβοτα ἔλεγεν. ἐπιφανὴς δὲ καὶ τὰ πολιτικὰ ὁ Κύθηρος γενόμενος γηράσκων ἤδη καὶ τὴν οὐσίαν ὁρῶν ὑποδιδοῦσαν καταφρονούμενός τε ἱκανῶς καί που καὶ πληγὰς λαβὼν πρὸς ἀνδρός, ὃν χρήματα ἀπαιτῶν ἐτύγχανεν, ἱκέτης τοῦ Σκοπελιανοῦ γίγνεται ἀμνησικακίαν τε αὐτῷ
518 παρεῖναι καὶ ὀργησίαν ἀπολαβεῖν τε τὸν τοῦ πατρὸς οἶκον ἀνέντα μὲν αὐτῷ μέρος τῆς οἰκίας πολλῆς οὔσης, ὡς μὴ ἀνελευθέρως ἐνδιαιτήσηται, συγχωρήσαντα δὲ ἀγροὺς δύο τῶν ἐπὶ θαλάττῃ. καὶ Κυθήρου οἶκος ἐπωνόμασται νῦν ἔτι τὸ μέρος τῆς οἰκίας, ἐν ᾧ κατεβίω. ταυτὶ μέν, ὡς μὴ ἀγνοεῖν αὐτά, συνιέναι δὲ κἀκ τούτων, ὅτι οἱ ἄνθρωποι μὴ θεοῦ μόνον, ἀλλὰ καὶ ἀλλήλων παίγνια.

v Σκοπελιανοῦ δὲ σπουδάζοντος ἐν τῇ Σμύρνῃ ξυμφοιτᾶν μὲν ἐς αὐτὴν Ἴωνάς τε καὶ Λυδοὺς καὶ Κᾶρας καὶ Μαίονας Αἰολίας τε καὶ τοὺς ἐκ Μυσῶν Ἕλληνας καὶ Φρυγῶν οὔπω μέγα, ἀγχίθυρος γὰρ τοῖς ἔθνεσι τούτοις ἡ Σμύρνα καιρίως ἔχουσα τῶν γῆς καὶ θαλάττης πυλῶν, ὁ δὲ ἦγε μὲν Καππαδόκας τε καὶ Ἀσσυρίους, ἦγε δὲ Αἰγυπτίους καὶ Φοίνικας Ἀχαιῶν τε τοὺς εὐδοκιμωτέρους καὶ νεότητα τὴν ἐξ Ἀθηνῶν ἅπασαν. δόξαν μὲν οὖν ἐς τοὺς πολλοὺς παραδεδώκει ῥᾳστώνης τε καὶ ἀμελείας, ἐπειδὴ τὸν πρὸ τῆς μελέτης καιρὸν ξυνῆν ὡς ἐπὶ πολὺ τοῖς τῶν Σμυρναίων

1. Fo: ἤγετο. ib. οὐ om. e. 2. ἐνουθέτει ἀπῆγε. β, 2, 3, E. ἀπῆγεν. R. ib. ἐξ ὥροις. r. 3. ἐρόντος. r. ib. καὶ ἀποτυγχάνοντος μὲν αὐτῆς. o ex vc. ib. τῇ διαβολῇ. π, g. 4. πρεσβυτέρου. R. 5. τεθνάναι ἤδη. 1. ἤδη τεθνάναι. 2, 3, E. 6. τὸν om. π. ib. καὶ αὐτουργῶν. r, f, k. αὐτοῦργον. R. αὐτουργῶν. β, 2, 3, E. 7. ἐπιβολήν. E. ib. δὲ om. R. ib. αὐτοῦ. R. αὐτό. r. 8. ἐλευθερία τε. f. 9. πειθομένου. R. 10. ἀπειθοῦντί τε. R. ib. καὶ τοιοῖσδε. r, f, ρ, k. τοιοῖσδε. β, 2, 3, E. 11. θωπεύουσι. g. ib. τῷ δεσπότῃ. k. 12. ταυτί. r, f, k. τουτί. R, β, 2, 3, E. 13. που om. R. 14. τὸν om. m, o. ib. οὐδ' ὅτι. o. 15. καὶ ἐν δικαστηρίοις. β, π, g. τοῖς ἐν δικαστηρίοις. μ ib. τότητός τε. C, E. Fo: δεινότητός τε. 16. παρὰ τῶν. R. ib. ἀντεκτεκτείνας. k. ib. νεότητι. μ. ib. τὸν ἑαυτοῦ. β. τὸν αὐτοῦ. 1 et ρ. ubi τὸν αὐτοῦ in mg. τὸν ἐκείνου. 2, 3, E. 18. μηλόβοτον. R. μηλόβατα. r. ib. τὰ δὲ αὐτοῦ. k. τὰ δὲ αὐτοῦ. ς. 19. δουλόβατα. r. ib. ἐπιφανεὶς. R, f, k. τὰ πολιτικὰ. ρ, β, 2, 3, E. πολιτικὰ. r. πολιτικὸς. R. f, k. 20. ἐπιδιδοῦσαν. f. ib. καί που πληγάς. ν. 21. μνησικακίαν. o. 22. ἀοργισίαν. μ. ὀργίαν. R. ὀργὴν. ς. 24. τῆς οἰκίας om. e ib. ταυτὶ ὡς. R. ταυτὶ μὲν. β. 25. μὴ τοῦ θεοῦ. f, ρ et k ubi mg. οὐ θεῷ.

27. Ἕλληνάς τε καὶ Λυδούς. μ. 28. τε τοὺς. k. ib. τοὺς ἐκ Μυσῶν Ἕλληνας καὶ Φρυγῶν. R. r. ἐ. M. καὶ Φ. Ἕλληνας. ς. 29. κυρίως ἔχουσα. R, r, f, ρ, k. καὶ καιρίως. β, 2, 3, E. ib. τῶν καὶ γῆς. f, ρ, k, o. ib. θαλάττης καλῶν. β. ib. ἦγεν μὲν. r. 30. ἦγεν δὲ. r. ib. εὐδοκιμωτάτους. R. 31. Ἀθηναίων. r, k, β. Ἀθηναῖων. f. ib. ἅπασαν. β. πᾶσαν. ς. ib. οὖν om. β. ib. πολλοὺς om. f, k. ib. παραδεδώκει. 1, π. παρεδώκει. b, j. παριδεδώκει. 2, 3, a, i, m, o. 32. τὸν om. R. ib. ἐπὶ τὸ πολύ. β. ib. τῶν om. R.

1. 21, §. 3. p. 517. 518. = 31. 32. 33.

τέλεσιν ὑπὲρ τῶν πολιτικῶν, ὁ δὲ ἀπεχρῆτο μὲν καὶ τῇ φύσει λαμπρᾷ τε οὔσῃ καὶ μεγαλογνώμονι, καὶ τὸν μεθ' ἡμέραν καιρὸν ἧττον ἐσπούδαζεν, ἀυπνότατος δ' ἀνθρώπων γενόμενος „ὦ νύξ", ἔλεγε „σὺ γὰρ δὴ πλεῖστον σοφίας μετέχεις μέρος θεῶν", ξυνεργὸν δὲ αὐτὴν ἐποιεῖτο τῶν ἑαυτοῦ φροντισμάτων. λέγεται γοῦν καὶ ἐς ὄρθρον ἀποτεῖναι σπουδάζων ἀπὸ ἑσπέρας. προσέκειτο μὲν οὖν ἅπασι ποιήμασι, τραγῳδίας δὲ ἐνεφορεῖτο, ἀγωνιζόμενος πρὸς τὴν τοῦ διδασκάλου μεγαλοφωνίαν, ἀπὸ γὰρ τούτου τοῦ μέρους ὁ Νικήτης σφόδρα ἐθαυμάζετο. ὁ δὲ οὕτω τι μεγαλοφωνίας ἐπὶ μεῖζον ἦλασεν, ὡς καὶ Γιγαντίαν ξυνθεῖναι παραδοῦναί τε Ὁμηρίδαις ἀφορμὰς ἐς τὸν λόγον. ὡμίλει δὲ σοφιστῶν μὲν μάλιστα Γοργίᾳ τῷ Λεοντίνῳ, ῥητόρων δὲ τοῖς λαμπρὸν ἠχοῦσιν. τὸ δὲ ἐπίχαρι φύσει μᾶλλον εἶχεν ἢ μελέτῃ, πρὸς φύσεως μὲν γὰρ τοῖς Ἰωνικοῖς τὸ ἀστείζεσθαι, τῷ 519
δ' αὖ καὶ ἐπὶ τῶν λόγων τοῦ φιλόγελω περιῆν. τὸ γὰρ κατηφὲς δυσξύμβολόν τε καὶ ἀηδὲς ἡγεῖτο. παρῄει δὲ καὶ ἐς τοὺς δήμους ἀνειμένῳ τε καὶ διακεχυμένῳ τῷ προσώπῳ, καὶ πολλῷ πλέον, ὅτε ξὺν ὀργῇ ἐκκλησιάζοιεν, ἀνιεὶς αὐτοὺς καὶ διαπραύνων τῇ τοῦ εἴδους εὐθυμίᾳ. τὸ δὲ ἐν τοῖς δικαστηρίοις ἦθος οὔτε φιλοχρήματος οὔτε φιλολοίδορος· προῖκα μὲν γὰρ ξυνέταττεν ἑαυτὸν τοῖς ὑπὲρ ψυχῆς κινδυνεύουσι, τοὺς δὲ λοιδορουμένους ἐν τοῖς λόγοις καὶ θυμοῦ τινα ἐπίδειξιν ἡγουμένους ποιεῖσθαι γραίδια ἐκάλει μεθύοντα καὶ λυττῶντα. τὰς δὲ μελέτας μισθοῦ μὲν ἐποιεῖτο, ὁ δὲ μισθὸς ἦν ἄλλος ἄλλου καὶ ὡς ἕκαστος οἴκου εἶχεν, παρῄει τε ἐς αὐτοὺς οὔθ' ὑπερφρονῶν καὶ σεσοβημένος, οὔθ' ὥσπερ οἱ δεδιότες, ἀλλ' ὡς εἰκὸς ἦν τὸν ἀγωνιῶντα μὲν ὑπὲρ τῆς ἑαυτοῦ δόξης, θαρροῦντα δὲ τῷ μὴ ἂν σφαλῆναι. διελέγετο δὲ ἀπὸ μὲν τοῦ θρόνου ξὺν ἀβρότητι, ὅτε δὲ ὀρθὸς διελέγετο, ἐπιστροφήν τε εἶχεν ὁ λόγος καὶ ἔρρωτο. καὶ ἐπεσκοπεῖτο οὐκ ἔνδον, οὐδ' ἐν τῷ ὁμίλῳ, ἀλλ' ὑπεξιὼν ἐν βραχεῖ τοῦ καιροῦ διεώρα πάντα. περιῆν δὲ αὐτῷ καὶ εὐφωνίας, καὶ τὸ φθέγμα ἡδονὴν εἶχε τὸν τε μηρὸν θαμὰ ἔπληττεν ἑαυτόν τε ὑπεγείρων καὶ τοὺς ἀκροωμένους. ἄριστος μὲν οὖν καὶ σχηματίσαι λόγον καὶ ἐπαμφοτέρως εἰπεῖν, θαυμασιώτερος δὲ περὶ τὰς ἀκμαιοτέρας τῶν ὑποθέσεων καὶ πολλῷ πλέον περὶ τὰς Μηδικάς, ἐν αἷς οἱ Δαρεῖοί τέ εἰσι καὶ οἱ Ξέρξαι, ταύτας γὰρ αὐτός τέ μοι δοκεῖ ἄριστα σοφιστῶν ἑρμηνεῦσαι παραδοῦναί τε τοῖς ἐπιγιγνο- 520
μένοις ἑρμηνεύειν. καὶ γὰρ φρόνημα ἐν αὐταῖς ὑπεκρίνατο καὶ κουφότητα τὴν ἐν τοῖς βαρβάροις ἤθεσιν. ἐλέγετο καὶ σείεσθαι μᾶλλον ἐν ταύταις, ὥσπερ βακχεύων, καί τινος τῶν ἀμφὶ τὸν Πολέμωνα τυμπανίζειν αὐτὸν φήσαντος λαβόμενος ὁ Σκοπελιανὸς τοῦ σκώμματος „τυμπανίζω μέν", εἶπεν „ἀλλὰ τῇ τοῦ Αἴαντος ἀσπίδι."

Βασίλειοι δὲ αὐτοῦ πρεσβεῖαι πολλαὶ μέν, καὶ γάρ τις καὶ ἀγαθὴ τύχη ξυνηκολούθει πρε- VI
σβεύοντι, ἀρίστη δὲ ἡ ὑπὲρ τῶν Ἀμπέλων· οὐ γὰρ ὑπὲρ Σμυρναίων μόνων, ὥσπερ αἱ πλείους,

1. μέλεσι. r et suprascr. τ. 2. μεθ' ἡμέραν δὲ. l. καὶ μεθ' ἡμέραν. μ. ib. δ' om. l. ib. ἀυπνώτατος. R. 3. δὴ om. R. ib. μετέχεις σοφίας. R. ib. θειῶν. β. ib. καὶ αὐτὴν. R. δὲ αὐτῇ. r. αὐτὴν om. β. ib. ἑαυτοῦ om. R. 4. λέγεται — προσέκειτο om. ν. 5. ἅπασι τοῖς. π. ib. δὲ ἐνεφορεῖτο. R, r, f, k. δὲ καὶ ἐνιεφορεῖτο. β, 2, 3, E. 6. ἀπὸ γὰρ τούτου τοῦ μέρους ὁ Νικήτης σφόδρα ἐθαυμάζετο. R. ἀπὸ γὰρ τούτου σφόδρα τοῦ μέρους ἐθαυμάζετο ὁ Νικήτης. β. ἀπο γὰρ τούτου σφόδρα τοῦ μέρους ὁ Ν. ἐθαυμάζετο. ς. ib. οὕτω τοι. p. οὕτω τὸ. e. τε om. k. οὕτω — ξυνθεῖναι om. μ, ν, Bonf. 7. δοῦναί τε. μ, ν. ib. ἀφορμαῖς. μ. 8. τῶν σοφιστῶν. k. ib. μάλα. π. 9. πρὸς φύσεως. 1 et p ex corr. προσφυές. 2, 3, E. ib. τὸ δ' αὖ. β. καὶ ἐπὶ τῶν λόγων. 2, φ, π, g, E. καὶ ἐπὶ τῷ λόγῳ. β. καὶ et om. ἐπὶ τῶν λόγων 1 et p ex erasione. 10. τοῦ φιλόγελω. p. τῷ φιλόγελω. R, r, f. τῷ φιλολόγῳ. ρ. k. φιλογέλων. β. τὸ φιλόγελων, φ, π, g, e, m. τὸ φιλογέλων. o. ib. παρῆν. R. 11. καὶ om. β, 2, 3, E. ib. ἀνειμένῳ τε καὶ διακεχυμένῳ. β. ἀνειμένῳ. ς. ib. ὅτε καὶ ξὺν. R. 12. καὶ τοῦ εἴδους. ρ, k. ib. τοῖς om. β. 13. οὐ φιλοχρήματος. R. φιλολοίδωρος. ν, h. φιλόδωρος. k. ib. γὰρ om. R, r, f. 14. κινδυνεύμασι. R, r, f. ib. ἡγουμένου. β. ib. τινα ἐπίδειξιν. 1 et p ex corr. ἐπίδειξιν. 2, 3, E. 15. καὶ. R. τε καὶ. ς. 16. καὶ οὔθ' ὑπερφρονῶν. g. 17. ἀγωνίοντα. r. μὲν om. μ. ib. ἑαυτῆς. R. αὐτοῦ. h. 18. δὲ om. R. ib. τοῦ μὴ. R. τῷ μὲν. β. ib. ἀπὸ μὲν θρόνου. π. μὲν ἀπὸ τοῦ θρόνου. 2. 19. ὀρθῶς. r. ib. Fo: διαλέγοιτο. ib. τε om. μ, ν. ib. οὐδ' ἔνδον. ν. 20. καὶ μεγαλοφωνίας. μ. 21. εἶχεν. f. 22. δὲ om. 1 praeter β. 23. εἰσιν. f. 24. παραγιγνομένοις. μ. 25. τὸ γὰρ. corr. in mg. k. ib. Fo: ὑπεκρίνετο. ib. τὴν om. β. 26. ἀμφὶ τὸν. 1, o. ἀμφὶ. 2, 3, e, m. 27. λαμβανόμενος. h. ib. τοῦ λόγου. R. ib. τυμπανίζω μέν. R, r, β, ν, p, π, g, pe. τυμπανίζωμεν. f, k. τυμπανίζειν μέν. 2, φ, E. 29. τι. e, m. 30. μόνων. β. μόνον. ς.

1, 21. §. 6. p. 519. 520. = 33. 34.

ἀλλ' ὑπὲρ τῆς Ἀσίας ὁμοῦ πάσης ἐπρεσβεύθη. τὸν δὲ νοῦν τῆς πρεσβείας ἐγὼ δηλώσω· ἐδόκει τῷ βασιλεῖ μὴ εἶναι τῇ Ἀσίᾳ ἀμπέλους, ἐπειδὴ ἐν οἴνῳ στασιάζειν ἔδοξαν, ἀλλ' ἐξῃρῆσθαι μὲν τὰς ἤδη πεφυτευμένας, ἄλλας δὲ μὴ φυτεύειν ἔτι. ἔδει δὴ πρεσβείας ἀπὸ τοῦ κοινοῦ καὶ ἀνδρός, ὃς ἔμελλεν ὥσπερ Ὀρφεύς τις ἢ Θάμυρις ὑπὲρ αὐτῶν θέλξειν. αἱροῦνται τοίνυν Σκοπελιανὸν πάντες, ὁ δ' οὕτω τι ἐκ περιουσίας ἐκράτει τὴν πρεσβείαν, ὡς μὴ μόνον τὸ ἐξεῖναι φυτεύειν ἐπανελθεῖν ἔχων, ἀλλὰ καὶ ἐπιτίμια κατὰ τῶν μὴ φυτευόντων. ὡς δὲ ηὐδοκίμησε τὸν ἀγῶνα τὸν ὑπὲρ τῶν ἀμπέλων, δηλοῖ μὲν καὶ τὰ εἰρημένα, ὁ γὰρ λόγος ἐν τοῖς θαυμασιωτάτοις, δηλοῖ δὲ καὶ τὰ ἐπὶ τῷ λόγῳ. δώρων τε γὰρ ἐπ' αὐτῷ ἔτυχεν, ἃ νομίζεται παρὰ βασιλεῖ, πολλῶν τε προσρήσεών τε καὶ ἐπαίνων, νεότης τε αὐτῷ λαμπρὰ ξυνηκολούθησεν ἐς Ἰωνίαν σοφίας ἐρῶντες.

VII 10 Ἐπεὶ δὲ Ἀθήνησιν ἐγένετο, ποιεῖται αὐτὸν ξένον ὁ Ἡρώδου τοῦ σοφιστοῦ πατὴρ Ἀττικὸς
521 θαυμάζων ἐπὶ ῥητορικῇ μᾶλλον ἢ τὸν Γοργίαν ποτὲ Θετταλοί. ὁπόσοι γοῦν τῶν πάλαι ῥητόρων ἑρμαῖ ἦσαν ἐν τοῖς τῆς οἰκίας δρόμοις, ἐκέλευε τούτους βάλλεσθαι λίθοις, ὡς διεφθορότας αὐτῷ τὸν υἱόν. μειράκιον μὲν δὴ ἐτύγχανεν ὢν ὁ Ἡρώδης τότε καὶ ὑπὸ τῷ πατρὶ ἔτι, τοῦ δὲ αὐτοσχεδιάζειν ἦρα μόνου, οὐ μὴν ἐθάρρει γε αὐτό. οὐδὲ γὰρ τῷ Σκοπελιανῷ ξυγγεγονὼς ἦν ἐς ἐκεῖνό 15 πω τοῦ χρόνου, οὐδ' ἥτις ἡ τῶν αὐτοσχεδίων ὁρμὴ γιγνώσκων, ὅθεν ἀσμένῳ οἱ ἐγένετο ἡ ἐπιδημία τοῦ ἀνδρός. ἐπειδὴ γὰρ λέγοντος ἤκουσε καὶ διατιθεμένου τὸν αὐτοσχέδιον, ἐπτερώθη ὑπ' αὐτοῦ καὶ ἡτοιμάσθη, καὶ τὸν πατέρα δὲ ἦσαι διανοηθεὶς ἀπαγγέλλει οἱ μελέτην ἐς τὴν ἰδέαν τοῦ ξένου. ὁ πατὴρ δὲ ἠγάσθη τε αὐτὸν τῆς μιμήσεως καὶ πεντακόσια ἔδωκεν αὐτῷ τάλαντα, ἔδωκε δὲ καὶ αὐτῷ τῷ Σκοπελιανῷ πεντεκαίδεκα, ὁ δέ, ὅσαπερ ὁ πατήρ, τοσαῦτα ἀπὸ τῆς ἑαυτοῦ 20 δωρεᾶς προσέδωκεν αὐτῷ, ἔτι καὶ διδάσκαλον ἑαυτοῦ προσειπών. τουτὶ δὲ συνιέντι Ἡρώδου καὶ τῶν τοῦ Πακτωλοῦ πηγῶν ἥδιον.

VIII Τὴν δὲ εὐτυχίαν, ᾗ περὶ τὰς πρεσβείας ἐχρῆτο, ξυμβάλλειν ἐστὶ καὶ τοῖσδε· ἔδει μὲν γὰρ τοῖς Σμυρναίοις τοῦ πρεσβεύσοντος ὑπὲρ αὐτῶν ἀνδρός, ἡ πρεσβεία δὲ ἦν ὑπὲρ τῶν μεγίστων. ὁ μὲν δὴ ἐγήρασκεν ἤδη καὶ τοῦ ἀποδημεῖν ἐξώρως εἶχεν. ἐχειροτονεῖτο δὲ ὁ Πολέμων οὔπω πεπρεσβευ- 25 κὼς πρότερον. εὐξάμενος οὖν ὑπὲρ τῆς ἀγαθῆς τύχης ἐδεῖτο γενέσθαι οἱ τὴν τοῦ Σκοπελιανοῦ πειθώ, καὶ περιβαλὼν αὐτὸν ἐπὶ τῆς ἐκκλησίας

„δὸς δέ μοι ὧμοιν τὰ σὰ τεύχεα θωρηχθῆναι,
αἴ κ' ἐμὲ σοὶ ἴσκωσι,"

1. τῷ βασιλεῖ om. R. 2. τῇ Ἀσίᾳ μὴ εἶναι. R. ib. ἐξερῆσθαι. β. ἐξαιρῆσθαι. p. ἐξαιρεῖσθαι. E. 3. ἔδει δὲ. p, ve. ib. ἀνδρὸς, ὡς. e. 4. λέξειν. R. ib. οἱ πάντες. R. 5. οὕτω τοι. p, h. ib. τὸ ἐξῆν. R, r. f, k. 6. ἀγῶνα τοῦτον. R. 7. ὁ γὰρ λόγος. β. ὁ δὲ λόγος. 2, 3, E. ὁ λόγος. 1 om. part. ib. θαυμασιώτατα. 2, φ, π, g, e, m. s. ἃ μὴ. β. νομίζετε. r. ib. προσρήσεών τε. r, f. τε om. ς.

10. ἐπειδὴ δὲ. E. ib. Ἀττιθὸς. r, f. 11. μᾶλλον καὶ τὸν. a, j. μᾶλλον ὡς καὶ τὸν. 1, m. ib. οἱ Θετταλοὶ ποτε. R. 12. ἐκέλευσε. E. ib. τούτοις. R, f, h, π, g. ib. βάλεσθαι. h. 13. μὲν ἐτύγχανεν. h. μὲν οὖν ἐτύγχανεν. g. πω 14. αὐτὸ. r et p ex corr. αὐτῷ. ς. ib. τῷ om. E. ib. ἐκεῖνό πω. r, f, β. ἐκεῖνου που. R. ἐκεινό γε. p (sic). ἐκεῖνό γέ πω. k. ἐκεῖνό γε. 2, φ, π, g, E. 15. ἀσμένων. R. ἀσμένως. v. ib. ἐπιθυμία. R. 16. ἤκουσεν. r, f. ib. ἐπτε- ου ρώθη. r, f, ρ, β et p in mg. ἐπτερώσθη. k. ἀνεπτερώθη μι τὸν αὐτοσχέδιον ἐπτερώθην. R. ἐπερρώσθη. μ, ν, ox. 3. ἐπερρώθη. h. 17. καὶ om. r. ib. δὲ om. R, β, k. ib. ἦσαι. R, r, f, β. ᾄσαι. k, 2, 3, E. ib. ἀπαγγέλει. r, f. ἐπαγγέλλει. R. 19. αὐτῷ τῷ. h. αὐτῷ. ς. ib. πεντεκαίδεκα. 1 et p ex corr. δεκαπέντε. 2, 3, E. ib. ἡ δὲ. R. ib. ὅσαπερ. 1, π, g. ὅσα. ς. 20. προσέδωκεν. 1. προσεπέδωκεν. 2, 3, E. ib. ἔτι δὲ. g. καὶ ἔτι. e. ib. αὐτοῦ R. 21. Πακτολοῦ. r.

22. ᾗπερ. R. ib. ἐκέκτητο. R. ib. ξυμβαίνειν. R. ξυμβαλεῖν. μ, ν. ib. ἔδει γὰρ. μ. 23. πρεσβεύσαντος. R. f. μ. ib. ἀνδρὸς om. h. ib. ἴσως τῶν μεγίστων. R. ὑπὲρ μεγίστων. f. 24. ἤδη om. 2. 25. οἱ γενέσθαι. μ, ν. 26. παραβαλὼν. R. 28. ἴσκωσι. r, β, π. εἴσκωσι. cett. C. αἴκ' ἔμπως εἴσκωσοι. e. αἴκεν πως εἴσκωσι. m. αἴκ' ἐμί σοι ἴσκοντες. o.

1, 21. §. 7, 8. p. 521. = 34. 35. 36.

μάλα ἀστείως ὁ Πολέμων τὰ ἐκ Πατροκλείας ἐπεῖπεν τῷ ἀνδρί. καὶ Ἀπολλώνιος δὲ ὁ Τυανεὺς ὑπερενεγκὼν σοφίᾳ τὴν ἀνθρωπίνην φύσιν τὸν Σκοπελιανὸν ἐν θαυμασίοις τάττει.

κβ'. Διονύσιος δὲ ὁ Μιλήσιος εἷθ', ὡς ἔνιοί φασι, πατέρων ἐπιφανεστάτων ἐγένετο, εἷθ', ὥς τινες, αὐτὸ τοῦτο ἐλευθέρων, ἀφείσθω τούτου τοῦ μέρους, ἐπειδὴ οἰκείᾳ ἀρετῇ ἐλαμπρύνετο, τὸ γὰρ καταφεύγειν ἐς τοὺς ἄνω ἀποβεβληκότων ἐστὶ τὸν ἐφ' ἑαυτῶν ἔπαινον. Ἰσαίου δὲ ἀκροατὴς γενόμενος ἀνδρός, ὡς ἔφην, κατὰ φύσιν ἑρμηνεύοντος τουτὶ μὲν ἱκανῶς ἀπεμάξατο καὶ πρὸς τούτῳ τὴν εὐταξίαν τῶν νοημάτων, καὶ γὰρ δὴ καὶ τοῦτο Ἰσαίου. μελιχρότατος δὲ περὶ τὰς ἐννοίας γενόμενος οὐκ ἐμέθυε περὶ τὰς ἡδονάς, ὥσπερ ἔνιοι τῶν σοφιστῶν, ἀλλ' ἐταμιεύετο λέγων ἀεὶ πρὸς τοὺς γνωρίμους, ὅτι χρὴ τοῦ μέλιτος ἄκρῳ δακτύλῳ, ἀλλὰ μὴ κοίλῃ χειρὶ γεύεσθαι, ὡς ἐν ἅπασι μὲν τοῖς εἰρημένοις δεδήλωται τῷ Διονυσίῳ, λογικοῖς τε καὶ νομικοῖς καὶ ἠθικοῖς ἀγῶσι, μάλιστα δὲ ἐν τῷ ἐπὶ Χαιρωνείᾳ θρήνῳ· διεξιὼν γὰρ τὸν Δημοσθένην τὸν μετὰ Χαιρώνειαν προσάγοντα τῇ βουλῇ ἑαυτὸν ἐς τήνδε τὴν μονῳδίαν τοῦ λόγου ἐτελεύτησεν· „ὦ Χαιρώνεια πονηρὸν χωρίον.“ καὶ πάλιν „αὐτομολήσασα πρὸς τοὺς βαρβάρους Βοιωτία. στενάξατε οἱ κατὰ γῆς ἥρωες, ἐγγὺς Πλαταιῶν νενικήμεθα.“ καὶ πάλιν „ἐν τοῖς κρινομένοις ἐπὶ τῷ μισθοφορεῖν Ἀρκάσιν ἀγορὰ πολέμου πρόκειται καὶ τὰ τῶν Ἑλλήνων κακὰ τὴν Ἀρκαδίαν τρέφει.“ καὶ „ἐπέρχεται πόλεμος αἰτίαν οὐκ ἔχων.“

Τοιάδε μὲν ἡ ἐπίπαν ἰδέα τοῦ Διονυσίου, καθ' ἣν τὰ τῆς μελέτης αὐτῷ προῒβαινεν ἐπισκοπουμένῳ καιρόν, ὅσονπερ ὁ Ἰσαῖος, ὁ δὲ λόγος ὁ περὶ τοῦ Διονυσίου λεγόμενος, ὡς Χαλδαίοις τέχναις τοὺς ὁμιλητὰς τὸ μνημονικὸν ἀναπαιδεύοντος πόθεν εἴρηται, ἐγὼ δηλώσω· τέχναι μνήμης οὔτε εἰσὶν οὔτ' ἂν γένοιντο, μνήμη μὲν γὰρ δίδωσι τέχνας, αὐτὴ δὲ ἀδίδακτος καὶ οὐδεμιᾷ τέχνῃ ἁλωτός, ἔστι γὰρ πλεονέκτημα φύσεως ἢ τῆς ἀθανάτου ψυχῆς μοῖρα. οὐ γὰρ ἄν ποτε θνητὰ νομισθείη τὰ ἀνθρώπεια, οὐδὲ διδακτά, ἃ ἐμάθομεν, εἰ μνήμη συνεπολιτεύετο ἀνθρώποις, ἣν εἴτε μητέρα δεῖ χρόνου καλεῖν, εἴτε παῖδα, μὴ διαφερώμεθα πρὸς τοὺς ποιητάς, ἀλλ' ἔστω, ὅ τι βούλονται. πρὸς δὲ τούτοις τίς οὕτως εὐήθης κατὰ τῆς ἑαυτοῦ δόξης ἐν σοφοῖς γραφόμενος, ὡς γοητεύων ἐν μειρακίοις διαβάλλειν καὶ ἃ ὀρθῶς ἐπαιδεύθη; πόθεν οὖν τὸ μνημονικὸν τοῖς ἀκροωμένοις; ἅπληστα τὴν ἡδονὴν ἐδόκει τὰ τοῦ Διονυσίου καὶ πολλάκις ἐπαναλαμβάνειν αὐτὰ ἠναγκά-

1. μάλα. R, r, f, ρ, β, μ. μάλλα. k. μάλιστα. cett. C, et i, j, m, o. μάλισται. a. ib. ἐπεῖπεν. μ, v. ἐπειπῶν. β. ἐπειπών. ς. ib. τὰ ἐκ Πατροκλείας. r, ve. τὰ τοῦ Πατρόκλου. ς. ib. δὲ om. f, k, h. 2. σοφίαν τὴν ἀνθρωπίνην τὸν. β.

3. ὥς φασι πρὸς τοῦτο. R. 5. τὰ ἄνω. k, π, g. ib. τῶν. μ, v. ib. ἐφ' ἑαυτόν. R, β, h. ἐφ' ἑαυτοῦ. g. 6. ὡς ἀνδρὸς ὅς. k. 7. μελιχρώτατος. E. 8. γενόμενος om. 1 praeter β. ib. λέγων ἀεί. r, f. ρ, k et p ex corr. λέγων. R, β, 2, 3, E. 9. γεύεσθαι. r. 11. ἐπὶ Χαιρωνείᾳ. p ex corr. περὶ Χαιρωνείαν cett. C. (Χερωνίαν, r. Χερωνείαν, μ, v. c.) et E. ib. Δημοσθένη. R, r. Δημοσθένην. β, 2, 3, E. ib. μετὰ Χερωνίαν θρήνῳ διεξιὼν προσαγαγόντα. r. μετὰ Χαιρώνειαν θρῆνον cett. C et E, sed in p. θρῆνον recte erasum. τὸν μετὰ τὸν περὶ Χαιρώνειαν θρῆνον. o. ib. προσάγοντα. β, ρ, μ. προσαγαγόντα. ς. 12. πονηρὰν χώραν. k. 13. καὶ πάλιν — Βοιωτία om. R. ib. αὐτομολήσας. r, f. Fo: ω αὐτυμολήσασα. ib. τοὺς βαρβάρους. r, f, ρ, k. βαρβάρους. β, 2, 3, E. ib. στενάξατε καὶ κατὰ γῆς. v. h, o. στενάξατε κατὰ γῆς. μ. 14. καὶ πάλιν — ἔχων om. β. ib. ἐν τοῖς. 1 et p ex corr. τοῖς. 2, 3, E. 15. κατὰ τῶν Ἑλλήνων κατά. r, f, k. 16. τὴν Ἀρκαδίαν. 1. ἡ Ἀρκάδων. μ, v. τὴν Ἀρκάδων. ox, h, 3, E. ib. ἐπέρχεται p. mg. περιέρχεται. p in ord. et ς.

17. τοιάδε ἡ. f, ρ, k. 18. ὅσονπερ Ἰσαῖος. f. ὅσον ποῦ Ἰσαῖος. k. ib. Χαλδαίοις. r, f. Χαλδαίων. ς. 19. ἄρα παιδεύοντος. R. ib. πόθεν εἴρηται ἐγὼ δηλώσω. 1. ἐγὼ δηλώσω πόθεν εἴρηται. 2, 3, E. 20. μνήμη γὰρ. k, h. ib. αὕτη. r. ib. ἀδίδακτος 1, o. ἀδύνατος. 2, 3, e, m. 21. ἢ τῆς. k. 22. Fo: ἐνομίσθη. ib. ἀνθρώπεια. r, f, ρ, k, β, o. ἀνθρώπινα. R, 2, 3, e, m. ib. οὐδὲ διδακτά, ἃ ἐμάθομεν. R, r, f, ρ, k. οὐδὲ διδακτὰ ἐμάθομεν. 2, 3. οὔτ' ἂν μὴ διδακτὰ, ἃ ἐμάθομεν. β, o. οὔτ' ἂν διδακτὰ ἐμάθωμεν. e, m. ib. εἰ ἡ μνήμη. β. εἰ μνήμη. ρ et p (sic). εἰ μὴ μνήμη. k, o. εἰς μνήμην. h. 23. μητέρα δεῖ χρόνου. R, r. μητέρα χρόνου f, k, o. μητέρα χρόνου δεῖ. β, v, ox, h, 3, e, m. μητέρα χρόνου χρὴ. μ. ib. διαφερώμεθα. h, e, m. 24. βούληται. E. ib. εὐήθης τε. r. ib. αὐτοῦ. R. 25. γοήτων. μ.

1, 22, §. 1, 2. p. 622. 623. = 36. 37.

ζετο, ἐπειδὴ ξυνίει σφῶν χαιρόντων τῇ ἀκροάσει. οἱ δὴ εὐμαθέστεροι τῶν νέων ἐνετυποῦντο αὐτὰ ταῖς γνώμαις καὶ ἀπήγγελλον ἑτέροις μελέτῃ μᾶλλον ἢ μνήμῃ ξυνειληφότες, ὅθεν μνημονικοί τε
524 ὠνομάζοντο καὶ τέχνην αὐτὸ πεποιημένοι. ἔνθεν ὁρμώμενοί τινες τὰς τοῦ Διονυσίου μελέτας ἐσπερματολογῆσθαί φασιν, ὡς δὴ ἄλλο ἄλλου ξυνενεγκόντων ἐς αὐτάς, ἐν ᾧ ἐβραχυλόγησεν.

III 5 Μεγάλων μὲν οὖν ἠξιοῦτο κἀκ τῶν πόλεων, ὁπόσαι αὐτὸν ἐπὶ σοφίᾳ ἐθαύμαζον, μεγίστων δὲ ἐκ βασιλέως· Ἁδριανὸς γὰρ σατράπην μὲν αὐτὸν ἀπέφηνεν οὐκ ἀφανῶν ἐθνῶν, κατέλεξε δὲ τοῖς δημοσίᾳ ἱππεύουσι καὶ τοῖς ἐν τῷ Μουσείῳ σιτουμένοις, τὸ δὲ Μουσεῖον τράπεζα Αἰγυπτία ξυγκαλοῦσα τοὺς ἐν πάσῃ τῇ γῇ ἐλλογίμους. πλείστας δὲ ἐπελθὼν πόλεις καὶ πλείστοις ἐνομιλήσας ἔθνεσιν οὔτε ἐρωτικήν ποτε αἰτίαν ἔλαβεν οὔτε ἀλαζόνα ὑπὸ τοῦ σωφρονεστάτος τε φαίνεσθαι καὶ
10 ἐφεστηκώς. οἱ δὲ ἀνατιθέντες Διονυσίῳ τὸν Ἀράσπαν τὸν τῆς Πανθίας ἐρῶντα ἀνήκοοι μὲν τῶν τοῦ Διονυσίου ῥυθμῶν, ἀνήκοοι δὲ τῆς ἄλλης ἑρμηνείας, ἄπειροι δὲ τῆς τῶν ἐνθυμημάτων τέχνης· οὐ γὰρ Διονυσίου τὸ φρόντισμα τοῦτο, ἀλλὰ Κέλερος τοῦ τεχνογράφου, ὁ δὲ Κέλερ βασιλικῶν μὲν ἐπιστολῶν ἀγαθὸς προστάτης, μελέτῃ δὲ οὐκ ἀποχρῶν, Διονυσίῳ δὲ τὸν ἐκ μειρακίου χρόνον διάφορος.

IV 15 Μηδ' ἐκεῖνα παρείσθω μοι Ἀριστείδου γε ἠκροαμένῳ αὐτὰ πρεσβυτάτου τῶν κατ' ἐμὲ Ἑλλήνων καὶ πλεῖστα ὑπὲρ σοφιστῶν εἰδότος· ἐγήρασκε μὲν ὁ Διονύσιος ἐν δόξῃ λαμπρᾷ, παρῄει δ' ἐς ἀκμὴν ὁ Πολέμων οὔπω γιγνωσκόμενος τῷ Διονυσίῳ καὶ ἐπεδήμει ταῖς Σάρδεσι ἀγορεύων δίκην
525 ἐν τοῖς ἑκατὸν ἀνδράσιν, ὑφ' ὧν ἐδικαιοῦτο ἡ Λυδία. ἐσπέρας οὖν ἐς τὰς Σάρδεις ἤκων ὁ Διονύσιος ἤρετο Δωρίωνα τὸν κριτικὸν ξένον ἑαυτοῦ· „εἰπέ μοι," ἔφη „ὦ Δωρίων, τί Πολέμων
20 ἐνταῦθα;" καὶ ὁ Δωρίων „ἀνὴρ" ἔφη „πλουσιώτατος τῶν ἐν Λυδίᾳ κινδυνεύων περὶ τῆς οὐσίας ἄγει συνήγορον τὸν Πολέμωνα ἀπὸ τῆς Σμύρνης πείσας διταλάντῳ μισθῷ, καὶ ἀγωνιεῖται τὴν δίκην αὔριον." καὶ ὁ Διονύσιος „οἷον" ἔφη „ἔρμαιον εἴρηκας, εἰ καὶ ἀκοῦσαί μοι ἔσται Πολέμωνος οὔπω ἐς πεῖραν αὐτοῦ ἀφιγμένῳ." „ἔοικεν" εἶπεν ὁ Δωρίων „στρέφειν σε ὁ νεανίας ἐς ὄνομα ἤδη προβαίνων μέγα." „καὶ καθεύδειν γε οὐκ ἐᾷ, μὰ τὴν Ἀθηνᾶν," ἦ δ' ὁ Διονύσιος „ἀλλ' ἐς
25 πήδησιν ἄγει τὴν καρδίαν καὶ τὴν γνώμην ἐνθυμουμένῳ, ὡς πολλοὶ οἱ ἐπαινέται αὐτοῦ, καὶ τοῖς μὲν δωδεκάκρουνος δοκεῖ τὸ στόμα, οἱ δὲ καὶ πήχεσι διαμετροῦσιν αὐτοῦ τὴν γλῶτταν, ὥσπερ τὰς τοῦ Νείλου ἀναβάσεις. σὺ δ' αὖ ταύτην ἰάσαιό μοι τὴν φροντίδα εἰπών, τί μὲν πλέον, τί δὲ ἧττον ἐν ἐμοί τε κἀκείνῳ καθεώρακας." καὶ ὁ Δωρίων μάλα σωφρόνως „αὐτός," εἶπεν „ὦ Διονύσιε, σεαυτῷ τε κἀκείνῳ δικάσεις ἄμεινον, σὺ γὰρ ὑπὸ σοφίας οἷος σαυτόν τε γιγνώσκειν, ἕτερόν

1. ἐπεί. π, E. ib. ἀκροάσῃ. k. ib. οἱ δὴ. 1. οἱ δὲ. 2, 3, E. 2. ἀπήγγελλον. 1, μ, h, p ex corr. ἀπήγγειλον. E. ib. ξυνειληφότες. r, f, ρ, k et p ex corr. o. ξυνειλοχότες. R, β, μ, v, g, π. συναλοχόντες. h. ξυνειληχότες. μ ex corr. e, m. 3. τέχνην. 1. τέχνῃ. 2, 3, E. ib. πεποιημένοι. 1. πεπαιδευμένοι. 2, 3, E. ib. ὅθεν. R, f, ρ. k, μ. 4. ἐσπερμολογῆσθαι. π. ib. ἄλλου ἄλλο. β, g. ἄλλο ἄλλων. μ, v. ib. ξυννενεγκόντος. g ex corr.

5. αὐτῶν. π. 6. δὴ. r, k. ἐπὶ βασιλέως. k. ib. ἀπέφηνας. R. ἀπέφαινεν. r. ib. κατέλεξε. C, E. Fo: ἐγκατέλεξε. 7. ἱππεῦσι. f, ρ, k. 9. ἔθνεσιν. μ. ἤθησιν. β. ἤθεσιν. ς. ib. ὑπὲρ τοῦ. R, f, k, β. 10. Πανθείας. r, f, β, h. Παρθέας. R. 13. Διονυσίου. r, f.

15. μοι om. R. ib. ἠκροαμένῳ. p. ἠκροασαμένῳ. r, μ. ἠχροαμένου. f. ἠκροαμένου. k, β, v, ox, h, π, g. ἀκροασαμένου. e, m. ἀκροασαμένῳ. o. 16. ὑπὲρ σοφιστῶν. r, f, k. ὑπὲρ τῶν σοφιστῶν. ς. ib. λαμπρᾷ. 2. 17. ἁλκμὴν. R. ib. ἐπιδημεῖ. r, f. ib. Σάρδεσιν. R. 19. Δωρίων αὐτῶν. v. ib. ὁ Δωρίων. E. ib. τί Πολέμων. β. τι — Δωρίων om. R, r et k, ubi addit. mg. ἔστι Π. f, k, 2, 3, E. 20. καὶ om. k. 21. ἀπὸ τῆς Σμύρνης. R, r. ἀπὸ Σμύρνης. ς. ib. διταλάντω. β, k, μ, 3, E. ταλάντῳ. ρ. sic. ταλάντῳ. R, r, f. διαταλάντῳ. v. δὲ ταλάντῳ. h. ib. καὶ om. f. 22. εἰρηκεν. R. ib. εἰ καὶ. R, r, f, k, et p ex corr. εἰ. β, 2, 3, E. ib. μου. R. μὰ 23. ἔφη. μ. ib. τρίφειν. R. 24. προυβαίνων. f. ib. μὰ. r, f, ρ, k. νὴ. p. (sic corr.) νὴ. R, β, h, φ, π, g. E. μὰ om. μ, v. ib. τὴν Ἀθηνᾶν om. μ, v. 25. ἐπὶ πήδησιν. π, g. ib. οἱ om. m, o. 26. δωδεκάκρουνος. R, r. β. δωδεκάκρονος. f. δωδεκάκρουνον. ρ, 2, 3, E. δωδεκάκρυνον. k. ib. αὐτοῦ. R. αὐτοῦ om. ς. ib. διαμαρτύρουσι. g. 27. σὺ δ' αὖ. 1. σὺ δ'. 2, 3, E. 28. κἀκείνῳ Διονύσιε. r. ib. καθώρακας. μ, v, e, m. 29. δικάσεις. r, f, β. δικάσῃς. k. δικάσαις. ς. ib. ὑπὲρ. β. ib. αὐτόν τε. k.

1. 22, §. 3, 4. p. 521. 525. = 37. 38. 39.

τε μὴ ἀγνοῆσαι." ἤκουσεν ὁ Διονύσιος ἀγωνιζομένου τὴν δίκην καὶ ἀπιὼν τοῦ δικαστηρίου „ἰσχὺν" ἔφη „ὁ ἀθλητὴς ἔχει, ἀλλ' οὐκ ἐκ παλαίστρας." ταῦτα ὡς ἤκουσεν ὁ Πολέμων, ἦλθε μὲν ἐπὶ θύρας τοῦ Διονυσίου μελέτην αὐτῷ ἐπαγγέλλων, ἀφικομένου δὲ διαπρεπῶς ἀγωνιζόμενος προσῆλθε τῷ Διονυσίῳ καὶ ἀντερείσας τὸν ὦμον, ὥσπερ οἱ τῆς σταδιαίας πάλης ἐμβιβάζοντες, 526
μάλα ἀστείως ἐπετώθασεν εἰπὼν

„ἦσάν ποτ', ἦσαν ἄλκιμοι Μιλήσιοι."

Ἀνδρῶν μὲν οὖν ἐπιφανῶν πᾶσα γῆ τάφος, Διονυσίῳ δὲ σῆμα ἐν τῇ ἐπιφανεστάτῃ Ἐφέσῳ, v
τέθαπται γὰρ ἐν τῇ ἀγορᾷ κατὰ τὸ κυριώτατον τῆς Ἐφέσου, ἐν ᾗ κατεβίω παιδεύσας τὸν πρῶτον βίον ἐν τῇ Λέσβῳ.

κγ'. Λολλιανὸς δὲ ὁ Ἐφέσιος προὔστη μὲν τοῦ Ἀθήνησι θρόνου πρῶτος, προὔστη δὲ καὶ τοῦ Ἀθηναίων δήμου στρατηγήσας αὐτοῖς τὴν ἐπὶ τῶν ὅπλων, ἡ δὲ ἀρχὴ αὕτη πάλαι μὲν κατέλεγέ τε καὶ ἐξῆγεν ἐς τὰ πολέμια, νυνὶ δὲ τροφῶν ἐπιμελεῖται καὶ σίτου ἀγορᾶς. θορύβου δὲ καθεστηκότος παρὰ τὰ ἀρτοπώλια καὶ τῶν Ἀθηναίων βάλλειν αὐτὸν ὡρμηκότων Παγκράτης ὁ κύων ὁ μετὰ ταῦτα ἐν Ἰσθμῷ φιλοσοφήσας παρελθὼν ἐς τοὺς Ἀθηναίους καὶ εἰπὼν „Λολλιανὸς οὐκ ἔστιν ἀρτοπώλης, ἀλλὰ λογοπώλης" διέχεεν οὕτω τοὺς Ἀθηναίους, ὡς μεθεῖναι τοὺς λίθους διὰ χειρὸς αὐτοῖς ὄντας. σίτου δὲ ἐκ Θετταλίας ἐσπεπλευκότος καὶ χρημάτων δημοσίᾳ οὐκ ὄντων ἐπέτρεψεν ὁ Λολλιανὸς ἔρανον τοῖς αὐτοῦ γνωρίμοις, καὶ χρήματα συχνὰ ἠθροίσθη. καὶ τοῦτο μὲν ἀνδρὸς εὐμηχάνου δόξει καὶ σοφοῦ τὰ πολιτικά, ἐκεῖνο δὲ δικαίου τε καὶ εὐγνώμονος· τὰ γὰρ χρήματα ταῦτα 527
τοῖς ξυμβαλομένοις ἀπέδωκεν ἐπανεὶς τὸν μισθὸν τῆς ἀκροάσεως.

Ἔδοξε δὲ ὁ σοφιστὴς οὗτος τεχνικώτατός τε καὶ φρονιμώτατος τὸ ἐπιχειρηματικὸν ἐν ἐπινοίᾳ II
τεχνικῇ κείμενον ἱκανῶς ἐκπονῆσαι, καὶ ἑρμηνεῦσαι μὲν ἀποχρῶν, νοῆσαι δὲ καὶ τὰ νοηθέντα τάξαι ἀπέριττος. διαφαίνονται δὲ τοῦ λόγου καὶ λαμπρότητες λήγουσαι ταχέως, ὥσπερ τὸ τῆς ἀστραπῆς σέλας. δηλοῦται δὲ τοῦτο ἐν πᾶσι μέν, μάλιστα δὲ ἐν τοῖσδε· κατηγορῶν μὲν γὰρ τοῦ Λεπτίνου διὰ τὸν νόμον, ἐπεὶ μὴ ἐφοίτα τοῖς Ἀθηναίοις ἐκ τοῦ Πόντου σῖτος, ὧδε ἤκμασεν· „κέκλεισται τὸ στόμα τοῦ Πόντου νόμῳ καὶ τὰς Ἀθηναίων τροφὰς ὀλίγαι κωλύουσι συλλαβαί, καὶ ταὐτὸν δύναται Λύσανδρος ναυμαχῶν καὶ Λεπτίνης νομομαχῶν," ἀντιλέγων δὲ τοῖς Ἀθηναίοις ἀπορίᾳ χρημάτων βουλευομένοις πωλεῖν τὰς νήσους ὧδε ἔπνευσεν· „λῦσον, ὦ Πόσειδον, τὴν ἐπὶ Δήλῳ χάριν, συγχώρησον αὐτῇ πωλουμένῃ φυγεῖν." ἐσχεδίαζε μὲν οὖν κατὰ τὸν Ἰσαῖον, οὗ δὴ καὶ ἠκροάσατο, μισθοὺς δὲ γενναίους ἐπράττετο τὰς συνουσίας οὐ μελετηρὰς μόνον, ἀλλὰ καὶ διδασκαλικὰς παρέχων. εἰκόνες δὲ αὐτοῦ Ἀθήνησι μία μὲν ἐπ' ἀγορᾶς, ἑτέρα δὲ ἐν τῷ ἄλσει τῷ μικρῷ, ὃ αὐτὸς λέγεται ἐκφυτεῦσαι.

2. ὁ ἀθλητὴς ἔφη ἔχει R. ὁ om. E 4. τοῦ Διονυσίου. μ. ὁ Διονύσιος. E. ib. τῆς om. h. 5. ἐπετώθαζεν. π. ἀπετώθασεν. 2, E.

7. Διονυσίῳ. 1. Διονυσίου. 2, 3, E. ib. δὲ τάφος. v. ib. τῇ ἐπιφανεστάτῳ. h. 8. θάπτεται γὰρ. μ. τέθαπται δὲ. h. ib. τῆς om. f. 9. τῇ om. β, 2, 3, E.

11. κατέλεγέν τε. R. 12. ἦγεν. r. 13. παρὰ τὰ. r, f, k, β. περὶ τὰ. R. ἐπὶ τὰ. 2, 3, E. ib. αὐτῶν. β. ib. ἐπιχειρούντων. R. ib. Παγκράτης. r, f, k, β, p, π, g. Παγκράτιος. 2, E. Παγκράτως οὖν. R. Παγκράτους. φ. 14. ἀρτοπώλια ἀλλὰ λογοπώλια. g. 15. διεχέθη. k. διέχε. v. διεχέθησαν. g. ib. διὰ χειρὸς. R, f, β. διὰ χειρῶν. r, k, 2, 3, E. 16. ἐξ Ἰταλίας ἐκπεπλευκότος. R. 18. ἐκεῖνος. 1. ib. γὰρ om. f, ρ, k. 19. ξυμβαλομένοις. 2, g. ξυμβαλλομένοις. 1, p, φ, π, E.

20. ἐπιχείρημα. 2 (ἐπιχήρημα. v). epicherematicum. Bonf. 21. κείμενος. R. ib. ἱκανὸς. β. ib. νοῆσαι δὲ. μ, v, π. νοῆσαί τε. ς. ib. τὰ ῥηθέντα τάξαι ἀπεριτρέπτως. g. 22. ὡς παρὰ τὸ. f. 24. Πότου. R ib. ἤκμασε. E. ἤκμασεν. r, f. 25. τοῦ om. r. ib. πάντα πολέμου. R. ib. νόμους. β. νόμου. R. ib. Ἀθηναίας τροφὰς ὀλίγας. R. 26. συλλαβὰς. R. ib. νομομαχῶν. p in mg. γρ. νομοθετῶν. p in ord. 1, 2, 3, E. 27. βουλευομένοις. R, r, β, π, g. βουλομένοις. ς. 28. τῇ ἐπὶ. r. ib. ἀπολουμένῃ. π, g. 30. μελετήσας. R. μελετικὰς. h. 31. μὲν αὐτοῦ. v. ib. λέγει ἐκφυτεῦσαι. R.

1. 22, §. 5. 23, §. 1, 2. p. 526. 527. = 39. 40.

κδ'. Οὐδὲ τὸν Βυζάντιον σοφιστὴν παραλείψω Μάρκον, ὑπὲρ οὗ κἂν ἐπιπλήξαιμι τοῖς
528 Ἕλλησιν, εἰ τοιόσδε γενόμενος, ὁποῖον δηλώσω, μήπω τυγχάνοι τῆς ἑαυτοῦ δόξης. Μάρκῳ τοίνυν ἦν ἀναφορὰ τοῦ γένους ἐς τὸν ἀρχαῖον Βύζαντα, πατὴρ δὲ ὁμώνυμος ἔχων θαλαττουργοὺς οἰκέτας ἐν Ἱερῷ, τὸ δὲ Ἱερὸν παρὰ τὰς ἐκβολὰς τοῦ Πόντου. διδάσκαλος δὲ αὐτοῦ Ἰσαῖος ἐγένετο, παρ'
5 οὗ καὶ τὸ κατὰ φύσιν ἑρμηνεύειν μαθὼν ἐπεκόσμησεν αὐτὸ ὡραισμένῃ πραότητι. καὶ παράδειγμα ἱκανώτατον τῆς Μάρκου ἰδέας ὁ Σπαρτιάτης ὁ ξυμβουλεύων τοῖς Λακεδαιμονίοις μὴ παραδέχεσθαι τοὺς ἀπὸ Σφακτηρίας γυμνοὺς ἥκοντας. τῆσδε γὰρ τῆς ὑποθέσεως ἤρξατο ὧδε· „ἀνὴρ Λακεδαιμόνιος μέχρι γήρως φυλάξας τὴν ἀσπίδα ἡδέως μὲν ἂν τοὺς γυμνοὺς τούτους ἀπέκτεινα." ὅστις δὲ καὶ τὰς διαλέξεις ὅδε ὁ ἀνὴρ ἐγένετο, ξυμβαλεῖν ἐστιν ἐκ
10 τῶνδε· διδάσκων γὰρ περὶ τῆς τῶν σοφιστῶν τέχνης, ὡς πολλὴ καὶ ποικίλη, παράδειγμα τοῦ λόγου τὴν ἶριν ἐποιήσατο καὶ ἤρξατο τῆς διαλέξεως ὧδε· „ὁ τὴν ἶριν ἰδών, ὡς ἓν χρῶμα, οὐκ εἶδεν, ὡς θαυμάσαι, ὁ δέ, ὅσα χρώματα, μᾶλλον ἐθαύμασεν." οἱ δὲ τὴν διάλεξιν ταύτην Ἀλκινόῳ τῷ Στωικῷ ἀνατιθέντες διαμαρτάνουσι μὲν ἰδέας λόγου, διαμαρτάνουσι δὲ ἀληθείας, ἀδικώτατοι δ' ἀνθρώπων εἰσὶ προσαφαιρούμενοι τὸν σοφιστὴν καὶ τὰ οἰκεῖα.

11 15 Τὸ δὲ τῶν ὀφρύων ἦθος καὶ ἡ τοῦ προσώπου σύννοια σοφιστὴν ἐδήλου τὸν Μάρκον, καὶ γὰρ ἐτύγχανεν ἀεί τι ἐπισκοπῶν τῇ γνώμῃ καὶ ἀναπαιδεύων ἑαυτὸν τοῖς ἐς τὸ σχεδιάζειν ἄγουσι. καὶ τοῦτο ἐδηλοῦτο μὲν τῇ τῶν ὀφθαλμῶν στάσει πεπηγότων τὰ πολλὰ ἐς ἀπορρήτους ἐννοίας. ὡμολογήθη δὲ καὶ ὑπὸ τοῦ ἀνδρός· ἐρομένου γάρ τινος αὐτὸν τῶν ἐπιτηδείων, ὅπως χθὲς ἐμ-
529 λέτα „ἐπ' ἐμαυτοῦ μὲν" ἔφη „λόγου ἀξίως, ἐπὶ δὲ τῶν γνωρίμων ἧττον." Θαυμάσαντος δὲ τὴν
20 ἀπόκρισιν „ἐγὼ" ἔφη ὁ Μάρκος „καὶ τῇ σιωπῇ ἐνεργῷ χρῶμαι καὶ γυμνάζουσί με δύο ὑποθέσεις καὶ τρεῖς ὑπὸ τὴν μίαν, ἣν ἐς τὸ κοινὸν ἀγωνίζομαι." γενειάδος δὲ καὶ κόμης αὐχμηρῶς εἶχεν, ὅθεν ἀγροικότερος ἀνδρὸς πεπνυμένου ἐδόκει τοῖς πολλοῖς. τουτὶ δὲ καὶ Πολέμων ὁ σοφιστὴς πρὸς αὐτὸν ἔπαθεν· παρῆλθε μὲν γὰρ ἐς τὴν τοῦ Πολέμωνος διατριβὴν ὀνομαστὸς ἤδη ὤν, ξυγκαθημέ-
νων δὲ τῶν ἐς τὴν ἀκρόασιν ἀπηντηκότων ἀναγνούς τις αὐτὸν τῶν ἐς τὸ Βυζάντιον πεπλευκότων
25 διεμήνυσε τῷ πέλας, ὁ δὲ τῷ πλησίον, καὶ διεδόθη ἐς πάντας, ὅτι ὁ Βυζάντιος εἴη σοφιστής, ὅθεν τοῦ Πολέμωνος αἰτοῦντος τὰς ὑποθέσεις ἐπεστρέφοντο πάντες ἐς τὸν Μάρκον, ἵνα προβάλοι. τοῦ δὲ Πολέμωνος εἰπόντος „τί ἐς τὸν ἄγροικον ὁρᾶτε; οὐ γὰρ δώσει γε οὗτος ὑπόθεσιν" ὁ Μάρκος ἐπάρας τὴν φωνήν, ὥσπερ εἰώθει, καὶ ἀνακύψας „καὶ προβαλοῦμαι" ἔφη „καὶ μελετήσομαι."

1. τοῦδε τὸν. R. σοφιστὴν παραλείψω Μάρκον r, β, 2, 3, E. σοφιστὴν παραλείψω Παῦλον Μάρκον. R. παραλείψω Μάρκον τὸν σοφιστὴν. f, ρ, k. 2. δηλῶ. 2. ib. τυγχάνοι. p. τυγχάνει. r, β, μ, π, g. τυγχάνῃ. f in rasura et E. 3. ἦν ἀναφορὰ. 1. ἡ ἀναφορὰ. 2, 3, E. ib. θαλασσουργοὺς. r. θαλατουργοὺς. R, μ, h. 4. ἐν ἱερῷ. f, k. ἐφ' ἱερῷ. ς. Sc. ἐν Ἱερῷ. ib. περὶ τὰς. r. ἐπὶ τὰς. f, β. ib. δὲ om. g. ib. παρ οὗ — μαθὼν. Θ. v. ἑρμηνεία. 5. αὐτὸ. r, β, μ, p. αὐτῷ. ς. 6. παραδέχεσθαι. R. δέχεσθαι. ς. 9. ἀπέκτεινα. R, r, f, β. ἀπέκτειναν. k. ἀπέκτεινεν. 2, 3, E. ib. ὅδε ὁ. f, k, 2. ὅδε (om. ὁ.) R, r, β, 3, e. 10. γὰρ om. R. 12. εἶδεν, ὡς θαυμάσαι. 1, p, h. εἶδεν χρὴ θαυμάσαι. v. οἶδεν ὡς θαυμάσαι. μ, π, g. εἶδεν ὡς θαυμάσαι. φ. al. m. suprascr. εἶδεν ὡς χρὴ θαυμάσαι. E. 13. Στοικῷ. r. ib. ἰδέας λόγου, διαμαρτάνουσι δὲ om. R, r et ρ a pr. m.

16. ἐτύγχανεν ἔτι. R, r, f. ib. αὐτὸν. π. αὐτὸν. g. 18. ὁμολογηθὲν δὲ ὑπὸ. R. 19. ἄξιος. R. ib. θαυμάσαντος. C. θαυμάζοντος. E. 20. ὁ Μάρκος om. R. ib. καὶ τῇ μσει πη. R. ib. δύο ὑποθέσεις καὶ τρεῖς. R. δύο ἢ τρεῖς ὑποθέσεις. k. δύο καὶ τρεῖς ὑποθέσεις. ς. 21. ὑπὸ τὴν. 1 (ὑπὸ ἐπὶ τὴν. β). ἐπὶ τὴν. 2, 3, E. 22. πεπηγυμένου. g. ib. τοῖς πολλοῖς om. μ. 24. τῶν — πεπλευκότων om. 2, φ, π, g, e. ib. τῶν εἰς τὸ Βυζάντιον. r. p. τῶν εἰς Βυζάντιον. R, f, k. 25. διεμηνύσετο pr. m. et διεμήνυσε τὸν. ex corr. r. 26. ἐπεστρέφοντο πάντες ἐς τὸν Μάρκον. 2, 3, E. ἐπιστρέφοντός τε ἐς τὸν Μάρκον τινός. R, r, f, β et ρ a pr. m. ἐπεστρέφοντο πάντες τι εἰς τὸν Μάρκον τινός ex corr. ρ. ἐπίστρεφον τότε πάντες ἐς τὸν Μάρκον τινός. k. ib. προβάλοι. r, f, β, ν. p. προλάβοι. R. προβάλλῃ. μ. προβάλλοι. π, g. προβάλῃ. E. 28. ἀνακύψας. R, f, β et ρ. ubi in mg. γρ. τραχὺ βλέψας. ut est in k, 2, 3, E. ταχύψας. r. ib καὶ προβαλοῦμαι ἔφη. R, r, 2, 3, E. προβαλοῦμαι ἔφη om. καὶ. β. προβαλοῦμαι καὶ ἔφη. f. item om. καὶ. προβαλοῦμαι μαι ἔφη. ρ a sec. m. Fo: „καὶ προβαλοῦμεν" ἔφη „καὶ μελετήσομεν."

1, 24, §. 2. p. 528. 529. = 40. 41. 42.

ἐνθεν ἐλὼν ὁ Πολέμων καὶ ξυνιεὶς δωριάζοντος διελέχθη ἐς τὸν ἄνδρα πολλά τε καὶ θαυμάσια ἐφιεὶς τῷ καιρῷ, μελετήσας δὲ καὶ μελετῶντος ἀκροασάμενος καὶ ἐθαυμάσθη καὶ ἐθαύμασεν.

Μετὰ ταῦτα δὲ ἦκων ὁ Μάρκος ἐς τὰ Μέγαρα, οἰκισταὶ δὲ Βυζαντίων, ἐστασίαζον μὲν οἱ 111
Μεγαρεῖς πρὸς τοὺς Ἀθηναίους ἀκμαζούσαις ταῖς γνώμαις, ὥσπερ ἄρτι τοῦ πινακίου ἐπ' αὐτοὺς γεγραμμένου, καὶ οὐκ ἐδέχοντο σφᾶς ἐς τὰ Πύθια τὰ μικρὰ ἥκοντας. παρελθὼν δὲ ἐς μέσους ὁ Μάρκος οὕτω τι μεθήρμοσε τοὺς Μεγαρέας, ὡς ἀνοῖξαι πεῖσαι τὰς οἰκίας καὶ δέξασθαι τοὺς Ἀθηναίους ἐπὶ γυναῖκάς τε καὶ παῖδας. ἠγάσθη αὐτὸν καὶ Ἀδριανὸς ὁ αὐτοκράτωρ πρεσβεύοντα ὑπὲρ Βυζαντίων, ἐπιτηδειότατος τῶν πάλαι βασιλέων γενόμενος ἀρετὰς αὐξῆσαι. 530

κέ. Πολέμων δὲ ὁ σοφιστὴς οὔθ', ὡς οἱ πολλοὶ δοκοῦσι, Σμυρναῖος, οὔθ', ὡς τινες, ἐκ Φρυγῶν, ἀλλὰ ἤνεγκεν αὐτὸν Λαοδίκεια ἡ ἐν Καρίᾳ, ποταμῷ πρόσοικος Λύκῳ, μεσογεία μέν, δυνατωτέρα δὲ τῶν ἐν θαλάττῃ. ἡ μὲν δὴ τοῦ Πολέμωνος οἰκία πολλοὶ ὕπατοι καὶ ἔτι, ἐρασταὶ δὲ αὐτοῦ πολλαὶ μὲν πόλεις, διαφερόντως δὲ ἡ Σμύρνα· οὗτοι γὰρ ἐκ μειρακίου κατιδόντες τι ἐν αὐτῷ μέγα πάντας τοὺς οἴκοι στεφάνους ἐπὶ τὴν τοῦ Πολέμωνος κεφαλὴν συνήνεγκαν, αὐτῷ τε ψηφισάμενοι καὶ γένει τὰ οἴκοι ζηλωτά, προκαθῆσθαι γὰρ τῶν Ἀδριανῶν Ὀλυμπίων ἔδοσαν τῷ ἀνδρὶ καὶ ἐγγόνοις, καὶ τῆς ἱερᾶς τριήρους ἐπιβατεύειν. πέμπεται γάρ τις μηνὶ Ἀνθεστηριῶνι 531
μεταρσία τριήρης ἐς ἀγοράν, ἣν ὁ τοῦ Διονυσίου ἱερεύς, οἷον κυβερνήτης, εὐθύνει πείσματα ἐκ θαλάττης λύουσαν.

Ἐνσπουδάζων δὲ τῇ Σμύρνῃ τάδε αὐτὴν ὤνησεν· πρῶτα μὲν τὴν πόλιν πολυανθρωποτάτην 11
αὐτῆς φαίνεσθαι, νεότητος αὐτῇ ἐπιρρεούσης ἐξ ἠπείρων τε καὶ νήσων οὐκ ἀκολάστου καὶ ξυγκλύδος, ἀλλ' ἐξειλεγμένης τε καὶ καθαρᾶς Ἑλλάδος, ἔπειτα ὁμονοοῦσαν καὶ ἀστασίαστον πολιτεύειν, τὸν γὰρ πρὸ τοῦ χρόνον ἐστασίαζεν ἡ Σμύρνα καὶ διεστήκεσαν οἱ ἄνω πρὸς τοὺς ἐπὶ θαλάττῃ. πλείστου δὲ ἄξιος τῇ πόλει καὶ τὰ πρεσβευτικὰ ἐγένετο φοιτῶν παρὰ τοὺς αὐτοκράτορας καὶ προαγωνιζόμενος τῶν ἠθῶν. Ἀδριανὸν γοῦν προσκείμενον τοῖς Ἐφεσίοις οὕτω τι μετεποίησε τοῖς Σμυρναίοις, ὡς ἐν ἡμέρᾳ μιᾷ μυριάδας χιλίας ἐπαντλῆσαι αὐτὸν τῇ Σμύρνῃ, ἀφ' ὧν τά τε τοῦ σίτου ἐμπόρια ἐξεποιήθη καὶ γυμνάσιον τῶν κατὰ τὴν Ἀσίαν μεγαλοπρεπέστατον καὶ νεὼς τηλεφανὴς ὁ ἐπὶ τῆς ἄκρας ἀντικεῖσθαι δοκῶν τῷ Μίμαντι. καὶ μὴν καὶ τοῖς ἁμαρτανομένοις δημοσίᾳ ἐπιπλήττων καὶ κατὰ σοφίαν πλεῖστα νουθετῶν ὠφέλει, ὕβριν τε ὁμοίως ἐξῄρει καὶ ἀγερωχίαν πᾶσαν, τοσούτῳ πλέον, ὅσῳ μηδὲ τοῦ Ἰωνικοῦ ἀπεθίζειν. ὠφέλει δὲ κἀκεῖνα δήπου· τὰς δίκας 532
τὰς πρὸς ἀλλήλους οὐκ ἄλλοσέ ποι ἐκφοιτᾶν εἴα, ἀλλ' οἴκοι ἔπαυεν. λέγω δὲ τὰς ὑπὲρ χρημάτων, τὰς γὰρ ἐπὶ μοιχοὺς καὶ ἱεροσύλους καὶ σφαγέας, ὧν ἀμελουμένων ἄγη φύεται, οὐκ ἐξάγειν

1. ξυνιεὶς. C. ξυνείς. E. ib. πρὸς τὸν ἄνδρα. R. ib. καὶ μεγάλα καὶ θαυμάσια. φ, E. 2. ἐθαύμαζε. μ.
3. μετὰ ταῦτα δὲ. h. καὶ μετὰ ταῦτα. k. μετὰ ταῦτα γὰρ. ς. ib. οἰκισταὶ δὲ. C, E. Fo: οἰκισταὶ δὲ οὗτοι. 4. ἐπ' αὐτοὺς τοῦ γεγραμμένου. r. 6. οὕτω μεθήρμοσεν. R. 7. ὁ Ἀνδριανὸς. k. Ἀνδριανός. μ. 8. τῶν πάντων. 2.
9. ὡς πολλοί. g. 10. ἀλλὰ ἤνεγκεν. r. ἀλλ' ἦν. ς. ib. Λαοδίνεια. R. ib. σύνοικος. R. 11. ἐν θαλάττῃ. h. ἐπὶ θαλάττῃ. ς. (θαλάσσῃ. r, f.) 12. δὲ om. 2, g, o. ib. μὲν om. R. ib. διαφέρουσα ἡ Σμύρνα. h. διαφέροντος. π. ib. οὗτοι μὲν γὰρ. f, k, o. 13. ἀνήνεγκαν. R. 14. ψηφίσασθαι. R. ib. καὶ τὰ. R. ib. Ἀδριανῶν. 1 et p ex corr. (Ἀνδριανῶν. k). Ἀδριανοῦ. 2, 3, E (Ἀνδριανοῦ. h). 16. ἐπ' ἀγοράν. R. ib. ἰθύνει. k, o.
18. δὲ om. e, m. ib. πρῶτα μὲν. 1. πρῶτον μὲν. 2, 3, E. 19. αὐτῆς. C, E. Scr. αὐτῆς. 20. ἐξειλεγμένης. r. ib. καθαρᾶς Ἑλλάδος. r et ρ, p ex corr. καθαρᾶς. ς. 21. χρόνου. β. ib. οἱ ἄνοι. R. 22. τῇ om. f. ib. πρεσβυτικὰ. g. ib. φοιτῶν παρὰ. R, r. φοιτῶν τε παρὰ. ς. ib. τοῦ αὐτοκράτορος. R. 23. οὖν. μ. ib. ἐγκείμενον. R. ib. οὕτω τοι. μ, p. 24. μιᾷ om. μ. ib. μυριάδας χιλίας. r, f, k, β. χιλιάδας μυρίας. R. χιλίας μυριάδας. 2, 3, E. ib. αὐτὸν τῇ Σμύρνῃ. r et p. in mg. αὐτῶν τῇ πόλει. R, k, β, 2, 3. αὐτὸν τῇ πόλει. E. 25. ἐμπόρεια. r. ἐμπορεῖα. R. ib. ἐποιήθη. β. 27. νουθετῶν ἠπείλει. β. ib. τε om. h. 28. ὅσον. r, f, ρ, k, β. ὅσῳ. R, 2, 3, E. ib. ἀπεθίζειν. C, E. Fo: ἀπεθίζειν ἦν. ib. ὠφέλεια. R. 29. ἄλλοσέ ποι. 1, μ, et g ex corr. ἄλλοσέ πῃ. ς. ib. ἐκφοιτᾶν εἴα. ρ, k et mg. in p. ἐκφοιτᾶν. ς. (ἐκφοιτῶν. R). ib. ἔπαυσαν. R. ib. δὴ. h, π, g. ib. ὑπὲρ τῶν. f, k. ἐπὶ . . . μίων (sic) R. 30. μοιχείας. r. ib. φύρεται. R.

1, 24, §. 3, 25. §. 2. p. 530. 531. 532. = 42. 23.

παρεκελεύετο μόνον, ἀλλὰ καὶ ἐξωθεῖν τῆς Σμύρνης, δικαστοῦ γὰρ δεῖσθαι αὐτὰς ξίφος ἔχοντος. καὶ ἡ αἰτία δέ, ἣν ἐκ τῶν πολλῶν εἶχεν, ὡς ὁδοιποροῦντι αὐτῷ πολλὰ μὲν σκευοφόρα ἔποιτο, πολλοὶ δὲ ἵπποι, πολλοὶ δὲ οἰκέται, πολλὰ δὲ ἔθνη κυνῶν ἄλλα ἐς ἄλλην θήραν, αὐτὸς δὲ ἐπὶ ζεύγους ἀργυροχαλίνου Φρυγίου τινὸς ἢ Κελτικοῦ πορεύοιτο, εὔκλειαν τῇ Σμύρνῃ ἔπραττεν, πόλιν γὰρ δὴ λαμπρύνει μὲν ἀγορὰ καὶ κατασκευὴ μεγαλοπρεπὴς οἰκοδομημάτων, λαμπρύνει δὲ οἰκία εὐ πράττουσα, οὐ γὰρ μόνον δίδωσι πόλις ἀνδρὶ ὄνομα, ἀλλὰ καὶ αὐτὴ ἄρνυται ἐξ ἀνδρός. ἐπεσκοπεῖτο δὲ καὶ τὴν Λαοδίκειαν ὁ Πολέμων θαμίζων ἐς τὸν ἑαυτοῦ οἶκον καὶ δημοσίᾳ ὠφελῶν ὅ τι ἠδύνατο.

111 Τὰ δὲ ἐκ βασιλέων αὐτῷ τοιαῦτα· Τραιανὸς μὲν αὐτοκράτωρ ἀτελῆ πορεύεσθαι διὰ γῆς καὶ θαλάττης, Ἀδριανὸς δὲ καὶ τοῖς ἀπ' αὐτοῦ πᾶσιν, κατέλεξε δὲ αὐτὸν καὶ τῷ τοῦ Μουσείου κύκλῳ
533 ἐς τὴν Αἴγυπτίαν σίτησιν, ἐπί τε τῆς Ῥώμης ἀπαιτουμένου πέντε καὶ εἴκοσι μυριάδας ὑπεραπέδωκε ταῦτα τὰ χρήματα οὔτε εἰπόντος, ὡς δέοιτο, οὔτε προειπών, ὡς δώσοι. αἰτιωμένης δὲ αὐτὸν τῆς Σμύρνης, ὡς πολλὰ τῶν ἐπιδοθέντων σφίσιν ἐκ βασιλέως χρημάτων ἐς τὸ ἑαυτοῦ ἠδὺ καταθέμενον ἔπεμψεν ὁ αὐτοκράτωρ ἐπιστολὴν ὧδε ξυγκειμένην· „Πολέμων τῶν ἐπιδοθέντων ὑμῖν χρημάτων ὑπ' ἐμοῦ ἐμοὶ τοὺς λογισμοὺς ἔδωκεν.“ ταῦτα δὲ εἰ καὶ συγγνώμην ἐρεῖ τις, οὐκ ἦν δήπου συγγνώμην αὐτὸν τὴν ἐπὶ τοῖς χρήμασι μὴ οὐκ ἐς τὸ προὖχον τῆς ἄλλης ἀρετῆς εὖρασθαι. τὸ δὲ Ἀθήνησιν Ὀλύμπιον δι' ἑξήκοντα καὶ πεντακοσίων ἐτῶν ἀποτελεσθὲν καθιερώσας ὁ αὐτοκράτωρ, ὡς χρόνου μέγα ἀγώνισμα, ἐκέλευσε καὶ τὸν Πολέμωνα ἐφυμνῆσαι τῇ θυσίᾳ. ὁ δέ, ὥσπερ εἰώθει, στήσας τοὺς ὀφθαλμοὺς ἐπὶ τὰς ἤδη παρισταμένας ἐννοίας ἐπαφῆκεν ἑαυτὸν τῷ λόγῳ καὶ ἀπὸ τῆς κρηπῖδος τοῦ νεὼ διελέχθη πολλὰ καὶ θαυμάσια, προοίμιον ποιούμενος τοῦ λόγου τὸ μὴ ἀθεεὶ τὴν περὶ αὐτοῦ ὁρμὴν γενέσθαι οἱ. διήλλαξε δὲ αὐτῷ καὶ τὸν
534 ἑαυτοῦ παῖδα Ἀντωνῖνον ὁ αὐτοκράτωρ ἐν τῇ τοῦ σκήπτρου παραδόσει θεὸς ἐκ θνητοῦ γιγνόμενος. τουτὶ δὲ ὁποῖον, ἀνάγκη δηλῶσαι· ἦρξε μὲν γὰρ δὴ πάσης ὁμοῦ Ἀσίας ὁ Ἀντωνῖνος, καὶ κατέλυσεν ἐν τῇ τοῦ Πολέμωνος οἰκίᾳ ὡς ἀρίστῃ τῶν κατὰ τὴν Σμύρναν καὶ ἀρίστου ἀνδρός, νύκτωρ δὲ ἐξ ἀποδημίας ἧκων ὁ Πολέμων ἐβόα ἐπὶ θύραις, ὡς δεινὰ πάσχοι τῶν ἑαυτοῦ εἰργόμενος, εἶτα συνηνάγκασε τὸν Ἀντωνῖνον ἐς ἑτέραν οἰκίαν μετασκευάσασθαι. ταῦτα ἐγίγνωσκε μὲν ὁ αὐτοκράτωρ, ἠρώτα δὲ ὑπὲρ αὐτῶν οὐδέν, ὡς μὴ ἀναδέροιτο, ἀλλ' ἐνθυμηθεὶς τὰ μετ' αὐτὸν καὶ ὅτι πολλάκις καὶ τὰς ἡμέρους ἐκκαλοῦνται φύσεις οἱ προσκείμενοί τε καὶ παροξύνοντες ἔδεισε περὶ τῷ Πολέμωνι, ὅθεν ἐν ταῖς ὑπὲρ τῆς βασιλείας διαθήκαις „καὶ Πολέμων ὁ σοφιστὴς“ ἔφη „ξύμβουλος τῆς διανοίας ἐμοὶ ταύτης ἐγένετο,“ τῷ καὶ χάριν ὡς εὐεργέτῃ πράττειν τὴν συγγνώμην ἐκ περιουσίας ἑτοιμάζων. καὶ ὁ Ἀντωνῖνος ἠστείζετο μὲν πρὸς τὸν Πολέμωνα περὶ τῶν κατὰ τὴν Σμύρναν ἐνδεικνύμενός που τὸ μὴ ἐκλελῆσθαι, ταῖς δὲ ἑκάστοτε τιμαῖς ἐπὶ μέγα

1. δεῖσαι. R. 2. τῶν om. R. 3. ἄλλα δὲ. k. 4. Φρυγίου ἢ Κελτικοῦ τινός. μ, ν. ib. τῆς Σμύρνης. β. 5. μὲν om. R. ib. λαμπρύνει δὴ. R. 6. ἀλλ' αὐτὴ. k. 7. καὶ om. f. ib. θαυμάζων καὶ. 2. τὸν αὐτοῦ. f, v, i, j. m, o. ib. δημοσίᾳ. r.

9. ἐκ βασιλέως. 1. ib. ἐπὶ τέλει. R. 10. Θαλάσσης. r. ib. κατέλεξε. C, E. Fo: ἐγκατέλιξε. 12. ταῦτα τὰ χρήματα. r, f, k et p ex corr. ταῦτα χρήματα. o. πάντα τὰ χρήματα. R. πάντα χρήματα. β, 2, 3, e, m. ib. προειπών. r, E. ib. δέοι. R. 13. ὡς πολλὰ — χρημάτων om. μ, ox, h, π, g, e, m. ib. χρήματα. f, k. ib. ἑαυτοῦ. R, r. αὐτοῦ. f. p, π. ἑαυτῶν. μ. αὐτῶν. h. αὐτὸ. m. αὐτῷ. ς. 14. Πολέμων. p ex corr. Ἀντωνῖνος Πολέμων. cett. C et e, m. Ἀντώνιος Πολέμων. o. 15. χρημάτων ὑπ' ἐμοῦ. R. ὑπ' ἐμοῦ χρημάτων. ς. ib. δὲ om. ox. 21. τὸ μὴ. l. o. μὴ om. 2, 3, e, m. ib. τὴν ὁρμὴν τοῦ λόγου. R. ib. δὲ om. 2, 3, E. 22. τοῦ om. R. ib. γιγνόμενος. R, r, f. β, μ, ν et p ex corr. γενόμενος. k, h, π, g, E. 23. μὲν γὰρ δὴ. R. μὲν γὰρ. r, f, k, β, ν, ox, h, p, π, E. μὲν. μ, g. ib. Ἀντωνῖνος ὁ αὐτοκράτωρ. μ. 24. τοῦ om. f, ρ. 25. πάσχοι. l et p ex corr. νε. πάσχειν. 2, 3, e. πάσχων. m, o. 27. δὲ ὑπὲρ. r. ὡς οὐδὲν. μ. ib. ἀναδύοιτο. β. 28. φύσεις ἐκκαλοῦνται. μ. 30. τῷ κατὰ χάριν et mg. γρ. καὶ χάριν. ρ. τῷ καὶ χάριν. o. τῷ κατὰ χάριν. cett. C et e, m. ib. καὶ εὐεργέτῃ πράττε. R. ὡς εὐεργέτῃ πράττε. r. 31. ἀτιμάζων. f. ἐτιμάζων. k. ib. καὶ Ἀντωνῖνος. π, g. ib. περὶ om. f.

1. 25. §. 3. p. 533. 534. = 43. 44. 45.

ἦρεν ἐγγυώμενός που τὸ μὴ μεμνῆσθαι. ἠστείζετο δὲ τὰ μέν· ἐς τὴν πόλιν ἥκοντος τοῦ Πολέμωνος περιβαλὼν αὐτὸν ὁ Ἀντωνῖνος „δότε" ἔφη „Πολέμωνι καταγωγήν, καὶ μηδεὶς αὐτὸν ἐκβάλῃ." ὑποκριτοῦ δὲ τραγῳδίας ἀπὸ τῶν κατὰ τὴν Ἀσίαν Ὀλυμπίων, οἷς ἐπεστάτει ὁ Πολέμων, ἐφιέναι φήσαντος, ἐξελαθῆναι γὰρ παρ' αὐτοῦ κατ' ἀρχὰς τοῦ δράματος, ἤρετο ὁ αὐτοκράτωρ τὸν ὑποκριτήν, πηνίκα εἴη, ὅτε τῆς σκηνῆς ἠλάθη, τοῦ δὲ εἰπόντος, ὡς μεσημβρία τυγχάνοι οὖσα, μάλα ἀστείως ὁ αὐτοκράτωρ „ἐμὲ δὲ" εἶπεν „ἀμφὶ μέσας νύκτας ἐξήλασε τῆς οἰκίας, καὶ οὐκ ἐφῆκα."

Ἐχέτω μοι καὶ ταῦτα δήλωσιν βασιλέως τε πράου καὶ ἀνδρὸς ὑπέρφρονος. ὑπέρφρων γὰρ δὴ οὕτω τι ὁ Πολέμων, ὡς πόλεσι μὲν ἀπὸ τοῦ προὔχοντος, δυνασταῖς δὲ ἀπὸ τοῦ μὴ ὑφειμένου, θεοῖς δὲ ἀπὸ τοῦ ἴσου διαλέγεσθαι. Ἀθηναίοις μὲν γὰρ ἐπιδεικνύμενος αὐτοσχεδίους λόγους, ὅτε καὶ πρῶτον Ἀθήναζε ἀφίκετο, οὐκ ἐς ἐγκώμια κατέστησεν ἑαυτὸν τοῦ ἄστεος, τοσούτων ὄντων, ἃ τις ὑπὲρ Ἀθηναίων εἴποι, οὐδ' ὑπὲρ τῆς ἑαυτοῦ δόξης ἐμακρηγόρησε, καίτοι καὶ τῆς τοιᾶσδε ἰδίας ὠφελούσης τοὺς σοφιστὰς ἐν ταῖς ἐπιδείξεσιν, ἀλλ' εὖ γιγνώσκων, ὅτι τὰς Ἀθηναίων φύσεις ἐπικόπτειν χρὴ μᾶλλον ἢ ἐπαίρειν διελέχθη ὧδε· „φασὶν ὑμᾶς, ὦ Ἀθηναῖοι, σοφοὺς εἶναι ἀκροατὰς λόγων· εἴσομαι." ἀνδρὸς δέ, ὃς ἦρχε μὲν Βοσπόρου, πᾶσαν δὲ Ἑλληνικὴν παίδευσιν ἥρμοστο, καθ' ἱστορίαν τῆς Ἰωνίας ἐς τὴν Σμύρναν ἥκοντος οὐ μόνον οὐκ ἔταξεν ἑαυτὸν ἐν τοῖς θεραπεύουσιν, ἀλλὰ καὶ δεομένου ξυνεῖναί οἱ θαμὰ ἀνεβάλετο, ἕως ἠνάγκασε τὸν βασιλέα ἐπὶ θύρας ἀφικέσθαι ἀπάγοντα μισθοῦ δέκα τάλαντα. ἦκον δὲ ἐς τὸ Πέργαμον, ὅτε δὴ τὰ ἄρθρα ἐνόσει, κατέδαρθε μὲν ἐν τῷ ἱερῷ, ἐπιστάντος δὲ αὐτῷ τοῦ Ἀσκληπιοῦ καὶ προειπόντος ἀπέχεσθαι ψυχροῦ ποτοῦ ὁ Πολέμων „βέλτιστε," εἶπεν „εἰ δὲ βοῦν ἐθεράπευες;"

Τὸ δὲ μεγαλόγνωμον τοῦτο καὶ φρονηματῶδες ἐκ Τιμοκράτους ἔσπασε τοῦ φιλοσόφου, συγγενόμενος αὐτῷ ἥκοντι ἐς Ἰωνίαν ἐτῶν τεττάρων. οὐ χεῖρον δὲ καὶ τὸν Τιμοκράτην δηλῶσαι· ἦν μὲν γὰρ ἐκ τοῦ Πόντου ὁ ἀνὴρ οὗτος καὶ ἦν αὐτῷ πατρὶς Ἡράκλεια τὰ Ἑλλήνων ἐπαινοῦντες, ἐφιλοσόφει δὲ κατ' ἀρχὰς μὲν τοὺς ἰατρικοὺς τῶν λόγων, εἰδὼς εὖ τὰς Ἱπποκράτους τε καὶ Δημοκρίτου δόξας, ἐπεὶ δὲ ἤκουσεν Εὐφράτου τοῦ Τυρίου, πλήρεσιν ἱστίοις ἐς τὴν ἐκείνου φιλοσοφίαν ἀφῆκεν. ἐπιχολώτερος δὲ οὕτω τι ἦν τοῦ ξυμμέτρου, ὡς ὑπανίστασθαι αὐτῷ διαλεγομένῳ τήν τε γενειάδα καὶ τὰς ἐν τῇ κεφαλῇ χαίτας, ὥσπερ τῶν λεόντων ἐν ταῖς ὁρμαῖς. τῆς δὲ γλώττης εὐφόρως εἶχε καὶ σφοδρῶς καὶ ἑτοίμως, διὸ καὶ τῷ Πολέμωνι πλείστου ἦν ἄξιος ἀσπαζομένῳ τὴν τοιάνδε ἐπιφορὰν τοῦ λόγου. διαφορᾶς γοῦν τῷ Τιμοκράτει πρὸς τὸν Σκοπελιανὸν γενομένης ὡς ἐκδεδωκότα ἑαυτὸν πίττῃ καὶ παρατιλτρίαις διέστη μὲν ἡ ἐνομιλοῦσα νεότης τῇ Σμύρνῃ, ὁ δὲ

1. δὲ, τὰ μὲν. β. δὲ τὰ μὲν. E. Fo: τὸ μέν. ib. ἐς τὴν πόλιν. R. ἐς τὴν Ῥώμην. ς. 2. περιβαλὼν. r, f, k. περιβάλλων. 2, 3, E. παραλαβὼν. R. περιλαβὼν. pe. ib. ἐκβάλῃ. 1, ve, μ. ἐκβάλοι. v, ox, h. ἐκβάλλῃ. π, g, E. 3. Σ. v. ἐφιέναι· ὑποκριτοῦ τραγῳδίας ἐφιέναι φήσαντος, ἐξελαθῆναι γὰρ παρὰ Πολέμωνος κατ' ἀρχὰς τοῦ δράματος, ὁ δὲ Ἀντωνῖνος ἤρετο, πηνίκα εἴη – τυγχάνοι (τυγχάνει. v, e). οὖσα – ἐφῆκα. ἐχέτω ταῦτα δήλωσιν βασιλέως πράου καὶ ἀνδρὸς ὑπέρφρονος. ib. ἠπιστατο. μ, v. ἐπίστατο. ox. ἐπιστάτη. h, e. ἐπεστάτη. p, m. ib. ἀφιέναι. f. 5. τῆς om. o. ib. ἀπηλάθη. R. ib. οὖσα τυγχάνοι. R. τυγχάνει οὖσα. h, m, o. 6. ἐξήλασε τῆς οἰκίας. r et ρ, p in mg, k. Omissa in ς, pe. ἐξήλασε (om. τῆς οἰκίας.) ve.

7. μοι καὶ om. Σ. ib. βασιλέως. R. r, β, Σ. ὡς βασιλέως. ς. ib. γὰρ δὴ οὕτω τι. R. δή τι οὕτως. r, f, k, o. δή τι οὗτος. β. γὰρ δὴ οὕτως. μ, v, m. δὴ οὕτως. ox. δὲ οὗτος. h. γὰρ δὴ οὗτος. 3, e. 8. τοῦ μὴ. R. ib. μὴ om. R. 10. ἐγκώμιον. k, o. ib. τοῦ om. p. 11. ἃ τις ὑπὲρ Ἀθηναίων εἴποι. C, E. Fo: ἅ τις ὑπὲρ Ἀθηνῶν ἂν εἴποι. ib. καίτοι καὶ om. R. ib. τῆς om. k et p a pr. m. 13. μᾶλλον χρὴ. μ. ib. ἡμᾶς. β. ib. σοφιστὰς εἶναι. R. 15. κατὰ ἱστορίαν. r. 16. ξυνεῖναι θαμὰ. 2. ib. ἀνεβάλετο. r, v, π, g. ἀνεβαλλέτο. ς. ib. τὸν ἐπὶ βασιλέα. R. ib. ἐπὶ θύρας. r. ἐπὶ θύραις. ς. 17. νοσῶν δὲ. μ, v. ὁσῶν δὲ. ox. ὅσον. h. 18. κατέδραθε. f. ib. αὐτῷ om. R. ib. προσειπόντος. C, E. προειπόντος. J. 19. βέλτιστ' εἶπεν. v.

20. μεγαλόγνωμον τοῦτο. R, r, ve. μεγαλόγνωμον τὸ δὲ. f. β. μεγαλόγνωμον τόδε ἐφρονηματῶδες. k. μεγαλόφρον καὶ. μ, v. μεγαλόγνωμον καὶ. ox, h, 3, E. ib. ἔσπασε μόνου. R. 21. Τιμοκράτη. R, r. 23. γὰρ κατ' ἀρχὰς. g. 24. δὲ om. R. ib. Σ. v. ἱστίον. πλήρεσιν ἱστίοις ἐς τὴν αὐτοῦ σοφίαν καθῆκεν. idem v. πλῆντο. πλ. ἱστ. ἐς τὴν αὐτοῦ φιλοσοφίαν ἀφῆκεν. ib. σοφίαν ἐχώρει. R. 25. οὕτω τοι. μ, v, p. ib. ἦν om. β. 26. τὴν γενειάδα. f, k. τὴν δὲ. e et m in mg. ib. τρίχας. π, g. 27. εἶχεν εὐφόρως. β. ἐφόρως εἶχε. f. εὐφρόνως εἶχε. π, g. 28. γ' οὖν. r. 29. διέστηκε. g.

1, 25, §. 1, 5, 6. p. 535. 536. = 45. 46. 47.

Πολέμων ἀμφοῖν ἀκροώμενος τῶν τοῦ Τιμοκράτους στασιωτῶν ἐγένετο πατέρα καλῶν αὐτὸν τῆς ἑαυτοῦ γλώττης. ἀπολογούμενος δὲ αὐτῷ καὶ ὑπὲρ τῶν πρὸς Φαβωρῖνον λόγων εὐλαβῶς ὑπέστειλε καὶ ὑφειμένως, ὥσπερ τῶν παίδων οἱ τὰς ἐκ τῶν διδασκάλων πληγάς, εἴ τι ἀτακτήσειαν, δεδιότες.

Τῷ δὲ ὑφειμένῳ τούτῳ καὶ πρὸς τὸν Σκοπελιανὸν ἐχρήσατο χρόνῳ ὕστερον, πρεσβεύειν μὲν χειροτονηθεὶς ὑπὲρ τῶν Σμυρναίων, ὡς ὅπλα δὲ Ἀχίλλεια τὴν ἐκείνου πειθὼ αἰτήσας. Ἡρώδῃ δὲ τῷ Ἀθηναίῳ πὴ μὲν ἀπὸ τοῦ ὑφειμένου, πὴ δὲ ἀπὸ τοῦ ὑπεραίροντος ξυνεγένετο. ὅπως δὲ καὶ ταῦτα ἔσχε, δηλῶσαι βούλομαι, καλὰ γὰρ καὶ μεμνῆσθαι ἄξια· ἦρα μὲν γὰρ τοῦ αὐτοσχεδιάζειν ὁ Ἡρώδης μᾶλλον ἢ τοῦ ὕπατός τε καὶ ἐξ ὑπάτων δοκεῖν, τὸν Πολέμωνα δὲ οὔπω γιγνώσκων
537 ἀφῖκτο μὲν ἐς τὴν Σμύρναν ἐπὶ ξυνουσίᾳ τοῦ ἀνδρὸς κατὰ χρόνους, οὓς τὰς ἐλευθέρας τῶν πόλεων αὐτὸς διωρθοῦτο, περιβαλὼν δὲ καὶ ὑπερασπασάμενος ὁμοῦ τῷ τὸ στόμα ἀφελεῖν τοῦ στόματος „πότε," εἶπεν „ὦ πάτερ, ἀκροασόμεθά σου;" καὶ ὁ μὲν δὴ ᾤετο ἀναβαλεῖσθαι αὐτὸν τὴν ἀκρόασιν ὀκνεῖν φήσαντα ἐπ' ἀνδρὸς τοιούτου ἀποκινδυνεύειν, ὁ δὲ οὐδὲν πλασάμενος „τήμερον" ἔφη „ἀκροῶ, καὶ ἴωμεν." τοῦτο ἀκούσας ὁ Ἡρώδης ἐκπλαγῆναι ἔφησε τὸν ἄνδρα, ὡς καὶ τὴν γλῶτταν αὐτοσχέδιον καὶ τὴν γνώμην. ταῦτα μὲν οὖν φρόνημα ἐνδείκνυται τοῦ ἀνδρὸς καί, νὴ Δία, σοφίαν, ᾗ ἐς τὴν ἔκπληξιν ἐχρήσατο, ἐκεῖνα δὲ σωφροσύνην τε καὶ κόσμον· ἀφικόμενον
VII γὰρ ἐς τὴν ἐπίδειξιν ἐδέξατο ἐπαίνῳ μακρῷ καὶ ἐπαξίῳ τῶν Ἡρώδου λόγων τε καὶ ἔργων. τὴν δὲ σκηνὴν τοῦ ἀνδρός, ᾗ ἐς τὰς μελέτας ἐχρήσατο, ἐστὶ μὲν καὶ Ἡρώδου μαθεῖν ἐν μιᾷ τῶν πρὸς τὸν Βᾶρον ἐπιστολῇ εἰρημένων, δηλώσω δὲ κἀγὼ ἐκεῖθεν· παρῆει μὲν ἐς τὰς ἐπιδείξεις διακεχυμένῳ τῷ προσώπῳ καὶ τεθαρρηκότι, φοράδην δὲ ἐσεφοίτα, διεφθορότων αὐτῷ ἤδη τῶν ἄρθρων. καὶ τὰς ὑποθέσεις οὐκ ἐς τὸ κοινὸν ἐπεσκοπεῖτο, ἀλλ' ἐξιὼν τοῦ ὁμίλου βραχὺν καιρόν. φθέγμα δὲ ἦν αὐτῷ λαμπρὸν καὶ ἐπίτονον καὶ κρότος θαυμάσιος οἷος ἀπεκτύπει τῆς γλώττης. φησὶ δὲ αὐτὸν ὁ Ἡρώδης καὶ ἀναπηδᾶν τοῦ θρόνου περὶ τὰς ἀκμὰς τῶν ὑποθέσεων, τοσοῦτον αὐτῷ περιεῖναι ὁρμῆς, καὶ ὅτε ἀποτορνεύοι περίοδον, τὸ ἐπὶ πᾶσιν αὐτῆς κῶλον σὺν μειδιάματι φέρειν, ἐνδεικνύμενον πολὺ τὸ ἀλύπως φράξειν, καὶ κροαίνειν ἐν τοῖς τῶν ὑποθέσεων χωρίοις οὐδὲν μεῖον τοῦ
538 Ὁμηρικοῦ ἵππου. ἀκροᾶσθαι δὲ αὐτοῦ τὴν μὲν πρώτην, ὡς οἱ δικάζοντες, τὴν δὲ ἐφεξῆς, ὡς οἱ ἐρῶντες, τὴν δὲ τρίτην, ὡς οἱ θαυμάζοντες, καὶ γὰρ δὴ καὶ τριῶν ἡμερῶν ξυγγενέσθαι οἱ. ἀναγράφει καὶ τὰς ὑποθέσεις ὁ Ἡρώδης, ἐφ' αἷς ξυνεγένετο· ἦν τοίνυν ἡ μὲν πρώτη Δημοσθένης ἐξομνύμενος ταλάντων πεντήκοντα δωροδοκίαν, ἣν ἦγεν ἐπ' αὐτὸν Δημάδης, ὡς Ἀλεξάνδρου τοῦτο Ἀθηναίοις ἐκ τῶν Δαρείου λογισμῶν ἐπεσταλκότος, ἡ δὲ ἐφεξῆς τὰ τρόπαια κατέλυε τὰ Ἑλληνικὰ τοῦ Πελοποννησίου πολέμου ἐς διαλλαγὰς ἥκοντος, ἡ δὲ τρίτη τῶν ὑποθέσεων τοὺς Ἀθηναίους

1. στασιωτῶν. 1 et p ex corr. στασιαστῶν. 2, 3, E. 2. αὐτοῦ μ. ib. πρὸς τὸν. g. ib. Φαβουρῖνον. R. r. ib. ἐπέστειλε p ex corr.

5. τὸν om. π, g. ib. πρεσβεύειν μὲν χειροτονηθεὶς. r. χειροτονηθεὶς μὲν πρεσβεύειν. ς. 6. ὑπὸ. f. ib. ὅπλα Ἀχίλλεια δὲ. h. 8. ταῦτα ἔχει. h. δηλῶσαι βουλόμενος. π, g. ib. ἄξιον. f. k. 9. ὁ Ἡρώδης μᾶλλον. r, β. μᾶλλον ὁ Ἡρώδης. ς. 10. ἐπὶ ξυνουσία. 1 et p ex corr. ἐς τὴν ἐξουσίαν. 2, 3, E. 11. διορθοῦτο. R, r, g. ib. ὁμοῦ τῷ στόμα. β. ὁμοῦ τὸ στόμα. R, r, f, k. ὁμοῦ τῷ τὸ στόμα. 2, φ, E. ὁμοῦ τε τὸ στ. π, g. 12. ὦ πάτερ om. β. ib. καὶ om. r. 13. οὐδὲ. R. 14. ἔφησε. C, E. Fo: φησι. ib. ὡς τὴν. e, m. 16. ἐκεῖνά τε. R. ib. σωφροσύνης. β. 18. ᾗ om. R. ib. ἔστι. h, e, m. ib. μάρμαρ. r. 19. Βάρβαρον. ς. Βάρον. V. Meurs. ib. ἐπιστολῇ. p. ἐπιστολῶν. ς. 20. ἐπεφοίτα. 2. 21. ἐπεσκοπεῖτο r et p ex corr. ἐσκοπεῖτο. ς. 22. λεπτὸν καὶ ἐπίπονον. 2, φ, π, g, e, m. λεπτὸν καὶ ἐπίτονον. p. 23. καὶ ἀναπηδᾶν. R, r, ve. ἀναπηδᾶν. ς. ib. περὶ. 1. παρὰ. 2, 3, E. 24. ἀποτορνεύοι τὸ. r. ἀποτορνέοιτο. f. ἀποτορνεύοιτο. ς. Scr. ἀποτορνεύοι. ib. αὐτῆς. R, r, f, ve. αὐτοῖς. k. αὐτῷ. h. αὐτῇ. β, μ, v, ox, 3, E. ib. συμμειδιάματι. R. ib. ἐνδεικνύμενον — φράξειν om. β. ἐνδεικνύμενος. f. 26. Ὁμηρικοῦ. 1 et p ex corr. ἡρωικοῦ. 2, 3, E. ib. τὴν δ'. E. 27. τὴν δὲ — θαυμάζοντες om. C et e, habet o ex suppl. Salmasii. ib. ὡς θαυμάζοντες. o. ὡς οἱ θαυμάζοντες. J. 28. ὁ Ἡρώδης. R, r, p. Ἡρώδης. ς. 30. ἐπεσταλέντων. ox. ἐπισταλέντων. l. ἐπεσταλκότες. n. ἐπεσταλκότα. g. ib. ᾗ δὲ — ἥκοντος om. 2, 3, e, m. ib. τὰ τρόπαια. p. sec. m. ἐς τὰ τρόπαια. R, r, ρ, k, β, o. ἐς τὼ τρόπαια. f. ib. κατέλυε p. sec. m. καταλύειν. 1, o. 31. διαλαγὰς. r. ib. τρίτη. r.

1, 25, §. 7. p. 537. 538. = 47. 48.

μετὰ Αἰγὸς ποταμοὺς ἐς τοὺς δήμους ἀνεσκεύαζεν· ὑπὲρ οὗ φησιν ὁ Ἡρώδης πέμψαι οἱ πεντεκαίδεκα μυριάδας προσειπὼν αὐτὰς μισθὸν τῆς ἀκροάσεως, μὴ προσεμένου δὲ αὐτὸς μὲν ὑπερῶφθαι οἴεσθαι, ξυμπίνοντα δὲ αὐτῷ Μουνάτιον τὸν κριτικόν, ὁ δὲ ἀνὴρ οὗτος ἐκ Τραλλέων, „ὦ Ἡρώδη," φάναι „δοκεῖ μοι Πολέμων ὀνειροπολήσας πέντε καὶ εἴκοσι μυριάδας παρὰ τοῦτ' ἔλαττον ἴσχειν ἡγεῖσθαι, παρ' ὃ μὴ τοσαύτας ἔπεμψας." προσθεῖναί φησιν ὁ Ἡρώδης τὰς δέκα καὶ τὸν Πολέμωνα προθύμως λαβεῖν, ὥσπερ ἀπολαμβάνοντα. ἔδωκε τῷ Πολέμωνι ὁ Ἡρώδης καὶ τὸ μὴ παρελθεῖν ἐπ' αὐτῷ ἐς λόγων ἐπίδειξιν, μηδ' ἐπαγωνίσασθαί οἱ, νύκτωρ δὲ ἐξελάσαι τῆς Σμύρνης, 539
ὡς μὴ βιασθείη, θρασὺ γὰρ καὶ τὸ βιασθῆναι ᾤετο. διετέλει δὲ καὶ τὸν ἄλλον χρόνον ἐπαινῶν τὸν Πολέμωνα καὶ ὑπὲρ θαῦμα ἄγων· Ἀθήνησι μὲν γὰρ διαπρεπῶς ἀγωνισάμενος τὸν περὶ τῶν τροπαίων ἀγῶνα καὶ θαυμαζόμενος ἐπὶ τῇ φορᾷ τοῦ λόγου „τὴν Πολέμωνος" ἔφη „μελέτην ἀνάγνωτε καὶ εἴσεσθε ἄνδρα." Ὀλυμπίασι δὲ βοησάσης ἐπ' αὐτῷ τῆς Ἑλλάδος „εἷς, ὡς Δημοσθένης," „εἶθε γάρ," ἔφη „ὡς ὁ Φρύξ," τὸν Πολέμωνα ὧδε ἐπονομάζων, ἐπειδὴ τότε ἡ Λαοδίκεια τῇ Φρυγίᾳ συνετάττετο. Μάρκου δὲ τοῦ αὐτοκράτορος πρὸς αὐτὸν εἰπόντος „τί σοι δοκεῖ ὁ Πολέμων; στήσας τοὺς ὀφθαλμοὺς ὁ Ἡρώδης

„ἵππων μ'"

ἔφη

„ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει,"

ἐνδεικνύμενος δὴ τὸ ἐπίκροτον καὶ τὸ ὑψηχὲς τῶν λόγων. ἐρομένου δὲ αὐτὸν καὶ Βάρου τοῦ ὑπάτου, τίσι καὶ διδασκάλοις ἐχρήσατο, „τῷ δεῖνι μὲν καὶ τῷ δεῖνι" ἔφη „παιδευόμενος, Πολέμωνι δὲ ἤδη παιδεύων."

Φησὶν ὁ Πολέμων ἠκροᾶσθαι καὶ Δίωνος ἀποδημίαν ὑπὲρ τούτου στείλας ἐς τὸ τῶν Βιθυνῶν VIII
ἔθνος. ἔλεγε δὲ ὁ Πολέμων τὰ μὲν τῶν καταλογάδην ὥμοις δεῖν ἐνφέρειν, τὰ δὲ τῶν ποιητῶν ἀμάξαις.

Κἀκεῖνα τῶν Πολέμωνι τιμὴν ἐχόντων· ἤριζεν ἡ Σμύρνα ὑπὲρ τῶν ναῶν καὶ τῶν ἐπ' αὐτοῖς δικαίων, ξύνδικον πεποιημένη τὸν Πολέμωνα ἐς τέρμα ἤδη τοῦ βίου ἥκοντα. ἐπεὶ δὲ ἐν ὁρμῇ τῆς ὑπὲρ τῶν δικαίων ἀποδημίας ἐτελεύτησεν, ἐγένετο μὲν ἐπ' ἄλλοις ξυνδίκοις ἡ πόλις, πονηρῶς δὲ αὐτῶν ἐν τῷ βασιλείῳ δικαστηρίῳ διατιθεμένων τὸν λόγον βλέψας ὁ αὐτοκράτωρ ἐς τοὺς τῶν 540
Σμυρναίων ξυνηγόρους „οὐ Πολέμων" εἶπεν „τουτουὶ τοῦ ἀγῶνος ξύνδικος ὑμῖν ἀπεδέδεικτο;" „ναί," ἔφασαν „εἴ γε τὸν σοφιστὴν λέγεις." καὶ ὁ αὐτοκράτωρ „ἴσως οὖν" ἔφη „καὶ λόγον τινὰ ξυνέγραψεν ὑπὲρ τῶν δικαίων, οἷα δὴ ἐπ' ἐμοῦ τε ἀγωνιούμενος καὶ ὑπὲρ τηλικούτων." „ἴσως," ἔφασαν, ὦ βασιλεῦ, „οὐ μὴν ἡμῖν γε εἰδέναι." καὶ ἔδωκεν ἀναβολὰς ὁ αὐτοκράτωρ τῇ δίκῃ, ἔστ' ἂν διακομισθῇ ὁ λόγος, ἀναγνωσθέντος δὲ ἐν τῷ δικαστηρίῳ κατ' αὐτὸν ἐψηφίσατο ὁ βασιλεύς, καὶ ἀπῆλθεν ἡ Σμύρνα τὰ πρωτεῖα νικῶσα καὶ τὸν Πολέμωνα αὐτοῖς ἀναβεβιωκέναι φάσκοντες.

1. Αἰγὸς ποταμοὺς. 1, p, n. Αἰγὸς ποταμὸν. π. τὰ ἐν Αἰγὸς ποταμοῖς. 2, m, o. ἐν Αἰγὸς ποταμοῖς. c. ib. πεντεκαίδεκα. 1. δεκαπέντε. 2, 3, E. 2. αὐτὰς. 1. αὐτὰ. 2, 3, E. ib. προσεμένου. 1. προσιεμένου. 2, 3, E. 3. ξυμπίπτοντα. π, g. ib. κριτικὸν. r, f, k, β, 3, o. κρητικὸν. R, 2, c, m. Creticum. Bonf. ib. ὦ Ἡρώδη. 1. ὦ Ἡρώδης. β, 2. π, m, o. τῷ Ἡρώδης. g. ᾧ Ἡρώδης. c. 4. ὀνειροπολήσας. r. ib. περὶ τοῦτο. β. 6. ἔδωκε δὲ. k, o et p a sec. m. 8. δὲ τὸν. R. 9. τῶν om. R. 11. εἰσεσθαι. β. ib. Ἑλλάδος. 1 et p sec. m. o. Ἑλλαδικῆς. 2, 3, c, m. ib. εἷς καὶ. R. ἧς ὡς. β. εἷς ὡς. c. 12. εἶθε γὰρ. pc. ἤδη γὰρ. C, E. ib. ἐπωνομάσαι. R. ἐπονάζων. μ. 13. αὐτοῦ αὐτοκράτορος. c, m. 16. ἔφη om. R. 17. ὠκυπόρων. 3 (in p correctum). 18. τὸ om. f, k. ib. Βαρβάρου. C, E. Scr. Βάρου. 19. τίσι καὶ. R, r, f. τίσι. ς. ib. τοῦ δεῖνος καὶ τοῦ δεῖνος. R

21. Ζήνωνος. R. ἀποδημίαν. R, r, f, β. καὶ ἀποδημίαν. 2, 3, E. ib. τὸ τῶν. R, r, β. τὸ. ς. 22. τὰ δὲ ποιητῶν. f, k.

24. κακείνων. R. ib. ἐχόντων. r. νεμόντων. ς. ib. ἐν αὐτοῖς. R. 27. δικαστηρίων. β. 28. εἶπεν. r. εἶπε. E. ib. ἀπεδέδεικτο. r. ἀποδέδεικτο. ς. ib. ἡμῖν. β. 30. ἀγωνιζόμενος. R, π. 32. διακοσμηθῇ. r. ib. ὁ βασιλεὺς. ot. βασιλεὺς. ς. 33. ἀναβιβιωκέναι. 1 et p ex corr. o. ἀναβιβιωκότα. 2, 3, c, m.

1, 25. §. 8. p. 539. 540. = 48. 49. 50.

IX Ἐπεὶ δὲ ἀνδρῶν ἐλλογίμων ἀξιομνημόνευτα οὐ μόνον τὰ μετὰ σπουδῆς λεχθέντα, ἀλλὰ καὶ τὰ ἐν ταῖς παιδιαῖς, ἀναγράψω καὶ τοὺς ἀστεισμοὺς τοῦ Πολέμωνος, ὡς μηδὲ οὗτοι παραλελειμμένοι φαίνοιντο. μειράκιον Ἰωνικὸν ἐτρύφα κατὰ τὴν Σμύρναν ὑπὲρ τὰ Ἰώνων ἤθη, καὶ ἀπώλλυ αὐτὸ πλοῦτος βαθύς, ὅσπερ ἐστὶ πονηρὸς διδάσκαλος τῶν ἀκολάστων φύσεων. ὄνομα μὲν δὴ τῷ μειρακίῳ Οὔαρος, διεφθορὸς δὲ ὑπὸ κολάκων ἐπεπείκει αὐτὸ ἑαυτό, ὡς καλῶν τε εἴη ὁ κάλλιστος καὶ μέγας ὑπὲρ τοὺς εὐμήκεις καὶ τῶν ἀμφὶ παλαίστραν γενναιότατός τε καὶ τεχνικώτατος καὶ μηδ' ἂν τὰς Μούσας ἀναβάλλεσθαι αὐτοῦ ἥδιον, ὁπότε πρὸς τὸ ᾄδειν τράποιτο. παραπλήσια δὲ τούτοις καὶ περὶ τῶν σοφιστῶν ᾤετο, παριππεῦσαι γὰρ καὶ τὰς ἐκείνων γλώττας, ὁπότε μελετῴη, καὶ γὰρ δὴ καὶ ἐμελέτα, καὶ οἱ δανειζόμενοι παρ' αὐτοῦ χρήματα τὸ καὶ μελετῶντος ἀκροάσασθαι προσέγραφον τῷ τόκῳ. ὑπήγετο δὲ καὶ ὁ Πολέμων τῷ θασμῷ τούτῳ νέος ὢν ἔτι
541 καὶ οὔπω νοσῶν, δεδάνειστο γὰρ παρ' αὐτοῦ χρήματα, καὶ ἐπεὶ μὴ ἐθεράπευε, μηδὲ ἐς τὰς ἀκροάσεις ἐφοίτα, χαλεπὸν ἦν τὸ μειράκιον καὶ ἠπείλει τύπους. οἱ δὲ τύποι γράμμα εἰσὶν ἀγορᾶς. ἐρήμην ἐπαγγέλλον τῷ οὐκ ἀποδιδόντι. αἰτιωμένων οὖν τὸν Πολέμωνα τῶν οἰκείων, ὡς ἀηδῆ καὶ δύστροπον, εἰ παρὼν αὐτῷ μὴ ἀπαιτεῖσθαι καὶ τὸ μειράκιον ἐκκαρποῦσθαι παρέχοντα αὐτῷ νεῦμα εὖνουν μὴ ποιεῖ τοῦτο, ἀλλ' ἐκκαλεῖται αὐτὸ καὶ παροξύνει, τοιαῦτα ἀκούων ἀπήντησε μὲν ἐπὶ τὴν ἀκρόασιν, ἐπεὶ δὲ ἐς δείλην ἤδη ὀψίαν τὰ τῆς μελέτης αὐτῷ προὔβαινε καὶ οὐδεὶς ὅρμος ἐφαίνετο τοῦ λόγου σολοικισμῶν τε καὶ βαρβαρισμῶν καὶ ἐναντιώσεων πλέα ἦν πάντα, ἀναπηδήσας ὁ Πολέμων καὶ ὑποσχὼν τῷ χεῖρε „Οὔαρε", εἶπεν „φέρε τοὺς τύπους." λῃστὴν δὲ πολλαῖς αἰτίαις ἑαλωκότα στρεβλοῦντος ἀνθυπάτου καὶ ἀπορεῖν φάσκοντος, τίς γένοιτ' ἂν ἐπ' αὐτῷ τιμωρία τῶν εἰργασμένων ἀξία, παρατυχὼν ὁ Πολέμων „κέλευσον" ἔφη „αὐτὸν ἀρχαῖα ἐκμανθάνειν." καίτοι γὰρ πλεῖστα ἐκμαθὼν ὁ σοφιστὴς οὗτος ὅμως ἐπιπονώτατον ἡγεῖτο τῶν ἐν ἀσκήσει τὸ ἐκμανθάνειν. ἰδὼν δὲ μονόμαχον ἱδρῶτι ῥεόμενον καὶ δεδιότα τὸν ὑπὲρ τῆς ψυχῆς ἀγῶνα „οὕτως" εἶπεν „ἀγωνιᾷς, ὡς μελετᾶν μέλλων." σοφιστῇ δὲ ἐντυχὼν ἀλλᾶντας ὠνουμένῳ καὶ μαινίδας καὶ τὰ εὐτελῆ ὄψα „ὦ λῷστε," εἶπεν „οὐκ ἔστι τὸ Δαρείου καὶ Ξέρξου φρόνημα καλῶς ὑποκρίνασθαι ταῦτα σιτουμένῳ." Τιμοκράτους δὲ τοῦ φιλοσόφου πρὸς αὐτὸν εἰπόντος, ὡς λάλον χρῆμα ὁ Φαβωρῖνος γένοιτο, ἀστειότατα ὁ Πολέμων „καὶ πᾶσα" ἔφη „γραῦς" τὸ εὐνουχῶδες αὐτοῦ διασκώπτων. ἀγωνιστοῦ δὲ τραγῳδίας ἐν τοῖς κατὰ τὴν Σμύρναν Ὀλυμπίοις τὸ „ὦ Ζεῦ" ἐς τὴν γῆν δείξαντος, τὸ
542 δὲ „καὶ γᾶ" ἐς τὸν οὐρανὸν ἀνασχόντος, προκαθήμενος τῶν Ὀλυμπίων ὁ Πολέμων ἐξέωσεν αὐτὸν τῶν ἄθλων εἰπὼν „οὗτος τῇ χειρὶ ἐσολοίκισεν." μὴ πλείω ὑπὲρ τούτων, ἀπόχρη γάρ καὶ ταῦτα τὸ ἐπίχαρι τοῦ ἀνδρὸς δηλῶσαι.

X Ἡ δὲ ἰδέα τῶν Πολέμωνος λόγων θερμὴ καὶ ἐναγώνιος καὶ τορὸν ἠχοῦσα, ὥσπερ ἡ Ὀλυμπιακὴ σάλπιγξ, ἐπιπρέπει δὲ αὐτῇ καὶ τὸ Δημοσθενικὸν τῆς γνώμης, καὶ ἡ σεμνολογία οὐχ ὑπτία, λαμπρὰ δὲ καὶ ἔμπνους, ὥσπερ ἐκ τρίποδος. διαμαρτάνουσι μὲν τοῦ ἀνδρὸς φάσκοντες αὐτὸν τὰς μὲν ἐπιφορὰς ἄριστα σοφιστῶν μεταχειρίσασθαι, τὰς δὲ ἀπολογίας ἧττον. ἐλέγχει γὰρ τὸν λόγον

3. ἀπόλυ. R. ἀπόλλυ r. 4. αὐτῷ. π, m. ib. βαρὺς. 2. ib. πονηρὸς διδάσκαλος. 1. διδάσκαλος πονηρός. 2, 3, E. 7. πρὸς τὸ om. β, 2, 3, e, m; in p est a sec. m. 10. ἀκροᾶσθαι. R. ib. τῷ ὄγκῳ. p in mg. ib. δὲ καὶ. β. καὶ. ς. 11. δεδάνιστο. r. ib. ἦν αὐτῷ. pe. 12. ἠπείλει τὸ μειράκιον τύπους. π. τούτους. g. ὑπείλει. e. ib. χρήματα. R. ib. ἀγορᾶς om. pe. ἀγορᾶς ἐρήμην, interp. nota ante posita. E. 13. τῶν οἰκείων om. β, 2, 3, E. in p est a sec. m. ib. ἀναιδῆ. 2, 3, e, m. 14. αὐτὸ. R, r, μ, p, π. αὐτῷ. k. αὐτὸν. ς. 15. καὶ παροξύνει om. μ. 18. ἐπισχὼν. π. ib. εἶπεν. r. Οὔαρ' εἶπε. v. ἔφη. h. ib. πολλ' αἰτίαις. v. 19. ἐπ' om. f, ve. 20. ἀξία om. π. ib. ἀρχαῖα αὐτὸν. R. ib. καίτοι πλεῖστα γὰρ. R. 21. τῶν ἀσκητῶν. R. τῶν ἐν ἀσκήσει om. μ, ve. 22. ὑπὲρ τῆς ψυχῆς. r. ὑπὲρ ψυχῆς. ς. ib. ψυχῆς θάνατον. R. 23. ἀλάντας. μ, h, p, π. ib. μενίδας. r. ib. καὶ εὐτελῆ. v, pe. 25. Φαβουρῖνος. r. Φαβορῖνος. R. 26. διακόπτων. R, β, h. 27. τὴν om. h. ib. Σμύρναν τραγωδίας Ὀλυμπίοις. R. 28. καὶ γᾶ. f. ὦ γᾶ. 2, 3, E. 29. ἐσολύκισεν. r. ἐσολοίκισεν. f. ἐσολοίκισε. E. ib. ἀπέχρη. e, m.

31. τυρὸν ἔχουσα. v, e. ib. Ὀλυμπιακὴ. r, f, k, β. Ὀλυμπικὴ. ς. 32. ἐπιπρέποι. R. ἐπιτρέπει. β. ib. αὐτὴ. h. 33. μὲν τοῦ. C, E. Fo: μέντοι τοῦ. 34. σοφιστῶν r et p ex corr. σοφῶν. ς. ib. ἐλέγχει δὲ. h.

1, 25, §. 8. p. 541. 542. = 30. 31. 32.

τοῦτον ὡς οὐκ ἀληθῆ καὶ ἡ δεῖνα μὲν καὶ ἡ δεῖνα τῶν ὑποθέσεων, ἐν αἷς ἀπολογεῖται, μάλιστα δὲ ὁ Δημοσθένης ὁ τὰ πεντήκοντα τάλαντα ἐξημνύμενος. ἀπολογίαν γὰρ οὕτω χαλεπὴν διαθέμενος ἤρκεσε τῷ λόγῳ ξὺν περιβολῇ καὶ τέχνῃ. τὴν αὐτὴν ὁρῶ διαμαρτίαν καὶ περὶ τοὺς ἡγουμένους αὐτὸν ἐκφέρεσθαι τῶν ἐσχηματισμένων ὑποθέσεων εἰργόμενον τοῦ δρόμου, καθάπερ ἐν δυσχωρίᾳ ἵππον, παραιτούμενόν τε αὐτάς, τὰς Ὁμηρείους γνώμας εἰπεῖν

„ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ."

ταῦτα γὰρ ἴσως ἔλεγεν αἰνιττόμενος καὶ παραθηλῶν τὸ δύστροπον τῶν τοιούτων ὑποθέσεων, ἄριστα δὲ κἀκεῖνα ἠγωνίσατο, ὡς δηλοῦσιν ὅ τε μοιχὸς ὁ ἐγκεκαλυμμένος καὶ ὁ Ξενοφῶν ὁ ἀξιῶν ἀποθνήσκειν ἐπὶ Σωκράτει καὶ ὁ Σόλων ὁ αἰτῶν ἀπαλείφειν τοὺς νόμους λαβόντος τὴν φρουρὰν τοῦ Πεισιστράτου καὶ οἱ Δημοσθένεις ὁ μετὰ Χαιρώνειαν προσάγων ἑαυτὸν καὶ ὁ δοκῶν θανάτου ἑαυτῷ τιμᾶσθαι ἐπὶ τοῖς Ἁρπαλείοις καὶ ὁ ξυμβουλεύων ἐπὶ τῶν τριηρῶν φεύγειν ἐπιόντος μὲν 543
Φιλίππου, νόμον δὲ Αἰσχίνου κεκυρωκότος ἀποθνήσκειν τὸν πολέμου μνημονεύσαντα. ἐν γὰρ ταύταις μάλιστα τῶν ὑπ' αὐτοῦ κατὰ σχῆμα προηγμένων ἡνία τε ἐμβέβληται τῷ λόγῳ καὶ τὸ ἑαμφότερον αἱ διάνοιαι σώζουσιν.

Ἰατροῖς δὲ θαμὰ ὑποκείμενος λιθιώντων αὐτῷ τῶν ἄρθρων παρεκελεύετο αὐτοῖς ὀρύττειν καὶ XI
τέμνειν τὰς Πολέμωνος λιθοτομίας. Ἡρώδῃ δὲ ἐπιστέλλων ὑπὲρ τῆς νόσου ταύτης ὧδε ἐπέστειλεν· „δεῖ ἐσθίειν, χεῖρας οὐκ ἔχω· δεῖ βαδίζειν, πόδες οὐκ εἰσί μοι· δεῖ ἀλγεῖν, τότε καὶ πόδες εἰσί μοι καὶ χεῖρες."

Ἐτελεύτα μὲν περὶ τὰ ἓξ καὶ πεντήκοντα ἔτη, τὸ δὲ μέτρον τῆς ἡλικίας τοῦτο ταῖς μὲν ἄλλαις ἐπιστήμαις γήρως ἀρχή, σοφιστῇ δὲ νεότης ἔτι, γηράσκουσα γὰρ ἥδε ἡ ἐπιστήμη σοφίαν ἀκτύνει. τάφος δὲ αὐτῷ κατὰ τὴν Σμύρναν οὐδείς, εἰ καὶ πλείους λέγονται· οἱ μὲν γὰρ ἐν τῷ κήπῳ τοῦ τῆς Ἀρετῆς ἱεροῦ ταφῆναι αὐτόν, οἱ δὲ οὐ πόρρω τούτου ἐπὶ θαλάττῃ, νεὼς δέ τίς ἐστι βραχὺς καὶ ἄγαλμα ἐν αὐτῷ Πολέμωνος ἐσταλμένον, ὡς ἐπὶ τῆς τριήρους ὠργίαζεν, ὑφ' ᾧ κεῖσθαι τὸν ἄνδρα, οἱ δὲ ἐν τῇ τῆς οἰκίας αὐλῇ ὑπὸ τοῖς χαλκοῖς ἀνδριᾶσιν. ἔστι δὲ οὐδὲν τούτων ἀληθές, εἰ γὰρ ἐτελεύτα κατὰ τὴν Σμύρναν, οὐδενὸς ἂν τῶν θαυμασίων παρ' αὐτοῖς ἱερῶν ἀπηξιώθη τὸ μὴ οὐκ ἐν αὐτῷ κεῖσθαι. ἀλλ' ἐκεῖνα ἀληθέστερα, κεῖσθαι μὲν αὐτὸν ἐν τῇ Λαοδικείᾳ παρὰ τὰς Συρίας πύλας, οὗ δὴ καὶ τῶν προγόνων αὐτοῦ θῆκαι, ταφῆναι δὲ αὐτὸν ζῶντα ἔτι, τουτὶ γὰρ καὶ τοῖς φιλτάτοις ἐπισκῆψαι, κείμενόν τε ἐν τῷ σήματι παρακελεύεσθαι τοῖς συγκλείουσι τὸν 544
τάφον „ἔπαγε, ἔπαγε, μὴ γὰρ ἴδοι με σιωπῶντα ἥλιος." πρὸς δὲ τοὺς οἰκείους ὀλοφυρομένους αὐτὸν ἀνεβόησε· „δότε μοι σῶμα καὶ μελετήσομαι."

1. ἡ δεῖνα καὶ ἡ. R. καὶ ἡ δεῖνα μὲν om. β. 2. αὐτῷ χαλεπὴν. k. 4. δισχωρίᾳ. β. δυσχωρίῳ. R. 5. ἵππον. e, m. 7. κεύθῃ r, β. κεύθει ς. ib. δὲ βάζῃ. o. 9. κακείνους. h. ib. ἐγκεκαλυμμένος. C, E. ἐκκεκαλυμμένος. Heyse. ib. καὶ ὁ Ξενοφῶν. l et p ex corr. o. om 2, 3, e, m. ib. Ξενοφῶν ἀξιῶν. R. 11. οἱ Δημοσθένεις. v, ox, π. ὁ Δημοσθένεις. ὁ Δημοσθένης p. pr. m. οἱ Δημοσθένει. k. οἱ Θεσμοθέται. R, r, f et k in mg. β. et p ex corr. οἱ θεσμοθέται. sic suprascr. corr. ρ. ὁ Δημοσθένης. μ, h, g, E. ib. εἰς ὁ. r, f, ρ, k, β. εἰς. R. οἷς ὁ. p ex corr ὁ. 2, 3, E. Fo: τρεῖς, ὁ. ib Χερωνίαν γε. r. Χαιρώνειάν τε. 2, 3, E. ib. προάγων. β. 12. ἑαυτῷ. π, g. ἑαυτὸν. ς. ib. καὶ ὁ δοκῶν. R, r, f, k, et p ex corr. καὶ δοκῶν. β, 2, 3, E. ib. Ἁρπαλίοις. R, r, β. 13. νόμῳ. 2. ib. κεκυφοκότος. R. κεκυρωκὼς. o. ib. τῶν πολέμου. r. 14. κατασχῆμα. r. ib. προσηγμένων. r. προηγουμένων. R, k. ib. τῶν λόγων. β.
17. Ἡρώδης δὲ. e. ib. ὑπὸ τῆς. R. ib. ἐπέστειλεν. r, f. 18. πόδες. β, 2, p. πόδε. l, π, g. πόδ' ve. 20. παρὰ τὰ. r, f. πάντα. R. περὶ τὰ. β, k, 2, 3, E. 21. ἐπιστίμαις. r. ib. ἄρχει. k. 22. αὐτῷ. β. αὐτοῦ. ς. ib. πλείστους. R. 23. τοῦτον. g. 25. ἡ δὲ. π, g. 26. εἰ γὰρ. 1, 3. εἰ μὲν γὰρ. 2, E. ib. παρ' αὐτοῖς ἱερῶν. 1. ἱερῶν παρ' αὐτοῖς. 2, 3, E. (ἱερῶν. π, g.) ib. τῷ. R. οὐκ p in mg. 27. ἐκεῖνα. 1. ἐκεινά γε. 2, 3, E ib. τῇ om 2. ib. περὶ τὰς. r. 28. Συρίας πόλεις. R. ib. προγόνων αὐτοῦ. 1, 3. προγόνων. 2, E. 29. καὶ τοῖς φιλτάτοις. f, k. τοῖς φιλτάτοις. ς. ib. σώματι. k, h. 30. ἔπαγε semel. h. ἄπαγε. π, g. ib. ὁ ἥλιος. 2. 31. μελετήσομαι. R. μεταβήσομαι. μ. μετεμβλήσομαι. V. apud Σ. μετεμβήσομαι. ς.

1, 25. §. 11. p. 543. 544. = 52. 54. 54.

Μέχρι Πολέμωνος τὰ Πολέμωνος, οἱ γὰρ ἐπ' αὐτῷ γενόμενοι ξυγγενεῖς μέν, οὐ μὴν οἷοι πρὸς τὴν ἐκείνου ἀρετὴν ἐξετάζεσθαι, πλὴν ἑνὸς ἀνδρός, περὶ οὗ μικρὸν ὕστερον λέξω.

κς'. Μηδὲ Σεκούνδου τοῦ Ἀθηναίου ἀμνημονῶμεν, ὃν ἐκάλουν ἐπίουρόν τινες ὡς τέκτονος παῖδα. Σεκοῦνδος τοίνυν ὁ σοφιστὴς γνῶναι μὲν περιττός, ἑρμηνεῦσαι δὲ ἀπέριττος, Ἡρώδην δὲ ἐκπαιδεύσας ἐς διαφορὰν αὐτῷ ἀφίκετο παιδεύοντι ἤδη, ὅθεν ὁ Ἡρώδης διετώθαζεν αὐτὸν ἐκεῖνο ἐπιλέγων·

„καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ ῥήτορι τέκτων,"

ἀλλ' ἀποθανόντι καὶ λόγον ἐπεφθέγξατο καὶ δάκρυα ἐπέδωκε καίτοι γηραιῷ τελευτήσαντι.

545 *Μνήμης δὲ ἄξια τοῦ ἀνδρὸς τούτου καὶ πλείω μέν, μάλιστα δὲ ἥδε ἡ ὑπόθεσις· „ὁ ἄρξας στάσεως ἀποθνησκέτω καὶ ὁ παύσας στάσιν ἐχέτω δωρεάν· ὁ αὐτὸς καὶ ἄρξας καὶ παύσας αἰτεῖ τὴν δωρεάν." τήνδε τὴν ὑπόθεσιν ὧδε ἐβραχυλόγησεν· „οὐκοῦν" ἔφη „τί πρότερον; τὸ κινῆσαι στάσιν. τί δεύτερον; τὸ παῦσαι. δοὺς οὖν τὴν ἐφ' οἷς ἠδίκεις τιμωρίαν, τὴν ἐφ' οἷς εὖ πεποίηκας δωρεάν, εἰ δύνασαι, λάβε." τοιόσδε μὲν ὁ ἀνὴρ οὗτος, τέθαπται δὲ πρὸς τῇ Ἐλευσῖνι ἐν δεξιᾷ τῆς Μεγαράδε ὁδοῦ.*

Β'.

α'. Περὶ δὲ Ἡρώδου τοῦ Ἀθηναίου τάδε χρὴ εἰδέναι· ὁ σοφιστὴς Ἡρώδης ἐτέλει μὲν ἐκ
546 *πατέρων ἐς τυὺς δισυπάτους, ἀνέφερε δὲ ἐς τὸν τῶν Αἰακιδῶν, οὓς ξυμμάχους ποτὲ ἡ Ἑλλὰς ἐπὶ τὸν Πέρσην ἐποιεῖτο, ἀπηξίου δὲ οὐδὲ τὸν Μιλτιάδην, οὐδὲ τὸν Κίμωνα, ὡς ἄνδρε ἀρίστω καὶ πολλοῦ*
547 *ἀξίω Ἀθηναίοις τε καὶ τοῖς ἄλλοις Ἕλλησι περὶ τὰ Μηδικά, ὁ μὲν γὰρ ἦρξε τροπαίων Μηδικῶν, ὁ δὲ ἀπῄτησε δίκας τοὺς βαρβάρους ὧν μετὰ ταῦτα ὕβρισαν.*

Ἄριστα δὲ ἀνθρώπων πλούτῳ ἐχρήσατο. τουτὶ δὲ μὴ τῶν εὐμεταχειρίστων ἡγώμεθα, ἀλλὰ τῶν παγχαλέπων τε καὶ δυσκόλων, οἱ γὰρ πλούτῳ μεθύοντες ὕβριν τοῖς ἀνθρώποις ἐπαντλοῦσιν. προσδιαβάλλουσι δὲ ὡς καὶ τυφλὸν τὸν πλοῦτον, ὃς εἰ καὶ τὸν ἄλλον χρόνον ἐδόκει τυφλός, ἀλλ' ἐπὶ Ἡρώδου ἀνέβλεψεν, ἔβλεψε μὲν γὰρ ἐς φίλους, ἔβλεψε δὲ ἐς πόλεις, ἔβλεψε δὲ ἐς ἔθνη, πάντων περιωπὴν ἔχοντος τοῦ ἀνδρὸς καὶ θησαυρίζοντος τὸν πλοῦτον ἐν ταῖς τῶν μετεχόντων αὐτοῦ

1. *μέχρι Πολέμωνος.* 1, 2. *μέχρι δὲ Πολέμωνος.* 3, E. 2. *μικρὸν ὕστερον λέξω.* 1. *ὕστερον λέξω μικρὸν.* 2, 3, E. 3. *μνημονῶμεν.* β. ib. *ἐπίουρον.* o. ex *Σ. ἐπωνομάζετο δὲ ἐπίουρος ὡς υἱὸς τέκτονος. ἐπίθυρον* C, e. m. *τινὲς ἐπίθυρον.* 2. 5. *ὁ Ἡρώδης.* R, r, f, ve. *Ἡρώδης.* ς. 6. *ἐπιλέγων.* 1, ve. *λέγων.* 2, 3, pe, E. 7. *τέκτονι τέκτων.* π, g, e, m. *ῥήτωρι τέκτων.* r. 8. *ἀπέδωκε.* R, β.

9. *μὲν* om. R. ib. *δὲ* om. β. ib. *ἥδε* om. R. 10. *ὁ αὐτὸς — δωρεὰν* om. β. ib. *αὐτὸς ἄρξας* om. *καὶ.* f, k, v, h. 11. *τήνδε τὴν.* r. *τὴν δὲ.* ς. 12. *διὰ οὖν.* R. ib. *τὴν* om. *οὖν.* k. ib. *τὴν* om. E. ib. *ἠδίκηκας.* π, g. 13. *πεποίηκεν.* e et m. γρ. ib. *λάμβανε χάριν.* π, g. ib. *οὗτος* om. R. 14. *ἐν δεξιᾷ* om. 2, 3, e, m. *εὐδοξιᾷ* (sic) p. sec. m.

Inscriptio est in R, r, ρ. *σοφιστῶν* β.

15. *περὶ τοῦ σοφιστοῦ Ἡρώδου.* ρ, k. *περὶ δὲ σοφιστοῦ Ἡρώδου.* f. 16. *δυσυπάτους.* R, e. ib. *ἐς τὸν.* 1 et p ex corr. *ἐς τὸ.* β. *ἐς τὰ.* 2, 3, E. 17. *ἄνδρες.* β. ib. *καὶ* om. f. 18. *ὁ μὲν — τροπαίων* om. f.

20. *ἡγούμεθα.* ox. *ἡγώμεθα* om. E. 21. *παγχαλέπων.* 1. *πάνυ χαλεπωτάτων.* 2. *πάνυ χαλεπῶν.* 3, E. 22. *δὲ ὡς τυφλὸν.* R. *δὲ καὶ ὡς τυφλὸν.* 2. ib. *ἐδόκει χρόνον.* R. 23. *Ἡρώδου.* 1. *Ἡρώδου γε.* β, 2, 3, E. ib. *δὲ.* r. ib. *εἰς ἔθνη.* f. 24. *τὸν* om. f.

γνώμαις. ἔλεγε γὰρ δή, ὡς προσήκοι τὸν ὀρθῶς πλούτῳ χρώμενον τοῖς μὲν δεομένοις ἐπαρκεῖν, ἵνα μὴ δέωνται, τοῖς δὲ μὴ δεομένοις, ἵνα μὴ δεηθῶσιν, ἐκάλει τε τὸν μὲν ἀσύμβολον πλοῦτον καὶ φειδοῖ κεκολασμένον νεκρὸν πλοῦτον, τοὺς δὲ θησαυρούς, ἐς οὓς ἀποτίθενται τὰ χρήματα ἔνιοι, πλούτου δεσμωτήρια, τοὺς δὲ καὶ θύειν ἀξιοῦντας ἀποθέτοις χρήμασιν Ἀλωάδας ἐπωνόμαζε θύοντας Ἄρει μετὰ τὸ δῆσαι αὐτόν.

Πηγαὶ δὲ αὐτῷ τοῦ πλούτου πολλαὶ μὲν κἀκ πολλῶν οἴκων, μέγισται δὲ ἥ τε πατρῴα καὶ ἡ μητρόθεν. ὁ μὲν γὰρ πάππος αὐτοῦ Ἵππαρχος ἐδημεύθη τὴν οὐσίαν ἐπὶ τυραννικαῖς αἰτίαις, ἃς Ἀθηναῖοι μὲν οὐκ ἐπῆγον, ὁ δὲ αὐτοκράτωρ οὐκ ἠγνόησεν, Ἀττικὸν δὲ τὸν μὲν ἐκείνου παῖδα, Ἡρώδου δὲ πατέρα οὐ περιεῖδεν ἡ τύχη πένητα ἐκ πλουσίου γενόμενον, ἀλλ' ἀνέδειξεν αὐτῷ θησαυροῦ χρῆμα ἀμύθητον ἐν μιᾷ τῶν οἰκιῶν, ἃς πρὸς τῷ θεάτρῳ ἐκέκτητο, οὗ διὰ μέγεθος εὐλαβὴς μᾶλλον ἢ περιχαρὴς γενόμενος ἔγραψε πρὸς τὸν αὐτοκράτορα ἐπιστολὴν ὧδε ξυγκειμένην· „θησαυρόν, ὦ βασιλεῦ, ἐπὶ τῆς ἐμαυτοῦ οἰκίας εὕρηκα· τί οὖν περὶ αὐτοῦ κελεύεις;" καὶ ὁ αὐτοκράτωρ, Νερούας δὲ ἦρχε τότε, „χρῶ" ἔφη „οἷς εὕρηκας." τοῦ δὲ Ἀττικοῦ ἐπὶ τῆς αὐτῆς εὐλαβείας μείναντος καὶ γράψαντος ὑπὲρ ἑαυτὸν εἶναι τὰ τοῦ θησαυροῦ μέτρα „καὶ παραχρῶ" ἔφη „τῷ ἑρμαίῳ, σὸν γάρ ἐστιν." ἐντεῦθεν μέγας μὲν ὁ Ἀττικός, μείζων δὲ ὁ Ἡρώδης, πρὸς γὰρ τῷ πατρῴῳ πλούτῳ καὶ ὁ μητρῷος αὐτῷ πλοῦτος οὐ παρὰ πολὺ τούτου ἐπερρύη.

Μεγαλοψυχία δὲ λαμπρὰ καὶ περὶ τὸν Ἀττικὸν τοῦτον· ἦρχε μὲν γὰρ τῶν κατὰ τὴν Ἀσίαν ἐλευθέρων πόλεων ὁ Ἡρώδης, ἰδὼν δὲ τὴν Τρῳάδα βαλανείων τε πονήρως ἔχουσαν καὶ γεώδες ὕδωρ ἐκ φρεάτων ἀνιμῶντας ὀμβρίων τε ὑδάτων θήκας ὀρύττοντας ἐπέστειλεν Ἀδριανῷ αὐτοκράτορι μὴ περιιδεῖν πόλιν ἀρχαίαν καὶ εὐθάλαττον αὐχμῷ φθαρεῖσαν, ἀλλ' ἐπιδοῦναί σφισι τριακοσίας μυριάδας ἐς ὕδωρ, ὧν πολλαπλασίους ἤδη καὶ κώμαις ἐπιδεδώκοι. ἐπήνεσεν ὁ αὐτοκράτωρ τὰ ἐπεσταλμένα ὡς πρὸς τρόπου ἑαυτῷ ὄντα καὶ τὸν Ἡρώδην αὐτὸν ἐπέταξε τῷ ὕδατι. ἐπεὶ δὲ ἐς ἑπτακοσίας μυριάδας ἡ δαπάνη προὔβαινεν ἐπέστελλόν τε τῷ αὐτοκράτορι οἱ τὴν Ἀσίαν ἐπιτροπεύοντες, ὡς δεινὸν πεντακοσίων πόλεων φόρον ἐς μιᾶς πόλεως δαπανᾶσθαι κρήνην, ἐμέμψατο πρὸς τὸν Ἀττικὸν ὁ αὐτοκράτωρ ταῦτα. καὶ ὁ Ἀττικὸς μεγαλοφρονέστατα ἀνθρώπων „ὦ βασιλεῦ", εἶπεν „ὑπὲρ μικρῶν μὴ παροξύνου, τὸ γὰρ ὑπὲρ τὰς τριακοσίας μυριάδας ἀναλωθὲν ἐγὼ μὲν τῷ υἱῷ ἐπιδίδωμι, ὁ δὲ υἱὸς τῇ πόλει ἐπιδίδωσι." καὶ αἱ διαθῆκαι δέ, ἐν αἷς τῷ Ἀθηναίων δήμῳ κατέλειπε καθ' ἕκαστον ἔτος μυᾶν καθ' ἕνα, μεγαλοφροσύνην κατηγοροῦσι τοῦ ἀνδρός, ᾗ καὶ ἐς τὰ ἄλλα ἐχρῆτο, ἑκατὸν μὲν βοῦς τῇ θεῷ θύων ἐν ἡμέρᾳ μιᾷ πολλάκις, ἑστιῶν δὲ τῇ θυσίᾳ τὸν Ἀθηναίων δῆμον κατὰ φυλὰς καὶ γένη, ὁπότε δὲ ἥκοι Διονύσια καὶ κατίοι ἐς Ἀκαδημίαν τὸ τοῦ

1. ἔλεγεν. f. ἔλεγε δὲ ὡς. 2. ib. προσήκει. Arsen. ed. W. 283. ib. τὸν – χρώμενον. R, 3. τῶν – χρώμενον. r. τῶν – χρωμένων. f. τῷ – χρωμένῳ. 2, E. 2. μὴ om. f. ib. δεηθῶσιν. sic sine acc. r. ib. ἐκάλει δὲ. μ, π, g, Arsen. ib. ἀσύμβολον. ρ, k, β, et p ex corr. o, Arsen. Val. ἀσύμβουλον. R, r, 2, π, g, e, m. 4. δὲ πλούτῳ. R. ib. Ἀλλωάδας. r. ib. ἐπωνόμαζεν. r, f.

6. αὐτοῦ. R. 7. αὐτοῦ om. v. ib. Ἵπαρχος. ox, h. 8. τὸν μὲν r, f, k et p ex corr. τὸν. R, β, 2, 3, e. τοῦ. m, o. ib. ἐκείνα. R. 10. ἐκεχρητο. μ (sic). 11. εὐλαβηθεὶς. μ. ib. ἔγραψεν. f. 13. Νέρβας. R, r, β. Νερούσας. e. ib. τότε ἦρχε. R. ib. εὕρηκας. μ. εὕρες. ς. 15. καὶ om. r. 16. ὁ Ἡρώδης. β, k, 2, g. Ἡρῴδης. ς. ib. αὐτοῦ. k. αὐτῷ πλοῦτος om. R, β. 17. τούτους. β.

18. περὶ. r, f, ρ, k, β, o. παρὰ. R, 2, 3, e, m. 19. πονήρως. h. πονηρῶς. E. 20. ἀνειμῶντας. r. ib. αὐτοκράτορι. 1. τῷ αὐτοκράτορι. 2, 3, E. 21. περιιδεῖν. 1, o. ὑπεριδεῖν. 2, 3, e, m. ib. ἀθάλαττον. f. 22. πολλαπλασίους. 1. πολλὰ. 2. πολλαπλασίας. β, 3, E. ib. ἐπιδεδώκοι. r, f, ρ, k. ἐπιδεδώκει. R, β, 3, E. ἐπεδεδώκει. 2. ib. ἐπήνευσεν. β. 23. ἐσταλμένα. R. ib. πρὸς τρόπον. h, g. ib. ἀπέταξε. 3. 24. ἐπέστελον. E. ib. τὴν Ἀσίαν. r. ρ. τῆς Ἀσίας. ς. 25. ἐπέμψατο. f. 27. τὰς μυριάδας. R. 28. καὶ ἐπιδίδωμι. β. ib. πόλει ἐπιδίδωσι. R. r, f, ρ, k. πόλει. β, 2, 3, E. ib. τῷ Ἀθηναίων. r, f, ρ, k, β. τῶν Ἀθηναίων. R. τῷ τῶν Ἀθηναίων. 2, 3, E. 29. κατέλιπε. r. κατέλιπεν. f. κατέλιπε. ς. 30. θεῶν τῇ θυσίᾳ. β. ib. τῶν Ἀθηναίων. h, π.

II, 1, §. 2. p. 548. 549. = 55. 56. 57.

Διονύσου ἕδος, ἐν Κεραμεικῷ ποτίζων ἀστοὺς ὁμοίως καὶ ξένους κατακειμένους ἐπὶ στιβάδων κιττοῦ.

IV Ἐπεὶ δὲ τῶν τοῦ Ἀττικοῦ διαθηκῶν ἐπεμνήσθην, ἀνάγκη καὶ τὰς αἰτίας ἀναγράψαι, δι' ἃς προσέκρουσεν Ἡρώδης Ἀθηναίοις· εἶχον μὲν γὰρ αἱ διαθῆκαι, ὡς εἶπον, ἔγραψε δὲ αὐτὰς ξυμβουλίᾳ τιῶν ἀμφ' ἑαυτὸν ἀπελευθέρων, οἳ χαλεπὴν ὁρῶντες τὴν Ἡρώδου φύσιν ἀπελευθέροις τε καὶ δούλοις ἀποστροφὴν ἐποιοῦντο τοῦ Ἀθηναίων δήμου, ὡς τῆς δωρεᾶς αὐτοὶ αἴτιοι. καὶ ὁποῖα μὲν τῶν ἀπελευθέρων τὰ πρὸς τὸν Ἡρώδην, δηλούτω ἡ κατηγορία, ἣν πεποίηται σφῶν πὰν κέντρον ἠρμένος τῆς ἑαυτοῦ γλώττης. ἀναγνωσθεισῶν δὲ τῶν διαθηκῶν ξυνέβησαν οἱ Ἀθηναῖοι πρὸς τὸν Ἡρώδην πέντε μνᾶς αὐτὸν ἑξάπαξ ἑκάστῳ καταβάλλοντα πρίασθαι παρ' αὐτῶν τὸ μὴ ἀεὶ διδόναι· ἀλλ' ἐπεὶ προσῆεσαν μὲν ταῖς τραπέζαις ὑπὲρ τῶν ὡμολογημένων, ἐπανεγιγνώσκετο δὲ αὐτοῖς ξυμβόλαια πατέρων τε καὶ πάππων ὡς ὀφειλόντων τοῖς Ἡρώδου γονεῦσιν ἀντιλογισμοίς τε ὑπήγοντο καὶ οἱ μὲν μικρὰ ἠριθμοῦντο, οἱ δὲ οὐδέν, οἱ δὲ συνείχοντο ἐπ' ἀγορᾶς ὡς ἀποδώσοντες, παρώξυνε ταῦτα τοὺς Ἀθηναίους ὡς ἡρπασμένους τὴν δωρεὰν καὶ οὐκ ἐπαύσαντο μισοῦντες, οὐδὲ ὁπότε τὰ μέγιστα εὐεργετεῖν ᾤετο. τὸ οὖν στάδιον ἔφασαν ἐπωνομάσθαι Παναθηναικόν, κατεσκευάσθαι γὰρ αὐτὸ ἐξ ὧν ἀπεστεροῦντο Ἀθηναῖοι πάντες.

V Καὶ μὴν καὶ ἐλειτούργησεν Ἀθηναίοις τήν τε ἐπώνυμον καὶ τὴν τῶν Πανελληνίων, στεφανωθεὶς δὲ καὶ τὴν τῶν Παναθηναίων „καὶ ὑμᾶς", εἶπεν „ὦ Ἀθηναῖοι, καὶ τῶν Ἑλλήνων τοὺς ἥξοντας καὶ τῶν ἀθλητῶν τοὺς ἀγωνιουμένους ὑποδέξομαι στα:δίῳ λίθου λευκοῦ." καὶ εἰπὼν ταῦτα τὸ στάδιον τὸ ὑπὲρ τὸν Ἰλισσὸν ἐσω τεττάρων ἐτῶν ἀπετέλεσεν ἔργον ξυνθεὶς ὑπὲρ πάντα τὰ θαύματα, οὐδὲν γὰρ θέατρον αὐτῷ ἁμιλλᾶται. κἀκεῖνα περὶ τῶν Παναθηναίων τούτων ἤκουον· πέπλον μὲν ἀνῆφθαι τῆς νεὼς ηδίῳ γραφῆς ξὺν οὐρίῳ τῷ κόλπῳ, δραμεῖν δὲ τὴν ναῦν οὐχ ὑποζυγίων ἀγόντων, ἀλλ' ὑπογείοις μηχαναῖς ἐπολισθάνουσαν, ἐκ Κεραμεικοῦ δὲ ἄρασαν χιλίᾳ κώπῃ ἀφεῖναι ἐπὶ τὸ Ἐλευσίνιον καὶ περιβαλοῦσαν αὐτὸ παραμεῖψαι τὸ Πελασγικὸν κομιζομένην τε παρὰ τὸ Πύθιον ἐλθεῖν, οἳ νῦν ὥρμισται. τὸ δὲ ἐπὶ θάτερα τοῦ σταδίου νεὼς ἐπέχει Τύχης καὶ ἄγαλμα ἐλεφάντινον ὡς κυβερνώσης πάντα. μετεκόσμησε δὲ καὶ τοὺς Ἀθηναίων ἐφήβους ἐς τὸ νῦν σχῆμα χλαμύδας πρῶτος ἀμφιέσας λευκάς, τέως γὰρ δὴ μελαίνας ἐνημμένοι τὰς ἐκκλησίας περιεκάθηντο καὶ τὰς πομπὰς ἔπεμπον πενθούντων δημοσίᾳ τῶν Ἀθηναίων τὸν κήρυκα τὸν Κοπρέα, ὃν αὐτοὶ ἀπέκτειναν τοὺς Ἡρακλείδας τοῦ βωμοῦ ἀποσπῶντα. ἀνέθηκε δὲ Ἡρώδης Ἀθηναίοις καὶ τὸ ἐπὶ Ῥηγίλλῃ θέατρον κέδρου ξυνθεὶς τὸν ὄροφον, ἡ δὲ ὕλη καὶ ἐν ἀγαλματοποιίαις σπουδαία· δύο μὲν δὴ ταῦτα Ἀθήνησιν, ἃ οὐχ ἑτέρωθι τῆς ὑπὸ Ῥωμαίοις, ἀξιούσθω δὲ λόγου καὶ τὸ ὑπωρόφιον θέατρον.

1. ἕδος. R. ib. Κεραμικῷ. h, g. ib. αὐτοὺς. R. ib. ὁμοίως. g.
3. ἐπεμνήσθην διαθηκῶν. R. ib. τῶν om. R. 4. τοῖς Ἀθηναίοις. μ. ib. ἔγραψει. f. ib. ξυμβουλείᾳ. f. 5. ἀμφ' αὐτὸν. β. 6. ἐπιστροφὴν. β, π, g et ox. in mg: ἄλλως ἐπιστροφήν. ib. Ἀθηναίου. β. 7. τὰ ἀπελευθέρων. R. ib. δηλοῦτο. r. ib. παρὰ κέντρον. R. 8. ἠρμένος. R, k, o. ἠρμένον r, f, β, ν, μ, 3, e, m. ἀρμένον. ρ. ἠρμένοι. h. 9. αὐτὸν. R, r, et p ex corr. αὐτὸν om. β. αὐτῶν. ς. ib. ἐσάπαξ om. o. ib. καταβάλλοντα. R, r, f. καταβαλόντα. ς. ib. πριᾶσθαι. r. περίασθαι. e. ib. παρ' αὐτὸν. r. 11. τε om. R, β. 12. οὐδὲν συνείχοντο. β. ib. ὡς ἀποδώσοντες. 1 ὡς καὶ ἀποδώσοντες. 2, p, π, E. ὡς καὶ ἀποδιδόντες. g. 13. παρώξυνε ταῦτα. R, r, f, k. ταῦτα παρώξυνε. β, 2, 3, E. 15. ἀποστεροῦντο. ν. ἐξ οὗ αὐτὸ ἀπεστεροῦντο. π. ἐξ ὧν αὐτοὶ πάντες ἀπεστεροῦντο. g.
16. ἐλειτούργησεν Ἀθηναίοις. 1, o. ἐλειτούργησαν Ἀθηναῖοι. 2, 3, e, m. ib. Πανελλήνων. ν. corr. in mg 17. καὶ om. o 18. λίθου λευκοῦ. 1. λευκοῦ λίθου. 2, 3, E. 19. ἀπετέλεσεν. R, r, f, k et p ex corr. ἐπετέλεσεν. p. pr. m. ἐπετέλεσε. β, 2, φ, π, g, E. ib. θαύματα. 1. θαυμάσια. 2, 3, E. 21. ἰδίῳ γραφῆς. f, k. ib. ξὺν. β. σὺν. E. ib. ὑποζυγίων ὁραμόντων. π. 22. ὑπολισθάνουσαν. R, r, f, k. ὑπολισθαίνουσαν. β. ἐπολισθαίνουσαν. 2, 3. E. ib. Κεραμικοῦ. r. ib. τε. 1. δὲ. 2, 3, E. ib. χιλίῳ. k. ib. ἐπὶ τὸν. μ, h. 23. περιβαλοῦσαν. r. παραβαλοῦσαν. R. ib. κομιζόμενον. ox. ib. τὸν. π. 24. οὗ. g. 25. πάντα. 2, 3, E. πάντας. 1. ib. μετεκόμισε. 1. ib. καὶ om. β. ib. Ἀθηναίων. r, f, k, β, π, g. Ἀθηναίους. R, 2, p, E. ib. χλαμίδας. β. 26. πρῶτον. m, o. ib. ἀμφιάσας. 2. ib. γὰρ μὴ. π. δὴ om. β. ib. παρεκάθηντο. R. 27. τὸν κήρυκα om. R. 28. ἀποσπῶντας. e, m. ib. Ῥιγίλλῃ. R, g. 29. καὶ om. ν. 30. ἃ. 1 et p ex corr. οἷα. 2, 3, E. ib. τοῖς ὑπὸ. 2. π. g. ib. δὲ om. β. ib. ὑπορόφιον. R, r. ὑπορρόφιον. k. ὑπερόφιον. h.

II, 1, §. 4, 5. p. 550. 551. = 57. 58.

ὃ ἐδείματο Κορινθίοις, παρὰ πολὺ μὲν τοῦ Ἀθήνησιν, ἐν ὀλίγοις δὲ τῶν παρ' ἄλλοις ἐπαινουμένων, καὶ τὰ Ἰσθμοῖ ἀγάλματα ὅ τε τοῦ Ἰσθμίου κολοσσὸς καὶ ὁ τῆς Ἀμφιτρίτης καὶ τὰ ἄλλα, ὧν τὸ ἱερὸν ἐνέπλησεν, οὐδὲ τὸν τοῦ Μελικέρτου παρελθὼν δελφῖνα. ἀνέθηκε δὲ καὶ τῷ Πυθίῳ τὸ Πυθοῖ στάδιον καὶ τῷ Διὶ τὸ ἐν τῇ Ὀλυμπίᾳ ὕδωρ, Θετταλοῖς τε καὶ τοῖς περὶ Μηλιακὸν κόλπον Ἕλλησι τὰς ἐν Θερμοπύλαις κολυμβήθρας τοῖς νοσοῦσι παιωνίους. ὤκισε δὲ καὶ τὸ ἐν τῇ Ἠπείρῳ Ὠρικὸν ὑποδεδωκὸς ἤδη καὶ τὸ ἐν τῇ Ἰταλίᾳ Κανύσιον ἡμερώσας ὕδατι μάλα τούτου δεόμενον, ὤνησε δὲ καὶ τὰς ἐν Εὐβοίᾳ καὶ Πελοποννήσῳ καὶ Βοιωτίᾳ πόλεις ἄλλο ἄλλην. καὶ τοσοῦτος VI ὢν ἐν μεγαλουργίᾳ μέγα οὐδὲν εἰργάσθαι ᾤετο, ἐπεὶ μὴ τὸν Ἰσθμὸν ἔτεμεν, λαμπρὸν ἡγούμενος ἤπειρον ἀποτεμεῖν καὶ πελάγη ξυνάψαι διττὰ καὶ περίπλουν σταδίων ἓξ καὶ εἴκοσι θαλάττης ξυνελεῖν μήκη. καὶ τούτου ἦρα μέν, οὐκ ἐθάρρει δὲ αὐτὸ αἰτεῖν ἐκ βασιλέως, ὡς μὴ διαβληθείη διανοίας δοκῶν ἅπτεσθαι, ᾗ μηδὲ Νέρων ἤρκεσεν. ἐξελάλησε δὲ αὐτὸ ὧδε· ὡς γὰρ ἐγὼ Κτησιδήμου τοῦ Ἀθηναίου ἤκουον, ἤλαυνε μὲν τὴν ἐπὶ Κορίνθου ὁ Ἡρώδης ξυγκαθημένου τοῦ Κτησιδήμου, γενόμενος δὲ κατὰ τὸν Ἰσθμὸν „Πόσειδον", εἶπεν „βούλομαι μέν, ξυγχωρήσει δὲ οὐδείς." θαυμάσας οὖν ὁ Κτησίδημος τὸ εἰρημένον ἤρετο αὐτὸν τὴν αἰτίαν τοῦ λόγου. καὶ ὁ Ἡρώδης „ἐγὼ" ἔφη „πολὺν χρόνον ἀγωνίζομαι σημεῖον ὑπολείπεσθαι τοῖς μετ' ἐμὲ ἀνθρώποις διανοίας δηλούσης ἄνδρα καὶ οὔπω δοκῶ μοι τῆς δόξης ταύτης τυγχάνειν." ὁ μὲν δὴ Κτησίδημος ἐπαίνους διῄει τῶν τε λόγων αὐτοῦ καὶ τῶν ἔργων ὡς οὐκ ἐχόντων ὑπερβολὴν ἑτέρῳ, ὁ δὲ Ἡρώδης „φθαρτὰ" ἔφη „λέγεις ταῦτα, καὶ γάρ ἐστι χρόνῳ ἁλωτά, καὶ τοὺς λόγους ἡμῶν τοιχωρυχοῦσιν ἕτεροι ὁ μὲν τὸ μεμφόμενος, ὁ δὲ τό, ἡ δὲ τοῦ Ἰσθμοῦ τομὴ ἔργον ἀθάνατον καὶ ἀπιστούμενον τῇ φύσει, δοκεῖ γάρ μοι τὸ ῥῆξαι τὸν Ἰσθμὸν Ποσειδῶνος δεῖσθαι ἢ ἀνδρός."

Οὗ ἐκάλουν οἱ πολλοὶ Ἡρώδου Ἡρακλέα, νεανίας οὗτος ἦν ἐν ὑπήνῃ πρώτῃ Κελτῷ μεγάλῳ VII ἴσος καὶ ἐς ὀκτὼ πόδας τὸ μέγεθος. διαγράφει δὲ αὐτὸν ὁ Ἡρώδης ἐν μιᾷ τῶν πρὸς τὸν Ἰουλιανὸν ἐπιστολῶν, κομᾶν τε ξυμμέτρως καὶ τῶν ὀφρύων λασίως ἔχειν. ἃς καὶ ξυμβάλλειν ἀλλήλαις οἷον μίαν, χαροπήν τε ἀκτῖνα ἐκ τῶν ὀμμάτων ἐκδίδοσθαι παρεχομένην τι ὁρμῆς ἦθος καὶ γρυπὸν εἶναι καὶ εὐτραφῶς ἔχοντα τοῦ αὐχένος, τοντὶ δὲ ἐκ πόνων ἥκειν αὐτῷ μᾶλλον ἢ σίτου. εἶναι δὲ

1. τῶν Ἀθήνησιν. v. ib. παρ' ἄλλων. 2. 2. καὶ τὰ — Ἕλλησι om. R, β. ib. Ἰσθμοῦ. 2. ib. τὰ τῶν ἄλλων. 2, 3, E. 3. δὲ om. h 4. ἐν τῇ Ὀλυμπίᾳ. 1. ἐν Ὀλυμπίᾳ. 2, 3, E. ib. δὲ καὶ. 2. ib. Μηλιακὸν. r, f, ρ et p ex corr Μιλακὸν. k. Μηλιέα. π, g. Μηλίδα. 2, E. 5. ἀνέθηκε δὲ τὰς. β. ἀνεθηκε δὲ καὶ τὰς. R. ib. κολυμβίθρας. r. ib. παιωνίους. r, β. παιωνίοις. f. παιωνίοις. R, k. παιωνείους. 2, 3, E. (παιωνείας. h.) ib. ὤκισε. R, r. f, β et p ex corr. ὤκεισε. ρ, k. 6. ἤδη καὶ ἕτερα πολλά. καὶ τοσοῦτος. β, R (ubi ἕτερα πολλὰ). ib. ὤκισε δὲ καὶ τὸ ἐν τῇ Ἰταλίᾳ Κανύσιον — δεόμενον, ὤκισε δὲ καὶ τὰς ἐν Εὐβοίᾳ — πόλεις ἄλλοθι ἄλλην. ὤκισε δὲ καὶ τὸ — Ὠρικὸν ὑποδεδωκὸς ἤδη, καὶ ἕτερα πολλὰ. 2, 3, E. ib. ὤκησε. h ubique. 7. ὤνησε. 1. in p verba δὲ καὶ τὸ ἐν τῇ Ἠπείρῳ — πολλὰ del. corr. ib. ἄλλο ἄλλην. 1. ἄλλοθι ἄλλην. 2, 3, E. 8. ἐν om. 2, 3, E. ib. Ἰθμὸν. r. 9. περίπλουν. 1. περίπλους. 2, 3, E. Fo: ἑς περίπλουν. σταδίων ἓξ εἴκοσι σταδίων. r, f et p ex corr. ita ut alterum καὶ σταδίων in mg. sit. σταδίων ἓξ εἴκοσι. ρ. σταδίων ἓξ καὶ εἴκοσι. k σταδίων κ καὶ ῆ σταδίων. R. σταδίων ν̃ κ̃ σταδίων. β. σταδίων ἑξακισχιλίων καὶ εἴκοσι. 2, 3, E. 10. μήκει. r, β, 2, 3, e, m. ib. αὐτὸ αἰτεῖν. 1, 2. αἰτεῖν αὐτὸ 3, E. ib. ὡς μὴ. β, 2, 3, E. μὴ. R, r, f, k. 11. ἐξελάλυσε. e. ib. αὐτῷ. π. ib. ὡς γὰρ — ἤκουον om. R. ib. ὡς γὰρ. r, f. ὥσπερ R, k, β, 3, o. (ὥσπερ. g.) ἅπερ. 2, e, m. 12. τοῦ om. E. ib. Κορίνθου. r et p ex corr. Κορίνθον. f, ρ, k. Κόρινθον β, 2, 3, E. ib. ξυγκαθημένου δὲ ἐπὶ τοῦ Ἰσθμοῦ, γενόμενος δὲ. π. 13. εἶπεν. r. 14. αὐτὸν. R, r, f, k et p a sec. m. αὐτόν om. β, 2, 3, E. 15. πολὺν χρόνον. 1. πολὺν ἤδη χρόνον. 2, 3, E. ib. ὑπολείπεσθαι. r. ὑπολιπέσθαι. ς. 16. δοκῶ. 1, o, B. δοκεῖ. 2, 3, e, m. ib. τυγχάνον. β. ib. ἐπαίνους. 1 et p ex corr. o. ἐν ἐπαίνῳ. 2, 3, e, m. 17. τε om. R. ib. ἑτέρων. R. 18. λέγει. r. λέγειν. 2. λέγεις, ταῦτα e. ib. ἐστι μὲν. g.

21. ὃν. C, E jungunt cum superioribus. Fo: ὃν δὲ. ib. οὗτος om. 2, 3, e, m. 22. πρὸς. 1 et p ex eras. πρὸς τὸν. 2, 3, E. 23. κωμᾶν. r. ξυμμέτρως. β. ib. ἃς. r, f, et p ex corr. ὡς. ς. ib. ξυμβαλεῖν. 1. ξυμβάλλειν. 2. 3, E. 24. τε ὁρμῆς. k, 2. τῆς ὁρμῆς. g. τι ὁρμῆς. e, m. ib. γρυπὸς. 2. 25. μᾶλλον ἢ σίτου. 2. ἢ σίτου. 1. 3, E.

II, 1. §. 6. 7. p. 552. = 58. 59.

αὐτῷ καὶ στέρνα εὐπαγῆ καὶ ξὺν ὥρᾳ κατεσκληκότα, καὶ κνήμην μικρὸν ἐς τὰ ἔξω κυρτουμένην
553 καὶ παρέχουσαν τῇ βάσει τὸ εὖ βεβηκέναι. ἐνῆφθαι δὲ αὐτὸν καὶ δορὰς λύκων, ῥαπτὸν ἔσθημα, ἄθλους τε ποιεῖσθαι τοὺς ἀγρίους τῶν συῶν καὶ τοὺς θῶας καὶ τοὺς λύκους καὶ τῶν ταύρων τοὺς ὑβρίζοντας, καὶ ὠτειλὰς δὲ δεικνύναι τούτων τῶν ἀγώνων. γενέσθαι δὲ τὸν Ἡρακλέα τοῦτον οἱ μὲν γηγενῆ φασιν ἐν τῷ Βοιωτίῳ Δηλίῳ, Ἡρώδης δὲ ἀκοῦσαι λέγοντός φησιν, ὡς μήτηρ μὲν αὐτῷ γένοιτο γυνὴ [βουκόλος] οὕτω τι ἐπερρωμένη, ὡς βουκολεῖν, πατὴρ δὲ Μαραθών, οὗ τὸ ἐν Μαραθῶνι ἄγαλμα, ἔστι δὲ ἥρως γεωργός. ἤρετό τε τὸν Ἡρακλέα τοῦτον ὁ Ἡρώδης, εἰ καὶ ἀθάνατος εἴη, ὁ δὲ „θνητοῦ" ἔφη „μακροημερώτερος." ἤρετο αὐτὸν καὶ ὅ τι σιτοῖτο, ὁ δὲ „γαλακτοφαγῶ" ἔφη „τὸν πλείω τοῦ χρόνου καί με βόσκουσιν αἶγές τε καὶ ποιμένες τῶν τε βοῶν καὶ τῶν ἵππων αἱ τοκάδες, ἐκδίδοται δέ τι καὶ θηλῆς ὄνων γάλα εὔποτόν τε καὶ κοῦφον, ἐπειδὰν δὲ ἀλφίτοις προσβάλλω, δέκα σιτοῦμαι χοίνικας, καὶ ξυμφέρουσί μοι τὸν ἔρανον τοῦτον γεωργοὶ Μαραθώνιοί τε καὶ Βοιῶτιοι, οἵ με καὶ Ἀγαθίωνα ἐπονομάζουσιν, ἐπειδὴ καὶ εὐξύμβολος αὐτοῖς φαίνομαι." „τὴν δὲ δὴ γλῶτταν" ἔφη ὁ Ἡρώδης „πῶς ἐπαιδεύθης καὶ ὑπὸ τίνων; οὐ γάρ μοι τῶν ἀπαιδεύτων φαίνῃ." καὶ ὁ Ἀγαθίων „ἡ μεσογεία" ἔφη „τῆς Ἀττικῆς ἀγαθὸν διδασκαλεῖον ἀνδρὶ βουλομένῳ διαλέγεσθαι, οἱ μὲν γὰρ ἐν τῷ ἄστει Ἀθηναῖοι μισθοῦ δεχόμενοι Θρᾴκια καὶ Ποντικὰ μειράκια καὶ ἐξ ἄλλων ἐθνῶν βαρβάρων ξυνερρυηκότα παραφθείρονται παρ' αὐτῶν τὴν φωνὴν μᾶλλον ἢ ξυμβάλλονταί τι αὐτοῖς ἐς εὐγλωττίαν, ἡ μεσογεία δὲ ἄμικτος βαρβάροις οὖσα ὑγιαίνει αὐτοῖς ἡ φωνὴ καὶ ἡ γλῶττα τὴν ἄκραν Ἀτθίδα ἀποφάλλει." „πανηγύρει δὲ" ἦ δ' ὁ Ἡρώδης „παρέτυχες"; καὶ ὁ Ἀγαθίων „τῇ γε Πυθοῖ" ἔφη „οὐκ ἐπιμιγνὺς τῷ ὁμίλῳ, ἀλλ' ἐκ
554 περιωπῆς τοῦ Παρνασσοῦ ἀκούων τῶν τῆς μουσικῆς ἀγωνιστῶν, ὅτε Παμμένης ἐπὶ τραγῳδίᾳ ἐθαυμάσθη, καί μοι ἔδοξαν οἱ σοφοὶ Ἕλληνες οὐ χρηστὸν πρᾶγμα ἐργάζεσθαι τὰ τῶν Πελοπιδῶν καὶ τὰ τῶν Λαβδακιδῶν κακὰ ξὺν ἡδονῇ ἀκούοντες, ξύμβουλοι γὰρ σχετλίων ἔργων μῦθοι μὴ ἀπιστούμενοι." φιλοσοφοῦντα δὲ αὐτὸν ἰδὼν ὁ Ἡρώδης ἤρετο καὶ περὶ τῆς γυμνικῆς ἀγωνίας ὅπως γιγνώσκοι, καὶ ὃς „ἐκείνων" ἔφη „καταγελῶ μᾶλλον ὁρῶν τοὺς ἀνθρώπους διαγωνιζομένους ἀλλήλοις παγκράτιον καὶ πυγμὴν καὶ δρόμον καὶ πάλην καὶ στεφανουμένους ὑπὲρ τούτου· στεφανούσθω δὲ ὁ μὲν δρομικὸς ἀθλητὴς ἔλαφον παρελθὼν ἢ ἵππον, ὁ δὲ τὰ βαρύτερα ἀσκῶν ταύρῳ συμπλακεὶς ἢ ἄρκτῳ, ὃ ἐγὼ ὁσημέραι πράττω μέγαν ἆθλον ἀφῃρημένης μοι τῆς τύχης, ἐπεὶ μηκέτι βόσκει λέοντας Ἀκαρνανία." ἀγασθεὶς οὖν ὁ Ἡρώδης ἐδεῖτο αὐτοῦ ξυσσιτῆσαί οἱ. καὶ ὁ

1. μικρὸν. l, p ex corr. B, o. μικρὰν. μ, v, 3, e, m. μακρὸν. h. 2. ἀνῆφθαι. f, k. 3. ἄθλους ποιεῖσθαι. R. ib. καὶ λύκους. μ. 5. Βοιωτίῳ Δηλίῳ. R, r, β, ϱ a pr. m. p a sec. Βοιωτίῳ δήμῳ. f, ϱ a sec. . 2. 3. E Δηλίῳ om. k. ib. λέγοντα. β, 2, E. 6. γένοιτο om. f, k. ib. γυνὴ βουκόλος C, E. Delendum videtur βουκόλος. ib. οὕτω τοι. μ, v, p. ib. παρτὴρ. r. 7. τε om. 2, E. ib. ὁ Ἡρώδης. 1. Ἡρώδης. 2, 3, E. 8. μακροημερώτερος. r, f, ve, et p in mg. μακροημερώτατος. R, β. μακροημερώτατος. k. μακροβιώτερος. 2, 3, E. 9. τὸν πλείω. r, f. τὸ πλέον. ς. ib. χρόνου. r. 10. ἐκδίδοτο. 2, e, m ubi ἴσ. ἐξεδίδοτο. ib. ὄνων (ὀνῶν. k.) l. ὄνου. 2, 3. E. 11. προσβάλλω. R, v, h, ve. προσβάλω. ς. 12. καὶ M. καὶ B. R ib. οἶμαι καὶ. e, m. ib. εὐξύμβολος. v, p, E εὐξύμβουλος. ς. 13. καὶ om. e, m. 14. φαίνῃ om. ox. ib. ἔφανη. R. ib. μεσογεία. R, β, h. μεσόγεια. g, ve. E. ib. διδασκάλιον. l, ve. 15. ἀνδρὶ ἀγαθῷ βουλομένῳ. h. ib. εἰ μὲν γὰρ ἴσως, ultima vox in mg. μ. ib. γὰρ om. h, e, m. in p est suprascr. 16. τά τε ἄλλων καὶ τὰ τῶν βαρβάρων. π. ib. καξ. β. E. ib. ἐξερρυηκότα. f, ϱ, k. in ϱ. mg. habet συν. 17. μᾶλλον τὴν φωνὴν. h. ib. μεσογεία. R. β. μεσόγεια. r, f, k, 3. μεσόγειος. 2, E. 18. αὐτοῖς om. π. ib. ἄκραν καθαρὰν. g. ib. ἀποφάλλει. R, r, f, k et p ex corr. ὑποφάλλει. β, 2, 3, E. 19. Παθοῖ. R. 20. Παρνασοῦ. β, μ, h, π. g, e. Παρνάσου. r, f, p, m. Παρνάσσου. o. ib. ἀκουόντων. R. ib. ὅτι. 2. 21. ἐργάσασθαι. f, ϱ, k. 22. τὰ τῶν Λαβδ. r, f. k. Λαβδ. om. articulis. R, β. τῶν Λαβδ. ς. ib. Λαυδακιδῶν. ox. g. Λαοδακιδῶν p. ante corr. Λαυδακινῶν. π. ib. ξύμβουλος. k. ib. μῦθος – ἀπιστούμενος. k. 23. δὲ om. 2, 3, e, m. ib. θεασάμενος. R. 24. γιγνώσκοιτο. R. ib. ἐκεῖνον. R. ib. ὁρῶ. r. 25. καὶ πάλην καὶ δρόμον. 2. ib. δρόμους. R 27. ἢ ἐγὼ. v, ox. ἢ ἐγὼ. μ, h ib. ὡσημέραι. g. ὁσημέρα. β. ib. αὐτῷ τῆς τύχης. Θ. s. v. ἀφαιρῶ. 28. μὴ βόσκει. π. ib. Ἀκαρρανία. R. ἡ Ἀκαρνανία. 2. ib. ξυσσιτίσαι οἱ. p ex corr. pro ξυσσητίσαι. ib. καὶ ὁ Ἀγαθίων „αὔριον" ἔφη. 1. αὔριον ἔφη ὁ Ἀγ. 2, 3, e. αὔριον ἴφη Ἀγ. m, o.

II, 1. §. 7. p. 553. 554 = 59. 60. 61

Ἀγαθίων „αὔριον“ ἔφη „ἀφίξομαί σοι κατὰ μεσημβρίαν ἐς τὸ τοῦ Κανώβου ἱερόν, ἔστω δέ σοι κρατὴρ ὁ μέγιστος τῶν ἐν τῷ ἱερῷ γάλακτος πλέως, ὃ μὴ γυνὴ ἤμελξεν.“ καὶ ἀφίκετο μὲν ἐς τὴν ὑστεραίαν καθ' ὃν ὡμολόγησε καιρόν, τὴν δὲ ῥῖνα ἐρείσας ἐς τὸν κρατῆρα „οὐ καθαρόν“ ἔφη „τὸ γάλα, προσβάλλει γάρ με χεὶρ γυναικός.“ καὶ εἰπὼν ταῦτα ἀπῆλθε μὴ ἐπισπασάμενος τοῦ γάλακτος. ἐπιστήσας οὖν ὁ Ἡρώδης τῷ περὶ τῆς γυναικὸς λόγῳ ἔπεμψεν ἐς τὰ ἐπαύλια τοὺς ἐπισκεψομένους τἀληθές, καὶ μαθὼν αὐτὸ οὕτως ἔχον ξυνῆκεν, ὡς δαιμονία φύσις εἴη περὶ τὸν ἄνδρα.

Οἱ δὲ ποιούμενοι κατηγορίαν τῶν Ἡρώδου χειρῶν ὡς ἐπενεχθεισῶν Ἀντωνίνῳ ἐν τῇ Ἴδῃ τῷ ὄρει κατὰ χρόνους, οὓς ὁ μὲν τῶν ἐλευθέρων πόλεων, ὁ δὲ πασῶν τῶν κατὰ τὴν Ἀσίαν ἦρχον, ἠγνοηκέναι μοι δοκοῦσι τὸν Δημοστράτου πρὸς τὸν Ἡρώδην ἀγῶνα, ἐν ᾧ πλεῖστα διαβάλλων αὐτὸν οὐδαμοῦ τῆς παροινίας ταύτης ἐπεμνήσθη, ἐπεὶ μηδὲ ἐγένετο. ὠθισμὸς μὲν γάρ τις αὐτοῖς ξυνέπεσεν, ὡς ἐν δυσχωρίᾳ καὶ στενοῖς, αἱ δὲ χεῖρες αὐτῶν οὐδὲν παρηνόμησαν, ὥστε οὐκ ἂν παρῆκεν ὁ Δημόστρατος διελθεῖν αὐτὰ ἐν τῇ πρὸς τὸν Ἡρώδην δίκῃ πικρῶς οὕτω καθαψάμενος τοῦ ἀνδρός, ὡς διαβάλλειν αὐτοῦ καὶ τὰ ἐπαινούμενα.

Ἦλθεν ἐπὶ τὸν Ἡρώδην καὶ φόνου δίκη ὧδε ξυντεθεῖσα· κύειν μὲν αὐτῷ τὴν γυναῖκα Ῥήγιλλαν ὀγδοῦ που μῆνα, τὸν δὲ Ἡρώδην οὐχ ὑπὲρ μεγάλων Ἀλκιμέδοντι ἀπελευθέρῳ προστάξαι τυπτῆσαι αὐτήν, πληγεῖσαν δὲ ἐς τὴν γαστέρα τὴν γυναῖκα ἀποθανεῖν ἐν ὠμῷ τῷ τόκῳ. ἐπὶ τούτοις ὡς ἀληθέσι γράφεται αὐτὸν τοῦ φόνου Βραδούας ὁ τῆς Ῥηγίλλης ἀδελφὸς εὐδοκιμώτατος ὢν ἐν ὑπάτοις καὶ τὸ ξύμβολον τῆς εὐγενείας περιηρτημένος τῷ ὑποδήματι, τοῦτο δέ ἐστιν ἐπισφύριον ἐλεφάντινον μηνοειδές, καὶ παρελθὼν ἐς τὸ Ῥωμαίων βουλευτήριον πιθανὸν μὲν οὐδὲν διῆει περὶ τῆς αἰτίας, ἣν ἐπῆγεν, ἑαυτοῦ δὲ ἔπαινον ἐμακρηγόρει περὶ τοῦ γένους, ὅθεν ἐπισκώπτων αὐτὸν ὁ Ἡρώδης „σὺ“ ἔφη „τὴν εὐγένειαν ἐν τοῖς ἀστραγάλοις ἔχεις.“ μεγαλαυχουμένου δὲ τοῦ κατηγόρου καὶ ἐπ' εὐεργεσίᾳ μιᾶς τῶν ἐν Ἰταλίᾳ πόλεων μάλα γενναίως ὁ Ἡρώδης „κἀγὼ“ ἔφη „πολλὰ τοιαῦτα περὶ ἐμαυτοῦ διῆειν ἄν, εἰ ἐν ἁπάσῃ τῇ γῇ ἐκρινόμην.“ ξυνήρατο δὲ αὐτῷ τῆς ἀπολογίας πρῶτον μὲν τὸ μηδὲν προστάξαι τοιοῦτον ἐπὶ τὴν Ῥήγιλλαν, ἔπειτα τὸ ὑπερπενθῆσαι ἀποθανοῦσαν. διεβάλλετο μὲν γὰρ καὶ ταῦτα ὡς πλάσμα, ἀλλ' ὅμως τἀληθὲς ἴσχυεν, οὐ γάρ ποτε οὔτ' ἂν θέατρον αὐτῇ ἀναθεῖναι τοιοῦτον, οὔτ' ἂν δευτέραν κλήρωσιν τῆς ὑπάτου ἀρχῆς ἐπ' αὐτῇ ἀναβαλέσθαι μὴ καθαρῶς ἔχοντα τῆς αἰτίας, οὔτ' ἂν τὸν κόσμον αὐτῆς ἐς τὸ ἐν Ἐλευσῖνι ἱερὸν ἀναθεῖναι φέροντα φόνῳ μεμιασμένον, τουτὶ γὰρ τιμωροὺς τοῦ φόνου ποιοῦντος ἦν τὰς θεὰς μᾶλλον ἢ ξυγγνώμονας. ὁ δὲ καὶ τὸ σχῆμα τῆς οἰκίας ἐπ' αὐτῇ ὑπήλλαξε μελαίνων τὰ τῶν οἴκων ἄνθη παραπετάσμασι καὶ χρώμασι καὶ λίθῳ Λεσβίῳ — κατηφὴς δὲ ὁ λίθος καὶ μέλας — ὑπὲρ ὧν λέγεται καὶ Λούκιος ἀνὴρ σοφὸς ἐς ξυμβουλίαν τῷ Ἡρώδῃ καθιστάμενος, ὡς

VIII

555

556

1. Κανώβου. R. 5. ἀπιστήσας. m, o. Illic mg. γρ. ἐπιστήσας. ib. τῷ om. R. ib. λόγων. R. ib. ἔπεμψαν. g. ib. ἐπαύλια. k. αἰπόλια. ρ, β. αἰπολια. ς. 6. καὶ om. f. ib. αὐτῷ. k. ib. ἔχειν. 2.

8. ἐπενεχθησῶν. r. 9. κατὰ χρόνους — τῶν om. e, m. 10. Δημοκράτου. k, π. 11. οὐδαμοῦ. 1, π, g. οὐδαμῶς. 2, p, φ, E. ib. ὅτι μηδὲ. β. ib. μὲν om. f, h. 12. χεῖρες αὐτῶν. R, β. χεῖρες. ς. ib. παρηνόμησαν. R, r, f, β, v, h, p, π. παρενόμισαν. g. παρενόμησαν. E. 13. προσῆκεν. f, ρ, k. ib. τὸν om. R, β. ib. καψάμενος. r. 14. διαβάλλειν. R, β, f, ρ, k et p ex corr. 2. διαβάλλει. r. ἀλλ' ἐκβαλεῖν. π. ἐκβαλεῖν. g. διαβαλεῖν. E. ib. καὶ om. f. 15. ξυγκειμένη. R. 17. πληγεῖσαν δὲ om. g. τύψαι δὲ ejus loco. π. ib. τῷ om. f. 18. τοῦ φόνου. r, f, β. φόνου. ς. ib. Βραδόνας. 2. Βραδείας. e, m. Βραδύας. B. 19. ξύμβουλον. r, f. ib. τοῦτο δ'. k. τοῦτο τέ. m, o. 20. τῶν Ῥ. v, h. ib. Ῥώμαιον. r. ib. πιθανὸν. 1 et p ex corr. o. πιθανὰ. 2, 3, e, m. 21. ἐπισκώπτων. ρ, k, v, π, g. ἐπικόπτων. C (p ex corr.) et E. 24. ἐν πάσῃ. f. 25. πρᾶξαι τοιοῦτον. 2. ib. περὶ τὴν Ῥ. R. 26. καὶ ἀποθανοῦσαν. h. ib. πλάσματα. g. 27. αὐτῇ ἀναθ'. 1. ἀναθ. αὐτῇ. 2, 3, E. ἀναθῆναι. r, f. ib. τοιοῦτο. v, h. 28. ἐπ' αὐτῇ. 1. ἐν αὐτῇ. 2, 3, e et m ubi ſσ. ἐπ'. ib. ἀναβαλέσθαι. β, ox, p, π. ἀναβάλλεσθαι. ς. ib. ἔχοντι. 2, e, m. ib. ἐν om. h. 29. φόνῳ μεμιγμένον. π. ib. τιμωρὸς. R. ib. ἦν. f. ἦν om. E. 30. ξυγγνώμονας. r, f. 31. Λεσβίᾳ. ve. ib. κατηφὲς. R. 32. ξυμβουλείαν. r.

II, 1, §. 8. p. 555. 556. = 61. 62. 63.

IX οὐκ ἔπειθε μεταβαλεῖν αὐτὸν διασκῶψαι. ἄξιον δὲ μηδὲ τοῦτο παρελθεῖν λόγου παρὰ τοῖς σπουδαίοις ἀξιούμενον· ἦν μὲν γὰρ ἐν τοῖς φανεροῖς σπουδαῖος ὁ ἀνὴρ οὗτος, Μουσωνίῳ δὲ τῷ Τυρίῳ προσφιλοσοφήσας εὐσκόπως εἶχε τῶν ἀποκρίσεων καὶ τὸ ἐπίχαρι σὺν καιρῷ ἐπετήδευεν, ἐπιτηδειότατος δὲ ὢν τῷ Ἡρώδῃ παρῆν αὐτῷ πονήρως διατιθεμένῳ τὸ πένθος καὶ ἐνουθέτει
557 τοιαῦτα λέγων· „ὦ Ἡρώδη, πᾶν τὸ ἀποχρῶν μεσότητι ὥρισται, καὶ ὑπὲρ τούτου πολλὰ μὲν ἤκουσα Μουσωνίου διαλεγομένου, πολλὰ δὲ αὐτὸς διείλεγμαι, καὶ σοῦ δὲ ἠκροώμην ἐν Ὀλυμπίᾳ ἐπαινοῦντος αὐτὸ πρὸς τοὺς Ἕλληνας, ὅτε δὴ καὶ τοὺς ποταμοὺς ἐκέλευες μέσους τῆς ὄχθης ῥεῖν. ἀλλὰ μὴν νῦν ποῦ ταῦτα; σεαυτοῦ γὰρ ἐκπεσὼν ἄξια τοῦ πενθεῖσθαι πράττεις περὶ τῇ δόξῃ κινδυνεύων“ καὶ πλείω ἕτερα. ὡς δὲ οὐκ ἔπειθεν, ἀπῄει δυσχεράνας. ἰδὼν δὲ παῖδας ἐν κρήνῃ τινὶ
10 τῶν κατὰ τὴν οἰκίαν ῥαφανίδας πλύνοντας ἤρετο αὐτούς, ὅτου εἴη τὸ δεῖπνον, οἱ δὲ ἐφασαν Ἡρώδῃ εὐτρεπίζειν αὐτό. καὶ ὁ Λούκιος „ἀδικεῖ“ ἔφη „Ῥήγιλλαν Ἡρώδης λευκὰς ῥαφανίδας σιτούμενος ἐν μελαίνῃ οἰκίᾳ.“ ταῦτα ὡς ἤκουσεν εἰσαγγελθέντα ὁ Ἡρώδης ἀφεῖλε τὴν ἀχλὺν τῆς οἰκίας. ὡς μὴ ἄθυρμα γένοιτο ἀνδρῶν σπουδαίων. Λουκίου τούτου κἀκεῖνο θαυμάσιον· ἐσπούδαζε μὲν ὁ αὐτοκράτωρ Μάρκος περὶ Σέξτον τὸν ἐκ Βοιωτίας φιλόσοφον, θαμίζων αὐτῷ καὶ φοιτῶν ἐπὶ
15 θύρας, ἄρτι δὲ ἥκων ἐς τὴν Ῥώμην ὁ Λούκιος ἤρετο τὸν αὐτοκράτορα προιόντα, ποῖ βαδίζοι καὶ ἐφ' ὅ τι, καὶ ὁ Μάρκος „καλὸν“ ἔφη „καὶ γηράσκοντι τὸ μανθάνειν· εἶμι δὴ πρὸς Σέξτον τὸν φιλόσοφον μαθησόμενος, ἃ οὔπω οἶδα.“ καὶ ὁ Λούκιος ἐξάρας τὴν χεῖρα ἐς τὸν οὐρανὸν „ὦ Ζεῦ,“ ἔφη „ὁ Ῥωμαίων βασιλεὺς γηράσκων ἤδη δέλτον ἐξαψάμενος ἐς διδασκάλου φοιτᾷ, ὁ δὲ ἐμὸς βασιλεὺς Ἀλέξανδρος δύο καὶ τριάκοντα ἐτῶν ἀπέθανεν.“ ἀπόχρη καὶ τὰ εἰρημένα δεῖξαι τὴν
20 ἰδέαν, ἣν ἐφιλοσόφει Λούκιος, ἱκανὰ γάρ που ταῦτα δηλῶσαι τὸν ἄνδρα, καθάπερ τὸν ἀνθοσμίαν τὸ γεῦμα.

X Τὸ μὲν δὴ ἐπὶ Ῥηγίλλῃ πένθος ὧδε ἐσβέσθη, τὸ δὲ ἐπὶ Παναθηναίδι τῇ θυγατρὶ Ἀθηναίοι
558 ἐπράυναν ἐν ἄστει τε αὐτὴν θάψαντες καὶ ψηφισάμενοι τὴν ἡμέραν, ἐφ' ἧς ἀπέθανεν, ἐξαιρεῖν τοῦ ἔτους. ἀποθανούσης δὲ αὐτῷ καὶ τῆς ἄλλης θυγατρός, ἣν Ἐλπινίκην ὠνόμαζεν, ἔκειτο μὲν
25 ἐν τῷ δαπέδῳ τὴν γῆν παίων καὶ βοῶν „τί σοι, θύγατερ, καθαγίσω; τί σοι ξυνθάψω;“ παρατυχὼν δὲ αὐτῷ Σέξτος ὁ φιλόσοφος „μεγάλα“ ἔφη „τῇ θυγατρὶ δώσεις ἐγκρατῶς αὐτὴν πενθήσας.“ ἐπένθει δὲ ταῖς ὑπερβολαῖς ταύταις τὰς θυγατέρας, ἐπειδὴ Ἀττικὸν τὸν υἱὸν ἐν ὀργῇ εἶχεν. διεβέβλητο δὲ πρὸς αὐτὸν ὡς ἠλιθιώδη καὶ δυσγράμματον καὶ παχὺν τὴν μνήμην· τὰ γοῦν πρῶτα γράμματα παραλαβεῖν μὴ δυνηθέντος ἦλθεν ἐς ἐπίνοιαν τῷ Ἡρώδῃ ξυντρέφειν αὐτῷ
30 τέτταρας παῖδας καὶ εἴκοσιν ἰσήλικας ὠνομασμένους ἀπὸ τῶν γραμμάτων, ἵνα ἐν τοῖς τῶν παίδων

1. ἔπειθεν. r. ib. μὴ καὶ τοῦτο. R. μηδὲ om. τοῦτο. β 2. ἀξιούμενοι. e. ib. ἐν τοῖς φανεροῖς σπουδαῖοις. l. σπουδαῖος ἐν τοῖς φανεροῖς. 2, 3, E. ib. ἀνὴρ οὗτος. μ om. art. 3. προσφιλοσοφήσας. l. προσφοιτήσας. 2, 3, E. ib. εὐσκόπως R, r, β, p, π, E. εὐκόπῳ. f. k. εὐκόπως. 2. g. 4. τὸ πάθος. R. 7. μείσους. k. μέσους (sic). h 8. μὴν ὖν ποῦ r (sic). νῦν ποῦ. R, β, 2, 3, E. ποῦ νῦν. f, ρ, k. ib. ἑαυτοῦ. β. ib. περὶ τῇ. μ, p, π. παρὰ τῇ. R. περιττῇ. ς. ib. δόξα. p. δ. η. R (sic cum lac.). 9. κινδυνεύειν. μ. ib. ὡς οὐκ ἔπειθε δὲ. R. 10 σανίδας. R. 11. εὐπρεπίζειν. β. ib. ὁ Ἡρώδης. μ. ib. λευκὰς om g. 12. ἐσαγγελθέντα. R, r, β, π, g. ἐξαγγελθέντα. f, ρ, k. ἐπαγγελθέντα. ς. ib. ἀφεῖλεν. r. 13. Λουκίου καὶ τούτου. π. ib. μὲν om. R. 14. Σέξτον. R. ib. θαυμάζων. k. ib. ἐπὶ θύρας. r, f, ρ, k. ἐπὶ θύραις. R, β, 2, 3, E. Σ. s. v. Μάρκος. 15. πῇ. β. 16. καλὸν μὲν. f, ρ, k. ib. γηράσκοντα. p. Σ. ib. εἶμι δὲ. μ, h. ib. τὸν om. R. 17. ὦ Ἥλιε. Σ. 18. διδάσκαλον. h. ib. φοιτᾷ. R, r, f, ρ pr. m. β. Σ. φοιτᾷ ὥσπερ οἱ παῖδες. ρ sec. m. k, 2, 3, E. 20. εἰδέαν. r. ἰδέαν om. R. ib. ἱκαναὶ. R. ib. που ταῦτα. r. f, ρ, k, ς. ταυτί που. β, 2, 3, E. γὰρ που ταῦτα om. R.

22. ἐπὶ om. R. ib. ἐπὶ om. R 23. αὐτὴν om. R. ib. τὴν ἡμέραν om. R. ib. ἐξαίρειν. C, E. Scr. ἐξαιρεῖν. 24. Ἐπινείκην. r. 26. αὐτὸς. R. ib. μέγα. k. 28. εἶχεν. r, f. εἶχε. E. ib. κνήμην. μ. ib. τὰ γὰρ. R. 29 αὐτῷ Ἡρώδῃ. R. 30. εἴκοσι. r. εἰσήλικας p.

II, 1. §. 9, 10 p. 557. 558. = 61 64. 65

ὀνόμασι τὰ γράμματα ἐξ ἀνάγκης αὐτῷ μελετῷτο. ἑώρα δὲ αὐτὸν καὶ μεθυστικὸν καὶ ἀνοήτως ἐρῶντα, ὅθεν ζῶν μὲν ἐπεχρησμῴδει τῇ ἑαυτοῦ οὐσίᾳ ἐκεῖνο τὸ ἔπος·

„εἷς δ' ἔτι που μοῦνος καταλείπεται εὐρέι οἴκῳ,"

τελευτῶν δὲ τὰ μὲν μητρῷα αὐτῷ ἀπέδωκεν, ἐς ἑτέρους δὲ κληρονόμους τὸν ἑαυτοῦ οἶκον μετέστησεν. ἀλλ' Ἀθηναίοις ἀπάνθρωπα ἐδόκει ταῦτα οὐκ ἐνθυμουμένοις τὸν Ἀχιλλέα καὶ τὸν Πολυδεύκην καὶ τὸν Μέμνονα, οὓς ἴσα γνησίοις ἐπένθησε τροφίμους ὄντας, ἐπειδὴ καλοὶ μάλιστα καὶ ἀγαθοὶ ἦσαν γενναῖοί τε καὶ φιλομαθεῖς καὶ τῇ παρ' αὐτῷ τροφῇ πρέποντες. εἰκόνας γοῦν ἀνετίθει σφῶν θηρώντων καὶ τεθηρακότων καὶ θηρασόντων τὰς μὲν ἐν δρυμοῖς, τὰς δὲ ἐπ' ἀγροῖς, 559
τὰς δὲ πρὸς πηγαῖς, τὰς δὲ ὑπὸ σκιαῖς πλατάνων, οὐκ ἀφανῶς, ἀλλὰ ξὺν ἀραῖς τοῦ περικόψοντος ἢ κινήσοντος, οὓς οὐκ ἂν ἐπὶ τοσοῦτον ἦρεν, εἰ μὴ ἐπαίνων ἀξίους ἐγίγνωσκεν. Κυντιλίων δέ, ὁπότε ἦρχον τῆς Ἑλλάδος, αἰτιωμένων αὐτὸν ἐπὶ ταῖς τῶν μειρακίων τούτων εἰκόσιν ὡς περιττὰς „τί δὲ ὑμῖν" ἔφη „διενήνοχεν, εἰ ἐγὼ τοῖς ἐμοῖς ἐμπαίζω λιθαρίοις;"

Ἦρξε δὲ αὐτῷ τῆς πρὸς τοὺς Κυντιλίους διαφορᾶς, ὡς μὲν οἱ πολλοί φασι, Πυθικὴ πανήγυρις, ἐπειδὴ ἑτεροδόξως τῆς μουσικῆς ἠκροῶντο, ὡς δὲ ἔνιοι, τὰ παισθέντα περὶ αὐτῶν Ἡρώδῃ πρὸς Μάρκον· ὁρῶν γὰρ αὐτοὺς Τρῶας μέν, μεγάλων δὲ ἀξιουμένους παρὰ τοῦ βασιλέως „ἐγὼ" ἔφη „καὶ τὸν Δία μέμφομαι τὸν Ὁμηρικόν, ὅτι τοὺς Τρῶας φιλεῖ." ἡ δὲ ἀληθεστέρα αἰτία ἦδε· τῷ ἄνδρε τούτω, ὑπότε ἄμφω τῆς Ἑλλάδος ἠρχέτην, καλέσαντες ἐς τὴν ἐκκλησίαν Ἀθηναῖοι φωνὰς ἀφῆκαν τυραννουμένων πρὸς τὸν Ἡρώδην ἀποσημαίνοντες καὶ δεόμενοι ἐπὶ πᾶσιν ἐς τὰ βασίλεια ὦτα παραπεμφθῆναι τὰ εἰρημένα. τῶν δὲ Κυντιλίων παθόντων τι πρὸς τὸν δῆμον καὶ ξὺν ὁρμῇ ἀναπεμψάντων, ἃ ἤκουσαν, ἐπιβουλεύεσθαι παρ' αὐτῶν ὁ Ἡρώδης ἔφασκεν ὡς ἀναθολούντων ἐπ' αὐτὸν τοὺς Ἀθηναίους. μετ' ἐκείνην γὰρ τὴν ἐκκλησίαν Δημόστρατοι ἀνέφυσαν καὶ Πραξαγόραι καὶ Μαμερτῖνοι καὶ ἕτεροι πλείους ἐς τὸ ἀντίξοον τῷ Ἡρώδῃ πολιτεύοντες. γραψάμενος δὲ αὐτοὺς Ἡρώδης ὡς ἐπισυνιστάντας αὐτῷ τὸν δῆμον ἦγεν ἐπὶ τὴν ἡγεμονίαν, οἱ δὲ ὑπεξῆλθον 560
ἀφανῶς παρὰ τὸν αὐτοκράτορα Μάρκον, θαρροῦντες τῇ τε φύσει τοῦ βασιλέως δημοτικωτέρᾳ οὔσῃ καὶ τῷ καιρῷ· ὧν γὰρ ὑπώπτευσε Λούκιον κοινωνὸν αὐτῷ τῆς ἀρχῆς γενόμενον, οὐδὲ τὸν Ἡρώδην ἠφίει τοῦ μὴ οὐ ξυμμετέχειν αὐτῷ. ὁ μὲν δὴ αὐτοκράτωρ ἐκάθητο ἐς τὰ Παιόνια ἔθνη ὁρμητηρίῳ τῷ Σιρμίῳ χρώμενος, κατέλυον δὲ οἱ μὲν ἀμφὶ τὸν Δημόστρατον περὶ τὰ βασίλεια, παρέχοντος αὐτοῖς ἀγορὰν τοῦ Μάρκου καὶ θαμὰ ἐρωτῶντος, εἴ του δέοιντο. φιλανθρώπως δὲ πρὸς αὐτοὺς ἔχειν αὐτός τε ἑαυτὸν ἐπεπείκει καὶ τῇ γυναικὶ ἐπίστευτο καὶ τῷ θυγατρίῳ ψελλιζομένῳ ἔτι, τοῦτο γὰρ μάλιστα ξὺν πολλοῖς θωπεύμασι περιπῖπτον τοῖς γόνασι τοῦ πατρὸς ἐδεῖτο σῶσαί οἱ τοὺς Ἀθηναίους. ὁ δὲ Ἡρώδης ἐν προαστείῳ ἐσκήνου, ἐν ᾧ πύργοι ἐξῳκοδόμηντο καὶ

1. μελετῶτο om. cum lac. R. 2. ἔχοντα. R. ib. ἀπεχρησμῴδει. f. ὑπεχρησμῴδει. k. ib. οἰκία. 3. εἷς δέ τι που. C (om. R.), E. Scr. εἷς δ' ἔτι που. ib. εὐρέ . . . μητρῷα. R. 4. αὐτῷ ἀπέδωκεν. R (fuerat ἀπεδέδωκεν). ἀπέδωκεν. ζ. ib. κατέστησεν. f, ρ, k. 5. Πολυδεύκη. 1, 3. 6. καὶ ante τὸν M. om. R. ib. ἰσαγνησίους. r. ἴσα γνησίους. f. ib. ἐπειδὴ γάρ. k. 7. καὶ ἀγαθοὶ. r, f, k, β. καγαθοὶ. ζ. ib. παρ' αὐτοῦ. h. ib. εἰκόνα. R, r, f. ib. γ'οὖν. r. 8. ἐτίθει. f. ἀνετίθη. k. σοφῶν θηρώντων. 2. ib. θηρώντων τε. β. ib. τε καὶ. β, μ, h, ox, 3, E. ib. θηρασάντων. π. ib. ἐν om. R, r, f. ib. δὲ. r. δ'. E. 9. τὰς — πηγαῖς om. R. ib. ὑπὸ om. f. ib. ἀφανῶν. 2. 10. κινήσαντος g. ib. Κυντιλίων. 1. Κυντιλλίων. 2, 3, E. 12. ἐμπαίξω. 2.

13. ἦρχε. π. ib. τῆς om. R, r, f. ib. ὡς μὲν οἱ πολλοὶ 1, o. ὡς οἱ μὲν πολλοὶ. 2, 3, e, m. 14. μουσικῆς ἀγωνίας. π, g. ib. παισθέντα. R, r, f, k et p ex corr. παχθέντα. g. παιχθέντα. π. πραισθέντα et mg. ἄλλως πραιχθέντα. ox. πταισθέντα. β, μ, ν, h, φ, E. 15. ἀξιουμένους δὲ μεγάλων. R. 16. φιλεῖ. R, r, f, β. ἐφίλει. k, 2, 3, E. 18. βασίλεια. 1. βασιλέως. 2, 3, E. 19. Κυτιλίων. k. 20. ὁ om. h. 21. μετ' ἐκείνους. k, o. ib. τὴν ἐκκλησίαν. 1, 3. τὴν θάλατταν. 2 et φ ante corr. E. ib. ἀνέφυσαν. r, ρ, β. ἀνέφησαν. R, f, k. ἀνεφύησαν. 2 (ἐνεφύησαν h), 3, e, m. ἀνεφύσησαν. o. 22. πλείονες. R. ib. Μαμερτῖνοι καὶ Πραξαγόραι. R. 23. αὐτὸς Ἡρώδης. e, m. ib. καὶ ἐπανιστάντας. β. ib. ἐξῆλθον. R. 24. παρὰ. R, r, f, β. περὶ. k. πρὸς. 2, 3, E. ib. τε om. ν, h. 25. ὧν R, π, g. ὧν. r. ὧν. f. ὃν. β, 2, p, e, m. ὃς. o. ib. κοινὸν. m. 26. Παιώνια. r, p. 27. Δημόκρατον. π, g. 28. ἐρῶντος. π. ib. φιλανθρώπως τε. μ. 30. ξυμπολλοῖς. r. ib. θεραπεύμασι. μ. ib. τοῦ om. o. 31. ἐν τῷ. g.

ἡμιπύργια, καὶ δὴ ξυναπεδήμουν αὐτῷ καὶ δίδυμοι κόραι πρὸς ἀκμῇ γάμων θαυμαζόμεναι ἐπὶ τῷ εἴδει, ἃς ἐκνηπιώσας ὁ Ἡρώδης οἰνοχόους ἑαυτῷ καὶ ὀψοποιοὺς ἐπεποίητο θυγάτρια ἐπονομάζων καὶ ὧδε ἀσπαζόμενος — Ἀλκιμέδοντος μὲν δὴ αὗται θυγατέρες, ὁ δὲ Ἀλκιμέδων ἀπελεύθερος τοῦ Ἡρώδου — καθευδούσας δὲ αὐτὰς ἐν ἑνὶ τῶν πύργων, ὃς ἦν ἐχυρώτατος, σκηπτὸς ἐνεχθεὶς νύκτωρ ἀπέκτεινεν. ὑπὸ τούτου δὴ τοῦ πάθους ἔκφρων ὁ Ἡρώδης ἐγένετο καὶ παρῆλθεν ἐς τὸ βασι-
561 λειον δικαστήριον οὔτε ἔννους καὶ θανάτου ἐρῶν. παρελθὼν γὰρ καθίστατο ἐς διαβολὰς τοῦ αὐτοκράτορος οὐδὲ σχηματίσας τὸν λόγον, ὡς εἰκὸς ἦν ἄνδρα γεγυμνασμένον τῆς τοιᾶσδε ἰδέας μεταχειρίσασθαι τὴν ἑαυτοῦ χολήν, ἀλλ' ἀπηγκωνισμένῃ τῇ γλώττῃ καὶ γυμνῇ διετείνετο λέγων „ταῦτά μοι ἡ Λουκίου ξενία, ὃν σύ μοι ἔπεμψας· ὅθεν δικάζεις, γυναικί με καὶ τριετεῖ παιδίῳ καταχαριζόμενος." Βασσαίου δὲ τοῦ πεπιστευμένου τὸ ξίφος θάνατον αὐτῷ φήσαντος ὁ Ἡρώδης „ὦ λῷστε", ἔφη „γέρων ὀλίγα φοβεῖται." ὁ μὲν οὖν Ἡρώδης ἀπῆλθε τοῦ δικαστηρίου εἰπὼν ταῦτα καὶ μετέωρον καταλείψας πολὺ τοῦ ὕδατος. ἡμεῖς δὲ τῶν ἐπιδήλως τῷ Μάρκῳ φιλοσοφηθέντων καὶ τὰ περὶ τὴν δίκην ταύτην ἡγώμεθα· οὐ γὰρ ξυνήγαγε τὰς ὀφρῦς, οὐδὲ ἔτρεψε τὸ ὄμμα, ὃ κἂν διαιτητής τις ἔπαθεν, ἀλλ' ἐπιστρέψας ἑαυτὸν ἐς τοὺς Ἀθηναίους „ἀπολογεῖσθε", ἔφη, ὦ Ἀθηναῖοι, εἰ καὶ μὴ ξυγχωρεῖ Ἡρώδης." καὶ ἀκούων ἀπολογουμένων ἐπὶ πολλοῖς μὲν ἀφανῶς ἤλγησεν, ἀναγιγνωσκομένης δὲ αὐτῷ καὶ Ἀθηναίων ἐκκλησίας, ἐν ᾗ ἐφαίνοντο καθαπτόμενοι τοῦ Ἡρώδου, ὡς τοὺς ἄρχοντας τῆς Ἑλλάδος ὑποποιουμένου πολλῷ τῷ μέλιτι καί που καὶ βεβοηκότες „ὦ πικροῦ μέλιτος" καὶ πάλιν „μακάριοι οἱ ἐν τῷ λοιμῷ ἀποθνήσκοντες" οὕτως ἐσείσθη τὴν καρδίαν ὑφ' ὧν ἤκουσεν, ὡς ἐς δάκρυα φανερὰ ὑπαχθῆναι. τῆς δὲ τῶν Ἀθηναίων ἀπολογίας ἐχούσης κατηγορίαν τοῦ τε Ἡρώδου καὶ τῶν ἀπελευθέρων τὴν ὀργὴν ὁ Μάρκος ἐς τοὺς ἀπελευθέρους ἔτρεψε κολάσει χρησάμενος ὡς οἷόν τε ἐπιεικεῖ, οὕτω γὰρ αὐτὸς χαρακτηρίζει τὴν ἑαυτοῦ κρίσιν, μόνῳ δὲ Ἀλκιμέδοντι τὴν τιμωρίαν ἐπανῆκεν ἀποχρῶσαν εἶναί οἱ φήσας τὴν ἐπὶ τοῖς τέκνοις συμφοράν. ταῦτα μὲν δὴ ὧδε ἐφιλοσοφεῖτο τῷ Μάρκῳ.

XII
562 Ἐπιγράφουσι δὲ ἔνιοι καὶ φυγὴν οὐ φυγόντι καί φασιν αὐτὸν οἰκῆσαι τὸ ἐν τῇ Ἠπείρῳ Ὠρικόν, ὃ καὶ πολίσαι αὐτόν, ὡς εἴη δίαιτα ἐπιτηδεία τῷ σώματι. ὁ δὲ Ἡρώδης ᾤκησε μὲν τὸ χωρίον τοῦτο νοσήσας ἐν αὐτῷ καὶ θύσας ἐκβατήρια τῆς νόσου, φυγεῖν δὲ οὔτε προσετάχθη οὔτε ἔτλη. καὶ μάρτυρα τοῦ λόγου τούτου ποιήσομαι τὸν θεσπέσιον Μάρκον. μετὰ γὰρ τὰ ἐν τῇ Παιονίᾳ διῃτᾶτο μὲν ὁ Ἡρώδης ἐν τῇ Ἀττικῇ περὶ τοὺς φιλτάτους ἑαυτῷ δήμους Μαραθῶνα καὶ Κηφισίαν ἐξηρτημένης αὐτοῦ τῆς πανταχόθεν νεότητος, οἳ κατ' ἔρωτα τῶν ἐκείνου λόγων ἐφοίτων Ἀθήναζε, πεῖραν δὲ ποιούμενος, μὴ χαλεπὸς αὐτῷ εἴη διὰ τὰ ἐν τῷ δικαστηρίῳ πέμπει πρὸς αὐτὸν ἐπιστολὴν οὐκ ἀπολογίαν ἔχουσαν, ἀλλ' ἔγκλημα, θαυμάζειν γὰρ ἔφη, τοῦ χάριν οὐκέτι αὐτῷ ἐπιστέλλοι καίτοι τὸν πρὸ τοῦ χρόνου θαμὰ οὕτω γράφων, ὡς καὶ τρεῖς γραμματοφόρους ἀφικέσθαι

1. πρὸς ἀκμὴν γάμου. R. 2. νηπιώσας. g. 3. μὲν om. β. 4. ὀχυρώτατος. o. ib. ἐνεχθεὶς. r, f, ρ, k et p in mg. ἐμπεσὼν. R, β, 2, 3, E. κατενεχθεὶς. ve. 5. ὁ om. E. 6. γὰρ om. π, g. 7. τοιαύτης. R. 8. σχολὴν. R, β, 2, π, g, e et m in mg: πρ. γρ. σχολὴν. ib. γυμνὰ. 2. 9. γυναικὶ μὲν. v, h. 10. καταχειριζομενος. R, r. ib. Βασσίου. v. Βασίου. μ, b. Βασσέου. ς. 11. τοῦτο. β. 12. φιλοσοφισθέντων. k. φιλοσοφησθέντων. e. 13. περὶ τὴν. 1 et p (περιττὴν R). παρὰ τὴν. 2, 3, E. ib. ἔστρεψε. k, o. 14. ἐπιτρέψας. R. 15. ξυγχωρῇ. r. 16. Ἀθηναίων ἀπολογίας. o. ib. ἐφαίνετο. R. 17. τῷ om. E. ib. βεβοηκότος. p et g ante corr. e. βεβοκότος et mg. βεβοηκότος. ot. 18. ὦ μικροῦ. β. ὦ πικροῦ. C, o. ὦ πικροῦ. e, m. ib. λιμῷ. μ. λιμῶ π et g ubi οι suprascr. 20. ἀπολογίαν. β. 22. φύσιν. R. ib. ἐπαφῆκεν. R. ib. εἶναί οἱ. p. οἱ εἶναι. ς. ib. φήσας om. 2. 23. ὧδε. 1. ὧδε οὕτω. 2, 3, e. ὧδε οὕτως. m, o.

24. ἔνιοι om. 2, 3, e, m. in ρ habet mg. ib. φυγὴν Ἡρώδῃ. β. ib. οἰκίσαι. p. 25. πωλίσαι. r. ib. ἐπιτηδεία τῷ σώματι. 1. τῷ σώματι ἐπιτηδεία. 2, 3, E. ib. ᾤκησε. R, f, k, β, 2, π, e, m. ᾤκεισε. r. ᾤκισε. p, g, o. 26. χόριον. r. ib. φυγὴν. R, r, β. ib. οὔτ' ἔτλη. E. 27. τὴν ἐν τῇ. R. 28. περὶ. 1 et p ex corr. παρὰ. 2, 3, E. ib. αὐτῷ. π, g. 29. Κηφισίαν om. R. Κηφησίας. f. Κηφησίαν. ς. 30. τῷ om. μ, h, p a pr. m. π, e, m. 31. πῶς ἡ τοῦ χάριν οὐκέτι. R. ib. οὐκέτι. R, r, f. οὐκέτ'. ς. 32. ἐπιστέλλει. μ.

II. 1. §. 12. p. 561. 562. = 66. 67. 68.

ποτὲ παρ' αὐτὸν ἐν ἡμέρᾳ μιᾷ κατὰ πόδας ἀλλήλων. καὶ ὁ αὐτοκράτωρ διὰ πλειόνων μὲν καὶ ὑπὲρ πλειόνων, θαυμάσιον δὲ ἦθος ἐγκαταμίξας τοῖς γράμμασιν ἐπέστειλε πρὸς τὸν Ἡρώδην, ὧν ἐγὼ τὰ ξυντείνοντα ἐς τὸν παρόντα μοι λόγον ἐξελὼν τῆς ἐπιστολῆς δηλώσω· τὸ μὲν δὴ προοίμιον τῶν ἐπεσταλμένων „χαῖρέ μοι, φίλε Ἡρῴδη." διαλεχθεὶς δὲ ὑπὲρ τῶν τοῦ πολέμου χειμαδίων, ἐν οἷς ἦν τότε, καὶ τὴν γυναῖκα ὀλοφυράμενος ἄρτι αὐτῷ τεθνεῶσαν εἰπών τέ τι καὶ περὶ τῆς τοῦ σώματος ἀσθενείας ἐφεξῆς γράφει „σοὶ δὲ ὑγιαίνειν τε εὔχομαι καὶ περὶ ἐμοῦ ὡς εὖνου σοι διανοεῖσθαι, μηδὲ ἡγεῖσθαι ἀδικεῖσθαι, εἰ καταφωράσας τινὰς τῶν σῶν πλημμελοῦντας κολάσει ἐπ' αὐτοὺς ἐχρησάμην ὡς οἷόν τε ἐπιεικεῖ. διὰ μὲν δὴ ταῦτα μή μοι ὀργίζου, εἰ δέ τι λελύπηκά σε ἢ λυπῶ, ἀπαίτησον παρ' ἐμοῦ δίκας ἐν τῷ ἱερῷ τῆς ἐν ἄστει Ἀθηνᾶς ἐν μυστηρίοις. ἠὐξάμην γάρ, ὁπότε ὁ πόλεμος μάλιστα ἐφλέγμαινε, καὶ μυηθῆναι, εἴη δὲ καὶ σοῦ μυσταγωγοῦντος." τοιάδε ἡ ἀπολογία τοῦ Μάρκου καὶ οὕτω φιλάνθρωπος καὶ ἐρρωμένη. τίς ἂν οὖν ποτε ἢ ὃν φυγῇ περιέβαλεν οὕτω προσεῖπεν ἢ τὸν ἄξιον οὕτω προσειρῆσθαι φεύγειν προσέταξεν; 563

Ἔστι δέ τις λόγος, ὡς νεώτερα μὲν ὁ τὴν ἑῴαν ἐπιτροπεύων Κάσσιος ἐπὶ τὸν Μάρκον βουλεύοι, ὁ δὲ Ἡρώδης ἐπιπλήξειεν αὐτῷ δι' ἐπιστολῆς ὧδε ξυγκειμένης „Ἡρώδης Κασσίῳ· ἐμάνης." τήνδε τὴν ἐπιστολὴν μὴ μόνον ἐπίπληξιν ἡγώμεθα, ἀλλὰ καὶ ῥώμην ἀνδρὸς ὑπὲρ τοῦ βασιλέως τιθεμένου τὰ τῆς γνώμης ὅπλα. XIII

Ὁ δὲ λόγος, ὃν διῆλθε πρὸς τὸν Ἡρώδην ὁ Δημόστρατος, ἐν θαυμασίοις δοκεῖ. ἰδέα δὲ αὐτοῦ ἡ μὲν τοῦ ἤθους μία, τὸ γὰρ ἐμβριθὲς ἐκ προοιμίων ἐς τέλος διήκει τοῦ λόγου, αἱ δὲ τῆς ἑρμηνείας ἰδέαι πολλαὶ καὶ ἀνόμοιαι μὲν ἀλλήλαις, λόγου δὲ ἄξιαι. ἔστω που καὶ τὸ δι' Ἡρώδην παρὰ τοῖς βασκάνοις εὐδοκιμεῖν τὸν λόγον, ἐπειδὴ ἀνὴρ τοιοῦτος ἐν αὐτῷ κακῶς ἤκουσεν. ἀλλ' ὅπως γε καὶ πρὸς τὰς λοιδορίας ἔρρωτο, δηλώσει καὶ τὰ πρὸς τὸν κύνα Πρωτέα λεχθέντα ποτὲ ὑπ' αὐτοῦ Ἀθήνησιν· ἦν μὲν γὰρ τῶν οὕτω θαρραλέως φιλοσοφούντων ὁ Πρωτεὺς οὗτος, ὡς καὶ ἐς πῦρ ἑαυτὸν ἐν Ὀλυμπίᾳ ῥῖψαι, ἐπηκολούθει δὲ τῷ Ἡρώδῃ κακῶς ἀγορεύων αὐτὸν ἡμιβαρβάρῳ γλώττῃ· ἐπιστραφεὶς οὖν ὁ Ἡρώδης „ἔστω", ἔφη „κακῶς με ἀγορεύεις, πρὸς τί καὶ οὕτως"; ἐπικειμένου δὲ τοῦ Πρωτέως ταῖς λοιδορίαις „γεγηράκαμεν" ἔφη „σὺ μὲν κακῶς με ἀγορεύων, ἐγὼ δὲ ἀκούων" ἐνδεικνύμενος ὅπου τὸ ἀκούειν μέν, καταγελᾶν δὲ ὑπὸ τοῦ πεπεῖσθαι τὰς ψευδεῖς λοιδορίας μὴ περαιτέρω ἀκοῆς ἥκειν. 564

Ἑρμηνεύσω καὶ τὴν γλῶτταν τοῦ ἀνδρὸς ἐς χαρακτῆρα ἰὼν τοῦ λόγου· ὡς μὲν δὴ Πολέμωνα καὶ Φαβωρῖνον καὶ Σκοπελιανὸν ἐν διδασκάλοις ἑαυτοῦ ἦγε καὶ ὡς Σεκούνδῳ τῷ Ἀθηναίῳ ἐφοίτησεν, εἰρημένον μοι ἤδη, τοὺς δὲ κριτικοὺς τῶν λόγων Θεαγένει τε τῷ Κνιδίῳ καὶ Μουνατίῳ τῷ ἐκ Τραλλέων συνεγένετο καὶ Ταύρῳ τῷ Τυρίῳ ἐπὶ ταῖς Πλάτωνος δόξαις. ἡ δὲ ἁρμονία τοῦ XIV

1. ἡμέρᾳ om. cum lac. R. 2. ὡς ἐγὼ. 2. 3. δὴ om. e, m. 4. φίλε Ἡρώδης. h. 5. ἦν ποτε e, m. 6. γράφει. in e post hanc vocem lacuna paene dimidiati versus. ib. σοὶ δὲ. R, r, f, k. σὲ δὲ. β, 2, 3, E, ve. ib. ἐμοῦ om. R. 7. εὔνους σοι. R. ib. μὴ ἡγεῖσθαι. f, ρ, k. ib. τῶν σῶν om. 2, 3 (p in mg. habet), e, m. 8. κολάσειεν αὐτούς. R. ἐπ' αὐτούς. r, f. ἐπ' αὐτοῖς. ς. 9. ἀπαίτει. R. 10. ἄστει om. cum lac. R. 11. ἀφικέσθαι καὶ μυηθῆναι. 2. venire et iniciari. Bonf. ib. σοῦ om. R. 12. οὕτως. g. οὔπω. h. ib. τίς ἂν οὕτω ποτὲ. R. τίς δ' ἂν οὖν ποτε. k. 13. εἰ ὃν. μ. ib. φυγῇ ἔβαλλέν τε. r, f et ρ pr. m. φυγῇ περιέβαλλεν. ρ sec. m et k. ib. προσηρῆσθαι. p. προσέταξεν. p. ἔταξεν. ς.

15. δουλεύοι. v. 17. ἐμάνη. m, o. ib. τὴν δὲ ἐπιστολήν. 2. ib. ἡγούμεθα. h.

21. πολλαὶ ἰδέαι. R. 22. ἐπ' αὐτῷ. R. ib. καλῶς. k. 23. δηλώσω ox, h. ib. τὴν κύνα. k. 24. τῶν ὄνων. R. 25. καὶ om. E. ib. ἐσπέρας. R. ib. ἠκολούθει. β. 26 ἔστω, ἔφη. R, r, f, β. ἔστω φησὶ. 2, 3, E. ib. κακῶς μὲν. ox. 27. δὲ om. r. ib. λοιδωρίαις. h, g. 28. ἀγορεύων με κακῶς. f, ρ. k. κακῶς ἀγορεύων. 2.

30. καὶ om. 2, 3 (p. pr. m.), E. 31. ἑαυτοῦ. R, r, f, k. αὐτοῦ. β, 2, 3, E.

II, 1. §. 13, 14. p. 563. 564. = 68. 69. 70.

λόγου ἱκανῶς κεκολασμένη καὶ ἡ δεινότης ὑφέρπουσα μᾶλλον ἢ ἐγκειμένη κρότος τε σὺν ἀφελείᾳ καὶ κριτιάζουσα ἠχὼ καὶ ἔννοιαι οἷαι μὴ ἑτέρῳ ἐνθυμηθῆναι κωμική τε εὐγλωττία οὐκ ἐπέσακτος, ἀλλ' ἐκ τῶν πραγμάτων, καὶ ἡδὺς ὁ λόγος καὶ πολυσχήματος καὶ εὐσχήμων καὶ σοφῶς ἐξαλλάττων τὸ πνεῦμά τε οὐ σφοδρόν, ἀλλὰ λεῖον καὶ καθεστηκὸς καὶ ἡ ἐπίπαν ἰδέα τοῦ λόγου χρυσοῦ ψῆγμα ποταμῷ ἀργυροδίνῃ ὑπαυγάζον. προσέκειτο μὲν γὰρ πᾶσι τοῖς παλαιοῖς, τῷ δὲ Κριτίᾳ καὶ προσετετήκει καὶ παρήγαγεν αὐτὸν ἐς ἦθη Ἑλλήνων τέως ἀμελούμενον καὶ περιορώμενον. βοώσης δὲ ἐπ' αὐτῷ τῆς Ἑλλάδος καὶ καλούσης αὐτὸν ἕνα τῶν δέκα οὐχ ἡττήθη τοῦ ἐπαίνου μεγάλου δο-
565 κοῦντος, ἀλλ' ἀστειότατα πρὸς τοὺς ἐπαινέσαντας „Ἀνδοκίδου μὲν" ἔφη „βελτίων εἰμί." εὐμαθέστατος δὲ ἀνθρώπων γενόμενος οὐδὲ τοῦ μοχθεῖν ἠμέλησεν, ἀλλὰ καὶ παρὰ πόνον ἐσπούδαζε καὶ νύκτωρ ἐν τοῖς διαλείμμασι τῶν ὕπνων, ὅθεν ἐκάλουν αὐτὸν σιτευτὸν ῥήτορα οἱ ὀλιγωροί τε καὶ λεπτοί. ἄλλος μὲν οὖν ἄλλο ἀγαθὸς καὶ ἄλλος ἐν ἄλλῳ βελτίων ἑτέρου, ὁ μὲν γὰρ σχεδιάσαι θαυμάσιος, ὁ δὲ ἐκπονῆσαι λόγον, ὁ δὲ τὰ ξύμπαντα ἄριστα τῶν σοφιστῶν διέθετο καὶ τὸ παθητικὸν οὐκ ἐκ τῆς τραγῳδίας μόνον, ἀλλὰ κἀκ τῶν ἀνθρωπίνων συνελέξατο. ἐπιστολαὶ δὲ πλεῖσται Ἡρώδου καὶ διαλέξεις καὶ ἐφημερίδες ἐγχειρίδιά τε καὶ καίρια τὴν ἀρχαίαν πολυμαθίαν ἐν βραχεῖ ἀπηνθισμένα. οἱ δὲ προφέροντες αὐτῷ νέῳ ἔτι τὸ λόγου τινὸς ἐν Παιονίᾳ ἐκπεσεῖν ἐπὶ τοῦ αὐτοκράτορος ἠγνοηκέναι μοι δοκοῦσιν, ὅτι καὶ Δημοσθένης ἐπὶ Φιλίππου λέγων ταὐτὸν ἔπαθεν· κἀκεῖνος μὲν ἦκων Ἀθήναζε τιμὰς προσήτει καὶ στεφάνους ἀπολωλυίας Ἀθηναίοις Ἀμφιπόλεως, Ἡρώδης δέ, ἐπεὶ τοῦτο ἔπαθεν, ἐπὶ τὸν Ἴστρον ἦλθεν ὡς ῥίψων ἑαυτόν, τοσοῦτον γὰρ αὐτῷ περιῆν τοῦ ἐν λόγοις βούλεσθαι ὀνομαστῷ εἶναι, ὡς θανάτου τιμᾶσθαι τὸ σφαλῆναι.

XV 20 Ἐτελεύτα μὲν οὖν ἀμφὶ τὰ ἑξ καὶ ἑβδομήκοντα ξυντακὴς γενόμενος. ἀποθανόντος δὲ αὐτοῦ ἐν τῷ Μαραθῶνι καὶ ἐπισκήψαντος τοῖς ἀπελευθέροις ἐκεῖ θάπτειν Ἀθηναῖοι ταῖς τῶν ἐφήβων χερσὶν ἁρπάσαντες ἐς ἄστυ ἤνεγκαν προαπαντῶντες τῷ λέχει πᾶσα ἡλικία δακρύοις ἅμα καὶ ἀνευ-
566 φημοῦντες, ὅσα παῖδες χρηστοῦ πατρὸς χρηεύσαντες, καὶ ἔθαψαν ἐν τῷ Παναθηναικῷ ἐπιγράψαντες αὐτῷ βραχὺ καὶ πολὺ ἐπίγραμμα τόδε·

25 Ἀττικοῦ Ἡρώδης Μαραθώνιος, οὗ τάδε πάντα
κεῖται τῷδε τάφῳ, πάντοθεν εὐδίκιμος.

τοσαῦτα περὶ Ἡρώδου τοῦ Ἀθηναίου, τὰ μὲν εἰρημένα, τὰ δὲ ἠγνοημένα ἑτέροις.

β'. Ἐπὶ τὸν σοφιστὴν Θεόδοτον καλεῖ με ὁ λόγος. Θεόδοτος μὲν προῦστη καὶ τοῦ Ἀθηναίων δήμου κατὰ χρόνους, οὓς προσέκρουον Ἡρώδῃ Ἀθηναῖοι, καὶ ἐς ἀπέχθειαν φανερὰν οὐδε-

1. ἐφέρπουσα. R, π. ib. ἀσφαλεία. p, E. ἀσαφέλεια. φ. 2. μὴ ἑτέρων. R. ib. καὶ οὐκ. 2. ib. ἐπίσακτος. μ, g. 3. πολυσχήματος. r, f et ρ a pr. m. β. πολύσχημος. R. πολυσχημάτιστος ρ a sec. m. k, 2, 3, E. ib. εὐσχήμων. ot. εὐσήμων. ς. ib. σοφὸς. h. σαφῶς. ς. Scr. σοφῶς. 5. ὑπαυγάζων. R, r, k. ib. προσετήκει. β, v, h. 6. αὐτὸ. r. ib. τε ὡς. ot. 7. ἐπ' αὐτὸν. 3, E. ib. αὐτὸν om. μ. ib. θ' τῶν ἰ. β. 8. ἐπαινέσαντας Ἕλληνας. R. ib. Ἀνδοκίμου. β. ib. εὐμαθέστερος. R. 9. μοχθεῖν. r, f, ρ, k. πονεῖν. R, β, 2, 3, E. ib. παρὰ πόνον. R, r, β et p ex corr. παρὰ πόνων. f, k. περὶ πόνον. 2, 3, E. 10. ὀλιγώτεροι. π. ὀλίγοροι. g. 11. ἄλλῳ. R, 2, 3, e, m. 12. ἄριστος ὤν. R. ἄριστα. r, β. ἄριστος. ς. ib. σοφιστῶν διέθετο. β. σοφιστῶν. ς. 13. μόνης. R. ib. ἀνθρώπων ot, h. 14. καὶ καίρια. r, f, ρ, k. κὲ καίρια. R. καίρια. β, 2, 3, E. ib. πολυμαθίαν. 1. πολυμάθειαν. 2, 3, E. 15. ἀπηνθισμα. ox, e et m. in mg. ib. νέῳ ἔτι. R, r, f, k. νέῳ ὄντι. ρ ex corr. β, 2, 3, E. ib. τὸ λόγου τινὸς ἐν Παιονίᾳ ἐκπεσεῖν. r, f, k. τοῦ λόγου τινὸς. ρ ex corr. ἐν Παιονίᾳ τὸ λόγου τινὸς ἐκπεσεῖν. R, β, 2, 3, E (ἐν Παιωνίᾳ. f, E.). 16. ταῦτα. R. 19. ὀνομαστὸν. R.

20. ἀμφὶ om. f, k. ib. ξυντακεὶς. R. 22. ἀνευφημοῦντες. r, f, ρ, k. εὐφημοῦντες. R, β, 2, 3, E. 23. ἐπὶ χρηστοῦ. ρ, k et f ante corr. 24. ἐπιγράμμα τὸ δὲ ἐπίγραμμα. 2, 3, e, m. 25. Μαραθώνιος τάδε. π, g.

μὲν κη

28. Θεόδοτος μὲν προῦστη καὶ. r. Θεόδοτος προῦστη . sic suprascr. et in mg. γρ. καὶ οὗτος. f. Θεόδοτος μὲν προῦστηκε. k. οὗτος προῦστη μὲν καὶ. R. οὗτος προῦστη. β. οὗτος προῦστη μὲν. 2, 3, E. 29. καταχρόνους. r. ib. ἐσαπέχθειαν. r.

μίαν τῷ ἀνδρὶ ἀφίκετο, ἀλλ' ἀφανῶς αὐτὸν ὑπεκάθητο δεινὸς ὢν χρῆσθαι τοῖς πράγμασιν, καὶ γὰρ δὴ καὶ τῶν ἀγοραίων εἷς οὗτος· τοῖς γοῦν ἀμφὶ τὸν Δημόστρατον οὕτω ξυνεκέκρατο, ὡς καὶ ξυνάρασθαί σφισι τῶν λόγων, οὓς ἐξεπόνουν πρὸς τὸν Ἡρώδην. προὔστη δὲ καὶ τῆς Ἀθηναίων νεότητος πρῶτος ἐπὶ ταῖς ἐκ βασιλέως μυρίαις. καὶ οὐ τοῦτό πω λόγου ἄξιον, οὐδὲ γὰρ πάντες οἱ ἐπιβατεύοντες τοῦ θρόνου τούτου λόγου ἄξιοι, ἀλλ' ὅτι τοὺς μὲν Πλατωνείους καὶ τοὺς ἀπὸ τῆς Στοᾶς καὶ τοὺς ἀπὸ τοῦ Περιπάτου καὶ αὐτοῦ Ἐπικούρου προσέταξεν ὁ Μάρκος τῷ Ἡρώδῃ κρῖναι, τὸν δὲ ἄνδρα τοῦτον ἀπὸ τῆς περὶ αὐτὸν δόξης αὐτὸς ἐπέκρινε τοῖς νέοις ἀγωνιστὴν τῶν πολιτικῶν προσειπὼν λόγων καὶ ῥητορικῆς ὄφελος. ὁ ἀνὴρ οὗτος Λολλιανοῦ μὲν ἀκροατής, Ἡρώδου δὲ οὐκ ἀνήκοος. ἐβίω μὲν οὖν ὑπὲρ τὰ πεντήκοντα δυοῖν ἐτοῖν κατασχὼν τὸν θρόνον, τὴν δὲ ἰδέαν τῶν λόγων ἀποχρῶν καὶ τοῖς δικανικοῖς καὶ τοῖς ὑπερσοφιστεύουσιν. 567

γ'. Ὀνομαστὸς ἐν σοφισταῖς καὶ Ἀριστοκλῆς ὁ ἐκ τοῦ Περγάμου, ὑπὲρ οὗ δηλώσω, ὁπόσα τῶν πρεσβυτέρων ἤκουον· ἐτέλει μὲν γὰρ ἐς ὑπάτους ὁ ἀνὴρ οὗτος, τὸν δὲ ἐκ παίδων ἐς ἥβην χρόνον τοὺς ἀπὸ τοῦ Περιπάτου φιλοσοφήσας λόγους ἐς τοὺς σοφιστὰς μετερρύη θαμίζων ἐν τῇ Ῥώμῃ τῷ Ἡρώδῃ διατιθεμένῳ σχεδίους λόγους. ὃν δὲ ἐφιλοσόφει χρόνον αὐχμηρὸς δοκῶν καὶ τραχὺς τὸ εἶδος καὶ δυσπινὴς τὴν ἐσθῆτα ἥβρυνε καὶ τὸν αὐχμὸν ἀπετρίψατο ἡδονάς τε, ὁπόσαι λυρῶν τε καὶ αὐλῶν καὶ εὐφωνίας εἰσί, πάσας ἐσηγάγετο ἐπὶ τὴν δίαιταν, ὥσπερ ἐπὶ θύρας αὐτῷ ἡκούσας, τὸν γὰρ πρὸ τοῦ χρόνον οὕτω κεκολασμένος ἀτάκτως ἐς τὰ θέατρα ἐφοίτα καὶ ἐπὶ τὴν τούτων ἠχώ. εὐδοκιμοῦντι δὲ αὐτῷ κατὰ τὸ Πέργαμον κἀξηρτημένῳ πᾶν τὸ ἐκείνῃ Ἑλληνικὸν ἐξελαύνων ὁ Ἡρώδης ἐς Πέργαμον ἔπεμψε τοὺς ἑαυτοῦ ὁμιλητὰς πάντας καὶ τὸν Ἀριστοκλέα ἦρεν, ὥσπερ τις Ἀθηνᾶς ψῆφος. ἡ δὲ ἰδέα τοῦ λόγου διαυγὴς μὲν καὶ ἀττικίζουσα, διαλέγεσθαι δὲ ἐπιτηδεία μᾶλλον ἢ ἀγωνίζεσθαι, χολή τε γὰρ ἄπεστι τοῦ λόγου καὶ ὁρμαὶ πρὸς βραχὺ αὐτή τε ἡ ἀττίκισις, εἰ παρὰ τὴν τοῦ Ἡρώδου γλῶτταν βασανίζοιτο, λεπτολογεῖσθαι δόξει μᾶλλον ἢ κρότου τε καὶ ἠχοῦς ξυγκεῖσθαι. ἐτελεύτα δὲ ὁ Ἀριστοκλῆς μεσαιπόλιος, ἄρτι προσβαίνων τῷ γηράσκειν. 568

δ'. Ἀντίοχον δὲ τὸν σοφιστὴν αἱ Κιλίκων Αἰγαὶ ἤνεγκαν οὕτω τι εὐπατρίδην, ὡς νῦν ἔτι τὸ ἀπ' αὐτοῦ γένος ὑπάτους εἶναι. αἰτίαν δὲ ἔχων δειλίας, ἐπεὶ μὴ παρῆει ἐς τὸν δῆμον, μηδὲ ἐς τὸ κοινὸν ἐπολίτευεν, „οὐχ ὑμᾶς", εἶπεν „ἀλλ' ἐμαυτὸν δέδοικα", εἰδώς που τὴν ἑαυτοῦ χολὴν ἄκρατόν τε καὶ οὐ καθεκτὴν οὖσαν. ἀλλ' ὅμως ὠφέλει τοὺς ἀστοὺς ἀπὸ τῆς οὐσίας, ὅ τι εἴη δυνατός, σῖτόν τε ἐπιδιδούς, ὁπότε τούτου δεομένους αἴσθοιτο, καὶ χρήματα ἐς τὰ πεπονηκότα τῶν ἔργων. τὰς δὲ πλείους τῶν νυκτῶν ἐς τὸ τοῦ Ἀσκληπιοῦ ἱερὸν ἀπεκάθευδεν ὑπέρ τε

1. ἐφίκετο. β. ib. αὐτῶν. r. sed corr. ib. τοῖς πράγμασι. 1. πράγμασι. 2, 3, E. 3. ξυναίρασθαι. r. ib. σφίσιν. f. ib. προέστη. β, E. 4. πρῶτος om. β. ib. ἀσὶ τοῖς ἐκ βα. μυρίαις. R. ib. οὐ τοῦτό πω. R, r, f, β. οὐ τοῦτό που. 2, 3, E. ib. οὐδὲ γὰρ. R, r. οὐδὲ. β. οὐ γὰρ. ς. 5. ἄξιον. μ. οὐδὲ — ἄξιοι om. v. ib. Πλατωνίους. 1. 6. στοᾶς φιλοσόφους. R. ib. τοὺς ἀπὸ om. R, β, 2, 3, E. ib. αὐτοῦ τοῦ. μ, v. αὐτὸν. ς. 7. ἀπέκριτε. v, π. 8. ὄφελος. k. ib. ὁ ἀνὴρ. r, β. ὁ δ' ἀνὴρ. ς. 9. μὲν οὖν. 1. μὲν. 2, 3, E. ib. ἐπὶ τὰ. v. ὑπὸ τὰ. g. ἐς τὰ. π.

12. ὁ ἀνὴρ οὗτος ἐς ὑπάτους. R. ib. ἐκ τῶν παίδων. R, r. 14. αὐχμηρῶς. R. 15. ἡδονάς τε. R, r, f, β, v. ἡδονὰς δὲ. ς. 16. εὐφωνίαι. π, g. ib. ὡς R. 17. καὶ ἀτάκτως. g. 18. ἐκείνῃ om. β, 2, 3, E. p habet a sec. m. ib. κἀξηρτημένῳ — Πέργαμον om. v. 19. ἔπεμπε. R. 20. ἦρας. R. εἶδεν. e, m. ib. τῆς Ἀθηνᾶς ψῆφον. μ, v. 21. σχολὴ. R, β, 2, g, e et m. in mg. ib. ἀπίστη. R, f, β, 2, g, e. ib. προσβραχὺ. r. προβραχὺ. R. 22. τὴν τοῦ. f. τὴν om. τοῦ. ς. nisi quod etiam τὴν om. r. ib. γλῶσσαν. E. ib. δόξει μᾶλλον. R, r, f, k. μᾶλλον δόξει. β, 2, 3, E. 23. ὁ om. R. ib. προβαίνων. R, r, k, ox, π. 24. τὸ. r.

25. Αἰγε. r. ib. αἱ om. R. ib. οὕτω τοι. μ, v, p. 26. ἐπεὶ μὴ. R, β. ἐπειδὴ μὴ. p post corr. ἐπεὶ μηδὲ. ς. ib. παρείη. g. 28. ἀκράτητον. R. ib. οὐκ ἀνεκτὴν. π. ib. τοὺς ἀστούς. p ex corr. τοὺς αὐτούς. 1. τοὺς Αἰγαίους. 2, 3, E. ib. ὅ τι εἴη δυνατός. R, β, f, k. ὅ εἴη δυνατός. r cum lac. ὅ τι ἠδύνατο. 2, 3, E. 29. σίτου τε. R. ib. τούτους. R. 30. ἀπεκάθευδεν. 1. ὑπεκάθευδεν. 2, 3, E.

ὑνειράτων ὑπέρ τε ξυνουσίας, ὁπόση ἐγρηγορότων τε καὶ διαλεγομένων ἀλλήλοις, διελέγετο γὰρ αὐτῷ ἐγρηγορότι ὁ θεὸς καλὸν ἀγώνισμα ποιούμενος τῆς ἑαυτοῦ τέχνης τὸ τὰς νόσους ἐρύκειν τοῦ Ἀντιόχου.

II Ἀκροατὴς ὁ Ἀντίοχος ἐν παισὶ μὲν Δαρδάνου τοῦ Ἀσσυρίου, προιὼν δὲ ἐς τὰ μειράκια Διονυσίου ἐγένετο τοῦ Μιλησίου κατέχοντος ἤδη τὴν Ἐφεσίων. διελέγετο μὲν οὖν οὐκ ἐπιτηδείως, 569 φρονιμώτατος δ' ἀνθρώπων γενόμενος διέβαλλεν αὐτὸ ὡς μειρακιῶδες, ἵνα ὑπερεωρακὼς αὐτοῦ μᾶλλον ἢ ἀπολειπόμενος φαίνοιτο, τὰ δὲ ἀμφὶ μελέτην ἐλλογιμώτατος· ἀσφαλὴς μὲν γὰρ ἐν ταῖς κατὰ σχῆμα προηγμέναις τῶν ὑποθέσεων, σφοδρὸς δὲ ἐν ταῖς κατηγορίαις καὶ ἐπιφοραῖς, εὐπρεπὴς δὲ τὰς ἀπολογίας καὶ τῷ ἠθικῷ ἰσχύων, καὶ καθάπαξ τὴν ἰδέαν τοῦ λόγου δικανικῆς μὲν σοφιστικώτερος, σοφιστικῆς δὲ δικανικώτερος. καὶ τὰ πάθη ἄριστα σοφιστῶν μετεχειρίσατο, οὐ γὰρ μονῳδίας ἀπεμήκυνεν, οὐδὲ θρήνους ὑποκειμένους, ἀλλ' ἐβραχυλόγει αὐτὰ ξὺν διανοίαις λόγου κρείττοσιν, ὡς ἔκ τε τῶν ἄλλων ὑποθέσεων δηλοῦται καὶ μάλιστα ἐκ τῶνδε· κόρη βιασθεῖσα θάνατον ᾔρηται τοῦ βιασαμένου, μετὰ ταῦτα γέγονε παιδίον ἐκ τῆς βίας καὶ διαμιλλῶνται οἱ πάπποι, παρ' ὁποτέρῳ τρέφοιτο τὸ παιδίον. ἀγωνιζόμενος οὖν ὑπὲρ τοῦ πρὸς πατρὸς πάππου „ἀπόδος" ἔφη „τὸ παιδίον, ἀπόδος ἤδη, πρὶν γεύσηται μητρῴου γάλακτος." ἡ δὲ ἑτέρα ὑπόθεσις τοιαύτη· τύραννον καταθέμενον τὴν ἀρχὴν ἐπὶ τῷ ἐκλελύσθαι ἀπέκτεινέ τις εὐνοῦχος ὑπ' αὐτοῦ γεγονὼς καὶ ἀπολογεῖται ὑπὲρ τοῦ φόνου. ἐνταῦθα τὸ μάλιστα ἐρρωμένον τῆς κατηγορίας τὸν περὶ τῶν σπονδῶν λόγον ἀπεώσατο περίνοιαν ἐγκαταμίξας τῷ πάθει· „τίσι γὰρ" ἔφη „ταῦτα ὡμολόγησε; παισὶ γυναίοις μειρακίοις πρεσβύταις ἀνδράσιν· ἐγὼ δὲ ὄνομα ἐν ταῖς συνθήκαις οὐκ ἔχω." ἄριστα δὲ καὶ ὑπὲρ τῶν Κρητῶν ἀπολελόγηται τῶν κρινομένων ἐπὶ τῷ τοῦ Διὸς σήματι φυσιολογίᾳ τε καὶ θεολογίᾳ πάσῃ ἐναγωνισάμενος 570 λαμπρῶς. τὰς μὲν οὖν μελέτας αὐτοσχεδίους ἐποιεῖτο, ἔμελε δὲ αὐτῷ καὶ φροντισμάτων, ὡς ἑτερά τε δηλοῖ τῶν ἐκείνου καὶ μάλιστα ἡ ἱστορία, ἐπίδειξιν γὰρ ἐν αὐτῇ πεποίηται λέξεώς τε καὶ ἱστορίας, ἐσποιῶν ἑαυτὸν καὶ τῷ φιλοκαλεῖν. περὶ δὲ τῆς τελευτῆς τοῦ ἀνδρός, οἱ μὲν ἑβδομηκοντούτην τεθνάναι αὐτόν, οἱ δὲ οὔπω, καὶ οἱ μὲν οἴκοι, οἱ δὲ ἑτέρωθι.

ε'. Ἀλεξάνδρῳ δέ, ὃν Πηλοπλάτωνα οἱ πολλοὶ ἐπωνόμαζον, πατρὶς μὲν ἦν Σελεύκεια πόλις οὐκ ἀφανὴς ἐν Κιλικίᾳ, πατὴρ δὲ ὁμώνυμος καὶ τοὺς ἀγοραίους λόγους ἱκανώτατος, μήτηρ δὲ περιττὴ τὸ εἶδος, ὡς αἱ γραφαὶ ἑρμηνεύουσι, καὶ προσφερὴς τῇ τοῦ Εὐμήλου Ἑλένῃ· Εὐμήλῳ

2. αὐτῷ. 1. αὐτῷ καὶ. 2, 3, E. ib. τό τε νόσους. k. νήσους. p pr. m. 3. ἐρύκειν τοῦ Ἀντιόχου. R. τοῦ Ἀντιόχου ἐρύκειν. ς.

...

1. ἀκροατὴς Ἀντίοχος. 2, E. ib. μυράκια. r, k. 5. του ἐγένετο. r sic del. art. ἐγένετο om. β, 2, 3, e, m. Excidit τοῦ. ib. τῶν Ἐφεσίων om. 2. 6. διέβαλεν. π. αὐτὸ om. 2, π, g, e, m. 7. ἀπολειπόμενος. 1. ὑπολειπόμενος. p ex corr. λειπόμενος. 2, φ, π, g, E. ib. μελέτην. 1. μελέτας. 2, 3, E. ib. ἐλλογιμώτατός ἐστιν. 2, 3, E. 11. ἀπεκύμενεν. r. ἀπεκύμαινεν. R, f. ἀπεμυκηνεν. ρ sic not. ἀπεμύκησεν. k. ἀπεμήκυνεν. β, 2, 3, E. 14. τρέφοιτο τὸ παι-

....

δίον. R. τρέφοιτο. νε. τρέφοιτο ἄν. ς. 15. γεύσεται. v, p, π. 16. κατὰ τὴν. R. ib. ἐκλελύσθαι. μ, v, J. inter solvendum. Bonf. ἐκλελῆσθαι. cett. C (ἐκλελεῖσθαι g) et E. 17. ἐρρωμένων. r. ἐρώμενον. R. 18. τὸ περὶ. R, r. ib. σπονδῶν Spengel. σπουδαίων, C, E. ib. λόγων. R. ib. ἀπεσάσατο. R. ib. τοῖσι γὰρ. v. 19. ἔφη om. 2, 3, e, m. ib. ὡμολόγησε. p sic corr. ib. παισί; γυναίοις; et sic porro E. ib. μειρακείοις. E. 20. δὲ ὑπὲρ. R. ib. Κρετῶν. π. 21. τοῦ om. R, π, g. 22. μὲν οὖν. p, r om. in lac. δὲ ς. ib. ἔμελλε. f, ρ. ib. αὐτῷ δὲ. f. αὐτῷ om. e, m. ib. φροντίσματα. R. 23. ἐπίδειξίν τε. R. ib. ἱστορίας. C, E. Fo: θεωρίας. 24. ποιῶν. f. ib. ἐς αὐτὸν. C, e, m. ἐς αὐτὴν. o. Scr.: ἑαυτὸν. ib. καὶ τῷ. r. καὶ τὸ. ς. ib. περὶ δὲ τῆς. ρ, k. περὶ τῆς. f. περὶ R, r, β, 2, 3, e, m. περὶ δὲ. o. ib. ἑβδομηκοντάτην. f, k.

26. Σελευκία. ox. 27. ἐν ἡλικίᾳ. g. ib. μήτηρ δὲ. v. μήτηρ. ς

II, 4, §. 2, 5. §. 1. p. 569. 570. = 73. 74.

γάρ τις Ἑλένη γέγραπται οἷα ἀνάθεμα εἶναι τῆς Ῥωμαίων ἀγορᾶς. ἐρασθῆναι τῆς γυναικὸς ταύτης καὶ ἑτέρους μέν, ἐπιδήλως δὲ Ἀπολλώνιόν φασι τὸν Τυανέα, καὶ τοὺς μὲν ἄλλους ἀπαξιῶσαι, τῷ δὲ Ἀπολλωνίῳ ξυγγενέσθαι δι' ἔρωτα εὐπαιδίας, ἐπειδὴ θειότερος ἀνθρώπων. τοῦτο μὲν δὴ ὁπόσοις τρόποις ἀπίθανον, εἴρηται σαφῶς ἐν τοῖς ἐς Ἀπολλώνιον. θεοειδὴς δὲ ὁ Ἀλέξανδρος καὶ περίβλεπτος ξὺν ὥρᾳ, γενειάς τε γὰρ ἦν αὐτῷ βοστρυχώδης καὶ καθειμένη τὸ μέτριον ὄμμα τε ἀβρὸν καὶ μέγα καὶ ῥὶς ξύμμετρος καὶ ὀδόντες λευκότατοι δάκτυλοί τε εὐμήκεις καὶ τῇ τοῦ λόγου ἡνίᾳ ἐπιπρέποντες, ἦν δὲ αὐτῷ καὶ πλοῦτος δαπανώμενος ἐς ἡδονὰς οὐ μεμπτάς.

Ἐς δὲ ἄνδρας ἥκων ἐπρέσβευε μὲν ὑπὲρ τῆς Σελευκείας παρὰ τὸν Ἀντωνῖνον, διαβολαὶ δὲ ἐπ' αὐτὸν ἐφοίτησαν, ὡς νεότητα ἐπιποιοῦντα τῷ εἴδει. ἧττον δὲ αὐτῷ προσέχειν δοκοῦντος τοῦ βασιλέως ἐπάρας τὴν φωνὴν ὁ Ἀλέξανδρος „πρόσεχέ μοι", ἔφη „Καῖσαρ." καὶ ὁ αὐτοκράτωρ παροξυνθεὶς πρὸς αὐτὸν ὡς θρασυτέρᾳ τῇ ἐπιστροφῇ χρησάμενον „προσέχω" ἔφη „καὶ ξυνίημί σου· σὺ γὰρ" ἔφη „ὁ τὴν κόμην ἀσκῶν καὶ τοὺς ὀδόντας λαμπρύνων καὶ τοὺς ὄνυχας ξέων καὶ τοῦ μύρου ἀεὶ πνέων."

Τὸν μὲν δὴ πλεῖστον τοῦ βίου τῇ τε Ἀντιοχείᾳ ἐνεσπούδαξε καὶ τῇ Ῥώμῃ καὶ τοῖς Ταρσοῖς καὶ νὴ Δία Αἰγύπτῳ πάσῃ, ἀφίκετο γὰρ καὶ ἐς τὰ τῶν Γυμνῶν ἤθη. αἱ δὲ Ἀθήνησι διατριβαὶ τοῦ ἀνδρὸς ὀλίγαι μέν, οὐκ ἄξιαι δὲ ἀγνοεῖσθαι. ἐβάδιζε μὲν γὰρ ἐς τὰ Παιονικὰ ἔθνη κατακληθεὶς ὑπὸ Μάρκου βασιλέως ἐκεῖ στρατεύοντος καὶ δεδωκότος αὐτῷ τὸ ἐπιστέλλειν Ἕλλησιν, ἀφικόμενος δὲ ἐς τὰς Ἀθήνας, ὁδοῦ δὲ μῆκος τοῦτο οὐ μέτριον τῷ ἐκ τῆς ἑῴας ἐλαύνοντι, „ἐνταῦθα" ἔφη „γόνυ κάμψωμεν." καὶ εἰπὼν τοῦτο ἐπήγγειλε τοῖς Ἀθηναίοις αὐτοσχεδίους λόγους ἐρῶσιν αὐτοῦ τῆς ἀκροάσεως. ἀκούων δὲ τὸν Ἡρώδην ἐν Μαραθῶνι διαιτώμενον καὶ τὴν νεότητα ἐπακολουθοῦσαν αὐτῷ πᾶσαν γράφει πρὸς αὐτὸν ἐπιστολὴν αἰτῶν τοὺς Ἕλληνας, καὶ ὁ Ἡρώδης „ἀφίξομαι" ἔφη „μετὰ τῶν Ἑλλήνων καὶ αὐτός." ξυνελέγοντο μὲν δὴ ἐς τὸ ἐν τῷ Κεραμεικῷ θέατρον, ὃ δὴ ἐπωνόμασται Ἀγριππεῖον, προιούσης δὲ ἤδη τῆς ἡμέρας καὶ τοῦ Ἡρώδου βραδύνοντος ἤσχαλλον οἱ Ἀθηναῖοι ὡς ἐκλυομένης τῆς ἀκροάσεως καὶ τέχνην αὐτὸ ᾤοντο, ὅθεν ἀνάγκη τῷ Ἀλεξάνδρῳ ἐγένετο παρελθεῖν ἐπὶ τὴν διάλεξιν καὶ πρὶν ἥκειν τὸν Ἡρώδην. ἡ μὲν δὴ διάλεξις ἔπαινοι ἦσαν τοῦ ἄστεος καὶ ἀπολογία πρὸς τοὺς Ἀθηναίους ὑπὲρ τοῦ μήπω πρότερον παρ' αὐτοὺς ἀφῖχθαι, εἶχε δὲ καὶ τὸ ἀποχρῶν μῆκος, Παναθηναικοῦ γὰρ λόγου ἐπιτομὴ εἴκαστο. εὐσταλὴς δὲ οὕτω τοῖς Ἀθηναίοις ἔδοξεν, ὡς καὶ βόμβον διελθεῖν αὐτῶν ἔτι σιωπῶντος ἐπαινεσάντων αὐτοῦ τὸ εὔσχημον. ἡ μὲν δὴ νενικηκυῖα ὑπόθεσις ὁ τοὺς Σκύθας ἐπανάγων ἐς τὴν προτέραν πλάνην, ἐπειδὴ πόλιν οἰκοῦντες νοσοῦσι, καιρὸν δ' ἐπισχὼν βραχὺν ἀνεπήδησε τοῦ θρόνου φαιδρῷ τῷ προσώπῳ, καθάπερ εὐαγγέλια ἐπάγων τοῖς ἀκροωμένοις ὧν

1. οἷα. C praeter g et E. ib. ἀνάθεμα. R, r, ρ, Θ, s, v. ἀνάθημα. ς. ib. Σμυρναίων. Θ. ib. μὲν γὰρ τῆς. v. μὲν τῆς. μ, ox, 3, E. 2. Ἀπολλώνιον δὲ. r, f, ρ, k. Ἀπολλώνιόν τε. R. 3. εὐπαιδείας. f, k. 4. δὲ om. g. 5. ξὺν ὥρᾳ. β. τὴν ὥραν. π. ib. αὐτῶν. k. ib. καθημένη. v. 6. καὶ ῥὶς. R, r, f, k. ῥὶς. β, 2, 3, E (ἐρὶς. μ). ib. εὐξύμμετρος. k. 7. ἐπιτρέποντες. c, m. ib. καὶ αὐτῷ. p corr. sec. m.

8. παρὰ τὸν Ἀντωνῖνον. R. παρὰ τὸν πρῶτον Ἀ. ς. ib. δὲ αὐτὸν. R. 9. ἐπιποιοῦντι. f, k. ib. τῷ om. R. 11. ἐπιστροφῇ. R, r, f, k. φωνῇ. β, 2, 3, E. ib. προσέχων φη. R. ib. ἔφη, συνίημι. c, m. 12. γὰρ ἔφη. R. γὰρ. ς.

14. τὸν μὲν. r, f. τὸ μὲν. ς, Ἐ. ib. τε om. π, g, E. ib. ἐνεσπούσασε. g. ἐσπούδασε. p ex corr. Ἐ. 15. γὰρ ἐς. R, π, g, Ἐ. 16. ἐβάδιζε μὲν ἐς. 2. ib. ἴσ. παρακληθεὶς. m. Malim μετακληθείς. 17. στρατεύσαντος. R. 18. τοῦτο μέτριον. R. ib. τὸ ἐκ. e. 19. κάμψομεν. π, g. 20. διαιτούμενον. R. διαιτώμενον ἐν Μαραθῶνι. f, ρ, k, o. 21. καὶ ὁ Ἡρώδης. 1, p ex corr. π, g. ὁ δὲ Ἡ. 2. ἐπεὶ ὁ Ἡρ. φ, e, et m (ubi mg. ἴσ. ἔπειτα [ἦ] ἐκεῖ), Ἐ. ἐφ' ᾗ. o ex conj. Salm. 22. καὶ om. π, g. ib. μὲν om. v. μὲν δὴ om. μ. ib. ἐς τὸ om. v. ib. τῷ om. R. 24. ἤσχαλον. f, β, g. ib. ὡς om. β. ib. αὐτῷ. g, e, m, Ἐ. 26. ἀπολογίας. r, f ἀπολογίαι. E, Ἐ. 27. παρ' αὐτούς. r. παρ' αὐτὰς. β. παρ' αὐτοῖς. R, f, ρ, k. πρὸς αὐτούς. 2, 3, E, Ἐ. ib. εἶχε δὲ καὶ. R. εἶχεν δὲ. r, f. εἶχε δὲ. k. ib. τὸ in R suprascr. habent r, f, k et p ex corr. at β, 2, 3, E om. 30. τοὺς προτέραν. r. ib. καιρόν τε. k. καιρὸν ἐπισχὼν om. δὲ. R, r, f.

II, 5, §. 2, 3. p. 571. 572. = 74. 75. 76.

εἰπεῖν ἔχοι. προιόντος δὲ αὐτῷ τοῦ λόγου ἐπέστη ὁ Ἡρώδης Ἀρκάδι πίλῳ τὴν κεφαλὴν σκιάζων, ὡς ἐν ὥρᾳ θέρους εἰώθει Ἀθήνησιν, ἴσως δέ που καὶ ἐνδεικνύμενος αὐτῷ τὸ ἐκ τῆς ὁδοῦ ἥκειν. καὶ ὁ Ἀλέξανδρος ἔνθεν ἑλὼν διελέχθη μὲν ἐς τὴν παρουσίαν τοῦ ἀνδρὸς ὑποσέμνῳ τῇ λέξει καὶ ἠχούσῃ, ἐπ' αὐτῷ δὲ ἔθετο, εἴτε βούλοιτο τῆς ἤδη σπουδαζομένης ὑποθέσεως ἀκροᾶσθαι, εἴτε ἑτέραν αὐτὸς δοῦναι. τοῦ δὲ Ἡρώδου ἀναβλέψαντος ἐς τοὺς ἀκροωμένους καὶ εἰπόντος, ὡς ποιήσοι, ὅπερ ἂν ἐκείνοις δόξῃ, πάντες ξυνεπένευσαν ἐς τὴν τῶν Σκυθῶν ἀκρόασιν, καὶ γὰρ δὴ καὶ λαμπρῶς διῄει τὸν ἀγῶνα, ὡς δηλοῖ τὰ εἰρημένα. θαυμασίαν δὲ ἰσχὺν ἐνεδείξατο καὶ ἐν τοῖσδε· τὰς γὰρ διανοίας τὰς πρὶν ἥκειν τὸν Ἡρώδην λαμπρῶς αὐτῷ εἰρημένας μετεχειρίσατο ἐπιστάντος οὕτω τι ἑτέρᾳ λέξει καὶ ἑτέροις ῥυθμοῖς, ὡς τοῖς δεύτερον ἀκροωμένοις μὴ διλογεῖν δόξαι. τὸ γοῦν εὐδοκιμώτατα τῶν πρὶν ἐπιστῆναι τὸν Ἡρώδην εἰρημένων „ἑστὸς καὶ τὸ ὕδωρ νοσεῖ“ μετὰ ταῦτα ἐπιστάντος ἑτέρᾳ δυνάμει μεταλαβὼν „καὶ ὑδάτων“ εἶπεν „ἡδίω τὰ πλανώμενα.“ κἀκεῖνα τῶν Ἀλεξάνδρου Σκυθῶν· „καὶ πηγνυμένου μὲν Ἴστρου πρὸς μεσημβρίαν ἤλαυνον, λυομένου δὲ ἐχώρουν πρὸς ἄρκτον ἀκέραιος τὸ σῶμα καὶ οὐχ ὥσπερ νυνὶ κείμενος. τί γὰρ ἂν πάθοι δεινὸν ἄνθρωπος ταῖς ὥραις ἑπόμενος;“ ἐπὶ τελευτῇ δὲ τοῦ λόγου διαβάλλων τὴν πόλιν ὡς πνιγηρὸν οἰκητήριον τὸ ἐπὶ πᾶσιν ὧδε ἀνεφθέγξατο· „ἀλλ' ἀναπέτασον τὰς πύλας, ἀναπνεῦσαι θέλω.“ προσδραμὼν δὲ τῷ Ἡρώδῃ καὶ περισχὼν αὐτὸν „ἀντεφεστίασόν με“ ἔφη. καὶ ὁ Ἡρώδης „τί δὲ οὐ μέλλω“ εἶπεν „λαμπρῶς οὕτως ἑστιάσαντα“; διαλυθείσης δὲ τῆς ἀκροάσεως καλέσας ὁ Ἡρώδης τῶν ἑαυτοῦ γνωρίμων τοὺς ἐν ἐπιδόσει ἠρώτα, ποιός τις αὐτοῖς ὁ σοφιστὴς φαίνοιτο, Σκέπτου δὲ τοῦ ἀπὸ τῆς Κορίνθου τὸν μὲν πηλὸν εὑρηκέναι φήσαντος, τὸν δὲ Πλάτωνα ζητεῖν, ἐπισκώπτων αὐτὸν ὁ Ἡρώδης „τουτὶ“ ἔφη „πρὸς μηδένα εἴπῃς ἕτερον, σεαυτὸν γάρ“ ἔφη „διαβάλλεις ὡς ἀμαθῶς κρίνοντα, ἐμοὶ δὲ ἔπου μᾶλλον ἡγουμένῳ αὐτὸν Σκοπελιανὸν νήφοντα.“ ταυτὶ δὲ ὁ Ἡρώδης ἐχαρακτήριζε καθεωρακὼς τὸν ἄνδρα κεκραμένην ἑρμηνείαν ἐφαρμόζοντα τῇ περὶ τὰς σοφιστικὰς ἐννοίας τόλμῃ. ἐπιδεικνύμενος δὲ τῷ Ἀλεξάνδρῳ τήν τε ἠχὼ τῆς διαλέξεως προσῆρεν, ἐπειδὴ ἐγίγνωσκε τούτῳ καὶ μάλιστα χαίροντα αὐτὸν τῷ τόνῳ, ῥυθμούς τε ποικιλωτέρους αὐλοῦ καὶ λύρας ἐσηγάγετο ἐς τὸν λόγον, ἐπειδὴ πολὺς αὐτῷ καὶ περὶ τὰς ἐξαλλαγὰς ἔδοξεν. ἡ δὲ σπουδασθεῖσα ὑπόθεσις οἱ ἐν Σικελίᾳ τρωθέντες ἦσαν αἰτοῦντες τοὺς ἀπανισταμένους ἐκεῖθεν Ἀθηναίους τὸ ὑπ' αὐτῶν ἀποθνήσκειν. ἐπὶ ταύτης τῆς ὑποθέσεως τὸ θρυλούμενον ἐκεῖνο ἱκέτευσεν ἐπιτέγξας τοὺς ὀφθαλμοὺς δακρύοις „ναὶ Νικία, ναὶ πάτερ, οὕτως Ἀθήνας ἴδοις“, ἐφ' ᾧ τὸν Ἀλέξανδρόν φασιν

2. δή που. R, r, f, β. 3. τῇ γλώσσῃ. R. 4. εἶτοι. r. εἴτι. R, f, k. 5 ἀναβλέψαντος. β. ἄνω βλέψαντος. ς. οι (τοῦ ἄνω βλ. k) et E, Ἐ. ib. ἐς τοὺς Ἀθηναίους. μ. in mg. ἀκροωμένους. ib. ὡς ποιήσοι. r, f. ὡς ποιήσει. k. ὡς ποιήσαι. R et p ex corr. ποιῆσαι om. ὡς. β. ποιήσειν. 2, 3, E, Ἐ. ib. αὐτοῖς. R. 6. ξυνέπεισαν. R. 7. ἐνεδείξατο. 1 (ἐνεδείξατο. k). ἐπεδείξατο. 2, 3, E, Ἐ. 9. οὕτω τοι. 2. οὕτω τι. β et p ex corr. οὕτω τῇ. 1, 3, E. ib. τὸ γοῦν. β, ρ a sec. m, 2, 3, E. τοιγαροῦν. R, r, f, k et ρ pr. m. 10. εὐδοκιμώτατα. R, r, f, k. εὐδοκιμώτατον. β, 2, 3, E. ib. ἐπιστημονικὸν Ἡρ. π. ἐπιστη..... Ἡρ. g. ib. ἑστὸς. r, o. ἑστὼς. ς. ib. καὶ. R, r, f, k. δὲ καὶ. β, 2, 3, e, m. ib. νοσεῖν. 2, 3, e, m. 11. μεταλαβὼν. R, r. μεταβαλὼν. ς. 12. Ἀλεξάνδρου Σκυθῶν. 1. Σκυθῶν Ἀλεξάνδρου. 2, 3, E. 13. λυομένων. π, g. ib. πρὸς Ἴστρον. R. ib. τὸ οὐχ. k. 14. νῦν. m. ib. καὶ γὰρ ἂν. R, r, f et ρ a pr. m. ubi τί a sec. corr. 15. καὶ τὴν πόλιν. Ἐ. ib. ἀνεφθέγξατο. k. 16. ἀναπετάσων k. ib. θέλων. e, m, Ἐ. 17. ἑαυτὸν. R. ib. εἶπεν. r, f. 18. κελεύσας. μ. 19. ὁ om. r. ib. τοῦ Κορινθίου. Ἐ τοῦ om. m, o. 20. εὑρεθῆναι. f, ρ, k. ib. πλάστην ζητεῖν. Ἐ. ib. ἐπισκώπτων C, E, Ἐ. Fo: ἐπικόπτων, quod voluere Val. et Ham. 21. μηδὲν ἂν. R. εἴπῃ. k et r pr. m. ib. ἔφη om. β, 2, 3, E, Ἐ. ib κρίνοντα. R, r, f, k, g. κρίναντα. β, 2, 3, E, Ἐ. ib. δὲ om. k. 22. ἔπου. f, ρ. ib. μᾶλον. π. 23. κεκραμένον. R, r, f. ib. ἐφαρμόζοντα. 1 et p ex corr. ἐφαρμόττοντα. 2, 3, E. ib. ἀντεπιδεικνύμενος. o ex ve. 25. τῷ τε τύνῳ ῥυθμοὺς ποικίλους. R, r, f, k. ib. αὐτοῦ. k. 27. Σικελίῳ. k. ἡττη ib. τρωθέντες. ve. τρωθέντες. r, sic corr. ἡττηθέντες. ς (f habet in rasura). ib. αἰτοῦντες om. e, m. ib. ἀπανισταμένους. p ex corr. et ve. ἐπανισταμένους. ς. 28. θρυλούμενον. r, p ex corr. g. θρυλλούμενον. ς. 29. καὶ πάτερ. e et m, ubi mg. ἴσ. ναὶ. ib. ἴδοις. 1 et p ex corr. οἰδας. 2, 3, E.

II, 5, §. 3. p. 573. 574. = 76. 77.

ἀναβοῆσαι· „ὦ Ἡρῴδη, τεμάχιά σου ἐσμὲν οἱ σοφισταὶ πάντες," καὶ τὸν Ἡρῴδην ὑπερησθέντα τῷ ἐπαίνῳ καὶ τῆς ἑαυτοῦ φύσεως γενόμενον δοῦναί οἱ δέκα μὲν σκευοφόρα, δέκα δὲ ἵππους, δέκα δὲ οἰνοχόους, δέκα δὲ σημείων γραφέας, τάλαντα δὲ εἴκοσι χρυσοῦ, πλεῖστον δὲ ἄργυρον, δύο δὲ ἐκ Κολλυτοῦ παιδία ψελλιζόμενα, ἐπειδὴ ἤκουεν αὐτὸν χαίροντα νέαις φωναῖς. τοιαῦτα μὲν οὖν αὐτῷ τὰ Ἀθήνησιν.

Ἐπεὶ δὲ καὶ ἑτέρων σοφιστῶν ἀπομνημονεύματα παρεθέμην, δηλούσθω καὶ ὁ Ἀλέξανδρος ἐκ πλειόνων, οὐδὲ γὰρ ἐς πλῆρές πω τῆς ἑαυτοῦ δόξης ἀφῖκται παρὰ τοῖς Ἕλλησιν. ὡς μὲν δὴ σεμνῶς τε καὶ ξὺν ἡδονῇ διελέγετο, δηλοῦσι τῶν διαλέξεων αἵδε· „Μαρσύας ἦρα Ὀλύμπου καὶ Ὄλυμπος τοῦ αὐλεῖν" καὶ πάλιν „Ἀραβία γῆ δένδρα πολλὰ πεδία κατάσκια γυμνὸν οὐδέν, τὰ φυτὰ ἡ γῆ, τὰ ἄνθη. οὐδὲ φύλλον Ἀράβιον ἐκβαλεῖς, οὐδὲ κάρφος ἀπορρίψεις οὐδὲν ἐκεῖ φυέν, τοσοῦτον ἡ γῆ περὶ τοὺς ἱδρῶτας εὐτυχεῖ". καὶ πάλιν „ἀνὴρ πένης ἀπ' Ἰωνίας, ἡ δὲ Ἰωνία Ἕλληνές εἰσιν οἱ νικήσαντες ἐν τῇ βαρβάρων." τὴν δὲ ἰδέαν ταύτην διατωθάζων ὁ Ἀντίοχος καὶ διαπτύων αὐτὸν ὡς τρυφῶντα ἐς τὴν τῶν ὀνομάτων ὥραν, παρελθὼν ἐς τὴν Ἀντιόχειαν διελέχθη ὧδε· „Ἰωνίαι Λυδίαι Μαρσύαι μωρίαι, δότε προβλήματα." τὰ δὲ ἐν τῇ μελέτῃ πλεονεκτήματα δεδήλωται μὲν καὶ ἐπὶ τούτων, δηλούσθω δὲ καὶ ἐπ' ἄλλων ὑποθέσεων· διεξιὼν μὲν γὰρ τὸν Περικλέα τὸν κελεύοντα ἔχεσθαι τοῦ πολέμου καὶ μετὰ τὸν χρησμόν, ἐν ᾧ καὶ καλούμενος καὶ ἄκλητος ὁ Πύθιος ἴφη τοῖς Λακεδαιμονίοις συμμαχήσειν, ὧδε ἀπήντησε τῷ χρησμῷ· „ἀλλ' ὑπισχνεῖταί, φησι, τοῖς Λακεδαιμονίοις βοηθήσειν ὁ Πύθιος· ψεύδεται· οὕτως αὐτοῖς καὶ Τεγέαν ἐπηγγείλατο. διεξιὼν δὲ τὸν ξυμβουλεύοντα τῷ Δαρείῳ ζεῦξαι τὸν Ἴστρον· „ὑπορρείτω σοι ὁ Σκυθῶν Ἴστρος, κἂν εὕρους τὴν στρατιὰν διαγάγῃ, τίμησον αὐτὸν ἐξ αὐτοῦ πιών." τὸν δὲ Ἀρτάβαζον ἀγωνιζόμενος τὸν ἀπαγορεύοντα τῷ Ξέρξῃ μὴ τὸ δεύτερον στρατεύειν ἐπὶ τὴν Ἑλλάδα ὧδε ἐβραχυλόγησεν· „τὰ μὲν δὴ Περσῶν τε καὶ Μήδων τοιαῦτά σοι, βασιλεῦ, κατὰ χώραν μένοντι, τὰ δὲ Ἑλλήνων γῆ λεπτὴ θάλαττα στενὴ καὶ ἄνδρες ἀπονενοημένοι καὶ θεοὶ βάσκανοι." τοὺς δὲ ἐν τοῖς πεδίοις νοσοῦντας ἐς τὰ ὄρη ἀνοικίζεσθαι πείθων ὧδε ἐφυσιολόγησεν· „δοκεῖ δέ μοι καὶ ὁ τοῦ παντὸς δημιουργὸς τὰ μὲν πεδία, ὥσπερ ἀτιμότερα ὕλης, ῥῖψαι κάτω, ἐπαίρειν δὲ τὰ ὄρη, ὥσπερ ἀξιώματα. ταῦτα πρῶτα μὲν ἥλιος ἀσπάζεται, τελευταῖα δὲ ἀπολείπει. τίς οὐκ ἀγαπήσει τόπον μακροτέρας ἔχοντα τὰς ἡμέρας;"

Διδάσκαλοι τῷ Ἀλεξάνδρῳ ἐγένοντο Φαβωρῖνός τε καὶ Διονύσιος· ἀλλὰ Διονυσίου μὲν ἡμιμαθὴς ἀπῆλθε μεταπεμφθεὶς ὑπὸ τοῦ πατρὸς νοσοῦντος, ὅτε δὴ καὶ ἐτελεύτα, Φαβωρίνου δὲ γνησιώτατα ἠκροάσατο, παρ' οὗ μάλιστα καὶ τὴν ὥραν τοῦ λόγου ἔσπασεν. τελευτῆσαι τὸν Ἀλέξανδρον οἱ

1. τεμάχια. r, f, β, k, μ, p ex ras. π. τεμμάχια. v, ox, g, E. ib. ὑπερησθὲν. f, k. 3. τάλαντα εἴκοσι. β, 2, 3, e, m. ib. ἄργυρον. ve. ἀργύριον. C, E. 4. ἐκκωλύτου. R. ib. ἤκουεν. R, r, f, β. ἤκουον. k. ἤκουσεν. 2, 3, E. ib. νέαις φωναῖς χαίροντα. p.

6. ἐπειδὴ δὲ. π, g, E. ib. ὕστερον σοφιστῶν. k. σοφῶν. μ. 7. ἀφῖχθαι. μ. 9. αὐτοῦ αὐλεῖν. f, ρ, k. ib. Ἀραβία. R, k, ox, g, E. 10. οὐδὲ τὰ. R. ib. ἐκβαλῆς. β. ἐκβάλλεις. R, r, f. 13. δὲ om. r. ib. αὐτὸν om. π, g. 14. ἐς Ἀντιόχειαν. E. ib. Ἰωνία, Λυδία, Μαρσύαι, μωρίαι. k. Ἰωνία, Λυδία, Μαρσύα, μωρία. p ubique eraso ἰῶτα. 15. προβλήματα. R. 17. πολέμου ἔχεσθαι om. τοῦ. R. οἴχεσθαι. π. 18. συμμαχήσειν — βοηθήσειν om. 2. ib. ὑπήντησε. f, ρ, k. 19. βοηθήσειν ὁ Πύθιος. R, r, f, k. ὁ Πύθιος βοηθήσειν. β, 2, 3, E. ib. ψεύδεται, φησὶν, οὕτως. 2. ib. Τέγεσταν. ox. 20. διεξιὼν γὰρ. π, g. 21. στρατείαν διάγῃ. π, g. 22. πιὼν om. R. ib. Ἀρτάβαζον. C, e, m. Artabasum. Bonf. Ἀρτάβανον. ve, o. 23. ᾧ ἐβραχυλόγησε. R. ἐβραχυλόγησεν. r, f. ib. Περσῶν τε καὶ Μήδων. 1. Περσῶν καὶ Μήδων. o. Περσῶν. cett. om. 2, 3, e, m. 24. κατὰ τὴν χώραν. β. ib. μένοντα. μ, v. ib. γῆ λεπτὴ. τ ρ a sec. m. γῆ λεπὴ. p (sic). τῇ δέ πη. ς. 26. πείθων. 1 et p ex corr. σπεύδων. 2, 3, E. ib. ἐφυσιολόγησεν. r, f. ib. παντὸς κηδεμών. R. 27. παιδία. R. ib. ἀτιμότερα. r, f. ἀτιμώτερα. R. ἀτιμοτέρας. ρ ex corr. k, β, 2, 3, E. τὰ ἀτιμότερα. ve. τὰ ἀτιμώτερα. fe. ib. τῆς ὕλης. ve, fe. ib. ὥσπερ ἐν ἀξιώματι. β. 29. τῆς ἡμέρας. f.

30. Φαβουρῖνος. R, r, β. 32. τὴν ὥραν. 1 et p ex corr. τὴν ἰδέαν. 2. 3, E. ib. ἔσπα. R, f, β. ἔσχε p ex corr.

μὲν ἐν Κελτοῖς φασιν ἔτι ἐπιστέλλοντα, οἱ δ' ἐν Ἰταλίᾳ πεπαυμένον τοῦ ἐπιστέλλειν, καὶ οἱ μὲν ἑξηκοντούτην, οἱ δὲ καὶ ὀκτώ, καὶ οἱ μὲν ἐπὶ υἱῷ, οἱ δ' ἐπὶ θυγατρί, ὑπὲρ ὧν οὐδὲν εὖρον λόγου ἄξιον.

ς'. Ἀξιούσθω λόγου καὶ Οὔαρος ὁ ἐκ τῆς Πέργης. Οὐάρῳ πατὴρ μὲν Καλλικλῆς ἐγένετο ἀνὴρ ἐν τοῖς δυνατωτάτοις τῶν Περγαίων, διδάσκαλος δὲ Κοδρατίων ὁ ὕπατος ἀποσχεδιάζων τὰς θετικὰς ὑποθέσεις καὶ τὸν Φαβωρίνου τρόπον σοφιστεύων. πελαργὸν δὲ τὸν Οὔαρον οἱ πολλοὶ ἐπωνόμαζον διὰ τὸ πυρσὸν τῆς ῥινὸς καὶ ῥαμφῶδες, καὶ τοῦτο μὲν ὡς οὐκ ἀπὸ δόξης ἠστείζοντο, ἔξεστι συμβαλεῖν ταῖς εἰκόσιν, αἳ ἀνάκεινται ἐν τῷ τῆς Περγαίας ἱερῷ. ὁ δὲ χαρακτὴρ τοῦ λόγου τοιοῦτος· „ἐφ' Ἑλλήσποντον ἐλθὼν ἵππον αἰτεῖς, ἐπ' Ἄθω δὲ ἐλθὼν πλεῦσαι θέλεις· οὐκ οἶδας, ἄνθρωπε, τὰς ὁδούς; ἀλλ' Ἑλλησπόντῳ γῆν ὀλίγην ἐπιβαλὼν ταύτην οἴει σοι μένειν, τῶν ὀρῶν μὴ μενόντων;" ἐλέγετο δὲ ἀπαγγέλλειν ταῦτα λαμπρᾷ τῇ φωνῇ καὶ ἠσκημένῃ. ἐτελεύτα μὲν οὖν οἴκοι οὔπω γηράσκων καὶ ἐπὶ παισί, τὸ δὲ ἀπ' αὐτοῦ γένος εὐδόκιμοι πάντες ἐν τῇ Πέργῃ.

ζ'. Ἑρμογένης δέ, ὃν Ταρσοὶ ἤνεγκαν, πεντεκαίδεκα ἔτη γεγονὼς ἐφ' οὕτω μέγα προὔβη τῆς τῶν σοφιστῶν δόξης, ὡς καὶ Μάρκῳ βασιλεῖ παρασχεῖν ἔρωτα ἀκροάσεως· ἐβάδιζε γοῦν ἐπὶ τὴν ἀκρόασιν αὐτοῦ ὁ Μάρκος καὶ ἥσθη μὲν διαλεγομένου, ἐθαύμαζε δὲ σχεδιάζοντος, δωρεὰς δὲ λαμπρὰς ἔδωκεν, ἐς δὲ ἄνδρας ἥκων ἀφῃρέθη τὴν ἕξιν ὑπ' οὐδεμιᾶς φανερᾶς νόσου, ὅθεν ἀστεισμοῦ λόγον παρέδωκε τοῖς βασκάνοις, ἔφασαν γὰρ τοὺς λόγους ἀτεχνῶς καθ' Ὅμηρον πτερόεντας εἶναι, ἀποβεβληκέναι γὰρ αὐτοὺς τὸν Ἑρμογένην καθάπερ πτερά. καὶ Ἀντίοχος δὲ ὁ σοφιστὴς ἀποσκώπτων ποτὲ ἐς αὐτὸν „οὗτος" ἔφη „Ἑρμογένης, ὁ ἐν παισὶ μὲν γέρων, ἐν δὲ γηράσκουσι παῖς." ἡ δὲ ἰδέα τοῦ λόγου, ἣν ἐπετήδευε, τοιάδε τις ἦν· ἐπὶ γὰρ τοῦ Μάρκου διαλεγόμενος „ἰδοὺ ἥκω σοι", ἔφη „βασιλεῦ, ῥήτωρ παιδαγωγοῦ δεόμενος, ῥήτωρ ἡλικίαν περιμένων" καὶ πλείω ἕτερα διελέχθη καὶ ὧδε βωμόλοχα. ἐτελεύτα μὲν οὖν ἐν βαθεῖ γήρᾳ, εἷς δὲ τῶν πολλῶν νομιζόμενος, κατεφρονήθη γὰρ ἀπολιπούσης αὐτὸν τῆς τέχνης.

η'. Φίλαγρος δὲ ὁ Κίλιξ Λολλιανοῦ μὲν ἀκροατὴς ἐγένετο, σοφιστῶν δὲ θερμότατος καὶ ἐπιχολώτατος, λέγεται γὰρ δὴ νυστάζοντά ποτε ἀκροατὴν καὶ ἐπὶ κόρρης πλῆξαι, καὶ ὁρμῇ δὲ λαμπρᾷ ἐκ μειρακίου χρησάμενος οὐκ ἀπελείφθη αὐτῆς οὐδ' ὁπότε ἐγήρασκεν, ἀλλ' οὕτω τι ἐπέδωκεν, ὡς καὶ σχῆμα τοῦ διδασκάλου νομισθῆναι. πλείστοις δὲ ἐπιμίξας ἔθνεσι καὶ δοκῶν

2. καὶ ὀκτώ. C (καὶ ἡ. β) et E. καὶ ὀκτὼ πρὸς τοῖς ἑξήκοντα. Ἐ. Fo: καὶ οὔπω. 3. ἄξιον λόγου εὗρον. μ, ν. 4. λόγου Οὔαρος. e, m. ib. Καλικλῆς. R. 5. Κρατίων ὁ ὕπατος ἀποσχεδιάζων Κοδρατίων (Κρατίων, k). R. r, f, ρ, k. ib. αὐτοσχεδιάζων. p ante corr. β. 2, 3, E. 6. Φαβουρίνου. R, r. 7. ἄπο δόξης. e. 10. ἀνθρωπείας. ve. ib. οὐκ οἶδα. fo. ib. Ἑλλησπόντων. ν. ib. γῆ ὀλίγη. k. ib. ἐπιβάλλων. R. 11. σὺ. f. ib. ὅρων. e. ὁρῶν. m. ὅρων. o. ib. ἀπαγγέλειν. R. ἐπαγγέλλειν. ν. 12. οὖν om. k, o. 13. εὐδόκιμοι. r, f, ρ, k, β. εὐδόκιμον. R, 2, 3, E.

14. ἔτι. k, m. ib. οὖ τὸ. R. ib. τῆς om. g. 15. ἐβάδιζε. R, π, ve. ἐβάδισεν. f, g. ἐβάδισε. ς. ib. οὖν. f, g. 16. ὁ Μάρκος αὐτοῦ. μ. ib. ἐθαύμαξε. ρ. ἐθαύμασε. Σ. 17. μεγάλας ἔδωκε καὶ λαμπρὰς. R. ib. ἄνδρας δὲ. μ, ν. ib. ἕξιν τοῦ ἀξιώματος. R. ib. ὑπ' οὐδεμιᾶς αἰτίας φανερᾶς ἢ νόσου. Σ. 18. ὅθεν καὶ. o ex Σ, cujus A non habet καὶ. ib. βαναύσοις. μ. ib. τοῦ λόγου. R. 19. Ἑρμογένη. r, f. ib. Ἀντίοχος δὲ. ve. Ἀντίοχος. C, E. 20. ὁ Ἑρμογένης. π, g. 21. γηράσκουσι. R, r, f, ρ, k, p a sec. m. Σ. γέρουσι. β, 2, 3 (γέρωσι g), E, Ἐ. ib. ἰδέα τοῦ λόγου. R. ἰδέα. ς. 22. ἰδοὺ ἥκω σοι. ρ a sec. m et k. ἰδού σοι. ς (ἰδοὺ σὺ. f). ib. βασιλεῦ ἥκω ante om. ἥκω. Σ, E. ib. παιδαγωγούμενος. β. ib. ῥήτωρ om. β. 23. καὶ ὧδε βωμόλοχα om. Ἐ. ib. δὲ om. Σ. 24. ἀπολιπούσης. r, f, k.

25. σοφιστὴς. β. 26. καὶ om. ante ἐπὶ. m, o. ib. κόρης. R, μ, ν. ib. ὀργῇ. k, o. ὁρμῇ. μ, ν. 27. ὁπότε. r, f. ἐγήρασεν. p suprascr. κ. ib. οὕτω τοι. μ, p. 28. ἀπέδωκεν. r, f. ib. καὶ δοκεῖν. R. τὸ δοκῶν. k.

II, 5, 6, 7, 8. p. 577. 578. = 79. 80. 81.

ἄριστα μεταχειρίζεσθαι τὰς ὑποθέσεις οὐ μετεχειρίσατο Ἀθήνησιν εὖ τὴν αὐτοῦ χολήν, ἀλλ' ἐς ἀπέχθειαν Ἡρώδῃ κατέστησεν ἑαυτόν, καθάπερ τούτου ἀφιγμένος ἕνεκα. ἐβάδιζε μὲν γὰρ δείλης ἐν Κεραμεικῷ μετὰ τεττάρων, οἷοι Ἀθήνησιν οἱ τοὺς σοφιστὰς θηρεύοντες, ἰδὼν δὲ νεανίαν ἐκ δεξιᾶς ἀναστρέφοντα μετὰ πλειόνων σκώπτεσθαί τι ὑπ' αὐτοῦ δόξας „ἀλλ' ἦ σὺ" ἔφη „τίς"; „Ἀμφικλῆς ἐγώ", ἔφη „εἰ δὴ τὸν Χαλκιδέα ἀκούεις." „ἀπέχου τοίνυν" ἔφη „τῶν ἐμῶν ἀκροάσεων, οὐ γάρ μοι δοκεῖς ὑγιαίνειν." τοῦ δὲ ἐρομένου „τίς δὲ ὢν ταῦτα κηρύττεις"; δεινὰ πάσχειν ἦ δ' ὅ Φίλαγρος, εἰ ἀγνοεῖταί ποι. ἐκφύλου δὲ αὐτὸν ῥήματος ὡς ἐν ὀργῇ διαφυγόντος λαβόμενος ὁ Ἀμφικλῆς, καὶ γὰρ δὴ καὶ ἐτύγχανε τῶν Ἡρώδου γνωρίμων τὴν πρώτην φερόμενος, „παρὰ τίνι τῶν ἐλλογίμων" ἔφη „τοῦτο εἴρηται;" καὶ ὃς „παρὰ Φιλάγρῳ" ἔφη. αὕτη μὲν δὴ ἡ παροινία ἐς τὰ τοιαῦτα προῦβη, τῆς δὲ ὑστεραίας μαθὼν τὸν Ἡρώδην ἐν τῷ προαστείῳ διαιτώμενον γράφει πρὸς αὐτὸν ἐπιστολὴν καθαπτόμενος τοῦ ἀνδρὸς ὡς ἀμελοῦντος τοῦ τῶν ἀκροατῶν κόσμου. καὶ ὁ Ἡρώδης „δοκεῖς μοι" ἔφη „οὐ καλῶς προοιμιάζεσθαι" ἐπιπλήττων αὐτῷ ὡς μὴ κτωμένῳ ἀκροατῶν εὔνοιαν, ἣν προοίμιον ἡγεῖσθαι χρὴ τῶν ἐπιδείξεων. ὁ δὲ ὥσπερ οὐ ξυνιεὶς τοῦ αἰνίγματος, ἢ ξυνιεὶς μέν, ἐν γέλωτι δὲ τὴν τοῦ Ἡρώδου γνώμην βελτίστην οὖσαν τιθέμενος ἐψεύσθη τῆς ἐπιδείξεως παρελθὼν ἐς ἀκροατὰς οὐκ εὐνους. ὡς γὰρ τῶν πρεσβυτέρων ἤκουον, προσέκρουσε μὲν ἡ διάλεξις νεαροηχὴς δόξασα καὶ ἐσπασμένη τὰς ἐννοίας, ἔδοξε δὲ καὶ μειρακιώδης, γυναικὸς γὰρ θρῆνος ἐγκατεμέμικτο τοῖς Ἀθηναίων ἐγκωμίοις τεθνεώσης αὐτῷ ἐν Ἰωνίᾳ, τὴν δὲ μελέτην οὕτως ἐπεβουλεύθη· ἠγώνιστό τις αὐτῷ κατὰ τὴν Ἀσίαν ὑπόθεσις οἱ παραιτούμενοι τὴν τῶν ἀκλήτων συμμαχίαν· ταύτης ἐκδεδομένης ἤδη τῆς ὑποθέσεως μνήμην ξυνελέξατο, καὶ γὰρ δὴ καὶ εὐδοκιμηκὼς ἐπ' αὐτῇ ἐτύγχανε, λόγου δὲ ἥκοντος ἐς τοὺς ἀμφὶ τὸν Ἡρώδην, ὡς ὁ Φίλαγρος τὰς μὲν πρῶτον ὁριζομένας ὑποθέσεις αὐτοσχεδιάζοι, τὰς δὲ καὶ δεύτερον οὐκέτι, ἀλλ' ἕωλα μελετῴη καὶ ἑαυτῷ προειρημένα προῦβαλλον μὲν αὐτῷ τοὺς ἀκλήτους τούτους, δοκοῦντι δὲ ἀποσχεδιάζειν ἀντανεγιγνώσκετο ἡ μελέτη. θορύβου δὲ πολλοῦ καὶ γέλωτος τὴν ἀκρόασιν καταχόντος βοῶν ὁ Φίλαγρος καὶ κεκραγώς, ὡς δεινὰ πάσχοι τῶν ἑαυτοῦ εἰργόμενος, οὐ διέφυγε τὴν ἤδη πεπιστευμένην αἰτίαν. ταῦτα μὲν οὖν ἐν τῷ Ἀγριππείῳ ἐπράχθη, διαλιπὼν δὲ ἡμέρας ὡς τέτταρας παρῆλθεν ἐς τὸ τῶν τεχνιτῶν βουλευτήριον, ὃ δὴ ᾠκοδόμηται παρὰ τὰς τοῦ Κεραμεικοῦ πύλας οὐ πόρρω τῶν ἱππέων. εὐδοκιμώτατα δὲ ἀγωνιζόμενος τὸν Ἀριστογείτονα τὸν ἀξιοῦντα κατηγορεῖν τοῦ μὲν Δημοσθένους Μηδισμοῦ, τοῦ δὲ Αἰσχίνου Φιλιππισμοῦ, ὑπὲρ ὧν καὶ γεγραμμένοι ἀλλήλους ἐτύγχανον, ἐσβέσθη τὸ φθέγμα ὑπὸ τῆς χολῆς ἐπισκοτοῦντος φύσει τοῖς ἐπιχόλοις τὴν φωνὴν τοῦ φωνητικοῦ πνεύματος. χρόνῳ μὲν οὖν ὕστερον ἐπεβάτευσε τοῦ κατὰ τὴν Ῥώμην θρόνου. Ἀθήνησι δὲ ἀπηνέχθη τῆς ἑαυτοῦ δόξης δι' ἃς εἴρηκα αἰτίας.

1. εὖ p ex corr. ἐς ς. ib. αὐτοῦ. C (praeter π, ubi ἐπ' αὐτοῦ) et E. Scr. αὐτοῦ. ib. χολὴν. R, r, f, ρ, k. σχολὴν. β, 2, 3, E. 2. τούτου ἀφιγμένος ἕνεκα. ρ a sec m et p in mg. addit ἕνεκα. τοῦτο ἀφιγμένος. π, g, λ. τούτου ἀφ. ς. 3. οἷοι Ἀθηναῖοι τοὺς σοφιστας. k. 4. σκώπτεσθαί τι. μ, v. ib. ἀλλ' ἦ οὐ. C, o ἀλλ' εἶ σὺ. e, m. Scr. ἀλλ' ἡ σὺ. 6. ἐρωμένον. λ. ib. τίς ὢν. R. 7. πω. 2. ib. ἐκ φίλου. λ, e, m. ib. αὐτὸν om. R. ib. λαβόμενος δὲ. λ. 8. δὴ om. R. ib. Ἡρώδη. R. ib. τὰ πρῶτα. β. 9. τοῦτο εἴρηται, ἔφη. R, β, 2, 3, E. ib. ἔφη om. R, β, 2, 3, E. (p habet in mg.) ib. μὲν om. o. ib. παροιμία. 2, e et m, ubi mg: ἴσ. παροινία. προινία. f. 10. ἐν τῷ. r, f et ρ, ubi articulus punctis notatur. ἐν. ς. 11. καθαπτόμενος αὐτοῦ. R. 13. ξυνεὶς. f. 14. ἐν δὲ γέλωτι. λ. ib. τοῦ om. f, μ. 15. παρελθὼν ἐς ἀκ. οὐκ εὔνους. r, f, ρ, k, β, o. παρελθὼν ἐς ἀκ. εὔνους. R, 2, φ, e, m. cum in benevolos prodiret auditores. Bonf. μὴ παρελθὼν ἐς ἀκ. εὔνους. λ, π, g. 16. νεαρουχὴς. 2. ib. ἐσπασαμένη. r, λ. ib. εὐνοίας. R. ib. δὲ om. 2. 17. ἐγκατεμέμικτο. R, μ. ib. τεθνεῶσαν ἐν Ἰωνίᾳ. R. 19. ἐκδιδομένης 2. ib. μνήμην. r, f, ρ, k. μνήμῃ. R, β, 2, 3, E. 20. ἐπ' αὐτῇ. r, f, ρ, k, β. ἐν αὐτῇ. R, 2, 3, E. 21. πρῶτον. R, r, β. f et ρ a pr. m. πρότερον. ρ sec. m, k, 2, 3, E (πρώτερον. k). ib. ἀποσχεδιάζοι. f, k. ib. καὶ δεύτερον. r, f, k, β. δεύτερον. ς. 22. προῦβαλλον. r, f, k. προῦβαλλεν. R. προῦβαιον. β, 2, 3, E. 23. καὶ γέλωτος πολλοῦ. R. 24. ὁ Φιλόστρατος in mg. ὁ Φίλαγρος. k. 25. Ἀγριππίῳ. f. Ἀγριπείῳ. λ. ib. διαλειπὼν. r (sic). 27. δὲ om. β. 28. Μηδιασμοῦ. R. ib. δὲ om. π. 29. φλέγμα. g. ib. ἀπὸ τῆς. β. 30. οὖν om. k. 31. τοῦ Ἀθηνησι. β. ib. τῆς ἑαυτοῦ δόξης om. R, β, 2, 3 (p habet in mg.), e, m.

II, 8, § 2. p. 579. 580. = 81. 82.

III Χαρακτὴρ τῶν τοῦ Φιλάγρου λόγων ὁ μὲν ἐν ταῖς διαλέξεσι τοιοῦτος· „εἶτα οἴει ἥλιον ἑσπέρᾳ φθονεῖν ἢ μέλειν αὐτῷ, εἴ τίς ἐστιν ἀστὴρ ἄλλος ἐν οὐρανῷ; οὐχ οὕτως ἔχει τὰ τοῦ μεγάλου τούτου πυρός. ἐμοὶ μὲν γὰρ δοκεῖ καὶ ποιητικῶς ἑκάστῳ διανέμειν, σοὶ μὲν ἄρκτον δίδωμι, λέγοντα, σοὶ δὲ μεσημβρίαν, σοὶ δὲ ἑσπέραν, πάντες δὲ ἐν νυκτί, πάντες, ὅταν ἐγὼ μὴ βλέπωμαι.

Ἥλιος δ' ἀνόρουσε, λιπὼν περικαλλέα λίμνην

καὶ ἀστέρες οὐδαμοῦ." τίνες δὲ καὶ οἱ τῆς μελέτης αὐτῷ ῥυθμοὶ ἦσαν, δηλώσει τὰ πρὸς τοὺς ἀκλήτους εἰρημένα, καὶ γὰρ καὶ χαίρειν αὐτοῖς ἐλέγετο· „φίλε, τήμερόν σε τεθέαμαι καὶ τήμερον ἐν ὅπλοις καὶ μετὰ ξίφους μοι λαλεῖς" καὶ „τὴν ἀπὸ τῆς ἐκκλησίας μόνην οἶδα φιλίαν. ἅπιτε οὖν, ἄνδρες φίλοι, τοῦτο γὰρ ὑμῖν τηροῦμεν τοὔνομα, κἂν δεηθῶμέν ποτε συμμάχων, ἐφ' ὑμᾶς πέμψομεν, εἴ ποτε δήπου."

IV Μέγεθος μὲν οὖν ὁ Φίλαγρος μετρίου μείων, τὴν δὲ ὀφρὺν πικρὸς καὶ τὸ ὄμμα ἕτοιμος
581 καὶ ἐς ὀργὴν ἐκκληθῆναι πρόθυμος, καὶ τὸ ἐν αὐτῷ δύστροπον οὐδ' αὐτὸς ἠγνόει. ἐρομένου γοῦν αὐτὸν ἑνὸς τῶν ἑταίρων, τί μαθὼν παιδοτροφίᾳ οὐ χαίροι, „ὅτι" ἔφη „οὐδ' ἐμαυτῷ χαίρω." ἀποθανεῖν δὲ αὐτὸν οἱ μὲν ἐν τῇ θαλάττῃ, οἱ δὲ ἐν Ἰταλίᾳ περὶ πρῶτον γῆρας.

Θ'. Ἀριστείδην δὲ τὸν εἴτε Εὐδαίμονος εἴτε Εὐδαίμονα Ἀδριανοὶ μὲν ἤνεγκαν, οἱ δὲ Ἀδριανοὶ πόλις οὐ μεγάλη ἐν Μυσοῖς, Ἀθῆναι δὲ ἤσκησαν κατὰ τὴν Ἡρώδου ἀκμὴν καὶ τὸ ἐν τῇ Ἀσίᾳ Πέργαμον κατὰ τὴν Ἀριστοκλέους γλῶτταν. νοσώδης δὲ ἐκ μειρακίου γενόμενος οὐκ ἠμέλησε τοῦ πονεῖν. τὴν μὲν οὖν ἰδέαν τῆς νόσου καὶ ὅτι τὰ νεῦρα αὐτῷ ἐπεφρίκει, ἐν Ἱεροῖς βιβλίοις αὐτὸς φράζει, τὰ δὲ βιβλία ταῦτα ἐφημερίδων ἐπέχει τινὰ αὐτῷ λόγον, αἱ δὲ ἐφημερίδες ἀγαθαὶ διδάσκαλοι τοῦ περὶ παντὸς εὖ διαλέγεσθαι. ἐπὶ δὲ τὸ σχεδιάζειν μὴ ἑπομένης αὐτῷ τῆς
582 φύσεως ἀκριβείας ἐπεμελήθη καὶ πρὸς τοὺς παλαιοὺς ἔβλεψεν ἱκανῶς τε τῷ γονίμῳ ἴσχυσε κουφολογίαν ἐξελὼν τοῦ λόγου. ἀποδημίαι δὲ Ἀριστείδου οὐ πολλαί, οὔτε γὰρ ἐς χάριν τῶν πολλῶν διελέγετο οὔτε ἐκράτει χολῆς ἐπὶ τοὺς μὴ ξὺν ἐπαίνῳ ἀκροωμένους, ἃ δέ γε ἐπῆλθεν ἔθνη, Ἰταλοί
II τέ εἰσι καὶ Ἕλλας καὶ ἡ πρὸς τῷ Δέλτα κατῳκημένη Αἴγυπτος, οἳ χαλκοῦν ἔστησαν αὐτὸν ἐπὶ τῆς κατὰ τὴν Σμύρναν ἀγορᾶς.

Οἰκιστὴν δὲ καὶ τὸν Ἀριστείδην τῆς Σμύρνης εἰπεῖν οὐκ ἀλαζὼν ἔπαινος, ἀλλὰ δικαιότατός τε καὶ ἀληθέστατος, τὴν γὰρ πόλιν ταύτην ἀφανισθεῖσαν ὑπὸ σεισμῶν τε καὶ χασμάτων οὕτω τι ὠλοφύρατο πρὸς τὸν Μάρκον, ὡς τῇ μὲν ἄλλῃ μονῳδίᾳ θαμὰ ἐπιστενάξαι τὸν βασιλέα, ἐπὶ δὲ

1. τοῦ. om. E. Φιλάργου. e. 2. ἐσπέρᾳ. 1 et p ex corr. o. ἐσπέρα. 2, 3, e, m. ib. μέλλειν. μ, λ, e. ib. ἐστιν om. R. ib. ἀστὴρ ἐστὶν f, k. 3. τούτου πυρὸς om. ox. 4. σὺ μὲν γὰρ. r, f, k. ib. ἄρκτῳ. r. ἄρκτον om. l. 5. μὴ φαίνωμαι. R. 7. τίνες τε. r. ib. καὶ om. o. ib. ἡ τῆς. k. 8. γὰρ χαίρειν. β, 3. 10. ἡμῖν. 2. τηρούμενον. l. 11. τοὔνομα om. g. ib. χρημάτων, pro συμμάχων. λ. ib. πέμψωμεν. λ. ib. εἴπατε. C, E. εἴποτε. J. 12. δήπου. g. δέ που. ς.

13. ὁ om. o. ib. μείων. r, f. μείζων. ς. 14. ἐκκλιθῆναι. π, fe. ib. ἑαυτοῦ. μ. ἑαυτῷ. v. 15. χαίροι, r, β, 3. χαίρει. ς. 16. ἐν τῇ. R, r, f, k, o. ἐν. β, 2, 3, e, m. ib. περὶ. 1 et p ex corr. o. παρὰ. 2, 3, e, m.

17. εἴτε Εὐδαίμονα εἴτε Εὐδαίμονος. 2. 18. ἐν τοῖς. f, ρ, k. ib. τὴν τοῦ. 3, E. 19. γλῶτταν. R, r, β, 2, 3, e, m. δόξαν. f, k et ρ ubi mg. γρ. γλῶτταν. 20. αἰτίαν. ox. sec. m. pro ἰδέαν. 21. φράζει. r. sic not. ib. ἐπέχειν. β. 22. ἀγαθαὶ. 1 g ex corr. et Synes. 155. b. ἀγαθοὶ. 2, p, φ, π, E. 23. ἔβλαψεν. β. 24. τοῦ λόγου ἐξελὼν. f. ἐξελὼν τοῦ τοῦ λόγου. r. 25. ἃ om. g. γε om. π. 26. κατῳκημένη. r, f. κατῳκειμένη. β. κατῳκισμένη. ς. 27. Σμυρναῖοι χαλκοῦν. o ex conj. Grut. et Salm. Smyrnaei statuerunt. Bonf.

28. Σμύρνης. 1, 2, φ, e, m. Σμύρνης εἰπεῖν. p ex corr. Σμ. λέγειν. π, g. Σμύρνης εἶναι. o. 29. οὕτω τοι. μ, p.

II, 8, §. 3, 4. 9. § 1, 2. p. 581. 582. = 82. 83. 84.

τῷ „ζέφυροι δὲ ἐρήμην καταπνέουσι“ καὶ δάκρυα τῷ βιβλίῳ ἐπιστάξαι τὸν βασιλέα ξυνοικίαν τε τῇ πόλει ἐκ τῶν τοῦ Ἀριστείδου ἐνδοσίμων νεῦσαι. ἐτύγχανε δὲ καὶ ξυγγεγονὼς ἤδη τῷ Μάρκῳ ὁ Ἀριστείδης ἐν Ἰωνίᾳ, ὡς γὰρ τοῦ Ἐφεσίου Δαμιανοῦ ἤκουον, ἐπεδήμει μὲν ὁ αὐτοκράτωρ ἤδη τῇ Σμύρνῃ τρίτην ἡμέραν, τὸν δὲ Ἀριστείδην οὔπω γιγνώσκων ἤρετο τοὺς Κυντιλίους, μὴ ἐν τῷ τῶν ἀσπαζομένων ὁμίλῳ παρεωραμένος αὐτῷ ὁ ἀνὴρ εἴη, οἱ δὲ οὐδὲ αὐτοὶ ἔφασαν ἑωρακέναι αὐτόν, οὐ γὰρ παρεῖναι τὸ μὴ οὐ ξυστῆσαι, καὶ ἀφίκοντο τῆς ὑστεραίας τὸν Ἀριστείδην ἅμφω δορυφοροῦντες. προσειπὼν δὲ αὐτὸν ὁ αὐτοκράτωρ „διὰ τί σε“ ἔφη „βραδέως εἴδομεν“; καὶ ὁ Ἀριστείδης „θεώρημα“, ἔφη „ὦ βασιλεῦ, ἠσχόλει, γνώμη δὲ θεωροῦσά τι μὴ ἀποκρεμαννύσθω οὗ ζητεῖ.“ ὑπερησθεὶς δὲ ὁ αὐτοκράτωρ τῷ ἤθει τἀνδρὸς ὡς ἁπλοικωτάτῳ τε καὶ σχολικωτάτῳ „πότε“ ἔφη „ἀκροάσομαί σου“; καὶ ὁ Ἀριστείδης „τήμερον“ εἶπεν „πρόβαλε καὶ 583
αὔριον ἀκροῶ· οὐ γὰρ ἐσμὲν τῶν ἐμούντων, ἀλλὰ τῶν ἀκριβούντων. ἐξέστω δέ, ὦ βασιλεῦ, καὶ τοὺς γνωρίμους παρεῖναι τῇ ἀκροάσει.“ „ἐξέστω“ ἦ δ' ὁ Μάρκος, „δημοτικὸν γάρ.“ εἰπόντος δὲ τοῦ Ἀριστείδου „δεδόσθω δὲ αὐτοῖς, ὦ βασιλεῦ, καὶ βοᾶν καὶ κροτεῖν, ὁπόσον δύνανται“, μειδιάσας ὁ αὐτοκράτωρ „τοῦτο“ ἔφη „ἐπὶ σοὶ κεῖται.“ οὐκ ἔγραψα τὴν μελετηθεῖσαν ὑπόθεσιν, ἐπειδὴ ἄλλοι ἄλλην φασίν, ἐκεῖνό γε μὴν πρὸς πάντων ὁμολογεῖται, τὸν Ἀριστείδην ἀρίστῃ φορᾷ ἐπὶ τοῦ Μάρκου χρήσασθαι πόρρωθεν τῇ Σμύρνῃ ἑτοιμαζούσης τῆς τύχης τὸ δι' ἀνδρὸς τοιούτου διανοικισθῆναι. καὶ οὐ φημὶ ταῦτα, ὡς οὐχὶ καὶ τοῦ βασιλέως ἀνοικίσαντος ἂν ἀπολωλυῖαν πόλιν, ἣν οὖσαν ἐθαύμασεν, ἀλλ' ὅτι αἱ βασίλειοί τε καὶ θεσπέσιοι φύσεις, ἢν προσεγείρῃ αὐτὰς ξυμβουλία καὶ λόγος, ἀναλάμπουσι μᾶλλον καὶ πρὸς τὸ ποιεῖν εὖ ξὺν ὁρμῇ φέρονται.

Δαμιανοῦ κἀκεῖνα ἤκουον, τὸν σοφιστὴν τοῦτον διαβάλλειν μὲν τοὺς αὐτοσχεδίους ἐν ταῖς 111
διαλέξεσι, θαυμάζειν δὲ οὕτω τὸ σχεδιάζειν, ὡς καὶ ἰδίᾳ ἐκπονεῖν αὐτὸν ἐν δωματίῳ ἑαυτὸν καθειργνύντα, ἐξεπόνει δὲ κῶλον ἐκ κώλου καὶ νόημα ἐκ νοήματος ἐπανακυκλῶν. τοῦτο δὲ ἡγώμεθα μασωμένου μᾶλλον ἢ ἐσθίοντος, αὐτοσχέδιος γὰρ γλώττης εὐροούσης ἀγώνισμα. κατηγοροῦσι δὲ τοῦ Ἀριστείδου τινὲς ὡς εὐτελὲς εἰπόντος προοίμιον ἐπὶ τῶν μισθοφόρων τῶν ἀπαιτουμένων τὴν γῆν, ἄρξασθαι γὰρ δὴ αὐτὸν τῆς ὑποθέσεως ταύτης ὧδε· „οὐ παύσονται οὗτοι οἱ
ἄνθρωποι παρέχοντες ἡμῖν πράγματα.“ λαμβάνονται δέ τινες καὶ ἀκμῆς τοῦ ἀνδρὸς ἐπὶ τοῦ παραιτουμένου τὸν τειχισμὸν τῆς Λακεδαίμονος, εἴρηται δὲ ὧδε· „μὴ γὰρ δὴ ἐν 584
τείχει ἐπιπτήξαιμεν ὀρτύγων ἀναψάμενοι φύσιν.“ λαμβάνονται καὶ παροιμίας ὡς ταπεινῶς προσερριμμένης, ἐπιδιαβάλλων γὰρ τὸν Ἀλέξανδρον ὡς πατρῴζοντα τὴν ἐν τοῖς πράγμασι δεινότητα τοῦ πατρὸς ἔφη τὸ παιδίον εἶναι. οἱ αὐτοὶ κατηγοροῦσι καὶ σκώμματος,

1. ζέφυροι δὲ. k, p ex corr. π, g. ζέφυροι. ς. ib. αὐτὴν προσπνέουσι. β. αὐτὴν καταπνέουσι. 2, 3. E. ib. τὸν βασιλέα om. β, 2, 3, E. 2. τοῦ om. 2, 3, E. ib. νεῦσαι. 1, μ et p ex corr. πνεῦσαι. v, e et m. πρ. γρ. πνεῦσαι. ἐπινεῦσαι. π, g, m, o. ib. ἐνετύγχανε. vt. ἔτυχε. π. ἐτύγχανε — Ἰωνίᾳ om. v. 3. ὁ Ἀριστείδης ἐν Ἰωνίᾳ. 1. Ἀρ. ἐν Ἰωνίᾳ. μ. ἐν Ἰωνίᾳ ὁ Ἀρ. β. ἐν Ἰωνίᾳ Ἀρ. ox, 3, vt, E. 4. τῇ om. p, e, m. ib. τὸν δὴ. E. ib. Κυντιλλίους. β, 3, vt, e, m. 5. παρεωραμένους. r (sic not. υ). παριωραμένους. f, k. ib. ὁ om. β. 6. ἑαυτὸν. k. αὐτὸν om. g.

ib. παρῆναι. r, f. ἂν παρεῖναι. m, o. 7. δακρυφοροῦντες. 2. ib. ὁ αὐτοκράτωρ om. 2. 8. ἴδωμεν. 1. ib. ἔφη om. vt. ib. θεωροῦσί τι. p. 9. τἀνδρὸς. r, k. τοῦ ἀνδρὸς. ς. ib. ἁπλοικωτάτῳ τε. 1, o. ἁπλοικωτάτῳ. 2, 3, e, m. 10. καὶ σχολικωτάτῳ om. e, m. ib. εἶπεν. r. ib. πρόβαλλε. 2. 12. παρεῖναι κατὰ τὴν ἀκρόασιν. vt. 13. ὦ βασιλεῦ καὶ βοᾶν καὶ κροτεῖν. 1. ἐμβοᾶν καὶ κροτεῖν, ὦ βασιλεῦ. 2, 3, E (ἐκβοᾶν. p). 16. τῇ τύχῃ. v. 17. ἀνοικισθῆναι. π. ἀκοικισθῆναι. g. Fo: δὴ ἀνοικισθῆναι. ib. οὗ φημι. C (praeter f: οὐ φημί). οὐ φησὶ. e, m, ubi mg. ἴσ. φασί. ib. ἀνοικήσαντος. r, m. ἀνοικίσοντος. o. ib. ἂν om. m, o. 18. προσεγείρει. k. ib. ξυμβουλία. r. ib. τις αὐτὰς (αὐτὸς. ox) ξυμβουλίᾳ τε καὶ λόγῳ (λόγον. μ). 2. 19. εὖ ποιεῖν. f, ρ, k, o.

21. ἐκπονεῖν αὐτὸν R, r, f, k. ἐκπονεῖν αὐτὸ. β, 2, p, E. ἐκπονεῖν αὐτῷ. π, g. ib. ἑαυτὸν. 1. αὐτὸν. 2, 3, E. 22. καθειργνῦντα. r. ib. καὶ ἐξεπόνει. 2. 23. μασωμένου. 1. μασσωμένου. 2, 3, E. ib. ἀγώνισμα εὐροούσης. f, ρ, k. 26. καὶ ἀκμῆ. π, g. 27. εἴρηται δὲ ὧδε. om. v. ib. μὴ δὲ γὰρ. ox. 28. ἐπιτήξαιμεν. 1 praeter β. ib. δὲ καὶ. 2. E. 29. προσερρημένης. r. ib. πατρῴζοντα. r. 30. τὸ πατρὸς. e, m.

II. 9. § 3. p. 583. 584. = 81. 85. 68.

ἐπειδὴ τοὺς Ἀριμασποὺς τοὺς μονομμάτους ἔφη ξυγγενεῖς εἶναι τοῦ Φιλίππου, ὥσπερ τοῦ Δημοσθένους ἀπολελογημένου τοῖς Ἕλλησιν ὑπὲρ τοῦ τραγικοῦ πιθήκου καὶ τοῦ ἀρουραίου Οἰνομάου. ἀλλὰ μὴ ἐκ τούτων τὸν Ἀριστείδην, δηλούτω δὲ αὐτὸν ὅ τε Ἰσοκράτης ὁ τοὺς Ἀθηναίους ἐξάγων τῆς θαλάττης καὶ ὁ ἐπιτιμῶν τῷ Καλλιξείνῳ ἐπὶ τῷ μὴ θάπτειν τοὺς δέκα καὶ οἱ βουλευόμενοι περὶ τῶν ἐν Σικελίᾳ καὶ ὁ μὴ λαβὼν Αἰσχίνης παρὰ τοῦ Κερσοβλέπτου τὸν σῖτον καὶ οἱ παραι-
585 τούμενοι τὰς σπονδὰς μετὰ τὸ κτεῖναι τὰ γένη, ἐν ᾗ μάλιστα ὑποθέσεων ἀναδιδάσκει ἡμᾶς, πῶς ἄν τις ἀσφαλῶς κεκινδυνευμένας τε καὶ τραγικὰς ἐννοίας μεταχειρίσαιτο. καὶ πλείους ἑτέρας ὑποθέσεις οἶδα εὐπαιδευσίαν ἐνδεικνυμένας τοῦ ἀνδρὸς τούτου καὶ ἰσχὺν καὶ ἦθος, ἀφ' ὧν μᾶλλον αὐτὸν θεωρητέον, ἢ εἴ που καὶ παρέπτυσέ τι ἐς φιλοτιμίαν ἐκπεσών. καὶ τεχνικώτατος δὲ σοφιστῶν ὁ Ἀριστείδης ἐγένετο καὶ πολὺς ἐν θεωρήμασι, ὅθεν καὶ τοῦ σχεδιάζειν ἀπηνέχθη, τὸ γὰρ κατὰ θεωρίαν βούλεσθαι προάγειν πάντα ἀσχολεῖ τὴν γνώμην καὶ ἀπαλλάττει τοῦ ἑτοίμου. ἀποθανεῖν δὲ τὸν Ἀριστείδην οἱ μὲν οἴκοι γράφουσιν, οἱ δὲ ἐν Ἰωνίᾳ ἔτη βιώσαντα οἱ μὲν ἑξήκοντά φασιν, οἱ δὲ ἀγχοῦ τῶν ἑβδομήκοντα.

i. Ἀδριανὸν δὲ τὸν Φοίνικα Τύρος μὲν ἤνεγκεν, Ἀθῆναι δὲ ἤσκησαν. ὡς γὰρ τῶν ἐμαυτοῦ διδασκάλων ἤκουον, ἀφίκετο μὲν ἐς αὐτὰς κατὰ Ἡρῴδην, φύσεως δὲ ἰσχὺν σοφιστικωτάτην ἐνδεικνύμενος καὶ οὐκ ἄδηλος ὢν ὡς ἐπὶ μέγα ἥξοι· ἐφοίτησε μὲν γὰρ τῷ Ἡρῴδῃ ὀκτὼ καὶ δέκα ἴσως γεγονὼς ἔτη καὶ ταχέως ἀξιωθείς, ὧν Σκέπτος τε καὶ Ἀμφικλῆς ἠξιοῦντο, ἐνεγράφη καὶ τῇ τοῦ Κλεψυδρίου ἀκροάσει. τὸ δὲ Κλεψύδριον ὧδε εἶχεν· τῶν τοῦ Ἡρῴδου ἀκροατῶν δέκα οἱ ἀρετῆς ἀξιούμενοι ἐπεσιτίζοντο τῇ ἐς πάντας ἀκροάσει κλεψύδραν ξυμμεμετρημένην ἐς ἑκατὸν ἔπη, ἃ διῄει ἀποτάδην ὁ Ἡρῴδης παρῃτημένος τὸν ἐκ τῶν ἀκροατῶν ἔπαινον καὶ μόνου γεγονὼς
586 τοῦ λέγειν. παραδεδωκότος δὲ αὐτοῦ τοῖς γνωρίμοις τὸ μηδὲ τὸν τοῦ πότου καιρὸν ἀνιέναι, ἀλλὰ κἀκεῖ τι ἐπισπουδάζειν τῷ οἴνῳ ξυνέπινε μὲν ὁ Ἀδριανὸς τοῖς ἀπὸ τῆς κλεψύδρας ὡς κοινωνὸς μεγάλου ἀπορρήτου, λόγου δὲ αὐτοῖς περὶ τῆς ἑκάστου τῶν σοφιστῶν ἰδέας προβαίνοντος παρελθὼν ἐς μέσους ὁ Ἀδριανὸς „ἐγὼ" ἔφη „ὑπογράψω τοὺς χαρακτῆρας οὐ κομματίων ἀπομνημονεύων ἢ νοιδίων ἢ κώλων ἢ ῥυθμῶν, ἀλλ' ἐς μίμησιν ἐμαυτὸν καθιστὰς καὶ τὰς ἁπάντων ἰδέας ἀποσχεδιάζων σὺν εὐροίᾳ καὶ ἐφιεὶς τῇ γλώττῃ." παραλιπόντος δὲ αὐτοῦ τὸν Ἡρῴδην ὁ μὲν Ἀμφικλῆς ἤρετο τοῦ χάριν τὸν διδάσκαλον αὐτῶν παρέλθοι αὐτός τε ἐρῶν τῆς ἰδέας ἐκείνους τε ἰδὼν ἐρῶντας „ὅτι" ἔφη „οὗτοι μὲν οἷοι καὶ μεθύοντι παραδοῦναι μίμησιν, Ἡρῴδην δὲ τὸν βασιλέα τῶν λόγων ἀγαπητὸν ἦν ἄοινός τε καὶ νήφων ὑποκρίνωμαι." ταῦτα ἀπαγγελθέντα τῷ Ἡρῴδῃ διέχεεν αὐτὸν ὄντα καὶ ἄλλως ἥττω εὐδοξίας. ἐπήγγειλε δὲ τῷ Ἡρῴδῃ καὶ ἀκρόασιν σχεδίου λόγου νεάζων ἔτι, καὶ ὁ Ἡρῴδης οὐχ ὡς διαβάλλουσί τινες, βασκαίνων τε καὶ τωθάζων, ἀλλ' ἀπὸ τοῦ διακειμένου τε καὶ ἵλεω ἀκροασάμενος ἐπέρρωσε τὸν νεανίαν εἰπὼν ἐπὶ πᾶσιν „κολοσσοῦ ταῦτα

1. Ἀριμασπούς. r. Ἀρειμασπούς. f, k. Ἀρισπασμούς. μ. ib. ἔφη om. β. 4. καὶ βουλευόμενοι. β. 5. παρὰ τοῦ. 1. ὑπὲρ τοῦ. 2. 3, E. 8. εὐπαιδευσίας. f. ib. ἐνδεικνυμένου. f, β, φ, π, g, e, m. 9. παρέπτυσέ τι. e, m. 11. πάντας. k. 13. φασιν om. μ.

14. τῶν ἑαυτοῦ. R. 15. καὶ ἰσχὺν. k. ib. σοφιστικωτάτης. R. 16. τῷ Ἡρῴδῃ om. R. ib. ἴσως γεγονὼς. 1, o γεγονὼς ἴσως. 2, 3, e, m. ib. καὶ om. R. 17. ὧν Σκαιός τε καὶ Ἀμφι... ἦς ἠξιοῦτο. R. ib. καὶ ὁ Ἀμφ. r, f, k. 18. Κλεψυδρια... εἶχε. R. εἶχεν. r. 19. ἐπεσιτίζοντο – ἀποτάδην om. R. ib. ἐς ρ' ἔπη. β. 20. τῶν ἐκ. r. ib μόνου R, f, k, β, o. μόνον ου. r (sic). μόνος. 2, 3, e, m. 21. τὸν om. e, m. 23. τῶν om. f. ib. ἑκάστης. β. 24. ἀπομνημονεύσας. R. 25. νοηδίων. r. ib. ἰδέας. r, f, ρ, k, β. διανοίας. R, 2, 3, E. 26. ἐφιεὶς. 1 et p, o, v. ἀφιεὶς 2, 3, e, m. 27. ἐκείνου τε. r. ib. εἰδὼς. μ, v. 28. μὲν om. R. ib. τῶν λόγων om. R. 29. ὑποκρίνομαι. R, r, β. m. ib. διέκειεν. f. διέκαιεν. e, m. 30. ὄντα καὶ ἄλλως ἥττω εὐδοξίας. r. ἥττω καὶ ἄλλως ὄντα εὐδοξίας. cett. C (ὑπὸ εὐδοξίας, ceteris omissis per lacunam R) et E. ib. ἐπήγγειλε. r. ἐπέστειλε. R. ἀπήγγειλε. μ. ib. δὲ Ἡρῴδῃ. π. g. E. ib. νεάζων – ὡς καὶ (255, 5.) om. R. 31. ἀπὸ τοῦ διακειμένου καὶ ἵλεω. Θ. v. ἀπο τοῦ διακιμένου. 32. καὶ εἰπών. k. ib. πᾶσιν. r.

II, 9, 10. §. 1. p. 585. 586. = 86. 87.

μεγάλα σπαράγματα εἴη", ἅμα μὲν διορθούμενος αὐτὸν ὡς ὑφ' ἡλικίας διεσπασμένον τε καὶ μὴ ξυγκείμενον, ἅμα δὲ ἐπαινῶν ὡς μεγαλόφωνόν τε καὶ μεγαλογνώμονα. καὶ λόγον τῷ Ἡρώδῃ ἀποθανόντι ἐπεφθέγξατο ἐπάξιον τοῦ ἀνδρός, ὡς ἐς δάκρυα ἐκκληθῆναι τοὺς Ἀθηναίους ἐν τῇ τοῦ λόγου ἀκροάσει.

Μεστὸς δὲ οὕτω παρρησίας ἐπὶ τὸν θρόνον παρῆλθε τὸν Ἀθήνησιν, ὡς προοίμιόν οἱ γενέσθαι τῆς πρὸς αὐτοὺς διαλέξεως μὴ τὴν ἐκείνων σοφίαν, ἀλλὰ τὴν ἑαυτοῦ, ἤρξατο γὰρ δὴ ὧδε· „πάλιν ἐκ Φοινίκης γράμματα." τὸ μὲν δὴ προοίμιον τοῦτο ὑπερπνέοντος ἦν τοὺς Ἀθηναίους καὶ διδόντος τι αὐτοῖς ἀγαθὸν μᾶλλον ἢ λαμβάνοντος, μεγαλοπρεπέστατα δὲ τοῦ Ἀθήνησι θρόνου ἐπεμελήθη ἐσθῆτα μὲν πλείστου ἀξίαν ἀμπεχόμενος, ἐξηρτημένος δὲ τὰς θαυμασιωτέρας τῶν λίθων καὶ κατιὼν μὲν ἐπὶ τὰς σπουδὰς ἐπ' ἀργυροχαλίνου ὀχήματος, ἐπεὶ δὲ σπουδάσειε, ζηλωτὸς αὖ ἐπανιὼν ξὺν πομπῇ τοῦ πανταχόθεν Ἑλληνικοῦ, οἵδε γὰρ ἐθεράπευον αὐτόν, ὥσπερ τὰ γένη τῆς Ἐλευσῖνος ἱεροφάντην λαμπρῶς ἱερουργοῦντα. ὑπεποιεῖτο δὲ αὐτοὺς καὶ παιδιαῖς καὶ πότοις καὶ θήραις καὶ κοινωνίᾳ πανηγύρεων Ἑλληνικῶν, ἄλλα ἄλλῳ ξυννεάζων, ὅθεν διέκειντο πρὸς αὐτόν, ὡς πρὸς πατέρα παῖδες, ἡδύ τε καὶ πρᾷον καὶ ξυνδιαφέροντα αὐτοῖς τὸ Ἑλληνικὸν σκίρτημα. ἐγώ τοι καὶ δακρύοντας αὐτῶν ἐνίους οἶδα, ὁπότε ἐς μνήμην τοῦ ἀνδρὸς τούτου καθίσταντο, καὶ τοὺς μὲν τὸ φθέγμα ὑποκοριζομένους, τοὺς δὲ τὸ βάδισμα, τοὺς δὲ τὸ εὔσχημον τῆς στολῆς.

Ἐπαχθεῖσαν δὲ αὐτῷ καὶ φονικὴν αἰτίαν ὧδε ἀπέφυγεν· ἦν Ἀθήνησιν ἀνθρώπιον οὐκ ἀγύμναστον τοῦ περὶ τοὺς σοφιστὰς δρόμου· τούτῳ ἀμφορέα μέν τις οἴνου προσάγων ἢ ὄψα ἢ ἐσθῆτα ἢ ἀργύριον εὐμεταχειρίστῳ ἐχρῆτο, καθάπερ οἱ τὰ πεινῶντα τῶν θρεμμάτων τῷ θαλλῷ ἄγοντες, εἰ δὲ ἀμελοῖτο, φιλολοιδόρως εἶχε καὶ ὑλάκτει. τῷ μὲν οὖν Ἀδριανῷ προσκεκρούκει διὰ τὴν εὐχέρειαν τοῦ ἤθους, Χρῆστον δὲ τὸν ἐκ τοῦ Βυζαντίου σοφιστὴν ἐθεράπευεν, καὶ ὁ μὲν Ἀδριανὸς ἐκαρτέρει τὰ ἐξ αὐτοῦ πάντα, δήγματα κόρεων τὰς ἐκ τῶν τοιούτων λοιδορίας καλῶν, οἱ γνώριμοι δὲ οὐκ ἐνεγκόντες παρεκελεύσαντο τοῖς ἑαυτῶν οἰκέταις παίειν αὐτόν, καὶ ἀνοιδησάντων αὐτῷ τῶν σπλάγχνων ἐν ἡμέρᾳ τριακοστῇ ἀπέθανε παρασχών τινα καὶ αὐτὸς τῷ θανάτῳ λόγον, ἐπειδὴ ἀκράτου νοσῶν ἔσπασεν. οἱ δὲ προσήκοντες τῷ τεθνεῶτι γράφονται τὸν σοφιστὴν φόνου παρὰ τῷ τῆς Ἑλλάδος ἄρχοντι ὡς ἕνα Ἀθηναίων, ἐπειδὴ φυλή τε ἦν αὐτῷ καὶ δῆμος Ἀθήνησιν, ὁ δὲ ἀπέγνω τὴν αἰτίαν ὡς μήτε ταῖς ἑαυτοῦ χερσὶ μήτε ταῖς τῶν ἑαυτοῦ δούλων τετυπτηκότος τὸν τεθνάναι λεγόμενον. ξυνήρατο δὲ αὐτῷ τῆς ἀπολογίας πρῶτον μὲν τὸ Ἑλληνικὸν τίνας οὐχὶ ἀφιέντες ὑπὲρ αὐτοῦ φωνὰς δακρύοις ἅμα, ἔπειτα ἡ τοῦ ἰατροῦ μαρτυρία ἡ ἐπὶ τῷ οἴνῳ.

1. πράγματα. β. ib. εἴη. C, E. Fo: ἂν εἴη. ib. διεσπασμένον. 1, p, g. διεσπαρμένον. 2, E. 2. καὶ μεγαλόφωνον. f. ib. μεγαλόγνωμον. r. 3. ἀπάξιον. e, et m, ubi ἴσ. ἐπά.

5. παρῆλθεν. r. ib. ὡς καὶ. k et p ex corr. o. 6. γὰρ δὴ. r. γὰρ δὲ. f. μὲν. π, g. γὰρ. ς. 7. ὑπερπαίοντος. v. ὑπεραινοῦντος. m in mg. πρ. γρ. ὑπερπνέοντος. ib. τοῦ Ἀθηναίου. ρ. 8. τι om. R, 2, 3, e, m. 9. δὲ om. R, 3. 10. κατιὼν μὲν. p ex corr. κατιὼν δὲ. ς (καθιὼν. m. o). ib. σπουδὰς. 1. σπονδὰς. 2, 3, e, m. correxit Val. ib. ἐπ᾽ἀργυροχαλίνου. f. om. ἐπ᾽. R. ἐπ᾽ ἀργυρογχαλίνου. p. 11. σπουδάσειεν. r, f. 12. ὀργιάζοντα. p. 13. ἄλλα ἄλλου. R. ἄλλα ἄλλως. π. 14. διέκειτο. R. ἐκειντο. β. ib. ξυνδιαφέροντα 1, μ (ubi mg. ἐγεγρτο. ξυνδιεφέροιτο). ξυνδιεφέροντο. v, ox, π, g, e, m. ξυνδιειφέροντα. p. 15. ἐγώ τι. π, g. ib. αὐτὸν. R, β. ib. ἔνιοι. r. ib. εἶδον. ρ a sec m et k. ib. τοῦ ἀνδρὸς om. β. 17. χολῆς. β.

18. δὲ om. R. ib. φοινικὴν. ox. in mg. ἄλλοι φονικὴν. et γρ. φοινικὴν. m. 19. ἀμφιφορέα. R. 20. εὐμεταχειρίστῳ τούτῳ. R. πρ. γρ. ἀμεταχειρίστῳ. m. habet e. ib. ἐχρῆτο. p ex corr. ἐχρήσατο. ς. 21. ἀμελοῖντο. e, m. ib. φιλολοιδόρως om. R. ib. εἶχεν. r. ib. προσεκρούκει. r. 22. ἐκ τοῦ r, f, β. ἐκ. ς. ib. ἐθεράπευεν. r. 23. κόρεως. r. 24. ἑαυτῷ. e, m. τοὺς ἑαυτῶν οἰκέτας. R. 25. αὐτῶν. k. ib. ἐν ἡμέρᾳ λ. r, f, β. ἐν ἡμέρᾳ τριακοστῇ. k et p ex corr. ἐν ἡμέραις τριάκοντα. R, 2, 3. ἡμέραις τριάκοντα. E. ib. ἀπέθανεν. f. 26. τῷ σοφιστῇ. r. corr. m. sec. 27. περὶ k. ib. Ἀθηνῶν β. 28. μήτε — χερσὶ om. β. ib. χερσὶ om. R. χερσὶν. r, f. ib. τετυπτηκότος. r, f, ρ, k et p ex corr. τετυπτηκὼς. β, 2, 3, E. τετυπηκὼς. R. 29. τὸν om. β. ib. τεθνεῶτα. π. ib. αὐτῷ τε. R. αὐτῶν τῆς. k. ib. πρῶτα. β. ib. Ἑλληνικὸν. β. 30. ἀφέντες. r. ἀφιέντας. 2. ib. ὑπὲρ ἑαυτοῦ. R. ib. ἡ τοῦ ἰατροῦ μαρτυρία ἡ ἐπὶ τῷ οἴνῳ. r. ἡ ἐπὶ τῷ οἴνῳ τοῦ ἰατροῦ μαρτυρία. ς.

II, 10. §. 2, 3. p. 587. 588 = 87. 88. 89.

IV Κατὰ δὲ τοὺς χρόνους, οὓς ὁ αὐτοκράτωρ Μάρκος Ἀθήναζε ὑπὲρ μυστηρίων ἐστάλη, ἐκράτει μὲν ἤδη τοῦ τῶν σοφιστῶν θρόνου ὁ ἀνὴρ οὗτος, ἐν μέρει δὲ ὁ Μάρκος τῆς τῶν Ἀθηνῶν ἱστορίας ἔθετο μηδὲ τὴν ἐκείνου σοφίαν ἀγνοῆσαι· καὶ γὰρ δὴ καὶ ἐπέταξεν αὐτὸν τοῖς νέοις οὐκ ἀκροάσει βασανίσας, ἀλλὰ ξυνθέμενος τῇ περὶ αὐτοῦ φήμῃ. Σεβήρου δὲ ἀνδρὸς ὑπάτου διαβάλλοντος αὐτὸν ὡς τὰς σοφιστικὰς ὑποθέσεις ἐκβακχεύοντα διὰ τὸ ἐρρῶσθαι πρὸς τοὺς ἀγῶνας ἔλεγχον τούτου ποιούμενος ὁ Μάρκος προὔβαλε μὲν αὐτῷ τὸν Ὑπερίδην τὸν ἐς μόνας ἐπιστρέ-
589 φοντα τὰς Δημοσθένους γνώμας, ὅτε δὴ ἐν Ἐλατείᾳ Φίλιππος ἦν. ὁ δὲ οὕτως τὸν ἀγῶνα εὐηνίως διέθετο, ὡς μηδὲ τοῦ Πολέμωνος ῥοίζου λείπεσθαι δόξαι. ἀγασθεὶς δὲ αὐτὸν ὁ αὐτοκράτωρ ἐπὶ μέγα ἦρε δωρεαῖς τε καὶ δώροις. καλῶ δὲ δωρεὰς μὲν τάς τε σιτήσεις καὶ τὰς προεδρίας καὶ τὰς ἀτελείας καὶ τὸ ἱερᾶσθαι καὶ ὅσα ἄλλα λαμπρύνει ἄνδρας, δῶρα δὲ χρυσὸν ἄργυρον ἵππους ἀνδράποδα καὶ ὅσα ἑρμηνεύει πλοῦτον, ὧν αὐτόν τε ἐνέπλησε καὶ γένος τὸ ἐκείνου πάντας.

V Κατασχὼν δὲ καὶ τὸν ἄνω θρόνον οὕτως τὴν Ῥώμην ἐς ἑαυτὸν ἐπέστρεψεν, ὡς καὶ τοῖς ἀξυνέτοις γλώττης Ἑλλάδος ἔρωτα παρασχεῖν ἀκροάσεως. ἠκροῶντο δὲ ὥσπερ εὐστομούσης ἀηδόνος, τὴν εὐγλωττίαν ἐκπεπληγμένοι καὶ τὸ σχῆμα καὶ τὸ εὔστροφον τοῦ φθέγματος καὶ τοὺς πεζῇ τε καὶ ξὺν ᾠδῇ ῥυθμούς. ὁπότε οὖν σπουδάζοιεν περὶ τὰς ἐγκυκλίους θέας, ὀρχηστῶν δὲ αὗται τὸ ἐπίπαν, φανέντος ἂν περὶ τὴν σκηνὴν τοῦ τῆς ἀκροάσεως ἀγγέλου ἐξανίσταντο μὲν ἀπὸ τῆς συγκλήτου βουλῆς, ἐξανίσταντο δὲ τῶν δημοσίᾳ ἱππευόντων οὐχ οἱ τὰ Ἑλλήνων σπουδάζοντες μόνον, ἀλλὰ καὶ ὑπόσοι τὴν ἑτέραν γλῶτταν ἐπαιδεύοντο ἐν τῇ Ῥώμῃ καὶ δρόμῳ ἐχώρουν ἐς τὸ Ἀθήναιον ὁρμῆς μεστοὶ καὶ τοὺς βάδην πορευομένους κακίζοντες.

VI Νοσοῦντι δὲ αὐτῷ κατὰ τὴν Ῥώμην, ὅτε δὴ καὶ ἐτελεύτα, ἐψηφίσατο μὲν τὰς ἐπιστολὰς ὁ
590 Κόμμοδος ξὺν ἀπολογίᾳ τοῦ μὴ καὶ θᾶττον, ὁ δὲ ἐπιθειάσας μὲν ταῖς Μούσαις, ὥσπερ εἰώθει, προσκυνήσας δὲ τὰς βασιλείους δέλτους τὴν ψυχὴν πρὸς αὐταῖς ἀφῆκεν ἐνταφίῳ τῇ τιμῇ χρησάμενος· ἐτελεύτα δὲ ἀμφὶ τὰ ὀγδοήκοντα ἔτη, οὕτω τι εὐδόκιμος, ὡς καὶ πολλοῖς γόης δόξαι· ὅτι μὲν οὖν ἀνὴρ πεπαιδευμένος οὐκ ἄν ποτε ἐς γοήτων ὑπαχθείη τέχνας, ἱκανῶς ἐν τοῖς ὑπὲρ Διονυσίου λόγοις εἴρηκα, ὁ δέ, οἶμαι, τερατευόμενος ἐν ταῖς ὑποθέσεσι περὶ τὰ τῶν μάγων ἤθη τὴν ἐπωνυμίαν ταύτην παρ' αὐτοῖς ἔσπασεν. διαβάλλουσι δὲ αὐτὸν ὡς καὶ ἀναιδῆ τὸ ἦθος, πέμψαι μὲν γὰρ αὐτῷ τινα τῶν γνωρίμων ἰχθῦς διακειμένους ἐπὶ δίσκου ἀργυροῦ πεποικιλμένου χρυσῷ, τὸν δὲ ὑπερησθέντα τῷ δίσκῳ μήτε ἀποδοῦναι καὶ ἀποκρίνασθαι τῷ πέμψαντι „εὖγε, ὅτι καὶ τοὺς ἰχθῦς.“ τουτὶ δὲ διατριβῆς μὲν ἕνεκα παῖξαι λέγεται πρός τινα τῶν ἑαυτοῦ γνωρίμων, ὃν ἥκουε μικροπρεπῶς τῷ πλούτῳ χρώμενον, τὸν δὲ ἄργυρον ἀποδοῦναι σωφρονίσας τὸν ἀκρουατὴν τῷ ἀστεισμῷ.

1. δὲ om. r. ib. ἐστάλει r. 2. Ἀθηναίων. v, g. 3. ἔθετο om. 3, E. ib. δὴ ἐπέταξεν. β, 2, 3, E. 4. ὑπάτου ἀνδρὸς. R. 6. αὐτοῦ. β. ib. Ὑπερείδην. r. 7. τὰς τοῦ. R. ib. ὅτε δὴ καὶ. μ. ib. οὕτως. r, f, g. οὗτος. p. οὕτω. ς. 8. εὖ (sic) διέθετο. k. ib. ἀγασθεὶς δὲ ὁ αὐτοκράτωρ αὐτὸν. β. 9. σιτίσεις. v, p, π, e. ib. προεδρείας. r. 10. ἱεροῦσθαι. r et p ex corr. ἱερᾶσαι. π. ἱερῶσθαι. e, m. ib. ἀργύριον. E. 11. ἑρμηνεύειν e et m: πρ. γρ. ἑρμηνεύειν. ib. ἐνέπλησεν. r. ib. ἐκείνου ἅπαν. R.

12. καὶ om. R, 2, 3, e, m. ib. ἐς αὐτὸν. r. πρὸς αὐτὸν. ς. Scr. ἐς ἑαυτὸν. ib. τῶν ἀξυνέτοις. k. 13. γλώττης. 1, o. τῆς γλώττης. 2, 3, e, m. 14. ἐκπεπληγμένοι. R, r, β. ἐκπτωημένοι. f. ἐκπτοημένοι. k. ἐπτοημένοι. ρ et a sec. m. ἐκπληττόμενοι, quod est in 2, 3, E. 15. τε ξὺν. o. ib. ξυνωδῇ. r. ib. σπουδάζοιεν. 1. σπουδάζειε. 2. σπουδάζοι. p. σπουδάζοιε. π, g. σπουδάσειε. E. σπουδάσειαν. Val. ib. ὀρχιστῶν. r, p, g, e. 16. παρὰ. R. 17. δημοσίων. R. ib. οὐχὶ. μ, ox, E. 18. ἑτέραν μὲν. R. 19. Ἀθηναῖον. R.

21. Κόμοδος. f, ρ, μ, v, p, g. ib. ταῖς Μοίσαις. 1, o. τὰς Μούσας. 2, 3, e, m. 22. τοὺς. f, k. ib. πρὸς αὐτοῖς. f. τὴν πρὸς αὐταῖς. e. τὴν ἐπ' αὐταῖς πνοήν. m ubi mg. γρ. πρ. πρὸς αὐταῖς ἀ. ib. προ..... τῇ τιμῇ. R. ib. ἐνταφίῳ τὴν τιμὴν. r, del. utroque v a sec. m. ἐν τῷ ταφίῳ τῇ τιμῇ. f, ρ, k. ἐνταφίῳ τῇ τιμῇ. β, 2, 3, o, Val. ἐνταφίῳ τὴν τιμὴν. e, m. 23. μὲν οὖν περὶ τὰ π ἔτη. R. ib. οὕτω τοι. μ, v, p. ib. ὡς καὶ πολλοῖς om. R. ib. δεῖξαι. ox. 24. ἀνὴρ πεπαιδευμένος οὐκ ἄν ποτε. R. ἀνὴρ οὐκ ἄν ποτε πεπαιδευμένος. ς. ib. περὶ Διονυσίου. k, p. 25. εἴρηκεν. R. ib. μάγων ἤσθη. R. 26. ἀνειδῆ. β. 27. αὐτῶν. k. 28. ὅτι om. f, ρ, k. 29. δὲ om. f.

II, 10, §. 4, 5, 6. p. 589. 590. = 89. 90.

Ὁ δὲ σοφιστὴς οὗτος πολὺς μὲν περὶ τὰς ἐννοίας καὶ λαμπρὸς καὶ τὰς διασκευὰς τῶν ὑποθέ- VII
σεων ποικιλώτατος ἐκ τῆς τραγῳδίας τοῦτο ᾔρηκώς, οὐ μὴν τεταγμένος γε, οὐδὲ τῇ τέχνῃ ἑπόμε-
νος, τὴν δὲ παρασκευὴν τῆς λέξεως ἀπὸ τῶν ἀρχαίων σοφιστῶν περιεβάλλετο ἤχῳ προσάγων μᾶλ-
λον ἢ κρότῳ. πολλαχοῦ δὲ τῆς μεγαλοφωνίας ἐξέπεσεν ἀταμιεύτως τῇ τραγῳδίᾳ χρησάμενος.

ιά. Τὸν δὲ Βυζάντιον σοφιστὴν Χρῆστον ἀδικεῖ ἡ Ἑλλὰς ἀμελοῦντες ἀνδρός, ὃς ἄριστα 5
μὲν Ἑλλήνων ὑπὸ Ἡρώδου ἐπαιδεύθη, πολλοὺς δὲ ἐπαίδευσε καὶ θαυμασίους ἄνδρας, ὧν ἐγένετο 591
Ἱππόδρομός τε ὁ σοφιστὴς καὶ Φιλίσκος καὶ Ἰσαγόρας ὁ τῆς τραγῳδίας ποιητὴς ῥήτορές τε εὐδόκι-
μοι Νικομήδης ὁ ἐκ τοῦ Περγάμου καὶ Ἀκύλας ὁ ἐκ τῆς ἑῴου Γαλατίας καὶ Ἀρισταίνετος ὁ Βυ-
ζάντιος καὶ τῶν ἐλλογίμως φιλοσοφησάντων Κάλλαισχρός τε ὁ Ἀθηναῖος καὶ ὁ ἐπὶ βωμῷ Σῶσπις
καὶ πλείους ἕτεροι λόγου ἄξιοι. παιδεύοντι δὲ αὐτῷ κατὰ τοὺς Ἀδριανοῦ τοῦ σοφιστοῦ καιροὺς 10
ἑκατὸν ἔμμισθοι ἀκροαταὶ ἦσαν καὶ ἄριστοι τούτων, οὓς εἶπον. Ἀδριανοῦ δὲ καθιδρυθέντος ἐς
τὴν Ῥώμην ἐψηφίζοντο μὲν οἱ Ἀθηναῖοι πρεσβεύεσθαι ὑπὲρ Χρήστου τὸν Ἀθήνησιν αὐτῷ θρόνον
ἐκ βασιλέως αἰτοῦντες, ὁ δὲ παρελθὼν ἐς αὐτοὺς ἐκκλησιάζοντας διέλυσε τὴν πρέσβευσιν ἄλλα τε
διαλεχθεὶς ἀξιόλογα καὶ ἐπὶ πᾶσιν εἰπών „οὐχ αἱ μύριαι τὸν ἄνδρα.“

Οἴνου δὲ ἡττώμενος παροινίας ἐκράτει καὶ εὐχερείας καὶ ἀγερωχίας, ἣν ὁ οἶνος ἐπὶ τὰς γνώ- 15 II
μας τῶν ἀνθρώπων ἐσάγει, τοσοῦτον δὲ αὐτῷ περιῆν τοῦ νήφειν, ὡς καὶ ἐς ἀλεκτρυόνων ᾠδὰς
προβάντος τοῦ πότου σπουδῆς αὐτὸν ἅπτεσθαι, πρὶν ὕπνου σπάσαι. διεβέβλητο δὲ μάλιστα πρὸς
τοὺς ἀλαζόνας τῶν νέων καίτοι χρησιμωτέρους τῶν ἄλλων ὄντας ἐς τὰς ξυμβολὰς τοῦ μισθοῦ.
Διογένη γοῦν τὸν Ἀμαστριανὸν ὁρῶν τετυφωμένον ἐκ μειρακίου καὶ περινοοῦντα μὲν σατραπείας, 592
περινοοῦντα δὲ αὐλὰς καὶ τὸ ἀγχοῦ βασιλέων ἑστήξειν, λέγοντα δέ, ὡς ὁ δεῖνα Αἰγύπτιος προει- 20
ρήκοι αὐτῷ ταῦτα, ὁ ..... μηδὲ τὰ ἑαυτοῦ σιωπῶν.

Τὴν δὲ ἰδέαν τῶν λόγων πεποίκιλται μὲν ἐκ τῶν Ἡρώδου πλεονεκτημάτων, λείπεται δὲ αὐ- III
τῶν τοῦ ἑτοίμου, καθάπερ ἐν ζωγραφίᾳ ἡ ἄνευ χρωμάτων ἐσκιαγραφημένη μίμησις, προῦβη δὲ ἂν
καὶ ἐς τὸ ἴσον τῆς ἀρετῆς, εἰ μὴ πεντηκοντούτης ἀπέθανεν.

ιβ'. Πολυδεύκη δὲ τὸν Ναυκρατίτην οὐκ οἶδα, εἴτε ἀπαίδευτον δεῖ καλεῖν εἴτε πεπαιδευ- 25
μένον, εἴθ', ὅπερ εὔηθες δόξει, καὶ ἀπαίδευτον καὶ πεπαιδευμένον· ἐνθυμουμένῳ γὰρ αὐτοῦ τὰ
ὀνόματα ἱκανῶς ἐγεγύμναστο τὴν γλῶτταν τῆς ἀττικιζούσης λέξεως, διορῶντι δὲ τὸ ἐν ταῖς μελέ-
ταις εἶδος οὐδὲν βέλτιον ἑτέρου ἠττίκισεν. τάδε οὖν χρὴ περὶ αὐτοῦ εἰδέναι· Πολυδεύκης τὰ μὲν 11
κριτικὰ ἱκανῶς ἤσκητο, πατρὶ ξυγγενόμενος τοὺς κριτικοὺς λόγους εἰδότι, τοὺς δὲ σοφιστικοὺς τῶν

1. ὁ σοφιστὴς. r. ὁ δὴ σοφιστὴς. R, 3, e. ib. λαμπρὸς τὰς. o, m. 2. εἰρηκὼς. ox. ib. γε om. μ, ox. 3. διαλέξεως. R. ib. περιεβάλετο. ox, g. ib. ἤχῳ — κρότου. μ, v. 4. ἀταμιεύτως. r, f, k, β, o. ἀταμιεύτῳ. R, 2, 3, e, m. ib. χρησάμενος. 1. χρώμενος. 2, 3, E.

5. χρῆστον σοφιστὴν. R. ib. ἀμελοῦντος. β, l. ἀμελοῦσα. 2. ib. τοῦ ἀνδρὸς. 2. 6. ὑπὸ Ἡρώδου. μ, l, λ. ὑπὸ Ἡρώδῃ. ς. 7. τε om. R. ib. ῥήτορες δὲ. μ. 8. Ἀσκύλας. v. ib. τῆς ἑῴου. 1, 2, p, φ, Val. τῆς ἑῴας. π, g. τοῦ τῆς ἑῴου. e, m. τῆς ἑῴου. o. ib. Γαλατείας. β. ib. Βιζάντιος. g. 9. ἐλλογίμων. π, g. ib. Κάλαισχρός τε. R, f, ρ, β, c. ib. ὁ Θηβαῖος. R. 10. παιδεύονται. f, ρ, k, β. ib. τοὺς τοῦ. R. 11. εἰπὼν. r. ib. δὲ οἱ. R. ib. καθιδρυθέντος. f, ρ, k. ib. δὲ om. R, β. 12. πρεσβεῦσαι. R. πρεσβεύεσθαι. r, f, ρ, k, β. πρεσβεύσασθαι. ς. ib. ὑπὸ. r. ib. αὐτῶν. r, ρ. 14. αἱ om. β. ib. μυρίαι. E.

15. οἴνῳ. R. 16. ἐσάγει. R. ἄγει. ς. ib. δὲ om. λ. ib. αὐτῶν. k. ib. καὶ om. 2, m. 17. τοῦ πότου. 1. αὐτῷ τοῦ πότου. 2, 3, E. ib. ὕπνου. 1 et p ex corr. ὕπνον. 2, 3, E. ib. σπᾶσαι. E. ib. δὲ om. R. 18. ξυμβολὰς. R, r, g, c. ib. Διογένην. λ, π, g. 19. γοῦν om. g. ib. τὸν om. λ. 20. λέγοντα ὡς. r, f, ρ, k. ib. ὡς δεῖνα. R. ib. προειρήκει. b.

22. αὐτῶν. C. αὐτῷ. E. 23. ἐσκιογραφημένη. r. 24. ἀπέθανεν. 1, λ.

25. Πολυδεύκην. 2. ib. εἴτε ἀπαίδευτον δεῖ καλεῖν, εἴτε πεπαιδευμένον. r, f, ρ, k, β. εἴτε πεπαιδευμενον δεῖ καλεῖν εἴτε ἀπαίδευτον. R, 2, 3, E. 26. ὃ εὔηθες. R. 27. ἐγγεγύμναστο. π, g. γεγύμναστο δὲ ἱκανῶς τῆς ἀττικιζούσης λέξεως om. τὴν γλῶτταν. Θ. v. γεγύμναστο. 28. ἠττίκισεν. r. 29. μὲν κριτικοὺς. r. ib. τῶν λόγων om. R, β, 2, 3, E.

λόγων τόλμῃ μᾶλλον ἢ τέχνῃ ξυνέβαλλε θαρρήσας τῇ φύσει, καὶ γὰρ δὴ καὶ ἄριστα ἐπεφύκει. Ἀδριανοῦ δὲ ἀκροατὴς γενόμενος ἴσον ἀφέστηκεν αὐτοῦ καὶ τῶν πλεονεκτημάτων καὶ τῶν ἐλαττωμάτων, ἥκιστα μὲν γὰρ πίπτει, ἥκιστα δὲ αἴρεται, πλὴν ἀλλ' εἰσί τινες ἡδονῶν λιβάδες διακεκραμέναι τοῦ λόγου. ἰδέα δὲ αὐτοῦ διαλεγομένου μὲν ἥδε· „ὁ Πρωτεὺς ὁ Φάριος τὸ θαῦμα τὸ Ὁμηρικὸν πολλαὶ μὲν αὐτοῦ καὶ πολυειδεῖς αἱ μορφαί, καὶ γὰρ ἐς ὕδωρ αἴρεται καὶ ἐς πῦρ ἅπτεται καὶ ἐς λέοντα θυμοῦται καὶ ἐς σῦν ὁρμᾷ καὶ ἐς δράκοντα χωρεῖ καὶ ἐς πάρδαλιν πηδᾷ καὶ δένδρον ἢν γένηται, κομᾷ." μελετῶντος δὲ αὐτοῦ χαρακτῆρα ποιώμεθα τοὺς νησιώτας τοὺς τὰ γένη πιπράσκοντας ἐς τὴν ἀναγωγὴν τῶν φόρων, ἐπειδὴ βούλονται καὶ ἄριστα εἰρῆσθαι τήνδε τὴν ὑπόθεσιν, ἧς τὸ ἐπὶ πᾶσιν ὧδε εἴρηται· „παῖς ἠπειρώτης ἀπὸ Βαβυλῶνος πατρὶ νησιώτῃ γράφει· δουλεύω βασιλεῖ δῶρον ἐκ σατράπου δοθείς, οὔτε δὲ ἵππον ἀναβαίνω Μηδικὸν οὔτε τόξον λαμβάνω Περσικόν, ἀλλ' οὐδὲ ἐπὶ πόλεμον ἢ θήραν, ὡς ἀνήρ, ἐξέρχομαι, ἐν γυναικωνίτιδι δὲ κάθημαι καὶ τὰς βασιλέως θεραπεύω παλλακάς, καὶ βασιλεὺς οὐκ ὀργίζεται, εὐνοῦχος γάρ εἰμι. εὐδοκιμῶ δὲ παρ' αὐταῖς θάλατταν Ἑλληνικὴν διηγούμενος καὶ τὰ τῶν Ἑλλήνων μυθολογῶν καλά, πῶς Ἠλεῖοι πανηγυρίζουσι, πῶς Δελφοὶ θεσπίζουσι, τίς ὁ παρ' Ἀθηναίοις Ἐλέου βωμός. ἀλλὰ καὶ σύ, πάτερ, μοι γράφε, πότε παρὰ Λακεδαιμονίοις Ὑακίνθια καὶ παρὰ Κορινθίοις Ἴσθμια καὶ παρὰ Δελφοῖς Πύθια καὶ εἰ νικῶσιν Ἀθηναῖοι ναυμαχοῦντες. ἔρρωσο καὶ τὸν ἀδελφόν μοι προσαγόρευσον, εἰ μήπω πέπραται." ταῦτα μὲν δὴ ὁποῖα τοῦ ἀνδρὸς τούτου σκοπεῖν ἔξεστι τοῖς ἀδεκάστως ἀκροωμένοις. ἀδεκάστους δὲ ἀκροατὰς καλῶ τοὺς μήτε εὔνους μήτε δύσνους. ἐλέγετο δὲ ταῦτα καὶ μελιχρᾷ τῇ φωνῇ ἀπαγγέλλειν, ᾗ καὶ βασιλέα Κόμμοδον θέλξας τὸν Ἀθήνησι θρόνον παρ' αὐτοῦ εὔρετο. ἐβίω μὲν οὖν ἐς ὀκτὼ καὶ πεντήκοντα ἔτη, ἐτελεύτα δὲ ἐπὶ παιδὶ γνησίῳ μέν, ἀπαιδεύτῳ δέ.

594 ιή. Καισάρεια δὲ ἡ Καππαδοκῶν ὕρει Ἀργαίῳ πρόσοικος Παυσανίου τοῦ σοφιστοῦ οἶκος. ὁ δὲ Παυσανίας ἐπαιδεύθη μὲν ὑπὸ Ἡρώδου καὶ τῶν τοῦ Κλεψυδρίου μετεχόντων εἷς ἐγένετο, οὓς ἐκάλουν οἱ πολλοὶ διψῶντας, ἐς πολλὰ δὲ ἀναφέρων τῶν Ἡρώδου πλεονεκτημάτων καὶ μάλιστα τὸ αὐτοσχεδιάζειν ἀπήγγελλε δὲ αὐτὰ παχείᾳ τῇ γλώττῃ καὶ ὡς Καππαδόκαις ξύνηθες, ξυγκρούων μὲν τὰ σύμφωνα τῶν στοιχείων, συστέλλων δὲ τὰ μηκυνόμενα καὶ μηκύνων τὰ βραχέα, ὅθεν ἐκάλουν αὐτὸν οἱ πολλοὶ μάγειρον πολυτελῆ ὄψα πονήρως ἀρτύοντα. ἡ δὲ ἰδέα τῆς μελέτης ὑπτιωτέρα, ἔρρωται δὲ ὅμως καὶ οὐχ ἁμαρτάνει τοῦ ἀρχαίου, ὡς ὑπάρχει ταῖς μελέταις ξυμβαλεῖν, πολλαὶ γὰρ τοῦ Παυσανίου κατὰ τὴν Ῥώμην, οἳ δὴ καὶ καταβιοὺς ἀπέθανε γηράσκων ἤδη, τοῦ θρόνου μετέ-

1. ξυνέβαλλεν. r. ξυτέβαλε. R, 2, π. ib. θαρσήσας. r, π. ib. καὶ γὰρ καὶ. g. ib. πεφύκει. k. 2. ἴσος. R ἶσον. E. 3. διακεκραμέναι. R, r, β. διακεκρυμέναι. f, ρ, k. διακεκραμένου. 2, 3, e, m. διακεκραμένοι. o. 4. ἥδε. ve. ὧδε. C, E. 7. χωρεῖ om. 2, e, m. ib. παρδάλην. β. ib. πηδᾷ. r, ve ἅττει. cett. C et o. ἅπτει. e et m, ubi ἵσ. ἅττει. 8. ἀγωγὴν. f, ρ, k. ib. τήνδε τὴν. r, f, k, 2, o. τὴν δὲ. π, g, e, m. τὴν. R. 9. οἷς. k. 10. Βαβυλῶνα. β. 11. ἐκ σατραπείας. μ. 12. ὡς ἀνὴρ ἐξέρχομαι ἢ θήραν. R. ib. γυναικονίτιδι. R, r. 14. εὐδοκιμῶ δὲ. 1, o. εὐδοκιμῶ γὰρ. 2, π, g et p ex corr. e, m. ib. αὐτῆς. R. 15. μυθολογῶν. R, r, f, ρ, μ, et p ex corr. o. μυθολόγων. k. μυθολογῶ. β, v, ox, π, g, e, m. 16. ὁ Παναθηναίοις. 2. 17. πάτερ μου. f. πάτερ μοῦ. k. πατήρ μοι. e, m. ib. παρὰ om. R. 19. ἀδελφὸν μοῦ. k. 21. ἔλεγε. R. 22. ἐπαγγέλλει. R. ib. εὕρετο. R. εὔρατο. ς. 23. παιδὶ om. β.

λ

24. δὲ om. μ. 25. ὑπὸ Ἡρώδη. g. ib. τοῦ om. f. τῶν δὲ Κλ. R. 27. ἀπήγγελλε. R, f, ρ, k, β. ἀπήγγελε. r. (sic corr.) ἀπήγγειλε. 2, 3, E. ib. ταῦτα. R. ib. μὲν om. R. 28. συλλέγων. R. 29. πονήρως. ox, g et m. γρ. ποτηρῶς. ς. 30. πολλαὶ γὰρ τοῦ. R. πολλαὶ γὰρ αἱ τοῦ. r, f, ρ, k, β, 3, o. πολλαὶ γὰρ αὐτοῦ. 2, e. 31. οἳ. r. οὐ. ς. ib. ἀπέθανεν. f. ib. τοῦ θρόνου μετέχων. p in mg. deest in ς.

II, 13. p. 594. = 93. 94.

χων, [καὶ] μετέχων δὲ καὶ τοῦ Ἀθήνησιν, ὅτε δὴ καὶ ἀπιὼν ἐκεῖθεν ἐπὶ πᾶσιν, οἷς πρὸς τοὺς Ἀθηναίους διεξῆλθε, καιριώτατα τὸ τοῦ Εὐριπίδου ἐπεφθέγξατο

„Θησεῦ, πάλιν με στρέψον, ὡς ἴδω πόλιν."

ιδ'. Ἀθηνόδωρος δὲ ὁ σοφιστὴς τὸ μὲν ἐς πατέρα ἦκον ἐπιφανέστατος ἦν τῶν κατὰ τὴν Αἶνον, τὸ δὲ ἐς διδασκάλους καὶ παίδευσιν φανερώτατος τοῦ Ἑλληνικοῦ. Ἀριστοκλέους μὲν γὰρ ἤκουσε παῖς ἔτι, Χρήστου δὲ ἤδη ξυνιείς, ὅθεν ἀπ' ἀμφοῖν ἐκράθη τὴν γλῶτταν ἀττικίζων τε κἀκ περιβολῆς ἑρμηνεύων. παιδεύων δὲ Ἀθήνησι κατὰ τοὺς χρόνους, οὓς καὶ Πολυδεύκης ἐπαίδευσεν, ἐπίσκωπτεν αὐτὸν ταῖς διαλέξεσιν ὡς μειρακιώδη λέγων „οἱ Ταντάλου κῆποι" δοκεῖν ἐμοὶ τὸ κοῦφον τοῦ λόγου καὶ ἐπιπόλαιον φαντασίᾳ προσεικάζων οὔσῃ τε καὶ οὐκ οὔσῃ. ἐμβριθὴς δὲ καὶ τὸ ἦθος γενόμενος ἐτελεύτα ἡβῶν ἔτι ἀφαιρεθεὶς ὑπὸ τῆς τύχης τὸ καὶ πρόσω ἐλάσαι δόξης. 595

ιε'. Λαμπρὸν ἐν σοφισταῖς καὶ Πτολεμαῖος ὁ Ναυκρατίτης ἤχησεν. ἦν μὲν γὰρ τῶν μετεχόντων τοῦ ἱεροῦ τοῦ περὶ Ναύκρατιν ὀλίγοις Ναυκρατιτῶν ὑπάρχον, Ἡρώδου δὲ ἀκροατὴς μέν, οὐ μὴν ζηλωτὴς ἐγένετο, ἀλλ' ἐς τὸν Πολέμωνα μᾶλλον ὑπηνέχθη. τὸν γὰρ ῥοῖζον τοῦ λόγου καὶ τὸ πνεῦμα καὶ τὸ ἐκ περιβολῆς φράζειν ἐκ τῆς Πολέμωνος σκηνῆς ἐσηγάγετο. λέγεται δὲ καὶ αὐτοσχεδιάσαι σὺν εὐροίᾳ ἀμηχάνῳ, δικῶν τε καὶ δικαστηρίων παρέτραγεν, οὐ μήν, ὡς ὄνομα ἐντεῦθεν ἄρασθαι. Μαραθῶνα δὲ αὐτὸν ἐπωνόμαζον, ὡς μέν τινες, ἐπειδὴ τῷ Μαραθῶνι δήμῳ ἐνεγράφη Ἀθήνησιν, ὡς δὲ ἐνίων ἤκουον, ἐπειδὴ ἐν ταῖς Ἀττικαῖς τῶν ὑποθέσεων τῶν Μαραθῶνι προκινδυνευσάντων θαμὰ ἐμνημόνευεν.

Κατηγοροῦσι δὲ τοῦ Πτολεμαίου τινὲς ὡς μὴ διορῶντος τὰς ὑποθέσεις, μηδὲ ὅπη ξυνεστᾶσί τε καὶ μή, τεκμήριον τόδε τιθέμενοι τῆς κατηγορίας ταύτης· τοὺς Μεσσηνίους οἱ Θηβαῖοι γράφονται τὴν τῶν ἀχαριστησάντων, ἐπεὶ τοὺς φεύγοντας αὐτῶν μὴ ἐδέξαντο, ὅτε καὶ αἱ Θῆβαι ὑπὸ Ἀλεξάνδρου ἥλωσαν. ταύτην γὰρ ἐπιφανῶς αὐτῷ εἰρημένην τὴν ὑπόθεσιν καὶ σοφῶς, ὡς οἷόν τε, συκοφαντοῦσι λέγοντες, ὡς εἰ μὲν ζῶντος Ἀλεξάνδρου κρίνονται, τίς οὕτω θρασύς, ὡς καταψηφίσασθαι Μεσσηνίων; εἰ δὲ τεθνεῶτος, τίς οὕτω πρᾶος, ὡς ἀπογνῶναι τὴν αἰτίαν; οὐ γὰρ ξυνιᾶσιν οἱ ταῦτα διαβάλλοντες, ὅτι ἡ τῶν Μεσσηνίων ἀπολογία κατὰ ξυγγνώμην ἵσταται τὸν Ἀλέξανδρον προισχομένων καὶ τὸν ἐκείνου φόβον, οὗ μηδὲ ἡ ἄλλη Ἑλλὰς ἀπείρως εἶχεν. ταῦτά μοι ἀπολελογήσθω ὑπὲρ τοῦ ἀνδρὸς παραιτουμένῳ αὐτὸν ἀδίκου καὶ πεπανουργημένης αἰτίας· καὶ γὰρ δὴ καὶ εὐφημότατος σοφιστῶν οὗτος. πλεῖστα δὲ ἐπελθὼν ἔθνη καὶ πλείσταις ἐνομιλήσας πόλεσιν οὐ-

1. καὶ μετέχων δὲ καὶ. C, E, praeter f: καὶ μετέχων δὲ. Fo: μετεῖχε δὲ καὶ. ib. ἀπιὼν. v. 2. κυριώτατα. f. κυριώτητα. k. ib. τὰ τοῦ. 2.

4. εἰς πατέρα. μ. τό γε μὴν ἐς πατέρας ἦκον. Θ. v. μὴν. ib. τῶν om. 2, 3, e, m. ib. τὸν Αἶνον. R. 5. εἰς διδασκάλου. μ. ib. Ἀριστοκλέου μὲν. R. Ἀριστοτέλους μὲν. μ. 6. ξυνιεὶς om. R cum lac. ib. ἐπ' ἀμφοῖν. k. ἀμφοῖν om. ἀπ'. f. ib. ἐκράθη. 1. ἐκράτει. 2, 3, E. 7. δὲ καὶ περὶ τὰς Ἀθῆνας. R. ib. καταχρόνους. r. κατὰ τοὺς χρόνους. R. ib. καὶ om. μ. 8. ἐπέσκωπτεν. μ, v et m. ἴσ. ἐπίσκωπτεν. ἐπέκοπτεν. ς. 9. οὔσῃ ἔτι. k. οὐκ οὔσῃ τε καί. e. ib. ἐμβρισθεὶς. f. ἐμβριθεὶς. k. ib. καὶ om. μ. 10. εἶδος. R. ib. τὸ καὶ. 1 et p ex corr. καὶ τό. 2, 3, E.

11. μὲν om. μ, v. 12. τοῦ περὶ Ναύκρατιν om. μ, π, e, m cum lac. ib. λόγοις. v. 13. ἐς τὸν Πολέμωνα. 1. μ. v. ἐς τὸν Πολέμωνος. sequente lac. φ, g, e, m. ἐς τὸν Πολέμωνος ἦχον. π. 14. ἐκ τῆς. 1. ἐκ τῆς τοῦ. 2, 3. E. ib. ἐπηγάγετο. k. ib. δὲ om. g. 15. ξὺν. β. ib. παρέτραγεν. C, E. Fo: παρέτραγε μέν. ib. ὡς ὄνος ἄρασθαι. R. 16. τινὸς. g. 18. ἐμνημόνευεν. 1, 3. ἐμνημόνευσε. 2, E. ἐμνημόνευσεν. v.

19. διορῶντο. v. 20. Θηβαῖοι. p, sec. m. Ἀθηναῖοι. ς. 21. ὅτε αἱ. r. ὅτε καὶ αἱ. f, k et p ex corr. ὅτε καὶ R, 2, 3, E. ib. Ἀθῆναι. R. 22. καὶ om. r. ib. ὡς om. R. 23. κρίνοντας. v. 24. Μεσηνίων ut. 20, 25. μ. ib. οὕτως. e, m. 26. προισχημένων. f. προισχομένην k. 27. πεπανουργευμένου. R. πεπανουργουμένης. r. πεπανουργευμένης. ς. Sc. πεπανουργημένης. 28. εὐφημότατος. r. εὐφημώτατος. f. εὐφημότατος cum corr. εὐδοκιμώτατος. ρ. εὐδοκιμώτατος. R, β, k, 2, 3, E.

II. 14, 15. §. 1, 2. p. 595. 596. = 94. 95.

δαμοῦ διέβαλε τὸ ἑαυτοῦ κλέος, οὐδὲ ἧττων ἢ προσεδοκήθη ἔδοξεν, ἀλλ' ὥσπερ ἐπὶ λαμπροῦ ὀχήματος τῆς φήμης πορευόμενος διῄει τὰ ἄστη. ἐτελεύτα δὲ γηραιὸς ἐν Αἰγύπτῳ τοὺς ὀφθαλμοὺς οὐκ ἀφαιρεθεὶς μὲν ὑπὸ τοῦ τῆς κεφαλῆς ῥεύματος, ἐπικοπεὶς δέ.

ις'. Εὐοδιανὸν δὲ τὸν Σμυρναῖον τὸ μὲν γένος ἐς Νικήτην τὸν σοφιστὴν ἀνῆγεν, αἱ δὲ οἰκοι τιμαὶ ἐς τοὺς ἀρχιερέας τε καὶ στεφανουμένους τὴν ἐπὶ τῶν ὅπλων, τὰ δὲ τῆς φωνῆς ἄθλα ἐς τὴν Ῥώμην καὶ τὸν ἐκείνῃ θρόνον. ἐπιταχθεὶς δὲ καὶ τοῖς ἀμφὶ τὸν Διόνυσον τεχνίταις, τὸ δὲ ἔθνος τοῦτο ἀγέρωχοι καὶ χαλεποὶ ἀρχθῆναι, ἐπιτηδειότατος τὴν ἀρχὴν ἔδοξε καὶ κρείττων ἢ λαβεῖν αἰτίαν. υἱοῦ δὲ αὐτῷ τελευτήσαντος ἐν τῇ Ῥώμῃ οὐδὲν θῆλυ οὐδὲ ἀγεννὲς ἀνεφθέγξατο, ἀλλ' „ὦ τέκνον" τρὶς ἀνακαλέσας ἔθαψεν. ἀποθνήσκοντι δὲ αὐτῷ κατὰ τὴν Ῥώμην παρῆσαν μὲν οἱ ἐπιτήδειοι πάντες, βουλὴν δὲ αὐτῶν ποιουμένων ὑπὲρ τοῦ σώματος, εἴτε χρὴ καταθάπτειν αὐτόθι, εἴτε ταριχεύσαντας πορθμεύειν ἐς τὴν Σμύρναν ἀναβοήσας ὁ Εὐοδιανὸς „οὐ καταλείπω" ἔφη „τὸν υἱὸν μόνον." ὧδε μὲν δὴ σοφῶς ἐπέσκηψε τὸ τῷ παιδὶ ξυνταφῆναι. ἀκροατὴς δὲ Ἀριστοκλέους γενόμενος πανηγυρικῆς ἰδέας ἥψατο ἐν στρυφνῷ κρατῆρι συγκεράσας οἷον νᾶμα πότιμον. εἰσὶ δὲ οἳ φασι καὶ Πολέμωνος ἠκροᾶσθαι αὐτόν.

ιξ'. Ῥοῦφον δὲ τὸν ἐκ τῆς Περίνθου σοφιστὴν μὴ ἀπὸ τῆς οὐσίας, μηδὲ εἰ πολλοὶ ὕπατοι τὸ ἐκείνου γένος, μηδὲ εἰ τὴν τῶν Πανελληνίων Ἀθήνησιν εὐκλεῶς ἦρξεν, ταυτὶ γὰρ εἰ καὶ πλείω λέγοιτο, οὔπω τῇ σοφίᾳ τοῦ ἀνδρὸς παραβεβλῆσθαι ἄξια, ἀλλ' ἡ γλῶττα δηλούτω αὐτὸν καὶ ἡ ξύνεσις, ἧ περὶ τὰς ἐσχηματισμένας μάλιστα τῶν ὑποθέσεων ἐχρήσατο. τὴν δὲ ἰδέαν ταύτην ἐθαυμάσθη πρῶτον μέν, ὅτι χαλεπὴ ἑρμηνεῦσαι, δεῖ γὰρ ἐν ταῖς κατὰ σχῆμα ξυγκειμέναις τῶν ὑποθέσεων τοῖς μὲν λεγομένοις ἡνίας, τοῖς δὲ σιωπωμένοις κέντρου, ἔπειτα, οἶμαι, καὶ διὰ τὴν ἑαυτοῦ φύσιν, ἐκκειμένως γὰρ τοῦ ἤθους καὶ ἀπανούργως ἔχων ὑπεκρίνετο εὖ, κἂν μὴ ἐπεφύκει. πλουσιώτατος δὲ τῶν κατὰ τὸν Ἑλλήσποντον καὶ Προποντίδα γενόμενος καὶ δόξης αὐτῷ ἐπὶ τῷ σχεδιάζειν πολλῆς μὲν ὑπαρχούσης Ἀθήνησι, πολλῆς δὲ ἐν Ἰωνίᾳ τε καὶ Ἰταλίᾳ, οὐδαμοῦ κατέστησεν ἑαυτὸν ἐς ἀπέχθειαν ἢ πόλεως ἢ ἀνδρός, ἀλλὰ πραότητος ἦν χρηματιστής. ἐλέγετο δὲ καὶ γυμναστικῇ κρατύνειν τὸ σῶμα ἀναγκοφαγῶν ἀεὶ καὶ διαπονῶν αὐτὸ παραπλησίως τοῖς ἀγωνιζομένοις. ἀκροατὴς δὲ Ἡρώδου μὲν ἐν παισίν, Ἀριστοκλέους δὲ ἐν μειρακίοις γενόμενος καὶ μεγάλων ὑπ' αὐτοῦ ἀξιωθεὶς ἐλαμπρύνετο τῷ Ἡρώδῃ μᾶλλον δεσπότην τε αὐτὸν καλῶν καὶ Ἑλλήνων

1. διέβαλλε. v. ib. ἧττον. 2, φ, π, g, e, m. in p ἧττων est a sec. m. 2. τὰς πόλεις. R. β. ib. ὑπὸ. 1 et p ex corr. ἀπὸ. 2, 3, E. 3. ἐπικοπεὶς. p.

4. δὲ ὁ Σμυρναῖον. β. ib. ἦγεν. r. ib. οἶκοι. 1 et p ex corr. οἶκον. 2, 3, E. 5. τοὺς om. v. 6. ἐκείνῃ. r, f, ρ, k, o. ἐκείνης. β. ἐκεῖ. μ. ἐκεῖθεν. ox, v, 3, e, m. ib. Διονύσιον τεχνήτας. R. 7. ἀγέρωχον. R, 2. ib. χαλεποὶ. r, f, k, β et p ex corr. o. λεπτοὶ. R, 2, 3, e, m et Θ. v. λεπτόν. ib. ἔδοξεν. r, f. ib. κρεῖττον. 1. 8. αὐτῷ om. R. ib. ἀγεννὲς. R, r, f, β, p, π. ἀγενὲς. ς. 9. παρῆσαν οἱ ἐπιτηδειότατοι. R. 10. αὐτῶν om. R. ib. περὶ τοῦ. μ. ib. αὐτὸ. μ. 11. ταριχεύσαντες. r. ib. ἐπὶ τὴν. R. ib. Σμύρνην. r. ib. ἔφη, τὸν υἱὸν μόνον. r, f, ρ, k, β. τὸν υἱὸν. ἔφη, μόνον. R, 2, 3, E. 12. δὴ om. ox. ib. τὸ om. 2, e, m. ib. συνταφῆναι. μ, π. 13. οἱ νᾶμα. R. οἱτον νᾶμα. μ, g. 14. ἀκροᾶσαθαι. μ. ἀκροάσασθαι. v. ἀκροᾶσθαι. g. ib. αὐτοῦ. R.

15. τὸν om. m. 16. τὴν. 1. τῆς. 2, 3, E. ib. ἦρξεν. r, f. ib. καὶ om. g. 17. περιβεβλῆσθαι. f. 18. περὶ om. R, β, 2, φ, π, g, e, m (ubi in mg. κατά.) ἐς τὰς. p pr. m. ταῖς ἐσχηματισμέναις. 2. 19. ἐθαύμασε. R. ἐθαυμαστώθη. f. ib. ὅτι χαλεπὴ. p. χαλεπὴ. ς praeter o: γὰρ χαλεπὴ. ib. ἑρμηνεῦσαι. 1 et p. ἑρμηνεύειν. 2. ἑρμηνεύσ. π, g et m. cum lac. ib. ξυγκειμέναις. r. συγκειμέναις ὑποθέσεσι. R. 20. κέντρου. 1, p, o. κέντρον. 2, π, g, e, m. ib. οἶμαι καὶ διὰ. 1, 2, p. οἶμαι . . . . . ἀ. φ. οἶμαι . . . . . e et m (ubi ἴσ. διὰ τὴν.) οἶμαι κατὰ τὴν. π, g. 21. ἐγκειμένου. ρ. ἐγκειμένως. cett. C et e, m ubi γρ. ἐκκειμ. ἐκκειμένως. o. ib. κἂν μή. C, E. Fo: καὶ ἃ μή. 22. δὲ κατὰ. C, E. Sc. δὲ τῶν κατὰ. ib. Ἑλέσποντον. R. Ἑλλήσποντον. μ, v. ib. αὐτοῦ ἐπὶ τοῦ. R. 23. Ἀθήνησιν. r. ib. τε om. 2, 3, e, m. 24. πραότατος. 2 et m. γρ. 25. ἀναγκοφαγῶν. r in mg. ἀναγκαιοφαγῶν cett. C. (ἀναγκαιοφαγεῖν. R.) et E. ib. αὐτῷ. g. ib. δὲ om. r. 27. ἀξιωθεὶς ὑπ' αὐτοῦ. β. ib. τε αὐτὸν καλῶν. r, f. k, β. αὐτὸν ἀποκαλῶν. R, 2, 3, E.

γλῶτταν καὶ λόγων βασιλέα καὶ πολλὰ τοιαῦτα. ἐτελεύτα δὲ οἴκοι ἔν καὶ ἑξήκοντα ἔτη γενόμενος καὶ ἐπὶ παισίν, ὑπὲρ ὧν γε μέγα οὐδὲν ἔχω εἰπεῖν, πλήν γε δὴ ὅτι ἀπ' ἐκείνου.

ιή. Ὀνόμαρχος δὲ ὁ ἐκ τῆς Ἄνδρου σοφιστὴς οὐκ ἐθαυμάζετο μέν, οὐ μεμπτὸς δὲ ἐφαίνετο. ἐπαίδευσε μὲν γὰρ κατὰ χρόνους, οὓς Ἀδριανός τε καὶ Χρῆστος Ἀθήνησι, πρόσοικος δὲ ὢν τῆς Ἀσίας τῆς Ἰωνικῆς ἰδέας οἷον ὀφθαλμίας ἔσπασε, σπουδαζομένης μάλιστα τῇ Ἐφέσῳ, ὅθεν δόκει τισὶν οὐδ' ἠκροᾶσθαι Ἡρώδου καταψευδομένοις τοῦ ἀνδρός· τὸ μὲν γὰρ τῆς ἑρμηνείας παρέφθορεν ἔσθ' ὅπη δι' ἣν εἴρηκα αἰτίαν, αἱ δὲ ἐπιβολαὶ τῶν νοημάτων Ἡρώδειοί τε καὶ ἀπορρήτως γλυκεῖαι. ἔξεστι δὲ αὐτὸν θεωρεῖν ἐπὶ τοῦ τῆς εἰκόνος ἐρῶντος, εἰ μὴ μειρακιεύεσθαι δόξω. εἴρηται δὲ ὧδε· „ὦ κάλλος ἔμψυχον ἐν ἀψύχῳ σώματι, τίς ἄρα σε δαιμόνων ἐδη- 599
μιούργησεν; πειθώ τις ἢ χάρις ἢ αὐτὸς ὁ Ἔρως, ὁ τοῦ κάλλους πατήρ; ὡς πάντα
σοι πρόσεστιν ἐν ἀληθείᾳ προσώπου στάσις χρόας ἄνθος βλέμματος κέντρον
μειδίαμα κεχαρισμένον παρειῶν ἕρευθος ἀκοῆς ἴχνος. ἔχεις δὲ καὶ φωνὴν μέλλουσαν ἀεί. τάχα τι καὶ λαλεῖς, ἀλλ' ἐμοῦ μὴ παρόντος, ἀνέραστε καὶ βάσκανε,
πρὸς πιστὸν ἐραστὴν ἄπιστε. οὐδενός μοι μετέδωκας ῥήματος. τοιγαροῦν τὴν
φρικωδεστάτην ἅπασιν ἀεὶ τοῖς καλοῖς ἀρὰν ἐπὶ σοὶ θήσομαι· εὔχομαί σοι γη-
ρᾶσαι." τελευτῆσαι δὲ αὐτὸν οἱ μὲν Ἀθήνησι, οἱ δὲ οἴκοι, μεσαιπόλιόν τε καὶ παριόντα ἐς γῆρας, γενέσθαι δὲ ἀγροικότερον τὸ εἶδος καὶ κατὰ τὸν Μάρκου τοῦ Βυζαντίου αὐχμόν.

ιθ. Ἀπολλώνιος δὲ ὁ Ναυκρατίτης Ἡρακλείδῃ μὲν ἐναντία ἐπαίδευσε τὸν Ἀθήνησι θρόνον κατειληφότι, λόγου δὲ ἐπεμελήθη πολιτικοῦ καὶ εὖ κεκολασμένου, ἧττον δὲ ἀγωνιζομένου, περιβολὴ γὰρ ἄπεστιν αὐτοῦ καὶ πνεῦμα. ὄντι δὲ αὐτῷ κακῷ τὰ ἐρωτικὰ γίγνεται παῖς ἐξ ἀδίκων γάμων Ῥουφῖνος ὁ ἐπ' αὐτῷ σοφιστεύσας οὐδὲν γόνιμον, οὐδὲ ἐκ καρδίας, ἀλλὰ τῶν ἐκείνου κομματίων τε καὶ νοιδίων ἐχόμενος, ἐφ' ᾧ καὶ λαβὼν αἰτίαν ἐξ ἀνδρὸς σοφοῦ „οἱ νόμοι" ἔφη „διδόασί μοι χρῆσθαι τοῖς πατρῴοις." καὶ ὃς „διδόασι μέν", εἶπεν „ἀλλὰ τοῖς κατὰ νόμους γεγονόσι". καθάπτονται δὲ αὐτοῦ τινες καὶ τὸ σταλῆναι ἐς Μακεδονίαν μισθωτὸν οἰκίας οὐδὲ εὖ πραττούσης. ἀλλ' ἀφείσθω τῶν τοιούτων· εὕροιμεν γὰρ ἂν καὶ τῶν πολὺ σοφῶν ἐνίους πολλὰ καὶ ἀνε- 600
λεύθερα ὑπὲρ χρημάτων πράξαντας, οὐ μὴν τόν γε Ἀπολλώνιον τοῦτον, κοινήν τε γὰρ παρέσχε τὴν οὐσίαν τῶν Ἑλλήνων τοῖς δεομένοις, καὶ οὐ βαρὺς ὑπὲρ μισθοῦ ξυμβῆναι. ἐτελεύτα δὲ ἑβδομηκοντούτης Ἀθήνησιν ἔχων ἐντάφιον τὴν ἐξ ἁπάντων Ἀθηναίων εὔνοιαν. Ἀδριανοῦ μὲν καὶ Χρήστου τῶν σοφιστῶν ἀκροατὴς ἐγένετο, ἀμφοῖν δὲ ἀφέστηκεν, ὅσον οἱ μὴ ἀκούσαντες. ἐφεώρα δὲ τὰς ὑποθέσεις ὑπεξιὼν μὲν τοῦ κοινοῦ, καιρὸν δὲ πλείω τοῦ ξυμμέτρου.

κ. Ὁ δὲ Ἀπολλώνιος ὁ Ἀθηναῖος ὀνόματος μὲν ἠξιώθη καθ' Ἕλληνας, ὡς ἱκανὸς τὰ

2. ὑπὲρ ὧν γε. 1. ὑπὲρ ὧν. 2, 3, E. ib. οὐδὲν μέγα. R. ib. εἰπεῖν ἔχω. β, 2, 3, E. ib. διότι. R. ib. ὅτι om. r. 3. Ὀνόμαρχος. r, f, k, β, p. Οἰνόμαχος. R. Οἰνόμαρχος. 2, π, g, φ, E. ib. δὲ om. r, f, k, p, g. ib. ὁ ἀπὸ. v. 4. μὲν om. R. 5. οὐσίας. f. ib. σπουδαζομένου. R. ib. σπουδαμένης. μ. 6. καταψευδομένης. β. ib. τὸ μὲν. μ, v, o. τὰ μὲν. p a sec. m. et k. τί μὲν. R, r, g, e, m. 7. Ἡρῴδειοι. r. 7. τῆς om. g. 9. ὦ κάλλος. g. ib. ἐν om. v. 10. ὁ ἔρως. r, f, β, p. ἔρως ς. 11. τάσις. k. 12. μειδίασμα. R, v. ib. παρειῶν ἕρευθος. 1, o. παρειῶν ἄνθος. 2, p, φ, e, m. παρειῶν ἵμερος. π, g. ib. καὶ om. 2. καλεῖς. φ, π, g, e, m. corr. B. ib. ἀλλ' om. R. 14. ἄπιτε. R. 15. αἰεὶ. f. ib. σοι. f, k. σε. ς. ib. γηράσαι ς praeter ve. 16. οἱ μὲν Ἀθήνησι. om. ox. 17. ἀγροικότερος. k. ib. καὶ om. R. ib. Μάρκον. r. Μάρχου τὸν. f.

18. Ἀθήνησι om. μ. cum. lac. 20. κακῷ om. g. 21. αὐτῶν. k. ib. οὐδὲ. β. 22. τε om. μ. 23. τοῖς πρώτοις. R. ib. τοῖς om. f, k. ib. γεγονάσι sed corr. r. 24. μισθοτὸν. r. μισθῷ τῆς οἰκίας εὖ πραττούσης. R. 25. εὕροις μὲν. R. ib. πολὺ σοφῶν. r, φ, v, e. πολυσοφῶν. ς. 26. τόν τε. R. ib. βουλομένοις. R. 28. μὲν γὰρ. R, β. 29. ἐφέστηκεν. β. ib. ὡς οἱ. R. ib. οἱ μηδὲν. k. οἱ μὴ. π, g. οἱ μηδὲ. ς. 31. καὶ ἀμφὶ. R.

II. 18, 19. 20. p. 599. 600. = 98.

δικανικὰ καὶ τὰ ἀμφὶ μελέτην οὐ μεμπτός, ἐπαίδευσε δὲ Ἀθήνησι καθ' Ἡρακλείδην τε καὶ τὸν ὁμώνυμον τοῦ πολιτικοῦ θρόνου προεστὼς ἐπὶ ταλάντῳ. διαπρεπὴς δὲ καὶ τὰ πολιτικὰ γενόμενος ἔν τε πρεσβείαις ὑπὲρ τῶν μεγίστων ἐπρέσβευσεν ἔν τε λειτουργίαις, ἃς μεγίστας Ἀθηναῖοι νομίζουσι, τήν τε ἐπώνυμον καὶ τὴν ἐπὶ τῶν ὅπλων ἐπετράπη καὶ τὰς ἐξ ἀνακτόρου φωνὰς ἤδη γηράσκων, Ἡρακλείδου μὲν καὶ Λογίμου καὶ Γλαύκου καὶ τῶν τοιούτων ἱεροφαντῶν εὐφωνίᾳ μὲν ἀποδέων, σεμνότητι δὲ καὶ μεγαλοπρεπείᾳ καὶ κόσμῳ παρὰ πολλοὺς δοκῶν τῶν ἄνω.

II Πρεσβεύων δὲ παρὰ Σεβῆρον ἐν Ῥώμῃ τὸν αὐτοκράτορα ἀπεδύσατο πρὸς Ἡρακλείδην τὸν σοφιστὴν τὸν ὑπὲρ μελέτης ἀγῶνα, καὶ ἀπῆλθεν ὁ μὲν τὴν ἀτέλειαν ἀφαιρεθείς, ὁ δὲ Ἀπολλώνιος δῶρα ἔχων. διαδόντος δὲ τοῦ Ἡρακλείδου λόγον οὐκ ἀληθῆ ὑπὲρ τοῦ Ἀπολλωνίου, ὡς αὐτίκα δὴ βαδιουμένου ἐς Λιβύην, ἡνίκα [Λεπτίνης] ἦν ὁ αὐτοκράτωρ ἐκεῖ καὶ τὰς ἐξ ἁπάσης γῆς ἀρετὰς συνῆγεν, καὶ πρὸς αὐτὸν εἰπόντος „ὥρα σοι ἀναγιγνώσκειν τὸν πρὸς Λεπτίνην“ „σοὶ μὲν οὖν“, ἦ δ' ὁ Ἀπολλώνιος, „καὶ γὰρ δὴ καὶ ὑπὲρ τῆς ἀτελείας γέγραπται“.

III Βαλβῖδα μὲν δὴ τοῦ λόγου ὁ Ἀπολλώνιος ἐκ τῆς Ἀδριανοῦ ἰδέας βέβληται ἅτε δὴ καὶ ἀκροατὴς γενόμενος, παραλλάττει δὲ ὅμως ἐς ῥυθμοὺς ἐμμέτρους τε καὶ ἀναπαίοντας, οὓς εἰ φυλάξαιτο, σεμνοπρεπὴς τὴν ἀπαγγελίαν δοκεῖ καὶ βεβηκώς. τουτὶ δέ ἐστιν εὑρεῖν καὶ ἐπ' ἄλλων μὲν ὑποθέ-
602 σεων, μάλιστα δὲ ἐπὶ τοῦ Καλλίου, ὃς ἀπαγορεύει τοῖς Ἀθηναίοις πυρὶ μὴ θάπτειν· „ὑψηλὴν ἄρον, ἄνθρωπε, τὴν δᾷδα. τί βιάζῃ καὶ κατάγεις κάτω καὶ βασανίζεις τὸ πῦρ; οὐράνιόν ἐστιν, αἰθέριόν ἐστιν, πρὸς τὸ ξυγγενὲς ἔρχεται τὸ πῦρ. οὐ κατάγει νεκρούς, ἀλλ' ἀνάγει θεούς. ἰὼ Προμηθεῦ δᾳδοῦχε καὶ πυρφορε, οἷά σου τὸ δῶρον ὑβρίζεται· νεκροῖς ἀναισθήτοις ἀναμίγνυται. ἐπάρηξον βοήθησον κλέψον, εἰ δυνατόν, κἀκεῖθεν τὸ πῦρ.“ παρεθέμην δὲ ταῦτα οὐ παραιτούμενος αὐτὸν τῶν ἀκολάστων ῥυθμῶν, ἀλλὰ διδάσκων, ὅτι μηδὲ τοὺς σωφρονεστέρους ῥυθμοὺς ἠγνόει. ἐτελεύτα μὲν οὖν ἀμφὶ τὰ πέντε καὶ ἑβδομήκοντα ἔτη πολὺς καὶ ἐν τῷ Ἀθηναίων δήμῳ πνεύσας, ἐτάφη δὲ ἐν τῷ προαστείῳ τῆς Ἐλευσῖνάδε λεωφόρου. ὄνομα μὲν δὴ τῷ προαστείῳ Ἱερὰ συκῆ, τὰ δὲ Ἐλευσινόθεν ἱερά, ἐπειδὰν ἐς ἄστυ ἄγωσιν, ἐκεῖ ἀναπαύουσιν.

κά. Ἀναγράψω καὶ Πρόκλου τὸν Ναυκρατίτην εἰδὼς εὖ τὸν ἄνδρα, καὶ γὰρ δὴ καὶ τῶν
603 ἐμῶν διδασκάλων εἷς οὗτος. Πρόκλος τοίνυν ἦν μὲν τῶν οὐκ ἀφανῶν κατ' Αἴγυπτον, στασιάζουσαν δὲ ἰδὼν τὴν Ναύκρατιν καὶ παρὰ τὰ ἤθη πολιτεύοντας τὴν Ἀθήνησιν ἡσυχίαν ἡσπάσατο καὶ ὑπεκπλεύσας ἐκεῖ ἔζη πολλὰ μὲν ἀγαγὼν χρήματα, πολλοὺς δὲ οἰκέτας καὶ τὴν ἄλλην κατασκευὴν μεγαλοπρεπῶς κεκοσμημένην. εὖ δὲ ἀκούων Ἀθήνησι καὶ τὸν ἐν μειρακίῳ χρόνον ηὐδοκίμησε πολλῷ μᾶλλον ἀνὴρ γενόμενος, πρῶτον μὲν ἐπὶ τῇ τοῦ βίου αἱρέσει, ἔπειτα, οἶμαι, καὶ ἐπὶ

2. καὶ om. o. 4. τήν τε. 1, μ, ν, p. τὴν δὲ. ς. ib. ὅπλων, ἐπετράπη. e, m. ὅπλων. ἐπετράπη. o. ib. ἐξ ἀνακτόρου. B, r, f, β et ρ a pr. m. ἀνακτόρων. ρ sec. m. et k, 2, 3. 5. Ἡρακλείδου μὲν. 1. Ἡρακλείδου. 2, 3. E.

7. Σευῆρον. 2, p. 9. δῶρον. R. ib. διαδόντος. r, f, β. καὶ διδόντος. R. διαδιδόντος. ς. 10. ἡνίκα Λεπτίνης. C, E. del. Λεπτίνης. Val. ib. αὐτοκρ. C, E. Sc. ὁ αὐτοκρ. ib. συνῆγεν. r, f, ρ. ἠγε. R. 11. ὥρα. R. ib. ἀναγινώσκω. π, g. ib. οὖν om. μ. 12. καὶ γὰρ — λόγου om. R, r, et ρ a. pr. m. ib. τῆς om. β, 2.

13. βαλβίδα. C, E. μέντοι τοῦ λόγου. ρ, k. ὁ Ἀπ. τοῦ λόγου. β. ib. ἰδέα. r. ib. ἀκρατὴς. f. 14. παραλάττει. r. ib. ἐμμέτρους τε om. r. 15. ἀπαγγελίαν. r, ρ, β. et Toup. ad Longin. 43. ἐπαγγελίαν. R, k et p ex corr. ἀγγελίαν. ς. 16. ὃ ἀπαγορεύει. e, m. ib. πυρὶ μὲν. π, g, l. 17. ἄρον ἄρον. β. αἶρον. r. ib. βιάζῃ. r, f, β. βιάζηεις. sic. k. βιάζεις. ς. 18. οὐράνιόν ἐστιν. r. f. οὐρ. ἐστι. E. ib. αἰθέριον ἐστι. 2, φ, e, m. post ἔρχεται. οὐράνιόν — πῦρ. om. R. ib. ξυγγενές. r, f. ib. ἔρχεται τὸ πῦρ. β. ἔρχεται τοῦτο τὸ πῦρ. ς. 21. κακεῖθε. g. κακεῖσε. π. 22. ἑαυτὸν. r, f. ib. ῥυθμοὺς om. μ, ν. 23. ἐγόει. g. ἀγνόει. π. ib. δὲ καὶ. β. καὶ om. E. ib. Ἀθηναίῳ. r. 24. Ἐλευσίναδε. r. Ἐλευσῖνα δε f. Ἐλευσίνα. R. Ἐλευσινίαδε. k. Ἐλευσῖνι. β. Ἐλευσίνα p. ἐν Ἐλευσῖνι. ς. ib. μὲν δὴ. r. quod om. ς. 25. ἐπειδὰν δ'. r.

26. ἀναγράφω. R. ἀναγράφω. ς. ib. δὲ καὶ. E. ib. δὴ om. g. 31. πολλῷ δὲ. k. ib. τοῦ om. R.

II, 20. §. 2. 3. p. 602. 603. = 99. 100.

εὐεργετήματι γενομένῳ μὲν περὶ ἕνα Ἀθηναῖον, δήλωσιν δὲ παρασχομένῳ χρηστοῦ ἤθους. ἐς γὰρ τὸν Πειραιᾶ ἐσπλεύσας ἤρετό τινα τῶν αὐτόθεν, εἰ ὁ δεῖνα καλῶς Ἀθήνησι ζῇ καὶ εὖ πράττει, ἡρώτα δὲ ταῦτα ὑπὲρ τοῦ ξένου, ᾧ προσέμιξεν Ἀθήνησι νέος ὤν, ὅτε δὴ καὶ Ἀδριανῷ ἐφοίτα. μαθὼν δὲ αὐτὸν εἶναί τε καὶ ζῆν, ἐκπεσεῖν δὲ αὐτίκα τῆς οἰκίας διακηρυττομένης ἐπ' ἀγορᾶς πρὸς δραχμὰς μυρίας, ἃς ἐπ' αὐτῇ ἐδεδάνειστο, ἔπεμψεν αὐτῷ τὰς μυρίας μηδὲ ἀνελθών πω ἐς τὸ ἄστυ εἰπὼν „ἐλευθέρωσον τὴν οἰκίαν, ἵνα μή σε κατηφῇ ἴδω". ταῦτα μὴ πλουσίου μόνον ἡγώμεθα, ἀλλὰ καὶ τῷ πλούτῳ καλῶς χρωμένου πεπαιδευμένου τε ἱκανῶς καὶ τὰ φιλικὰ ἀκριβοῦντος.

Ἐκτήσατο δὲ καὶ οἰκίας, δύο μὲν ἐν ἄστει, μίαν δὲ ἐν Πειραιεῖ καὶ ἄλλην Ἐλευσῖνι. ἐφοίτα 11
δὲ αὐτῷ καὶ ἀπ' Αἰγύπτου λιβανωτὸς ἐλέφας μύρον βίβλος βιβλία καὶ πᾶσα ἡ τοιάδε ἀγορά, καὶ ἀποδιδόμενος αὐτὰ τοῖς διατιθεμένοις τὰ τοιαῦτα οὐδαμοῦ φιλοχρήματος ἔδοξεν οὐδὲ ἀνελεύθερος, οὐδὲ ἐραστὴς τοῦ πλείονος, οὐδὲ ἐπικέρδια μαστεύων ἢ τόκους, ἀλλ' αὐτὸ ἀγαπῶν τὸ ἀρχαῖον. υἱῷ τε ἀσώτῳ περὶ ἀλεκτρυόνων τροφὴν περί τε ὀρτύγων κυνῶν τε καὶ κυνιδίων καὶ ἵππων ξυννεάζων μᾶλλον ἢ ἐπιπλήττων καὶ παρὰ τοῖς πολλοῖς ἔχων αἰτίαν „θᾶττον" ἔφη „μεταβαλεῖ τὸ μετὰ γερόντων παίζειν ἢ μετὰ ἡλίκων". ἀποθανόντος δὲ αὐτῷ τοῦ παιδὸς καὶ τῆς γυναικὸς ἐπὶ παλλακῇ ἐγένετο διὰ τὸ καὶ γηράσκοντας ὀφθαλμοὺς ἐπάγεσθαι, θηλυτάτῃ δὲ 604
αὐτῇ γενομένῃ πᾶσαν ἐφιεὶς ἡνίαν οὐκ ἀγαθὸς ἔδοξε προστάτης τοῦ οἴκου.

Τὰ δὲ τῆς μελέτης πάτρια τῷ ἀνδρὶ τούτῳ διέκειτο ὧδε· ἑκατὸν δραχμὰς ἅπαξ καταβαλόντι 111
ἐξῆν ἀκροᾶσθαι τὸν ἀεὶ χρόνον. ἦν δὲ αὐτῷ καὶ θήκη βιβλίων ἐπὶ τῆς οἰκίας, ὧν μετῆν τοῖς ξυλλεγομένοις ἐς τὸ πλήρωμα τῆς ἀκροάσεως. ὡς δὲ μὴ συρίττοιμεν ἀλλήλους, μηδὲ σκώπτοιμεν, ἃ ἐν ταῖς τῶν σοφιστῶν ξυνουσίαις φιλεῖ γίγνεσθαι, ἀθρόοι ἐσεκαλούμεθα καὶ ἐκαθήμεθα ἐσκηθέντες οἱ μὲν παῖδες καὶ οἱ παιδαγωγοὶ μέσοι, τὰ μειράκια δὲ αὐτοί. τὸ μὲν οὖν διαλεχθῆναι αὐτὸν ἐν σπανιστοῖς ἔκειτο, ὅτε δὲ ὁρμήσειεν ἐς διάλεξιν, ἱππιάζοντί τε ἐῴκει καὶ γοργιάζοντι. ἡ μελέτη δὲ τῆς προτεραίας προεωραμένη ἐσεκυκλεῖτο. τὸ δὲ μνημονικὸν ἐνενηκοντούτης ἤδη γηράσκων καὶ ὑπὲρ τὸν Σιμωνίδην ἔρρωτο, καὶ ἑρμήνευε μὲν κατὰ φύσιν, Ἀδριάνειοι δὲ ἦσαν αἱ ἐπιβολαὶ τῶν νοημάτων.

κβ'. Φοῖνιξ δὲ ὁ Θετταλὸς οὐδὲ θαυμάσαι ἄξιος, οὐδὲ αὖ διαβαλεῖν πάντα. ἦν μὲν γὰρ τῶν Φιλάγρῳ πεφοιτηκότων, γνῶναι δὲ ἀμείνων ἢ ἑρμηνεῦσαι, τάξιν τε γὰρ τὸ νοηθὲν εἶχε καὶ οὐθὲν ἔξω καιροῦ ἐνοεῖτο, ἡ δὲ ἑρμηνεία διεσπάσθαι τε ἐδόκει καὶ ῥυθμοῦ ἀφέστηκεν. ἐδόκει δὲ ἐπιτηδειότερος γεγονέναι τοῖς ἀρχομένοις τῶν νέων ἢ τοῖς ἔξιν τινὰ ἤδη κεκτημένοις, τὰ γὰρ πράγ-

1. παρασχομένου. f. ib. χρηστοῦ λόγου ἤθους. R. 2. αὐτόθι. π, g. ib. ἐν Ἀθήνησι. f, k. ib. πράττειν. f, i, j. 3. ὑπὲρ τῆς. R. 4. ἐκπεσεῖν δὲ. 1 et p ex corr. o. ἐκπεσεῖσθαι δὲ. 2. ἐκπεσεῖσθαι. π, g, e et m ubi mg. ἴσ. δὲ αν. ib. αὐτίκα μέλλοντα. 2. 5. ἃς — μυρίας om. μ. ib. πως. R, π, g, e et m ubi mg. ἴσ. πω. ib. ἐπὶ τὸ. f. ἐπὶ τῷ. k. 6. ἡγούμεθα. ox. 7. τῷ. β, k, p, o. τοῦ. r, f. om. R, 2, π, g, e, m.

8. ἐν om. m. ib. ἐν Ἐλευσῖνι. 2. 9. βίβλος, βιβλία. R, r, β, π, g, e. βύβλος, βυβλία. μ. βύβλος, βιβλία. cett. C et m, o. ib. τοιαύτη. μ. 11. ἐρασθείς. k. ib. οὐδ' ἐπὶ κέρδη. R. ἐπικέρδια. ς. Fo: ἐπικέρδειαν. 12. κυνῶν τε καὶ κυνιδίων καὶ ἵππων. r, f, et p ex corr. κυνῶν τε καὶ ἵππων. ρ. κυνῶν τε καὶ ἵππων καὶ κυνιδίων καὶ ἵππων. k. κυνιδίων τε καὶ ἵππων. ς. 14. καὶ ξυννέαζων. 2. 13. τῷ μετὰ. μ. ib. ἀποθανόντι. R, f. ib. ἐκ τῆς γυναικὸς. 2, e, m. 15. ἀπάγεσθαι. e, m. 16. αὖτη. ν. αὐτη. μ. (sic) αὖτη. e, m, ubi ἴσ. θηλυτάτῃ δὲ αὐτῇ. ib. ἐφιεὶς. R. r, f, β. ἀφιεὶς. ς. ib. τοῦ om. R.

17. ὁραγμὰς. μ. ib. καταβάλλοντι. r, f, k. 18. μετῶν. k. 19. ὡς μὴ δὲ. μ, e. ὡς μηδὲ. m. ὡς δὲ μὴ δὲ. f. ib. συρίττοι. g. 20. ξυνουσίαις. r. ib. γίνεσθαι. f, 3. ib. ἐσκαλούμεθα. 2. ἐκαλούμεθα. R. ib. καὶ ἐκαθήμεθα om. k. ib. ἐκκληθέντες. π, g. 21. αὐτοὶ ἐκατέρωθεν. ν. αὐτοὶ ἑκαρτέρωθεν. μ. ex altera quoque parte. Bonf. 22. ἐν σπανίστοις. (sic) r. ἐν σπανίοις. ς. ib. ὁρμήσειεν om. π, g. 23. προεωραμένη ἐσεκυκλεῖτο. r, f, k, β, o. ἐσεκυκλεῖτο προεωραμένη. R, 2, 3, e, m. ib. ἐνενηκοντούτης. r, f. ἐννενηκοντούτης. ς. ib. γηράσκων — Ἀδριάνειοι δὲ om. β. 24. ἑρμήνευε. r. ἡρμήνευε. ς. ib. Ἀδριάνιοι. r.

26. αὖ om. μ, ν. ib. διαβάλλειν. r. ib. παντὶ. π. 27. εἶχεν. r, f. 28. διεσπασμένη. k. διεσπᾶσθαι. g. ib. ἀφέστηκεν. C, E. Fo: ἀφεστήκει. 29. ἐπιτηδειότατος. 3, e, m.

II, 21. §. 2, 3. 22. p. 604. = 101.

ματα γυμνὰ ἐξέκειτο καὶ οὐ περιήμπισχεν αὐτὰ ἡ λέξις. ἑβδομηκοντούτης δὲ ἀποθανὼν Ἀθήνησιν ἐτάφη οὐκ ἀφανῶς, κεῖται γὰρ πρὸς τοῖς ἐκ τῶν πολέμων ἐν δεξιᾷ τῆς Ἀκαδημίανδε καθόδου.

605

κγ'. Ἄγει με ὁ λόγος ἐπ' ἄνδρα ἐλλογιμώτατον Δαμιανὸν τὸν ἐκ τῆς Ἐφέσου, ὅθεν ἐξηρήσθων Σωτῆροί τε καὶ Σῶσοι καὶ Νίκανδροι καὶ Φαῖδροι Κῦροί τε καὶ Φύλακες, ἀθύρματα γὰρ τῶν Ἑλλήνων μᾶλλον οὗτοι προσρηθεῖεν ἂν ἢ σοφισταὶ λόγου ἄξιοι. Δαμιανῷ τοίνυν ἐλλογιμώτατον μὲν καὶ τὸ ἄνω γένος καὶ πλείστου ἄξιοι τῇ Ἐφέσῳ, εὐδοκιμώτατοι δὲ καὶ οἱ ἀπ' αὐτοῦ φύντες, ξυγκλήτου γὰρ βουλῆς ἀξιοῦνται πάντες ἐπ' εὐδοξίᾳ θαυμαζόμενοι καὶ ὑπεροψίᾳ χρημάτων, αὐτός τε πλούτῳ ποικίλῳ καὶ πολυπρεπεῖ κατεσκευασμένος ἐπήρκει μὲν καὶ τοῖς δεομένοις τῶν Ἐφεσίων, πλεῖστα δὲ ὠφέλει τὸ κοινὸν χρήματά τε ἐπιδιδοὺς καὶ τὰ ὑποδεδωκότα τῶν δημοσίων ἔργων ἀνακτώμενος. συνῆψε δὲ καὶ τὸ ἱερὸν τῇ Ἐφέσῳ κατατείνας ἐς αὐτὸ τὴν διὰ τῶν Μαγνητικῶν κάθοδον. ἔστι δὲ αὕτη στοὰ ἐπὶ στάδιον λίθου πᾶσα, νοῦς δὲ τοῦ οἰκοδομήματος μὴ ἀπεῖναι τοῦ ἱεροῦ τοὺς θεραπεύοντας, ὁπότε ὗοι. τοῦτο μὲν δὴ τοὔργον ἀπὸ πολλῶν χρημάτων ἀποτελεσθὲν ἐπέγραψεν ἀπὸ τῆς ἑαυτοῦ γυναικός, τὸ δὲ ἐν τῷ ἱερῷ ἑστιατήριον αὐτὸς ἀνέθηκε μεγέθει τε ἐξάρας ὑπὲρ πάνθ' ὁμοῦ τὰ παρ' ἑτέροις καὶ λόγου κρείττω περιβαλὼν κόσμον, ὡράισται γὰρ Φρυγίῳ λίθῳ, οἷος οὔπω ἐτμήθη. πλούτῳ δὲ χρῆσθαι καλῶς ἐκ μειρακίου ἤρξατο· Ἀριστείδου γὰρ δὴ καὶ Ἀδριανοῦ κατειληφότοιν τοῦ μὲν τὴν Σμύρναν, τοῦ δὲ τὴν Ἔφεσον, ἠκροάσατο ἀμφοῖν ἐπὶ μυρίαις εἰπὼν πολλῷ ἥδιον ἐς τοιαῦτα δαπανᾶν παιδικὰ ἢ ἐς καλούς τε καὶ καλάς, ὥσπερ ἔνιοι. καὶ ὁπόσα ὑπὲρ τῶν ἀνδρῶν τούτων ἀναγέγραφα Δαμιανοῦ μαθὼν εἴρηκα εὖ τὰ ἀμφοῖν εἰδότος.

606 III πλούτου δὲ ἐπίδειξιν τῷ ἀνδρὶ τούτῳ κἀκεῖνα εἶχεν· πρῶτα μὲν ἡ γῆ πᾶσα, ὁπόσην ἐκέκτητο, ἐκπεφυτευμένη δένδρεσι καρπίμοις τε καὶ εὐσκίοις, ἐν δὲ τοῖς ἐπὶ θαλάττῃ καὶ νῆσοι χειροποίητοι καὶ λιμένων προχώσεις βεβαιοῦσαι τοὺς ὅρμους καταιρούσαις τε καὶ ἀφιείσαις ὁλκάσιν, οἰκίαι τε ἐν προαστείοις αἱ μὲν κατεσκευασμέναι τὸν ἐν ἄστει τρόπον, αἱ δὲ ἀντρώδεις, ἔπειτα αὐτοῦ τοῦ ἀνδρὸς τὸ ἐν τῇ ἀγυρᾷ ἦθος οὐ πᾶν ἀσπαζομένου κέρδος, οὐδὲ ἐπαινοῦντος τὸ ἐξ ἅπαντος λαμβάνειν, ἀλλ' οὓς αἴσθοιτο ἀποροῦντας προῖκα τούτοις τὴν ἑαυτοῦ φωνὴν διδόντος. παραπλήσιον δὲ ἦν κἀν τοῖς σοφιστικοῖς τῶν λόγων, οὓς γὰρ αἴσθοιτο ἀποροῦντας ἐξ ὑπερορίων ἐθνῶν ἥκοντας, ἠφίει τούτοις τὸν μισθὸν τῆς ἀκροάσεως, μὴ λάθοιεν δαπανώμενοι.

IV Ἦν δὲ δικανικοῦ μὲν σοφιστικώτερος, σοφιστικοῦ δὲ δικανικώτερος. προιὼν δὲ ἐς γῆρας μεθῆκεν ἅμφω τὰς σπουδὰς τὸ σῶμα καταλυθεὶς μᾶλλον ἢ τὴν γνώμην· τοῖς γοῦν κατὰ κλέος αὐτοῦ φοιτῶσιν ἐς τὴν Ἔφεσον παρέχων ἑαυτὸν ἀνέθηκε κἀμοί τινα ξυνουσίαν πρώτην τε καὶ δευτέραν καὶ τρίτην, καὶ εἶδον ἄνδρα παραπλήσιον τῷ Σοφοκλείῳ ἵππῳ, νωθρὸς γὰρ ὑφ' ἡλικίας

2. πρὸς τοῖς. 1. πρὸ τῆς. 2, 3, E. juxta viam ante equitum monumenta sepultus est. Bonf. unde m: ἴσ. πρὸ τῆς τῶν ἱππέων ταφῆς. ib. πολεμίων. C, E. Scr: πολέμων. ib. Ἀκαδημίανδε. r, ρ. Ἀκαδημίαν δὲ. f. Ἀκαδημίας δὲ. k, β. Ἀκαδημία δὲ. p ex corr. Ἀκαδημίας. ζ. ib. καθ' ὁδόν. 2.

3. ἄνδρα εὐδοκιμώτατον καὶ ἐλλογιμώτατον. R. 4. Σωτῆρσοι. μ, ν. Σωτῆρσι. ox. Σώτηροι. k. ib. Σῶοι. β. 5. μᾶλλον οὗτοι. r. οὗτοι μᾶλλον. ζ. ib. προσρηθεὶς ἂν. v. ib. Fo: ἐλλογιμώτατοι. 6. πλείστου ἄξιον. R. ib. εὐδοκιμώτατοι – φύντες om. μ. ib. ἀπ' αὐτοῦ ἀνδρός. π. 7. ξυγκλήτου. r. 8. αὐτὸς γὰρ. R. ib. πολυπρεπεῖ καὶ ποικίλῳ. f, k, β. ib. ποικίλῳ πλούτῳ. π. ib. ἐπήρκει δέ. g. 10. ἑαυτὸ. R. ib. ἔστη δὲ. E. ib. αὐτῷ στοά. f, μ, l. 11. ἐπιστάδιον. r. 13. τό τε δὲ. f. ib. ἑστηατήριον. r. ἑστιατόριον. μ, ν. 14. περιβαλλὼν. r. 25. ἐν μειρακίῳ ου. f. (sic) ἐν μειρακίῳ οὗ. k. 18. τῶν ἀνδρῶν. μ. ἀνδρῶν. ζ. ib. εὖ γε ἀμφοῖν. μ. εὖ γ' ἀμφοῖν. ν et m. mg. ἴσ. εὖ γ' ἀ. 19. πλούτῳ. R. ib. εἶχε κακεῖνα. R. ib. εἶχεν f. ib. πρῶτα. r, f, k, β. πρῶτον. R, 2, 3, E. ib. ὁπόση. ox. 21. προσχώσεις. μ, ν. ib. κατηρούσαις. p. ib. καταιρούσαις – αἱ μὲν om. 2. 22. ἀνδρώδεις. μ, c, et m, ubi ἴσ. δενδρώδη. ib. τοῦ om. 2, 3, c, m ubi ἴσ. τοῦ αὐτοῦ. 23. τὸ om. R. 24. αἴσθοι. μ. 25. ὑπερορίων καὶ ἐθνῶν. R, 2, 3, e, et m.

27. προιὼν ἐς. r, f, et ρ. or. m. ib. οὐ μεθῆκεν. π, g. 29. τινα κἀμοὶ. R. ib. ξυνουσίαν. r. 30. ἴδον. r. ib. νοθρὸς. r. ib. καὶ ὑφ' ἡλικίας. f, k. ἀφ' ἡλικίας. β.

II, 23. §. 1, 2, 3, 4. p. 605. 606. = 102. 103

δοκῶν νεάζουσαν ὁρμὴν ἐν ταῖς σπουδαῖς ἀνεκτᾶτο. ἐτελεύτα δὲ οἴκοι ἔτη βιοὺς ἑβδομήκοντα καὶ ἐτάφη ἐν προαστείῳ τινὶ τῶν ἑαυτοῦ, ᾧ μάλιστα ἐνεβίωσεν.

κδ'. Ἀντιπάτρῳ δὲ τῷ σοφιστῇ πατρὶς μὲν ἦν Ἱεράπολις, καταλεκτέα δὲ αὖτη ταῖς κατὰ τὴν Ἀσίαν εὖ πραττούσαις, πατὴρ δὲ Ζευξίδημος τῶν ἐπιφανεστάτων ἐκείνῃ, Ἀδριανῷ δὲ καὶ Πο- 607
λυδεύκει φοιτήσας ἀπὸ τοῦ Πολυδεύκους μᾶλλον ἥρμοσται, τὰς ὁρμὰς τῶν νοημάτων ἐκλύων τοῖς
τῆς ἑρμηνείας ῥυθμοῖς. ἀκροασάμενος δὲ καὶ Ζήνωνος τοῦ Ἀθηναίου τὸ περὶ τὴν τέχνην ἀκριβὲς ἐκείνου ἔμαθεν. αὐτοσχέδιος δὲ ὢν οὐδὲ φροντισμάτων ἠμέλει, ἀλλ' Ὀλυμπικούς τε ἡμῖν διῆει καὶ Παναθηναικοὺς καὶ ἐς ἱστορίαν ἔλαβε τὰ Σεβήρου τοῦ βασιλέως ἔργα, ὑφ' οὗ μάλιστα ταῖς βασιλείοις ἐπιστολαῖς ἐπιταχθεὶς λαμπρόν τι ἐν αὐταῖς ἤχησεν. ἐμοὶ μὲν γὰρ δὴ ἀποπεφάνθω μελετῆσαι μὲν καὶ ξυγγράψαι τοῦ ἀνδρὸς τούτου πολλοὺς βέλτιον, ἐπιστεῖλαι δὲ μηδένα ἄμεινον, ἀλλ' ὥσπερ τραγῳδίας λαμπρὸν ὑποκριτὴν τοῦ δράματος εὖ ξυνιέντα ἐπάξια τοῦ βασιλείου προσώπου φθέγξασθαι. σαφήνειάν τε γὰρ τὰ λεγόμενα εἶχε καὶ γνώμης μέγεθος καὶ τὴν ἑρμηνείαν ἐκ τῶν παρόντων καὶ ξὺν ἡδονῇ τὸ ἀσύνδετον, ὃ δὴ μάλιστα ἐπιστολὴν λαμπρύνει.

Ὑπάτοις δὲ ἐγγραφεὶς ἦρξε μὲν τοῦ τῶν Βιθυνῶν ἔθνους, δόξας δὲ ἑτοιμότερον χρῆσθαι τῷ 11
ξίφει τὴν ἀρχὴν παρελύθη. βίου μὲν δὴ ὀκτὼ καὶ ἑξήκοντα ἔτη τῷ Ἀντιπάτρῳ ἐγένετο καὶ ἐτάφη
οἴκοι, λέγεται δὲ ἀποθανεῖν καρτερίᾳ μᾶλλον ἢ νόσῳ· διδάσκαλος μὲν γὰρ τῶν Σεβήρου παίδων ἐνομίσθη καὶ θεῶν διδάσκαλον ἐκαλοῦμεν αὐτὸν ἐν τοῖς ἐπαίνοις τῆς ἀκροάσεως, ἀποθανόντος δὲ τοῦ νεωτέρου σφῶν ἐπ' αἰτίᾳ, ὡς τῷ ἀδελφῷ ἐπιβουλεύοι, γράφει πρὸς τὸν πρεσβύτερον ἐπιστολὴν μονῳδίαν ἐπέχουσαν καὶ θρῆνον, ὡς εἷς μὲν αὐτῷ ὀφθαλμὸς ἐκ δυοῖν, χεὶρ δὲ μία, καὶ οὓς ἐπαίδευσεν ὅπλα ὑπὲρ ἀλλήλων αἴρεσθαι, τούτους ἀκούοι κατ' ἀλλήλων ἠρμένους, ὑφ' ὧν παρο- 20
ξυνθῆναι τὸν βασιλέα μὴ ἀπιστῶμεν, καὶ γὰρ ἂν καὶ ἰδιώτην ταῦτα παρώξυνε βουλόμενόν γε τὸ δοκεῖν ἐπιβεβουλεῦσθαι μὴ ἀπιστεῖσθαι.

κε'. Πολὺς ἐν σοφιστῶν κύκλῳ καὶ Ἑρμοκράτης ὁ Φωκαεὺς ᾄδεται φύσεως ἰσχὺν δηλώσας 608
παρὰ πάντας, οὓς ἑρμηνεύω, οὐδενὶ γὰρ θαυμασίῳ σοφιστῇ ξυγγενόμενος, ἀλλὰ Ῥουφίνου τοῦ Σμυρναίου ἀκηκοὼς τὰ σοφιστικὰ τολμῶντος μᾶλλον ἢ κατορθοῦντος ἑρμήνευσε ποικιλώτατα Ἑλλή- 609
νων καὶ ἔγνω καὶ ἔταξεν, οὐ τὰς μὲν τῶν ὑποθέσεων, τὰς δὲ οὐχί, ἅπαξ δὲ πάσας τὰς μελετωμένας, καὶ γὰρ δὴ καὶ τὰς ἐσχηματισμένας εὖ διέθετο ἀμφιβολίας τε πλείστας ἐπινοήσας καὶ τὸ σημαινόμενον ἐγκαταμίξας τῷ ὑφειμένῳ.

Πάππος μὲν δὴ αὐτῷ ἐγένετο Ἄτταλος ὁ Πολέμωνος τοῦ σοφιστοῦ παῖς, πατὴρ δὲ Ῥουσινι- 11
ανὸς ὁ ἐκ Φωκαίας, ἀνὴρ ὕπατος Καλλιστῷ γήμας τὴν Ἀττάλου. τελευτήσαντος δὲ αὐτῷ τοῦ 30 610
πατρὸς ἐς διαφορὰν κατέστη πρὸς τὴν ἑαυτοῦ μητέρα οὕτω τι ἀπαραίτητον, ὡς μηδὲ δάκρυον ἐπ'

3. καταλεκτέα. C, E. Fo: ἐγκαταλεκτέα. ib. δὲ αὖτη. 1. δ' αὖτη. 2, 3, E. 4. Ἀδριανῷ μὲν. E. Ἀδριανῷ καὶ. k. ib. Πολυδεύκη. μ. 5. ἀπὸ τῶν. μ, ν. 6. τῆς om. g. ib. παρὰ τὴν. k, p. 7. δὲ om. R. ib. Ὀλυμπικούς. 1. Ὀλυμπιακούς. 2, 3, E. ib. ἡμῖν om. E. 8. τὰ om. R. ib. Σευήρου. 2. ib. ὑφ' οὗ. π, g. ἐφ' οὗ. ς. 9. αὐλαῖς ἐπιταχθεὶς. R. 10. ξυγγράψαι. r. ib. ἐπιστολαῖ. f, k. ib. ἀλλ' ὥσπερ. C. καὶ ὥσπερ. E. 12. εἶχεν. r, f.

14. Αἰθυνῶν ἔθους. 2. in m: γρ. Αἰθ. ἢ Ἀθηναίων. ib. ἑτοιμότερος. μ. ib. χρυσοῦν τῷ. R. 16. μὲν γὰρ. 1 praeter R. τε. R, 2, 3, E. ib. Σευήρου. μ, ν. 18. αὐτῶν. k. ib. μία δὲ χεὶρ. R. 20. ἀκούοι. 1, 2, p. ἀκούει. π, g, E. ib. ἀλλήλους k. ib. ἀφ' ὧν. π, g.

23. e hanc vitam cum superiore conjungunt, nullo praefixo titulo. ib. καὶ om. f. 24. περὶ. π, g. ib. ξυγγεγόμενος. r, f. 25. ἑρμήνευσε. p sec. m. ἑρμηνεῦσαι. ρ. ἑρμηνεῦσαι. ς. 26. τὰς δ'. E. 27. δὴ τὰς om. καὶ. R. ib. ἐσχημένας. f. ἐσχημίας. k. ib. δὲ πλείστας. f. 28. σημαινόμενον hinc paginae lacuna in R. ib. ὑφειμένῳ. 1 et p ex corr. ἀφειμένῳ. 2, 3, E.

29. Ῥουσιανὸς. k, μ, g. 30. Φωκέας. 1 et p ex corr. Φωκέων. 2, 3, E. ib. γήμας – τὴν ἑαυτοῦ om. g. ib. Ἀτάλου. p. ib. αὐτῶν. k. 31. οὕτω τοι. 2, p.

αὐτῷ τὴν Καλλιστὼ ἀφεῖναι ἐν μειρακίῳ ἀποθανόντι, ὅτε δὴ καὶ τοῖς πολεμιωτάτοις ἐλεεινὰ τὰ τῆς ἡλικίας φαίνεται. καὶ τοῦτο οὑτωσὶ μὲν ἀκούσαντι κακίᾳ τοῦ μειρακίου προσκείσεται μᾶλλον, εἰ μηδὲ μήτηρ ἐπ' αὐτῷ τι ἔπαθεν, λογιζομένῳ δὲ τὴν αἰτίαν καὶ ὅτι τὴν μητέρα ἀπέστερξεν ἐπὶ δούλου ἔρωτι, ὁ μὲν ξυμβαίνων τοῖς νόμοις φαίνοιτο ἄν, οἳ δεδώκασι τὸ ἐπὶ ταῖς τοιαῖσδε αἰτίαις καὶ ἀποκτείνειν, ἡ δὲ ἀξία μισεῖν καὶ τοῖς οὐ προσήκουσιν ὑπὲρ ὧν ἑαυτήν τε καὶ τὸν υἱὸν ᾔσχυνεν.

III Ὥσπερ δὲ ταύτην ὁ Ἑρμοκράτης διαφεύγει τὴν αἰτίαν, οὕτως ἐκείνην οὐκ ἂν διαφύγοι· τὸν γὰρ πατρῷον οἶκον βαθὺν αὐτῷ παραδοθέντα κατεδαπάνησεν οὐκ ἐς ἱπποτροφίας οὐδὲ ἐς λειτουργίας, ἀφ' ὧν καὶ ὄνομά ἐστιν ἄρασθαι, ἀλλ' ἐς ἄκρατον καὶ ἑταίρους οἵους παρασχεῖν καὶ κωμῳδίᾳ λόγον, οἷον παρέσχον λόγον οἱ Καλλίαν ποτὲ τὸν Ἱππονίκου κολακεύσαντες.

IV Ἀντιπάτρου δὲ παρεληλυθότος ἐς τὰς βασιλείους ἐπιστολὰς ἤδη ἀσπαζομένου τε ἁρμόσαι οἱ τὴν ἑαυτοῦ θυγατέρα πονήρως ἔχουσαν τοῦ εἴδους οὐκ ἐπήδησε πρὸς τὴν ἐκείνου εὐπραγίαν, ἀλλὰ καὶ τῆς προμνηστρίας ἀναγούσης ἐς τὴν τοῦ Ἀντιπάτρου ἰσχύν, ἣν εἶχε τότε, οὐκ ἄν ποτε ἔφη δουλεῦσαι προικὶ μακρᾷ καὶ πενθεροῦ τύφῳ. ἐξωθούντων δὲ αὐτὸν τῶν συγγενῶν ἐς τὸν γάμον
611 καὶ Διὸς Κόρινθον ἡγουμένων τὸν Ἀντίπατρον οὐ πρότερον εἶξεν ἢ Σεβῆρον αὐτοκράτορα μετα-πέμψαντα αὐτὸν ἐς τὴν ἑῴαν δοῦναί οἱ τὴν κόρην, ὅτε δὴ καὶ τῶν ἐπιτηδείων ἐρομένου τινὸς αὐτόν, πότε ἄγοι τὰ ἀνακαλυπτήρια, ἀστειότατα ὁ Ἑρμοκράτης „ἐγκαλυπτήρια μὲν οὖν" ἔφη „τοιαύτην λαμβάνων". καὶ διέλυσε μετ' οὐ πολὺ τὸν γάμον ὁρῶν οἵτε ἰδεῖν ἡδεῖαν οὔτε ἐπιτηδείαν τὸ ἦθος.

V Καὶ ἀκροατὴς δὲ τοῦ Ἑρμοκράτους ὁ αὐτοκράτωρ γενόμενος ἠγάσθη αὐτὸν ἴσα τῷ πάππῳ δωρεάς τε αἰτεῖν ἀνῆκεν· καὶ ὁ Ἑρμοκράτης „στεφάνους μὲν" ἔφη „καὶ ἀτελείας καὶ σιτήσεις καὶ πορφύραν καὶ τὸ ἱερᾶσθαι ὁ πάππος ἡμῖν τοῖς ἀπ' αὐτοῦ παρέδωκεν, καὶ τί ἂν αἰτοίην παρὰ σοῦ τήμερον, ἃ ἐκ τοσούτου ἔχω; ἐπεὶ δέ ἐστί μοι προστεταγμένον ὑπὸ τοῦ κατὰ τὸ Πέργαμον Ἀσκληπιοῦ πέρδικα σιτεῖσθαι λιβανωτῷ θυμιώμενον, τὸ δὲ ἄρωμα τοῦτο οὕτω τι σπανιστὸν καθ' ἡμᾶς νῦν, ὡς ψαιστὸν καὶ δάφνης φύλλα τοῖς θεοῖς θυμιᾶσθαι, δέομαι λιβανωτοῦ ταλάντων πεντήκοντα, ἵνα θεραπεύοιμι μὲν τοὺς θεούς, θεραπευοίμην δὲ αὐτός." ἔδωκε τὸν λιβανωτὸν ξὺν ἐπαίνῳ ὁ αὐτοκράτωρ ἐρυθριᾶν εἰπών, ἐπειδὴ μικρὰ ᾐτήθη.

VI Ξυνελάμβανε δὲ τῷ Ἑρμοκράτει τῶν ἐπιδείξεων πρῶτον μὲν τὸ τοῦ πάππου κλέος, ἡ γὰρ φύσις ἡ ἀνθρωπεία τὰς ἀρετὰς ἀσπάζεται μᾶλλον τὰς ἐκ πατέρων ἐς παῖδας διαδοθείσας, ὅθεν εὐ-κλεέστερος μὲν Ὀλυμπιονίκης ὁ ἐξ Ὀλυμπιονικῶν οἴκου, γενναιότερος δὲ στρατιώτης ὁ μὴ ἀστρα-
612 τεύτων ἡδίους τε τῶν ἐπιτηδεύσεων αἱ πατέρων τε καὶ προγόνων οἴκου, καὶ τέχναι βελτίους αἱ

2. πρόσκειται. e, m. 3. μηδεμὴ τὴρ. r. ib. ἔπαθεν. r, f. 4. συμβαίνων. 2, 3, E. ib. ταῖς τοιαῖσδε. v. τοιαῖσδε. ς. 5. καὶ om. r. ib. ἀξία μισεῖν. r, f. ἀξία μισεῖσθαι. ς. ib. τοῖς οὐ. r. τοῖς μὴ. ς. ib. τε om. 2. 3, e, m.

9. ἂν ἄκρατον. k. ib. ἑταίρας. g. ib. οἵους. k om. 10. λόγων. r. ib. παρέσχον λόγον. r. παρέσχον. ς. ib. Ἱπονείκου. r.

12. ἐπείδησε. r. ἐπήδησεν. f. 13. τοῦ om. g. 14. ἐξωθούντων. 1. ὠθούντων. 2, 3, E. 15. εἶρξεν. e, m. ib. Σευῆρον. μ, v. 16. ἐς τὴν — αὐτὸν om. π. ib. ὅτε δὴ. k. ib. τῶν om. E. 17. ὁπότε. E. ib. ὁ om. π, g. 18. ἡδεῖαν ἰδεῖν. μ, v.

20. αὐτὸν. 1 et p a sec. m. αὐτῷ. 2, 3, E. 21. δωρεαῖς. r. ib. ὁ om. 2, E. ib. ἔφη στεφάνους μὲν ἔφη. r. ib. σιτίσεις. π, g, e, m. 22. ἱεροῦσθαι. r, p. ἐρᾶσθαι. π. ib. παρέδωκεν. r, f. 23. τήμερον. r. σήμερον. ς. ib. κατὰ τὸν. ιω e, m. 24. λιβάνῳ τεθυμμένον. r. ib. οὕτω τοι. μ, v, p. τε om. ox. ib. σπάνιστον. r, f. σπάνιον. ς. ib. καὶ καθ' ἡμᾶς. k. καθ' ἡμᾶς σπάνιον. R. 25. φύλλα δάφνης. μ, v. 26. θεραπεύσομαι. v. ib. μὲν om. μ. ib. αὐτὸν. ox. ib. ἔδωκε τὸν. r, μ. ἔδωκε δὲ τὸν. ς. ib. ξὺν ἐπαίνῳ. r, f.

28. δὲ om. 3, e, m. ib. Ἑρμοκράτη. E. καὶ τῷ Ἑρμ. R. ib. τοῦ om. 2. 29. τὰς om. E. 30. ὁ Ὀλυμπιονίκης. π. ib. ὁ om. π. ib. γὰρ στρατιώτης. R. ib. ὁ μὴ om. R. cum lac. ib. ἀστρατεύων. R, r. 31. ἡδίους δὲ. μ.

II, 25. §. 3. 4. 5. 6. p. 611. 612. = 105. 106.

κληρονομούμεναι, ξυνελάμβανε δὲ αὐτῷ καὶ ἡ ὥρα ἡ περὶ τῷ εἴδει, καὶ γὰρ ἐπίχαρις καὶ ἀγαλματίας, οἷα ἔφηβοι, καὶ τὸ θάρσος δὲ τοῦ μειρακίου τὸ ἐν τοῖς πλήθεσιν ἔκπληξιν ἐς τοὺς πολλοὺς ἔφερεν, ἣν ἐκπλήττονται ἄνθρωποι τοὺς τὰ μεγάλα μὴ ξὺν ἀγωνίᾳ πράττοντας. ἐδίδου τι καὶ ἡ εὔροια καὶ ὁ τῆς γλώττης κρότος καὶ τὸ ἐν στιγμῇ τοῦ καιροῦ ξυνορᾶν τὰς ὑποθέσεις καὶ τὰ ἀναγιγνωσκόμενά τε καὶ λεγόμενα παλαιότερα ὄντα ἢ νέῳ γε ἐνθυμηθῆναι καὶ ἑρμηνεῦσαι. αἱ μὲν δὴ μελέται τοῦ Ἑρμοκράτους ὀκτώ που ἴσως ἢ δέκα καί τις λόγος οὐ μακρός, ὃν ἐν Φωκαίᾳ διῆλθεν ἐν τῷ Πανιωνίῳ κρατῆρι. ἐμοὶ δὲ ἀποπεφάνθω μὴ ἄν τινα ὑπερφωνῆσαι τὴν μειρακίου τούτου γλῶτταν, εἰ μὴ ἀφῃρέθη τὸ παρελθεῖν ἐς ἄνδρας φθόνῳ ἁλούς. ἐτελεύτα δὲ κατ' ἐνίους μὲν ὀκτὼ καὶ εἴκοσι γεγονώς, ὡς δὲ ἔνιοι, πέντε καὶ εἴκοσι, καὶ ἐδέξατο αὐτὸν ἡ πατρῴα γῆ καὶ αἱ πατρῷαι θῆκαι.

κϛ'. Ἀνὴρ ἐλλογιμώτατος καὶ Ἡρακλείδης ὁ Λύκιος καὶ τὰ οἴκοι μέν, ἐπειδὴ πατέρων τε ἀγαθῶν ἔφυ καὶ ἀρχιερέως Λυκίων ἐγένετο, τὴν δὲ ἀλειτουργησίαν οὖσαν οὐ μεγάλου ἔθνους Ῥωμαίων μεγάλων ἀξιοῦσιν ὑπὲρ ξυμμαχίας, οἶμαι, παλαιᾶς, ἐλλογιμώτερος δὲ ὁ Ἡρακλείδης τὰ 613
σοφιστικά, ἀποχρῶν μὲν γὰρ ξυνεῖναι, ἀποχρῶν δὲ ἑρμηνεῦσαι καὶ τοὺς ἀγῶνας ἀπέριττος καὶ τὰς πανηγυρικὰς ἐννοίας οὐχ ὑπερβακχεύων.

Ἐκπεσὼν δὲ τοῦ θρόνου τοῦ Ἀθήνησι ξυστάντων ἐπ' αὐτὸν τῶν Ἀπολλωνίου τοῦ Ναυκρατίτου ἑταίρων, ὧν πρῶτος καὶ μέσος καὶ τελευταῖος Μαρκιανὸς ὁ ἐκ Δολίχης ἐγένετο, ἐπὶ τὴν Σμύρναν ἐτράπετο θύουσαν μάλιστα δὴ πόλεων ταῖς τῶν σοφιστῶν Μούσαις. νεότητα μὲν οὖν Ἰωνικήν τε καὶ Λύδιον καὶ τὴν ἐκ Φρυγῶν καὶ Καρίας ξυνδραμεῖν ἐς Ἰωνίαν κατὰ ξυνουσίαν τοῦ ἀνδρὸς οὔπω μέγα, ἐπειδὴ ἀγχίθυρος ἁπάσαις ἡ Σμύρνα, ὁ δὲ ἦγε μὲν καὶ τὸ ἐκ τῆς Εὐρώπης Ἑλληνικόν, ἦγε δὲ τοὺς ἐκ τῆς ἑῴας νέους, πολλοὺς δὲ ἦγεν Αἰγυπτίων οὐκ ἀνηκόους αὐτοῦ ὄντας, ἐπειδὴ Πτολεμαίῳ τῷ Ναυκρατίτῃ κατὰ Αἴγυπτον περὶ σοφίας ἤρισεν. ἐνέπλησε μὲν δὴ τὴν Σμύρναν ὁμίλου λαμπροῦ, ὤνησε δὲ καὶ πλείω ἕτερα, ἃ ἐγὼ δηλώσω· πόλις ἐς ξένους πολλοὺς ἐπεστραμμένη ἄλλως τε καὶ σοφίας ἐρῶντας σωφρόνως μὲν βουλεύσει, σωφρόνως δὲ ἐκκλησιάσει φυλαττομένη δήπου τὸ ἐν πολλοῖς τε καὶ σπουδαίοις κακὴ ἁλίσκεσθαι, ἱερῶν τε ἐπιμελήσεται καὶ γυμνασίων καὶ κρηνῶν καὶ στοῶν, ἵνα ἀποχρῶσα τῷ ὁμίλῳ φαίνοιτο. εἰ δὲ καὶ ναύκληρος ἡ πόλις εἴη, καθάπερ ἡ Σμύρνα, πολλὰ καὶ ἄφθονα αὐτοῖς ἡ θάλασσα δώσει. ξυνήρατο δὲ τῇ Σμύρνῃ καὶ τοῦ εἴδους ἐλαίου κρήνην ἐπισκευάσας ἐν τῷ τοῦ Ἀσκληπιοῦ γυμνασίῳ χρυσῆν τοῦ ὀρόφου, καὶ τὴν στεφανηφόρον ἀρχὴν παρ' αὐτοῖς ἦρξεν, ἀφ' ὧν τοῖς ἐνιαυτοῖς τίθενται Σμυρναῖοι τὰ ὀνόματα.

1. ἐλάμβανε. R. ib. ἐπὶ τῷ. v. ib. ἐπιχάρεις καὶ ἀγαλματίαι οἱ ἐ. R, r. ἐπιχάρεις καὶ ἀγαλματίας οἱ ἐ. f. ἐπίχαρις καὶ ἀγαλματίας οἷα ἔφηβον. k. 2. οἷα om. ox. οἱ. g. ἔφηβος. μ, v. ib. τὰ. k. 3. ἐκπλήττωνται. f, k. 5. τε om. π, g. ib. παλαιοτέρῳ. R, r, 2, π, g. ib. ὄντι. R, μ, v. ib. ἢ om. μ. ib. αἱ δὲ δὴ. μ. 6. ἴσας. R. ib. μικρὸς. π. ib. ὃ. R. ib. Φωκέᾳ. R, r, π, g. 7. ἐν τῷ. p sec. m. τῷ. ς. ib. Πανίῳ. 2, 3, e, m. ib. μειρακίου om. R. 8. γλῶσσαν. π, g. 8. κατὰ ἐνίους. r, f. 9. γεγονὼς ἔτη. 2, π, E. ib. καὶ om. r.

12. τε om. π. ib. ἀρχιερέως. 1. ἀρχιερέων. 2, 3, K. Fo: ἀρχιερεύς. ib. τὴν δὲ τὴν. o. ib. ἀλιτουργησίαν. r. ἀλειτουργησίαν. ς. λειτουργησίαν. o. 13. Ῥωμαίων. C, E. Ῥωμαῖοι. Val. ib. μεγάλως. μ, v. ib. ἠπὲρ. i. 14. γὰρ om. 2. 15. αἰτίας et mg. ἐννοίας. r. ib. ὑπερβακχέων. R.

16. ἀπὸ τοῦ θρόνου. f, ρ, k. ib. ξυστάντων. r, f. συστάντων δὲ. R. 17. τελευταῖος Μαρκιανὸς. R. τελευταῖος ὁ Μ. ς. ib. ὃς ἐκ. R. 18. μάλιστα δὴ. r, f, β. δὴ μάλιστα. ς. ib. οὖν om. β. 20. ἡ δὲ ἦγε. e, m. ib. ἠγεμὼν καὶ. R. ib. Εὐρόπης r. 21. ἦγεν δὲ. f. ἦγε δὲ καὶ. π. 22. Ναυκρατήτῃ. r. ib. κατὰ. r. κατ'. ς. ib. μὲν δὴ. r. δὲ. ς. (δὲ καὶ. R.) 23. ὤνεισε. β. ib. ἑτέραν τῷ αὐτωκρατίτῃ. β. ib. πολλοὺς — σωφρόνως om. g. 24. ἄλλων τε καὶ. p pr. m. 25. φυλαττόμενοι — κακοὶ. R, β, k, μ, π, g, e, m. φυλαττομένη. r, p sec. m., o. δήπου. r, β, p, sec. m. μ, v. δὲ πᾶν. R. δέ που. ς. ib. ἁλίσκεσθαι. μ. 26. ἀποχρῶσι. p. ib. καὶ om. R. 28. χρυσοῦ. μ, p. ib. τοῦ ὀρόφου. p ex corr. 29. ἀφ' αἷς. R.

11, 26. § 1, 2. p 613. = 107. 108.

614 III Ἐπὶ Σεβήρου δὲ αὐτοκράτορός φασιν αὐτὸν σχεδίου λόγου ἐκπεσεῖν αὐλὴν καὶ δορυφόρους δείσαντα. τουτὶ δὲ ἀγοραῖος μέν τις παθὼν κἂν αἰτίαν λάβοι, τὸ γὰρ τῶν ἀγοραίων ἔθνος ἰταμοὶ καὶ θρασεῖς, σοφιστὴς δὲ ξυσπουδάζων μειρακίοις τὸ πολὺ τῆς ἡμέρας πῶς ἂν ἀντίσχοι ἐκπλήξει; ἐκκρούει γὰρ σχεδίου λόγου καὶ ἀκροατὴς σεμνῷ προσώπῳ καὶ βραδὺς ἔπαινος καὶ τὸ μὴ κροτεῖσθαι συνήθως, εἰ δὲ καὶ φθόνου ὑποκαθημένου ἑαυτὸν αἴσθοιτο, ὥσπερ ὁ Ἡρακλείδης τὸν τοῦ Ἀντιπάτρου τότε ὑφεωρᾶτο, ἧττον μὲν ἐνθυμηθήσεται, ἧττον δὲ εὑροήσει, αἱ γὰρ τοιαίδε ὑποψίαι γνώμης ἀχλὺς καὶ δεσμὰ γλώττης.

IV Ἱερὰς δὲ λέγεται κέδρους ἐκτεμὼν δημευθῆναι τὸ πολὺ τῆς οὐσίας, ὅτε δὴ καὶ ἀπιόντι αὐτῷ τοῦ δικαστηρίου ἐπηκολούθουν μὲν οἱ γνώριμοι παραμυθούμενοί τε καὶ ἀνέχοντες τὸν ἄνδρα, ἑνὸς δὲ αὐτῶν εἰπόντος „ἀλλ' οὐ μελέτην ἀφαιρήσεταί τις, ὦ Ἡρακλείδη, οὐδὲ τὸ ἐπ' αὐτῇ κλέος", καὶ ἐπιρραψῳδήσαντος αὐτῷ τό „εἷς δή που λοιπὸς κατερύκεται εὐρεῖ" — „φίσκῳ" ἔφη, ἀστειότατα δὴ ἐπιπαίξας τοῖς ἑαυτοῦ κακοῖς.

V Δοκεῖ δὲ μάλιστα σοφιστῶν οὗτος τὴν ἐπιστήμην πόνῳ κατακτήσασθαι μὴ ξυγχωρούσης αὐτῷ τῆς φύσεως, καὶ ἔστιν αὐτῷ φρόντισμα οὐκ ἀηδές, βιβλίον ξύμμετρον, ὃ ἐπιγέγραπται Πόνου ἐγκώ-
615 μιον, τὸ δὲ βιβλίον τοῦτο πρὸ χειρῶν ἔχων ἐνέτυχε Πτολεμαίῳ τῷ σοφιστῇ κατὰ τὴν Ναύκρατιν, ὁ δὲ ἤρετο αὐτὸν ὅ τι σπουδάζοι, τοῦ δὲ εἰπόντος, ὅτι πόνου εἴη ἐγκώμιον, αἰτήσας ὁ Πτολεμαῖος τὸ βιβλίον καὶ ἀπαλείψας τὸ πῖ „ὥρα σοι" ἔφη „ἀναγιγνώσκειν τὸ ὄνομα τοῦ ἐγκωμίου". καὶ αἱ διαλέξεις δέ, ἃς Ἀπολλώνιος ὁ Ναυκρατίτης κατ' αὐτοῦ διελέγετο, ὡς νωθροῦ καθάπτονται καὶ μοχθοῦντος.

VI Ἡρακλείδου διδάσκαλοι Ἡρώδης μὲν τῶν οὐκ ἀληθῶς πεπιστευμένων, Ἀδριανὸς δὲ καὶ Χρῆστος ἐν γνησίοις, καὶ Ἀριστοκλέους δὲ ἠκροᾶσθαι αὐτὸν μὴ ἀπιστῶμεν. λέγεται δὲ καὶ γαστρὶ κοίλῃ χρήσασθαι καὶ πλεῖστα ὑψοφαγῆσαι, καὶ ἡ πολυφαγία αὕτη ἐς οὐδὲν αὐτῷ ἀποσκῆψαι. ἐτελεύτα γοῦν ὑπὲρ τὰ ὀγδοήκοντα ἔτη ἄρτιος τὸ σῶμα καὶ τάφος μὲν αὐτῷ Λυκία λέγεται, ἐτελεύτα δὲ ἐπὶ θυγατρὶ καὶ ἀπελευθέροις οὐ σπουδαίοις, ὑφ' ὧν καὶ τὴν Ῥητορικὴν ἐκληρονομήθη· ἡ δὲ Ῥητορικὴ γήδιον δεκατάλαντον ἦν αὐτῷ κατὰ τὴν Σμύρναν ἐωνημένον ἐκ τῶν ἀκροάσεων.

κζ'. Μὴ δεύτερα τῶν προειρημένων σοφιστῶν μηδὲ Ἱππόδρομόν τις ἡγείσθω τὸν Θετταλόν, τῶν μὲν γὰρ βελτίων φαίνεται, τῶν δὲ οὐκ οἶδα ὅ τι λείπεται. Ἱπποδρόμῳ τοίνυν πατρὶς μὲν ἦν Λάρισσα πόλις εὖ πράττουσα ἐν Θετταλοῖς, πατὴρ δὲ Ὀλυμπιόδωρος παρελθὼν ἱπποτροφίᾳ Θετταλοὺς πάντας.

1. δὲ ὅτι. r. ib. αὐτοκράτορος. r. τοῦ αὐτοκράτορος. ς. ib. αὐλεῖν. r. 2. τοῦτο. 2. ib. λαβὼν. β. ib. ἰταμοὶ τε. ox. 3. ἐκπλήξει om. β. ἐκξήξει. f. 4. ἐκρούει. f. ib. κρατεῖσθαι. ox. 5. ξυνήθως. r. ib. φθόνῳ ὑποκαθήμενον. μ, ν. ib. αὐτὸν. R. ib. τῶν τοῦ. π. 6. τότε om. ox. ib. εὑροήσει. 1 et p ex corr. Val. εὑρήσει. 2, 3, E. 7. δεσμὸς. k.

8. δημευθῆναι αὐτῶν. R. 10. αὐτῶν om. 2. αὐτὸν. β. ib. μελέτας. R, β. ib. ἀφαιρήσεται. 1, 2 et p ex corr. ἀφαιρεθήσεται. π, g, E. ib. ᾧ Ἡρακλεῖ. k. ὦ Ἡρακλείδης. μ. Ἡρακλείδη om. ὦ. R, β. 11. ἐπιραψῳδήσαντος. r. ib. αὐτῷ om. π, g. ib. φίσκῳ. r, f, k. φύσκῳ. β. φισκίῳ. R. φυσίκῳ. p ex corr. οἴκῳ. 2, 3, E. ib. ἔφη. r. ἴφη μάλα. ς.

13. μάλα. π. 14. ἔστιν αὐτῷ om. R. cum lac. ib. βυβλίον. μ. ib. ᾧ ἐπιγέγραπται. r. 15. ἔτυχε. R, r, f, β. ἐν ἔτυχε. ρ. ib. κατὰ τὴν. r. κατὰ. ς. 16. σπουδάζει. 2. ib. εἴη om. f. ib. αἰτήσας. r. λαβὼν. ς. 17. τὸ βιβλίον om. R. ib. τὸ πῖ. r, k. τὸ π. E. ib. ἀναγινώσκειν. f, 2, 3. 18. κατὰ σοῦ. β.

21. ἐν σπανίοις. μ. ἐκ γνησίου. p. ib. ἀκροᾶσθαι. f, k, g. ib. ἀγνοῶμεν. β. ib. δὲ om. o. 22. χρήσασθαι. p. ex corr. χρῆσθαι cett. C (χρῆσται. β) et E. ib. ὀψηφαγῆσαι. ν. ib. ἐπισκῆψαι. R. 23. Λύκια. o. ἐν Λυκίᾳ. e. m. 24. ἐκκληρονομήθη. g, e, m. 25. δεκατάλαντον. r et p ex corr. δέκα ταλάντων. ς. ib. ἦν om. k.

26. μὴ δεύτερα. r, f, k. ἡ δὲ δεύτερα. ρ om. lit. initiali. μὴ δεύτερον. β. μηδὲ δεύτερον. R, 2, 3, E. ib. σοφιστῶν Ἱππόδρομον. R. 27. οἶδ' ὅτι. μ. 28. παρελθὼν δὴ. π, g.

II, 27. §. 3. 4. 5. 6. 28. §. 1. p 614. 615. = 109.

Μεγάλου δὲ ἐν Θετταλίᾳ δοκοῦντος τοῦ καὶ ἅπαξ προστῆναι τῶν Πυθίων ὁ Ἱππόδρομος προ- 11
είστη δὶς τῶν Πυθικῶν ἄθλων, πλούτῳ τε ὑπερήνεγκε τοὺς ἄνω καὶ κόσμῳ τῷ περὶ τὸν ἀγῶνα 616
καὶ μεγέθει γνώμης καὶ δικαιότητι βραβευούσῃ τὸ εὐθύ. τὸ γοῦν περὶ τὸν τῆς τραγῳδίας ὑπο-
κριτὴν ὑπ' αὐτοῦ πραχθὲν οὐδὲ ὑπερβολὴν ἑτέρῳ καταλέλοιπε δικαιότητός τε καὶ γνώμης· Κλήμης
γὰρ ὁ Βυζάντιος τραγῳδίας ὑποκριτὴς ἦν μὲν οἷος οὔπω τις τὴν τέχνην, νικῶν δὲ κατὰ τοὺς χρό- 5
νους, οὓς τὸ Βυζάντιον ἐπολιορκεῖτο, ἀπῄει ἁμαρτάνων τῆς νίκης, ὡς μὴ δοκοίη δι' ἑνὸς ἀνδρὸς
κηρύττεσθαι πόλις ὅπλα ἐπὶ Ῥωμαίους ἠρμένη. ἄριστα δὲ αὐτὸν ἀγωνισάμενον κἀν τοῖς Ἀμφικτυο-
νικοῖς ἄθλοις οἱ μὲν Ἀμφικτύονες ἀπεψηφίζοντο τῆς νίκης δέει τῆς προειρημένης αἰτίας, ἀναπη-
δήσας δὲ ξὺν ὁρμῇ ὁ Ἱππόδρομος „οὗτοι μὲν" εἶπεν „ἐρρώσθων ἐπιορκοῦντές τε καὶ παραγιγνώ-
σκοντες τοῦ δικαίου, ἐγὼ δὲ Κλήμεντι τὴν νικῶσαν δίδωμι." ἐφέντος δὲ θατέρου τῶν ὑποκριτῶν 10
ἐπὶ τὸν βασιλέα, ηὐδοκίμησε πάλιν ἡ τοῦ Ἱπποδρόμου ψῆφος, καὶ γὰρ δὴ καὶ ἐπὶ τῆς Ῥώμης ἐνίκα
ὁ Βυζάντιος.

Τοιοῦτος δὲ ὢν ἐς τὰ πλήθη θαυμασίᾳ πραότητι ἐπὶ τὰς ἐπιδείξεις ἐχρῆτο· παραλαβὼν γὰρ τὴν 111
τέχνην φίλαυτόν τε καὶ ἀλαζόνα οὔτε ἐς ἔπαινον ἑαυτοῦ κατέστη ποτὲ καὶ ἐπέκοπτε τὰς ὑπερβολὰς
τῶν ἐπαίνων· βοώντων γοῦν ἐπ' αὐτῷ ποτε τῶν Ἑλλήνων πολλὰ καὶ εὔφημα καί που καὶ τῷ Πολέ- 15
μωνι ὁμοιούντων αὐτὸν „τί μ' ἀθανάτοισιν ἐίσκεις"; ἔφη, οὔτε τὸν Πολέμωνα ἀφελόμενος
τὸ νομίζεσθαι θεῖον ἄνδρα, οὔτε ἑαυτῷ διδοὺς τὸ τοιούτῳ ὁμοιοῦσθαι. Πρόκλου δὲ τοῦ Nαυ- 617
κρατίτου πομπείαν οὐ πρεσβευτικὴν ξυνθέντος ἐπὶ πάντας τοὺς παιδεύοντας Ἀθήνησι καὶ τὸν Ἱπ-
πόδρομον ἐγκαταλέξαντος τῷ λοιδορησμῷ τούτῳ ἡμεῖς μὲν ᾠόμεθα λύγου ἀκροάσασθαι πρὸς τὴν
τῶν εἰρημένων ἠχὼ ξυγκειμένου, ὁ δὲ οὐδὲν εἰπὼν φλαῦρον ἔπαινον εὐφημίας διεξῆλθεν, ἀρξά- 20
μενος ἀπὸ τοῦ ταὼ τοῦ ὄρνιθος ὡς ἀναπτεροῦντος αὐτὸν τοῦ ἐπαίνου. ὧδε μὲν δὴ διέκειτο πρὸς
τοὺς ἑαυτοῦ πρεσβυτέρους καὶ χρόνῳ πολλῷ τε καὶ οὐ πολλῷ προειληφότας, ὡς δὲ καὶ πρὸς τοὺς
ἰσήλικας εἶχεν, ὑπάρχει μαθεῖν ἐκ τῶνδε· νεανίας ἀπ' Ἰωνίας ἥκων Ἀθήναζε διῄει ἐπαίνους τοῦ
Ἡρακλείδου πέρα ἀχθηδόνος· ἰδὼν οὖν αὐτὸν ὁ Ἱππόδρομος ἐν τῇ ἀκροάσει „ὁ νεανίας οὗτος"
ἔφη „ἐρᾷ τοῦ ἑαυτοῦ διδασκάλου. καλὸν οὖν ξυλλαβεῖν αὐτῷ τῶν παιδικῶν, καὶ γὰρ ἂν καὶ ξὺν 25
ἑρμαίῳ ἀπέλθοι μαθὼν ἐγκωμιάζειν." καὶ εἰπὼν ταῦτα ἔπαινον τοῦ Ἡρακλείδου διῆλθεν, οἷος ἐπ'
αὐτῷ οὔπω εἴρηται. τὰ δὲ ἐπὶ Διοδότῳ τῷ Καππαδόκῃ δάκρυα καὶ τὸ ἐσθῆτα μέλαιναν ἐπ' αὐτῷ
ἐνδῦναι φύσιν μὲν παρεσχημένῳ μελέτῃ ἐπιτηδείαν, ἐφήβῳ δὲ ἀποθανόντι πατέρα τοῦ Ἑλληνικοῦ
ἐκήρυξε τὸν Ἱππόδρομον καὶ περιωπὴν ἔχοντα τοῦ καὶ μεθ' ἑαυτὸν γενέσθαι τινὰς ἀριπρεπεῖς ἄν-
δρας. τουτὶ δὲ μάλιστα ἐν Ὀλυμπίᾳ ἐδήλωσεν· Φιλοστράτῳ γὰρ τῷ Λημνίῳ γνωρίμῳ μὲν ἑαυτοῦ 30
ὄντι, δύο δὲ καὶ εἴκοσιν ἔτη γεγονότι ἀναρριπτοῦντί τινα αὐτοσχέδιον πλεῖστα μὲν ἐνέδωκε τῇ τέχνῃ
τῶν ἐπαίνων, ὧν τε εἰπεῖν ἔδει καὶ μή, ἀξιούσης δὲ καὶ τὸν Ἱππόδρομον τῆς Ἑλλάδος αὐτίκα πα-
ριέναι, „οὐκ ἐπαποδύσομαι" ἔφη „τοῖς ἐμαυτοῦ σπλάγχνοις": καὶ εἰπὼν ταῦτα ἀνεβάλετο τὴν

1. τῶν. ox. τὸ. π. ib. καὶ om. R, 2, π, g et p. pr. m. e, m. 3. γοῦν om. g. 5. γὰρ. r, f, ρ, k, β et p sec. m. δὲ. R, 2, 3, e, m. ib. μὲν om. E. ib. χρόνους om. p. κατὰ τὸν χρόνον om. ox. 9. δὲ om. R. 16. ἀχθέντος δὲ. R. 11. δὴ ἐπὶ. f. ib. ἐνίκα om. R.

13. πάθη. g. ib. δὲ τὴν. R, 2. 14. ἐπέσκοπτε. k. ἐπέσκωπτε. π, g. 15. ἐπ' αὐτῷ (αὐτὸν. r.) ποτε. 1. ποτε ἐπ' αὐτῷ. 2, 3, E. 17. τοῦ νομίζεσθαι. g. ib. αὐτῷ. μ. ib. καὶ αὐτῷ. v, ox. 18. Πομπιανοῦ. r, f, β. ib. πρεσβυτικὴν. g. Sc. πομπείαν οὐ πρεσβευτικὴν. ib. πρεσβεύοντας. π, g. Ἀθήνησι παιδεύοντας. R. 19. ἐγκαταμίξαντος. π, g. ib. λοιδορησμῷ. R, g. λοιδορημῷ. r. λοιδορισμῷ. ς. ib. ἀκροᾶσθαι. R. 21. δὴ om. R. 24. παρὰ ἀχθηδόνος. 2. ib. ἰδὼν δὲ. R. 25. καλὸν ἔφη οὖν. ox. ib. ξυμβαλεῖν. r. 26. ἐπ' αὐτοῦ. μ. 27. Διότῳ. 2. ib. τῷ om. E. Καππαδόκει. π, g. 28. ἐνδοῦναι. g. 29. ἔχοντα καὶ τοῦ καὶ. f. 30. ἐδήλωσεν. r, f. ib. Φιλοστράτῳ δὲ. 2. Λημνίῳ. r. ib. μὲν om. R. 31. καὶ om. R, g. ib. ἀναριπτοῦντι. 2. ib. ἐπέδωκε. 3. 32. ὧν δὲ. e et m, ubi mg. ἴσ. ὄντι. ὥστε. v. ib. παρεῖναι. v. 33. ἐπαποδύομαι. g.

II, 27, §. 2. 3. p. 616. 617. = 110. 111.

ἀκρόασιν ἐπὶ τὴν τῆς θυσίας ἡμέραν. ταῦτα μὲν οὖν ἐχέτω μοι δήλωσιν ἀνδρὸς πεπαιδευμένου φιλανθρώπου τε καὶ πρᾴου τὸ ἦθος.

618 IV Τὸν δὲ Ἀθήνησι τῶν σοφιστῶν θρόνον κατασχὼν ἐτῶν που τεττάρων ἀπηνέχθη αὐτοῦ ὑπὸ τῆς γυναικὸς καὶ τοῦ πλούτου, ἐκείνη γὰρ ἐνεργοτάτη γυναικῶν ἐγένετο καὶ φύλαξ ἀγαθὴ χρημάτων, ἀμφοῖν τε ἀπόντων ἡ οὐσία ὑπεδίδου. τοῦ γε μὴν φοιτᾶν ἐς τὰς τῶν Ἑλλήνων πανηγύρεις οὐκ ἠμέλει, ἀλλ' ἐθάμιζεν ἐς αὐτὰς ἐπιδείξεων ἕνεκα καὶ τοῦ μὴ ἀγνοεῖσθαι. βελτίων δὲ κἀκεῖνα ἐφαίνετο ὑπὸ τοῦ καὶ μετὰ τὸ πεπαῦσθαι τοῦ παιδεύειν ἀεὶ σπουδάζειν. Ἱππόδρομος μὲν γὰρ δὴ πλεῖστα μὲν ἐξέμαθεν Ἑλλήνων τῶν γε μετὰ τὸν Καππαδόκην Ἀλέξανδρον μνήμην εὐτυχησάντων, πλεῖστα δὲ ἀνέγνω μετά γε Ἀμμώνιον τὸν ἀπὸ τοῦ Περιπάτου, ἐκείνου γὰρ πολυγραμματώτερον ἄνδρα οὔπω ἔγνων. μελέτης δὲ ὁ Ἱππόδρομος οὔτε ἐν ἀγρῷ διαιτώμενος ἠμέλει οὔτε ὁδοιπορῶν οὔτε ἐν Θετταλίᾳ, ἀλλὰ καὶ κρεῖττον ὅλβου κτῆμα ἐκάλει αὐτὴν ἐκ τῶν Εὐριπίδου τε ὕμνων καὶ Ἀμφίονος.

V Ἀγροικότερός τε ὢν τὸ εἶδος ὅμως ἀμήχανον εὐγένειαν ἐπεδήλου τοῖς ὄμμασι γοργόν τε καὶ φαιδρὸν βλέπων. τουτὶ δὲ καὶ Μεγιστίας ὁ Σμυρναῖος ἐν αὐτῷ καθεωρακέναι φησὶν οὐ τὰ δεύτερα τῶν φυσιογνωμονούντων νομισθείς· ἀφίκετο μὲν γὰρ ἐς τὴν Σμύρναν μετὰ τὸν Ἡρακλείδην ὁ Ἱππόδρομος οὔπω πρὸ τούτου ἥκων, ἀποβὰς δὲ τῆς νεὼς ἀπῄει ἐς ἀγοράν, εἴ τῳ ἐντύχοι πεπαιδευμένῳ τὰ ἐγχώρια. ἱερὸν δὲ κατιδὼν καὶ παιδαγωγούς τε προσκαθημένους ἀκολούθους τε παῖδας ἄχθη βιβλίων ἐν πήραις ἀνημμένους ξυνῆκεν, ὅτι παιδεύοι τις ἔνδον τῶν ἐπιφανῶν, καὶ ἔσω παρῄει καὶ προσειπὼν τὸν Μεγιστίαν ἐκάθητο ἐρωτῶν οὐδέν. ὁ μὲν δὴ Μεγιστίας ᾤετο ὑπὲρ μαθητῶν αὐτὸν διαλέξεσθαί οἱ, πατέρα ἴσως ἢ τροφέα παίδων ὄντα, καὶ ἤρετο, ὑπὲρ ὅτου ἥκοι,
619 ὁ δὲ „πεύσῃ" ἔφη „ἐπειδὰν αὐτοὶ γενώμεθα". διακωδωνίσας οὖν ὁ Μεγιστίας τὰ μειράκια „λέγε", ἔφη „ὅ τι βούλει". καὶ ὁ Ἱππόδρομος „ἀντιδῶμεν ἀλλήλοις τὴν ἐσθῆτα" εἶπεν, ἦν δὲ ἄρα τῷ μὲν Ἱπποδρόμῳ χλαμύς, τῷ δὲ αὖ δημηγορικὸν ἱμάτιον. „καὶ τίνα σοι νοῦν ἔχει τοῦτο"; ἦ δ' ὁ Μεγιστίας. „ἐπίδειξιν" ἔφη „σοὶ μελέτης ποιήσασθαι βούλομαι". δαιμονᾶν μὲν οὖν αὐτὸν ᾠήθη ταῦτα ἐπαγγείλαντα καὶ τὴν γνώμην ἐλαύνεσθαι, τὰς βολὰς δὲ ἀνασκοπῶν τῶν ὀμμάτων καὶ ὁρῶν αὐτὸν ἔννους καὶ καθεστηκότα ἀντέδωκε τὴν ἐσθῆτα ὑπόθεσίν τε αἰτήσαντι προῦβαλε τὸν μάγον τὸν ἀποθνήσκειν ἀξιοῦντα, ἐπειδὴ μὴ ἐδυνήθη ἀποκτεῖναι μάγον μοιχόν. ὡς δὲ ἰζήσας ἐπὶ τοῦ θρόνου καὶ σμικρὸν ἐπισχὼν ἀνεπήδησεν, μᾶλλον ἐσῆει τὸν Μεγιστίαν ὁ τῆς μανίας λόγος καὶ τὰ πλεονεκτήματα ἐμβροντησίαν ᾤετο, ἀρξαμένου δὲ τῆς ὑποθέσεως καὶ εἰπόντος „ἀλλ' ἐμαυτόν γε δύναμαι" ἐξέπεσεν ἑαυτοῦ ὑπὸ θαύματος καὶ προσδραμὼν αὐτῷ ἱκέτευε μαθεῖν, ὅστις εἴη. „εἰμὶ μὲν"

1. οὐσίας. ox.

3. που ἐτῶν. k. ib. αὐτοῦ. r, p. αὐτὸς. ς. 5. ἐπεδίδου. k. ib. μὴν. R, β, k, ox. μὲν. ς. ib. φοιτᾶν. r, f, k, β. εἰσφοιτᾶν. R, 2, 3, E. 6. ἐπιδείξεων om. R. ib. βέλτιον. R, 2, 3, e, m. 7. τὸ ἀπολαῦσαι. k. τοῦ πεπαῦσθαι. π, g. ib. τοῦ om. β. ib. δὴ om. μ, v. δὲ. R. 8. γε om. g. ib. μνήμην. r, l et p ex corr. μνήμης. ς. 9. τὸν ἐκ τοῦ. v. ib. γὰρ om. R. 11. κρείττων. f. κρείττω. μ, v, π, g, e, m.

13. ἀπεδήλου. E. 14. βλέπων. ρ, k et p sec. m, o. Abest in ς. ib. Μαστιγίας. R ut semper. 15. τῶν om. 3, E. ib. φυσιογνωμούντων. g. ib. γὰρ om. R. 16. πρὸ τόκου. R. ib. ἐπῄει. R. ib. εἶπον. μ, v. εἶπω. l. εἴ πω (sic) ox. εἶτω. p. ib. ἐντύχει. μ. ἐντύχῃ. l, ox. ἐντύχῃ. p. ubi οι. suprasc. 17. κατιδὼν om. π. ib. παιδαγωγοὺς τε r. παιδαγωγοὺς. ς. 18. βυβλίων. μ. ib. ἀνημένους. p. ib. ὅτι τι. R. ib. τῶν om. R. 20. αὐτὸν. r, f, β. αὐτὸν om. ς. ib. πατέρα — ἥκοι om. v. 21. Σ. v. διακωδωνίσας· διακ. δὲ ὁ παιδευτὴς — βούλει. 22. εἶπεν. l. ἔφη. 2, 3, E. 23. ἔχει τοῦτο. R, r, f, k. τοῦτο. β. τοῦτ'. 2, 3, E. 24. Μεγιστίας, ἔχει. β. ib. δ' οὖν. ib. αὐτῷ. k. 25. τὴν γνώμην μελαίνεσθαι. R. ib. τὰς βολὰς δὲ. r. τὰς βολὰς. f. τὰς βουλὰς δὲ. β. τὰς δὲ βουλὰς. k. τὰς δὲ βολὰς. 2, 3, E. 26. καὶ om. R, f, ρ, k. 27. ἠδυνήθη. π. ἐδυνήθην. R. ib. μάγον τὸν μοιχὸν. ox. ib. ζητήσας. r. ζητῆσας. R. καθίσας. β. ἐνιζήσας. f, k. ἰζήσας. ρ, 2, 3, E. ib. ὑπὸ τοῦ. ox. 28. σμικρὸν. r. μικρὸν. f, k, E. ib. ἀνασχὼν. R. ὑποσχὼν. 2, 3, E (sed ἄλλως· ἐπισχὼν. ox.). ib. ἀνεπήδησεν. f. ib. πλεονεκτήματα om. R. 29 τὰς ὑποθέσεις. R.

11, 27. §. 4, 5. p. 618. 619. = 112.

ἔφη „Ἱππόδρομος ὁ Θετταλός, ἥκω δέ σοι ἐγγυμνασόμενος, ἵν' ἐκμάθοιμι δι' ἑνὸς ἀνδρὸς οὕτω πεπαιδευμένου τὸ ἦθος τῆς Ἰωνικῆς ἀκροάσεως. ἀλλ' ὅρα με δι' ὅλης τῆς ὑποθέσεως." περὶ τέρμα δὲ τοῦ λόγου δρόμος ὑπὸ τῶν κατὰ τὴν Σμύρναν πεπαιδευμένων ἐπὶ τὰς τοῦ Μεγιστίου θύρας ἐγίνετο, ταχείας τῆς φήμης διαδοθείσης ἐς πάντας ἐπιχωριάζειν αὐτοῖς τὸν Ἱππόδρομον, ὁ δὲ ἀναλαβὼν τὴν ὑπόθεσιν ἑτέρᾳ δυνάμει μετεχειρίσατο τὰς ἤδη εἰρημένας ἐννοίας παρελθών τε ἐς τὸ κοινὸν τῶν Σμυρναίων ἀνὴρ ἔδοξε θαυμάσιος καὶ οἷος ἐν τοῖς πρὸ αὐτοῦ γράφεσθαι.

Ἦν δὲ αὐτῷ τὰ μὲν τῆς διαλέξεως Πλάτωνος ἀνημμένα καὶ Λίωνος, τὰ δὲ τῆς μελέτης κατὰ VI 620
τὸν Πολέμωνα ἐρρωμένα καί που καὶ ποτιμώτερα, τὰ δὲ τῆς εὐροίας οἷα τοῖς ἀλύπως ἀναγιγνώσκουσι τὰ σφόδρα αὐτοῖς καθωμιλημένα. Νικαγόρου δὲ τοῦ σοφιστοῦ μητέρα σοφιστῶν τὴν τραγῳδίαν προσειπόντος διορθούμενος ὁ Ἱππόδρομος τὸν λόγον „ἐγὼ δὲ" ἔφη „πατέρα Ὅμηρον." ἐσπούδαζε δὲ καὶ ἀπὸ Ἀρχιλόχου καλῶν τὸν μὲν Ὅμηρον φωνὴν σοφιστῶν, τὸν δὲ Ἀρχίλοχον πνεῦμα. μελέται μὲν δὴ τοῦ ἀνδρὸς τούτου τριάκοντα ἴσως, ἄρισται δὲ αὐτῶν οἱ Καταναῖοι καὶ οἱ Σκύθαι καὶ ὁ Δημάδης ὁ μὴ ξυγχωρῶν ἀφίστασθαι Ἀλεξάνδρου ἐν Ἰνδοῖς ὄντος. ᾄδονται δὲ αὐτοῦ καὶ λυρικοὶ νόμοι, καὶ γὰρ δὴ καὶ τῆς νομικῆς λύρας ἥπτετο. ἐτελεύτα δὲ ἀμφὶ τὰ ἑβδομήκοντα καὶ οἴκοι καὶ ἐπὶ υἱῷ ἀγροῦ μὲν προστῆναι καὶ οἰκίας ἱκανῷ, παραπλῆγι δὲ καὶ ἔκφρονι, τὰ δὲ τῶν σοφιστῶν οὐ πεπαιδευμένῳ.

κή. Οἱ τὸν Λαοδικέα Οὖαρον λόγων ἀξιοῦντες αὐτοὶ μὴ ἀξιούσθων λόγων, καὶ γὰρ εὐτελὴς καὶ διακεχηνὼς καὶ εὐήθης καὶ ἣν εἶχεν εὐφωνίαν αἰσχύνων καμπαῖς ᾀσμάτων, αἷς κἂν ὑπορχήσαιτό τις τῶν ἀσελγεστέρων, οὗ διδάσκαλον ἢ ἀκροατὴν τί ἂν γράφοιμι, τί δ' ἂν φράζοιμι, εὖ γιγνώσκων. ὅτι μήτ' ἂν τοιαῦτα διδάξειέ τις καὶ τοῖς μεμαθηκόσιν ὄνειδος τὸ τοιούτων ἠκροᾶσθαι;

κθ'. Κυρίνῳ δὲ τῷ σοφιστῇ πατρὶς μὲν Νικομήδεια ἐγένετο, γένος δὲ οὔτε εὐδόκιμον οὔτε
αὖ κατεγνωσμένον, ἀλλὰ φύσις ἀγαθὴ παραλαβεῖν μαθήματα καὶ παραδοῦναι βελτίων, οὐ γὰρ 621
μνήμην μόνον, ἀλλὰ καὶ σαφήνειαν ἔσχει. κομματίας ὁ σοφιστὴς οὗτος καὶ περὶ μὲν τὰ θετικὰ τῶν χωρίων οὐ πολύς, ἐρρωμένος μὴν καὶ σφοδρὸς καὶ κατασεῖσαι δεινὸς ἀκροατοῦ ὦτα, καὶ γὰρ δὴ καὶ ἀπεσχεδίαζεν, προσφυέστερος δὲ ταῖς κατηγορίαις δοκῶν ἐπιστεύθη ἐκ βασιλέως τὴν τοῦ ταμιείου γλῶτταν, καὶ παρελθὼν ἐς τὸ δυνηθῆναί τι οὔτε βαρὺς οὔτε ἀλαζὼν ἔδοξεν, ἀλλὰ πρᾷός τε καὶ ἑαυτῷ ὅμοιος, οὔτε ἐρασιχρήματος. ἀλλ' ὥσπερ τὸν Ἀριστείδην Ἀθηναῖοι ᾄδουσι μετὰ τὴν ἐπίταξιν τῶν φόρων καὶ τὰς νήσους ἐπανελθεῖν σφισιν ἐν τῷ προτέρῳ τρίβωνι, οὕτω καὶ ὁ Κυρῖνος ἀφίκετο ἐς τὰ ἑαυτοῦ ἤθη πενίᾳ σεμνυνόμενος. αἰτιωμένων δὲ αὐτὸν τῶν κατὰ τὴν Ἀσίαν ἐνδεικτῶν, ὡς πραότερον περὶ τὰς κατηγορίας ἢ αὐτοὶ διδάσκουσιν „καὶ μὴν καὶ πολλῷ βέλτιον"

1. Θετταλὸς — ἐγγυμνασόμενος om. R. ib. ἐγγυμνασόμενος. r. γυμνασόμενος. ς. 2. ὅρα μὲν. R. ib. περὶ δὲ. g. περὶ τὸ τέρμα δὲ. β, π. 3. ὑπὸ τὰς. R, 2, 3, e, m. ib. τοῦ om. o. 4. αὐτοὺς. R.
7. αὐτῶν. k. ib. ἀνημμένα. 1, 3. ἀνειμένα. 2, φ ex corr. E. ib. κατὰ τὸν Π. p. κατὰ τὰ Πολέμωνος. f, β. (Πολέμονος. β) κατὰ τὸ Πολ. k. κατὰ τὰ τοῦ Πολ. π. καὶ τὰ τοῦ Π. 2. κατὰ τοῦ Πολ. E. 8. ἐρρωμένον. k. ib. που ποτιμώτερα. 1, p, g. 9. καθομιλημένα. r. 11. Ὁμήρου. R, g. ib. ὑπὸ Ἀρχ. g. ib. τὸν μὴ. k. 12. δὴ om. f. ib. ἄρισται. μ, ν. ἄριστοι. ς. 14. ἥπτετο λύρας. β. ib. ἑβδομήκοντα ἔτη. r. 15. ἱκανῶς. R. 16. τὰ δὲ. r. τά τε. ς.
17. Λαοδικεὺς inscriptio in e. ib. μὲν ἀξιούσθων. e et m ubi ἴσ. οὐκ ἀξιούσθων. ib. λόγων. r. λόγου. ς. 18. καὶ ὑπορχήσαιτο. k. 19. τί ἂν γράφοιμι, τί δ' ἂν φράζοιμι; r. τί ἂν λέγοιμι, τί δ' ἂν φράζοιμι, τί δ' ἂν γράφοιμι; f. τί ἂν λέγοιμι, τί δ' ἂν γράφοιμι, τί δ' ἂν φράξαιμι; k. τί ἂν λέγοιμι, τί δ' ἂν γράφοιμι; β, 2, 3, E. 20. μεμαθηκόσι. r. ib. τοιοῦτον. ν, l. τοιούτου. ox. ib. ἠκροᾶσθαι. p ex corr. ἀκροᾶσθαι. ς.
21. ἂν Νικ. R. ib. οὔτε αὖ κατ .... r, f. οὔτε αὖ κατεγνωσμένον. ρ, k, p, o. οὔτε ἂν ἀδόκιμον. R. οὔτε αὖ καταβεβλημένον. β, 2, 3, e, m. 22. ἀλλὰ φύσις. ρ, k et p ex corr. φύσις δὲ. R. φύσις. β, 2, 3, E. 23. παρὰ. R. 28. ἐπανελθὼν. R, π, g, e, m. ἐπανέλθωντα. μ. ἐπανελθόντα. ν. ib. Κύρινος. e. 29. παιδείᾳ. R. ib. αὐτῶν. μ. ib. τῶν om. e. 30. πραότερος. k. ib. περὶ τῆς. μ. ib. διδάσκουσιν. r, f. ib. καὶ μὴν καὶ. r. καὶ μήν. ς.

II, 27. §. 6. 28, 29. p. 620. 621. = 113. 114.

εἶπεν „ὑμᾶς λαβεῖν τὴν ἐμὴν πραότητα ἢ ἐμὲ τὴν ὑμετέραν ὠμότητα." ἐνδειξάντων δὲ αὐτῶν καὶ πόλιν οὐ μεγάλην ἐπὶ πολλαῖς μυριάσιν ἐκράτει μὲν ὁ Κυρῖνος τὴν δίκην ἄκων μάλα, προσιόντες δὲ αὐτῷ οἱ ἐνδεῖκται „αὕτη σε" ἔφασαν „ἡ δίκη ἀρεῖ μέγαν παρελθοῦσα ἐς τὰ τοῦ βασιλέως ὦτα". καὶ ὁ Κυρῖνος „οὐκ ἐμοὶ πρέπον" ἔφη „ἀλλ' ὑμῖν ἐπὶ τῷ πόλιν ἀοίκητον εἰργάσθαι τιμᾶσθαι." ἐπὶ δὲ υἱῷ τελευτήσαντι παραμυθουμένων αὐτὸν τῶν προσηκόντων „πότε" εἶπεν „ἀνὴρ ἢ νῦν δόξω"; Ἀδριανοῦ δὲ ἀκροατὴς γενόμενος οὐ πᾶσιν ὡμολόγει τοῖς ἐκείνου, ἀλλ' ἔστιν ἃ καὶ διέγραφεν οὐκ ὀρθῶς εἰρημένα. τέρμα δὲ αὐτῷ τοῦ βίου ἔτος ἑβδομηκοστὸν καὶ τὸ σῆμα οἴκοι.

λ'. Φιλίσκος δὲ ὁ Θετταλὸς Ἱπποδρόμῳ μὲν συνῆπται γένος, τοῦ δὲ Ἀθήνησι θρόνου
622 προῦστη ἐτῶν ἑπτὰ τὴν ἀτέλειαν τὴν ἐπ' αὐτῷ ἀφαιρεθείς, τοῦτο δὲ πῶς συνέβη, δηλῶσαι ἀνάγκη· Ἐορδαῖοι Μακεδόνες . . τὰς οἰκείας λειτουργίας τὸν Φιλίσκον, ὡς δὴ ὑπάρχον αὐτοῖς ἐπὶ πάντας τοὺς ἀπὸ μητέρων, ἐφίεσαν· τῆς δίκης τοίνυν γενομένης ἐπὶ τὸν αὐτοκράτορα, Ἀντωνῖνος δὲ ἦν ὁ τῆς φιλοσόφου παῖς Ἰουλίας, ἐστάλη ἐς τὴν Ῥώμην ὡς τὰ ἑαυτοῦ θησόμενος, καὶ προσρυεὶς τοῖς περὶ τὴν Ἰουλίαν γεωμέτραις τε καὶ φιλοσόφοις εὕρετο παρ' αὐτῆς διὰ τοῦ βασιλέως τὸν Ἀθήνησι θρόνον. ὁ δ', ὥσπερ οἱ θεοὶ Ὁμήρῳ πεποίηνται οὐ πάντα ἑκόντες ἀλλήλοις διδόντες, ἀλλ' ἔστιν ἃ καὶ ἄκοντες, οὕτω δὴ ἠγρίαινε καὶ χαλεπὸς ἦν ὡς περιδραμόντι, ὡς δὲ ἤκουσεν εἶναί τινα αὐτῷ καὶ δίκην, ἧς αὐτὸς ἀκροατὴς ἔσοιτο, κελεύει τὸν ἐπιτεταγμένον ταῖς δίκαις προειπεῖν οἱ τὸ μὴ δι' ἑτέρου, δι' ἑαυτοῦ δὲ ἀγωνίσασθαι. ἐπεὶ δὲ παρῆλθεν ἐς τὸ δικαστήριον, προσέκρουσε μὲν
623 τὸ βάδισμα, προσέκρουσε δὲ ἡ στάσις, καὶ τὴν στολὴν οὐκ εὐσχήμων ἔδοξε καὶ τὴν φωνὴν μιξόθηλυς καὶ τὴν γλῶτταν ὕπτιος καὶ βλέπων ἑτέρωσέ ποι μᾶλλον ἢ ἐς τὰ νοούμενα· ἐκ τούτων ἀποστραφεὶς ὁ αὐτοκράτωρ ἐς τὸν Φιλίσκον ἐπεστόμιζεν αὐτὸν καὶ παρὰ πάντα τὸν λόγον διείρων ἐς αὐτὸν τοῦ ὕδατος καὶ ἐρωτήσεις ἐν αὐτῷ στενὰς ποιούμενος, ὡς δὲ οὐ πρὸς τὰ ἐρωτώμενα αἱ ἀποκρίσεις ἐγένοντο Φιλίσκου „τὸν μὲν ἄνδρα" ἔφη „δείκνυσιν ἡ κόμη, τὸν δὲ ῥήτορα ἡ φωνή", καὶ μετὰ πολλὰς τοιαύτας ἐπικοπὰς ἐπήγαγεν ἑαυτὸν τοῖς Ἐορδαίοις. εἰπόντος δὲ τοῦ Φιλίσκου „σύ μοι λειτουργιῶν ἀτέλειαν δέδωκας δοὺς τὸν Ἀθήνησι θρόνον" ἀναβοήσας ὁ αὐτοκράτωρ „οὔτε σὺ" εἶπεν „ἀτελὴς οὔτε ἄλλος οὐδεὶς τῶν παιδευόντων· οὐ γὰρ ἄν ποτε διὰ μικρὰ καὶ δύστηνα λογάρια τὰς πόλεις ἀφελοίμην τῶν λειτουργησόντων." ἀλλ' ὅμως καὶ μετὰ ταῦτα Φιλοστράτῳ τῷ Λημνίῳ λειτουργιῶν ἀτέλειαν ἐπὶ μελέτῃ ἐψηφίσατο τέτταρα καὶ εἴκοσιν ἔτη γεγονότι. αἱ μὲν δὴ
11 πρυφάσεις, δι' ἃς ὁ Φιλίσκος ἀφῃρέθη τὸ εἶναι ἀτελής, αἵδε ἐγένοντο, μὴ ἀφαιρείσθω δὲ αὐτὸν τὰ περὶ τῷ βλέμματι καὶ τῷ φθέγματι καὶ σχήματι ἐλαττώματα τὸ μὴ οὐ κράτιστα ῥητόρων ἑλληνίσαι

β α

1. ἀγριότητα. π. 2. μάλα . . . . r. μάλα. f. (sine lac.) μάλα ἄκων. β. μάλα ἄκων. ρ. (sic. mut. ord.) ἄκων μάλα. R, 2, 3, E. In p. mg. habet ἀκηδιῶν. ib. προσιόντος. k. 3. αὕτη δὲ. k. ib. αἱρεῖ. r, f. Scr. ἀρεῖ. αἴρει. ς. ib. μέγα. R ib. παρελθοῦσαν. r. παρελθοῦσα δὲ. f. ib. τοῦ om. π. 4. εἰργάσθαι. r et p ex corr. ποιῆσαι. ς. 7. σῶμα. 2. corpus. Bonf.

Index Editionum (E).

a. Aldina. 1503. ju. Juntinae 1517. 1522. 1535. Nicoliniana 1550. sunt ε. editiones veteres. m. Morelliana 1608. o. Olearіana 1709. B. Boissonadi 1806. Ubi ea cum E ceteris conspirat, scripsi EB.

[1]) Ut 290, 12. 291, 16 ex quarta fam. 304, 11 et 310, 11 ex g.

[2]) cf. 304, 23. 324, 7.

ΦΙΛΟΣΤΡΑΤΟΥ ΗΡΩΙΚΟΣ

660

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ ΑΜΠΕΛΟΥΡΓΟΣ ΚΑΙ ΦΟΙΝΙΞ.

ed. B. *Ἀ.* Ἴων ὁ ξένος ἢ πόθεν;

Φ. Φοῖνιξ, ἀμπελουργέ, τῶν περὶ Σιδῶνα καὶ Τύρον. τὸ δὲ Ἰωνικὸν τῆς στολῆς ἐπιχώριον ἤδη καὶ ἡμῖν τοῖς ἐκ Φοινίκης.

Ἀ. Πόθεν οὖν μετεσκεύασθε;

Φ. Σύβαρις Ἰωνικὴ τὴν Φοινίκην κατέσχεν ὁμοῦ πᾶσαν, καὶ γραφὴν ἐκεῖ ἄν τις, οἶμαι, φύγοι μὴ τρυφῶν.

Ἀ. Βαδίζεις δὲ ποῖ μετέωρός τε καὶ ὑπὲρ πάντα τὰ ἐν ποσίν;

Φ. Συμβόλου καὶ φήμης, ἀμπελουργέ, δέομαι περὶ εὐπλοίας, φασὶ γὰρ ἡμᾶς ἀφήσειν ἐς τὸν Λιγαῖον αὐτόν· δεινὴ δέ, οἶμαι, ἡ θάλαττα καὶ οὐ ῥᾳδία πλεῦσαι. βαδίζω δὲ τὴν ἐναντίαν ὁδὸν τῷ ἀνέμῳ· καὶ γὰρ ὑπὲρ εὐπλοίας πρὸς τουτονὶ τὸν σκοπὸν θεωροῦσι Φοίνικες.

Ἀ. Σοφοί γε, ὦ ξένε, τὰ ναυτικὰ ὄντες· ὑμεῖς γάρ που καὶ τὴν ἑτέραν ἄρκτον ἐνεσημήνασθε τῷ οὐρανῷ καὶ πρὸς αὐτὴν πλεῖτε. ὥσπερ δὲ τὰς ναυτιλίας ἐπαινεῖσθε, οὕτω τὰς ἐμπορίας διαβέβλησθε ὡς φιλοχρήματοί τε καὶ τρῶκται.

Φ. Σὺ δὲ οὐ φιλοχρήματος, ἀμπελουργέ, ζῶν ἐν ταύταις ταῖς ἀμπέλοις καὶ ζητῶν ἴσως ὅστις μὲν ὀπωριεῖ καταβαλών σοι δραχμὴν τῶν βοτρύων, ὅτῳ δὲ ἀποδώσῃ τὸ γλεῦκος ἢ ὅτῳ τὸν ἀνθοσμίαν; ὦν, οἶμαι, καὶ κατορωρυγμένον φῆς ἔχειν ὥσπερ ὁ Μάρων. 661

Ἀ. Ξένε Φοῖνιξ, εἰ μὲν εἰσί που τῆς γῆς Κύκλωπες, οὓς λέγεται ἡ γῆ ἀργοὺς βύσκειν φυτεύοντας οὐδέν, οὐδὲ σπείροντας, ἀφύλακτα μὲν τὰ φυόμενα εἴη ἄν, καίτοι Δήμητρός γε καὶ Διονύσου ὄντα, πωλοῖτο δ' ἂν οὐδὲν ἐκ τῆς γῆς, ἀλλ' ἄτιμά τε καὶ κοινὰ φύοιτ' ἄν, ὥσπερ ἐν Συῶν ἀγορᾷ· σπείρειν δὲ ὅπου χρὴ καὶ ἀροῦν καὶ φυτεύειν καὶ ἄλλο ἐπ' ἄλλῳ ποιεῖν προσκείμενον τῇ γῇ ὑποκείμενον ταῖς ὥραις, ἐνταῦθα πωλεῖν τε χρὴ καὶ ὠνεῖσθαι. δεῖ γὰρ καὶ γεωργίᾳ χρημάτων, καὶ ἄνευ τούτων οὔτε ἀρότην θρέψεις οὔτε ἀμπελουργὸν οὔτε βουκόλον οὔτε αἰπόλον, οὐδὲ κρατὴρ ἔσται σοι πιεῖν ἢ σπεῖσαι. καὶ γὰρ τὸ ἥδιστον τῶν ἐν γεωργίᾳ, τὸ τρυγᾶν ἀμπέλους, μισθοῦ χρὴ πράττειν, εἰ δὲ μή, ἄοινοί τε καὶ ἀργοὶ ἑστήξουσιν, ὥσπερ γεγραμμέναι. ταυτὶ μὲν οὖν,

1. ὦ ξένε. f. Fo: εἶ, ξένε. 2. Σιδῶνα καὶ. f et p ex corr. Σιδωνά τε καὶ. ς. ib. Τύρον — Φοινίκης tribuit 1 Phoenici, τὸ — στολῆς; vinitori 2, 3, 4, EB. 5. ὁμοῦ om. γ pr. m et β. ib. οὗ τις. o. ib. οἶμαι om. γ pr. m. 6. φεύγοι. β. 8. ξυμβούλου. e, n, j, m in mg. ib. ἀφήσειν ἡμᾶς. g. 10. καὶ γὰρ. γ, ubi τὰ suprascr. et 2. τὰ γὰρ. f, l, 3, 4, EB. Plan. 93. ib. ὑπὲρ om. 4. ib. τρόπον. o. 12. σοφοί τε. n. σοφοὶ γὰρ. Plan. 93. ib. ἡμεῖς. 2. ib. γὰρ πολὺ. f et 2 in mg. γάρ πω. g, β, n. 12. οὕτω καὶ. g. 14. ταύτῃ τῇ ἀμπέλῳ. p. 15. ἀποδώσεις. 2. ψ, d. E. ἀποδώσῃς. γ 16. καὶ om. 3, 4, EB. 17. τῆς om. 2. ib. τρέφειν. 2. 18. οὐδὲ θερίζοντας. δ. ib. Δ. τε. γ, 3. 20. ποιεῖν. 1. πονεῖν. ς. 21. ὑποκείμενον. f, γ. καὶ ὑποκ. ς. 23. τῶν om. l. τῶν ἐγγε. τὸ ἡδ. g. 24. ἄπονοι. o. ib. ἀργαί. l, n, β. ib. γεγραμμένοι. m, o. ib. οὖν eras. p. om. l, 2, g, δ.

ὦ ξένε, ὑπὲρ παντὸς εἴρηκα τοῦ τῶν γεωργῶν κύκλου, τουμὸν δὲ πολλῷ ἐπιεικέστερον· οὐ γὰρ ξυμβάλλω ἐμπόροις, οὐδὲ τὴν δραχμὴν ὅ τι ἐστί, γιγνώσκω, ἀλλὰ βοῦν σίτου καὶ οἶνου τράγον καὶ τοιαῦτα τοιούτων ἢ ὠνοῦμαι ἢ αὐτὸς ἀποδίδομαι σμικρὰ εἰπών τε καὶ ἀκούσας.

662 *Φ.* Χρυσῆν ἀγορὰν λέγεις, ἀμπελουργέ, καὶ ἡρώων μᾶλλον ἢ ἀνθρώπων. ἀλλὰ καὶ ὁ κύων οὗτος τί ἐθέλει; περίεισι γὰρ με προσκνυζόμενος τοῖς ποσὶ καὶ παρέχων τὸ οὖς ἁπαλόν τε καὶ πρᾷον.

Ἀ. Τουμὸν ἦθος ἑρμηνεύει σοι, ξένε, καὶ ὅτι πρὸς τοὺς δεῦρο ἀφικνουμένους οὕτω μετρίως καὶ χρηστῶς ἔχομεν, ὡς μηδὲ τῷ κυνὶ ξυγχωρεῖν ὑλακτεῖν αὐτούς, ἀλλὰ προσδέχεσθαί τε καὶ ὑποπίπτειν ἥκοντας.

Φ. Ἔξεστιν οὖν ἀμπέλῳ προσβαλεῖν; 8

Ἀ. Φθόνος οὐδείς· εἰσὶ γὰρ ἡμῖν ἱκανοί γε βότρυς.

Φ. Τί δέ; καὶ συκάσαι;

Ἀ. Καὶ τούτου ἄδεια, περίεστι γὰρ καὶ σύκων· καὶ κάρυα δοίην καὶ μῆλα δοίην καὶ μυρία ἀγαθὰ ἕτερα, φυτεύω δὲ αὐτὰ οἷον παροψήματα τῶν ἀμπέλων.

Φ. Τί ἂν οὖν καταβάλοιμι;

Ἀ. Τί δ' ἄλλο γ' ἢ φαγεῖν τε ἡδέως καὶ ἐπισιτίσασθαι καὶ ἀπελθεῖν χαίρων;

Φ. Ἀλλ' ἦ φιλοσοφεῖς, ἀμπελουργέ;

Ἀ. Καὶ σύν γε τῷ καλῷ Πρωτεσίλεῳ.

2 *Φ.* Σοὶ δὲ τί καὶ τῷ Πρωτεσίλεῳ κοινόν, εἰ τὸν ἐκ Θετταλίας λέγεις;

Ἀ. Ἐκεῖνον λέγω τὸν τῆς Λαοδαμείας, τουτὶ γὰρ χαίρει ἀκούων.

Φ. Τί δὲ δὴ δεῦρο πράττει;

Ἀ. Ζῇ καὶ γεωργοῦμεν.

Φ. Ἀναβεβιωκὼς ἢ τί;

Ἀ. Οὐδὲ αὐτὸς λέγει, ὦ ξένε, τὰ ἑαυτοῦ πάθη, πλήν γε δὴ ὅτι ἀποθάνοι μὲν δι' Ἑλένην ἐν Τροίᾳ, ἀναβιώῃ δὲ ἐν Φθίᾳ Λαοδαμείας ἐρῶν.

Φ. Καὶ μὴν ἀποθανεῖν γε μετὰ τὸ ἀναβιῶναι λέγεται, ἀναπεῖσαί τε τὴν γυναῖκα ἐπισπέσθαι οἱ. 10

663 *Ἀ.* Λέγει καὶ αὐτὸς ταῦτα, ἀλλ' ὅπως καὶ μετὰ τοῦτο ἀνῆλθε πάλαι μοι βουλομένῳ μαθεῖν οὐ λέγει, Μοιρῶν τι ἀπόρρητον, ὥς φησι, κρύπτων. καὶ οἱ συστρατιῶται δὲ αὐτοῦ οἱ ἐν τῇδε τῇ Τροίᾳ ἔτι ἐν τῷ πεδίῳ φαίνονται μάχιμοι τὸ σχῆμα καὶ σείοντες τοὺς λόφους.

Φ. Ἀπιστῶ, νὴ τὴν Ἀθηνᾶν, ἀμπελουργέ, καίτοι οὕτω βουλόμενος ταῦτα ἔχειν. εἰ δὲ μὴ πρὸς τοῖς φυτοῖς εἶ, μηδὲ ὑχετηγεῖς. ἤδη διελθέ μοι ταῦτά τε καὶ ὅσα τοῦ Πρωτεσίλεω γιγνώσκεις· καὶ γὰρ ἂν χαρίζοιο τοῖς ἥρωσιν, εἰ πιστεύων ἀπέλθοιμι.

Ἀ. Οὐκέτ', ὦ ξένε, κατὰ μεσημβρίαν τὰ φυτὰ πίνει, μετόπωρον γὰρ ἤδη καὶ ἄρδει αὐτὰ ἡ ὥρα· σχολὴ οὖν μοι διελθεῖν πάντα. μηδὲ γὰρ λανθάνοι τοὺς χαρίεντας τῶν ἀνθρώπων θεῖα οὕτω καὶ μεγάλα ὄντα. βέλτιον δὲ καὶ ἐν καλῷ τοῦ χωρίου ἰζῆσαι.

ομαι

2. ὅτι ποτ' ἔστι. 2. 3. ἀποδίδωμι. sic corr. f. ἀποδίδωμι. E. ib. τε εἰπών. γ, 2, E praeter o. 4. ἀλλὰ καὶ. γ, 2, ψ et p ante corr. ἀλλὰ. ς. 5. τί θέλει. φ. ib. προσκνυζόμενος. f, γ, BB. προσκνυζώμενος. l, p, φ. 4 προσκνιζόμενος. 2. ib. τε om. γ. 8. τε om. f, E ante o. 11. καὶ ἡμῖν. γ. ib. ἱκανοί γε. f. ἱκανοὶ. ς. 12. καὶ συκᾶσαι. 2, g, d, B. συκᾶσαι. ς. 13. καὶ καρύων, καὶ μῆλα. 2. 14. καταβάλλοιμι. 3 et 4 (praeter ρ), E. ib. τί δ' ἄλλο γ' ἔφη. f. Fo: τί δ' ἄλλο γ' ὦ Φοίνιξ. 21. τί δὲ δή. 1, 2, E ante o, B. τί δὲ. p ubi δή eras. o. 24. γε τῇ om. 2. ib. ἀποθάνοι suprasc. ἀπέθανεν. p. 26. ἀναπεῖσαί τε. f. καὶ ἀναπεῖσαι. ς. 28. ὅπως μοι. l. 29. στρατιῶται. l, 2. 31. οὕτω βουλόμενος ταῦτα ἔχειν. C. βουλόμενος ταῦτα οὕτως ἔχειν. EB. 32. ὀχετοῖς. φ. 34. τὰ φυτὰ κατὰ μεσημβρίαν. δ. τὰ φυτὰ om. g. 35. γοῦν. δ et E.

8, 10. 2, p. 662. 663.

Φ. Ἦγοῦ δή, ὡς ἑψομένου καὶ ὑπὲρ τὰ μέσα τῆς Θρᾴκης.

Ἀ. Παρέλθωμεν ἐς τὸν ἀμπελῶνα, ὦ Φοίνιξ, καὶ γὰρ ἂν καὶ εὐφροσύνης τι ἐν αὐτῷ εὕροις.

12 Φ. Παρέλθωμεν, ἡδὺ γάρ που ἀναπνεῖ τῶν φυτῶν.

Ἀ. Τί λέγεις ἡδύ; θεῖον· τῶν μὲν γὰρ ἀγρίων δένδρων αἱ ἄνθαι εὔοσμοι, τῶν δὲ ἡμέρων οἱ καρποί. εἰ δὲ ἐντύχοις ποτὲ φυτῷ ἡμέρῳ παρὰ τὴν ἄνθην εὐώδει, δρέπου τῶν φύλλων μᾶλλον, ἐκείνων γὰρ τὸ ὀδωδέναι.

Φ. Ὡς ποικίλη σοι ἡ ὥρα τοῦ χωρίου, καὶ ὡς ἐκδεδώκασιν ἱλαροὶ οἱ βότρυς, τὰ δένδρα τε ὡς διάκειται πάντα καὶ ὡς ἀμβροσία ἡ ὀσμὴ τοῦ χωρίου. τοὺς δρόμους δέ, οὓς ἀνῆκας, χαρίεντας μὲν ἡγοῦμαι, τρυφᾶν δέ μοι δοκεῖς, ἀμπελουργέ, τοσαύτῃ γῇ ἀργῷ χρώμενος.

Ἀ. Ἱεροί, ξένε, οἱ δρόμοι, γυμνάζεται γὰρ ἐν αὐτοῖς ὁ ἥρως. 10

Φ. Ἐρεῖς ταῦτα, ἐπειδὰν ἰζήσωμεν οὗ ἄγεις. νυνὶ δέ μοι ἐκεῖνο εἰπέ· οἰκεῖα γεωργεῖς ταῦτα ἢ δεσπότης μὲν αὐτῶν ἕτερος, σὺ δὲ τρέφοντα τοῦτον τρέφεις, ὥσπερ τὸν τοῦ Εὐριπίδου Οἰνέα;

Ἀ. Ἓν τοῦτο ἐκ πολλῶν γήδιον λείπεταί μοι τρέφον οὐκ ἀνελευθέρως, τοὺς δὲ ἄλλους 664
13 ἀγροὺς ἀφείλοντό με οἱ δυνατοὶ κομιδῇ ὀρφανόν. καὶ τουτὶ δὲ τὸ χωρίδιον ὑπὸ Ξείνιδος ἤδη τοῦ Χερρονησίτου κατεχόμενον ἐξείλετο ὁ Πρωτεσίλεως προσβαλών τι αὐτῷ ἑαυτοῦ φάσμα, ὑφ' οὗ τὰς 15
ὄψεις ἀνακοπεὶς ἀπῆλθε τυφλός.

Φ. Ἀγαθόν γε τοῦ ἀγροῦ φύλακα ἐκτήσω, καὶ οὐδὲ λύκου τινὸς ἔφοδον, οἶμαι, δέδιας ἐγρηγορότος οὕτωσὶ τοῦ φίλου.

Ἀ. Ἀληθῆ λέγεις· οὐδὲ γὰρ θηρίῳ συγχωρεῖ ἐσφοιτᾶν οὐδενί, οὐδὲ ὄφις ἐνταῦθα, οὐδὲ φαλάγγιον, οὐδὲ συκοφάντης ἡμῖν περὶ τοῦ ἀγροῦ ἐπιτίθεται. τὸ δὲ θηρίον τοῦτο δεινῶς ἀναιδές, 20
ἀπόλλυσι γοῦν ἐν ἀγορᾷ.

Φ. Τὴν δὲ φωνήν, ἀμπελουργέ, πῶς ἐπαιδεύθης; οὐ γάρ μοι τῶν ἀπαιδεύτων φαίνῃ.

Ἀ. Ἐν ἄστει, ξένε, τὸ πρῶτον ἐτρίβομεν τοῦ βίου διδασκάλοις χρώμενοι καὶ φιλοσοφοῦντες. πονήρως οὖν τὰ ἐμὰ εἶχεν, ἐπὶ δούλοις γὰρ ἦν τὰ γεωργούμενα, οἱ δ' ἀπέφερον ἡμῖν οὐδέν, ὅθεν δανείζεσθαί τε ἐπὶ τῷ ἀγρῷ ἔδει καὶ πεινῆν, καὶ δῆτ' ἀφικόμενος ἐνταῦθα ξύμβουλον ἐποι- 25
ούμην τὸν Πρωτεσίλεων, ὁ δ' ὀργήν μοι δικαίαν ἔχων, ἐπειδὴ καταλιπὼν αὐτὸν ἐν ἄστει ἔζων,
16 ἰδιώπα. λιπαροῦντος δέ μου καὶ ἀπολεῖσθαι φάσκοντος, εἰ ἀμεληθείην „μεταμφίασαι" ἔφη. τοῦτ' ἐπ' ἐκείνης μὲν τῆς ἡμέρας ἀργῶς ἤκουσα, μετὰ ταῦτα μέντοι βασανίζων αὐτὸ ξυνῆκα, ὅτι μεταβαλεῖν κελεύει με τὸ τοῦ βίου σχῆμα. ὅθεν διφθέραν τε ἐναρμοσάμενος καὶ σμινύην φέρων καὶ οὐδὲ τὴν ἐς ἄστυ ὁδὸν ἔτι γιγνώσκων βρύει μοι τὰ ἐν τῷ ἀγρῷ πάντα, κἂν νοσήσῃ προβάτιον ἢ 30
σμῆνος ἢ δένδρον, ἰατρῷ χρῶμαι τῷ Πρωτεσίλεῳ ξυνών τε αὐτῷ καὶ τῇ γῇ προσκείμενος, σοφώτερός τε ἐμαυτοῦ γίγνομαι, περίεστι γὰρ καὶ σοφίας αὐτῷ.

Φ. Μακάριε τῆς ξυνουσίας καὶ τοῦ ἀγροῦ, εἰ μὴ μόνον ἐλάας καὶ βότρυς ἐν αὐτῷ τρυγᾷς, ἀλλὰ καὶ σοφίαν δρέπῃ θείαν τε καὶ ἀκήρατον. καὶ ἴσως ἀδικῶ τὴν ἐν σοὶ σοφίαν, καλῶν γε 665
ἀμπελουργόν. 35

Ἀ. Οὕτω κάλει, καὶ γὰρ ἂν χαρίζοιο τῷ Πρωτεσίλεῳ γεωργόν τε ἐμὲ καὶ κηπουρὸν καὶ τὰ τοιαῦτα ὀνομάζων.

1. ἡγοῦ δὴ. γ. ἡγοῦ. ς. ib. τῆς om. g. 2. ἂν εὐφρ. δ. 3. ἀναπνεῖ τῶν φυτῶν. C et Philem. (voc. βοῦν σίτου.) τῶν φυτῶν ἀναπνεῖ. EB. 4. ἄκανθαι. π. 5. ἐντύχεις. p. ἐντύχῃς. ψ. 8. ὡς χαρίεντας. γ. 11. ἐπειδὴ. o. 14. χωρίδιον. 1 (γ in mg.), 3, EB. χωρίον. γ. 2, 4. ib. ἤδη om. g. 15. Χερρονησιώτου. 2. ib. τι om. δ. 17. τε h. 19. ἀληθῆ λέγεις om. δ. ib. συγχωρεῖ. f, γ. 20. συκοφάνται. e. 21. οὖν. h. 22. ἐδιδάχθης. ρ (ἐπαιδεύθης mg.) 23. ἐτρίβομεν. f, γ. περιετρίβομεν. π. διετρίβομεν. ς. 25. τὰ ἐπὶ. 2. ib δῆτ'. γ. δῆτα. ς. 29. με κελεύει. 2. ib. ὅθεν — πάντα. Glycas π. συντ. ed. Jahn. p. 54, 28. ib. τε om. 2. ib. ἐναρμοσαμένῳ — φέροντι — γιγνώσκοντι. γ. l. προσαρμοσάμενος. EB. 30. γιγνώσκων ἔτι. g. ib. νοσήσει ψ. ib. πρόβατον. 2. 31. τε om. 1, 2. 33. ἐλαίας. ψ. 34. καλῶν γε. f, γ, 2. καλῶν σε. l, 3, 4, EB. 36. χαρίζοιτο. f. χαρίζῃ. δ.

12, 14, 16. p. 664. 665.

Φ. Ἐνταῦθα οὖν, ἀμπελουργέ, ξύνεστε ἀλλήλοις;

Ἀ. Ἐνταῦθα, ξένε. πῶς δὲ ἐτεκμήρω;

Φ. Ὅτι μοι δοκεῖ τὸ μέρος τοῦ ἀγροῦ τούτου ἥδιστόν τε εἶναι καὶ θεῖον, καὶ εἰ μὲν ἀναβιώη ἄν τις ἐνταῦθα, οὐκ οἶδα, βιώη δ' ἂν ἥδιστά τε καὶ ἀλυπότατα ἐξελθὼν τοῦ ὁμίλου. δένδρα τε γὰρ ὑπερμήκη ταῦτα χρόνου αὐτὰ ἄραντος, ὕδωρ τε ἐκ πηγῶν τουτὶ ποικίλον, καὶ ἀρύεσθε, οἶμαι, αὐτὸ ὥσπερ ἄλλου καὶ ἄλλου ἀνθοσμίου πίνοντες. σὺ δὲ καὶ σκηνὰς φυτεύεις ξυμπλέκων τὰ δένδρα καὶ ξυναρμόττων, ὡς οὐδ' ἂν στέφανόν τις ἐκ λειμῶνος ἀκηράτου ξυμβάλοι.

Ἀ. Καὶ οὕπω, ξένε, τῶν ἀηδόνων ἤκουσας, οἷον τῷ χωρίῳ ἐναττικίζουσιν, ἐπειδὰν δείλη τε ἥκῃ καὶ ἡμέρα ἄρχηται.

Φ. Δοκῶ μοι ἀκηκοέναι ξυντίθεσθαί τε μηδὲ θρηνεῖν αὐτάς, ἀλλὰ ᾄδειν μόνον. πλὴν εἰπὲ τὰ τῶν ἡρώων, ἥδιον γὰρ ἂν τούτων ἀκούοιμι. ξυγχωρεῖς δέ που καὶ ἰζῆσαι;

Ἀ. Ξυγχωρεῖ ὁ ἥρως χρηστὸς ὢν ξενίζων τουτοισὶ τοῖς θάκοις.

Φ. Ἰδοὺ ἀναπαύομαι, τὸ γὰρ ξένιον ἡδὺ τῷ γε ἀκροασομένῳ λόγου σπουδαιοτέρου.

Ἀ. Ἐρώτα ξένε, ὅ τι βούλει, καὶ οὐ μάτην ἀφῖχθαι φήσεις. Ὀδυσσεῖ μὲν γάρ, ὁπότε πόρρω τῆς νεὼς ἦλυεν, ἐντυχὼν ὁ Ἑρμῆς ἤ τις τῶν παρ' Ἑρμοῦ σοφῶν ἐς κοινωνίαν λόγου τε καὶ σπουδῆς ἀφίκετο, τουτὶ γὰρ ἡγεῖσθαι προσήκει τὸ μῶλυ, σὲ δὲ ὁ Πρωτεσίλεως ἱστορίας τε δι' ἐμοῦ ἐμπλήσει καὶ ἡδίω ἀποφανεῖ καὶ σοφώτερον. τὸ γὰρ πολλὰ γιγνώσκειν πολλοῦ ἄξιον.

Φ. Ἀλλ' οὐκ ἀλύω, βέλτιστε, κατὰ δὲ θεόν, νὴ τὴν Ἀθηνᾶν, ἥκω. ξυνίημι γὰρ λοιπὸν τοῦ ἐνυπνίου.

Ἀ. Καὶ πῶς ἔχει σοι τὸ ἐνύπνιον; θεῖον γάρ τι ὑποδηλώσεις.

666 Φ. Πλέω μὲν ἐξ Αἰγύπτου καὶ Φοινίκης πέμπτην καὶ τριακοστὴν ἤδη που ταύτην ἡμέραν, κατασχούσης δὲ τῆς νεὼς ἐς Ἐλεοῦντα τοῦτον ἔδοξα τὰ Ὁμήρου ἔπη ἀναγιγνώσκειν, ἐν οἷς τὸν κατάλογον τῶν Ἀχαιῶν φράζει, καὶ ξυνεκάλουν τοὺς Ἀχαιοὺς ἐμβῆναι τὴν ναῦν ὡς ἀποχρῶσαν ὁμοῦ πᾶσιν. ἐπεὶ δὲ ἐξέθορον τοῦ ἐνυπνίου, καὶ γάρ με καὶ φρίκης τι ὑπελήλυθει, ξυνεβαλόμην μὲν αὐτὸ ἐς βραδυτῆτα τοῦ πλοῦ καὶ μῆκος, αἱ γὰρ τῶν ἀποθανόντων ὄψεις ἀργοὶ τοῖς ἐσπουδακόσι, βουληθεὶς δὲ ξυμβόλῳ περὶ τοῦ ἐνυπνίου χρήσασθαι, οὐδὲ γὰρ τὸ πνεῦμα πω ξυνεχώρει πλεῖν, ἐξαλλάττω δεῦρο ἀπὸ τῆς νεώς, βαδίζων δέ, ὡς εἶδες, πρώτῳ ἐντετύχηκα σοὶ καὶ περὶ τοῦ Πρωτεσίλεω διαλεγόμεθα, διαλεξόμεθα δὲ καὶ περὶ τοῦ καταλόγου τῶν ἡρώων, φῂς γὰρ οὕτω ποιήσειν. καὶ τὸ καταλέγειν σφᾶς ἐς τὴν ναῦν εἴη ἂν τὸ συλλεξάμενον τὸν περὶ αὐτῶν λόγον εἶτα ἐμβῆναι.

Ἀ. Κατὰ θεὸν ἥκεις ἀληθῶς, ξένε, καὶ ὑγιῶς ἐξηγῇ τὴν ὄψιν, περαίνωμεν οὖν τὸν λόγον. μὴ καὶ θρύπτεσθαι με φῇς διάγοντά σε ἀπ' αὐτοῦ.

Φ. Ἃ ποθῶ μαθεῖν, ξυνίης δή γε· αὐτὴν γὰρ τὴν ξυνουσίαν, ἥτις ἐστί σοι πρὸς τὸν Πρωτεσίλεων, καὶ ὁποῖος ἦκει καὶ εἴ τι παραπλήσιον τοῖς ποιηταῖς ἢ διηγνοημένον αὐτοῖς περὶ τῶν Τρωικῶν οἶδεν, ἀκοῦσαι δέομαι. Τρωικὰ δὲ λέγω τὰ τοιαῦτα· τήν τε ἐν Αὐλίδι ξυλλογὴν τοῦ στρατοῦ

2. Φ. πῶς δὲ ἐ. Ἀ. ὅτι μοι κτἐ. γ. 3. τούτου om. n. 4. ἥδιστά τε. f. ἥδιστά που. ς. ib. ἐξελθὼν τοῦ ὁμίλου om. g. 5. χρόνου. f, γ, φ et p, ubi τοῦ suprascr. τοῦ χρόνου. ς. ib. ἀρύεσθαι. ψ, d. 6. πίνοντος. 2, ψ. 7. συναρμόττων. f, l. ib. οὐκ. f, n. ib. γρ. στέφανός τις. 2. ib. ξυμβάλει. 2. 8. τὸ χωρίον. γ, corr. sec. m. 10. δοκεῖ 1. (γ in mg. δοκῶ.) ib. μηδὲν. γ. 13. ἀκροασομένῳ. f, l, k, 3. ἀκροασαμένῳ. γ, i. ἀκροωμένῳ. 4, E. 14. πόρρω. f, g, ψ. πόρρω που. ς. 15. παρ' Ἑρμοῦ. 1, 4. περὶ Ἑρμοῦ. ψ. παρὰ τοῦ Ἑ. EB. 16. τοῦτο. 2. 17. σοφώτατον. d, δ, 2 γρ et p ex corr. rec. 18. οὐ κωλύω. d. ib. κατὰ θεὸν δὲ. 2. 21. ἐπλέομεν. 2. ib. Αἰγύπτου τε. 2, E. 22. ἔδοξε. 4. 23. φραζοι et suprascr. ει. γ. 24. δὲ om. ψ. ib. ξυνεβουλόμην. ψ. ξυνεβαλλόμην. EB. 25. μὲν om. g. ib. βραδυτῆτα. γ, g. βραδύτητα. EB. 26. ξυμβούλῳ. f, γ, 2, ψ, g. ib. πω om. 4. 27. σοὶ. γ, g. σοι. ς. 28. διαλεξώμεθα. 2. ib. δὲ om. j, e, n. ib. κατὰ λόγον. γ. 29. συλλεξάμενα. l. συλλεξαμένους. ς. Sc. συλλεξάμενον. 31. ὦ ξένε. g. ib. περαίνω μὲν. 2. 32. καὶ θρύπτεσθαι. 1, 2, ψ, E, Θ. (v. διάγω.) διαθρύπτεσθαι. g. καὶ διαθρύπτεσθαι. p, d. δ, B. ib. φῄς. E. 33. τὴν om. 2. ib. Πρωτεσίλεω. f. 35. ἐν om. m. ib. ξυναλλαγὴν. β.

18, 20, 22. 3, p. 666.

καὶ καθ' ἕνα τοὺς ἥρως εἰ καλοί τε, ὡς ᾄδονται, καὶ ἀνδρεῖοι καὶ σοφοὶ ἦσαν. τον γὰρ πόλεμον, ὃς περὶ τῇ Τροίᾳ ἐγένετο, πῶς ἂν διηγοῖτο μήτε διαπολεμήσας αὐτὸν ἀποθανών τε πρῶτος τοῦ Ἑλληνικοῦ παντὸς ἐν αὐτῇ, φασί, τῇ ἀποβάσει;

Ἀ. Εὖηθες τουτί σοι, ξένε, ψυχαῖς γὰρ θείαις οὕτω καὶ μακαρίαις ἀρχὴ βίου τὸ καθαρεῦσαι τοῦ σώματος· θεούς τε γάρ, ὧν ὀπαδοί εἰσι, γιγνώσκουσι τότε οὐκ ἀγάλματα θεραπεύουσαι καὶ ὑπονοίας, ἀλλὰ ξυνουσίας φανερὰς πρὸς αὐτοὺς ποιούμεναι, τά τε τῶν ἀνθρώπων ὁρῶσιν
21 ἐλεύθεραι νόσων τε καὶ σώματος, ὅτε δὴ καὶ μαντικῆς σοφίας ἐμφορυῦνται καὶ τὸ χρησμῳδὲς αὐταῖς ἐμβακχεύει. τὰ γοῦν Ὁμήρου ποιήματα τίνα φήσεις οὕτως ἀνεγνωκέναι τῶν σφόδρα βασανι- 667
ζόντων Ὅμηρον, ὡς ἀνέγνωκέ τε ὁ Πρωτεσίλεως καὶ διορᾷ αὐτά; καίτοι, ξένε, πρὸ Πριάμου καὶ Τροίας οὐδὲ ῥαψῳδία τις ἦν, οὐδὲ ᾖδετο τὰ μήπω πραχθέντα, ποιητικὴ μὲν γὰρ ἦν περί τε τὰ μαντεῖα 10
περί τε τὸν Ἀλκμήνης Ἡρακλέα, καθισταμένη τε ἄρτι καὶ οὔπω ἠβάσκουσα, Ὅμηρος δὲ οὔπω ᾔδεν, ἀλλ' οἱ μὲν Τροίας ἁλούσης, οἱ δὲ ὀλίγαις, οἱ δ' ὀκτὼ γενεαῖς ὕστερον ἐπιθέσθαι αὐτὸν τῇ ποιήσει λέγουσιν. ἀλλ' ὅμως οἶδεν ὁ Πρωτεσίλεως τὰ Ὁμήρου πάντα, καὶ πολλὰ μὲν ᾄδει Τρωικὰ μεθ' ἑαυτὸν γενόμενα, πολλὰ δὲ Ἑλληνικά τε καὶ Μηδικά, τήν τε γοῦν στρατείαν τὴν Ξέρξου τρίτην ὀνομάζει φθορὰν ἀνθρώπων μετὰ τὴν ἐπὶ Δευκαλίωνός τε καὶ Φαέθοντος ξυμβᾶσαν, ἐπειδὴ πλεῖ- 15
στα ἔθνη ἐν αὐτῇ ἐφθάρη.

Φ. Κέρας Ἀμαλθείας ἐμπλήσεις, ἀμπελουργέ, τοσαῦτα εἰδότος τοῦ ἑταίρου. ὑγιῶς γάρ που 1, 1
ἀπαγγελεῖς αὐτὰ καὶ ὡς ἤκουσας.

Ἀ. Νὴ Δί', ἢ ἀδικοίην ἂν φιλόσοφόν τε καὶ φιλαλήθη ἥρωα μὴ τιμῶν ἀλήθειαν, ἣν ἐκεῖνος μητέρα ἀρετῆς ὀνομάζειν εἴωθεν. 20

26 Φ. Δοκῶ μοι καὶ κατ' ἀρχὰς τῶν λόγων ὡμολογηκέναι πρὸς σὲ τὸ ἐμαυτοῦ πάθος· φημὶ γὰρ ἀπίστως διακεῖσθαι πρὸς τὰ μυθώδη. τὸ δὲ αἴτιον· οὐδενί πω ἑωρακότι αὐτὰ ξυγγέγονα, ἀλλ' ὁ μὲν ἑτέρου ἀκηκοέναι φησίν, ὁ δὲ οἴεσθαι, τὸν δὲ ποιητὴς ἐπαίρει. καὶ τὰ λεγόμενα δὲ περὶ τοῦ μεγέθους τῶν ἡρώων, ὡς δεκαπήχεις ἦσαν, χαρίεντα μὲν κατὰ μυθολογίαν ἡγοῦμαι, ψευδῆ δὲ καὶ 668
ἀπίθανα τῷ γε θεωροῦντι αὐτὰ πρὸς τὴν φύσιν, ἧς μέτρα οἱ νῦν ἄνθρωποι. 25

Ἀ. Ταυτὶ δὲ ἡγεῖσθαι ἀπίθανα πότε ἤρξω;

Φ. Πάλαι, ἀμπελουργέ, κἀν μειρακίῳ ἔτι. παῖς μὲν γὰρ ὢν ἔτι ἐπίστευον τοῖς τοιούτοις, καὶ κατεμυθολόγει με ἡ τίτθη χαριέντως αὐτὰ ἐπᾴδουσα καί τι καὶ κλαίουσα ἐπ' ἐνίοις αὐτῶν, μειράκιον δὲ γενόμενος οὐκ ἀβασανίστως ᾠήθην χρῆναι προσδέχεσθαι ταῦτα.

Ἀ. Τὸ δὲ τοῦ Πρωτεσίλεω, καὶ ὅτι ἐνταῦθα φαίνοιτο, ἀκηκοώς ποτε ἔτυχες; 30

Φ. Πῶς γε, ἀμπελουργέ; ὅς γε καὶ σοῦ τήμερον ἀκούων ἀπιστῶ;

Ἀ. Οὐκοῦν ἀρχὴ τοῦ λόγου σοι γιγνέσθω τὰ πάλαι σοι ἀπιστούμενα· φῂς δέ που ἀπιστεῖν,
28 εἰ δεκαπήχεις ἐγένοντο ἄνθρωποι. ἐπειδὰν δὲ τούτου ἱκανῶς ἔχῃς, ἀπαίτει λοιπὸν τὸν περὶ τοῦ Πρωτεσίλεω λόγον καὶ ὁπόσα βούλει τῶν Τρωικῶν, οὐδενὶ γὰρ αὐτῶν ἀπιστήσεις.

1. καθ' ἕνα om. β. ib. ἥρωας. l. ib. οἱ καλοὶ. 2. 2. περὶ τῇ Τροίᾳ. f. γ, ψ. παρὰ τῇ Τρ. l, p, 4. περὶ τὴν Τροίαν. 2, EB. ib. πρῶτος — παντὸς om. n. 3. φησὶ f et γ ante corr. 4. θείαις οὕτω. f. θείας. l, j. οὕτω θείας. ς. 7. ἐλεύθεροι. j. ib. τε om. f. ib. ὅτι et γρ. ὅτε. 2. 8. ἐμβακχεύει et γρ. πρόσβακχεύει. f. 9. διόρα. γ. corr. al. m. 10. πω om. γ, 2, ψ, in p add. sec. m. ib. περὶ τὰ. γ, 2. 11. καὶ καθισταμένη. ε. ib. οὔπω ἐς βάσιν οὖσα. 2. οὔπω γηράσκουσα. π. 12. ὀλίγαι. l. ἐλάττοσιν. b, idem gloss. in 2, p. ib. οἱ δ' ὀκτὼ gloss. in p, g. ἢ δ' ὀκτώ. ς. 13. γρ. εἶδεν. 2. ib. Πρωτ. τοῦ Ὁμήρου. n. 14. γενόμενος. ε. ib. πολλὰ καὶ. γ. πολλά τε. g, δ. ib. τὴν Ξ. f, l, 2. τοῦ Ξ. 3, 4, E. τὴν τοῦ Ξ. B. 15. φορὰν e et π ante corr. ib. ἀνθρώπων. C. τῶν ἀνθρώπων. EB. ib. ἐπὶ om. j, e, n. ib. τε om β, e, n. ib. πλεῖστοι ἐν αὐτῇ ἐφθάρησαν. 2. 16. ἔτι l. γρ. ἔτη. p. ἔτη d et r, ubi suprasc. ἔθνη. 17. ἐκδόντος et γρ. εἰδότος. 2. ib. ἑτέρου. r. 19. νὴ Δία. γ. ib. ἀδικοίην ἄν. B. ἀδικοίην. C, E. 20. εἴωθεν. b, e. εἴωθε. EB. 22. κεῖσθαι. m. 25. τῷ γε. 1, 3, EB. τῷ. 2, 4. 28. καί τι καὶ. 1, p, g, δ, o. καί τοι καὶ. 2, ψ, r, ρ, ε, B. 31. πῶς γε. f. πῶς. ς. ib. σήμερον. f. 32. σοι. f, γ, 2, φ, ψ. μοι. l, p, g, b, e, EB. μοι om. j, n, β, r. ib. γινέσθω. f, l. γιγνέσθω. 2, ε, B. φαινέσθω. γ, φ, ψ. γενέσθω. p, 4. 33. ἐπειδὴ. o. ib. ἔχεις. γ. ἔχοις. 2.

34. οὐδενὶ. l, b, g, EB. οὐδέν γ et p. οὐδὲν. f, ψ. οὐδὲν δὲ. j, e, n. οὐδὲν γὰρ αὖ et γρ. οὐδὲν γὰρ αὐτῶν. 2.

24, 26, 28. 1, l. p. 667. 668.

Φ. Καλῶς λέγεις καὶ οὕτω ποιῶμεν.

2 Ἀ. Ἄκουε δή· πάππος ἦν μοι, ξένε, πολλὰ τῶν ἀπιστουμένων ὑπὸ σοῦ γιγνώσκων, ὃς ἔλεγε διαφθαρῆναι μέν ποτε τὸ τοῦ Αἴαντος σῆμα ὑπὸ τῆς θαλάσσης, πρὸς ᾗ κεῖται, ὀστᾶ δὲ ἐν αὐτῷ φανῆναι κατὰ ἐνδεκάπηχυν ἄνθρωπον, καὶ ἔφασκεν Ἀδριανὸν βασιλέα περιστεῖλαι αὐτὰ ἐς Τροίαν 5 ἐλθόντα καὶ τὸν νυνὶ τάφον περιαρμόσαι τῷ Αἴαντι ἔστιν ἃ καὶ προσπτυξάμενον τῶν ὀστῶν καὶ φιλήσαντα.

Φ. Οὐ μάτην ἀπιστεῖν ἔοικα τοῖς τοιούτοις, ἀμπελουργέ· καὶ σὺ γὰρ πάππου μέν τι ἀκηκοέναι φῂς καὶ ἴσως μητρὸς ἢ τίτθης, σεαυτοῦ δὲ ἀπαγγέλλεις οὐδέν, εἰ μὴ ἄρα περὶ τοῦ Πρωτεσίλεω εἴποις.

10 Ἀ. Καὶ μήν, εἰ μυθολογικὸς ἦν, τόν τε τοῦ Ὀρέστου νεκρὸν διῄειν ἄν, ὃν ἑπτάπηχυν ἐν 669 Νεμέᾳ Λακεδαιμόνιοι εὗρον, καὶ τὸν ἐν τῷ χαλκῷ ἵππῳ τῷ Λυδίῳ, ὃς κατωρώρυκτο μὲν ἐν Λυδίᾳ πρὸ Γύγου ἔτι, σεισμῷ δὲ τῆς γῆς διασχούσης θαῦμα τοῖς περὶ Λυδίαν ὤφθη ποιμέσιν, 30 οἷς ἅμα ὁ Γύγης ἐθήτευσεν. ἐς γὰρ κοῖλον τὸν ἵππον θυρίδας ἐν ἑκατέρᾳ πλευρᾷ ἔχοντα νεκρὸς ἀπέκειτο μείζων ἢ ἀνθρώπου δόξαι. εἰ δὲ ταῦτα οἷα ἀπιστεῖσθαι διὰ τὸν χρόνον, ἀλλὰ τοῖς γε 3 15 ἐφ' ἡμῶν οὐκ οἶδ' ὅ τι ἀντερεῖς. Ἀρυάδην γάρ, ὃν οἱ μὲν Αἰθίοπα, οἱ δὲ Ἰνδὸν ἔφασαν, τριακοντάπηχυν ἐν τῇ Ἀσσυρίων γῇ κείμενον οὐ πάλαι ἀνέφηνεν ἡ τοῦ Ὀρόντου ποταμοῦ ὄχθη σχισθεῖσα, τουτὶ δὲ τὸ Σίγειον πρὸ πεντήκοντα οὔπω ἐτῶν ἐν προβολῇ τοῦ ἀκρωτηρίου σῶμα ἀνέδειξε γίγαντος, ὃν αὐτὸς Ἀπόλλων ἀπεκτονέναι φησὶν ὑπὲρ Τροίας αὐτῷ μαχόμενον, καὶ εἶδον, ξένε, πλεύσας ἐς τὸ Σίγειον αὐτό τε τὸ πάθος τῆς γῆς καὶ τὸν γίγαντα, ὅσος ἦν. ἔπλεον δὲ καὶ 20 Ἑλλησποντίων πολλοὶ καὶ Ἰώνων καὶ νησιῶται πάντες καὶ τὸ Αἰολικὸν ἅπαν, ἐπὶ γὰρ μῆνας δύο μέγας ἐν μεγάλῳ ἀκρωτηρίῳ προὔκειτο παρέχων ἄλλον ἄλλῳ λόγον οὕπω δηλοῦντος αὐτὸν τοῦ χρησμοῦ.

Φ. Εἴποις ἂν οὖν ἔτι, ἀμπελουργέ, περί τε μεγέθους αὐτοῦ περί τε ὀστῶν ἁρμονίας περί τε τῶν λεγομένων ὄφεων ξυμπεφυκέναι τοῖς γίγασιν, οὓς ὑπογράφουσιν οἱ ζωγράφοι τῷ Ἐγκελάδῳ 25 καὶ τοῖς ἀμφ' αὐτόν;

Ἀ. Εἰ μὲν τερατώδεις ἐγένοντο ἐκεῖνοι, ξένε, καὶ ξυμβεβλημένοι θηρίοις, οὐκ οἶδα, ὁ δὲ ἐν 32 τῷ Σιγείῳ δύο μὲν καὶ εἴκοσι πήχεις ἐπεῖχεν, ἔκειτο δὲ ἐν πετρώδει σήραγγι, τὴν κεφαλὴν μὲν 670 πρὸς τὴν ἤπειρον ἔχων, τοὺς δὲ πόδας συναπολήγων τῷ ἀκρωτηρίῳ, δρακόντων δὲ οὐδὲν σημεῖον περὶ αὐτὸν ἑωρῶμεν, οὐδὲ ἔστιν, ὅ τι τῶν ὀστῶν παρήλλαττεν ἀνθρώπου. καὶ μὴν καὶ Ὕμναιος 30 ὁ Πεπαρήθιος ἐπιτηδείως μοι ἔχων ἔπεμψέ τινα τῶν ἑαυτοῦ υἱέων πρὸ ἐτῶν ἐνταῦθα τεττάρων ἐρησόμενον δι' ἐμοῦ τὸν Πρωτεσίλεων περὶ ὁμοίου θαύματος· ἐν Κῷ γὰρ τῇ νήσῳ, κέκτηται δὲ αὐτὴν μόνος, ἔτυχε μὲν ὀρύττων ἀμπέλους, ἡ γῆ δὲ ὑπήκησε τοῖς ὀρύττουσιν οἷον κενή. διανοίξαντες οὖν δωδεκάπηχυς μὲν ὁ νεκρὸς ἔκειτο, τὸ δέ γε κράνιον ᾤκει δράκων. ὁ μὲν δὴ νεανίας

2. μοι om. f. 3. τὸ τοῦ Αἴαντος σῆμα. f, γ. τὸ σῆμα τ. Α. ς. 4. ἔφασαν. 2. ib. ἐς Τρ. f, γ. 5. ἁρμόσαι. β. ib. ἃ προσπτ. 2. 7. μέντοι. γ ex corr. et β, o, B. 10. τοῦ om. 2. ib. διῄειν ἄν. B. διῄειν. C, E. 11. Νεμαίᾳ. 3, i, ε. Τεγέᾳ. o. ib. κατωρώρυκτο. l. κατόρωρυκτο. ς. ib. μὲν om. g, e. 12. τὴν Λυδίαν. γ. 13. καὶ γάρ. j, n. 14. ἐπέκειτο. j. ib. μείζον. l. ib. ταῦτα οἷά τ' ἀπ. δ, ρ. ταῦτ' αὖ οἷα. EB. 15. ἡμῖν. γ, 2, ψ et p ante corr. ib. ὅτ' ἀντερεῖς. γ. ib. Ἀρυάδην. γ, sic corr. Ἀρυάδνην. β. Εὐρυάδην. d. Ἀνάδην. g. 16. Ἀσσυρίῳ. γ ib. ἀπέφηνεν. 2 mg. ib. Ὀρρόντου. g. 17. ἀκροτηρίου. γ, m, o. 18. Ἀπόλλων om. n. 19. εἰς. γ. ib. ὅσον. j, e, n. 20. Αἰολικόν. 1, 3, π, r, ε, B. Ἑλληνικὸν et γρ. Αἰολικὸν. 2. Ἑλληνικόν. o. Αἰτωλικόν. 4 praeter π, r et p γρ. ib δύο μῆνας. l. 21. ἄλλῳ ἄλλον. g. ib. αὐτῷ. f. ib. τοῦ χρησμοῦ. 1 (in γ. mg. χρόνου), 2, ψ, o, B. τοῦ χρόνου et ex corr. χρησμοῦ. p, g, d, r, b. τοῦ χρόνου et suprasc. τοὺς χρησμούς, e. τοῦ χρόνου. n, π, ρ, ε. 23. περὶ τοῦ. f, p, e. περί τε. γ, l, g, j, n. περὶ. 2. περί τε τοῦ. EB. ib. περί τε ὀ. ἀ. om. β. 24. γρ. ξυμπεφυκότας 2. ib. οἱ ἑπτὰ ζωγράφοι. 2 (ubi γρ. οὓς ὑπογράφουσιν οἱ ζωγράφοι τῷ ἐγκεφάλῳ), ε. 26. μὴ. f. 27. φάραγγι 2, quod gl. in p, β. σείραγγι. n. 28. τῇ ἠπείρῳ. 4 et p ex corr. rec. 29. οτε. f. ib. ἀνθρώπων. l. ib. μὴν Ὕμν. g, b. 30. ἕνα τῶν. 2. ib. αὐτοῦ. γ. ib. ἐνταῦθα τεττάρων. f et γ ante corr. ἐνταῦθά που τεττάρων γ suprascr. που et ς. 32. διανοίξασιν. l. 33. γε om. γ, β, o.

30, 32. 2, 3. p 669. 670.

ἀφίκετο ἐπερησομενος ἡμᾶς, ὅ τι χρὴ ἐπ' αὐτῷ πράττειν, ὁ δὲ Πρωτεσίλεως „τὸν ξένον" ἔφη „συγκαλύπτωμεν" κελεύων ὅπου ἐπιθάπτειν τὸν νεκρὸν καὶ μὴ γυμνοῦν ἑκόντας. εἶπε δὲ καὶ ὡς γίγας εἴη τῶν βεβλημένων. ὁ δὲ ἐν Λήμνῳ φανείς, ὃν Μενεκράτης ὁ Στειριεὺς εὗρε, μέγιστός τε ἦν καὶ εἶδον αὐτὸν πέρυσιν ἐξ Ἴμβρου πλεύσας, δι' ὀλίγου γὰρ ἦν ἐς τὴν Λῆμνον. τὰ μὲν οὖν
31 ὀστᾶ οὐκέτι ἐν κόσμῳ ἑωρᾶτο, καὶ γὰρ οἱ σπόνδυλοι ἀπ' ἀλλήλων ἔκειντο σεισμοῖς, οἶμαι, διενεχθέντες, καὶ τὰ πλευρὰ ἐξήρμοστο τῶν σπονδύλων, ἐνθυμουμένῳ δὲ αὐτὰ ὁμοῦ τε καὶ κατὰ ἕν, φρικῶδες ἐδόκει τὸ μέγεθος καὶ οὐ ῥᾴδιον ἀνατυποῦσθαι. τὸ γοῦν κράνιον ἐμφορησάντων ἡμῶν ἐς αὐτὸ οἴνου οὐδὲ ὑπὸ δυεῖν ἀμφορέοιν ἐνεπλήσθη τῶν ἐκ Κρήτης. ἔστι δέ τι κατὰ νότον ἄνεμον ἀκρωτήριον τῆς Ἴμβρου, Ναύλοχος, ᾧ πηγὴ ὑφώρμισται τὰ μὲν ἄρσενα τῶν ζῴων εὐνούχους ἐργαζομένη, τὰ δὲ θηλέα οὕτω μεθύσκουσα, ὡς καθεύδειν αὐτά. τρύφος οὖν ἐνταῦθα τῆς γῆς ἀπορραγὲν συνεπέσπαστο σῶμα μεγίστου γίγαντος· κἂν ἀπιστῇς, πλεύσωμεν· πρόκειται γὰρ γυμνὸς ἔτι καὶ ὁ ἐς Ναύλοχον πλοῦς βραχύς.

Φ. Ἐβουλόμην μὲν ἄν καὶ ὑπὲρ τὸν Ὠκεανὸν ἐλθεῖν, ἀμπελουργέ, θαῦμα εἴ που τοιοῦτον εὕροιμι, ἡ δὲ ἐμπορία οὐ ξυγχωρεῖ τοσοῦτον ἀποφοιτᾶν ἑαυτῆς, ἀλλὰ δεῖ προσδεδέσθαι τῇ νηί, 671
καθάπερ τὸν Ὀδυσσέα, εἰ δὲ μή, καὶ τὰ ἐκ πρῴρας, φασί, καὶ τὰ ἐκ πρύμνης ἀπολεῖται.

Ἀ. Ἀλλὰ μήπω, ξένε, πιστὰ ἡγοῦ, ἃ εἶπον, πρὶν ἔς τε τὴν νῆσον τὴν Κῶ πλεύσῃς, ἐν ᾗ
36 τὰ τῶν γηγενῶν ὀστᾶ ἀνάκειται, Μερόπων, φασί, τῶν πρώτων, ἐν Φρυγίᾳ δὲ τά τε Τλλου τοῦ Ἡρακλέους ἴδῃς, καί, νὴ Δί', ἐν Θετταλίᾳ τὰ τῶν Ἀλωαδῶν, ὡς ἐννεόργυιοι ἀτεχνῶς ἐγένοντο καὶ ὁποῖοι ᾄδονται. Νεαπολῖται δὲ οἱ Ἰταλίαν οἰκοῦντες θαῦμα πεποίηνται τὰ τοῦ Ἀλκυονέως ὀστᾶ. λέγουσι γὰρ δὴ πολλοὺς τῶν γιγάντων ἐκεῖ βεβλῆσθαι καὶ τὸ Βέσβιον ὄρος ἐπ' αὐτοὺς τύφεσθαι. καὶ μὴν καὶ ἐν Παλλήνῃ, ἣν Φλέγραν οἱ ποιηταὶ ὀνομάζουσι, πολλὰ μὲν σώματα ἡ γῆ τοιαῦτα ἔχει γιγάντων στρατοπεδευσάντων ἐκεῖ, πολλὰ δὲ ὄμβροι τε καὶ σεισμοὶ ἀνακαλύπτουσιν. θαρσεῖ δὲ οὐδὲ ποιμὴν περὶ μεσημβρίαν ἐκεῖνο τὸ χωρίον ὑποπαταγούντων εἰδώλων, ἃ ἐν αὐτῷ μαίνεται. τὸ δὲ ἀπιστεῖν τοῖς τοιούτοις ἴσως που καὶ ἐπὶ τοῦ Ἡρακλέους ἦν, ὅθεν τὸν Γηρυόνην ἐν τῇ Ἐρυθείᾳ ἀποκτείνας καὶ μεγίστῳ αὐτῷ ἐντετυχηκέναι λεγόμενος ἀνέθηκε τὰ ὀστᾶ ἐς Ὀλυμπίαν, ὡς μὴ ἀπιστοῖτο τοῦ ἄθλου.

Φ. Εὐδαιμονίζω σε τῆς ἱστορίας, ἀμπελουργέ. ἐγὼ δὲ μεγάλα μὲν ἠγνόουν, ἀνοήτως δὲ ἠπίστουν. ἀλλὰ τὰ τοῦ Πρωτεσίλεω πῶς ἔχει; καιρὸς γάρ που ἐπ' ἐκεῖνα ἥκειν μηκέτ' ἀπιστούμενα. 672

38 *Ἀ.* Περὶ τῶν τοιούτων ἄκουε, ξένε. κεῖται μὲν οὐκ ἐν Τροίᾳ ὁ Πρωτεσίλεως, ἀλλ' ἐν II, 1
Χερρονήσῳ ταύτῃ, κολωνὸς δὲ αὐτὸν ἐπέχει μέγας οὐτοσὶ δήπου ὁ ἐν ἀριστερᾷ, πτελέας δὲ ταύτας αἱ νύμφαι περὶ τῷ κολωνῷ ἐφύτευσαν καὶ τοιόνδε ἐπὶ τοῖς δένδρεσι τούτοις ἔγραψάν που αὗται νόμον· τοὺς πρὸς τὸ Ἴλιον τετραμμένους τῶν ὄζων ἀνθεῖν μὲν πρωΐ, φυλλορροεῖν δὲ αὐτίκα καὶ προαπόλλυσθαι τῆς ὥρας — τοῦτο δὴ τὸ τοῦ Πρωτεσίλεω πάθος — τῷ δὲ ἑτέρῳ μέρει ξῆν

1. χρὴ πράττειν ἐπ' αὐτῷ. g, n, o. 2. καὶ θάπτειν. 2. 4. ἦν ὁ πλοῦς. l. 6. καὶ om. g. ib. καθ' ἓν. γ, p. 7. τὸ οὖν. l. 8. δυεῖν. f. δυοῖν. ς. ib. ἐπλήσθη. j, n. 10. οὕτως. g. ib. οὖν om. 2. 11. ἀποκοπὲν. 2. ἀπορραγέντος. g. ib. συνεπέσπαστο. γ, l, 3, 4. συνεπάσατο. 2. συνεπασάσατο. EB. 13. ἠβουλόμην. g. ib. μὲν om. f. ib. ἂν eras p. ib. ἀπελθεῖν. 2. ib. τοῖον. 2. 14. μοι τοσοῦτον. n. ib προσδέχεσθαι. f. προσέχεσθαι. γ. corr. in mg. 16. ἀλλὰ. 1, φ. πάντα ὀρθῶς λέγεις, ἀλλὰ. γ, (add. m. rec.) 2, 3 praeter φ, 4 (πάντα, ὦ ξένε, ὀρθῶς λέγεις, ἀλλὰ. g), EB. ib. πρὶν. 1, 3, 4, K. πρὶν ἄν. 2, B. ib. πλεύσεις. f, l, φ, ψ et γ, ubi suprasc. η. πλεύσῃς 2 et p ex corr. 4, B. πλεύσας. i. πλεύσοις. E. 17. τὰ τοῦ. δ, o. τά τε τοῦ. B. 18. ἴδοις l. ἴδῃς et suprascr. οι. i. ib. Ἀλωάδων. EB. ib. ὀστᾶ ὡς. 2. 19. οἱ om. f, γ. 20. τῶν ἐκεῖ. g. ib. σβέρβιον. f. σέρβιον. γ et mg. βέσβιον. θέσβιον. 4. 21. καὶ μὴν ἐν. 2. 23. οὐ ποιμὴν. 2. ib. περὶ. C. πρὸς. EB. 25. Ἐρυθρᾷ. f. 28. ἦκειν ἐπ' ἐκεῖνα. 2, 3. μετ' ἐκεῖνα. γ. ib. μηκέτ' ἀπιστούμενα. Ἀ. περὶ τῶν τ. ἄκ. (ἄκουσαι. 2.) ξένε. 1, 2, 3. Ἀ. ἄκουε, ξένε, μηκέτ' ἀπιστούμενον περὶ τῶν τ. Ἀ. ἄκ. ξ. μ. ἀπιστούμενα π. τ. τ. EB. 29. Πρ. κεῖται μὲν οὐκ ἐν Τροίᾳ, ἀλλὰ. d. 30. Χερονήσῳ. f. ib. δὲ αὐτὸν. 1. δὲ αὐτοῦ. 2. δέ που αὐτὸν 3. (p ex corr.) 4 (αὐτὴν n), EB. ib. οὕτωσί. γ. ib. ὁ om. 2. 31. περὶ f, p. περὶ suprasc. παρὰ. γ. παρὰ. ς. ib. ἔφυσαν f et γ ante corr. rec. m.

34, 36, 38. II, 1. p. 671. 672.

τὰ δένδρα καὶ εὖ πράττειν. καὶ ὁπόσα δὲ τῶν δένδρων μὴ περὶ τὸ σῆμα ἔστηκεν, ὥσπερ καὶ ταυτὶ τὰ ἐν κήπῳ, πᾶσιν ἔρρωται τοῖς ὄζοις καὶ θαρσεῖ τὸ ἴδιον.

Φ. Ὁρῶ, ἀμπελουργέ, καὶ θαυμάζειν ἔχων οὐ τεθαύμακα, σοφὸν γὰρ τὸ θεῖον.

Ἀ. Τὸ δὲ ἱερόν, ἐν ᾧ κατὰ τοὺς πατέρας ὁ Μῆδος ὕβριζεν, ἐφ' ᾧ καὶ τὸ τάριχος ἀναβιῶ-
673 ναί φασι, τοῦτο ἡγοῦ, ὦ ξένε, καταλείπεται δὲ αὐτοῦ ὁρᾷς, ὡς ὀλίγα. τότε δέ, οἶμαι, χαρίεν τε ἦν καὶ οὐ μικρόν, ὡς ἔστι τοῖς θεμελίοις ξυμβαλέσθαι. τὸ δὲ ἄγαλμα τοῦτο βέβηκε μὲν ἐπὶ νεώς, τὸ γὰρ τῆς βάσεως σχῆμα πρῷρα, ἵδρυται δὲ ναύαρχος. περιτρίψας δὲ αὐτὸ ὁ χρόνος καὶ νὴ Δί' οἱ ἀλείφοντές τε καὶ οἱ ἐπισφραγιζόμενοι τὰς εὐχὰς ἐξηλλάχασι τοῦ εἴδους. ἐμοὶ δὲ οὐδὲν τοῦτο, αὐτῷ γὰρ ξύνειμι καὶ αὐτὸν βλέπω καὶ οὐδὲν ἄν μοι γένοιτο ἄγαλμα ἐκείνου ἥδιον.

2 *Φ.* Ἦ καὶ διαγράψεις μοι αὐτὸν καὶ κοινωνήσεις τοῦ εἴδους;

Ἀ. Χαίρων γε, νὴ τὴν Ἀθηνᾶν, ὦ ξένε. γέγονε μὲν γὰρ ἀμφὶ τὰ εἴκοσί που μάλιστα ἔτη τηλικόσδε ἐλάσας ἐς Τροίαν, ἁβρῷ δ' ἰούλῳ βρύει καὶ ἀπόζει αὐτοῦ ἥδιον ἢ τὸ μετόπωρον τῶν μύρτων. φαιδρὰν δὲ ὀφρὺν περὶ τὸ ὄμμα βέβληται, τὸ γὰρ ἐπίχαρι αὐτῷ φίλον. βλέπει δὲ ἐν μὲν ταῖς σπουδαῖς σύντονον καὶ σφοδρόν, εἰ δὲ ἀνειμένου τύχοιμεν, φεῦ τῶν ὀφθαλμῶν, ὡς ἐπαφρόditοί τε καὶ φιλικοὶ φαίνονται. καὶ μὴν καὶ κόμης ξανθῆς ἔχει τὸ μέτριον, ἔστι γὰρ ὡς ἐπικρέμασθαι τῷ μετώπῳ μᾶλλον ἢ κατ' αὐτοῦ πίπτειν. καὶ τετράγωνος ἡ ἰδέα τῆς ῥινός, οἷον ἀγάλματος. φθέγγεται δὲ γεγωνότερον ἢ αἱ σάλπιγγες καὶ ἀπὸ μικροῦ γε τοῦ στόματος. γυμνῷ δὲ ἐντυχεῖν ἥδιστον, εὐπαγὴς γὰρ καὶ κοῦφος, ὥσπερ οἱ δρομικοὶ τῶν ἑρμῶν. τὸ δὲ μῆκος δεκάπηχυς τάχα. δοκεῖ δ' ἄν μοι καὶ ὑπὲρ τοῦτο ἀναδραμεῖν, εἰ μὴ ἐν μειρακίῳ ἀπέθανεν.

674 *Φ.* Εἶδον τὸν νεανίαν, ἀμπελουργέ, καὶ ἄγαμαί σε τοῦ ἑταίρου. ὥπλισται δὲ ἢ τί;

Ἀ. Χλαμύδα ἐνῆπται, ξένε, τὸν Θετταλικὸν τρόπον, ὥσπερ τὸ ἄγαλμα τοῦτο. ἁλουργὴς δὲ ἡ χλαμύς, θείου ἄνθους. ἄρρητον γὰρ τὸ τῆς πορφύρας ἄνθος.

Φ. Ὁ δὲ δὴ ἔρως, ὃν τῆς Λαοδαμείας ἥρα, πῶς ἔχει αὐτῷ νῦν;

Ἀ. Ἐρᾷ, ξένε, καὶ ἐρᾶται καὶ διάκεινται πρὸς ἀλλήλους, ὥσπερ οἱ θερμοὶ τῶν νυμφίων.

Φ. Περιβάλλεις δὲ ἥκοντα ἢ διαφεύγει σε καπνοῦ δίκην, ὥσπερ τοὺς ποιητάς;

Ἀ. Χαίρει περιβάλλοντι καὶ ξυγχωρεῖ φιλεῖν τε αὐτὸν καὶ τῆς δέρης ἐμφορεῖσθαί γε.

Φ. Θαμίζει δὲ ἢ διὰ πολλοῦ ἥκει;

Ἀ. Τετράκις τοῦ μηνὸς ἢ πεντάκις οἶμαι αὐτοῦ μετέχειν, ὁπότ' ἢ φυτεῦσαί ποτε τουτωνὶ τῶν φυτῶν τι βούλοιτο ἢ τρυγῆσαι ἢ ἄνθη κεῖραι. φιλοστέφανος γάρ τις καὶ ἡδίω ἀποφαίνων τὰ ἄνθη, ὁπότε περὶ αὐτὰ εἴη.

3 *Φ.* Ἱλαρόν γε τὸν ἥρω λέγεις καὶ ἀτεχνῶς νυμφίον.

Ἀ. Καὶ σώφρονά γε, ὦ ξένε. φιλόγελως γὰρ ὢν ὑφ' ἡλικίας ὕβρει οὐδὲν πράττει. καὶ σμι-
11 νύης δὲ ἅπτεται πολλάκις, εἴ που ὀρύττων πέτρᾳ ἐντύχοιμι καὶ ξυλλαμβάνει μοι τῶν δυσέργων, κἂν ἀγνοήσω τι τῶν κατὰ γεωργίαν, διορθοῦταί με. τά τε δένδρα ἐγὼ μὲν παρακηκοὼς τοῦ Ὁμή-

1. τὰ δένδρα suprasc. τὸ δένδρον. γ. τῶν δένδρων et γρ. τὸ δένδρον. 2. τὸ δένδρον. ς. ib. ὁπόσα τε. 2. 2. ἐν κήπῳ. l. τῷ ἐν κήπῳ. ς. ib. Θεωρεῖ et γρ. Θαρσεῖ. 2. 4. δέ γε. 2, EB. ib. ἐφ' ᾧ. f, p ex corr. B. ἐφ' ὃν. γ. l, ψ, m. mg. ἐφ' ὧν et γρ. ἐφ' ὃ. 2. ἐφ' ὃ. 4, B. ib. ἀναβῆναι. l. 5. ἡγοῦ, ξένε. 2. ib. ὡς ὁρᾷς. 4 praeter d, r. 6. ἔσται. γ. ib. νεώς suprasc. o. f. 7. περιτρίψας. f, γ, 2, 3 (p ex corr.) o, B. περιτρέψαι. l. περιτρέψας. 4, ε. 9. αὐτὸς et γρ. αὐτὸν. 2. ib. γένοιτο om. f. 10. κοινώσεις. 2, g, n. 11. χαίρω τε. d. χαίρων. π. ib. ἀλήθειαν et γρ. Ἀθηνᾶν. 2. Ἀθηνῶν. n. ib. ὦ ξένε. γ, o. ξένε. ς. 12. τηλήκος δὲ. γ. τηλικόσδε. l, j. τηλίκος δὲ. ς. ib. ἁβρῷ δ' ἰούλῳ. γ ex corr. rec. 4, o, m. γρ. ἁβρῷ ἰούλῳ. ς. An τοῦ μετοπώρου? 15. ὡς. C et m. γρ. ὅση. EB. ib. ἐπικρέμασθαι. f. 17. γεγονότερον. f. 19. δοκεῖ γάρ μοι κ. ὑ. τ. ἂν ἀναδρ. g. ib. ὑπὲρ τούτου. f. ὑπὲρ τοῦ. m, o. 20. σε. C, B. σου. E. 21. ὥσπερ καὶ o laudans k, qui καὶ non habet. ib ἁλουργὴς. f. l, p ex corr. 4. ἁλουργίς. 2, 3. EB. 23. δὴ om. n. 26. γε om. g, o. 27. ἦ καὶ. e. n. 28. οἶμαι ἁ. μετ. om. β. ib. ὁπότ' ἢ φυτεῦσαί ποτε τουτωνὶ τ. φ. βούλοιτο. f. ὁπότε ἢ φ. π. τ. τ. φυτῶν τι βούλοιτο. γ. ὁπότε (l, g: ὁπότ') ἢ φ. τι βούλοιτο τ. τ. φυτῶν. ς. 30. ὁπότε καὶ. g. ib. εἴη. f, 3. εἴη et γρ. ἴοι. 2. ἦει et mg. ἴοι. γ. ἴα ἦ. l. ἴοι. 4, EB. 32. ἡλικίαν et ας suprasc. 2. 33. δὲ ξυλλ. m. ib. ξυλλαμβάνοιμι. ψ. ε. 34. τε om. n. ib. παρηκοὼς. ψ. ἀκηκοὼς. 2.

40, 42. 44. 2. 3. p. 673. 674.

ρου μακρὰ ἐφύτευον μεῖον τοῦ ἄνω τὸ ἐς τὴν γῆν ἐμβιβάζων, καὶ ὁπότε ἐπελάβετό μου ὁ Πρωτεσίλεως, ἐχρώμην τοῖς τοῦ Ὁμήρου πρὸς αὐτόν, ὁ δὲ ὑπολαβὼν „αὐτὸς μέντοι Ὅμηρος τὸν ἐναντίον“ ἔφη „κελεύει τρόπον ἢ σὺ πράττεις· μακρὰ γὰρ ὑπὸ σοφίας τὰ βαθέα οἶδεν, ὡς που τὰ φρέατα μακρὰ ὀνομάζει, βαθέα ὄντα“, καὶ τὰ δένδρα δὲ εἶπεν ἐμβιώσεσθαι τῇ γῇ μᾶλλον, εἰ τῷ μὲν πλείονι ἑστήκοι, τῷ δὲ ὀλίγῳ κινοῖτο. ἐπιστὰς δέ μοί ποτε ἄνθη ποτίζοντι „τὸ μύρον“ εἶπεν „ὦ τᾶν, οὐ δεῖται ὕδατος, διδάσκων δήπου μὴ ἔκπλυτα ποιεῖν τὰ ἄνθη. 675

Φ. Τὸν δὲ ἄλλον χρόνον, ὦ ἀμπελουργέ, ποῦ διαιτᾶται;

Ἀ. Ποτὲ μὲν ἐν Ἅιδου, φησί, ποτὲ δὲ ἐν Φθίᾳ, ποτὲ δ' αὖ ἐν Τροίᾳ, οὗ οἱ ἑταῖροι, καὶ πρὸς θήρᾳ συῶν τε καὶ ἐλάφων γενόμενος ἀφικνεῖται κατὰ μεσημβρίαν καὶ καθεύδει ἐκταθείς.

Φ. Ποῦ δὲ τῇ Λαοδαμείᾳ ξύνεστιν;

Ἀ. Ἐν Ἅιδου, ξένε. καὶ λέγει αὐτὴν εὐδοκιμώτατα γυναικῶν πράττειν ἀριθμουμένην ἐν αἷς Ἀλκηστίς τε ἡ Ἀδμήτου καὶ Εὐάδνη ἡ Καπανέως, καὶ αἱ ταύταις ἴσαι σώφρονές τε καὶ χρησταί.

Φ. Ξυνσσιτοῦνται δὲ ἀλλήλοις ἢ οὐ Θέμις;

Ἀ. Οὔπω, ξένε, σιτουμένῳ ἐνέτυχον οὐδὲ πίνοντα ἔγνων. καίτοι σπένδω γε αὐτῷ κατὰ ἑσπέραν ἀπὸ τουτωνὶ τῶν Θασίων ἀμπέλων, ἃς φυτεύει αὐτός, καὶ τρωκτὰ δὲ ὡραῖα προτίθεμαι κατὰ μεσημβρίαν, ἐπειδὰν θέρος τε ἥκῃ καὶ μετόπωρον ἱστῆται, σελήνης τε ἰούσης ἐς κύκλον ἐν τῇ τοῦ ἥρος ὥρᾳ γάλα ἐγχέας ἐς τὸν ψυκτῆρα τοῦτον „ἰδού σοι“ λέγω „τὸ τῆς ὥρας νᾶμα, σὺ δὲ πῖνε“, κἀγὼ μὲν εἰπὼν ταῦτα ἀπαλλάττομαι, τὰ δὲ βέβρωταί τε καὶ πέποται θᾶττον ἢ καταμύσαι.

Φ. Περὶ δὲ τῆς ἡλικίας, ἣν γεγονὼς ἀπέθανε, τί φησιν;

Ἀ. Ἐλεεῖ, ξένε, τὸ ἑαυτοῦ πάθος καὶ τὸν δαίμονα, ἐφ' ᾧ τότε ἦν, ἄδικόν τε ἡγεῖται καὶ βάσκανον μὴ ξυγχωρήσαντά οἱ τὸν γοῦν πόδα ἐς τὴν Τροίαν ἐρεῖσαι· μὴ γὰρ ἂν μήτε Διομήδους τι ἐλαττωθῆναι μαχόμενος μήτ' ἂν Πατρόκλου μήτε τοῦ δευτέρου Αἴαντος· τῶν γὰρ Αἰακιδῶν λελεῖφθαι τὰ πολέμια δι' ἡλικίαν φησίν, αὐτὸς μὲν γὰρ εἶναι μειράκιον, ἐκείνων δὲ τὸν μὲν Ἀχιλλέα εἶναι νεανίαν, τὸν δὲ Αἴαντα ἄνδρα. καὶ τὰ ἔπη τὰ ἐς αὐτὸν εἰρημένα Ὁμήρῳ ἐπαινεῖ καίτοι μὴ πάντα ἐπαινῶν τὰ Ὁμήρου, ὡς ἀμφίδρυφον μὲν αὐτῷ τὴν γυναῖκα εἶπεν, ἡμιτελῆ δὲ τὴν οἰκίαν, περιμάχητον δὲ τὴν ναῦν, ἐφ' ἧς ἔπλευσε, πολεμικόν τε αὐτὸν καλεῖ. ἑαυτὸν δὲ ὁλοφύρεται μηδὲν ἐν Τροίᾳ ἐργασάμενον, ἀλλὰ πεσόντα ἐν γῇ, ἧς οὐδὲ ἐπέβη· καὶ τὴν οὐλὴν δὲ ἐντετύπωται τῷ μηρῷ, τὸ γὰρ τραῦμα συναπορρύψασθαί φησι τῷ σώματι. 676

Φ. Γυμνάζεται δέ, ὦ ἀμπελουργέ, τίνα τρόπον; ἐπειδὴ ἔφασκες αὐτὸν καὶ τοῦτο ἐξασκεῖν.

Ἀ. Γυμνάζεται, ξένε, τὰ πολεμικὰ πλὴν τοξικῆς, τὰ δὲ γυμναστικὰ πλὴν πάλης· τὸ μὲν γὰρ τοξεύειν δειλῶν ἡγεῖται, τὸ δὲ παλαίειν ἀργῶν.

Φ. Παγκρατιάζει δὲ πῶς ἢ πυκτεύει;

Ἀ. Σκιᾶς, ὦ ξένε, τούτων γυμνάζεται, καὶ δισκεύει μεῖζον ἢ ἐφικέσθαι ἄνθρωπον. ἀνακρούει μὲν γὰρ ὑπὲρ τὰς νεφέλας τὸν δίσκον, ῥίπτει δὲ ὑπὲρ τοὺς ἑκατὸν πήχεις καὶ ταῦθ', ὡς

1. μικρὰ. 2. ib. ἐπεβάλετο. γ. 2. τοῖς τοῦ. f, 3. τοῖς. ς. 3. ἔφη om. d. 4. ὀνομάζει μακρὰ. d. ib. ἐν et corr. εἰ. γ. 5. ἱστήκει. γ. εἱστήκει. 2. 6. ὦ τᾶν. f. ὦ τὰν γ. ib. δέ που. γ. ib. ἔκπλητα, υ suprasc. γ. ἔκπλυκτα. ju. ἔκπληκτα. m. ubi ῖσ. ἔκπλυτα. 9. πρὸς θήρα. f, p uterque eraso ν, l et d pr. m. πρὸς θήραν. ς. ib. ἀφικνεῖται κατὰ μεσημβρίαν. C. κατὰ μ. ἀφ. EB. 12. Ἄλκυστις. 2. ib. Ἀριάδνη. f. ib. ταύτης. f et γ pr. m. ψ. ταύτῃ. l, 2, p. ὃ. 14. εἶδον. 2. 15. τρωκτὰ δὲ. l. τρωκτά. ς. ib. τίθεμαι. f, γ, φ. 16. ἐπειδὰν δὲ. f, γ, 2, 3 (p ante corr.), ε. ἐπειδάν. l, p ex corr. et 4, o, B. ib. τε ἰούσης. 1, p ante corr. τε ἰούσης γρ. οὔσης. 2. δὲ ἰούσης. p. ex corr. 4, o, B. 17. ἐγχέας. γ. ib. πίνε. EB. 18. Θᾶσσον. 2. ib. καταμῦσαι. EB. 21. τὴν om. l, 2. 22. μήτε τοῦ. f. μήτ' ἂν τοῦ. ς. 23. πολεμικὰ. 4. ib. γὰρ om. γ. ib. ἦν ἐν μειρακίῳ et γρ. αὐτὸς μὲν εἶναι μειράκιον, ἐκείνους δὲ. 2. 24. νεανίσκον. d. ib. εἰρημένα Ὁμήρῳ. f. Ὁμήρῳ εἰρ. ς. 27. ἐν Τροίᾳ μηδὲν. l. ib. εἰργασμένον. β. ib. τῇ γῇ. 2, p, g. ib. οὐδὲν. j, e, n. ib. ἀπέβη. n. ib. δὲ om. δ. 28. συναπορρύψασθαι. γ, l, g, δ. συναπορρίψασθαι. f, 3, EB. 32. δέ πως. l. 33. σκιας. f (sic). σκιὰς. l, ρ, π, r, B. σκιᾶς. 2, d, E. ib. γυμνάζεται τούτων. g.

16. 48. 5. p. 675. 676.

ὁρᾷς, διπλάσιον τοῦ Ὀλυμπικοῦ ὄντα. δραμόντος δὲ αὐτοῦ οὐκ ἂν εὕροις ἴχνος, οὐδ' ἂν ἐνσημήναιτό τι τῇ γῇ ὁ πούς.

Φ. Καὶ μὴν καὶ ἴχνη μεγάλα ἐντετύπωται τοῖς δρόμοις ἐς τὸ δεκάπηχυ μέγεθος τοῦ ἥρω.

677 Ἀ. Βαδίζοντος, ξένε, τὰ ἴχνη ἐκεῖνα καὶ γυμναζομένου τι ἕτερον, δραμόντος δὲ ἄσημος ἡ γῆ, μετέωρος γάρ τις καὶ οἷον ἐπικυματίζων αἴρεται. φησὶ δὲ καὶ παραδραμεῖν ἐν Αὐλίδι τὸν Ἀχιλλέα ἐν ἄθλοις, γυμναζομένης ἐπὶ Τροίαν τῆς Ἑλλάδος καὶ ὑπὲρ τὸ πήδημα τὸ ἐκείνου ἀρθῆναι. τὰ δὲ πολέμια ξυγχωρεῖ, ὡς ἔφην, τῷ Ἀχιλλεῖ πλὴν τῆς ἐν Μυσοῖς μάχης· ἐκεῖ γὰρ πλείους ἀπεκτονέναι Μυσῶν ἢ ἐκεῖνος ἀριστεῖά τε ἀπενηνέχθαι, κεκρατηκέναι δὲ αὐτοῦ καὶ τὸν ἀγῶνα τὸν περὶ τῆς ἀσπίδος.

Φ. Καὶ τί ἂν εἴη, ἀμπελουργέ, τὸ τῆς ἀσπίδος; οὔτε γὰρ ποιητῇ εἴρηταί πω, οὔτε ἐς λόγον τινὰ τῶν Τρωικῶν ἥκει.

Ἀ. Περὶ πολλῶν, ξένε, τοῦτ' ἐρεῖς· πολλὰ γὰρ περί τε ἀνδρῶν περί τε πολεμικῶν ἔργων ὁ ἥρως λέγει μήπω τοῖς πολλοῖς δῆλα ὄντα. τὸ δὲ αἴτιον· φησὶν αὐτοὺς κατὰ ἔκπληξιν τῶν Ὁμήρου ποιημάτων ἐς μόνους Ἀχιλλέα τε καὶ Ὀδυσσέα βλέψαντας ἀμελῆσαι καλῶν καὶ ἀγαθῶν ἀνδρῶν. καὶ τῶν μὲν οὐδὲ ἐπιμνησθῆναι τοπαράπαν, τοῖς δὲ ἀναθεῖναι τριήρη τεττάρων ἐπῶν. τὸν μὲν δὴ Ἀχιλλέα φησὶν ἐπαξίως ὑμνῆσθαι, τὸν δὲ Ὀδυσσέα μειζόνως. καὶ ὁπόσα δὲ Σθενέλου τε καὶ Παλαμήδους καὶ τῶν τοιῶνδε ἀνδρῶν παραλέλειπται, δίειμί σοι μικρὸν ὕστερον, μὴ γὰρ ἀγνοήσας γε 6 ἀπέλθοις τι τούτων. καὶ τὸν λόγον δὲ τὸν Μύσιον, ἐς ὃν τί ἡ ἀσπίς, αὐτίκα ἀποτελοῦμεν, ἐπειδὴ δὲ παγκρατίου καὶ πυγμῆς καὶ δίσκου μνημονεύοντες ἐς τὴν ἀσπίδα ἀπηνέχθημεν, ἄκουε τοῦ ἥρω θαύματα πρὸς ἀθλητάς, οἳ ἐχρήσαντο αὐτῷ συμβούλῳ· τὸν Κίλικα, οἶμαι, παγκρατιαστὴν ἀκούεις, ὃν Ἀλτῆρα ἐκάλουν οἱ πατέρες, ὡς μικρὸς ἦν καὶ τῶν ἀντιπάλων παραπολύ.

678 Φ. Οἶδα τεκμαιρόμενος δήπου τοῖς ἀνδριᾶσι, χαλκοῦς γὰρ πολλαχοῦ ἕστηκεν.

Ἀ. Τούτῳ, ξένε, περιῆν μὲν καὶ ἐπιστήμης, περιῆν δὲ καὶ θυμοῦ, καὶ μάλα ἐρρώννυ αὐτὸν ἡ εὐαρμοστία τοῦ σώματος. ἀφικόμενος οὖν ἐς τὸ ἱερὸν τοῦτο ὁ παῖς, ἔπλει δὲ εὐθὺ Δελφῶν ἀγωνιούμενος τὴν κρίσιν, ἠρώτα τὸν Πρωτεσίλεων, ὅ τι πράττων περιέσοιτο τῶν ἀντιπάλων, ὁ δὲ 51 „πατούμενος" ἔφη. ἀθυμία οὖν αὐτίκα τὸν ἀθλητὴν ἔσχεν ὡς καταβεβλημένον ὑπὸ τοῦ χρησμοῦ, τὸ δὲ ἀποπτερνίζειν ἐν ἀγωνίᾳ πρῶτος εὑρὼν ξυνῆκεν ὕστερον, ὅτι κελεύει αὐτὸν μὴ μεθίεσθαι τοῦ ποδός. τὸν γὰρ προσπαλαίοντα τῇ πτέρνῃ πατεῖσθαί τε ξυνεχῶς χρὴ καὶ ὑποκεῖσθαι τῷ ἀντιπάλῳ. καὶ τοῦτο πράττων ὁ ἀθλητὴς οὗτος ὀνόματος λαμπροῦ ἔτυχε καὶ ἡττήθη οὐδενός. ἀκούεις δέ που καὶ Πλούταρχον ἐκεῖνον τὸν δεξιόν;

Φ. Ἀκούω. τὸν πύκτην γάρ, ὡς τὸ εἰκός, λέγεις.

Ἀ. Οὗτος ἀνιὼν τὴν δευτέραν Ὀλυμπιάδα ἐπὶ τοὺς ἄνδρας ἱκετεύει τὸν ἥρω χρῆσαί οἱ περὶ τῆς νίκης· ὁ δὲ αὐτὸν κελεύει Ἀχελῴῳ ἐναγωνίῳ εὔχεσθαι.

1. Ὀλυμπιακοῦ. l, p, EB. ib. ἂν om. m. ib. ἐνεσημήναιτο. 2. 3. καὶ μὴν ἴχνη. 4. ib. συμβαίνοντα ἐς τό. E. 4. τὸ ἕτερον. j, e, n. τὸ ἕτερον, ι suprasc. γ. 5. φασί. 2. ib. δραμεῖν et γρ. παραδραμεῖν. 2. 6. ἐπὶ Τροίαν τῆς Ἑλλάδος. C., B. τῆς Ἑλλάδος ἐπὶ Τροίαν. E. 7. ἔφη. γ. 8. Μυσῶν. f. τῶν Μυσῶν. ς. ib. ἀριστεῖά τε. l, 2, d, e. ἀριστεῖα δὲ. ς. 10. καὶ τί — ἀσπίδος om. γ pr. m. add. rec. ib. τὸ περὶ τῆς ἀσπίδος. ε. ib. που et πω suprasc. j. 11. ἐς. f. 12. περί τε ἀνδρῶν om. j, n. 14. ποιημάτων φησὶν αὐτούς. l. 15. τῷ μὲν. 2. ib. Fo: ἐπιμνησθῆναι αὐτὸν τοπαράπαν. ib. ἀναθῆναι. ju, m, o. ib. μὲν δὲ. o. 16. ὑμνῆσθαι. f, γ, d. ὑμνεῖσθαι. ς. ib. τε om. 2, j. 18. λόγον καὶ. f. ib. ἐς ὃν τι η ἀσπις αὐτίκα α πο τε λου μενους δὲ. ἐπειδὴ. f (sic). ἐς ὃν τί ἡ ἀσπὶς αὐτίκα. ἀποτελουμένου δέ, ἐπειδὴ. γ, l, φ, ψ, e, n (ἐπεὶ l) ἐς ὃν τί ἡ ἀσπίς, αὐτίκα ἀποτελοῦμεν, ἰδού. p, vd. ἐς ὅντινα ἡ ἀσπίς, αὐτίκα ἀποτελοῦμεν, ἐπειδὴ δὲ. 2, E. ἐς ὃν — ἀποτελοῦμεν om. g. d, b. ρ. ἐς ὃν τι ἡ ἀ. αὐτίκα ἀποτελοῦμεν. νῦν δὲ. B. Fo: ἐς ὃν ἐστιν ἡ ἀ. 19. δίσκου καὶ πυγμῆς. 4. 21. Ἀλτῆρα. γ. Ἀλτῆρα. g. ib. οἱ παλαιοί. 2. ib. ὡς om. b. 22. πανταχοῦ. 2. 23. μὲν ἐπ. g. ib. ἐρρώνν. γ, EB. 26. οὖν. C. μὲν οὖν. EB. 27. πρῶτος ἐν ἀγ. g. 31. τὸν πύκτην γὰρ. γ, p. τὸν γὰρ πύκτην. ς. 33. ἐν ἀγωνίᾳ. k. ἐν ἀγωνίᾳ. i, o. ib. εὔχεσθαι. 1, 2. ἐνεύχεσθαι. ψ et p ante corr. χρῆσθαι. 4, B.

30, 52, 54. 6. p. 677. 678.

Φ. Τί οὖν τὸ αἴνιγμα;

Α. Ἠγωνίζετο μὲν ἐν Ὀλυμπίᾳ πρὸς Ἑρμείαν τὸν Αἰγύπτιον [περὶ] τὴν τοῦ στεφάνου νίκην, ἀπειρηκότες δὲ ὁ μὲν ὑπὸ τραυμάτων, ὁ δὲ ὑπὸ δίψης, καὶ γὰρ ἀκμάζουσα μεσημβρία περὶ τὴν πυγμὴν εἱστήκει, νεφέλη ἐς τὸ στάδιον καταρρήγνυται καὶ διψῶν ὁ Πλούταρχος ἔσπασε τοῦ ὕδατος, 56 ὃ ἀνειλήφει τὰ περὶ τοῖς πήχεσι κώδια· καὶ τὸν χρησμὸν ἐνθυμηθείς, ὡς μετὰ ταῦτα ἔφασκεν, ἐς θάρσος ὥρμησε καὶ ἔτυχε τῆς νίκης. Εὐδαίμονα δὲ τὸν Αἰγύπτιον θαυμάζεις τῆς καρτερίας ἴσως, εἰ πυκτεύοντι που παρέτυχες. τούτῳ ἐρομένῳ, πῶς ἂν μὴ ἡττηθείη „θανάτου" ἔφη „καταφρονῶν."

Φ. Καὶ πείθεταί γε, ὦ ἀμπελουργέ, τῷ χρησμῷ, παρασκευάζων γὰρ οὕτως ἑαυτὸν ἀδαμάντινος τοῖς πολλοῖς καὶ θεῖος δοκεῖ.

Α. Ἔλιξ δὲ ὁ ἀθλητὴς αὐτὸς μὲν οὔπω προσπέπλευκε τῷ ἱερῷ τούτῳ, πέμψας δέ τινα τῶν ἑαυτοῦ ἑταίρων ἤρετο, ποσάκις νικήσει τὰ Ὀλύμπια, ὁ δὲ „δὶς" ἔφη „νικήσεις, ἐὰν μὴ ἐθέλῃς τρίς."

Φ. Δαιμόνιον, ἀμπελουργέ, λέξεις γάρ που τὸ ἐν Ὀλυμπίᾳ πραχθέν· προυπαρχούσης γὰρ αὐτῷ νίκης μιᾶς, ὅτ' ἀνὴρ ἐκ παίδων ἐνίκα πάλην, ἀπεδύσατο τὴν ἐπ' ἐκείνῃ Ὀλυμπιάδα πάλην τε καὶ παγκράτιον, ἐφ' ᾧ δυσχεράναντες οἱ Ἠλεῖοι διενοοῦντο μὲν ἀμφοῖν εἴργειν αὐτὸν ἐγκλήματα Ὀλυμπικὰ ξυντιθέντες αὐτῷ, μόγις δ' οὖν ἀνέδησαν τὸ παγκράτιον. καὶ τοῦτον ἄρα τὸν 58 φθόνον ὁ Πρωτεσίλεως φυλάξασθαι προὔλεγεν εἰδὼς αὐτὸν ἀντίπαλον τοῖς ἐξῃρημένοις ὄντα.

Α. Ἄριστα, ξένε, τοῦ χρησμοῦ ἐτεκμήρω.

Φ. Τῶν δὲ δὴ νόσων τίνας ἰᾶται; πολλοὺς γὰρ αὐτῷ φῄς εὔχεσθαι.

Α. Πάσας ἰᾶται, ὁπόσαι εἰσί, μάλιστα δὲ τὰς φθόας τε καὶ τοὺς ὑδέρους καὶ τὰς τῶν 7 ὀφθαλμῶν νόσους καὶ τοὺς τεταρταίῳ πυρέσσοντας· ἔστι δὲ καὶ ἐρῶντι τυχεῖν αὐτοῦ ξυμβούλου. ξυναλγεῖ γὰρ σφύδρα τοῖς τὰ ἐρωτικὰ ἀτυχοῦσι καὶ ὑποτίθεται αὐτοῖς ἐπῳδὰς καὶ τέχνας, αἳ τὰ παιδικὰ θέλξουσι, μοιχοῖς δὲ οὔτε προσδιαλέγεται οὐδὲν οὔτε ὑποτίθεταί τι ἐρωτικόν· φησὶ γὰρ ἀπηχθῆσθαι αὐτοῖς, ἐπειδὴ τὸ ἐρᾶν διαβάλλουσιν. ἀφικομένου γοῦν ἐνταῦθα μοιχοῦ ποτε αὐτῇ γυναικί, ἣν ἐπείρα, καὶ ξυνομνύναι βουλομένων ἐπὶ τὸν ἄνδρα παρόντα μέν, ξυνιέντα δὲ οὔπω, ὁ μὲν γὰρ ἔτυχε καθεύδων μεσημβρίας ἐνταῦθα, οἱ δ' ὤμνυσαν ἤδη προσεστηκότες τῷ βωμῷ —

Φ. Τί οὖν ὁ Πρωτεσίλεως;

Α. Ἐξορμᾷ τοῦτον τὸν κύνα καίτοι χρηστόν, ὡς ὁρᾷς, ὄντα προσπεσεῖν τε αὐτοῖς κατόπιν καὶ δακεῖν ἔτι ὀμνύντας, καὶ τὸν ὅρκον οὑτωσὶ ξυγχέας ἐφίσταται τῷ ἀνδρὶ καὶ κελεύει αὐτὸν 60 ἐκείνων μὲν ἀμελεῖν, τὸ γὰρ δῆγμα σφῶν ἀνίατον εἶναι, σώζειν δὲ νῦν γοῦν ἑαυτόν τε καὶ τὸν ἑαυτοῦ οἶκον, τοὺς μὲν γὰρ θεοὺς πάντα γιγνώσκειν, τοὺς δὲ ἥρωας θεῶν μὲν ἐλάττω, πλείω δὲ

1. sigl. pers. Φ et *A.* om. 2. 2. ἠγωνίζετο om. f. ib. περὶ τὴν. l. τὴν περὶ. ς. Inclusi περὶ, quod glossema videbatur. 3. ἀπειρηκόσι — τῷ — τῷ. l. ib. δίψους. n. δίψος et ου suprascr. j. 5. περὶ. f, Eß. παρὰ. ς. 6. θαυμάζω. n. 7. πυκτεύοντα. 2. ib. που. om. j, e, n. ib. περιέτυχες. 2. παρέτυχεν. e, j. 9. A παρασκευάζων ad τρὶς l. 2, n, tribuunt Vinitori. 11. ἔλεξε δὲ. 2. ib. οὕτω. π. 12. ὁσάκις. γ. ib. Fo: νικήσοι. ib. τὴν Ὀλυμπιάδα. 2. 13. που om. 2. ib. Personam vinitoris ponunt ante προυπαρχούσης. n, B. ib. ὑπαρχούσης. g. 15. πάλην ἐνίκα. 2. ἐνίκα πάλιν. γ, e et φ, ubi corr. ib. Ὀλυμπιάδα f. et E. Meier, Ol. Sp. 321. Ὀλυμπιάδι. ς. 16. Ἠλεῖοι. γ. ib. εἴργειν αὐτὸν ἀμφοῖν. g. ib. ἀμφοῖν om. n. ib. αὐτῶν. φ. 17. Ὀλυμπικὰ. f, l, g, b, r. Ὀλυμπιακὰ. ς. ib. ξυνθέντες. l. ib. μόγις δ' οὖν. f, l, 2, ψ, 4, B. μόγις γοῦν. γ, p, φ. μόγις δ'. m, o. ib. ἀνεδήσαντο. β. 18. Personam Phoenicis ante καὶ τοῦτον praefigit B. 21. τοὺς φθόας. j, e, n 22. πυρέσσοντας. f, γ. ib. ἔστι δὲ καὶ. γ. ἔστι καὶ. ς. 23. γὰρ δὴ. 2. ib. αἳ f. αἷς. ς. ib. τὰς ποιδικὰ. 2. 24. ἕλξουσι. π. ib. μυχοῖς. γ. ib. τι om. 2. 25. αὐτὸν. π. ib ἐπειδὰν. 2. ib. αὐτῇ om. 2. 26. ἐπήρα. f. ib. ξυνόμνυσθαι. γ. ib. τὸν παρόντα. δ. ib. ξυνέντα. n. ib. οὐδέπω. δ. 27. γὰρ om. g. ib. ὤμνησαν. 2. ib. ὧδε. l. ib. προεστηκότες. 2. 28. Persona Phoenicis deest E. 29. τοῦτον om. n. 31. γοῦν νῦν. 2. ib. αὐτὸν — αὐτοῦ. γ. αὐτὸν — αὐτοῦ. f, l, g, b, e, o. 32. ἑαυτοῦ om. n.

56, 58, 60. 7. p. 679. 680.

ἀνθρώπων. πολὺς ἐπιρρεῖ τῶν τοιούτων ὄχλος, εἰ πάντων ἀπομνημονεύοιμι ὄντων γε καὶ τῶν ἐν Φθίᾳ τε καὶ Φυλάκῃ φανερῶν πᾶσιν, ὅσοι Θετταλίαν οἰκοῦσιν· καὶ γὰρ τὸ ἐκείνῃ ἱερὸν ἐνεργὸν τῷ Πρωτεσίλεῳ, καὶ πολλὰ τοῖς Θετταλοῖς ἐπισημαίνει φιλάνθρωπά τε καὶ εὐμενῆ, καὶ ὀργίλα αὖ, εἰ ἀμελοῖτο.

Φ. Πείθομαι, νὴ τὸν Πρωτεσίλεων, ἀμπελουργέ· καλὸν γάρ, ὡς ὁρῶ, καὶ ὁμνύναι τοιοῦτον ἥρω.

Ἀ. Ἦ ἀδικήσεις γε ἀπιστῶν, ξένε. τὸν δὲ Ἀμφιάρεων, ὃν λέγεται ἡ γῆ ἐν σοφῷ ἀδύτῳ ἔχειν Ἀμφίλοχόν τε τὸν τούτου παῖδα πλείω ἴσως ἢ ἐγὼ γιγνώσκεις οὐ πολὺ ἀπέχων τῆς Κιλίκων ἠπείρου, καὶ Μάρωνα δὲ τὸν Εὐάνθους ἀδικοίης ἂν ἐπιφοιτῶντα ταῖς ἐν Ἰσμάρῳ ἀμπέλοις καὶ ἡδυοίνους αὐτὰς ἐργαζόμενον φυτεύοντά τε καὶ κυκλοῦντα, ὅτε δὴ ὁρᾶται τοῖς γεωργοῖς ὁ Μάρων καλός τε καὶ ἁβρὸς καὶ ἀναπνέων ποτιμόν τε καὶ οἰνῶδες. γιγνώσκειν δὲ χρὴ καὶ τὰ τοῦ Θρᾳκὸς 62
Ῥήσου· Ῥῆσος γάρ, ὃν ἐν Τροίᾳ Διομήδης ἀπέκτεινε, λέγεται οἰκεῖν τὴν Ῥοδόπην καὶ πολλὰ αὐτοῦ θαύματα ᾄδουσιν· ἱπποτροφεῖν τε γάρ φασιν αὐτὸν καὶ ὁπλιτεύειν καὶ θήρας ἄπτεσθαι. σημεῖον δὲ εἶναι τοῦ θηρᾶν τὸν ἥρω τὸ τοὺς σῦς τοὺς ἀγρίους καὶ τὰς δορκάδας καὶ ὁπόσα ἐν τῷ
681 ὄρει θηρία φοιτᾶν πρὸς τὸν βωμὸν τοῦ Ῥήσου κατὰ δύο ἢ τρία θύεσθαί τε οὐδενὶ δεσμῷ ξυνεχόμενα καὶ παρέχειν τῇ μαχαίρᾳ ἑαυτά. λέγεται δὲ ὁ ἥρως οὗτος καὶ λοιμοῦ ἐρύκειν τοὺς ὅρους, πολυανθρωποτάτη δὲ ἡ Ῥοδόπη καὶ πολλαὶ περὶ τὸ ἱερὸν αἱ κῶμαι, ὅθεν μοι δοκεῖ καὶ βοήσεσθαι ὑπὲρ τῶν ἑαυτοῦ συστρατιωτῶν ὁ Διομήδης, εἰ τὸν μὲν Θρᾷκα τοῦτον, ὃν ἀπέκτεινεν αὐτὸς μηδὲν εὐδόκιμον ἐν Τροίᾳ ἐργασάμενον, μηδὲ δείξαντά τι ἐκεῖ λόγου ἄξιον πλὴν ἵππων λευκῶν, εἶναί τε ἡγοίμεθα καὶ θύοιμεν αὐτῷ διὰ Ῥοδόπης τε καὶ Θρᾴκης πορευόμενοι, τοὺς δὲ θεῖά τε καὶ λαμπρὰ εἰργασμένους ἔργα ἀτιμάζοιμεν μυθῴδη τὴν περὶ αὐτοὺς δόξαν ἡγούμενοι καὶ κεκομπασμένην.

Φ. Μετὰ σοῦ λοιπόν, ἀμπελουργέ, τάττω ἐμαυτὸν καὶ οὐδεὶς ἔτι τοῖς τοιούτοις ἀπιστήσει·
9 οἱ δὲ ἐν τῷ πεδίῳ τῷ ἐν Ἰλίῳ, οὓς ἔφασκες δι' αὐτοῦ τὸν μάχιμον τρόπον στείχειν, πότε ὤφ- 61
θησαν;

Ἀ. Ὁρῶνται, ἔφην, ὁρῶνται ἔτι βουκόλοις τε τοῖς ἐν τῷ πεδίῳ καὶ νομεῦσι μεγάλοι καὶ θεῖοι καὶ θεῶνταί ἐστιν ὅτε ἐπὶ κακῷ τῆς γῆς· εἰ μὲν γὰρ κεκονιμένοι φαίνοιντο, αὐχμοὺς ἐπισημαίνουσι τῇ χώρᾳ, εἰ δὲ ἱδρῶτος πλέοι, κατακλυσμούς τε καὶ ὄμβρους, εἰ δὲ αἷμα περὶ αὐτοῖς ἢ τοῖς ὅπλοις φαίνοιτο, νόσους τῷ Ἰλίῳ ἀναπέμπουσιν, εἰ δὲ μηδὲν τούτων περὶ τοῖς εἰδώλοις ὁρῷτο, ἀγαθὰς ἤδη ἄγουσι τὰς ὥρας καὶ σφάττουσιν αὐτοῖς τότε οἱ νομεῖς ὁ μὲν ἄρνα, ὁ δὲ ταῦρον, ὁ δὲ πῶλον, ὁ δ' ἄλλο τι ὧν νέμει. φθορὰς δέ, ὁπόσαι περὶ τὰς ἀγέλας γίγνονται, πάσας ἐξ Αἴαντος ἥκειν φασίν, οἶμαι, διὰ τὸν ἐν τῇ μανίᾳ λόγον, ὅτε δὴ ὁ Αἴας λέγεται ταῖς ἀγέλαις ἐμπεσὼν διαφορῆσαι σφᾶς οἷον κτείνων τοὺς Ἀχαιοὺς ἐπὶ τῇ κρίσει, καὶ οὐδέ νέμει περὶ τὸ σῆμα οὐδεὶς φόβῳ τῆς πόας, νοσώδης γὰρ δὴ ἀναδίδοται καὶ πονηρὰ βόσκειν. ἔστι δέ τις λόγος, ὡς Τρῶές ποτε
682 ποιμένες ἐς τὸν Αἴαντα ὕβριζον νενοσηκότων αὐτοῖς τῶν προβάτων καὶ περιστάντες τὸ σῆμα πολὲ-

1. γε om. l. 2. ἐν ἐκείνῃ. 4. ib. καὶ ἐνεργὸν. 2. 3. αὖ om. l. 5. Πρωτεσίλεω. n. ib. τὸν τοιοῦτον. j, n. 7. ἦ. f, g. ἦ. γ, l, EB. ib. τὸν δὲ. l, 4. τόν τε. ς. 8. γιγνώσκεις. C. γιγνώσκων. EB. 9. δὲ om. f. 10. ὅτε δὴ et γρ. ὅτε δή. 2. 11. τε. C. τι. EB. 13. ᾄσματα. π. Θαυμαστά. EB. ib. φασιν om. g. 14. τοὺς δορκάδας. 2. 15. καὶ τὰς — φοιτᾶν om. n. ib. καὶ δύο. g. ib. θύεσθαι δὲ. o. 16. ὅρους. l. 17. αἱ μοῦσαι. π. ib. δοκῶ. f. 18. ἑαυτοῦ om. n. αὐτοῦ. g. ib. στρατιωτῶν. γ, 2. ib. ἀπέκτεινεν αὐτὸς. f, γ, p. αὐτὸς ἀπ'. ς. 19. εἶναι τι. β, o, B. 21. ἐργασαμένους. j, e, n. 23. καὶ om. n. 24. τὸν μάχιμον τρόπον δι' αὐτοῦ. l. ib. ὁπότε. n. 26. ὁρῶνται. C. ὁρῶνται δή. EB. ib. ἔφη. f, γ, φ. ἔφην. ς. Fo: ὦ Φοῖνιξ. ib. alterum ὁρῶνται om. f. 27. γρ. ἐπισημαίνει. 2. 28. πλέω. B. 29. φαίνοιτο. γ, g. 30. καὶ om. n. 31. κατὰ. g, δ. ib. γίγνωνται. f. 33. διαφονῆσαι. 2. 34. ἀναδίδοται. f. ἀναφύεται. ς.

62, 64. 8, 9. p. 681. 682.

μιον μὲν Ἕκτορος τὸν ἥρωα ἐκάλουν, πολέμιον δὲ Τροίας τε καὶ ποιμνίων, καὶ ὁ μὲν μανῆναι αὐτόν, ὁ δὲ μαίνεσθαι, ὁ δ' ἀσελγέστατος τῶν ποιμένων

66 „Αἴας δ' οὐκέτ' ἔμιμνε"

μέχρι τούτου τὸ ἔπος αὐτῷ ἐπερραψῴδει ὡς δειλῷ· ὁ δὲ „ἀλλὰ ἔμιμνον" εἶπε βοήσας ἐκ τοῦ τάφου φρικῶδές τι καὶ ὄρθιον, λέγεται δὲ καὶ δουπῆσαι τοῖς ὅπλοις, οἷον ἐν ταῖς μάχαις εἰώθει. τὸ μὲν δὴ τῶν κακοδαιμόνων ἐκείνων πάθος οὐ χρὴ θαυμάζειν, εἰ Τρῶές τε καὶ νομεῖς ὄντες ἐξεπλάγησαν ὁρμὴν Αἴαντος, καὶ οἱ μὲν ἔπεσον αὐτῶν, οἱ δ' ἔτρεσαν, οἱ δ' ᾤχοντο φεύγοντες οὐ ἐποίμαινον, τὸν δὲ Αἴαντα θαυμάσαι ἄξιον, ἀπέκτεινε γὰρ οὐδένα αὐτῶν, ἀλλὰ τὴν παροινίαν, ᾗ ἐχρῶντο, ἐκαρτέρησε μόνον ἐνδειξάμενος αὐτοῖς τὸ ἀκούειν. ὁ δὲ Ἕκτωρ οὐκ ἐγίγνωσκεν, οἶμαι, τὴν ἀρετὴν ταύτην, ὑβρίσαντος γὰρ ἐς αὐτὸν πέρυσι μειρακίου τινός, ἦν δ', ὡς φασι, κομιδῇ νέου καὶ ἀπαιδευτόν, ὥρμησεν ἐπὶ τὸ μειράκιον καὶ ἀπέκτεινεν αὐτὸ ἐν ὁδῷ, ποταμῷ τὸ ἔργον προσθείς.

Φ. Ἀγνοοῦντι λέγεις καὶ σφόδρα ἐκπληττομένῳ τὸν λόγον, ὤμην γὰρ μηδαμοῦ φαίνεσθαι τον ἥρω τοῦτον, καὶ ὁπότε μοι τὰ τῶν Ἑλλήνων ἀπήγγελλες, ὑπερήλγουν τοῦ Ἕκτορος, εἰ μήτε ἀρότης τι ὑπὲρ αὐτοῦ λέγει, μήτε αἰπόλος, ἀλλ' ἀφανὴς ἐστι τοῖς ἀνθρώποις καὶ ἀτεχνῶς κεῖται. περὶ 68 μὲν γὰρ τοῦ Πάριδος οὐδ' ἀκούειν ἀξιῶ οὐδέν, δι' ὃν τοιοίδε καὶ τοσοίδε ἔπεσον, περὶ δὲ τοῦ Ἕκτορος, ὃς ἔρεισμα μὲν τῆς Τροίας καὶ τοῦ ξυμμαχικοῦ παντὸς ἦν, ἵππους δὲ ξυνεῖχε τέτταρας, ὃ μηδεὶς τῶν ἡρώων ἕτερος, τὰς δὲ τῶν Ἀχαιῶν κατεπίμπρη ναῦς, ἐμάχετο δὲ πρὸς αὐτοὺς ὁμοῦ 683 πάντας ἐφορμῶντάς τε καὶ ξυνταττομένους ἐπ' αὐτὸν οὐκ ἂν ἐροίμην γέ τι, οὐδ' ἂν ἀκούσαιμι χαίρων, εἰ μὴ διαπηδῴης αὐτά, μηδ' ἀμελῶς λέγοις;

Α. Ἄκουε διὰ πλειόνων, ἐπειδὴ τοῦτο ἠγῇ τὸ μὴ ἀμελῶς φράζειν· τὸ ἐν Ἰλίῳ ἄγαλμα τοῦ Ἕκτορος ἡμιθέῳ ἀνθρώπῳ ἔοικε καὶ πολλὰ ἤθη ἐπιφαίνει τῷ θεωροῦντι αὐτὸ ξὺν ὀρθῷ λόγῳ· καὶ γὰρ φρονηματῶδες δοκεῖ καὶ γοργὸν καὶ φαιδρὸν καὶ ξὺν ἁβρότητι σφριγῶν καὶ ἡ ὥρα μετ' οὐδεμιᾶς κόμης. ἔστι δ' οὕτω τι ἔμπνουν, ὡς τὸν θεατὴν ἐπισπάσασθαι θιγεῖν. τοῦτο ἵδρυται μὲν ἐν περιβλέπτῳ τοῦ Ἰλίου, πολλὰ δὲ ἐργάζεται χρηστὰ κοινῇ τε καὶ ἐς ἕνα, ὅθεν εὔχονται αὐτῷ καὶ ἀγῶνα θύουσιν. ὅτε δὴ θερμὸν οὕτω καὶ ἐναγώνιον γίγνεται, ὡς καὶ ἱδρῶτα ἀπ' αὐτοῦ λεί- 70 βεσθαι· μειράκιον οὖν Ἀσσύριον ἦκον ἐς τὸ Ἴλιον ἐλοιδορεῖτο τῷ Ἕκτορι προφέρον αὐτῷ τάς τε ἕλξεις, αἳ ἐξ Ἀχιλλέως ποτὲ ἐς αὐτὸν ἐγένοντο, καὶ τὸν τοῦ Αἴαντος λίθον, ᾧ βληθεὶς ἀπέθανε πρὸς βραχύ, καὶ ὡς Πάτροκλον τὰ πρῶτα ἔφυγε, καὶ ὡς οὐδὲ ἀπέκτεινεν, ἀλλὰ ἕτεροι. μετεποίει δὲ τὸ ἄγαλμα τοῦ Ἕκτορος, Ἀχιλλέως γὰρ ἔφασκεν εἶναι αὐτὸ μετὰ τὴν κόμην, ἣν ἐκείρατο ἐπὶ 30 τῷ Πατρόκλῳ· τούτων ἐμφορηθὲν ἐξήλασεν ἐκ τοῦ Ἰλίου, καὶ πρὶν ἢ δέκα πορευθῆναι σταδίους ποταμὸς οὕτω βραχύς, ὡς μηδὲ ὄνομα αὐτοῦ ἐν Τροίᾳ εἶναι, μέγας ἐκ μικροῦ αἴρεται καὶ ὡς

1. male addunt βιάζετο γὰρ βελέεσσιν 2, p, b. 4. αὐτῷ om. f. ib. ἔμιμνεν. γ. 5. τι om. f. τε. π. ib. εἰώθη. γ. 6. τῶν om. m, o, B. ib. ἐκείνων om. f. ib. οἳ Τρ. 2. 7. οἱ δ' ἕτρ. — οἱ δ' ᾤχ. f, γ. οἱ δὲ ἕτρ. — οἱ δὲ ᾤχ. ς. 8. δὲ. f, γ, g. δ' ς. ib. δὲ οὐδένα. n. 9. ἐχρῶτο. γ. 10. πέρισυ. 2. μειρακίου τινὸς πέρυσι. E. μειρ. τινὸς om. π. 11. ὥρμησε μὲν. l, p, 4. ib. μειράκιον αὐτὸς. EB. ib. αὐτῷ ἐν. 2.

13. ἐκπληττομένῳ. f, γ, 3. ἐκπεπληγμένῳ et γρ. ἐκπεπληγμένον. 2. ἐκπεπληγμένῳ. ς. 14. ἀπήγγειλες. f. ἀπήγγελες. 2. 15. τι om. g. ib. ἀλλ' om. m. ib. τοῖς ἐκεῖ. 2, EB. 16. οὐκ. g. 17. ὃν. g. ib. τέσσαρας. 2. 18. τὰς δὲ. f, γ. τάς τε. ς. ib. κατεπίμπρη. f, l, p ex corr. g, d, b, π. κατεπίμπρα. ς. ib. νῆας. f. ib. ὁμοῦ om. l. ἅμα. 2. 19. ἐφορμοῦντας. γ. ib. δὲ καὶ. ε. ib. οὐκ ἂν ἐροίμην γέ τι οὐδ' ἂν ἀκούσαιμι χαίρων. f, 2, (γε et suprasc. τε i) φ. οὐκ ἂν ἐ. ἔτι οὐδ' ἂν ἀ. χαίρων. γ. κἂν ἐροίμην γέ τι κἂν ἀ. χ. l, 4, B. κἂν ἐ. δέ τι κἂν ἀ. χ. p. κἂν ἐ. γέ τι οὐδ' ἂν ἀ. χαίρων. ψ. οὐκ ἂν ἐ. γε; τί δ' οὐκ ἂν ἀ. χ. E. 20. διαποδώης. 2. ib. λέγεις. f, γ.

21. μὴ om. 2. ib. τὸ δὲ l. τὸ γὰρ. EB. ib. τοῦ om. l. 22. πολλῷ ἤθει. γρ. πολλὰ ἤθη. 2. 23. φρονιματῶδες. 2. g. 24. οὕτω τοι. Θ. ν. οὕτω τοι et β, B. ib. ἔμπνους. Θ. ib. ἐπίστασθαι. 2. ib. θίγειν. C, EB. (θήγειν. ψ.) 25 δὲ om. f. ib. ἐς. f. εἰς. γ. 26. θύουσιν et γρ. θήσειν. 2. ib. λείβεσθαι et γρ. ῥεῖν. 2. 27. οὖν om. f. ib. προφέρων. j. ib. ἃς. j. 30. δὲ τὸ. f, γ. δὲ καὶ τὸ. ς. ib. αὐτὸ εἶναι. 2. 32. ποταμὸς ποτὲ μὲν. ψ et p, ubi rec. m. erasit. ib. αὐτοῦ p pr. m et ψ om. ib. ἐν Τρ. C. (om. l.) ἐν τῇ Τρ. EB.

66, 68, 70. 10. p. 683.

ἀπήγγελλον οἱ διαφυγόντες τῶν ὀπαδῶν, ὁπλίτης ἡγεῖτο τοῦ ποταμοῦ μέγας παρακελευόμενος αὐτῷ
684 βαρβάρῳ τῇ φωνῇ καὶ σφοδρᾷ ἐπιστρέφειν τὸ ὕδωρ ἐς τὴν ὁδόν, δι' ἧς τὸ μειράκιον ἤλαυνεν ἐπὶ τεττάρων ἵππων οὐ μεγάλων, οὓς ὑπολαβὼν ὁ ποταμὸς ὁμοῦ τῷ μειρακίῳ βοῶντί τε καὶ ξυνιέντι λοιπὸν τοῦ Ἕκτορος ἀπήγαγεν ἐς τὰ ἑαυτοῦ ἤθη καὶ οὕτως ἀπώλεσεν, ὡς μηδὲ ἀνελέσθαι ξυγχωρῆσαι τὸ σῶμα, ᾧχετο γὰρ οὐκ οἶδ' ὅποι ἀφανισθέν.

Φ. Οὔτε τὸν Αἴαντα χρὴ θαυμάζειν, ἀμπελουργέ, καρτερήσαντα τὰ ἐκ τῶν ποιμένων, οὔτε τὸν Ἕκτορα ἡγεῖσθαι βάρβαρον μὴ ἀνασχόμενον τὰ ἐκ τοῦ μειρακίου· τοῖς μὲν γὰρ καὶ ξυγγνώμη 72
ἴσως, οἳ Τρῶες ὄντες ἔτι καὶ πονήρως ἐχόντων σφίσι τῶν προβάτων ἐπεπήδων τῷ τάφῳ, μειρακίῳ δὲ Ἀσσυρίῳ πομπεύοντι ἐς τὸν τοῦ Ἰλίου ἥρω τίς ξυγγνώμη; οὐ γὰρ δὴ Ἀσσυρίοις ποτὲ καὶ Τρωσὶ πόλεμος ἐγένετο, οὐδὲ τὰς ἀγέλας σφῶν ὁ Ἕκτωρ ἐπόρθησεν, ὡς τὰς τῶν Τρώων ὁ Αἴας.

11 *Ἀ.* Πεπονθέναι τι πρὸς τὸν Ἕκτορα, ὦ ξένε, δοκεῖς, καὶ οὐκ ἀξιῶ διαφέρεσθαι. ἀλλ' ἐπανίωμεν ἐπὶ τὰ τοῦ Αἴαντος, ἐκεῖθεν γὰρ οἶμαι τὴν ἐκβολὴν τοῦ λόγου πεποιῆσθαι.

Φ. Ἐκεῖθεν, ὦ ἀμπελουργέ, καὶ εἰ δοκεῖ, ἐπανίωμεν.

Ἀ. Πρόσεχε οὖν, ὦ ξένε· νηός ποτε καθορμισαμένης ἐς τὸ Αἰάντειον δύο τῶν ξένων πρὸ τοῦ σήματος ἤλυόν τε καὶ πεττοῖς ἔπαιζον, ἐπιστὰς δὲ ὁ Αἴας „πρὸς θεῶν" ἔφη „μετάθεσθε τὴν παιδιὰν ταύτην· ἀναμιμνήσκει γάρ με τῶν Παλαμήδους ἔργων σοφοῦ τε καὶ μαλ' ἐπιτηδείου μοι ἀνδρός. ἀπολώλεκε δὲ κἀμὲ κἀκεῖνον ἐχθρὸς εἷς ἄδικον εὑρὼν ἐφ' ἡμῖν κρίσιν.

Φ. Δεδάκρυκα, νὴ τὸν Ἥλιον, ἀμπελουργέ, τὰ γὰρ ἀμφοῖν πάθη παραπλήσιά τε καὶ εἰκότα ἐς εὔνοιαν· ἀγαθῶν μὲν γὰρ κοινωνία τίκτει ποτὲ καὶ φθόνον, ὅσοι δ' ἂν κοινωνήσωσι συμ- 73
φορῶν, ἀγαπῶσιν ἀλλήλους τὸν ἔλεον τοῦ ἐλέου ἀντιδιδόντες. Παλαμήδους δὲ εἴδωλον ἔχοις ἄν τινα εἰπεῖν ἑωρακότα ἐν Τροίᾳ;

685 *Ἀ.* Τὰ μὲν ὁρώμενα εἴδωλα οὔπω δῆλα ὅτου ἕκαστον, πολλὰ γὰρ καὶ ἄλλοτε ἄλλα. διαλλάττει δὲ ἀλλήλων καὶ ἰδέᾳ καὶ ἡλικίᾳ καὶ ὅπλοις. ἀκούω δ' ὁμῶς καὶ περὶ τοῦ Παλαμήδους ταῦτα· ἦν γεωργὸς ἐν Ἰλίῳ ταὐτόν ποτ' ἐμοὶ πράττων· οὗτος ἐπεπόνθει τι πρὸς τὸ τοῦ Παλαμήδους πάθος καὶ ἐθρήνει αὐτὸν ἥκων ἐπὶ τὴν ἠιόνα, πρὸς ᾗ λέγεται ὑπὸ τῶν Ἀχαιῶν βεβλῆσθαι, καὶ ὁπόσα νομίζουσιν ἐπὶ σημάτων ἄνθρωποι, ἐπέφερε τῇ κόνει τάς τε ἡδίους τῶν ἀμπέλων ἐξαιρῶν αὐτῷ κρατῆρα ἐτρύγα, καὶ ξυμπίνειν τῷ Παλαμήδει ἔφασκεν, ὅτε ἀναπαύοιτο τῶν ἔργων. ἦν δὲ αὐτῷ καὶ κύων τέχνῃ αἰκάλλων καὶ ὑποκαθήμενος τοὺς ἀνθρώπους· τοῦτον Ὀδυσσέα ἐκάλει καὶ ἐπαίετο ὑπὲρ τοῦ Παλαμήδους ὁ Ὀδυσσεὺς οὗτος προσακούων κακὰ μυρία. δοκεῖ δὴ τῷ Παλαμήδει ἐπι- 74
φοιτῆσαί ποτε τῷ ἐραστῇ τούτῳ καὶ ἀγαθόν τι αὐτῷ δοῦναι, καὶ δῆτα ὁ μὲν πρὸς ἀμπέλῳ τινὶ ἦν γόνυ αὐτῆς ἰώμενος, ὁ δὲ ἐπιστὰς αὐτῷ „σὺ γιγνώσκεις με" ἔφη „γεωργέ"; „καὶ πῶς", εἶπεν „ὃν οὕπω εἶδον"; „τί οὖν" ἔφη „ἀγαπᾷς, ὃν μὴ γιγνώσκεις"; ξυνῆκεν ὁ γεωργός, ὅτι ὁ Παλαμήδης εἴη· καὶ τὸ εἶδος ἐς ἥρω ἔφερε μέγαν τε καὶ καλὸν καὶ ἀνδρεῖον οὔπω τριάκοντα ἔτη

1. ἀπήγγελον. 2. ib. ἡγοῖτο. E. 2. τῇ om. g, b, n. ib. ἐς om. γ, g. 3. τε om. 2, g, d, j. 4. καὶ οὕτως om. m. ib. μὴ δὴ. φ. 5. ὅπη. l. ὅπη et οι suprasc. φ et γρ. ὅπη in mg. g.
7. ξυγνώμη. φ. 8. οἱ. φ. ib. σφίσι om. l. 9. τὸν om. g. ib. τίς ἂν. EB. ib. οὐδὲ γὰρ Ἀσσ. g. ib. Ἀσσ. ποτὲ καὶ Τρωσὶ πόλεμος. C. Ἀσσ. τε καὶ Τρ. πολ. ποτε. EB. 10. ὥσπερ. φ, j. o.
11. ὦ ξένε, δοκεῖς. C. δοκεῖς, ὦ ξένε. EB. 12. ποιεῖσθαι. n.
13. ἐκεῖθεν γὰρ. e, B. ib. εἰ δοκεῖ. 2. ὡς δοκεῖ. ς. (ὡς δοκεῖς. γ.)
14. πρόσχες et γρ. πρόσεχε. 2. ib. οὖν om. γ. ib. ὦ om. l. g. 15. μετάθεσθαι. φ, j. 17. ἡμὶν. 1, 3. ἡμᾶς. 2, 4, EB.
19. τίνει. γ. corr. mg. 20. ἔλαιον – ἐλαίου. n. ib. δὲ καὶ εἴδωλον. 2, EB.
22. ἄλλο ἄλλον. E. ἄλλα τε ἄλλου. ρ. 23. ἡδία. γ. corr. mg. 24. ταὐτὸν. l. ib. ποτέ μοι. ε. ib. οὗτος om. 2. ib. πάθους. 2. 26. εἰκόνι et γρ. κόνει. 2. ib. ἰδίους. γ, φ. ib. ἐξαίρων. C (om. 2.), EB. Sc. ἐξαιρῶν. 28. αἰκάλων. 2. ib. καὶ om. g. 29. ὑπό. 2. ib. δὲ τῷ. 2. δήποτε τῷ Π. ἐπιφ. ποτε. g. 31. συγγινώσκεις. γ. ib. ἀμπελουργέ. 2. 32. μὴ. 2, 3, d, π, ρ, B. οὐ μὴ. γ. οὐ. g, δ, ε. ib. ὅτι Π. l. n. 33. ἔφερε. C. ἀνέφερε. EB. ib. μέγα. E. ib. ἀνδρεῖον καὶ καλόν. g, j, π.

72, 74, 76. 11. p. 684. 685.

γεγονότα· καὶ περιβαλὼν αὐτὸν μειδιῶν „φιλῶ σε, ὦ Παλάμηδες", εἶπεν „ὅτι μοι δοκεῖς φρονιμώτατος ἀνθρώπων γεγονέναι καὶ δικαιότατος ἀθλητὴς τῶν κατὰ σοφίαν πραγμάτων, πεπονθέναι τε ὑπὸ τῶν Ἀχαιῶν ἐλεεινὰ διὰ τὰς Ὀδυσσέως ἐπὶ σοὶ τέχνας, οὗ τάφος εἴ τις ἦν ἐνταῦθα, ἐξωρώρυκτ' ἂν ὑπ' ἐμοῦ πάλαι, μιαρὸς γὰρ καὶ κακίων τοῦ κυνός, ὃν ἐπ' αὐτῷ τρέφω." „φειδώμεθα λοιπὸν τοῦ Ὀδυσσέως", ὁ ἥρως ἔφη „τούτων γὰρ ἐπραξάμην αὐτὸν ἐγὼ δίκας ἐν Ἅιδου· σὺ δέ, ἐπειδὴ φιλεῖς που τὰς ἀμπέλους, εἰπέ μοι, τί μάλιστα περὶ αὐταῖς δέδοικας". „τί δ' ἄλλο γε" εἶπεν „ἢ τὰς χαλάζας; ὑφ' ὧν ἐκτυφλοῦνταί τε καὶ ῥήγνυνται". „ἰμάντα τοίνυν" εἶπεν ὁ Παλαμήδης „περιάπτωμεν μιᾷ τῶν ἀμπέλων καὶ οὐ βεβλήσονται αἱ λοιπαί."

78 Φ. Σοφός γε ὁ ἥρως, ἀμπελουργέ, καὶ ἀεί τι εὑρίσκων ἀγαθὸν τοῖς ἀνθρώποις. Ἀχιλλέως 12
δὲ πέρι τί ἂν εἴποις; τοῦτον γὰρ θειότατον τοῦ Ἑλληνικοῦ παντὸς ἡγούμεθα. 10 686

Ἀ. Τὰ μὲν ἐν τῷ Πόντῳ, ξένε, εἰ μήπω ἐς αὐτὸν πέπλευκας καὶ ὅσα ἐν τῇ ἐκεῖ νήσῳ λέγεται πράττειν, ἐγώ σοι ἀπαγγελῶ ὕστερον ἐν τῷ περὶ αὐτοῦ λόγῳ μακροτέρῳ ὄντι, τὰ δὲ ἐν Ἰλίῳ παραπλήσια τοῖς ἄλλοις ἥρωσι, καὶ γὰρ προσδιαλέγεταί τισι καὶ ἐπιφοιτᾷ καὶ θηρία διώκει. ξυμβάλλονται δὲ αὐτὸν Ἀχιλλέα εἶναι τῇ τε ὥρᾳ τοῦ εἴδους καὶ τῷ μεγέθει καὶ τῇ ἀστραπῇ τῶν ὅπλων· κατόπιν δὲ αὐτοῦ ξάλη ἀνέμου εἵλεῖται πομπὸς τοῦ εἰδώλου. ἐπιλείψει με ἡ φωνή, ξένε, τῶν 15 13
τοιούτων μνημονεύοντα· καὶ γάρ τι καὶ περὶ Ἀντιλόχου ᾄδουσιν, ὡς κόρη Ἰλιὰς φοιτῶσα ἐπὶ τὸν Σκάμανδρον εἰδώλῳ τοῦ Ἀντιλόχου ἐνέτυχε καὶ προσέκειτο τῷ σήματι ἐρῶσα τοῦ εἰδώλου, καὶ ὡς βουκόλοι μειράκια, περὶ τὸν τοῦ Ἀχιλλέως βωμὸν ἀστραγαλίζοντες ἀπέκτεινεν ἂν ὁ ἕτερος τῇ καλαύροπι τὸν ἕτερον πλήξας, εἰ μὴ ὁ Πάτροκλος αὐτοὺς διεπτόησεν „ἀρκεῖ μοι" εἰπών „ὑπὲρ ἀστραγάλων αἷμα ἓν". γιγνώσκειν δὲ ὑπάρχει ταῦτα καὶ παρὰ τῶν βουκόλων καὶ πάντων τῶν οἰκούντων 20
79 τὸ Ἴλιον· ἐπιμίγνυμεν γὰρ ἅτε τὰς ὄχθας οἰκοῦντες τῶν τοῦ Ἑλλησπόντου ἐκβολῶν καὶ ποταμόν, ὡς ὁρᾷς, πεποιημένοι τὴν θάλατταν.

Ἄγε δή, ὦ ξένε, τὴν ἀσπίδα ἤδη ἀναλάβωμεν, ἣν ὁ Πρωτεσίλεως Ὁμήρῳ τε ἠγνοῆσθαί φησι 14
καὶ ποιηταῖς πᾶσιν.

Φ. Ποθοῦντι ἀποδίδως, ἀμπελουργέ, τὸν περὶ αὐτῆς λόγον, σπάνιον δὲ οἶμαι ἀκούσεσθαι. 25

Ἀ. Σπανιώτατον· προσέχων δὲ ἀκροῶ.

Φ. Προσέχων λέγεις; οὐδὲ τὰ θηρία ἐς τὸν Ὀρφέα οὕτως ἐκεχήνει ᾄδοντα, ὡς ἐγώ σου 687
ἀκούων τά τε ὦτα ἵστημι καὶ τὸν νοῦν ἐγρήγορα καὶ ξυλλέγομαι ἐς τὴν μνήμην πάντα. ἡγοῦμαι δὲ καὶ τῶν ἐπὶ Τροίαν ἐστρατευκότων εἷς εἶναι, τοσοῦτον κατέσχημαι τοῖς ἡμιθέοις ὑπὲρ ὧν διαλεγόμεθα. 30

Ἀ. Οὐκοῦν, ἐπειδὴ φρονεῖς οὕτως, αἴρωμεν ἐξ Αὐλίδος, ὦ ξένε· τὸ γὰρ ἐκεῖ ξυνειλέχθαι σφᾶς ἀληθές. τὰ δ' ἐμβατήρια τοῦ λόγου τῷ Πρωτεσίλεῳ εὔχθω. ὡς μὲν δὴ τὴν Μυσίαν οἱ Ἀχαιοὶ
82 πρὸ Τροίας ἐπόρθησαν ἐπὶ Τηλέφῳ τότε οὖσαν, καὶ ὡς ὁ Τήλεφος ὑπὲρ τῶν ἑαυτοῦ μαχόμενος ἐτρώθη ὑπὸ Ἀχιλλέως, ἔστι σοι καὶ ποιητῶν ἀκούειν — οὐ γὰρ ἐκλέλειπται αὐτοῖς ταῦτα — τὸ

1. ἔφη. γ. 3. δεινὰ et γρ. ἐλεεινά. 2. ib. ἐπὶ σὲ. l, 4. ib. ἐξωρώρυκτ' ἂν. l, g, j. ἐξώρυκτ' ἄν. γ. 5. ἐγὼ δίκας. 6. δίκας ἐγὼ. EB. 7. post χαλάζας in π lacuna usque ad 116, im. ed. B. μὲν ὑπὸ sine ullo indicio. 8. βεβλήσονταί γε. g. 9. σοφός τε. ju, m. 10. Ἑλληνικοῦ. γ. 11. μήπου. 4. 12. ἐν Ἰλίῳ ἔργα παραπλ. g. 15. ἀνέμου. γ, φ et p (ubi rec. m. suprasc. ων.) ἀνέμων. ς. 16. τοι. φ. ib. λέγουσιν. φ. ib. τὸν om. j, e, n. 17. σχήματι et γρ. σώματι. 2. σώματι. p ante corr. ψ, 4, ε. 18. τοῦ om. E. ib. κλαύροπι. 2. 19. πλήξας τὸν ἕτερον. E. ib. ἀστραγάλου. n. ib. αἴνιγμα ἓν. 2, ε. 20. παρα τῶν οἰκ. 2, δ. ἀπάντων τῶν οἰκ. ρ. 21. ἐπεμίγνυμεν. l. ib. ἐνοικοῦντες. j, n. 22. θάλασσαν. n. 23. ὦ ξένε. φ. ξένε. ς. ib. ἤδη om. l. 25. γὰρ οἶμαι. E. ib. διακούσεσθαι. EB. 29. διαλεγώμεθα. m. 30. οὕτω. γ, φ. ib. αἴρομαι et γρ. αἴρωμεν. 2. ib. ξυνειλέχθαι. φ. συνειλ. ς. 31. εὔχθω. 2, a, m, B. εὔχω. ju. εὐχέω. p. εὔχεο. o. εὔχομαι sequ. lac. φ, ψ. εὔχθω om. 1, 4. 32. πρὸ Τροίας Ἀχαιοί. 2. πρὸ Τρ. οἱ Ἀχ. EB. ib. Τηλέφῳ τε οὖσαν. δ. 33. ὑπὸ Ἀχ. γ, φ. ὑπὸ τοῦ Ἀχ. ς. ib. γρ. ἐλλέλειπται. 2.

78. 80, 82. 12, 13, 14. p. 686. 687.

δὲ πιστεύειν, ὡς ἀγνοήσαντες οἱ Ἀχαιοὶ τὴν χώραν τὰ τοῦ Πριάμου ἄγειν τε καὶ φέρειν ᾠοντο, διαβάλλει τὸν Ὁμήρου λόγον, ὃν περὶ Κάλχαντος ᾄδει τοῦ μάντεως· εἰ γὰρ ἐπὶ μαντικῇ ἔπλεον καὶ τὴν τέχνην ἡγεμόνα ἐποιοῦντο, πῶς ἂν ἄκοντες ἐκεῖ καθωρμίσθησαν; πῶς δ' ἂν καθορμισθέντες ἠγνόησαν, ὅτι μὴ ἐς Τροίαν ἥκουσι καὶ ταῦτα πολλοῖς μὲν βουκόλοις ἐντετυχηκότες, πολλοῖς δὲ ποιμέσι; νέμεταί τε γὰρ ἡ χώρα μέχρι θαλάττης καὶ τοὔνομα ἐρωτᾶν τῆς ξένης ξύνηθες, οἶμαι, τοῖς καταπλέουσιν. εἰ δὲ καὶ μηδενὶ τούτων ἐνέτυχον, μηδὲ ἤροντο τῶν τοιούτων οὐδέν, ἀλλ' Ὀδυσσεὺς καὶ Μενέλεως ἐς Τροίαν ἤδη ἀφιγμένω τε καὶ πεπρεσβευκότε καὶ τὰ κρήδεμνα τοῦ Ἰλίου εἰδότε οὐκ ἄν μοι δοκοῦσι περιδεῖν ταῦτα, οὐδ' ἂν ξυγχωρῆσαι τῷ στρατῷ διαμαρτάνοντι τῆς πολεμίας. ἑκόντες μὲν δὴ οἱ Ἀχαιοὶ τοὺς Μυσοὺς ἐληίζοντο, λόγου ἐς αὐτοὺς ἥκοντος, ὡς ἄριστα
688 ἠπειρωτῶν πράττοιεν, καί πη καὶ δεδιότες, μὴ πρόσοικοι τῷ Ἰλίῳ ὄντες ἐς κοινωνίαν τῶν κινδύνων μετακληθῶσι. Τηλέφῳ δὲ Ἡρακλείδῃ τε ὄντι καὶ ἄλλως γενναίῳ καὶ ὡπλισμένης γῆς ἄρχοντι οὐκ ἀνεκτὰ ταῦτα ἐφαίνετο, ὅθεν πολλὴν μὲν ἀσπίδα παρέταττε, πολλὴν δὲ ἵππον· ἦγε δὲ τοὺς μὲν ἐκ τῆς ὑπ' αὐτῷ Μυσίας — ἦρχε δέ, οἶμαι, πάσης, ὁπόση ἐπὶ θαλάττῃ — οἱ δὲ ἐκ τῶν 81
ἄνω Μυσῶν ξυνεμάχουν, οὓς Ἀβίους τε οἱ ποιηταὶ καλοῦσι καὶ ἵππων ποιμένας καὶ τὸ γάλα αὐτῶν πίνοντας, τῆς τε γὰρ τῶν Ἀχαιῶν διανοίας, καθ' ἣν ἐποιοῦντο τοὺς περίπλους οὐκ οὔσης ἀδήλου, Τληπολέμου τε πέμψαντος ἐπὶ Ῥοδίας ὁλκάδος ἄγγελον ὡς ἀδελφὸν καὶ κελεύσαντος ἀπὸ γλώττης αὐτῷ σημαίνειν, ὁπόσα τῶν Ἀχαιῶν ἐν Αὐλίδι διῄσθετο — γράμματα γὰρ οὔπω εὗρητο — πᾶσα ἡ μεσογεία ἐς ξυμμαχίαν καταβεβήκει καὶ τῷ πεδίῳ ἐπεκύμαινε τὰ Μύσιά τε καὶ Σκυθικὰ
15 ἔθνη. λέγει δὲ ὁ Πρωτεσίλεως, ὅτι καὶ μέγιστος αὐτοῖς ἀγώνων γένοιτο τῶν τε ἐν αὐτῇ τῇ Τροίᾳ καὶ ὁπόσοι πρὸς βαρβάρους ὕστερον διεπολεμήθησαν Ἕλλησι. καὶ γὰρ κατὰ πλῆθος εὐδόκιμοι καὶ κατ' ἄνδρα ἦσαν ἡ ξυμμαχία τοῦ Τηλέφου, καὶ ὥσπερ ὑπὸ τῶν Ἀχαιῶν Αἰακίδαι τε ἤδοντο καὶ Διομήδεις καὶ Πάτροκλοι, οὕτω Τηλέφου τε ὄνομα ἦν καὶ Αἵμου τοῦ Ἄρεος, ὀνομαστότατοι δὲ ἦσαν Ἕλωρός τε καὶ Ἀκταῖος ποταμοῦ παῖδες τοῦ κατὰ Σκυθίαν Ἴστρου. τὴν μὲν δὴ ἀπόβασιν οὐ ξυνεχώρουν οἱ Μυσοὶ ποιεῖσθαι τοξεύοντες ἀπὸ τῆς γῆς καὶ ἀκοντίζοντες, οἱ δὲ Ἀχαιοὶ καὶ μὴ 82
ξυγχωρούντων ἐβιάζοντο, καί τινας καὶ ὤκελλον τῶν νεῶν οἱ Ἀρκάδες, ἅτε πρῶτον πλέοντες καὶ
689 θαλάττης οὔπω γεγυμνασμένοι. φησὶ γάρ, ὡς που γιγνώσκεις, Ὅμηρος, ὅτι μήτε ναυτικοὶ ἦσαν πρὸ Ἰλίου Ἀρκάδες μήτε ἔργων θαλαττίων ἥπτοντο, ἀλλ' ἐπὶ νεῶν ἑξήκοντα ὁ Ἀγαμέμνων ἐσηγάγετο αὐτοὺς ἐς τὴν θάλατταν· αὐτὸς ἐπιδοὺς ναῦς οὔπω πεπλευκύσιν. ὅθεν ἐπιστήμην μέν, ὁπόση πολεμική, καὶ ῥώμην ἐς τὰ πεζὰ παρείχοντο, πλέοντες δὲ οὔτε ὁπλῖται ἀγαθοὶ ἦσαν οὔτε ἐρέται. τὰς μὲν δὴ ναῦς ἀπειρίᾳ τε καὶ τόλμῃ ὤκελλον καὶ πολλοὶ μὲν αὐτῶν ἐτρώθησαν ὑπὸ τῶν ἐπὶ τῇ ῥαχίᾳ τεταγμένων, ὀλίγοι δὲ ἀπέθανον· Ἀχιλλεὺς δὲ καὶ Πρωτεσίλεως δείσαντες ὑπὲρ τῶν Ἀρκάδων ὥσπερ ἀπὸ συνθήματος ἅμφω ἅμα ἐς τὴν γῆν ἐπεπήδησαν καὶ ἀπεώσαντο τοὺς Μυσούς

1. φέρειν τε καὶ ἄγειν. 2. 2. τὸν Ὁμ. 1, 2, φ, g. τὸν τοῦ Ὁμ. ζ. ib. ᾄδει. CB. λέγει. E. 3. ἡγεμόνος sed α suprasc. φ. 4. ἢ ἠγνόησαν. γ, φ. ib. μὴ om. ε. ib. ἐπιτετυχηκότες. γ. ib. πολλοῖς δ' αὖ. 2, a, ju, B. πολλοῖς δ' ἂν. m. 5. τε om. 2, g. ib. τὸ ὄνομα. n. ib. τοῖς ξένοις. EB. 6. καὶ εἰ. β. ib. μηδὲν. 4. 7. γε καὶ. EB. ib. ἀφικομένω. γ. 8. ξυγχωρῆσαιεν. γ, φ. 12. παρέταττεν. g. 13. αὐτὸν et γρ. αὐτῷ. 2. ib. θαλάσσῃ suprasc. ττ. γ. θαλάττῃ. l. θαλάσσῃ et γρ. αν. 2. θάλατταν 4 et suprasc. p. 14. ἄνωθεν. ε. ib. τε om. l. 16. Τλ- δὲ. 2. ib. ὡς ἀδελφὸν om. φ cum lac. ὡς ἀδελφῷ. E. 17. ᾔσθετο. 2. ib. εὕροντο et γρ. ητο. 2. εὕροιτο. E. 18. μεσόγαια. 2. μεσόγαια. g, o. ib. καταβεβήκει. 1. κατειβήκει. ζ. 19. ὅτι om. g. ib. τῇ. om. γ, 2. 20. ἐς βαρβάρους. γ. πρὸς βαρβ. 3, 4. πρὸς τοὺς β. 2, EB. ib. καὶ γὰρ καὶ. EB. 21. οἱ Αἰακίδαι. g. 22. Διομήδης καὶ Πάτροκλος. n. ib. ἦν διαίμον. j, n. ib. Ἄρεως γ. Ἄρεως et o suprasc. 2. ib. τε ἦσαν. 2, EB. 23. Ἕλωρος. e. 25. ἐβίαζον. γ. τε ib. καί τινας ὤκελλον. 2. καὶ οἱ Ἀρκ. ὤκελλόν τινας τῶν νεῶν. E. 26. Θαλάσσης. j, n. 27. μή . φ (sic. μή. n. ib. ἐπηγάγετο. 2, g. 28. Θάλασσαν. γ. ib. ναῦς om. j, e, n. ib. ἐπιστήμη. γ. 29. καὶ πολεμική. g. ib. πεζικὰ. 3. ε (παιζικὰ. φ.) γρ. πεζικά. 2. ib. καὶ ῥώμῃ et γρ. τόλμῃ. 2. 32. ἐπεπήδησαν. 1, 3. ἐπήδησαν. 2. ἐξεπήδησαν. 4 (in g: γρ. ἀπεπήδησαν). ἀπεπήδησαν. EB.

81, 86, 15. p. 688. 689.

εὐοπλοτάτω ὀφθέντε καὶ καλλίστω τοῦ Ἑλληνικοῦ, τοῖς δ' ἄγαν βαρβάροις καὶ δαίμονες ἐδοξάτην.
ἐπεὶ δὲ ὁ Τήλεφος ἐπανήγαγε τὴν στρατιὰν ἐς τὸ πεδίον καὶ προσέπλευσαν οἱ Ἀχαιοὶ καθ' ἡσυ- 16
χίαν, ἐξεπήδων αὐτίκα τῶν νεῶν, πλὴν κυβερνήτου καὶ περίνεω, πάντες, οὓς ἡ ναῦς ἦγεν, ἐτάττοντο δὲ ὡς ἐς μάχην κόσμον καὶ σιωπὴν ἐν θυμῷ ἔχοντες. ὀρθῶς γὰρ τοῦτο τὸν Ὅμηρον περὶ
88 αὐτῶν εἰρηκέναι φησὶν ἐπαινοῦντα τὸ τῆς Ἑλληνικῆς μάχης ἦθος, ἧς ξύμβουλον γενέσθαι Αἴαντα
τὸν Τελαμῶνος λέγει. Μενεσθέως γὰρ τοῦ Ἀθηναίου τακτικωτάτου τῶν βασιλέων ἐς Τροίαν ἐλθόντος καὶ διδάσκοντος ἐν Αὐλίδι τὴν στρατιὰν πᾶσαν, ὡς χρὴ συνηρμόσθαι, κραυγῇ τε χρωμένοις μὴ ἐπιπλήττοντος οὐ ξυνεχώρει ὁ Αἴας, ἀλλ' ἐπετίμα γυναικεῖόν τε ἀποφαίνων καὶ ἄτακτον. ἔλεγε γάρ, ὅτι καὶ τὸν θυμὸν ἡ κραυγὴ κακῶς ἑρμηνεύει. ταχθῆναι δὲ πρὸς μὲν τοὺς Μυσοὺς ἑαυτόν τε καὶ τὸν Ἀχιλλέα φησὶν ὁμοῦ τῷ Πατρόκλῳ, πρὸς δὲ τὸν τοῦ Ἄρεος Αἷμον Διομήδην τε καὶ
Παλαμήδην καὶ Σθένελον, πρὸς δὲ τοὺς ἀπὸ τοῦ Ἴστρου ἥκοντας οἱ Ἀτρεῖδαί τε καὶ ὁ Λοκρὸς καὶ οἱ λοιποὶ ἐτάχθησαν. Αἴας δὲ ὁ μέγας τοὺς μὲν τὰ πλήθη ἀποκτείνοντας θεριστὰς ἡγεῖτο μέγα 690
οὐδὲν ἀμῶντας, τοὺς δὲ τῶν ἀρίστων κρατοῦντας δρυτόμους ἐκάλει καὶ ταύτης ἑαυτὸν τῆς μάχης ἠξίου μᾶλλον· ταῦτα τοι καὶ ἐπὶ τοὺς τοῦ ποταμοῦ παῖδας ἦξεν οὔτε τοῦ μέρους ἑαυτοῦ ὄντας καὶ τὸν τοῦ Ἕκτορος τρόπον ἀπὸ τεττάρων μαχομένους ἵππων, βαίνων τε σοβαρὸν μετὰ τῆς αἰ-
90 χμῆς πρὸς τὴν ἀσπίδα ἐδούπησε ταραχῆς ἕνεκα τῶν ἵππων· οἱ δὲ ἵπποι ἔκφρονές τε αὐτίκα ἐγέ-
νοντο καὶ ὀρθοὶ ἀνεσκίρτησαν, ὅθεν ἀπιστήσαντες οἱ Σκύθαι τῷ ἅρματι ἀπεπήδησάν τε αὐτοῦ ἀτα-
κτοῦντος καὶ συνέπεσον τῷ Αἴαντι, λόγου τε ἀξίως μαχόμενοι ἄμφω ἀπέθανον. μνημονεύει ὁ Πρω- 17
τεσίλεως καὶ τῶν τοῦ Παλαμήδους ἔργων ὡς μεγάλων, οἷς αὐτός τε καὶ Διομήδης καὶ Σθένελος τὸν Αἷμον καὶ τοὺς ἀμφ' αὐτὸν ἀποκτείναντες οὐδὲ ἀριστείων ὁ Παλαμήδης ἠξίου τυγχάνειν, ἀλλ'
ἐκεῖνα μὲν τῷ Διομήδει ξυνεχώρει ἔχειν, ἐπειδὴ πάνθ' ὑπὲρ τῆς τῶν πολεμικῶν τιμῆς τε καὶ δόξης ἐγίγνωσκεν αὐτὸν πράττοντα, σοφίας δὲ εἴ τινα στέφανον προθείη τὸ Ἑλληνικόν, οὐκ ἂν ἐκστῆναι τούτου ἑτέρῳ σοφίας τε ἀπ' ἀρχῆς ἐρῶν καὶ μελετῶν τοῦτο. Τηλέφῳ δὲ ὁ Πρωτεσίλεως αὐτὸς μὲν συμπλακῆναί φησι καὶ τὴν ἀσπίδα ξῶντος περισπάσαι, τὸν δὲ Ἀχιλλέα γυμνῷ προσπεσόντα τρῶσαι αὐτὸν εὐθὺ τοῦ μηροῦ καὶ ἰατρὸν μὲν ὕστερον ἐν Τροίᾳ γενέσθαι τοῦ τραύματος, τότε δὲ
λειποθυμῆσαί τε ὑπ' αὐτοῦ ὁ Τήλεφος καὶ ἀποθανεῖν ἄν, εἰ μὴ οἱ Μυσοὶ ξυνδραμόντες ἀνείλοντο αὐτὸν ἐκ τῆς μάχης, ὅτε δὴ λέγονται πολλοὶ τῶν Μυσῶν ἐπ' αὐτῷ πεσεῖν, ὑφ' ὧν ᾑματωμένον ῥυῆναι τὸν Κάικον. λέγει δὲ ὡς καὶ δικάσαιτο μὲν πρὸς αὐτὸν ὁ Ἀχιλλεὺς περὶ τῆς ἀσπίδος, 18
92 ἐπειδὴ ἐτετρώκει τὸν Τήλεφον, οἱ δὲ Ἀχαιοὶ ψηφίσαιντο αὐτῷ μᾶλλον προσήκειν τὴν ἀσπίδα, ὡς οὐκ ἂν τοῦ Τηλέφου τρωθέντος, εἰ μὴ ἐκείνης ἐγυμνώθη. φησὶ δέ, ὅτι καὶ Μυσαὶ γυναῖκες ἀφ' ἵππων συνεμάχοντο τοῖς ἀνδράσιν, ὥσπερ Ἀμαζόνες, καὶ ἦρχε τῆς ἵππου ταύτης Ἱερὰ γυνὴ Τηλέ- 691
φου. ταύτην μὲν δὴ λέγεται Νιρεὺς ἀποκτεῖναι — τὸ γὰρ μειρακιῶδες τοῦ στρατοῦ καὶ οὕτω εὐδόκιμον πρὸς αὐτὰς ἔταξαν — πεσούσης δὲ ἀνέκραγον αἱ Μυσαὶ καὶ συνταράξασαι τὴν ἑαυτῶν ἵππον ἐς τὰ τοῦ Καίκου ἕλη ἀπηνέχθησαν. τὴν δὲ Ἱερὰν ταύτην ὁ Πρωτεσίλεως μεγίστην ὧν εἶδε

οι οι
1. εὐοπλοτάτω — καλλίστω. g. ib. ὀφθέντες. n. 2. ἦγαγε. 2. 3. ἠττῶντο δὲ γ. ἔταττον δὲ. g. 5. αὐτὸν. γ. ib. ξύμβολον. γ. ib. παναθηναίου. γ. 6. τακτικωτέρου. φ. ib. τῶν Ἀθηναίων et γρ. τῶν βασιλέων. γ. 7. χρωμέ-
ην o
νοις. γ. χρωμένην. φ. 8. ἔλεγε γὰρ. γ, φ. ἔλεγε δὲ. ς. 10. καὶ τῷ Πατρ. φ. ib. Ἄρεως. 2. ib. τοῦ om. 2. ib. Αἷμον. γ, p, b. Αἷμονα. ψ, ε. ib. Διομήδη — Παλαμήδη. 2. 11. τοῦ om. j, o, n. 12. ἀποκτείνοντες. δ. 13. αὐτὸν. φ, g, j, e, n. 14. ταῦτά οἱ. φ pr. m et ε. ib. ἦξεν et γρ. ἦιξεν. 2. ἦιξεν. g, j, n, β, o. 15. τοῦ om. γ, φ. ib. ἀρχομένους et γρ. μαχομένους. 2. 16. τῶν om. γ, φ. ib. ἔκφρονες ἐγένοντο αὐτίκα. g. 17. Σκῦθαι. γ, g. ib. ἀτακτοῦντες. p. 18. συνέπαισον, ε suprascr. γ. 19. ὡς om. j. ib. οἷος. l. 20. Αἷμονα. m ex nic. ib. ἀποκτείναντας. 2. 22. γρ. ἑλληνικῶν. 2. ib. προσθείη. 2. 24. περισπᾶσαι. γ, EB. ib. γυμνῷ μὲν. 4. 25. ἰατρῷ. γ. 26. ὑπ' αὐτῷ. φ et 2, ubi γρ. ἐπ' αὐτῷ. 27. ᾑματωμένων. o. 28. Κάυκον. j. ib. ὁ Ἀχ. πρὸς αὐτὸν. 4. 29. τὸν ἀσπίδα. o. 31. Ἱερὰ. γ, φ ut infra. 32. μὲν om. 2, E. ib. Νηρεὺς. ψ, ε. 33. αὐτὴν. 4, o. ib. ἑαυτὸν. γ.

γυναικῶν γενέσθαι λέγει καλλίστην τε ἁπασῶν, ὁπόσαι ὄνομα ἐπὶ κάλλει ἤραντο. Ἑλένην μὲν γὰρ τὴν Μενέλεω γυναῖκα ἰδεῖν οὗ φησιν ἐν Τροίᾳ, νυνὶ δὲ ὁρᾶν μὲν αὐτὴν τὴν Ἑλένην καὶ οὐ μέμφεσθαι τὸ ὑπὲρ αὐτῆς ἀποθανεῖν, εἰ δὲ ἐνθυμηθείη τὴν Ἱεράν, τοσοῦτον αὐτὴν φησι πλεονεκτεῖν τῆς Ἑλένης, ὅσον καὶ κἀκείνη τῶν Τρωάδων. καὶ οὐδὲ αὕτη, ξένε, Ὁμήρου ἐπαινέτου ἔτυχεν, ἀλλὰ Ἑλένῃ χαριζόμενος οὐκ ἐσηγάγετο ἐς τὰ ἑαυτοῦ ποιήματα θείαν γυναῖκα, ἐφ' ᾗ καὶ παθεῖν τι οἱ Ἀχαιοὶ καὶ πεσούσῃ λέγονται καὶ παρακελεύσασθαι πρεσβύτεροι νέοις μὴ σκυλεύειν Ἱεράν, μηδὲ προσάπτεσθαι κειμένης. ἐν ταύτῃ, ξένε, τῇ μάχῃ πολλοὶ τῶν Ἀχαιῶν ἐτρώθησαν, καὶ λουτρὰ τοῖς 91
τετρωμένοις μαντευτὰ ἐγένετο, πηγαὶ θερμαὶ ἐν Ἰωνίᾳ, ἃς ἔτι καὶ νῦν Ἀγαμεμνονείους καλοῦσιν οἱ Σμύρναν οἰκοῦντες. ἀπέχουσι δέ, οἶμαι, τετταράκοντα στάδια τοῦ ἄστεος καὶ ἀνῆπτό ποτε αὐτοῖς αἰχμάλωτα κράνη Μύσια.

19 Φ. Τί οὖν, ἀμπελουργέ, φῶμεν ἑκόντα τὸν Ὅμηρον ἢ ἄκοντα παραλιπεῖν ταῦτα οὕτως ἡδέα καὶ ποιητικὰ ὄντα;

Ἀ. Ἑκόντα ἴσως, ξένε· βουληθεὶς γὰρ τὴν Ἑλένην ὡς ἀρίστην γυναικῶν ὑμνῆσαι ἐπὶ τῷ κάλλει καὶ τὰς Τρωικὰς μάχας ὡς μεγίστας τῶν ἀλλαχοῦ διαπολεμηθεισῶν ἐπαινέσαι Παλαμήδην τε τὸν θεῖον ἐξαιρῶν ἅπαντος λόγου δι' Ὀδυσσέα Ἀχιλλεῖ τε μόνῳ τὰ μαχιμώτατα τῶν ἔργων
692 οὕτως ἀνατιθείς, ὡς ἐκλανθάνεσθαι τῶν ἄλλων Ἀχαιῶν, ὅτε Ἀχιλλεὺς μάχοιτο, οὔτε Μύσια ἐποίησεν ἔπη, οὔτε ἐς μνήμην κατέστη τοῦ ἔργου τούτου, ἐν ᾧ καὶ γυνὴ καλλίων Ἑλένης εὑρητο ἂν καὶ ἄνδρες οὐ παραπολὺ Ἀχιλλέως τὴν ἀνδρίαν καὶ ἀγὼν εὐδοκιμώτατος. Παλαμήδους δὲ μνημονεύσας οὐκ ἂν εὗρεν, ὅτῳ ποτὲ κρύψοι τὸ τοῦ Ὀδυσσέως ἐπ' αὐτῷ ὄνειδος.

20 Φ. Πῶς οὖν ὁ Πρωτεσίλεως περὶ τοῦ Ὁμήρου φρονεῖ; βασανίζειν γάρ που αὐτὸν ἔφασκες 96
τὰ τούτου ποιήματα.

Ἀ. Τὸν Ὅμηρον φησί, ξένε, καθάπερ ἐν ἁρμονίᾳ μουσικῇ πάντας ψῆλαι τοὺς ποιητικοὺς τῶν τρόπων καὶ τοὺς ποιητάς, ἐφ' οἷς ἐγένετο, ὑπερβεβλῆσθαι πάντας, ἐν ὅτῳ ἕκαστος αὐτῶν ἦν κράτιστος· μεγαλορρημοσύνην τε γὰρ ὑπὲρ τὸν Ὀρφέα ἀσκῆσαι ἡδονῇ τε ὑπερβαλέσθαι τὸν Ἡσίοδον καὶ ἄλλῳ ἄλλον, καὶ λόγον μὲν ὑποθέσθαι Τρωικόν, ἐς ὃν ἡ τύχη τὰς πάντων Ἑλλήνων τε καὶ βαρβάρων ἀρετὰς ξυνήνεγκεν, ἐσαγαγέσθαι δὲ ἐς αὐτὸν πολέμους τοὺς μὲν πρὸς ἄνδρας, τοὺς δὲ πρὸς ἵππους καὶ τείχη, τοὺς δὲ πρὸς ποταμούς, τοὺς δὲ πρὸς θεοὺς καὶ θεάς, καὶ ὁπόσα κατ' εἰρήνην εἰσὶ καὶ χοροὺς καὶ ᾠδὰς καὶ ἔρωτας καὶ δαῖτας ἔργα τε, ὧν γεωργία ἅπτεται, καὶ ὥρας, αἳ σημαίνουσιν, ὁπόσα ἐς τὴν γῆν δεῖ πράττειν, καὶ ναυτιλίας καὶ ὁπλοποιίας τὰς ἐν Ἡφαίστῳ, εἴδη τε ἀνδρῶν καὶ ἤθη ποικίλα. πάντα ταῦτα τὸν Ὅμηρον δαιμονίως ἐξειργάσθαι φησὶ καὶ τοὺς μὴ ἐρῶντας αὐτοῦ μαίνεσθαι. καλεῖ δὲ αὐτὸν καὶ οἰκιστὴν Τροίας, ἐπειδὴ εὐδοκίμησεν ἐκ τῶν Ὁμήρου ἐπ' αὐτῇ θρήνων. θαυμάζει δὲ αὐτοῦ καὶ ὅσα ἐπιτιμᾷ τοῖς ὁμοτέχνοις, ὅτι μὴ τραχέως διορ- 98

1. λέγει γενέσθαι. g, e, n. 2. φασὶν. δ. ib. νῦν. l. 4. οὐδ' αὕτη. γ. 5. οἱ om. n. 6. λέγεται. 2. ib. πρεσβυτέρους. 2. ib. ναίοις. γ. 8. ἐγένοντο. γ. ib. Γωνία. φ. 9. οἶμαι τετταράκοντα. γ, 2, φ. τεττ. οἶμαι. ς. ib. στάδια τοῦ ἄστεος οἶμαι. g. ib. αὐταῖς. 2.

11. παριδεῖν. d.

13. τιμῆσαι. 2. γρ. g, d, β, r, e, n. 14. Παλαμήδη. 2. 15. καὶ τὸν θεῖον. m. ib. ἐξαιρῶν. 1. ἐξαίρων. ς. ib. δι' Ὀδ. l, 2, φ, 4. διὰ τὸν Ὀδ. γ, EB. ib. τῷ μαχιμωτάτῳ. γ, φ. 16. τῶν ἄλλων Ἀχαιῶν. 1, EB. τῶν Ἀχ. τῶν ἄλλων. 2. τῶν Ἀχ. 3, 4. ib. ὅτε. C. ὁπότε. EB. 17. ἔπη ἐποίησεν. 2. ib. εὕροιτ' ἂν. g, KB. 19. κρύψει. ο suprasc. ψ. κρύψει. g, E. ib. ὄνειδος ἐπ' αὐτῷ. 3, g.

20. ἔφασκες. 1, 3, 4, B. ἔλεγες. 2, E.

22. τὰ τοῦ Ὁμήρου. 2. ib. φυσικῇ. d. 23. τὸν τρόπον l et φ, ubi suprascr. ω. ib. ἐν οἷς. γ, φ. ib. ἐγένοντο. γ. ib. αὐτῶν ἦν. γ, 3. ἦν αὐτῶν. ς. 25. μὲν om. γ. ib. τὸν Τρωικὸν. β, o, B. ib. τὰς τῶν. 2. 26. ἐξήνεγκεν. d. 27. τείχη, τοὺς δὲ πρὸς τὰς Μούσας. ε. ib. θεάς τε. E. 28. καὶ ᾠδὰς om. l. ib. δαῖτα. d, j, e, n. 29. δεῖ om. 3. χρὴ ἐς τ. γ. πρ. 2, EB. ib. ναυτηλίας. 2. ib. ὁπλοποιίας suprasc. αν. γ. ὁπλοποιίαν τὴν. ς. ib. ἐπ' Ἡφ. (sic.) o. 30. ταῦτα πάντα. EB. 32. τε. n, β. ib. αὐτοῦ om. p. ib. ὁπόσα. EB. ib. ταχέως. γ et 2 γρ. ὅτι μὴ ταχέως.

94, 96, 98. 19. p. 692.

θοῦται σφᾶς, ἀλλ' οἷον λανθάνων. Ἡσίοδον μὲν ἐν ἄλλοις τε καὶ οὐκ ὀλίγοις καὶ νὴ Δί' ἐν τοῖς ἐκτυπώμασι τῶν ἀσπίδων· ἑρμηνεύων γὰρ οὗτός ποτε τὴν τοῦ Κύκνου ἀσπίδα τὸ τῆς Γοργοῦς εἶδος ὑπτίως τε καὶ οὐ ποιητικῶς ᾔσεν, ὅθεν ἐπιστρέφων αὐτὸν ὁ Ὅμηρος·

τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο. 693
δεινὸν δερκομένη, περὶ δὲ Δεῖμός τε Φόβος τε,

οὑτωσὶ τὴν Γοργὼ ᾄδει. Ὀρφέα δὲ ἐν πολλοῖς τῶν κατὰ θεολογίαν ὑπερῆρε, Μουσαῖον δ' ἐν ᾠδαῖς χρησμῶν, καὶ μὴν καὶ Παμφὼ σοφῶς μὲν ἐνθυμηθέντος, ὅτι Ζεὺς εἴη τὸ ζῳογονοῦν καὶ δι' οὗ ἀνίσταται τὰ ἐκ τῆς γῆς πάντα, εὐηθέστερον δὲ χρησαμένου τῷ λόγῳ καὶ καταβεβλημένα ἔπη ἐς τὸν Δία ᾄσαντος. ἔστι γὰρ τὰ τοῦ Παμφὼ ἔπη·

Ζεῦ κύδιστε, μέγιστε θεῶν εἰλυμένε κόπρῳ
μηλείῃ τε καὶ ἱππείῃ καὶ ἡμιονείῃ

τὸν Ὅμηρον ὁ Πρωτεσίλεώς φησιν ἐπάξιον τοῦ Διὸς ᾄσαι ὕμνον·

Ζεῦ κύδιστε, μέγιστε, κελαινεφές, αἰθέρι ναίων

ὡς οἰκοῦντος μὲν αὐτοῦ τὸ καθαρώτατον, ἐργαζομένου δὲ ἔμβια τὰ ὑπὸ τῷ αἰθέρι. καὶ τὰς μάχας δέ, ὁπόσαι Ποσειδῶνι μὲν πρὸς Ἀπόλλω, Λητοῖ δὲ πρὸς Ἑρμῆν ἐγένοντο, καὶ ὡς ἐμάχοντο ἡ Ἀθηνᾶ τῷ Ἄρει καὶ ὁ Ἥφαιστος τῷ ὕδατι, ταῦτα τὸν Ὀρφέως τρόπον πεφιλοσοφῆσθαι τῷ Ὁμήρῳ φησὶ καὶ οὐ μεμπτὰ εἶναι πρὸς ἔκπληξιν καὶ θεῖα, ὥσπερ τὸ

ἀμφὶ δὲ σάλπιγξε μέγας οὐρανός

καὶ „ἀνεπήδησεν Ἀιδωνεὺς τοῦ θρόνου τινασσομένης τῆς γῆς ἐκ Ποσειδῶνος." μέμφεται δὲ τοῦ Ὁμήρου ἐκεῖνα· πρῶτα μὲν ὅτι θεοὺς ἐγκαταμίξας ἀνθρώποις περὶ μὲν τῶν ἀνθρώπων μεγάλα εἴρηκε, περὶ δὲ τῶν θεῶν μικρὰ καὶ φαῦλα, εἶτα ὅτι σαφῶς γιγνώσκων, ὡς ἐν Αἰγύπτῳ ἡ Ἑλένη ἐγένετο ἀπενεχθεῖσα ὑπὸ ἀνέμων ὁμοῦ τῷ Πάριδι, ὁ δὲ ἄγει αὐτὴν ἐπὶ τὸ τοῦ Ἰλίου τεῖχος ὀψομένην τὰ ἐν τῷ πεδίῳ κακά, ἦν εἰκός, εἰ καὶ δι' ἑτέραν γυναῖκα ταῦτα ἐγίγνετο, ξυγκαλύπτεσθαί 694
τε καὶ μὴ ὁρᾶν αὐτὰ διαβεβλημένου τοῦ γένους. ἐπαινουμένου δὲ οὐδὲ ἐν αὐτῇ τῇ Τροίᾳ Πάριδος
102 ἐπὶ τῇ ἁρπαγῇ τῆς Ἑλένης, οὔτ' ἂν Ἕκτορα τὸν σωφρονέστατον καρτερῆσαι φησι τὸ μὴ οὐκ ἀποδοῦναι αὐτὴν τῷ Μενέλεῳ ἐν Ἰλίῳ οὖσαν, οὔτ' ἂν Πρίαμον ξυγχωρῆσαι τῷ Πάριδι τρυφᾶν, πολλῶν ἤδη ἀπολωλότων αὐτῷ παίδων, οὔτ' ἂν τὴν Ἑλένην διαφυγεῖν τὸ μὴ οὐκ ἀποθανεῖν ὑπὸ τῶν Τρωάδων, ὁπόσων ἤδη ἄνδρες ἀπωλώλεισαν καὶ ἀδελφοὶ καὶ παῖδες, ἴσως δ' ἂν καὶ ἀποδρᾶναι αὐτὴν παρὰ τὸν Μενέλεων διὰ τὸ ἐν Τροίᾳ μῖσος. ἐξῃρήσθω δὲ ὁ ἀγών, ὃν φησιν Ὅμηρος ἀγωνίσασθαι τῷ Μενέλεῳ τὸν Πάριν ἐπὶ σπουδαῖς τοῦ πολέμου· κατ' Αἴγυπτόν τε γὰρ τὴν Ἑλένην εἶναι καὶ τοὺς Ἀχαιοὺς πάλαι τοῦτο γιγνώσκοντας ἐκείνῃ μὲν ἐρρῶσθαι φράζειν, μάχεσθαι δὲ ὑπὲρ τοῦ ἐν Τροίᾳ πλούτου. οὐδὲ ἐκεῖνα ὁ Πρωτεσίλεως ἐπαινεῖ τοῦ Ὁμήρου, ὅτι λόγον ὑποθέμενος

1. ἐκλανθάνων. 2, ε. ib. καὶ οὐκ. γ, 3. οὐκ. ς. 2. τοῦ om. 2. 3. οὐ om. g. 4. βλοσσυρῶπις. γ, g. ib. ἐστεφάνωται. γ, 3, o. ἐστεφανώσατο. δ. 5. δεινὸν δὲ. γ. ib. δῆμος. 2. ib. τε καὶ Φόβος. φ. 6. τοῖς. γ, φ. ib. κατὰ θ. 1, g. κατὰ τὴν θ. ς. ib. ὑπερῆραι. 2. ib Μουσαῖ δ' ἐν ᾠδαῖς. φ. 7. τοῦ Π. p. ib. Πανεφὼ. γ. Παπφὼ. l, d, b, j, ρ. Σαπφὼ. e, n, r. ib. δὲ ενθ. 2. μὲν om. e. ib. καὶ om. j, e, n, o. ib. δι' ὃν. 2. 8. τὰ om. E. 9. ᾄσαντος ἐς τὸν Δία. g. ib. τῆς Σαπφὼ. n. 10. εἰλημένε. o. ib. ζεῶν et suprasc. θ. φ. 15. Ποσειδῶνι. 1, φ. τῷ Ποσ. ς. ib. ἐγένετο. n. ib. ἐμάχετο. δ. 17. ὥσπερ om. δ. 18. σάλπιξε. 3. 19. Fo: καὶ ὡς ἀνεπήδησεν. ib. Ἀηδωνεύς. 2. 20. πρῶτα. γ, φ. πρῶτον. ς. 21. φαῦλα εἶπεν. j, e, n. ib. εἶτα. 1, 2, 3, g, π. εἶτα καὶ. ς. 22. ὑπὸ τῶν ἀνέμων. ε. ib. ὁμοῦ om. l. ib. τοῦ om. 2. 23. καὶ ἦν εἰκὸς. E. ib. καὶ εἰ et γρ. εἰ καὶ. 2. ib. ταῦτα om. g. ib. ἐγίγνετο. 1, 3, b. ἐγίνετο. g. ἐγένετο. ς. 24. οὐδὲ. l, ψ et p ex corr. g, d, j, e, n. οὔτε. γ, EB. 25. τῷ μὴ. γ, g. 26. Μενελάῳ. 1, φ, g, j. ib. τῷ Π. τρυφᾶν. 1, 3, 4. τρυφᾶν τῷ Π. 2, EB. 27. οὐκ om. γ, φ. 28. ἄνδρες ἤδη. 2. ib. ἀπολώλεισαν. γ. ἀπωλώλεισαν. φ, g. ἀπώλεσαν. l. ἀπολώλασι. j, e, n. ἀπολώλεισαν. ς. 29. ἐν τῇ Τρ. 4, EB. ib. δὲ ὁ ἀγ. γ, 3. δὴ ὁ ἀγ. 2. δὲ καὶ ὁ ἀγ. l, g, j, e, n, EB. ib. ὑπὲρ τῆς Ἑλ. ἀγωνίσασθαι. 2, EB. ib. τῷ Μενελάῳ πρὸς τὸν Πάριν. (sic) φ. τὸν Μ. καὶ τὸν Π. 2. 31. τοῦτο πάλαι. φ, δ. ib. ἐκείνην. γ, 2. 32. ἐν τῇ Τρ. g, b, EB.

100, 102. 29. p. 693. 694.

Τρωικὸν ἀποπηδᾷ τοῦ λόγου μετὰ τὸν Ἕκτορα, καθάπερ σπεύδων ἐπὶ τὸν ἕτερον τῶν λόγων, ᾧ τὸν Ὀδυσσέα ἐπιγράφει, καὶ ᾄδει μὲν ἐν ᾠδαῖς Δημοδόκου τε καὶ Φημίου τήν τε τοῦ Ἰλίου πόρθησιν καὶ τὸν Ἐπειοῦ καὶ Ἀθηνᾶς ἵππον, δίεισι δὲ αὐτὰ ἀποτεμὼν τοῦ λόγου καὶ ἀνατιθεὶς Ὀδυσσεῖ μᾶλλον, δι' ὃν Κυκλώπων τε αὐτῷ ἐπενοήθη γένος οὐδαμοῦ τῆς γῆς φύντες Λαιστρυγόνες τε ἀνετυπώθησαν, οὓς οὐδεὶς οἶδεν, ὅπου γενόμενοι, Κίρκη τε δαίμων ἐξεποιήθη σοφὴ ἐπὶ φαρμάκοις καὶ θεαὶ ἕτεραι ἐρᾶν αὐτοῦ καίτοι προήκοντος ἤδη ἐς ὠμὸν γῆρας, ὅτε καὶ τὰς ὑακινθίνας κόμας, αἳ ἐπὶ τὴν Ναυσικάαν αὐτῷ ἤνθησαν, φαίνεται ἔχων. ὅθεν ὁ Πρωτεσίλεως παίγνιον τὸν Ὀδυσσέα καλεῖ τοῦ Ὁμήρου· οὐδὲ γὰρ τῆς λεγομένης αὐτοῦ σοφίας ἦρα ἡ κόρη· τί γὰρ σοφὸν ἢ εἶπε πρὸς τὴν Ναυσικάαν ἢ ἔπραξε; καλεῖ δὲ αὐτὸν Ὁμήρου παίγνιον καὶ ἐν τῇ ἄλῃ· καθεύδων τε γὰρ πολλαχοῦ ἀπόλλυται καὶ ἐκφέρεται τῆς νεὼς τῶν Φαιάκων, ὥσπερ ἀποθανὼν ἐν τῇ Εὐπλοίᾳ, τὴν δὲ τοῦ Ποσειδῶνος μῆνιν, δι' ἣν οὔτε ναῦς ὑπελείφθη τῷ Ὀδυσσεῖ οὐδεμία καὶ οἱ ἄνδρες οἱ πληροῦντες αὐτὰς ἀπώλοντο, οὐχ ὑπὲρ τοῦ Πολυφήμου γενέσθαι φησίν· οὔτε γὰρ ἀφικέσθαι τὸν Ὀδυσσέα ἐς ἤθη τοιαῦτα, οὔτ' ἄν, εἰ Ποσειδῶνι Κύκλωψ παῖς ἐγένετο, μηνῖσαι τὸν Ποσειδῶ ποτε ὑπὲρ τοῦ τοιούτου παιδός, ὃς λέοντος ὠμοῦ δίκην τοὺς ἀνθρώπους ἤσθιεν, ἀλλ' ὑπὲρ Παλαμήδους υἱωνοῦ ὄντος ἅπλουν μὲν τὴν θάλατταν τῷ Ὀδυσσεῖ ἐποίει, διαφυγόντα δὲ αὐτὸν τὰ ἐκεῖ πάθη ἀπώλεσεν αὐτῇ Ἰθάκῃ ὕστερον θαλαττίαν, οἶμαι, αἰχμὴν ἐπ' αὐτὸν δούς. λέγει δὲ καὶ τὴν Ἀχιλλέως μῆνιν οὐχ ὑπὲρ τῆς τοῦ Βρισέως θυγατρὸς ἐμπεσεῖν τοῖς Ἕλλησιν, ἀλλὰ κἀκεῖνον ὑπὲρ Παλαμήδους μηνῖσαι. καὶ ἀποκείσθω μοι ὁ λόγος οὗτος ἐς τὰ τοῦ Ἀχιλλέως ἔργα· δίειμι γὰρ καὶ κατὰ ἕνα τοὺς ἥρως ἀπαγγέλλων, ὅσα τοῦ Πρωτεσίλεω περὶ αὐτῶν ἤκουσα.

Φ. Ἥκεις ἐπὶ τὸν ἥδιστον ἐμοὶ τῶν λόγων. ἵππων γὰρ ἤδη δή με καὶ ἀνδρῶν

ἀμφὶ κτύπος οὔατα βάλλει

καὶ μαντεύομαί τι ἀγαθὸν ἀκούσεσθαι μέγα.

Α. Ἄκουε, ξένε· παρέλθοι δέ με, ὦ Πρωτεσίλεω, μηδέν, μηδὲ ἐκλαθοίμην ὧν ἤκουσά τινος.

111, 1 Πρεσβύτατον μὲν τοίνυν τοῦ Ἑλληνικοῦ φησιν ἐλθεῖν ἐς Τροίαν τὸν Νηλέως Νέστορα πολέμων τε πολλῶν γεγυμνασμένον, οἳ ἐφ' ἡλικίας αὐτῷ ἐπολεμήθησαν, ἀγώνων τε γυμνικῶν, ἐν οἷς πύγμης καὶ πάλης ἆθλα ἐτίθετο, τακτικήν τε, ὁπόση ὁπλιτῶν τε καὶ ἵππων, ἄριστα δὴ ἀνθρώπων γιγνώσκοντα δημαγωγίᾳ τε ἐκ μειρακίου ξυμβεβηκότα, μὰ Δί' οὐ τῇ κολακευούσῃ τοὺς δήμους, ἀλλὰ τῇ σωφρονιζούσῃ· πράττειν δὲ αὐτὸ ξὺν ὥρᾳ τε καὶ ἡδονῇ τῶν λόγων, ὅθεν καὶ τὰς ἐπιπλήξεις, ἃς ἐποιεῖτο, μὴ ἀγροίκους, μηδὲ ἀηδεῖς φαίνεσθαι, καὶ ὁπόσα Ὁμήρῳ περὶ αὐτοῦ εἴρηται, ξὺν ἀληθείᾳ φησὶν εἰρῆσθαι. καὶ μὴν καὶ ὁπόσα ἕτεροι περὶ τῶν τοῦ Γηρυόνου βοῶν εἶπον, ὡς ἀφείλοντο αὐτὰς τὸν Ἡρακλέα Νηλεύς τε καὶ οἱ Νηλεῖδαι πλὴν Νέστορος, ἐπαινεῖ ὁ Πρωτεσίλεως ὡς ἀληθῆ καὶ μὴ παρευρημένα. τὸν γάρ τοι Ἡρακλέα δικαιοσύνης μισθὸν τῷ Νέστορι δοῦναι τὴν Μεσσήνην, ἐπειδὴ μηδὲν ὧν οἱ ἀδελφοὶ περὶ τὰς βοῦς ἥμαρτεν. λέγεται δὲ καὶ ἁλῶναι αὐτοῦ ὁ

1. τὴν Ἰλιάδα post μετὰ ab al. m. in lacuna. φ. 3. τὸν τοῦ. E. ib. αἰπειοῦ. g. 4. Λαιστρυγῶνες. 2. 5. δὲ. φ. ib. οὔπω γεν. b. οὔτω γεν. j, e, n. ib. σοφὴ ἐξεποιήθη. 2. 6. προήκοντος αὐτοῦ ἤδη. 2, ε. ib. ὑακινθίνους. ι, B. 9. σοφὸν εἶπε. m. ib. καὶ ante ἐν om. 2. ib. ἄλλῃ. e, E et γ ubi corr. mg. ἅλῃ. 2. 10. ὡς καὶ ἀποθανὼν. j. 11. ἀπελείφθη. δ. 12. ἀπώλοντο. 2. ib. οὐδ' ὑπὲρ. 2. ib. γρ. φαίνεσθαι. 2. 13. μηνίσαι. l, EB. μηνίσω. γ. 14. Ποσειδῶνα. o. ib. ὑπὲρ τοιούτου. 2. ib. ὡς. m. 15. ὑπὲρ Παλ. C. ὑπὲρ τοῦ Παλ. EB. 16. Fo: ἐν τῇ Ἰθ. 17 δὲ τὴν. nic. m. ib. τὴν Ἀχ. C. τὴν τοῦ Ἀχ. EB. ib. τοῦ Βρισέως γ, ut conjecit Norm. ad Aristidem II, 595. τοῦ Χρύσου. ς. 19. τοῦ ἥρως. φ. ib. παρὰ τοῦ. l.

20. γὰρ om. 2. 21. κτύπον. j, e, n.

23. δή με. j, e, n, E. ib. ὦ Πρωτεσίλεω. γ, EB. ὁ Πρωτεσίλεως. l, 2, g, j, e, n. ib. ὧν ἤκουσά τινος. γ. 3. τινὸς ὧν ἤκουσα. l, 2, 4, EB. 26. ὧν. g. 27. τακτικὸν. j. ib. δὴ καὶ. δ. 29. αὐτόν. ε. 31. ξὺν. 1, g. ib. καὶ μὴν ὁπόσα. γ, b, j, n. καὶ ὁπόσα. e. ib. τοῦ om. j. 32. ὑφείλοντο. φ. al. m. corr. ib. οἱ om. l. 33. γάρ τι. γ. ib. δοῦναι τῷ Νέστορι. l. 34. Μεσήνην. γ, 2, g, n. ib. ἐπειδὴ. 1, φ, ψ, δ. ἐπεὶ. 2, p, g, EB. ib. ἥμαρται. 2.

104, 106, 108. III, 1. p. 695. 696.

Ηρακλῆς σωφρονεστάτου τε ὄντος καὶ καλλίστου ἀγαπῆσαί τε αὐτὸν μᾶλλον ἢ τὸν Ὕλλαν τε καὶ τὸν Ἄβδηρον· οἱ μὲν γὰρ παιδάρια ἦσαν καὶ κομιδῇ νέοι, Νέστορι δὲ ἐφήβῳ ἤδη ἐντυχεῖν αὐτὸν καὶ ἀρετὴν ἀσκοῦντι, ὁπόση ψυχῆς τε καὶ σώματος, ὅθεν ἀγαπῆσαί τε καὶ ἀγαπηθῆναι. τό τοι διομνύναι τὸν Ἡρακλέα οὕπω ξύνηθες τοῖς ἀνθρώποις ὂν πρῶτόν γε νομίσαι φησὶ τὸν Νέστορα καὶ παραδοῦναι τοῖς ἐν Τροίᾳ. γενέσθαι δὲ αὐτῷ καὶ παῖδα Ἀντίλοχον, ὃν μεσοῦντος ἤδη τοῦ 5 697 2
πολέμου ἐλθεῖν. νέον μὲν γὰρ εἶναι τὸν Ἀντίλοχον καὶ οὐκ ἐν ὥρᾳ τῶν πολεμικῶν, ὁπότε ξυνε-
110 λέγοντο ἐς Αὐλίδα, βουλομένῳ δὲ αὐτῷ στρατεύειν οὐ ξυγχωρῆσαι τὸν πατέρα, τὸν δ', ἐπειδὴ πέμπτον ἔτος ἤδη προβεβήκει τῷ πολέμῳ, νεώς τε ἐπιβάντα ἀφικέσθαι καὶ παρελθόντα ἐς τὴν τοῦ Ἀχιλλέως σκηνήν, ἐπειδὴ τοῦτον ἐπιτηδειότατον εἶναι τῷ πατρὶ ἥκουεν, ἱκετεῦσαι τὸν Ἀχιλλέα παραιτήσασθαι αὐτὸν τοῦ πατρός, εἴ πως ἀπειθήσαντι μὴ ἄχθοιτο. ὁ δὲ ἡσθεὶς τῇ τοῦ Ἀντιλόχου 10
ὥρᾳ καὶ τῆς προθυμίας ἀγασθεὶς αὐτὸν „οὔπω τὸν πατέρα" εἶπεν „ὦ μειράκιον, τὸν σεαυτοῦ γιγνώσκεις, εἰ μὴ ὑπ' αὐτοῦ ἐπαινεθήσεσθαι μᾶλλον οἶει ἔργον φιλότιμόν τε καὶ νεανικὸν εἰργασμένος," καὶ ὀρθῶς εἶπεν ὁ Ἀχιλλεὺς ταῦτα. ὑπερησθεὶς γὰρ τῷ παιδὶ ὁ Νέστωρ καὶ ἐπ' αὐτῷ φρονήσας ἄγει αὐτὸν παρὰ τὸν Ἀγαμέμνονα, ὁ δὲ αὐτίκα ξυγκαλεῖ τοὺς Ἀχαιοὺς καὶ λέγεται ἄριστα ἑαυτοῦ διαλεχθῆναι τότε ὁ Νέστωρ. ξυνελθεῖν μὲν γὰρ αὐτοὺς χαίροντας ἐπὶ τῷ παιδὶ ὄψεσθαι 15
Νέστορος — οὐδὲ γὰρ εἶναι αὐτῷ ἐν Τροίᾳ υἱόν, οὔτε Θρασυμήδη τινὰ οὔτε ἕτερον — ἑστάναι δὲ τὸν Ἀντίλοχον ἐρυθριῶντά τε καὶ ἐς τὴν γῆν βλέποντα καὶ θαυμαστὰς κτήσασθαι τοῦ κάλλους
112 οὐκ ἐλάττους ἢ Ἀχιλλεὺς ἐκέκτητο. τὸ μὲν γὰρ ἐκείνου εἶδος ἐκπληκτικόν τε φαίνεσθαι καὶ θεῖον, τὸ δὲ τοῦ Ἀντιλόχου τερπνόν τε καὶ ἥμερον δοκεῖν πᾶσι, καὶ τοὺς Ἀχαιοὺς ὁ Πρωτεσίλεως οὐδὲ ἄλλως ἐκλελησμένους τότε δὴ μάλιστα ἐς ἔννοιαν ἑαυτοῦ ἀφικέσθαι λέγει, ξυμβαίνοντος ἑαυτῷ τοῦ 20
Ἀντιλόχου τὴν ἡλικίαν τε καὶ τὸ μέγεθος, πολλοῖς δὲ αὐτῶν καὶ δάκρυα ἐπελθεῖν φησιν οἴκτῳ τῆς 698
ἀμφοῖν ἡλικίας, εὐφημίαις τε χρήσασθαι τοὺς Ἀχαιοὺς ἐς τὸν Νέστορα ἐφ' οἷς εἶπε, διέκειντο γὰρ ὡς παῖδες πρὸς πατέρα. ἔστι σοι καὶ ἄγαλμα παραγαγεῖν τοῦ Νέστορος· ὁ γὰρ Πρωτεσίλεως αὐ- 3
τὸν ὧδε ἑρμηνεύει, ὡς φαιδρὸς μὲν ἀεὶ φαίνοιτο καὶ ἐν ὁρμῇ μειδιάματος, γενειῶν δὲ σεμνῶς τε καὶ ξυμμέτρως, τὰ δὲ ἀμφὶ παλαίστραν αὐτῷ πεπονημένα τὰ ὦτα κατηγοροίη καὶ ὁ αὐχὴν ὑπο- 25
νεάζων ἔτι· καὶ γὰρ δὴ καὶ ὀρθὸν εἶναι τὸν Νέστορα καὶ μὴ ἡττώμενον ὑπὸ τοῦ γήρως, εἶναι δὲ καὶ μελανόφθαλμον καὶ μὴ ἀποκρεμώμενον τὴν ῥῖνα. ταυτὶ δὲ ἐν γήρᾳ μόνοι ἴσχουσιν, οὓς μὴ ἐπιλείπει τὸ ἐρρῶσθαι. τὸν δὲ Ἀντίλοχον τὰ μὲν ἄλλα ὅμοιόν φησι γενέσθαι τῷ Νέστορι, δρομι- 4
κώτερον δὲ καὶ περιεπτισμένον τὸ εἶδος καὶ μὴ φρονοῦντα ἐπὶ τῇ κόμῃ. κἀκεῖνά μοι Ἀντιλόχου
114 ἑρμηνεύει· φιλιππότατόν τε γενέσθαι αὐτὸν καὶ κυνηγικώτατον καὶ ταῖς τῶν πολέμων ἀνοχαῖς ἐπὶ 30
τὰ θηρία χρώμενον· ἀναφοιτᾶν γοῦν ἐς τὴν Ἴδην τὸν Ἀντίλοχον ξὺν Ἀχιλλεῖ καὶ Μυρμιδόσι καὶ ἐφ' ἑαυτοῦ μετὰ Πυλίων τε καὶ Ἀρκάδων, οἳ θηρίων ἀγορὰν παρεῖχον τῷ στρατῷ διὰ πλῆθος τῶν ἁλισκομένων, τὰ δὲ πολέμια γενναῖόν τε εἶναι καὶ πτηνὸν τῷ πόδε καὶ ταχὺν τὴν ἐν τοῖς ὅπλοις κίνησιν, εὐξύνετόν τε τοῖς παραγγελλομένοις χρήσασθαι καὶ τὸ ἐπίχαρι μηδὲ ἐν ταῖς μάχαις ἀπο-

1. τε γὰρ ὄντος. 2. δὲ ὄντος. d. ib. ὄντος καὶ καλλίστου. f, g, d, e, n. ib. Ὕλλαν. C, (Ὕλην ψ) εB. Ὕλαν. o. καὶ καλλ. ὄντος. ς. 2. Ἄβδηρον. 2, d. ib. ἦσαν κομιδῇ. 2. ib. κομ. νήπιοι. 2, EB. ib. αὐτῷ. γ. corr. sec. m. 4. γε om. l. ib. φησὶ om. 4. 8. τοῦ πολέμου. 2, 4 ib. ἐφικέσθαι. 2. 9. τοῦ πατρικοῦ. n. 10. μήπως ἀ. μὴ ἀ. et γρ. εἴ πως ἀ. μὴ ἀ. 2. 12. μᾶλλον ἐπαινεθήσεσθαι. n. 13. φρονήσας. CB. μεγαλοφρονήσας. ΕΒ. ib. αὐτὸν om. g. 14. πρὸς τὸν et γρ. παρὰ. 2. περὶ τὸν. γ. ib. γρ. ξυγκαλεῖται. 2. 16. ante Θρασυμήδη legitur ὡς φασί τινες ψευδῶς in EB, pro scholio est in p, b. ib. Θρασυμήδη. l. 17. Post Ἀντίλοχον est ὑπὸ τῷ πατρὶ in ΕΒ. 18. ἔλαττον. γ. ἐλάσσους. f. ib. ὁ Ἀχ. 2. 20. γρ. ἐληλασμένους. 2. ib. δὴ om. f, φ. ib. μάλιστα om. f. ib. αὐτοῦ. f. 21. εἰς ἡλικίαν. 2. ib. αὐτῶν om. 2. 23. ἐπαγαγεῖν et γρ. παραγαγεῖν. 2. 24. διερμηνεύει. 2, EB. 25. τὰ γὰρ. 2. ib. γεγενημένα. l. ib. κατηγορείη. 2. 26. δὴ om. f. 27. μελ. μὴ. f. ib ἀποκρεμάμενον, ω suprasc. 2. ib. ἰσχύουσιν. 2. 28. ἐπιλίποι. f. ἐπιλείποι. γ, p. ἐπιλείπῃ. 2. ib. ἐρῶσθαι. γ. ib. φασι. ε. ib. δρομικώτατον. 4. 29. δέ μοι. 4, EB. ib. τοῦ Ἀντ. 2, g, j. 30. τε om. EB. ib. αὐτὸν γενέσθαι. l. ib. τοῦ πολέμου. g. 32. ἀφ' ἑαυτοῦ. g. ἐφ' ἑαυτὸν. d. 33. τε om. g. ib. πολεμικὰ. 2. ib. ταχὺν μὲν. 2. 34. μὴ ἐν μάχαις. g. ib. ἐν τοῖς πολέμοις et γρ. ἐν ταῖς μάχαις. f.

110, 112, 114. 2, 3. p. 697. 698.

699 λείποντα. ἀποθανεῖν δὲ οὐχ, ὡς οἱ πολλοὶ ᾄδουσιν, ὑπὸ Μέμνονος ἐξ Αἰθιοπίας ἥκοντος· Αἰθίοπα μὲν γὰρ γενέσθαι Μέμνονα δυναστεύσαντα ἐπὶ τῶν Τρωικῶν ἐν Αἰθιοπίᾳ, ἐφ' οὗ καὶ τὸ ψάμμινον ὄρος ἀναχωσθῆναι λέγεται ὑπὸ τοῦ Νείλου, καὶ θύουσιν αὐτῷ κατὰ Μερόην καὶ Μέμφιν Αἰγύπτιοι καὶ Αἰθίοπες, ἐπειδὰν ἀκτῖνα πρώτην ὁ ἥλιος ἐκβάλῃ, παρ' ἧς τὸ ἄγαλμα φωνὴν ἐκρήγνυσιν, ἢ τοὺς θεραπεύοντας ἀσπάζεται. Τρῶα δὲ ἕτερον γενέσθαι Μέμνονα νεώτατον τοῦ Τρωικοῦ, ὃν ζῶντος μὲν Ἕκτορος οὐδὲν βελτίω δόξαι τῶν ἀμφὶ Δηίφοβόν τε καὶ Εὔφορβον, ἀποθανόντος δὲ προθυμότατόν τε καὶ ἀνδρειότατον νομισθῆναι, καὶ τὴν Τροίαν ἐς αὐτὸν βλέψαι κακῶς ἤδη πράττουσαν· οὗτος, ξένε, τὸν καλόν τε καὶ χρηστὸν Ἀντίλοχον ἀποκτεῖναι λέγεται προασπίζοντα τοῦ πατρὸς Νέστορος, ὅτε δὴ τὸν Ἀχιλλέα πυράν τε νῆσαι τῷ Ἀντιλόχῳ καὶ πολλὰ ἐς αὐτὴν σφάξαι τά τε ὅπλα καὶ τὴν κεφαλὴν τοῦ Μέμνονος ἐπικαῦσαι αὐτῷ· τὸ γὰρ τοῦ ἀγῶνος, ὃν ἐπὶ Πατρόκλῳ τε καὶ Ἀντιλόχῳ ὁ Ἀχιλλεὺς ἔθηκεν, ἐπὶ πλέον καὶ τοῖς ἀρίστοις νομισθῆναί φησιν, ὅθεν τεθῆναι μὲν ἐφ' ἑαυτῷ ἐνταῦθα, τεθῆναι δὲ ἐπ' Ἀχιλλεῖ τε καὶ Πατρόκλῳ καὶ Ἀντιλόχῳ ἐν Ἰλίῳ. λέγεται δὲ καὶ ἐπὶ τῷ Ἕκτορι τεθῆναι ἀγῶνα δρόμου καὶ τόξου καὶ αἰχμῆς, πάλην δὲ καὶ πυγμὴν μηδένα ἀποδύσασθαι Τρώων, τὸ μὲν γὰρ οὔπω ἐγίγνωσκον, τὸ δέ, οἶμαι, ἐφοβοῦντο. 116

IV, 1 Διομήδης καὶ Σθένελος ἡλικίας μὲν ταὐτὸν εἶχον, ἦστην δὲ ὁ μὲν Καπανέως, ὁ δὲ Τυδέως, οἳ λέγονται τειχομαχοῦντες ἀποθανεῖν ὁ μὲν ὑπὸ Θηβαίων, ὁ δέ, οἶμαι, κεραυνωθείς. κειμένων δὲ ἀτάφων τῶν νεκρῶν τὸν μὲν ὑπὲρ τῶν σωμάτων ἀγῶνα Ἀθηναῖοι ἤραντο καὶ ἔθαψαν αὐτοὺς νικῶντες, τὸν δὲ περὶ τῶν ψυχῶν οἱ παῖδες ὑπὲρ τῶν πατέρων ἐνίκησαν, ὅτε ἦβησαν, καὶ τὸ κράτος τῆς μάχης ἐς Διομήδην τε καὶ Σθένελον ἦλθεν ὡς ἀρίστω τε καὶ ὁμοίω ἄνδρε. Ὅμηρος 700 2 δὲ οὐκ ἀξιοῖ σφᾶς τῶν ἴσων· τὸν μὲν γὰρ λεόντι τε εἰκάζει καὶ ποταμῷ γεφύρας ἀπάγοντι καὶ ἀνθρώπων ἔργα, καὶ γὰρ οὕτως ἐμάχετο, ὁ δ' οἷον θεατὴς τοῦ Διομήδους ἕστηκε φυγῆς τε ξύμβουλος αὐτῷ γιγνόμενος καὶ ἄρχων φόβου· καίτοι φησὶν ὁ Πρωτεσίλεως μὴ ἐλάττω τοῦ Διομήδους ἔργα τὸν Σθένελον μηδὲ ἐκεῖ δρᾶσαι, φιλίαν μὲν γάρ σφισιν εἶναι οὐ μείω ἢ Ἀχιλλεῖ τε καὶ Πατρόκλῳ ἐγένετο, φιλοτιμεῖσθαι δὲ οὕτω πρὸς ἀλλήλους ὡς ξὺν ἀθυμίᾳ ἐπανήκειν ἐκ τῆς μάχης τὸν ἀπολειφθέντα τοῦ ἑτέρου. καὶ τὸ ἔργον δὲ τὸ ἐς Αἰνείαν τε καὶ Πάνδαρον πεπρᾶχθαι αὐτοῖς φησιν ὁμοῦ, τὸν μὲν γὰρ τῷ Αἰνείᾳ προσπεσεῖν μεγίστῳ τοῦ Τρωικοῦ ὄντι, τὸν Σθένελον δὲ τῷ Πανδάρῳ προσαγωνίσασθαι καὶ κρατῆσαι αὐτοῦ, ἀλλὰ τὸν Ὅμηρον Διομήδει μόνῳ ἐξῳρηκέναι ταῦτα ὥσπερ ἐπιλαθόμενον ὧν πρὸς τὸν Ἀγαμέμνονα ὑπὲρ τοῦ Σθενέλου εἶπε· τὸ γὰρ

ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι
ἡμεῖς καὶ Θήβης ἕδος εἵλομεν

701 3 ἀνδρός πού ἐστι παραπλήσια τούτοις καὶ ἐν Ἰλίῳ πράττοντος. ἔστω σοι κἀκεῖνα περὶ Σθενέλου 120

1. οἱ om. γ. ib. ὑπὸ om. m. 2. γενέσθαι. n. 3. ψάμμινον. 1, 2. ψάμμιον. ς. 4. ἐπειδὴ. o. ib. ἐκβάλῃ. 1, 2, g. ἐκβάλλει. j, n. ἐκβάλλῃ. ς. 5. παρ' ἧ. γ. παρ' οὗ. j, n. ib. φησὶ γενέσθαι. EB. ib. νεώτατον. γ. νεώτερον. 2, EB. 6. ὃς. e, n. ib. Ἐφορβον. j, n. 7. προθυμότατον καὶ. 2, ε, o, B. τε καὶ ἀνδρ. om. m. ib. τὴν om. 2. ib. ἤδη βλέψαι κακῶς πράττουσαν. 2. 8. ὦ ξενε. n. ib. ἀποκτ. Ἀντ. n. 9. δὴ καὶ. 2. ib. τῷ Ἀ. νῆσαι. 1, 3, 4. νῆσαι τ. Ἀ. 2. EB. 10. ἐπικαῦσαι Ἀντιλόχῳ deinde om. τὸ γὰρ – ἐπὶ πλέον. γ. 11. Πατρ. τε καὶ Ἀντ. ὁ Ἀχιλλεὺς ἔθηκεν. f, φ, ε Πατρ. ὁ Ἀχ. ἔθηκεν. l, B. Πατρ. αὐτὸς ἔθηκεν. 2, p, ψ, 4. (τῷ Π. j, n.) Πατρόκλῳ ἔθηκεν. o. ib. ἐπὶ τὸ πλεῖστον. f. ἐπὶ πλέον. l, g, o, B. ἐπὶ τὸ πλεῖν. φ. ἐπὶ πλέω. 2. ἐπὶ τῷ πλεῖν. ε. ib. καὶ Ἀντιλόχῳ καὶ τοῖς. 2, p, ψ, 4, o, B. ib. νομισθῆναι. g. νενομίσθαι. ς. 12. καὶ ἐπὶ Π. 1, 2, 3, d. καὶ Π. ς.

16. ταὐτό. l. 18. μὲν ἤραντο. g. ib. αὐτὸν. n. 19. ὑπὲρ τῶν ψ. EB. 20. Διομήδην. γ, g, β, n. ib. τε om. 2. 23. εἱστήκει. C. ἕστηκε. E, EB. 24. μείων. 2. μεῖον. E. 26. ἀπολειφθέντα. nic. m. ib. ἑταίρου et γρ. ἑτέρου. 2. ἑταίρου suprasc. ε. ψ. ib. αὐτοὺς. g. 27. γὰρ om. γ. 29. ἐπιλαθόμενον. f. ἐκλαθόμενον. ς.

30. εὐχόμεθα. γ.

32. τοῖς ἐν ταῖς Θήβαις ἔργοις addunt post τούτοις 2, g, n, EB. ib. ἔστι. γ, p, pr. m. ψ, d, π. ρ, r, B. ib. σοι κἀκεῖνα. C. (σοι om. b, j.) κἀκεῖνό σοι. EB. ib. περὶ Σθ. C. περὶ τοῦ Σθ. EB.

116, 118, 120. IV, 1, 2, 3. p. 699, 700, 701.

εἰδέναι, ὡς τεῖχος μὲν οὐδὲν τοῖς Ἀχαιοῖς ἐξεποιήθη ἐν Τροίᾳ, οὐδὲ ἔστιν, ᾧ ἐφράξαντο ἢ τὰς ναῦς ἢ τὴν λείαν, ἀλλὰ τειχομαχίας ᾠδαὶ ταῦτα Ὁμήρῳ ἐπενοήθησαν, δι' ἃς καὶ τὸ τεῖχος αὐτῷ ξυνετέθη. ὁρμὴ μέντοι τειχοποιίας ὁμολογεῖται τὸν Ἀγαμέμνονα ἐσελθεῖν μηνίοντος Ἀχιλλέως, ᾗ πρῶτον ἀντειρηκέναι τὸν Σθένελον εἰπόντα „ἐγὼ μέντοι ἐπιτηδειότερος τείχη καθαιρεῖν ἢ ἐγείρειν", ἀντειρηκέναι δὲ καὶ τὸν Διομήδην τῷ τείχει φήσαντα μεγάλων ἀξιοῦσθαι τὸν Ἀχιλλέα, „εἰ ξυγκλείσαιμεν ἑαυτοὺς λοιπόν, ἐπειδὴ ἐκεῖνος μηνίει." Αἴας δὲ λέγεται ταυρηδὸν ὑποβλέψας τὸν βασιλέα „δείλαιε", εἰπεῖν „τί οὖν αἱ ἀσπίδες"; καὶ τὸν ἵππον δὲ τὸν κοῖλον παρῃτεῖτο Σθένελος οὐ τειχομαχίαν τοῦτο φάσκων εἶναι, ἀλλὰ κλοπὴν τῆς μάχης. τὰ μὲν δὴ μάχιμα ὁμοίως ἦστην καὶ ἴσου τοῖς Τρωσὶ φόβου ἄξιοι, ἐλείπετο δὲ τοῦ Διομήδους ὁ Σθένελος ξύνεσίν τε καὶ λόγου ἰσχὺν καὶ καρτερήσεις, ὁπόσαι ψυχῆς τέ εἰσι καὶ σώματος, ὀργῆς τε γὰρ ἧττων ἦν καὶ ὑπέρφρων τοῦ ὁμίλου
122 καὶ ταχὺς ἐπιπλήττεσθαι καὶ τὰ ἐς τὴν δίαιταν ἀβρότερον ἢ ἐπὶ στρατοπέδου ἐχρῆν, κατεσκεύαστο. Διομήδει δὲ τἀναντία τούτων ἐπράττετο· μετρίως τε γὰρ πρὸς τὰς ἐπιπλήξεις εἶχε καὶ ἐκόλαζε τὸ ἐξοιδοῦν τῆς ὀργῆς, ὑβρίζειν τε οὐ ξυνεχώρει τοῖς πλήθεσιν, οὐδὲ ἀθυμεῖν, αὐτός τε αἰχμῶν φαίνεσθαι στρατιωτικὸν ἡγεῖτο καὶ τὸ, ὡς ἔτυχε καθεύδειν ἐπῄνει σιτία τε ἦν αὐτῷ τὰ ἐπιτυχόντα, καὶ οὐδὲ οἴνῳ ἔχαιρεν, εἰ μὴ καθίκοιντο αὐτοῦ οἱ πόνοι. τὸν δὲ Ἀχιλλέα ἐπῄνει μέν, οὐ μὴν ἐξεπέπληκτό γε, οὐδὲ ἐθεράπευεν, ὥσπερ οἱ πολλοί· καὶ ἀνέκραγέ ποτε ὁ Πρωτεσίλεως ἐπ' ἐκείνοις τοῖς ἔπεσιν, οἷς ὁ Διομήδης πεποίηται λέγων

μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα
μυρία δῶρα διδούς· ὁ δ' ἀγήνωρ ἐστὶ καὶ ἄλλως.

ταῦτα γὰρ τὸν Ὅμηρον ὡς συστρατιώτην ἔφη εἰρηκέναι καὶ οὐχ ὡς ὑποτιθέμενον ἀλλ' αὐτὸν ξυγγεγονότα τοῖς Ἀχαιοῖς ἐν Τροίᾳ· τὸν γὰρ Διομήδην καθάπτεσθαι τοῦ Ἀχιλλέως παρὰ τὴν μῆνιν τρυφῶντος ἐς τοὺς Ἕλληνας. τὰ δὲ εἴδη ἀμφοῖν τὸν μὲν Σθένελον εὐμήκη ὁ Πρωτεσίλεως οἶδε καὶ ἀνεστηκότα γλαυκόν τε καὶ γρυπὸν καὶ οἷον κομῶντα ὑπέρυθρόν τε καὶ ἔτοιμον τὸ αἷμα, τὸν
123 Διομήδην δὲ βεβηκότα τε ἀναγράφει καὶ χαροπὸν καὶ οὔπω μέλανα καὶ ὀρθὸν τὴν ῥῖνα, καὶ οὔλη δὲ ἡ κόμη καὶ ξὺν αὐχμῷ.

Φιλοκτήτης δὲ ὁ Ποίαντος ἐστράτευσε μὲν ὀψὲ τῶν Τρωικῶν, ἄριστα δὲ ἀνθρώπων ἐτόξευεν, Ἡρακλέους, φασί, τοῦ Ἀλκμήνης μαθὼν αὐτό, καὶ κληρονομῆσαι λέγεται τῶν τόξων, ὁπότε Ἡρακλῆς ἀπιὼν τῆς ἀνθρωπείας φύσεως αὐτόν τε παρεστήσατο καὶ τὸ ἐν τῇ Οἴτῃ πῦρ. τοῦτον ἐν Λήμνῳ καταλειφθῆναί φασιν ἄτιμον τοῖς Ἀχαιοῖς ὕδρου ἐνσκήψαντος αὐτῷ ἐς τὸν πόδα, ὑφ' οὗ νοσεῖν αὐτὸν ἐπὶ ἀκτῆς ὑψηλῆς ἐν πέτρᾳ κείμενον καὶ μαντευτὸν τοῖς Ἀχαιοῖς ἐλθεῖν ὕστερον ἐπὶ
130 τὸν Πάριν, ὃν ἀποκτείνας τὴν μὲν Τροίαν ἑλεῖν τοῖς Ἡρακλέους αὖθις τόξοις, ἰαθῆναι δὲ ὑπὸ τῶν Ἀσκληπιαδῶν αὐτός. ταῦτα φησὶν ὁ Πρωτεσίλεως οὐ παραπολὺ τῆς ἀληθείας εἰρῆσθαι· τά τε γὰρ [τόξα] τοῦ Ἡρακλέους εἶναι ὁποῖα ὕμνηται, καὶ τὸν Φιλοκτήτην ξυλλαβεῖν αὐτῷ τοῦ ἐν τῇ
703 Οἴτῃ ἄθλου, τὰ τόξα τε ἀπελθεῖν ἔχοντα καὶ μόνον ἀνθρώπων γιγνώσκειν, ὡς χρὴ ἕλκειν αὐτά,

1. τοῖς Ἀχ. οὐδὲν. l, 4. ib. ἐποιήθη. 2. ib. ἢ τὰς βοῦς. 2. 2. ταῦτα om. o. ib. αὐτο et γρ. αὐτῷ. 2. 3. ὁρμὴν. o. 5. Διομήδην. g, δ. Διομήδη. γ, ε. ib. κλείσαιμεν. δ. 6. αὐτοὺς. j, n. ib. Ἀχιλλέα. 2. Ὀδυσσέα. j. 7. εἶπεν. f. ib. δὴ τὸν. e, n, B. 7. παρηγεῖτο et γρ. παρῃτεῖτο. 2. ib. Σθένελος. f, γ. ὁ Σθένελος. ς. 8. φάσκων. f. φάσκων εἶναι. γ, l, 3, 4. εἶναι φάσκων. 2, EB. ib. ἴσον. γ et 4. ἴσοι. ψ. 9. φόβον. 1. 11. τὴν om. γ. ἐς τὰ τὴν. g. ib. ἀβρότερα. β, n. 12. τοὐναντίον. γ. ib. περὶ. j. πρὸς om. m. 13. οἰδοῦν. f. 14. τοὺς ὡς ἔτυχε καθεύδοντας. δ. 16. οὐ μὴ. m. ib. ἐξεπέληκτο. f. ib. ἀνακέκραγε. γ. ib. ὥσπερ ἐπ' ἐκείνοις. δ.

20. καὶ ταῦτα. δ. 21. Διομήδην. l, 4, B. 22. οἶδεν ὁ Πρ. g. 24. ἀναγράφει χαροπὸν. γ. ib. οὖλη τε. n.

26. δέ. f. δ'. ς. ib. ἐτόξευεν. 2. ἐτόξευσεν. ς. 27. Ἡρακλέα φασί, τὸν τῆς Α. μαθεῖν αὐτό. 2. 28. ὁ Ἡρακλῆς. l, 2, p, δ. ib. αὐτόν ποτε. g, b, e. αὐτὸν τότε. n. 29. καταλειφθῆναί φασιν ἄτιμον. C. φασιν ἀ. καταλ. a, ju, o, B. φασιν. ἀ. καταληφθῆναι. nic, m. ib. ὑπὸ τῶν Ἀχαιῶν. b. ib. ἀφ' οὗ. f. 30. αὐτῆς. γ. ib. μαντευτὴν. a, ju, nic. μαντευτικὴν. m. ib. ὕστερον ἐλθεῖν. δ. 31. αὖθις τόξοις. l, 2. τόξοις αὖθις. ς. (τόξοις — Ἡρακλέους om. γ.) 32. αὐτὸν. 3. 33. τόξα om. 2. Uncis inclusimus. ib. ὑμνεῖται et γρ. ἃ ὕμνηται. 2.

122, 124. 4. V, 1. p. 702. 703.

2 τυχεῖν τε ἀριστείων λαμπρῶν ἐπὶ τῇ ἁλώσει τοῦ Ἰλίου· τὰ δὲ τῆς νόσου καὶ τῶν ἰασαμένων αὐτὸν 126
ἑτέρως λέγει· καταλειφθῆναι μὲν γὰρ ἐν Λήμνῳ τὸν Φιλοκτήτην, οὐ μὴν ἔρημον τῶν θεραπευσόντων οὐδὲ ἀπερριμμένον τοῦ Ἑλληνικοῦ· πολλούς τε γὰρ τῶν Μελίβοιαν οἰκούντων ξυγκαταμεῖναι — στρατηγὸς δὲ τούτων ἦν — τοῖς τε Ἀχαιοῖς δάκρυα ἐπελθεῖν, ὅτε ἀπέλιπε σφᾶς ἀνὴρ πολεμικὸς
5 καὶ πολλῶν ἀντάξιος, ἰαθῆναι δὲ αὐτὸν αὐτίκα ὑπὸ τῆς βώλου τῆς Λημνίας, ἐς ἣν λέγεται πεσεῖν ὁ Ἥφαιστος· ἡ δὲ ἐλαύνει μὲν τὰς μανικὰς νόσους, ἐκραγὲν δὲ αἷμα ἴσχει, ὕδρου δὲ ἴαται μόνου δῆγμα ἑρπετῶν. ὃν δὲ ἐτρίβοντο οἱ Ἀχαιοὶ χρόνον ἐν τῷ Ἰλίῳ, τοῦτον ὁ Φιλοκτήτης Εὐνόῳ τῷ Ἰάσονος συνεξῄρει τὰς μικρὰς τῶν νήσων Κᾶρας ἐξελαύνων, ὑφ' ὧν κατείχοντο, καὶ μισθὸς
3 10 τῆς συμμαχίας αὐτῷ μοῖρα τῆς Λήμνου ἐγένετο, ἣν Ἄκεσαν ὁ Φιλοκτήτης ἐκάλεσεν, ἐπειδὴ ἐν Λήμνῳ ἰάθη. ἐκεῖθεν αὐτὸν Διομήδης καὶ Νεοπτόλεμος ἑκόντα ἐς Τροίαν ἦγαγον ἱκετεύσαντες ὑπὲρ τοῦ Ἑλληνικοῦ καὶ ἀναγνόντες αὐτῷ τὸν ὑπὲρ τῶν τόξων χρησμόν, ἐκ Λέσβου, ὥς φασιν, ἥκοντα· χρῆσθαι μὲν γὰρ καὶ τοῖς οἴκοι μαντείοις τοὺς Ἀχαιοὺς τῷ τε Δωδωναίῳ καὶ τῷ Πυθικῷ καὶ ὁπόσα μαντεῖα εὐδόκιμα Βοιώτιά τε ἦν καὶ Φωκικά, Λέσβου δὲ ὀλίγον ἀπεχούσης τοῦ Ἰλίου 13
ἔστελλον ἐς τὸ ἐκεῖ μαντεῖον τοὺς Ἕλληνας ἔχρα δέ, οἶμαι, ἐξ Ὀρφέως. ἡ κεφαλὴ γὰρ μετὰ τὸ
704 15 τῶν γυναικῶν ἔργον ἐς Λέσβον κατασχοῦσα ῥῆγμα τῆς Λέσβου ᾧκησε καὶ ἐν κοίλῃ τῇ γῇ ἐχρησμῴδει. ὅθεν ἐχρῶντό τε αὐτῇ τὰ μαντικὰ Λέσβιοι τε καὶ τὸ ἄλλο πᾶν Αἰολικὸν καὶ Ἴωνες Αἰολεῦσι πρόσοικοι, χρησμοὶ δὲ τοῦ μαντείου τούτου καὶ ἐς Βαβυλῶνα ἀνεπέμποντο, πολλὰ γὰρ καὶ ἐς τὸν ἄνω βασιλέα ἡ κεφαλὴ ᾖδε, Κύρῳ τε τῷ ἀρχαίῳ χρησμὸν ἐντεῦθεν ἐκδοθῆναι λέγεται· „τά ἐμά, ὦ Κῦρε, σά", καὶ ὁ μὲν οὕτως ἐγίγνωσκεν, ὡς Ὀδρύσας τε καὶ την Εὐρώπην καθέξων,
20 ἐπειδὴ Ὀρφεύς ποτε μετὰ τοῦ σοφοῦ καὶ δυνατὸς γενόμενος ἀνά τε Ὀδρύσας ἴσχυσεν ἀνά τε Ἕλληνας, ὁπόσοι τελεταῖς ἐθείαζον, ὁ δ', οἶμαι, τὰ ἑαυτοῦ πείσεσθαι ἐδήλου τὸν Κῦρον· ἐλάσας γὰρ Κῦρος ὑπὲρ ποταμὸν Ἴστρον ἐπὶ Μασσαγέτας τε καὶ Ἰσσηδόνας — τὰ δὲ ἔθνη ταῦτα Σκύθαι — ἀπέθανέ τε ὑπὸ γυναικός, ἣ τούτων ἦρχε τῶν βαρβάρων καὶ ἀπέτεμεν ἡ γυνὴ τὴν Κύρου κεφαλήν, καθάπερ αἱ Θρᾷτται τὴν Ὀρφέως. τοσαῦτα, ξένε, περὶ τοῦ μαντείου τούτου Πρωτεσίλεώ τε
25 καὶ Λεσβίων ἤκουσα. ἐλθεῖν δὲ ἐς Τροίαν τὸν Φιλοκτήτην οὔτε νοσοῦντα, οὔτε νενοσηκότι ὅμοιον, 13
ἀλλὰ πολιὸν μὲν ὑφ' ἡλικίας, ἑξήκοντα γάρ που ἔτη γεγονέναι, σφριγῶντα δὲ παρὰ πολλοὺς τῶν νέων βλέπειν δεινότατα ἀνθρώπων καὶ φθέγγεσθαι βραχυλογώτατα καὶ ὀλίγοις τῶν βουλευμάτων ξυντίθεσθαι.

VI Ἀγαμέμνονα δὲ καὶ Μενέλεων οὔτε τὸ εἶδος ὁμοίω γενέσθαι φησὶν οὔτε τὴν ῥώμην·
30 τὸν μὲν γὰρ ἐν αὐτουργίᾳ τῶν πολεμικῶν εἶναι μαχόμενόν τε οὐδενὸς τῶν ἀρίστων ἧττον καὶ ὁπόσα ἐς πόλεμον ἥκει, πράττοντα, γιγνώσκειν τε αὐτόν, ἃ χρὴ τὸν ἄρχοντα, καὶ ὅ τι ἕτερος γνοίη πείθεσθαι, πρέπειν τε τῇ τῶν Ἑλλήνων ἀρχῇ καὶ δι' αὐτὸ τὸ εἶδος, σεμνὸν γὰρ καὶ μεγαλοπρεπῆ φαίνεσθαι καὶ οἷον ταῖς Χάρισι θύοντα, τὸν δὲ Μενέλεων μάχεσθαι μὲν μετὰ πολλοὺς
705 τῶν Ἑλλήνων, ἀποχρῆσθαι δὲ τῷ ἀδελφῷ πάντα καὶ τυγχάνοντα προθύμου τε καὶ εὔνου τοῦ Ἀγα-

2. θεραπευσάντων. γ. 3. ἀπερριμένον. o. ib. τὴν Εὔβοιαν. p. μὲν Λιβύαν. ψ. 4. ὅτε et γρ. ὅτι. 2. 5. εἰς om. 2. 6. ἡ δὲ βῶλος. E. ib. μακράς. γ. ib. ὕδρον. g. 7. μόνου δῆγμα. f, p. μόνον δῆγμα. ψ. δῆγμα μόνον. ς. ib. Εὐνόῳ. f, g. Εὐναίῳ. 2, ε. Εὐνέῳ. ς. 8. Ἰάσωνος. EB. ib. Κάρας. γ, EB. ib. ὑφ' ὧν. b, n. 9. ἐγέντο om. j, n. 10. ἱκέτευσαν δὲ et γρ. ἱκετεύσαντες. 2. 16. ἐχρῶντό τε. γ, l. ἐχρῶντο τότε. ς. ib. αὐτοὶ. g. ib. Λέσβιον. j, n. ib. τὸ om. 2. ib. ξύμπαν. 2, EB. ib. Ἑλληνικὸν. π. 17. καὶ — πρόσοικοι om. π. ib. δὲ καὶ. j, e, n. 18. οἶδε. j, n. 19. Κύρε. E. ib. Ὀδρίσας. 2, ut infra. 20. τέ ποτε. 2. 21. τενίαις. j. ταινίαις et ε suprasc. n. 22. εἰς M. ψ. ib. Μασσαγέτας ἔπι. γ. Μασ. τε ἐπὶ. p. ἐπιβὰς Μεσσαγέτας. 2. ἐπὶ M. om. τε. ψ, g, b, e. ib. Ἰσσηδόνας. 4. ib. Σκῦθαι. γ, g. 24. Θράτται. γ. ib. τούτου om. 2. ib. Πρωτεσίλεω. 1. τοῦ Πρ. 2, 3, 4, EB. 27. ἐφ' ἡλικίας. 2. 27. βλέπειν δεινότατον. γ. βλέπειν τε δ. 2, EB.

29. Μενέλαον. γ, l, g. 30. γὰρ om. g. ib. ἐν om. n. ib. τῶν om. m, o. 33. μετὰ τοὺς. EB. ib. πολλοὺς om. e. ib. τυγχάνοντα et γρ. τυγχάνοντος. 2.

126, 128, 130. 3, VI. p. 704. 705.

μένους ὅμως βασκαίνειν αὐτῷ καὶ ὧν ὑπὲρ αὐτοῦ ἔπραττεν ὑπὸ τοῦ ἄρχειν μὲν ἐθέλειν αὐτός, μὴ ἀξιοῦσθαι δέ. τὸν γοῦν Ὀρέστην Ἀθήνησι μὲν παρὰ τοῖς Ἕλλησιν εὐδοκιμοῦντα, ἐπειδὴ τῷ
132 πατρὶ ἐτιμώρησεν, ἐν δὲ τῷ Ἄργει κινδυνεύοντα, βληθέντα ἂν περιεῖδεν ὑπὸ τῶν Ἀργείων, εἰ μὴ Ὀρέστης ἐμπεσὼν τούτοις μετὰ ξυμμάχων Φωκέων τοὺς μὲν ἐτρέψατο, τὴν δὲ ἀρχὴν τοῦ πατρὸς καὶ ἄκοντος τοῦ Μενέλεω κατεκτήσατο. κομᾶν τε τὸν Μενέλεων μειρακιωδῶς φησιν, ἐπεὶ δὲ ἡ Σπάρτη ἐκόμα, ξυγγιγνώσκειν αὐτῷ τοὺς Ἀχαιοὺς ἐπιχωριάζοντι. οὐδὲ γὰρ τοὺς ἀπ' Εὐβοίας ἥκοντας ἐτώθαζον καίτοι γελοίως κομῶντας. διαλεχθῆναι δὲ αὐτὸν ῥᾷστα ἀνθρώπων φησὶ καὶ βραχυλογώτατα ξυγκερανύοντα ἡδονὴν τῷ λόγῳ.

Κρῆτα Ἰδομενέα ὁ Πρωτεσίλεως οὐκ εἶδεν ἐν Ἰλίῳ, ἀλλ' ἐν Αὐλίδι ὄντων πρεσβείαν ἀφι- VII
κέσθαι παρ' Ἰδομενέως φησὶν ὑπισχνουμένου τὸ Κρητῶν ξυμμαχικόν, εἰ συμμετέχοι τῆς ἀρχῆς τῷ 10
Ἀγαμέμνονι. τὸν μὲν δὴ Ἀγαμέμνονα σωφρόνως ἀκοῦσαι ταῦτα καὶ παραγαγεῖν τὸν ἥκοντα, τὸν δὲ λαμπρᾷ τῇ φωνῇ καὶ φρονιμώδει „ὦ Ἀχαιοί", φάναι „ἀνὴρ τὴν Μίνω τοῦ Κρητὸς ἀρχὴν
134 ἔχων δίδωσιν ὑμῖν ξυμμάχους ἑκατὸν πόλεις καὶ ὡς τὴν Τροίαν ἑλεῖν παίζοντας, ἀξιοῖ δὲ ξυντετάχθαι τῷ Ἀγαμέμνονι καὶ ἄρχειν ὑμῶν, ὥσπερ οὗτος." πρὸς ταῦτα εἰπόντος τοῦ Ἀγαμέμνονος „ἐγὼ δὲ καὶ πάσης τῆς ἀρχῆς παραχωρεῖν ἕτοιμος, εἰ βελτίων ἐμοῦ φαίνοιτο" παρελθεῖν φησι τὸν 15
Τελαμῶνος Αἴαντα καὶ διαλεχθῆναι ὧδε· „ἡμεῖς, Ἀγάμεμνον, ἐδώκαμέν σοι τὴν ἡγεμονίαν ὑπὲρ
εὐταξίας τοῦ στρατοῦ καὶ τοῦ μὴ πολλοὺς. ἄρχειν, στρατεύομεν δὲ οὐχ ὑπὲρ τοῦ δουλεύειν ἢ σοὶ 706
ἢ ἑτέρῳ, ἀλλ' ὑπὲρ τοῦ καταδουλώσασθαι Τροίαν, ἣν λάβοιμεν, ὦ θεοί, λαμπρὰ καὶ καλὰ ἐργασάμενοι. τοιοῦτοι γὰρ ἐσμὲν τὰς ἀρετάς, οἷοι Τροίαν μὲν ἐσπουδακότες λαβεῖν, Κρήτην δὲ παίζοντες." 20

Αἴαντα δὲ τὸν Λοκρὸν τὰ μὲν πολεμιά φησι κατὰ Διομήδην τε καὶ Σθένελον γεγονέναι, VIII. 1
ξυνετὸν δὲ ἧττον δόξαι, προσέχειν δὲ οὐδὲν τῷ Ἀγαμέμνονι — πατρός τε γὰρ εἶναι Λοκρῶν δυ-
136 νατωτάτου στρατιάν τε οὐκ ἀφανῆ ἄγειν — οὐδὲ δουλεύσειν ποτὲ ἑκὼν οὔτ' Ἀτρείδαις οὔτε ἄλλῳ οὐδενί, „ἔστ' ἂν ἥδε ἀστράπτῃ" τὴν αἰχμὴν δεικνὺς ταῦτα ἔλεγε γοργὸν βλέπων καὶ ἀναχαιτίζων τὴν κόμην ὑπὸ τοῦ τῆς γνώμης ἑτοίμου. καὶ τοὺς μὲν ἄλλους ἔφασκεν, ὅσοι προσεῖχον τῷ Ἀγα- 25
μέμνονι, ὑπὲρ τῆς Ἑλένης ἥκειν, ἑαυτὸν δὲ ὑπὲρ τῆς Εὐρώπης, δεῖν γὰρ δὴ Ἕλληνας ὄντας κρατεῖν βαρβάρων. εἶναι δὲ αὐτῷ καὶ χειρόηθη δράκοντα πεντάπηχυν τὸ μέγεθος, ὃν ξυμπίνειν τε καὶ ξυνεῖναι τῷ Αἴαντι καὶ ὁδῶν ἡγεῖσθαι καὶ ξυνομαρτεῖν, οἷον κύνα. τὴν δὲ Κασάνδραν ἀποσπάσαι 2
μὲν ἀπὸ τοῦ τῆς Ἀθηνᾶς ἕδους προσκειμένην τῇ θεῷ καὶ ἱκετεύουσαν, οὐ μὴν βιάσασθαί γε, οὐδ' ὑβρίσαι ἐς αὐτήν, ὁπόσα οἱ μῦθοι ἐς αὐτὸν ψεύδονται, ἀλλ' ἀπαγαγεῖν μὲν ἐς τὴν ἑαυτοῦ σκη- 30
νήν, τὸν δὲ Ἀγαμέμνονα ἰδόντα τὴν Κασάνδραν, πρὸς γὰρ τῇ ὥρᾳ καὶ κατέστεπτο παρὰ τῆς τέχνης, ἁλῶναί τε αὐτίκα τῆς κόρης καὶ ἀφελέσθαι αὐτὴν τὸν Αἴαντα, ἔριδός τε αὐτοῖς ἐν τῷ δα-

1. ὑπὲρ ὧν αὐτοῦ. δ. αὐτοῦ. 1, g. ἑαυτοῦ. ς. ib. μὲν καὶ. 2, EB. ib. ἐθέλειν αὐτός. l. αὐτὸς ἐθέλειν. ς. 2. μὴ δὲ ἀξιοῦσθαι. g. 3. βουληθέντα. nic, m. ib. ἂν om. g. 4. τοὺς δὲ καταπλήξας τὴν ἀρχὴν. εB. 5. κομᾶν τε. γ. κομᾶν. f. κομᾶν δὲ. ς. ib. ἐπειδὴ. g, n. 7. τε αὐτὸν. 2, ε.
9. οἶδεν. g, EB. 10. Ἰδομενῆα. 2. ib. φησὶν om. 2. ib. ξυμμετέχει. 2. συμμετέχοι. f, γ, g. 11. σωφρόνως τε. 2, EB. 12. φρονιματώδει. 2. φρονηματώδει. EB. ib. φᾶναι. γ, 2, g. 13. ἡμῖν. γ, ju, nic, m. ib. ἑκατὸν πόλεις καὶ ξυμμάχους τὴν Τροίαν et γρ. ξυμμάχους ἑκατὸν πόλεις καὶ ὡς τὴν Τρ. 2. 14. ὥνπερ. 4. 16. τάδε et suprasc. ὧδε. 2. ib. δεδώκαμεν. 2, EB. ἐδεδώκειμεν. ψ. ib. ὑπὲρ ἑσπερ εὐταξίας. 2 (sic). 17. καὶ μὴ. γ. ib. ἢ σοι om. l. 18. καταδουλώσεσθαι. f. ib. τὴν Τροίαν. 2.
21. πολεμικὰ. E. ib. Διομήδη. γ, E. 22. ξυνετοῖ. γ. ib. δὲ οὐδὲν. γ, 2, 4. τε οὐδὲν. ς. ib. τε om. 2, g. 23. δὲ οὐκ. γ. ib. οὔτ' Ἀ. 2. οὔτ' ἂν. ς. οὐδ' ἂν Ἀστρ. b. 24. ἀστράπτει. γ, n. ib. ταῦτα. γ, g. ταῦτ'. ς. 25. τὴν γνώμην. γ. ib. τοῦ om. 2. 26. δὴ om. Ἑ, m. δεινὸν γὰρ δὴ Ἕλληνας ὄντας μὴ κρατεῖν βαρβάρων et γρ. δεῖν γὰρ — βαρβάρων. 2. 27. δὲ om. n. ib. ἄρχοντα. 2. ib. μῆκος. ΕΕΒ. 28. Κάσσανδραν. f, l, Ἑ. ib. ἀποσπᾶσαι. EB. 29. τῇ θεῷ om. n. ib. βιάσεσθαί. n. 30. γε om. Ἑ. ib. ὁπόσον. g. ib. ἐς αὐτὸν. l, 2, φ, 4. ἐς αὐτὴν. f, γ, p, ψ. ib. ἐπιψεύδονται om. ἐς αὐτὸν. EB. ib. παραγαγεῖν. 2. ἐπαγαγεῖν. Ἑ, E. ib. αὐτοῦ. g. 31. δὲ om. γ. ib. πρὸς τὴν. δ. 32. τε δὴ. Ἑ, EB.

132, 134, 136. VII, VIII, 1, 2, p. 706.

σμῷ γενομένης ὁ μὲν ἠξίου ἑαυτοῦ εἶναι, ἃ εἶλεν, ὁ δὲ οὔτε ἀπεδίδου καὶ ἀσεβῆσαι αὐτὸν ἐς τὴν
707 Ἀθηνᾶν ἔφασκε. καθεῖντο δὲ τῷ Ἀγαμέμνονι λογοποιοὶ ἐς τὸ Ἑλληνικὸν διὰ τὸ ἀεὶ πρὸς τὸν
Αἴαντα ἔχθος, τὴν θεὸν πολλὰ καὶ ἄτοπα ἐπισημαίνειν ὑπὲρ τῆς κόρης καὶ ἀπολεῖσθαι τὴν στρα- 138
3 τιάν, εἰ μὴ ἀπολέσειεν αὐτόν. ὁ δὲ ἐνθυμηθείς, ὅπως Αἴαντα μὲν ἀπώλεσεν ἄδικος κρίσις, Παλα-
5 μήδη δὲ οὐδὲν ἡ σοφία ὤνησε τὸ μὴ οὐκ ἀποθανεῖν διαβληθέντα, ἀποδρᾶναι νύκτωρ ἐν πορθμείῳ
οὐ μεγάλῳ χειμῶνός τε καὶ ὡς ἔτυχεν, ὅτε δὴ πλέων εὐθὺ Τήνου τε καὶ Ἄνδρου πρὸς Γυραῖς
ἀπέθανεν. ἀγγελίας δὲ τοῦ πάθους ἐς τοὺς Ἀχαιοὺς ἐλθούσης ὀλίγους μὲν αὐτῶν σίτου ἅψασθαι,
πάντας δὲ ὡς ἐπ' ἀνδρὶ ἀγαθῷ χεῖρας ἄρασθαι, προσεσχηκότας τε τῇ θαλάττῃ ἀνακαλεῖν αὐτὸν
καὶ ὀλοφύρεσθαι καὶ τὸν Ἀγαμέμνονα ἐν ὀργῇ ἔχειν μονονοὺ χερσὶ πράξαντα τὴν ἀπώλειαν τοῦ
10 Αἴαντος, ἐναγισμάτων τε αὐτὸν τυχεῖν, ἃ μήπω ἐπηνέχθη πρότερον μήτε μὴν ὕστερον ἀνθρώπῳ
τινί, μηδὲ ὁπόσους ναυμαχίαι ἀφανεῖς ἔσχον· ἐς γὰρ Λοκρίδα ναῦν, ἣ τὸν Αἴαντα ἦγε, ξύλα νή-
σαντες, ὥσπερ ἐς πυράν, ἐσφαξαν μέλανα πάντα καὶ στείλαντες αὐτὴν ἱστίοις μέλασι καὶ τοῖς ἄλ-
λοις, ὁπόσα ἐς το πλεῖν εὕρηται, ξυνεῖχον πείσμασιν ἔς τε πνεῦσαι τὸν ἀπὸ τῆς γῆς ἄνεμον, ὃν
περὶ ὀρθρὸν μάλιστα ἡ Ἴδη ἀποστέλλει, ἐπεὶ δὲ ἡμέρα διεφαίνετο καὶ κατῄει τὸ πνεῦμα, πῦρ ἐς
15 κοιλὴν τὴν ναῦν ἐνῆκαν. ἔπλει τε δὴ μετεωρίζουσα ἐς τὸ πέλαγος, καὶ οὔπω ἡλίου ἀνίσχοντος 139
αὐτή τε κατεφλέχθη καὶ ὁπόσα τῷ Αἴαντι ἔφερεν.

IX Χείρωνα δὲ τὸν ἐν Πηλίῳ γενέσθαι μέν φησιν ἀνθρώπῳ ὅμοιον, σοφὸν δὲ καὶ λόγους καὶ
ἔργα — θήρας τε γὰρ ποικίλης ἥπτετο καὶ τὰ πολεμικὰ ἐπαίδευε καὶ ἰατροὺς ἀπέφαινε καὶ μουσι-
κοὺς ἥρμοττε καὶ δικαίους ἐποίει — βιῶναί τε ἐπὶ μήκιστον, φοιτῆσαι δὲ αὐτῷ Ἀσκληπιὸν Τελα-
708 20 μῶνά τε καὶ Πηλέα καὶ Θησέα, θαμίζειν τε καὶ Ἡρακλέα τῷ Χείρωνι, ὅτε μὴ ἀπᾴγοιεν αὐτὸν οἱ
ἆθλοι. μετασχεῖν δὲ τῆς τοῦ Χείρωνος ὁμιλίας καὶ αὐτός φησι Παλαμήδει ἅμα καὶ Ἀχιλλεῖ καὶ
Αἴαντι.

X, 1 Καὶ τὰ τοῦ Παλαμήδους ὧδε ἀπαγγέλλει· αὐτομαθῆ ἀφικέσθαι αὐτὸν καὶ σοφίας ἤδη γε-
γυμνασμένον καὶ πλείω γιγνώσκοντα ἢ ὁ Χείρων· πρὸ γὰρ δὴ Παλαμήδους ὥραι μὲν οὔπω ἦσαν 140
25 οὖσαι, μηνῶν δὲ οὔπω κύκλος, ἐνιαυτὸς δὲ οὔπω ὄνομα ἦν τῷ χρόνῳ, οὐδὲ νόμισμα ἦν, οὐδὲ
σταθμὰ καὶ μέτρα, οὐδὲ ἀριθμεῖν, σοφίας δὲ οὔπω ἔρως, ἐπεὶ μήποτ' ἦν γράμματα. βουλομένου
δὲ Χείρωνος ἰατρικὴν διδάσκειν αὐτὸν „ἐγώ", ἔφη „ὦ Χείρων, ἰατρικὴν μὲν ἡδέως οὐκ οὖσαν ἂν
εὗρον, εὑρημένην δὲ οὐκ ἀξιῶ μανθάνειν, καὶ ἄλλως τὸ ὑπέρσοφόν σου τῆς τέχνης ἀπῄχθηται
2 μὲν Διί, ἀπῄχθηται δὲ Μοίραις, καὶ διήμειν ἂν τὰ Ἀσκληπιοῦ, εἰ μὴ ἐνταῦθα ἐβέβλητο." ὄντων
30 δὲ τῶν Ἀχαιῶν ἐν Αὐλίδι πεττοὺς εὗρεν οὐ ῥᾴθυμον παιδιάν, ἀλλ' ἀγχίνουν τε καὶ ἔσω σπουδῆς.
τὸν δὲ λόγον, ὃς πολλοῖς τῶν ποιητῶν εἴρηται, ὡς στρατεύοι μὲν ἐπὶ Τροίαν ἡ Ἑλλάς, Ὀδυσσεὺς
δὲ ἐν Ἰθάκῃ μανίαν πλάττοιτο καὶ πρὸς ἀρότρῳ εἴη βοῦν ἵππῳ ξυμβαλὼν Παλαμήδης τε αὐτὸν

1. εἶχεν. f, γ, φ. εἶδεν. g. 2. καὶ λογοποιοί. EEB. 3. τὴν δὲ θεόν. 2. ib. ὑπὲρ om. l. ib. ἀπωθεῖσθαι. γ, E, ε. 4. ἀπολύσειεν et γρ. ἀπολέσειεν. 2. ib. ὁ δὲ. f. ὁ δ'. ς. ib. ὅπως om. 2. ib. ἀδίκῳ κρίσει. 2. 7. κατεπορτώθη. E. ib. ἐς suprasc. πρὸς. 2. 8. γενναίῳ τε καὶ ἀγαθῷ. E. ib. θαλάσσῃ. γ, p, E. 9. μόνον ἐνεργῆ. δ. ib. χερσὶ om. p. ib. προάξαντα. f. 10. ἀνθρώπῳ μηδενὶ et γρ. τινι. 2. ἀνθρώπων τινι. π. ἀνθρώπῳ μηδενί. EB. 11. ἔσχον ἀφανεῖς. g. 12. ἐς om. 4. ib. αὐτοῖς et γρ. αὐτήν. 2. αὐτὸν. o. 13. ὁπόσα om. j, n. ib. πλὴν. j, n. ib. ξυνεῖχον αὐτήν. 2. 14. τοῦ περὶ. 2. ὃς περὶ. m. ib. δὲ ἡ ἡμέρα. 2, EB. ib. ἐς κοίλην τὴν ναῦν. C. ἐς τὴν κοίλην ναῦν. EB. 16. ἔφερεν. f, 2, g. ἔφερε. ς. 18. ἰατροὺς. f, 2 (ubi γρ. ἰατρικοὺς), δ, β. ἰατρικὰ et suprasc. ους i. ἰατρικὰ. γ, ψ, g, 2. ἰατρικοὺς. EB. ib. μουσικὴν. γ. 20. Θησέα καὶ Πηλέα. 2. ib. θαμίζειν τε. f. θαμίζειν δὲ. ς. (om. β.) ib. μὴν. 2. ib. μετασχεῖν τε. ε. 21. τοῦ om. π. ib. Παλαμήδη. γ.
23. αὐτομαθῆ τε. b. ib. ἀφικέσθαι εἰς Τροίαν. h. 24. γὰρ Π. f, φ. γὰρ δὴ. γ, l, g. γὰρ δὴ τοῦ. ς. ib. οὖσαι om. o. 25. νομίσματα. ju, m, b. 26. στάθμια et γρ. σταθμὰ. 2. ib. ἀριθμοί. E. ib. σοφίας δὲ. f, γ, φ. σοφίας τε. ς. ib. μήπω ποτέ. d. Fo: μήπω. 27. δὲ X. f, i, h. δὲ τοῦ X. ς. ib. ἄλλα τε καὶ ἰατρικὴν. EB. ib. διδάσκειν αὐτὸν ἰατρικήν. π. ib. ἐγὼ μὲν. β ib. μὲν ἡδέως οὐκ οὖσαν ἂν εὗρον. 1. (μὲν om. γ.) μὲν ἡδέως ἂν οὐκ οὖσαν εὗρον. b. ἡδέως μὲν ἂν οὐκ οὖσαν ἂν εὗρον. 2. ἡδέως μὲν οὐκ οὖσαν ἂν εὗρον. E. οὐκ οὖσαν μὲν ἡδέως ἂν εὗρον. 4, B. 29. διήειν suprasc. γρ. ἦν (διῆν) 2. 30. πεττοὺς. n. corr. al. m. ib. καὶ om. γ. 31. εὕρηται. j, n. ib. ὡς στρατεύοι — πλάττοιτο om. γ. ib. ἐπὶ Τροίαν. f, j, n. ἐπὶ τὴν Τρ. ς. 32. ὑποκρίνοιτο et γρ. πλάττοιτο. f.

138, 140, 142. 3, IX, X. 1, 2, p. 707. 708.

ἐλέγξειε τῷ Τηλεμάχῳ, οὗ φησιν ὑγιᾶ εἶναι, προθυμότατα γὰρ δὴ τὸν Ὀδυσσέα ἐς Αὐλίδα ἐλθεῖν
καὶ ὄνομα ἤδη αὐτοῦ παραδεδόσθαι τοῖς Ἕλλησιν ἐπὶ δεινότητι, διενεχθῆναι δὲ αὐτὸν τῷ Παλα- 709
144 μήδει ἐντεῦθεν· ἔκλειψις ἡλίου ἐν Τροίᾳ ἐγένετο καὶ ὁ στρατὸς ἄθυμοι ἦσαν λαμβάνοντες τὴν διο-
σημίαν ἐς τὰ μέλλοντα, παρελθὼν οὖν ὁ Παλαμήδης αὐτό τε τὸ πάθος τοῦ ἡλίου διεξῆλθε καὶ
ὅτι τῆς σελήνης ὑποτρεχούσης αὐτὸν ἐξαμαυροῦται καὶ ἀχλὺν ἕλκει, „κακῶν δὲ εἴ τινα σημαίνοι, 5
ταῦτα δήπου" ἔφη „οἱ Τρῶες πείσονται, οἱ μὲν γὰρ ἀδίκων ἦρξαν, ἡμεῖς δὲ ἀδικούμενοι ἥκομεν.
προσήκει δὲ καὶ ἀνίσχοντι τῷ Ἡλίῳ εὔχεσθαι πῶλον αὐτῷ καταθύσαντας λευκόν τε καὶ ἄνετον."
ταῦτα τῶν Ἀχαιῶν ἐπαινεσάντων, καὶ γὰρ ἤττηντο τῶν τοῦ Παλαμήδους λόγων, παρελθὼν ὁ
Ὀδυσσεὺς „ἃ μὲν χρὴ θύειν" ἔφη „ἢ ὅ τι εὔχεσθαι ἢ ὅτῳ, Κάλχας ἐρεῖ, μαντικῆς γὰρ τὰ τοι-
αῦτα, τὰ δὲ ἐν τῷ οὐρανῷ καὶ εἴ τις τῶν ἄστρων ἀταξία τε καὶ τάξις, Ζεὺς οἶδεν, ὑφ' οὗ ταῦτα 10
κεκόσμηταί τε καὶ εὕρηται, σὺ δέ, Παλάμηδες, ἧττον ληρήσεις προσέχων τῇ γῇ μᾶλλον ἢ τὰ ἐν
τῷ οὐρανῷ σοφιζόμενος." ὑπολαβὼν οὖν ὁ Παλαμήδης „εἰ σοφὸς ἦσθα, ὦ Ὀδυσσεῦ", εἶπεν „ξυν-
ῆκας ἄν, ὅτι μηδεὶς ἂν δύναιτο λέγειν σοφόν τι περὶ τῶν οὐρανίων μὴ πλείω περὶ τῆς γῆς γι-
γνώσκων. σὲ δὲ ἀπολελεῖφθαι τούτων οὐκ ἀπιστῶ, φασὶ γὰρ ὑμῖν τοῖς Ἰθακησίοις μήτε ὥρας μήτε
146 γῆν εἶναι." ἐκ τούτων ὁ μὲν Ὀδυσσεὺς ἀπῆλθεν ὀργῆς πλέως, Παλαμήδης δὲ ὡς πρὸς βασκαί- 15
νοντα ἤδη παρασκευάζων ἑαυτόν. ἐν ἐκκλησίᾳ δέ ποτε τῶν Ἀχαιῶν ὄντων γέρανοι μὲν ἔτυχον πε- 3
τόμεναι τὸν εἰωθότα αὐταῖς τρόπον, ὁ δὲ Ὀδυσσεὺς ἐς τὸν Παλαμήδην βλέψας „αἱ γέρανοι" ἔφη
„μαρτύρονται τοὺς Ἀχαιούς, ὅτι αὗται γράμματα εὗρον, οὐχὶ σύ." καὶ ὁ Παλαμήδης „ἐγὼ γράμ- 710
ματα οὐχ εὗρον" εἶπεν, „ἀλλ' ὑπ' αὐτῶν εὑρέθην· πάλαι γὰρ ταῦτα ἐν Μουσῶν οἴκῳ κείμενα
ἐδεῖτο ἀνδρὸς τοιούτου. θεοὶ δὲ τὰ τοιαῦτα δι' ἀνδρῶν σοφῶν ἀναφαίνουσι. γέρανοι μὲν οὖν οὐ 20
μεταποιοῦνται γραμμάτων, ἀλλὰ τάξιν ἐπαινοῦσαι πέτονται, πορεύονται γὰρ ἐς Λιβύην ξυνάφου-
σαι πόλεμον σμικροῖς ἀνθρώποις, σὺ δ' οὐδὲν ἂν περὶ τάξεως εἴποις, ἀτακτεῖς γὰρ τὰς μάχας."
αἰτίαν δέ, οἶμαι, ξένε, Ὀδυσσεὺς εἶχεν, ὡς, εἴ που Ἕκτορα ἢ Σαρπηδόνα ἢ Αἰνείαν ἴδοι, κατα-
λείπων τὴν τάξιν καὶ μεθιστάμενος πρὸς τὰ ῥᾳστώνην ἔχοντα τοῦ πολέμου. μειρακιώδης δὲ ἐπὶ τῆς
ἐκκλησίας δόξας καὶ πρεσβύτερος νέου τοῦ Παλαμήδους ἡττηθεὶς ἐπετείχιζεν αὐτῷ τὸν Ἀγαμέμ- 25
νονα ὡς πρὸς τὸν Ἀχιλλέα τοὺς Ἀχαιοὺς μεθιστάντι. διενεχθῆναι δὲ πάλιν αὐτοὺς ἐκ τοιούτου 4
148 φησί· λύκοι καταβαίνοντες ἐκ τῆς Ἴδης ἐσίνοντο τὰ σκευοφόρα παιδάρια καὶ τῶν ὑποζυγίων τὰ
περὶ τὰς σκηνάς· ὁ μὲν δὴ Ὀδυσσεὺς ἐκέλευσεν ἀραμένους τόξα καὶ ἀκόντια φοιτᾶν ἐς τὴν Ἴδην
ἐπὶ τοὺς λύκους, ὁ δὲ Παλαμήδης „ὦ Ὀδυσσεῦ", ἔφη „τοὺς λύκους ὁ Ἀπόλλων προοίμιον λοι-
μοῦ ποιεῖται καὶ τοξεύει μὲν αὐτούς, καθάπερ τοὺς ὀρέας τε καὶ τοὺς κύνας ἐνταῦθα, πέμπει δὲ 30
πρότερον παρὰ τοὺς νοσήσοντας εὐνοίας ἕνεκα τῶν ἀνθρώπων καὶ τοῦ φυλάξασθαι. εὐχώμεθα οὖν
Ἀπόλλωνι Λυκίῳ τε καὶ Φυξίῳ, τὰ μὲν θηρία ταῦτα τοῖς ἑαυτοῦ τόξοις ἐξελεῖν, τὴν νόσον δὲ ἐς 711

1. δὴ om. β, r. 3. διοσημίαν. γ, 2, g, j, n. διοσημείαν. ς. 4. τε om. γ. 6. κακῶν. f. κακὰ. ς. ib. σημαίνοι. f, l, 4, praeter c, u. σημαίνει suprasc. σημαίνοι. 2. σημαίνει. γ. 3, e, n, B. σημαίνοιτο. E. 6. δήπου om. π. ib. ἔφη. 2, EB. ἔφη om. ς. 7. δ' ἀνίσχοντι. γ, p. ib. καταθήσαντας et γρ. καταθύσαντες. 2. 8. ἧττοιντο. ε. ib. ὁ om. 2. 9. χρὴ om. γ. 10. εἴ τις. γ, l, d. ἤτις. ς. 11. ἥττονα. 2, ε. 12. ὦ Ὀδ. εἶπεν C. εἶπεν, ὦ Ὀδ. EB. 13. μηδεὶς ἂν δύναιτο λέγειν. σ. τ. π. τ. οὐρανίων. 1, 3, g et 4 ubi om. λέγειν. — μηδεὶς ἂν σ. τ. π. τ. οὐρανίων εἴποι et γρ. μηδεὶς ἂν δύναιτο λέγειν σ. τ. π. τ. οὐρ. 2. μηδεὶς – εἴποι. EB. 14. μήτε γῆν εἶναι. C. εἶναι μήτε γῆν. EB. 15. Παλαμήδης δὲ. 1, 3, 4. ὁ δὲ Π. 2, EB. 16. ἐπ' ἐκκλησίας. 2. ib. πεττόμεναι. γ. 17. ib. αὐταῖς. f, g, j, n. ἑαυταῖς. ς. ib. Παλαμήδην. γ, g. 18. τοῖς Ἀχαιοῖς. 2. ib. γράμματα om. g. ib. ἀλλ' οὐ σὺ et γρ. οὐχὶ σύ. f. 19. εἶπεν om. 2. ib. εὑρέθη. g. 22. οὐδὲ. f. 23. Ὀδυσσεὺς. f, γ. ὁ Ὀδ. ς. ib. εἶδοι. E. ib. καταλείπων. f, l, 2 ubi γρ. καταλείπων. g, e, n, π. καταλιπών. ς. 24. εἰς τὰ. δ, β. ib. τῆς om. j. 25. δόξας om. n. ib. νέω. m. ib. τοῦ om. γ, p, ψ, g. 26. μεθιστάντα. γ. μεθιστάντα et ι suprasc. 2. ib. δὲ om. g, j. ib. πάλιν αὐτούς. 1, 3, 4. αὐτοὺς πάλιν. 2, EB. 27. ἀπὸ τῆς. 2. 28. ἐκέλευεν. i, p, g. π. ib. τόξα τε. 2, d. 29. λύκους Ἀπ. δ. 30. ὀρέας καὶ. f. 31. ἐπὶ. π. ib. νοσήσαντας. γ, g, 2, r ante corr. ε. ib. ἕνεκα. γ, EB. εἵνεκεν. 3. ib. εὐχόμεθα. γ. 32. Ἀπόλλω. g. ib. ἂν ἐξελεῖν ἔχειν et γρ. τόξοις ἀνελεῖν 2. inde ἂν ἐξελεῖν ἔχειν. ε. ib. τὴν δὲ νόσον. l.

144, 146, 148. 3, 4. p. 709, 710, 711.

αἶγας, φασί, τρέψαι. καὶ ἡμεῖς δέ, ὦ ἄνδρες Ἕλληνες, ἐπιμελώμεθα ἡμῶν αὐτῶν, δεῖ δὲ τοῖς φυλαττομένοις τὰ λοιμώδη διαίτης λεπτῆς καὶ κινήσεων συντόνων. ἰατρικῆς μὲν γὰρ οὐχ ἡψάμην, σοφίᾳ δὲ καταληπτὰ ἅπαντα." καὶ εἰπὼν ταῦτα τὴν μὲν τῶν κρεῶν ἀγορὰν ἐπέσχε καὶ τὰ στρατιωτικὰ τῶν σιτίων ἐκέλευσε παραιτήσασθαι, τραγήμασι δὲ καὶ λαχάνοις ἀγρίοις διῆγε τὸν στρατὸν πειθομένους αὐτῷ καὶ πᾶν τὸ ἐκ Παλαμήδους θεῖόν τε ἡγουμένους καὶ χρησμῷδες· καὶ γὰρ δὴ ὁ λοιμός, ὃν προὔλεγεν, ἐνέσκηψε μὲν ἐς τὰς Ἑλλησποντικὰς πόλεις ἀρξάμενος, φασίν, ἐκ τοῦ Πόντου, προσέπεσε δὲ καὶ τῷ Ἰλίῳ, τῶν δὲ Ἑλλήνων οὐδενὸς ἥψατο καίτοι στρατοπεδευόντων ἐν γῇ νοσούσῃ. πρὸς γὰρ τῇ διαίτῃ καὶ τὰς κινήσεις αὐτῶν ὧδε ἐσοφίσατο· καθελκύσας ἑκατὸν ναῦς ἐνεβίβαζε τὸν στρατὸν κατὰ μέρος ἐρέττοντάς τε καὶ ἀμιλλωμένους ἀλλήλοις ἢ ἀκρωτήριον περιβαλεῖν ἢ σκοπέλου ἅψασθαι ἢ προκατᾶραι τῶν πέλας ἐς λιμένα τινὰ ἢ ἀκτήν, ἔπεισε δὲ καὶ τὸν Ἀγαμέμνονα προθεῖναί σφισι τοῦ ταχυναυτεῖν ἆθλα. χαίροντες οὖν ἐγυμνάζοντο καὶ ξυνιέντες τοῦ ὑγιαίνειν· καὶ γὰρ ἐδίδασκεν αὐτούς, ὅτι τῆς γῆς παρεφθορυίας τε καὶ οὕτως ἐχούσης ἡδίων ἡ θάλαττα καὶ ἀσφαλεστέρα ἀναπνεῖν. ἐπὶ τούτοις ὁ μὲν σοφίας ἀριστεῖα ἐστεφανοῦτο ὑπὸ τῶν Ἑλλήνων, ὁ δὲ Ὀδυσσεὺς ἀτίμως τε ἠγεῖτο πράττειν καὶ πανουργίας ὅ τι εἶχεν, ἐπὶ τὸν Παλαμήδην ἔστρεφεν. ἐπὶ τούτοις ὁ Πρωτεσίλεως τοιαῦτα ἀπαγγέλλει· τὸν Ἀχιλλέα στρατεύοντα ἐπὶ τὰς νήσους καὶ τὰς ἀκταίας πόλεις αἰτῆσαι τοὺς Ἀχαιοὺς ξὺν Παλαμήδει στρατεῦσαι. ἐμάχοντο δὲ ὁ μὲν Παλαμήδης γενναίως καὶ σωφρόνως, ὁ δὲ Ἀχιλλεὺς οὐ καθεκτῶς, ὁ γὰρ θυμὸς ἐξαίρων αὐτὸν ἐς ἀταξίαν ἦγεν· ὅθεν ἔχαιρε τῷ Παλαμήδει ξυνασπίζοντι καὶ ἀπάγοντι μὲν αὐτὸν τῆς φορᾶς, ὑποτιθέμενῳ δέ, ὡς χρὴ μάχεσθαι. καὶ γὰρ δὴ καὶ ἐῴκει λεοντοκόμῳ λέοντα γενναῖον πραύνοντί τε καὶ ἐγείροντι, καὶ οὐδὲ ἐκκλίνων ταῦτα ἔπραττεν, ἀλλὰ καὶ βάλλων καὶ φυλαττόμενος βέλη καὶ ἀσπίδα ἀντερείδων καὶ διώκων στῖφος. ἐξέπλευσαν μὲν δὴ χαίροντες ἀλλήλοις, εἵποντο δὲ αὐτοῖς Μυρμιδόνες τε καὶ οἱ ἐκ Φυλακῆς Θετταλοί. ταχθῆναι γὰρ μετὰ ταῦτα τὴν ἑαυτοῦ δύναμίν φησιν ὁ Πρωτεσίλεως ὑπ' Ἀχιλλέως καὶ Μυρμιδόνας οὕτως ὀνομασθῆναι πάντας Θετταλούς. αἱ μὲν οὖν πόλεις ἡλίσκοντο καὶ εὐδόκιμα τοῦ Παλαμήδους ἔργα ἀπηγγέλλετο ἰσθμῶν διορυχαὶ καὶ ποταμοὶ ἐς τὰς πόλεις ἐπιστρεφόμενοι καὶ σταυροὶ λιμένων καὶ ἐπιτειχίσματα νυκτομαχία τε ἡ περὶ Ἄβυδον, ὁπότε τρωθέντες ὁ μὲν Ἀχιλλεὺς ἀνεχώρησεν, ὁ Παλαμήδης δὲ οὐκ ἀπεῖπεν, ἀλλὰ πρὶν μέσην ἑστάναι νύκτα, εἶλε τὸ χωρίον. ὁ δὲ Ὀδυσσεὺς ἐν Τροίᾳ ξυνετίθει λόγους πρὸς τὸν Ἀγαμέμνονα ψευδεῖς μέν, πιθανοὺς δὲ πρὸς τὸν εὐήθως ἀκούοντα, ὡς ἐρᾴη μὲν Ἀχιλλεὺς τῆς τῶν Ἑλλήνων ἀρχῆς, μαστροπῷ δὲ τῷ Παλαμήδει χρῷτο „καὶ ἀφίξονται μέν" ἔφη „μικρὸν ὕστερον σοὶ μὲν βοῦς τε ἀπάγοντες καὶ ἵππους καὶ ἀνδράποδα, ἑαυτοῖς δὲ χρήματα, οἷς ὑποποιήσονται δήπου τοὺς δυνατοὺς τῶν Ἑλλήνων ἐπὶ σέ· Ἀχιλλέως μὲν οὖν ἀπέχεσθαι χρὴ καὶ γιγνώσκοντας αὐτὸν φυλάττεσθαι, τὸν σοφιστὴν δὲ ἀποκτεῖναι τοῦτον. εὕρηται δέ μοι κατ' αὐτοῦ τέχνη, δι' ἧς μισηθήσεταί τε ὑπὸ τῶν Ἑλλήνων καὶ ἀπολεῖται ὑπ' αὐτῶν." καὶ διεξῆλθεν, ὡς ἡτοίμασται αὐτῷ τὰ περὶ τὸν Φρύγα καὶ τὸ χρυσίον τὸ ληφθὲν ὑπὸ τῷ Φρυγί, σοφῶς δὲ τούτων ἐπινενοῆσθαι δο-

1. ὑμεῖς. p. ib. ἡμῖν. γ. ib. δεῖ γὰρ. EB. 2. γὰρ om. j, e, n. 3. δὲ καὶ. 2. ib. καὶ εἰπὼν. f. εἰπὼν. ς. 5. τε e, n. 6. Ἑλλησποντιακὰς. 2. ib. ἀρξάμενος δὲ. β, o. ib. φησίν. g. 7. προσέπεσε καὶ. e, o. 8. γρ. ἐν τῇ νοσούσῃ. 2. inde o accepit τῇ. ib. ἐσοφίζετο. 2, E. 9. τὴν στρατιὰν et γρ. τὸν στρατὸν. 2. 10. σκόπελον. n. 11. προσθεῖναι. b, j. ib. το ὑγιαίνειν. g. suprascr. τοῦ. τὸ ὑγιαίνειν. ς. 12. παραφθορυίας. γ. ib. τε om. 2. 13. θάλασσα. f. ib. ἀριστεῖ ἐστεφανοῦτο. γ. 14. Παλαμήδη. 2. 15. ἔτρεφεν p, ubi στ suprasc. 17. τε καὶ. 2, e, n, EB. 18. μὴ ἀπάγοντι. 2 (γρ.), 4, B. ib. ἀπὸ τῆς. 4, o, B. ὑπὸ τῆς. ε. ib. φθορᾶς. l, 2, g. 19. δὴ ἐῴκει. b, j n. 20. τε om. f, n. γι. γ. ib. ἐλιννύων et γρ. ἐκκλίνων. 2. ib. ἀλλὰ βάλλων. p. 21. στίφος. EB. 23. τε om. f. ἐκ om. f. ib. μὲν γὰρ. 2. δὲ. EB. 23. φησιν om. f. ib οὕτως δ'. o. ib. ὠνομάσθαι. g. 24. τὰ ἔργα. 2, EB. ib. διωρυχαί. γ. g, o. 26. ὁπότε καὶ. 2, EB. ib. περὶ μέσην ἑστὼς. δ. 27. ξυνετίθη. γ. 28. τοὺς ἐ. ἀκούοντας. ψ. ib. εὐθέως. 2. ib. μὲν Ἀχιλλεὺς. f. μὲν ὁ Ἀχ. ς. 30. μὲν om. 2, δ. ib. τε om. l, δ. 31. οὖν om. m. ib. γιγνώσκοντα. j, e, n. 33. τε om. n. 34. ὁμοῦ τῷ Φρυγὶ et γρ. ὑπὸ τῷ Φρ. 2. inde o habet ὁμοῦ τ. Φ. ib. ὑπονενοῆσθαι. d.

150, 152, 154. 5, 6, p. 712. 713.

κούντων καὶ ξυντιθεμένου τῇ ἐπιβουλῇ τοῦ Ἀγαμέμνονος „ἄγε δή, ὦ βασιλεῦ," ἔφη „τὸν μὲν Ἀχιλλέα φύλαττέ μοι περὶ τὰς πόλεις, ἐν αἷς ἐστι νῦν, τὸν Παλαμήδην δὲ ὡς τειχομαχήσοντα τῷ Ἰλίῳ καὶ μηχανὰς εὑρήσοντα μεταπέμπου ἐνταῦθα· ἄνευ γὰρ τοῦ Ἀχιλλέως ἥκων οὐκ ἐμοὶ μόνῳ ἔσται ἀλωτός, ἀλλὰ καὶ ἄλλῳ ἧττον σοφῷ." ἔδοξε ταῦτα καὶ ἔπλεον οἱ κήρυκες ἐς Λέσβον, ἐαλώκει δὲ οὔπω πᾶσα, ἀλλ' ὧδε τὰ περὶ αὐτὴν εἶχεν· πόλις Αἰολὶς Λυρνησσὸς ᾠκεῖτο τειχήρης τὴν φύσιν καὶ οὐδὲ ἀτείχιστος, ᾗ φασι τὴν Ὀρφέως προσενεχθῆναι λύραν καὶ δοῦναί τινα ἠχὴν ταῖς πέτραις, καὶ μεμούσωται ἔτι καὶ νῦν τῆς Λυρνησσοῦ τὰ περὶ τὴν θάλατταν ὑπ' ᾠδῆς τῶν πετρῶν· ἐνταῦθα προσκαθημένων δεκάτην ἡμέραν, χαλεπὸν γὰρ ἦν ἁλῶναι τὸ χωρίον, ἀπήγγειλαν μὲν οἱ κήρυκες τὰ τοῦ Ἀγαμέμνονος, ἐδόκει δὲ πείθεσθαι καὶ τὸν μὲν καταμένειν, τὸν Παλαμήδην δὲ ἀπιέναι, καὶ ἀπῆλθον ἀλλήλων δακρύοις ἅμα. ἐπεὶ δὲ κατέπλευσεν ἐς τὸ στρατόπεδον καὶ τὰ τῆς στρατιᾶς ἀπήγγειλεν ἀνατιθεὶς ἅπαντα Ἀχιλλεῖ, „ὦ βασιλεῦ", ἔφη „κελεύεις με τειχομαχεῖν τῇ Τροίᾳ; ἐγὼ δὲ μηχανήματα μὲν γενναῖα ἡγοῦμαι τοὺς Αἰακίδας καὶ τὸν Καπανέως τε καὶ Τυδέως καὶ τοὺς Λοκροὺς Πάτροκλόν τε δήπου καὶ Αἴαντα, εἰ δὲ καὶ ἀψύχων μηχανημάτων δεῖσθε, ἤδη ἡγεῖσθε τὴν Τροίαν τό γε ἐπ' ἐμοὶ κεῖσθαι." ἀλλ' ἔφθησαν αὐτὸν αἱ Ὀδυσσέως μηχαναὶ σοφῶς ξυντεθεῖσαι καὶ χρυσοῦ μὲν ἧττων ἔδοξε, προδότης τε εἶναι κατεψεύσθη, περιαχθεὶς δὲ τῷ χεῖρε κατελιθώθη βαλλόντων αὐτὸν Πελοποννησίων τε καὶ Ἰθακησίων, ἡ δὲ ἄλλη Ἑλλὰς οὐδὲ ἑώρα ταῦτα, ἀλλὰ καὶ δοκοῦντα ἀδικεῖν ἠγάπα. ὠμὸν καὶ τὸ ἐπ' αὐτῷ κήρυγμα· μὴ γὰρ θάπτειν τὸν Παλαμήδην μηδὲ ὁσιοῦν τῇ γῇ, ἀποθνήσκειν δὲ τὸν ἀνελόμενόν τε καὶ θάψαντα. κηρύττοντος δὲ ταῦτα τοῦ Ἀγαμέμνονος Αἴας ὁ μέγας ἐπιρρίψας ἑαυτὸν τῷ νεκρῷ πολλὰ μὲν δάκρυα περὶ αὐτῷ ἀφῆκεν, ἀναθέμενος δὲ αὐτὸν διεξέπαισε τοῦ ὁμίλου γυμνῷ τῷ ξίφει καὶ ἑτοίμῳ· θάψας οὖν, ὡς εἰκὸς ἦν, τὸν εἰργόμενον οὐ προσῄει τῷ κοινῷ τῶν Ἑλλήνων, οὐδὲ βουλῆς ἧ γνώμης ἥπτετο, οὐδὲ ἐξῄει ἔτι ἐς τὰς μάχας Ἀχιλλέως τε ἀφικομένου μετὰ τὴν τῆς Χερρονήσου ἅλωσιν ἅμφω ἐπὶ τῷ Παλαμήδει ἐμήνισαν· ὁ μὲν Αἴας οὐκ ἐπὶ πολύ, ὡς γὰρ ᾔσθετο τῶν ξυμμάχων κακῶς πραττόντων, ἤλγησέ τε καὶ τὴν ὀργὴν μετέθηκεν, ὁ δὲ Ἀχιλλεὺς ἀπεμήκυνε τὴν μῆνιν, ᾠδήν τε γὰρ τῆς λύρας τὸν Παλαμήδην ἐπεποίητο καὶ ᾖδεν αὐτόν, ὅσα τοὺς προτέρους τῶν ἡρώων, ἐδεῖτό τε ὕναρ ἐφίστασθαί οἱ σπένδων ἀπὸ κρατῆρος, οὐ Ἑρμῆς ὑπὲρ ὀνείρων πίνει. ἔοικέ τε ὁ ἥρως οὗτος οὐκ Ἀχιλλεῖ μόνον, ἀλλὰ καὶ πᾶσιν, οἷς ῥώμης τε καὶ σοφίας ἔρως, παρέχειν ἑαυτὸν ζήλου τε καὶ ᾠδῆς ἄξιον, ὅ τε Πρωτεσίλεως, ἐπειδὰν ἐς μνήμην αὐτοῦ ἀφικώμεθα, ἀστακτὶ δακρύει τήν τε ἄλλην ἀνδρίαν τοῦ ἥρω ἐπαινῶν καὶ τὴν ἐν τῷ θανάτῳ· οὐ γὰρ δὴ ἱκετεῦσαι τὸν Παλαμήδην, οὐδὲ οἰκτρόν τι εἰπεῖν οὐδὲ ὀδύρασθαι, ἀλλ' εἰπὼν „ἐλεῶ σε, ἀλήθεια, σὺ γὰρ ἐμοῦ προαπόλωλας" ὑπέσχε τὴν κεφαλὴν τοῖς λίθοις οἷον ξυνιείς, ὅτι ἡ δίκη πρὸς αὐτοῦ ἔσται.

Φ. Ἔστι καὶ τὸν Παλαμήδην ἰδεῖν, ἀμπελουργέ, καθάπερ καὶ τὸν Νέστορα εἶδον καὶ τὸν Σθένελον ἢ οὐδὲν περὶ τῆς ἰδέας αὐτοῦ ὁ Πρωτεσίλεως ἑρμηνεύει;

1. ξυντιθεμένου. 2. ξυνθεμένου. ς. ib. ἔφη, ὦ β. g. ib. μὲν δὴ. m. 2. παρὰ. f, γ, g, j et 2 (γρ. παρὰ). ib. πόλεας. f. ib. Παλαμήδη. γ, E. 3. ἔστιν. γ. ἔσται eras. p. om. 4. 5. δέ που οὔπω. 2. ib. ἀλλ' οὔτω. b. ἀλλ' οὔπω. j, e, n. ib. Αἰολίς om. f. ib. Λύρνησσος. EB. ib. καὶ τειχήρης. g. 6. φησί. γ. ib. λύραν om. o. ib. ἠχώ. o. 7. ὑπὸ τῆς ᾠδῆς. EB. 8. ἦν om. γ. 9. τὰ παρὰ. EB. ib. τὸν om. 4. τον δὲ Π. 2. ib. Παλαμήδη. γ, 2, EB. 10. κατέπλευσαν. d, ε. 11. στρατείας. 1. g, 2. στρατιάς. γ. ib. ἀνατιθεὶς ἅπαντα Ἀχιλλεῖ. C. Ἀχ. πάντα ἀν. EB. 13. τε om. δ, π. 14. ἡγεῖσθε ἤδη. π. ib. τὴν Τρ. τό γε ἐπ' ἐμοὶ κεῖσθαι. 1, 3, 4. (τὸ om. γ.) κεῖσθαι τὴν Τρ. τό γε ἐπ' ἐμοί. 2, EB. ib. ἀλλὰ. E. 15. προδότης τε. 1, 3. προδότης δὲ. 2, 4, EB. 16. βαλόντων. g, b. ib. Ἑλὰς. g.

αα

18. ἀνελόμενός τε καὶ θάψας. EB. 20. διεξέπεσε. φ. διεξέπαισε. B. διεξέπεισε. ς. 21. ἦν om. j, n. 22. ἔτι om. l. ib. τὴν om. g. ib. Χερροννήσου. p. 23. ἐπὶ τὸ πολὺ. f. 24. ἤλγησέ τε. C. ἠλέησέ τε. EB. 25. ἀπεμήκυνε. 2. ἐπεμήκυνε. ς. ib. τε om. f. ib. ἐδεῖ τότε. f. ib. δὲ ὄναρ. γ. 26. ἥρως αὐτός. f, γ. 28. γνώμην. d. ib. αὐτοῦ om. o. 28. τοῦ ἥρω ἐπαινῶν. f, 3, b. ἐπαινῶν τοῦ ἥρω. ς. ib. τὸν Ἀγαμέμνονα ὁ Παλαμήδης. ε. 30. ἑλαιῶ. γ. 31. ὑπέσχη. m. ὑπέστη Salm. ib. πρὸς αὐτούς. 1, g, δ, EB.

32. καθάπερ τὸν. m, o. ib. καὶ Σθ. 2.

156, 158, 160. 7, 8, 9, p. 714, 715.

Ἀ. Ὑπάρχει, ξένε, καὶ ὅρα· μέγεθος μὲν τοίνυν αὐτὸν κατὰ Αἴαντα τὸν μείζω γενέσθαι, κάλλος δὲ Ἀχιλλεῖ τε ἀμιλλᾶσθαι καὶ Ἀντιλόχῳ καὶ ἑαυτῷ φησιν ὁ Πρωτεσίλεως καὶ Εὐφόρβῳ τῷ Τρωί, γένεια μὲν γὰρ αὐτῷ ἁπαλὰ ἐκφύεσθαι καὶ ξὺν ἐπαγγελίᾳ βοστρύχων, τὴν κόμην δὲ ἐν χρῷ εἶναι, τὰς δὲ ὀφρῦς ἐλευθέρας τε καὶ ὀρθὰς καὶ ξυμβαλλούσας πρὸς τὴν ῥῖνα τετράγωνόν τε οὐσαν καὶ εὖ βεβηκυῖαν. τὸν δὲ τῶν ὀφθαλμῶν νοῦν ἐν μὲν ταῖς μάχαις ἄτρεπτόν τε φαίνεσθαι καὶ γοργόν, ἐν δὲ τῇ ἡσυχίᾳ φιλέταιρόν τε καὶ εὐπροσήγορον τὰς βολάς. λέγεται δὲ καὶ μεγίστοις ἀνθρώπων ὀφθαλμοῖς χρήσασθαι. καὶ μὴν καὶ γυμνόν φησι τὸν Παλαμήδην μέσα φέρεσθαι βαρέος ἀθλητοῦ καὶ κούφου καὶ αὐχμὸν περὶ τῷ προσώπῳ ἔχειν πολὺν ἡδίω τῶν Εὐφόρβου πλοκάμων τῶν χρυσῶν· αὐχμοῦ δὲ ἐπεμελήτο ὑπὸ τοῦ καθεύδειν τε, ὡς ἔτυχεν, αὐλίζεσθαί τε πολλάκις ἐν τῇ ἀκρωνυχίᾳ τῆς Ἴδης ἐν σχολῇ τῶν πολεμικῶν· τὴν γὰρ κατάληψιν τῶν μετεώρων ἐντεῦθεν ἀπὸ τῶν ὑψηλοτάτων οἱ σοφοὶ ποιοῦνται. ἦγε δὲ ἐς Ἴλιον οὔτε ναῦν οὔτε ἄνδρα, ἀλλ' ἐν πορθμείῳ ξὺν Οἰακι τῷ ἀδελφῷ ἔπλευσε πολλῶν, φασί, βραχιόνων ἀντάξιον ἑαυτὸν ἡγούμενος. οὐδὲ ἀκόλουθος ἦν αὐτῷ οὐδὲ θεράπων οὐδὲ Τέκμησσά τις ἡ Ἶφις λούουσά τε καὶ στρωννῦσα τὸ λέχος, ἀλλ' αὐτουργὸς βίος καὶ ἔξω τοῦ κατεσκευάσθαι. εἰπόντος γοῦν ποτε πρὸς αὐτὸν Ἀχιλλέως „ὦ Παλάμηδες, ἀγροικότερος φαίνῃ τοῖς πολλοῖς, ὅτι μὴ πέπασαι τὸν θεραπεύσοντα" „τί οὖν", ὦ Ἀχιλλεῦ, ταῦτα;" ἔφη τὼ χεῖρε προτείνας ἄμφω. διδόντων δὲ αὐτῷ τῶν Ἀχαιῶν ἐκ δασμοῦ χρήματα καὶ κελευόντων αὐτὸν πλουτεῖν „οὐ λαμβάνω", ἔφη „κἀγὼ γὰρ ὑμᾶς κελεύω πένεσθαι καὶ οὐ πείθεσθε". ἐρομένου δέ ποτε αὐτὸν Ὀδυσσέως ἐξ ἀστρονομίας ἥκοντα „τί πλέον ἡμῶν ὁρᾷς ἐν τῷ οὐρανῷ„; „τοὺς κακοὺς" εἶπεν. ἀμείνων δ' ἂν ἦν τοὺς Ἀχαιοὺς ἐκδιδάξας, ὅτῳ ποτὲ τῶν τρόπων φανεροὶ οἱ κακοί· οὐ γὰρ ἂν προσήκαντο τὸν Ὀδυσσέα ἐπαντλοῦντα αὐτῷ ψευδεῖς οὕτω καὶ παν- 161
11 ούργους τέχνας. τὸ δὲ λεγόμενον πῦρ ὑπὸ Ναυπλίου περὶ κοίλην Εὔβοιαν ἐπὶ τοὺς Ἀχαιοὺς ἀρθῆναι ἀληθές τέ φησιν εἶναι καὶ ὑπὲρ Παλαμήδους ἐκ Μοιρῶν πεπρᾶχθαι καὶ Ποσειδῶνος, ἴσως. ξένε, μηδὲ βουλομένης τῆς Παλαμήδους ταῦτα ψυχῆς, σοφὸς γὰρ ὢν ξυνεγίγνωσκέ που αὐτοῖς τῆς ἀπάτης. ἔθαψαν δὲ αὐτὸν Ἀχιλλεύς τε καὶ Αἴας ἐς τὴν ὅμορον τῇ Τροίᾳ τῶν Αἰολέων ἤπειρον, ὑφ' ὧν καὶ ἱερὸν αὐτῷ τι ἐξῳκοδόμητο μάλα ἀρχαῖον καὶ ἄγαλμα Παλαμήδους ἵδρυται γενναῖόν τε καὶ εὔοπλον, καὶ θύουσιν αὐτῷ ξυνιόντες οἱ τὰς ἀκταίας οἰκοῦντες πόλεις. μαστεύειν δὲ χρὴ τὸ ἱερὸν κατὰ Μήθυμνάν τε καὶ Λεπέτυμνον, ὄρος δὲ τοῦτο ὑψηλὸν ὑπερφαίνεται τῆς Λέσβου.

XI Τὰ δὲ Ὀδυσσέως οὑτωσὶ φράζει· γενέσθαι μὲν αὐτὸν ῥητορικώτατον καὶ δεινόν, εἴρωνα
717 δὲ καὶ ἐραστὴν φθόνου καὶ τὸ κακόηθες ἐπαινοῦντα κατηφῆ τε ἀεὶ καὶ οἷον ἐπεσκεμμένον, τὰ πολέμιά τε δοκοῦντα μᾶλλον γενναῖον ἢ ὄντα, οὐ μὴν ἐπιστήμονα ὁπλίσεως ἢ τοῦ τάξαι ναυμαχίας τε καὶ τειχομαχίας καὶ αἰχμῆς καὶ τόξων ἕλξεως. τὰ δὲ ἔργα αὐτοῦ εἶναι πολλὰ μέν, οὐ μὴν θαυ- 166
μάσαι ἄξια πλὴν ἑνός, τοῦ ἐς τὸν ἵππον τὸν κοῖλον, οὗ τέκτων μὲν Ἐπειὸς σὺν Ἀθηνᾷ ἐγένετο, Ὀδυσσεὺς δὲ εὑρετής, καὶ ἐν αὐτῷ δὲ λέγεται τῷ λόχῳ θαρσαλεώτερος ὀφθῆναι τοῦ πλήρωματος.

1. ὑπάρξει. γ. ib. κατὰ μέγεθος. e. ib. κατὰ τὸν Αἴαντα. 2, EB. 2. καὶ αὐτῷ. nic, m, o. αὐτῷ. a, ju, B. ib. αὐτῷ Πρωτεσίλεω. 2. 3. τὴν κόμην δὲ. l, g. τὴν δὲ κόμην. 3, B. τὴν κόμην τε. 2, ε. τὴν κόμην. d. 4. ξυμβαλούσας. 2, n. 6. βουλάς. γ, 2, ε. 7. φασί. γ, l, g. ib. βαρέως. γ, o, B. 8. αὐλητοῦ. γ. γρ. ὁπλίτου. 2. 9. σὺχμῶν. γ. ib. ἐμεμέλητο. γ. ib. ἐπιμεμέλητο. ψ, 2. 10. ἀκρωνυχίδι. f. 11. Ἴακι. 2. 12. φησί. o, B. 13. Τέκμισσά. 2. ib. τε καὶ. 2, ε. τε om. 4. τε ἦ. o, B. ib. στρωννῦσα. 1. στορνῦσα. ς. 14. κατασκευάσθαι. 2. ib. ποτε om. δ. ib. ὦ Παλ- om. f. 15. πέπασαι. p. πέπεσαι. g. κέκτησαι. ψ, 2, E. ib. θεραπεύοντα. n. ib. τί οὖν, ὦ Ἀχ. ταῦτα ἔφη. C (ταῦτα ἔφη om. f.) τί οὖν ταῦτα, ἔφη, ὦ Ἀ. EB. 16. προτείνας ἄμφω. γ, i, 3. ἄμφω προτείνας. ς. 18. ποτε om. l. 21. εὔνοιαν. m. 22. τε om. β. ib. ὑπὸ M. 2, E. 23. τῆς Π. ψυχῆς. f. τῆς Π. ταῦτα ψυχῆς. γ, 3, b, j. τῆς Π. ψυχῆς ταῦτα. 2. ταῦτα τῆς Π. ψυχῆς. l, g, d, e, n. τῆς τοῦ Π. ταῦτα ψυχῆς. EB. ib. τε αὐτοῖς. 2. 24. ἔθαψε δὲ. 2, ε. ἔθαψάν τε. π. 25. ἐφ' ὃν et γρ. ὑφ' ὧν. 2. ib. Fo: ἐξῳκοδόμηται. 26. τε om. n, e. ib. δὲ χρὴ. 1, 4. τε χρὴ. 2, 3, EB. 27. Λέπυρον. 2.

29. ἐργαστὴν. β. ib. φθόνον. γ. 30. τε om. m. ib. μάλα. γ. ib. ὁπλήσιως. γ. 31. εἶναι om. d. ib. πολλὰ μὲν. C. μὲν πολλὰ. EB. 32. σὺν Ἀθ. f. 33. ὁ Ὀδ. g. ib. λέγεται om. g. ib. θαρσαλεώτερος. C. θαρσαλεώτατος. EB.

162, 164, 166. 10, 11, XI (12), p. 716. 717.

ἐς Ἴλιον μὲν οὖν παρηβηκὼς ἦλθεν, ἐς Ἰθάκην δὲ γεγηρακώς· μακροτέρᾳ γὰρ ἐχρήσατο τῇ ἄλῃ διὰ τὸν πόλεμον, ὃς πρὸς τοὺς Κίκονας αὐτῷ διεπολεμήθη κατατρέχοντι τὰ ἐπὶ θαλάττῃ τοῦ Ἰσμάρου. τὰ γὰρ Πολυφήμου καὶ Ἀντιφάτου καὶ Σκύλλης καὶ τὰ ἐν Ἅιδου καὶ ὁπόσα αἱ Σειρῆνες ᾖδον, οὐδὲ ἀκούειν ξυγχωρεῖ ὁ Πρωτεσίλεως, ἀλλ' ἐπαλείφειν ἡμᾶς κηρὸν τοῖς ὠσὶ καὶ παραιτεῖσθαι αὐτὰ οὐχ ὡς οὐ πλέα ἡδονῆς καὶ ψυχαγωγῆσαι ἱκανά, ἀλλ' ὡς ἀπίθανά τε καὶ παρευρημένα, καὶ τὴν νῆσον δὲ τὴν Ὠγυγίαν καὶ τὴν Αἰαίαν καὶ ὡς ἥρων αὐτοῦ αἱ θεαί, παραπλεῖν κελεύει καὶ μὴ προσορμίζεσθαι τοῖς μύθοις· ἔξωρόν τε γὰρ τῶν ἐρωτικῶν εἶναι τὸν Ὀδυσσέα καὶ ὑπόσιμον καὶ οὐ μέγαν καὶ πεπλανημένον τοὺς ὀφθαλμοὺς διὰ τὰς ἐννοίας τε καὶ ὑπονοίας. ἐν- 718
θυμουμένῳ γὰρ ἐῴκει, τοῦτο δὲ ἄχαρι ἐς τὰ ἐρωτικά. οἷος μὲν δὴ οἷον καὶ ὡς σοφώτερόν τε καὶ
168 ἀνδρειότερον ἑαυτοῦ τὸν Παλαμήδην ὁ Ὀδυσσεὺς ἀπέκτεινεν, ἱκανῶς ἐκ τούτου διδάσκει ὁ Πρω- 10
τεσίλεως, ὅθεν καὶ τὸν θρῆνον τὸν παρ' Εὐριπίδῃ ἐπαινεῖ, ὁπότε Εὐριπίδης ἐν Παλαμήδους μέλεσιν

ἐκάνετε, φησίν, ἐκάνετε τὸν πάνσοφον, ὦ Δαναοί,
τὰν οὐδὲν ἀλγύνουσαν ἀηδόνα Μουσᾶν

καὶ τὰ ἐφεξῆς μᾶλλον, ἐν οἷς φησι καὶ ὅτι πεισθέντες ἀνθρώπῳ δεινῷ καὶ ἀναιδεῖ ταῦτα δράσειαν. 15

Αἴαντα δὲ τὸν Τελαμῶνος ἐκάλουν οἱ Ἀχαιοὶ μέγαν οὐκ ἀπὸ τοῦ μεγέθους, οὐδ' ἐπειδὴ XII, 1
μείων ὁ ἕτερος, ἀλλ' ἀφ' ὧν ἔπραττε, καὶ ἐποιοῦντο αὐτὸν ξύμβολον τοῦ πολέμου ἀγαθὸν ἐκ πατρῴου ἔργου· τὸν γὰρ Λαομέδοντα τὸν Ἡρακλέα ἀπατήσαντα μετῆλθε ξὺν Ἡρακλεῖ ὁ Τελαμὼν καὶ αὐτῷ Ἰλίῳ εἷλεν. ἔχαιρον μὲν οὖν αὐτῷ καὶ ἀόπλῳ, πελώριος γάρ τις ἦν καὶ ὑπὲρ τὴν στρατιὰν πᾶσαν καὶ φρόνημα ἄῤῥων εὐήνιόν τε καὶ σῶφρον, ὡπλισμένου δὲ ἐξεκρέμαντο μετέωρόν τε 20
170 βαίνοντος ἐπὶ τοὺς Τρῶας καὶ τὴν ἀσπίδα εὖ μεταχειριζομένου τοσαύτην οὖσαν βλέποντός τε χαροποῖς τοῖς ὀφθαλμοῖς ὑπὸ τὴν κόρυν, οἷον οἱ λέοντες ἐν ἀναβολῇ τοῦ ὁρμῆσαι, τὰς μάχας δὲ 719
πρὸς τοὺς ἀρίστους ἐποιεῖτο Λυκίους μὲν καὶ Μυσοὺς καὶ Παίονας ἀριθμοῦ φάσκων ἕνεκα ἐς Τροίαν ἥκειν, τοὺς δὲ τουτων ἡγεμόνας ἀξιομάχους τε ἡγούμενος καὶ οἵους ἀποκτείναντι μὲν ὄνομα δοῦναι, τρωθέντι δὲ οὐκ ἄδοξον τραῦμα, πολέμιόν τε ἑλὼν ἀπείχετο τῶν ὅπλων· τὸ μὲν 25
γὰρ ἀποκτείνειν ἀνδρὸς εἶναι, τὸ δὲ σκυλεύειν λωποδύτου μᾶλλον. ἀκόλαστον δὲ οὐδὲν οὐδὲ ὑβριστικὸν ἐφθέγξατο ἂν οὐδεὶς ἐν ἐπηκόῳ τοῦ Αἴαντος, οὐδὲ ὁπόσοις ἦν διαφορὰ πρὸς ἀλλήλους, ἀλλὰ καὶ θάκων ὑπανίσταντο αὐτῷ καὶ ὁδῶν ὑπεξίσταντο οὐχ οἱ πολλοὶ μόνον, ἀλλὰ καὶ οἱ τῆς εὐδοκίμου μοίρας. πρὸς δὲ Ἀχιλλέα φιλία ἦν αὐτῷ καὶ βασκαίνειν ἀλλήλοις οὔτε ἐβούλοντο οὔτε ἐπεφύκεσαν, τάς τε λύπας, ὁπόσαι περὶ τὸν Ἀχιλλέα, εἰ καὶ μὴ μικρῶν ἕνεκεν ἐγίγνοντο, πάσας 30
ἐπράυνε τὰς μὲν ὡς ἂν ξυναλγῶν τις, τὰς δ' οἷον ἐπιπλήττων, καθημένων τε ὁμοῦ καὶ βαδιζόν-

1. προηβηκὼς. β. ib. ἐς Ἰθάκην δὲ. γ. ἐς δὲ Ἰθ. ς. ib. ἄλῃ et γρ. τῇ ἄλλῃ. 2. τῇ ἄλλῃ. a, ju. 2. τους om. γ, E. ib. Κίκωνας. 2, ε. ib. αὐτῷ om. γ. ib. κατατρέχοντα τὰ om. β. κ. τῶν. γ. 3. αἱ om. n. 4. ἐν τῇ νήσῳ ᾖδον. EB. ib. ἐπαλῆφειν. 2. 5. οὐ om. γ. ib. ψυχαγωγῆσαι om. β. 6. Ὠγυγίην. l, g, b. Ὠγυγήαν. n. Ὠγίγην. d. ib. τὴν Αἰήτου. f. ib. αἱ om. γ. 8. ὑπόσημον. n. 9. ἀεὶ ἐῴκει. 2, EB. ib. γὰρ ἄχαρι. π. 10. ἐκ τούτων. 2, EB. ib. ὁ Πρωτεσίλεως διδάσκει. π. 11. παρ' Εὐριπίδῃ. γ.

13. ἐκτάνετε. π, r, μ. ib. τὰν πάνσοφον o ex Diog. L. II, 44, adde G. Herm. Praef. Nub. 36. 14. ἀλγεινουσαν. ψ. ib. Μοῦσαν. γ, g, m Μουσᾶν. 2, π, r, μ. Μουσῶν. o.

15. μᾶλλον ἐν οἷς φησι om. c. ib. Malim φησιν ὅτι. ib. ἀναιδεῖ λόγῳ. 2, EB. ib. ταῦτα om. p.

27. ξύμβολον et ου suprasc. 2, p. ξύμβουλον. γ, i, E, E. ξύμβολον om. ψ. ib. τοῦ ἀγαθοῦ ἐκ πρώτου. β. 28. Ἡρακλῆν. γ, g, vd. Ἡρακλῆ. EB. ib. ἀπαντήσαντα. β, d, n. ib. σὺν αὐτῷ τὸ Ἴλιον. 2, EB. αὐτῷ τὸ Ἴλιον b, j. 29. ἑαυτῷ. γ. 30. ὡπλισμένου δέ. 2, EB. ib. ἐξεκρέμμαντο. f. 32. ἐπὶ τὴν. f, γ, φ. ib. κόρην. 2, g. ib. ἀβολῇ. g. ib. μάχας τε. n. 33. μὲν γὰρ. C (in p eras.), E. Delevi γὰρ. ib. ἕνεκεν. ψ, b. εἵνεκεν. γ. 35. τρωθέντα. γ. ib. ἄξιον n. ubi ἀνάξιον al. m. 36. δὲ om. d. ib. οὐδὲν om. β. 37. ὑπηκόῳ. vd. 38. ὑπεξανίσταντο. 2. ib. ὁδῷ. vd. ib. ἐξίσταντο. 2, n. 39. ἀλλήλους. 4. 30. ἐπεφύκεισαν. o. ib. τὰς δὲ. γ. n. ib. μὴ om. γ, ν, 3, n. ib. μικρὸν. ψ. ib. ἕνεκεν. f, 3. ἕνεκα. ς. 31. καθημένων τε. 1, 4. καθημένων δὲ. 2, 3, EB.

168, 170. XII (XI), 1, p. 718. 719.

των ἐπεστρέφετο ἡ Ἑλλὰς ἐς ἄνδρε ὁρῶσα, οἵῳ μετὰ Ἡρακλέα οὔπω ἐγενέσθην. τὸν μέν γε Αἴαντα καὶ τρόφιμον τοῦ Ἡρακλέους εἶναι ἔφασαν καὶ βρέφος ὄντα ἐνειληθῆναι τῇ λεοντῇ τοῦ ἥρωος, 172
ὅτε ἀνασχὼν αὐτὸν τῷ Διὶ ἀνάλωτον ἦτει γενέσθαι κατὰ τὴν δορὰν τοῦ λέοντος, ἀετός τε εὐξα-
2 μένῳ ἀφίκετο φέρων ἐκ Διὸς τῷ μὲν παιδὶ ὄνομα, ταῖς δὲ εὐχαῖς νεῦμα δῆλόν τε ἦν καὶ ἁπλῶς
5 βλέψαντι μὴ ἀθεεὶ φῦναι διά τε τὴν ὥραν διά τε τὴν ῥώμην τοῦ εἴδους, ὅθεν ὁ Πρωτεσίλεως ἄγαλμα πολέμου καλεῖ αὐτόν. ἐμοῦ δὲ εἰπόντος „καὶ μὴν κατεπαλαίσθη ὑπὸ τοῦ Ὀδυσσέως ὁ μέγας οὗτος καὶ θεῖος“ „εἰ Κύκλωπες“ ἔφη „ἐγεγόνεισαν καὶ ἀληθὴς ἦν ὁ περὶ αὐτῶν μῦθος, μᾶλλον ἂν τῷ Πολυφήμῳ διεπάλαισεν Ὀδυσσεὺς ἢ τῷ Αἴαντι.“ ἤκουσα τοῦ Πρωτεσίλεω, ξένε, κά-
720 κεῖνα περὶ τοῦ ἥρω τούτου, ὡς ἄρ' ἐκόμα ποταμῷ Ἰλισσῷ τῷ Ἀθήνησι καὶ ἠγάπων αὐτὸν οἱ ἐν
10 Τροίᾳ Ἀθηναῖοι καὶ ἡγεμόνα ἡγοῦντο καὶ ὅ τι εἶποι, ἔπραττον ἠττίκιζέ τε, ἅτε, οἶμαι, Σαλαμῖνα οἰκῶν, ἣν Ἀθηναῖοι δῆμον πεποίηνται, παιδά τε αὐτῷ γενόμενον, ὃν Εὐρυσάκην οἱ Ἀχαιοὶ ἐκάλουν, τήν τε ἄλλην ἔτρεφε τροφήν, ἣν Ἀθηναῖοι ἐπαινοῦσι καὶ ὅτε Ἀθήνησιν οἱ παῖδες ἐν μηνὶ ἀνθεστηριῶνι στεφανοῦνται τῶν ἀνθέων τρίτῳ ἀπὸ γενεᾶς ἔτει, κρατῆράς τε τοὺς ἐκεῖθεν ἐστήσατο 173
καὶ ἔθυσεν, ὅσα Ἀθηναίοις ἐν νόμῳ. μεμνῆσθαι δὲ καὶ αὐτὸν ἔφασκε τουτωνὶ τῶν Διονυσίων
3 15 κατὰ Θησέα. ὁ δὲ τοῦ θανάτου λόγος, ὃν ὑφ' ἑαυτοῦ ἀποσφαγεὶς ἀπέθανεν, ἀληθὴς μέν, ἐλεινὸς δὲ καὶ Ὀδυσσεῖ τάχα, τά τε ἐν Ἅιδου

μὴ ὄφελον νικᾶν τοιῷδ' ἐπ' ἀέθλῳ
τοίην γὰρ κεφαλὴν ἕνεκ' αὐτῶν γαῖα κατέσχεν

ἐκεῖ μὲν οὖ φησιν εἰρῆσθαι τῷ Ὀδυσσεῖ, μὴ γὰρ καταβῆναι αὐτὸν ζῶντα, πάντως δὲ εἰρῆσθαί
20 που. πιθανὸν γάρ που παθεῖν τι καὶ τὸν Ὀδυσσέα καὶ ἀπεύξασθαι τὴν ἑαυτοῦ νίκην ἐλέῳ τοιοῦδε ἀνδρὸς ἐπ' αὐτῇ ἀποθανόντος. ἐπαινῶν δὲ ὁ Πρωτεσίλεως τοῦ Ὁμήρου ταῦτα, πολὺ μᾶλλον ἐπαινεῖ τὸ ἐπ' αὐτῷ ἔπος, ἐν ᾧ φησι

παῖδες δὲ Τρώων δίκασαν

καὶ γὰρ τῶν Ἀχαιῶν ἀφεῖλε τὴν ἄδικον κρίσιν καὶ δικαστὰς ἐκάθισεν, οὓς εἰκὸς ἦν καταψηφίσα-
721 25 σθαι τοῦ Αἴαντος, συγγενὲς γὰρ φόβῳ μῖσος. μανέντα δὲ αὐτὸν οἱ μὲν Τρῶες ἔδεισαν πλείω ἢ εἰώθεσαν, μὴ προσβαλὼν τῷ τείχει ῥήξῃ αὐτό, καὶ ηὔχοντο Ποσειδῶνί τε καὶ Ἀπόλλωνι, ἐπειδὴ ἐς τὸ τεῖχος ἐθήτευσαν, προβεβλῆσθαι τῶν περγάμων τοῦ ἄστεος καὶ σχεῖν τὸν Αἴαντα, εἰ τῶν 174
ἐπάλξεων ἅπτοιτο, οἱ δὲ Ἕλληνες οὐκ ἐπαύοντο ἀγαπῶντες αὐτόν, ἀλλὰ πένθος τε τὴν τοῦ Αἴαντος μανίαν ἐποιοῦντο καὶ τὰ μαντεῖα δὲ ἱκέτευον χρῆσαι, πῶς ἂν μεταβάλοιτο καὶ ἐς νοῦν ἔλθοι.
30 ἐπεὶ δὲ ἀποθανόντα εἶδον καὶ περὶ τῷ ξίφει κείμενον, ὤμωξαν μὲν οὕτως ἀθρόον, ὡς ἀνήκοοι

1. οἵ. d. ib. Ἡρακλέους. g. ib. ἐγενέσθην. l, b. γενέσθην. f, 2, 3, g, n. ἐγενήθην. γ. γενέσθαι. β. 2. ἥρω. β. 3. ὅταν. f. γρ. ὥστε. 2. ib. τοῦ Αἴαντος. vd. ib. αὐτός τε. n. ib. εὐξαμένου et γρ. ω. 2. 4. δῆλος. 2, E. δὲ ἦν 2, n. ib. εἰς αὐτὸν βλ. 2, EB. 5. φῦναι. γ, ν. 6. καὶ ἄγαλμα. β. ib. δέ ποτε. EB. ib. καὶ δὴ. π. ib. ἀεὶ ὑπὸ. γ. 2, g, EB. 7. ἐγεγόνησαν. γ. γεγόνασι et corr. εισαν. 2. γεγόνασι. EB. 8. ἂν τῷ. f, g. ἂν τῷ et γρ. αὐτῷ. 2. αὐτῷ. ζ. ib. τοῦ om. γ. ib. ξένε κἀκεῖνα. f, l, 3, g, δ. ξένα κακεῖνα. d. κακεῖνα ξένε. γ, 2, EB. ib. παρὰ τοῦ. ν, n. 9. ἁρα κομᾶ. f et γ ex corr. 3. ἄρ' ἐκόμα. 2, d, δ, π, EB. ἄρα ἐκόμα. r, ρ. ἄρα ἐκώμα. β. ib. ἐν Ἀθήνησι. 2. ib. αὐτὸν ν ἠγάπων. g. 10. Ἀθῆναι. γ. 11. Εὐρυσάκη . 2 sic corr. (Εὐρυσάκην. ν) 12. ἔτρεφον. 4. ib. οἱ Ἀθ. 2. οἱ παλαιοί. d. ib. ὅτω Ἀθ. γ. ὅτ' Ἀθ. EB. 13. ἔτι. γ. 14. Ἀθηναίων et suprasc. οις. 2. Ἀθηναίων. u. ib. τούτων. e, n. ib. Διονυσείων. e, n. 15. ὑφ' ἑτοῦ. f. ὑφ' αὐτοῦ. ν, ε ὑφ' αὐτοῦ (sic) o.
17. ὄφελον. 2. ib. ἐπ' ἄθλῳ et γρ. ἐπ' ἀέθλῳ. 2. 18. καὶ τὸ τοίην. 2, E.
18. πάντα δὲ. β. ib. ποῦ εἰρῆσθαι. f. εἰρεῖσθαι τῶ. γ. εἰρῆσθαι τι et γρ. εἰρῆσθαί που. 2. 20. τι καὶ om. β. ib. ἐπεύξασθαι. vd. ib. ἐπ' αὐτὴν. β. 21. τοῦ Ὁμήρου et γρ. τὰ Ὁμήρου. 2. τὸν Ὅμηρον. β, r, u. 22. ἐπ' αὐτῷ. 1, 3, g, d. ἐπ' αὐτῶν et γρ. ἐπ' αὐτῷ. 2. ἐπ' αὐτῶν. ν, EB. ἐν αὐτῷ. δ, π.
23. ἐδίκασαν. C praeter 2.
24. ἦν om. u. ib. συγγενές. f, γ, g, r, ρ, u. 25. οἱ μ. Τ. ἔδεισαν αὐτὸν. β, u. ib. πλεῖον. EB. 26. προβαλὼν. u. ib. ῥήξει. 2. ib. τε om. g. 28. ἅπτοιντο. β, u, r. 29. τὰ om. ν, n. ib. μεταβάλλοιτο. E. 30. ὠμωξαν. 2, u. ib. ἀθρόως. γ, 3 (p suprasc. ον). ib. ἀνήκοον. vd.

172, 174, 176, 2, 3, p. 720. 721.

γενέσθαι μηδὲ τῷ Ἰλίῳ, προῦθεντο δὲ Ἀθηναῖοι τὸ σῶμα καὶ Μενεσθεὺς ἐπ' αὐτῷ λόγον ἠγόρευσεν, ᾧ νομίζουσι τιμᾶν Ἀθήνησι τοὺς ἐκ τῶν πολεμίων τελευτῶντας. ἔργον ἐνταῦθα εὐδόκιμον τοῦ Ὀδυσσέως ὁ Πρωτεσίλεως οἶδε· προκειμένῳ γὰρ τῷ Αἴαντι τὰ ὅπλα ἐπενεγκὼν τοῦ Ἀχιλλέως καὶ δακρύσας „θάπτου τοι" ἔφη „ἐν οἷς ἠγάπησας καὶ τὴν νίκην τὴν ἐπ' αὐτοῖς ἔχε μηδὲν ἐς μῆνιν βαλόμενος." ἐπαινούντων δὲ τῶν Ἀχαιῶν τὸν Ὀδυσσέα ἐπῆνει μὲν καὶ ὁ Τεῦκρος, τὰ δὲ ὅπλα παρῃτεῖτο, μὴ γὰρ ὅσια εἶναι ἐντάφια τὰ τοῦ θανάτου αἴτια. ἔθαψαν δὲ αὐτὸν καταθέμενοι ἐς τὴν γῆν τὸ σῶμα ἐξηγουμένου Κάλχαντος, ὡς οὐχ ὅσιοι πυρὶ θάπτεσθαι οἱ ἑαυτοὺς ἀποκτείναντες.

178 Τὸν δὲ Τεῦκρον νέον μὲν ἡγοῦ, μέγεθος δὲ καὶ εἶδος καὶ ῥώμην ἐν τοῖς μέσοις τῶν Ἀχαιῶν ἔχειν.

Φ. Τὰ δὲ τῶν Τρώων γιγνώσκει ὁ Πρωτεσίλεως, ἀμπελουργέ, ἢ οὐκ ἀξιοῖ μνημονεύειν αὐτῶν, ὡς μὴ ἄξιοι σπουδῆς φαίνοιντο; 4

Ἀ. Οὐκ ἔστι, ξένε, τὸ τοῦ Πρωτεσίλεω τοιοῦτον, ἄπεστι γὰρ αὐτοῦ φθόνος. ἀπαγγέλλει δὲ δὴ καὶ τὰ τῶν Τρώων ἐσπουδακυῖα τῇ γνώμῃ, φησὶ γὰρ κἀκείνους πολὺν πεποιῆσθαι λόγον ἀρετῆς. δίειμι δέ σοι πρὸ τοῦ Ἀχιλλείου λόγου ταῦτα, εἰ γὰρ μετ' ἐκεῖνον λέγοιτο, οὐ θαυμαστὰ εἶναι δόξει.

Ἐπαινῶν τοίνυν τὸν Ἕκτορα ὁ Πρωτεσίλεως ἐπαινεῖ καὶ τὸν Ὁμήρου ἐπ' αὐτῷ λόγον· ἄριστα γὰρ τὸν Ὅμηρον τάς τε ἡνιοχήσεις αὐτοῦ διελθεῖν καὶ τὰς μάχας καὶ τὰς βουλὰς καὶ τὸ μὴ ἐπ' ἄλλῳ, ἀλλ' ἐπ' αὐτῷ εἶναι τὴν Τροίαν, καὶ ὁπόσα δὲ κομπάζει ἐν τῇ τοῦ Ὁμήρου ποιήσει ὁ Ἕκτωρ ἀπειλῶν τοῖς Ἀχαιοῖς τὸ ἐπὶ τὰς ναῦς πῦρ, πάνυ φησὶν ἐοικέναι τῇ φορᾷ τοῦ ἥρω, πολλὰ γὰρ τοιαῦτα λέγειν αὐτὸν ἐν ταῖς μάχαις, ἐκπληκτικώτατα δὲ ἀνθρώπων βλέψαι καὶ φθέγξασθαι μέγα. εἶναι δὲ τοῦ μὲν Τελαμωνίου μείω, κακίω δὲ οὐδὲν τὰς μάχας, ἐν αἷς ἐνδείκνυσθαί τι αὐτὸν καὶ τῆς τοῦ Ἀχιλλέως θερμότητος. διεβέβλητο δὲ πρὸς τὸν Πάριν ὡς δειλὸν καὶ ἧττω τοῦ κοσμεῖσθαι· τό τοι κομᾶν καίτοι σπουδαζόμενον βασιλεῦσί τε καὶ βασιλέων παισὶν ἀνάξιον ἑαυτοῦ δι' ἐκεῖνον ἡγεῖτο. τὰ δὲ ὦτα κατεαγὼς ἦν οὐχ ὑπὸ πάλης, τουτὶ γάρ, ὡς ἔφην, οὔτ' αὐτὸς ἐγίγνωσκεν οὔθ' οἱ βάρβαροι, ἀλλὰ ταύροις ἀντήριζε καὶ τὸ συμπλέκεσθαι τοῖς θηρίοις τούτοις πολεμικὸν ἡγεῖτο· παλαίοντος μὲν γὰρ καὶ ταῦτα ἦν, ὁ δὲ τοῦτο μὲν ἠγνόει πράττων, τὸ δὲ ὑφίστασθαι μυκωμένους καὶ θαρσεῖν τὰς αἰχμὰς τῶν κεράτων καὶ ἀπαυχενίσαι ταῦρον καὶ τρωθεὶς ὑπ' αὐτοῦ μὴ ἀπειπεῖν ὑπὲρ μελέτης τῶν πολεμικῶν ἥσκει. τὸ μὲν δὴ ἄγαλμα τὸ ἐν Ἰλίῳ νέον τὸν Ἕκτορα καὶ μειρακιώδη φέρει, ὁ Πρωτεσίλεως δὲ γενέσθαι μὲν αὐτὸν κἀκείνου ἡδίω φησὶ καὶ μείζω, ἀποθανεῖν δὲ τριακοντούτην ἴσως, οὐ μὴν φεύγοντα ἢ παρεικότα τὰς χεῖρας, ταυτὶ γὰρ συκοφαντεῖσθαι τὸν Ἕκτορα ὑπὸ τοῦ Ὁμήρου, ἀλλὰ καρτερῶς ἀγωνισάμενον καὶ μόνον τῶν Τρώων 722 XII b

1. Ἀθηναῖοι et ησι suprasc. γ. 2. τιμᾶν Ἀθ. f. Ἀθ. τιμᾶν. ς. 2. ἐκ τῶν πολεμίων. f. ἐν τῷ πολέμῳ. l. ἐκ τῶν πολέμων. ς. 3. τοῦ Ὀδ. εὐδόκιμον. 2, EB. ib. ὁ om. 2. ib. γρ. εἶδε. 2. 4. τοι om. g. 5. βαλλόμενος. β, u, EB. 7. τοῦ Καλχ. β. ib. ὅσιον. 2, β, g, d.

9. ἐν τοῖς μέσοις τῶν Ἀχαιῶν. 2. EB. om. haec 1, 3, 4.

13. τὸ om. γ. ib. δὲ δὴ. f, γ, 3. δὴ. ς. 14. πεποιεῖσθαι. γ, 2. 15. δή σοι. o. ib. θαυμαστὸν. p. 16. οἶμαι δόξαι et γρ. εἶναι. 2. δόξει om. ψ.

18. καὶ τὰς μάχας om. o. ib. τὸ μὴ ἐπ' ἄλλῳ, ἀλλ' ἐπ' αὐτῷ. l. τὸ ἐπ' αὐτῷ καὶ τὸ μὴ ἐπ' ἄλλῳ. f, γ. τὸ ἐ. ἀ. καὶ μὴ ἐ. ἄλλῳ. ς. 20. ἐς τὰς. 2. ib. ἥρωος. 2, j, u. 21. δὲ αὐτὸν. E. 23. ὡς δειλὸν om. g. 24. τότε et γρ. τό τοι. 2. ib. τε om. γ. 25. γρ. ἐκείνων. 2. ἐκείνων. i. ib. οὐχ om. 2, est in mg. 26. καὶ ταύροις. g, j, u. ib. συμπλ. f, γ. ξυμπλ. ς. 28. καὶ τὸ θ. p, δ, g. 30. αὐτὸν om. p, g. ib. ἡδίω κακείνου. π. 31. τουτί. j, u. 32. τῶν πατρῴων. 2.

178, 180, 182. 4. XII b, p. 722.

καταμείναντα ἔξω τοῦ τείχους πεσεῖν ὀψὲ τῆς μάχης, ἀποθανόντα δὲ ἐλχθῆναι μὲν ἀνηρτημένον τοῦ ἅρματος, ἀποδοθῆναι δέ, ὡς Ὁμήρῳ εἴρηται.

XIII Αἰνείαν δὲ μάχεσθαι μὲν τούτου ἧττον, συνέσει δὲ περιεῖναι τῶν Τρώων, ἀξιοῦσθαι δὲ τῶν αὐτῶν Ἕκτορι, τὰ δὲ τῶν θεῶν εὖ εἰδέναι, ἃ δὴ πέπρωτο αὐτῷ Τροίας ἁλούσης, ἐκπλήττεσθαι δὲ ὑπ' οὐδενὸς φόβου, τὸ γὰρ ἔννουν τε καὶ λελογισμένον ἐν αὐτοῖς μάλιστα τοῖς φοβεροῖς ἔχειν. ἐκάλουν δὲ οἱ Ἀχαιοὶ τὸν μὲν Ἕκτορα χεῖρα τῶν Τρώων, τὸν δὲ Αἰνείαν νοῦν, καὶ πλείω παρέχειν αὐτοῖς πράγματα Αἰνείαν σωφρονοῦντα ἢ μεμηνότα Ἕκτορα. ἦστην δὲ ἰσήλικές τε καὶ ἰσομήκεις. τὸ δὲ εἶδος τοῦ Αἰνείου φαιδρὸν μὲν ἧττον ἐφαίνετο, καθεστηκότι δὲ ἐῴκει μᾶλλον ἐκόμα τε ἀνεπαχθῶς, οὐ γὰρ ἤσκει τὴν κόμην οὐδὲ ὑπέκειτο αὐτῇ, ἀλλὰ μόνην τὴν ἀρετὴν ἐποιεῖτο κόσμημα. σφοδρὸν δὲ οὕτω τι ἔβλεπεν, ὥστε ἀποχρῶν εἶναί οἱ πρὸς τοὺς ἀτακτοῦντας καὶ αὐτὸ τὸ βλέψαι.

XIV Σαρπηδόνα δὲ Λυκία μὲν ἤνεγκε, Τροία δὲ ἦρεν, ἦν μὲν γὰρ κατὰ τὸν Αἰνείαν τὰς μάχας, ἦγε δὲ Λυκίους ξύμπαντας καὶ ἀρίστω ἄνδρε Γλαῦκόν τε καὶ Πάνδαρον, ἦν δὲ αὐτοῖν ὁ μὲν ὁπλιτεύειν εὐδόκιμος, ὁ δὲ Πάνδαρος τὸν Ἀπόλλω τὸν Λύκιον ἐπιστάντα οἱ μειρακίῳ ἔτι κοινωνῆσαι ἔφη τοῦ τοξεύειν, καὶ ηὔχετο ἀεὶ τῷ Ἀπόλλωνι, ὅτε τοῦ τόξου ἐπὶ μεγάλῳ ἅπτοιτο καὶ παστρατιᾷ δὲ ὁ Πρωτεσίλεως ἀπαντῆσαί φησι τῷ Σαρπηδόνι τοὺς Τρῶας, πρὸς γὰρ τῇ ἀνδρίᾳ καὶ τῷ εἴδει θείῳ τε καὶ γενναίῳ ὄντι ἀνήρτητο τοὺς Τρῶας καὶ τῷ λόγῳ τῷ περὶ τοῦ γένους. ἀπὸ Διὸς μὲν γὰρ Αἰακίδας τε ᾄδεσθαι καὶ Δαρδανίδας καὶ τοὺς Ταντάλου, τὸ δὲ αὐτοῦ Διὸς γεγονέναι μόνῳ τῶν ὑπὲρ Τροίας τε καὶ ἐπὶ Τροίαν ἐλθόντων ἐκείνῳ ὑπάρξαι. τουτὶ δὲ καὶ τὸν Ἡρακλέα μείζω ποιῆσαι καὶ θαυμασιώτερον τοῖς ἀνθρώποις. ἀποθανεῖν δέ, ὡς Ὁμήρῳ εἴρηται, καὶ εἶναι ἀμφὶ τὰ τετταράκοντα ἔτη καὶ τάφου ἐν Λυκίᾳ τυχεῖν, ἐς ὃν παρέπεμψαν οἱ Λύκιοι δεικνύντες τὸν νεκρὸν τοῖς ἔθνεσι, δι' ὧν ἤγετο. ἐσκεύαστο δὲ ἀρώμασι καὶ ἐῴκει καθεύδοντι, ὅθεν οἱ ποιηταὶ πομπῷ φασιν αὐτὸν τῷ Ὕπνῳ χρήσασθαι.

XV Α. Ἄκουε καὶ τὰ τοῦ Ἀλεξάνδρου τοῦ Πάριδος, εἰ μὴ ἄχθῃ αὐτῷ σφόδρα.

Φ. Ἄχθομαι μέν, οὐ χεῖρον δὲ ἀκοῦσαι.

Α. Φησὶ τοίνυν τὸν Ἀλέξανδρον Τρωσὶ μὲν ἀπηχθῆσθαι πᾶσι, κακὸν δ' οὐκ εἶναι τὰ πολέμια, τὸ δὲ εἶδος ἴδιστον ἐπίχαριν τε τὴν φωνὴν καὶ τὸ ἦθος, ἅτε τῇ Πελοποννήσῳ ἐπιμίξαντα, μάχεσθαι δὲ πάντας τρόπους καὶ τὴν ἐπιστήμην, ὁπόση τόξων, μὴ λείπεσθαι τοῦ Πανδάρου. καὶ πλεῦσαι μὲν ἐς τὴν Ἑλλάδα ἔφηβον, ὅτε δὴ ξένον τοῦ Μενέλεω γενέσθαι αὐτὸν καὶ τὴν Ἑλένην ἑλεῖν τῷ εἴδει, ἀποθανεῖν δὲ οὕπω τριακοντούτην. γάνυσθαι δὲ τῷ ἑαυτοῦ κάλλει καὶ περιβλέπεσθαι μὲν ὑφ' ἑτέρων, περιβλέπειν δὲ καὶ ἑαυτόν, ὅθεν χαριέστατα ὁ ἵμερος ἐς αὐτὸν παίζει· τοῦτον γὰρ τὸν ταὼ, χαίρει δὲ ὁ Πρωτεσίλεως τῇ ἄνθῃ καὶ τῇ ὥρᾳ τοῦ ὄρνιθος, ἰδών ποτε ὑπεραναστηκότα καὶ περιβεβλημένον τὰ πτερὰ περιβλέποντά τε αὐτὰ καὶ καθαίροντα, ἔστι δ' ἃ καὶ διατιθέντα, ἵν', ὥσπερ οἱ τῶν λίθων ὅρμοι, κεκοσμημένα φαίνοιτο, „ἰδού", ἔφη „οὐ πρώην ἐμνημο-

1. καὶ πεσεῖν. E. ib. ἠρτημένον. l, g. ἐξηρτημένον. 2.
3. τῶν αὐτῶν αὐτῷ Ἕκτορι. δ, B. 4. καὶ ἃ. 2, EB. ib. μὴ δὲ ἐπέπρωτο. f. δὴ om. n. πέπρωτο. φ. ib. αὐτῷ om. f. 5. ὑπὸ οὐδενὸς. E. 6. μὲν om. e. 8. ἧττον om. d. 9. αὐτὸ. g. ib. ἐποίει. j et e (ubi ἐποίειτο sic.) 10. δὲ om. γ. ib. οὕτω τι et γρ. τοι. 2. οὔπω τι. j. 11. γρ. βλέμμα. 2.
12. Σαρπηδόνα Α. 2. 14. ὁπλισεύειν. EB. 15. τῷ om. 4. 16. ἀνδρεία. γ, l, 4. 19. ὑπὲρ Τροίαν. 2. ib. τε om. γ, 3. 21. εἶναι καὶ ἀμφὶ. 2. ib. τεσσαράκοντα. 2. 22. ἐχθρὸν ἔθνεσι. d.
24. ἄκουε δὲ. π.
25. ἄχθομαι μὲν om. γ.
26. φασί. n. ib. τὸν om. γ, 3, d, b, e. 27. τὸ εἶδος. g ex corr. et e, n. ib. Πελοποννήσω (sic) φ. 29. ὅτι δὲ. γ. 31. καὶ ἑαυτὸν. γ. ἑαυτὸν ζ. ib. παίζει ἐς αὐτὸν. 2. 32. ταῶ. γ. ib. τῇ τε ἄνθῃ. ὁ. π. τῇ ὥρᾳ καὶ τῇ ἄνθῃ. 2, EB. 33. αὐτὸν. β. 34. πρώην μὲν. γ.

181. 186. 188, XIII, XIV, XV, p. 723, 724

νεύομεν, Πάρις ὁ τοῦ Πριάμου". ἐμοῦ δὲ ἐρομένου αὐτὸν „τί ἔοικεν ὁ ταὼς τῷ Πάριδι;" „τὸ φίλαυτον" εἶπεν. καὶ γὰρ δὴ κἀκεῖνος κόσμου ἕνεκεν περιήθρει μὲν ἑαυτόν, περιεσκόπει δὲ τὰ ὅπλα. δορὰς δὲ παρδάλεων ἐνῆπτο τοῖς ὤμοις, αὐχμὸν δὲ προσιζάνειν ταῖς κόμαις οὐδὲ ὁπότε μάχοιτο, ἠνείχετο, ἔστιλβε δὲ καὶ τοὺς ὄνυχας τῶν χειρῶν, καὶ ὑπόγρυπος ἦν καὶ λευκὸς καὶ τὸ ὄμμα ἐγέγραπτο, ἡ δὲ ἑτέρα ὀφρὺς ὑπερῆρε τοῦ ὄμματος. 725

Ἕλενος δὲ καὶ Δηίφοβος καὶ Πολυδάμας ξυνέβαινον μὲν ἀλλήλοις τὰς μάχας καὶ ταὐτὸν ἐφέροντο τῆς ῥώμης, εὐδόκιμοι δὲ τὰς ξυμβουλίας ἦσαν, ὁ δὲ Ἕλενος καὶ μαντικῆς ἥπτετο ἴσα τῷ Κάλχαντι. XVI

Περὶ δὲ Εὐφόρβου τοῦ Πάνθου καὶ ὡς γένοιτό τις ἐν Τροίᾳ Εὔφορβος καὶ ἀποθάνοι ὑπὸ XVII
190 τοῦ Μενέλεω, τὸν Πυθαγόρου, οἶμαι, τοῦ Σαμίου λόγον ἤκουσας· ἔλεγε γὰρ δὴ ὁ Πυθαγόρας Εὔφορβος γεγονέναι μεταφῦναί τε Ἴων μὲν ἐκ Τρωός, σοφὸς δὲ ἐκ πολεμικοῦ, κεκολασμένος δὲ ἐκ τρυφῶντος, τήν τε κόμην, ἣν σοφὸς γενόμενος ἐκόσμει τῷ αὐχμῷ, χρυσῆν ἐν Τροίᾳ ἐποιεῖτο, ὁπότ' ἦν Εὔφορβος. ὁ δὲ Πρωτεσίλεως τὸν Εὔφορβον ἥλικα ἑαυτοῦ ἡγεῖται καὶ ἐλεεῖ καὶ ὁμολογεῖ τὸν Πάτροκλον ὑπ' αὐτοῦ τρωθέντα παραδοθῆναι τῷ Ἕκτορι, εἰ δὲ ἐς ἄνδρας ἦλθεν, οὐδὲν ἂν φησιν αὐτὸν κακίω νομισθῆναι τοῦ Ἕκτορος. τὴν μέν γε ὥραν αὐτοῦ καὶ τοὺς Ἀχαιοὺς φησι θέλγειν· ἐοικέναι γὰρ αὐτὸν ἀγάλματι, ὁπότε μάλιστα ἑαυτοῦ ὁ Ἀπόλλων ἀκερσεκόμης τε καὶ ἁβρὸς φαίνοιτο.

Ταῦτα, ξένε, περὶ τῶν Τρώων δίεισιν ὁ θεῖός τε καὶ ἀγαθὸς ἥρως. λοιπὸν δ' ἡμῖν ἴσως τὸν τοῦ Ἀχιλλέως ἀποτελέσαι λόγον, εἰ μὴ ἀπείρηκας πρὸς τὸ μῆκος.

Φ. Εἰ οἱ τοῦ λωτοῦ παρ' Ὁμήρῳ φαγόντες, ὦ ἀμπελουργέ, προθύμως οὕτως προσέκειντο XVIII, 1
τῇ πόᾳ, ὡς ἐκλελῆσθαι τῶν οἴκοι, μὴ ἀπίστει κἀμὲ προσκεῖσθαι τῷ λύγῳ, καθάπερ τῷ λωτῷ, 726
καὶ μήτ' ἂν ἑκόντα ἀπελθεῖν ἐνθένδε, ἀπαχθῆναι δὲ μόγις ἂν ἐπὶ τὴν ναῦν καὶ δεθῆναι δ' αὖ
192 ἐν αὐτῇ κλάοντα καὶ ὀλοφυρόμενον ἐπὶ τῷ μὴ ἐμπίπλασθαι τοῦ λόγου. καὶ γάρ με καὶ πρὸς τὰ τοῦ Ὁμήρου ποιήματα οὕτω διατέθεικας, ὡς θεία τε αὐτὰ ἡγούμενον καὶ πέρα ἀνθρώπου δύξαι νῦν ἐκπεπλῆχθαι μᾶλλον οὐκ ἐπὶ τῇ ἐποποιίᾳ μόνον, οὐδ' εἴ τις ἡδονὴ διήκει σφῶν, ἀλλὰ πολλῷ μᾶλλον ἐπί τε τοῖς ὀνόμασι τῶν ἡρώων ἐπί τε τοῖς γένεσι καί, νὴ Δί', ὡς ἕκαστος αὐτῶν ἔλαχε τοῦ κτεῖναί τινα ἢ ἀποθανεῖν ὑφ' ἑτέρου. τὸν μὲν γὰρ Πρωτεσίλεων δαίμονα ἤδη ὄντα οὐδὲν οἶμαι θαυμαστὸν εἰδέναι ταῦτα, Ὁμήρῳ δὲ πόθεν μὲν Εὔφορβος, πόθεν δὲ Ἕλενοί τε καὶ Δηίφοβοι καί, νὴ Δί', ἐκ τῆς ἀντικειμένης στρατιᾶς οἱ πολλοὶ ἄνδρες, οὓς ἐν καταλόγῳ φράζει; τὸ γὰρ μὴ ὑποτεθεῖσθαι ταῦτα τὸν Ὅμηρον, ἀλλὰ γεγονότων τε καὶ ἀληθινῶν ἔργων ἀπαγγελίαν ποιεῖσθαι μαρτυρεῖ ὁ Πρωτεσίλεως, πλὴν ὀλίγων, ἃ δοκεῖ μᾶλλον ἑκὼν μετασκευάσαι ἐπὶ τῷ ποικίλην τε καὶ ἡδίω ἀποφῆναι τὴν ποίησιν, ὅθεν τὸ ὑπὸ ἐνίων λεγόμενον, ὡς Ἀπόλλων αὐτὰ ποιήσας τὸν Ὅμηρον ἐπέγραψε τῇ ποιήσει σφόδρα μοι δοκεῖ ἐρρῶσθαι· τὸ γὰρ γιγνώσκειν ταῦτα θεῷ μᾶλλον ἢ ἀνθρώπῳ ἔοικεν.

1. τινι. 2. ib. τῷ φιλαύτῳ et γρ. τὸ φίλαυτον. 2. 3. τῇ κόμῃ. n. 4. τὰς ὄνυχας. φ. ib. καὶ om. o. 5. ὑπερῆκε et γρ. ὑπερῆρε. 2.
7. ἔφερον et γρ. ἐφέροντο. 2. ib. ὅσα. g.
9. δὲ om. 2. ib. τις om. g. 10. τῶν — λόγων. γ. ib. ἤκουσας λόγον. EB. ib. ἐλέγετο. g. 11. πολέμου. 2. πολεμιστοῦ. δ, π. 12. ὅτ' ἦν σοφὸς. 2. ib. ἐκοσμεῖτο αὐχμῷ. E. 14. εἰ δὲ εἰς Τροίαν. d. εἰ δὲ καὶ εἰς ἄνδρας. e. 15. φασιν n. 16. δὲ αὐτὸν. n. ib. μάλιστα. 2. κάλλιστα. ς. ib. ὁ om. γ. ib. ἀκερσοκόμης. φ.
18. ταῦτα. γ, φ, et 2, ubi γρ. τοσαῦτα. ib. τῶν om. γ, p. 19. Ἀχιλλέος. n.
20. οὕτως. γ, 3. 21. κεκλῆσθαι. γ. 22. δὲ μόγις. γ, 1, 3, 4, o, B. τε μόγις. 2, ε. ib. δεθῆναι ἂν. δ, g, d. διεθῆναι ἂν. ρ. δεθῆναι δ' ἂν. B. ib. δ' αὖ. γ, 1, 2, 3 (δ' eras in p), β, E. 23. ὀδυρόμενον. l, 4. ib. ἐμπεπλῆσθαι. l. γρ. ἐκπεπλῆσθαι. 2. ib. τὰ Ὁμ. g. 24. Fo: καὶ οἷα. 25. νῦν. CB. καὶ νῦν δ'. E. ib. ἐμπεπλῆσθαι. p, b, j. ἐκπεπλῆσθαι. 2. 26. Τρώων et γρ. ἡρώων. 2. 27. μὲν om. 2. 28. Εὔφορβοι. 2, EB. 29. οἱ ἐκ. j, n. 30. τὸν Ὁμ. ταῦτα. g. 31. ἑκὼν μᾶλλον. γ. ib. μετασκευάσας. γ. μετεσκευάσθαι et γρ. κατασκευάσαι. 2. 32. τὸ ὑπ' ἐνίων λεγ. et γρ. τὸ ἐν Ἰλίῳ γενόμενον. 2. 33. μετέγραψε. γ. ib. ἐρῶσθαι. γ.

190, 192. XVI, XVII, XVIII, 1, p. 725, 726.

Ἀ. Τὸ μὲν θεοὺς ἡγεμόνας εἶναι τοῖς ποιηταῖς, ξένε, πάσης ᾠδῆς, αὐτοί που οἱ ποιηταὶ 195
ὁμολογοῦσιν οἱ μὲν τὴν Καλλιόπην, οἱ δὲ πάσας, οἱ δὲ καὶ τὸν Ἀπόλλω πρὸς ταῖς ἐννέα παρατυχεῖν αἰτούμενοι τῷ λόγῳ, τὰ δὲ Ὁμήρου ταῦτα οὐκ ἀθεεὶ μὲν εἴρηται, οὐ μὴν Ἀπόλλωνί γε
2 *αὐτῷ ἢ Μούσαις αὐταῖς ᾖσται. γέγονε γάρ, ξένε, γέγονε ποιητὴς Ὅμηρος καὶ ᾖδεν, ὡς μέν φα-*
727 5 *σιν ἕτεροι μετὰ τέτταρα καὶ εἴκοσιν ἔτη τῶν Τρωικῶν, οἱ δὲ μετὰ ἑπτὰ καὶ εἴκοσι πρὸς ταῖς ἑκατόν, ὅτε τὴν ἀποικίαν οἱ Ἀθηναῖοι ἐς Ἰωνίαν ἔστειλαν, οἱ δὲ ἑξήκοντα καὶ ἑκατὸν ἔτη γεγονέναι μετὰ τὴν Τροίαν ἐπὶ Ὁμηρόν τέ φασι καὶ Ἡσίοδον, ὅτε δὴ ᾄσαι ἄμφω ἐν Χαλκίδι τὸν μὲν τὰ ἑπτὰ ἔπη τὰ περὶ τοῖν Αἰάντοιν καὶ ὡς αἱ φάλαγγες αὐτοῖς ἀραρυῖαί τε ἦσαν καὶ καρτεραί, τὸν δὲ τὰ πρὸς τὸν ἀδελφὸν τὸν ἑαυτοῦ Πέρσην, ἐν οἷς αὐτὸν ἔργων τε ἐκέλευσεν ἅπτεσθαι καὶ γεωργίᾳ*
10 *προσκεῖσθαι, ὡς μὴ δέοιτο ἑτέρων, μηδὲ πεινῴη. καὶ ἀληθέστερα, ξένε, περὶ τῶν Ὁμήρου χρόνων ταῦτα, ξυντίθεται γὰρ αὐτοῖς ὁ Πρωτεσίλεως. δύο γοῦν ποιητῶν ὕμνον ποτὲ εἰπόντων ἐς αὐτὸν* 196
ἐνταυθοῖ καὶ ἀπελθόντων ἤρετό με ὁ ἥρως ἀφικόμενος, ὅτῳ αὐτῶν ψηφιζοίμην, ἐμοῦ δὲ τὸν φαυλότερον ἐπαινέσαντος, καὶ γὰρ μᾶλλον ἔτυχεν ᾠδηκώς, γελάσας ὁ Πρωτεσίλεως „καὶ Πανίδης“,
15 *εἶπεν „ἀμπελουργέ, ταὐτόν σοι πέπονθεν· Χαλκίδος γὰρ τῆς ἐπ' Εὐρίπῳ βασιλεὺς ὢν ἐκεῖνος Ἡσιόδῳ κατὰ Ὁμήρου ἐψηφίσατο καὶ ταῦτα τὸ γένειον μεῖζον ἔχων ἢ σύ.“ γέγονε μὲν δή, ξένε, ποιη-*
3 *τὴς Ὅμηρος καὶ τὰ ποιήματα ἀνθρώπου ταῦτα καὶ τὰ ὀνόματα ᾖδει καὶ τὰ ἔργα ξυνελέξατο μὲν ἐκ τῶν πόλεων, ἃς ἕκαστοι ἦγον, ἦλθε μὲν γὰρ περὶ τὴν Ἑλλάδα μετὰ χρόνον τῶν Τρωικῶν οὔπω ἱκανὸν ἐξαμαυρῶσαι τὰ ἐν τῇ Τροίᾳ, ἔμαθε δὲ αὐτὰ καὶ τρόπον ἕτερον δαιμόνιόν τε καὶ σοφίας πρόσω· ἐς Ἰθάκην γάρ ποτε τὸν Ὅμηρον πλεῦσαί φασιν ἀκούσαντα, ὡς πέπνυται ἔτι ἡ ψυχὴ τοῦ*
20 *Ὀδυσσέως καὶ ψυχαγωγίᾳ ἐπ' αὐτὸν χρήσασθαι, ἐπεὶ δὲ ἀνελθεῖν τὸν Ὀδυσσέα, ὁ μὲν ᾠδὼτα αὐ-*
728 *τὸν τὰ ἐν Ἰλίῳ, ὁ δὲ εἰδέναι μὲν πάντα ἔλεγε καὶ μεμνῆσθαι αὐτῶν, εἰπεῖν δ' ἂν οὐδὲν ὧν οἶδεν, εἰ μὴ μισθὸς αὐτῷ παρ' Ὁμήρου γένοιτο εὐφημίαι τε ἐν τῇ ποιήσει καὶ ὕμνος ἐπὶ σοφίᾳ τε καὶ ἀνδρίᾳ. ὁμολογήσαντος δὲ τοῦ Ὁμήρου ταῦτα καὶ ὅ τι δύναιτο, χαριεῖσθαι αὐτῷ ἐν τῇ ποιήσει φήσαντος, διῆει Ὀδυσσεὺς πάντα ξὺν ἀληθείᾳ τε καὶ ὡς ἐγένετο, ἥκιστα γὰρ πρὸς αἵματι καὶ* 198
25 *βόθροις αἱ ψυχαὶ ψεύδονται. ἀπιόντος δὲ ἤδη τοῦ Ὁμήρου βοήσας ὁ Ὀδυσσεὺς „Παλαμήδης με“ ἔφη „δίκας ἀπαιτεῖ τοῦ ἑαυτοῦ φόνου καὶ οἶδα ἀδικῶν καὶ πάντως μὲν πείσομαί τι, οἱ γὰρ θεμιστεύοντες ἐνταῦθα δεινοί, Ὅμηρε, καὶ τὰ ἐκ Ποινῶν ἐγγύς, εἰ δὲ τοῖς ἄνω ἀνθρώποις μὴ δόξω εἰργάσθαι τὸν Παλαμήδην ταῦτα, ἧττόν με ἀπολεῖ τὰ ἐνταῦθα· μὴ δὴ ἄγε τὸν Παλαμήδην ἐς*
30 *Ἴλιον, μηδὲ στρατιώτῃ χρῶ, μηδέ, ὅτι σοφὸς ἦν, εἴπῃς. ἐροῦσι μὲν γὰρ ἕτεροι ποιηταί, πιθανὰ δὲ οὐ δόξει μὴ σοὶ εἰρημένα“. αὕτη, ξένε, ἡ Ὀδυσσέως τε καὶ Ὁμήρου ξυνουσία, καὶ οὕτως Ὅμηρος τὰ ἀληθῆ μὲν ἔμαθε, μετεκόσμησε δὲ πολλὰ ἐς τὸ συμφέρον τοῦ λόγου, ὃν ὑπέθετο.*

Φ. Πατρίδα δὲ Ὁμήρου, ὦ ἀμπελουργέ, καὶ τίνων ἐγένετο, ἦρου ποτὲ τὸν Πρωτεσίλεων;

1. τῆς πάσης. EB. ib. οἱ αὐτοί. g. αὐτὸν. γ. ib. που om. φ. ποι. p. 3. ἑπόμενοι. δ. 4. αὐτῷ om. 2. ib. εἶδεν. nic. m. 5. ἔνιοι. EB. ib. τετταράκοντα ἔτη. 2. 6. οἱ Ἀθηναῖοι addunt 2, EB, om. 1, 3, 4. ib. ἐς Ἰωνίαν om. γ. ib. καὶ om. d. 7. φασί om. γ, φ. ib. δὲ. n. ib. ἄμφω om. d. ib. ἑπτὰ om. EB. 8. ᾆσαι καὶ καρτεραί. C. καὶ καρτεραὶ ἦσαν. EB. 9. τὸν ἑαυτοῦ om. 2. ib. ἐκέλευσεν. γ, φ. ἐκέλευεν. ς. 13. οὐ γάρ. γ. ib. ᾠδηκώς. l, π, r ᾠδηκώς. f. ᾠδηκὼς et ει suprasc. γ. εἰρηκὼς. 3, 4. ᾠριστευκὼς et γρ. ᾠδηκώς. 2. ᾠριστευκώς. EB. Fo: ἴτυζέ με ᾠδηκώς. 14. εἶπεν. C. ἔφη. EB. ib. ταὐτό. l. ib. ἔπαθε et γρ. πέπονθε. 2. ib. Ἡσίοδον. 2. 15. μεῖζον ἔχων. e, n. ib. ἢ σοῦ. γ. ib. δὴ om. γ. 16. καὶ τὰ ὀνόματα. 1. τὰ δὲ ὀνόματα. ς. ib. ᾔδη. 4. (ᾐδὲ n). ᾔδει om. r, E. 17. ἃ. g. ib. ἕκαστος. d, B. ib. μὲν om. E. ib. παρὰ. l. 18. ἀμαυρῶσαι. l. ib. αὐτὰ C (om. n). ταῦτα E. ib. κατὰ τρόποι. g. pr. m. ib. τι καὶ. g. 19. φασιν. C. φησιν. EB. ib. ἐπίπνυται. 2. ἐπέπνυται. n. 20. αὐτὸν. f. αὐτὴν. ς. 21. ἔλεγε om. f. ib. εἰπεῖν δ' αὐτοῦ οὐδὲν. γ. 22. Ὁμήρῳ. γ, 2. ib. τε αἱ ἐν ἀνδρίᾳ suprasc. ει penult. syllabae. 2. ἀνδρίᾳ. f. ἀνδρείᾳ. ς. 24. Ὀδυσσεὺς. f, γ. ὁ Ὀδ. ς. ib. ἐν ἀληθείᾳ. d. ib. αἵμασι. l. 25. ᾔδη om. j. 26. δίκην. j, e, n. ib. μὲν ἀπαιτεῖ. γ. 27. ἄνω om. 2, g, e. ib. δόξαι. g. 28. μὴ δὲ. 3, g, e. 29. εἰπέ. f. εἴποις. EB. εἴπῃς om. j, e, n. 30. τε om. 2. ib. οὕτως Ὁμ. f, γ, 2, g, j. οὕτως ὁ Ὁμ. ς. 31. τὰ ἀληθῆ. 1, 3. ταληθῆ. ς. ib. μετεκόμισε et γρ. μετεκόσμησε. 2. ib. πολλὰ om. δ, ρ. ib. ὃν et suprascr. ὃ. 2. ὃν. B. ὃ. ς.
32. Ὁμήρου. om. f. ib. ὁ ἀμπελουργέ. g.

191, 196, 198. 2, 3, p. 727. 728.

Ἀ. Καὶ πολλάκις, ξένε.

Φ. Ὁ δὲ τί;

200 Ἀ. Φησὶ μὲν εἰδέναι, Ὁμήρου δὲ παραλιπόντος αὐτά, ἵνα αἱ σπουδαῖαι τῶν πόλεων πολίτην αὐτὸν σφῶν αὐτῶν ποιοῖντο, ἴσως δὲ καὶ θεσμοῦ Μοιρῶν ἐπὶ Ὁμήρῳ ὄντος, ἄπολιν αὐτὸν δοκεῖν, οὔτ' ἂν ταῖς Μοίραις οὔτ' ἂν ταῖς Μούσαις φίλα γε ἔφη αὐτὸν πράττειν, εἰ τοῦτ' ἐκφέροι περιεστηκὸς λοιπὸν ἐς ἔπαινον τῷ Ὁμήρῳ. προστίθενται μὲν γὰρ αὐτῷ πᾶσαι μὲν πόλεις, πάντα δὲ ἔθνη, καὶ δικάσαιντο δ' ἂν περὶ αὐτοῦ πρὸς ἀλλήλας ἐγγράφουσαι τῷ Ὁμήρῳ ἑαυτὰς 729
οἷον πολίτῃ. τοῦ δὲ μηδ' ἂν τοῦτον σιωπῆσαι τὸν λόγον πρὸς σέ, ὦ Φοῖνιξ, μηδ' ἂν κρύψαι, εἴπερ ἐγίγνωσκον αὐτόν, τεκμήριά σοι ἔστω, ἃ εἴρηκα, ἀφθόνως γὰρ οἶμαι διεληλυθέναι σοι, ὁπόσα οἶδα.

Φ. Πιστεύω, ἀμπελουργέ, καὶ ἐπώμεθα τῷ λόγῳ, δι' ὃν σιωπᾶται ταῦτα. τὸν δὲ Ἀχιλλέα ὥρα σοι ἀναφαίνειν, εἰ μὴ καὶ ἡμᾶς ἐκπλήξει, ὥσπερ τοὺς Τρῶας, ὅτε ἔλαμψεν ἐπ' αὐτοὺς ἀπὸ τῆς τάφρου.

Ἀ. Μὴ δέδιθι τὸν Ἀχιλλέα, ὦ ξένε, παιδὶ γὰρ ἐντεύξῃ αὐτῷ παρὰ τὴν πρώτην τοῦ XIX, 1
λόγου.

Φ. Μεγάλα δώσεις διεξελθὼν αὐτὸν ἐκ νηπίου· μετὰ ταῦτα γὰρ ὁπλιζομένῳ που ἐντευξόμεθα καὶ μαχομένῳ.

202 Ἀ. Οὕτως ἔσται καὶ πάντα φήσεις τὰ Ἀχιλλέως εἰδέναι. ἤκουσα δὲ περὶ αὐτοῦ τοιαῦτα· Πηλεῖ φάσμα ἐφοίτα θαλαττίας δαίμονος καὶ ἐρῶσα αὐτοῦ, οἶμαι, ἡ δαίμων ξυνῆν τῷ Πηλεῖ ἐν Πηλίῳ, αἰδοῖ τοῦ ὁμίλου οὔπω τὰ ἑαυτῆς λέγουσα, οὐδὲ ὁπόθεν ἥκοι· γαλήνης δὲ ἐπεχούσης τὴν θάλατταν ἡ μὲν ἔτυχεν ἐπὶ δελφίνων τε καὶ ἱπποκάμπων ἀθύρουσα, ὁ δὲ ἐκ περιωπῆς τοῦ Πηλίου ὁρῶν ταῦτα ξυνῆκε τῆς θεοῦ καὶ ἔδεισεν ἥκουσαν· ἡ δὲ ἐς θάρσος ἦγε τὸν Πηλέα Ἠοῦς τε μνημονεύουσα, ὡς Τιθωνοῦ ἥρα, καὶ Ἀφροδίτης, ὡς ἥττητο τοῦ Ἀγχίσου, καὶ Σελήνης, ὡς Ἐνδυ- 730
μίωνι ἐπεφοίτα καθεύδοντι. „ἐγὼ δέ σοι καὶ παῖδα" εἶπεν „ὦ Πηλεῦ, δώσω κρείττω ἀνθρώπου"· ἐπεὶ δὲ ὁ Ἀχιλλεὺς ἐγένετο, ποιοῦνται αὐτοῦ τροφέα τὸν Χείρωνα, ὁ δὲ ἔτρεφεν αὐτὸν κηρίοις τε 2
καὶ μυελοῖς νεβρῶν ἐς ἡλικίαν τε ἥκοντα, ἐν ᾗ οἱ παῖδες ἀμαξίδων καὶ ἀστραγάλων δέονται, εἶργε μὲν οὐδὲ τῶν τοιούτων, ἀκοντίοις δὲ εἴθιζε καὶ παλτοῖς καὶ δρόμοις, ἦν δὲ αὐτῷ καὶ μελία μικρὰ τετμημένη ὑπὸ τοῦ Χείρωνος καὶ ἐῴκει ψελλιζομένῳ ἐς τὰ πολεμικά. ἐφήβου δὲ ἁπτόμενος ἀκτῖνα
204 μὲν ἀπὸ τοῦ προσώπου ἔπεμπεν, ὑπερφυὴς δὲ τὸ σῶμα ἐφαίνετο, αὐξηθείς τε ῥᾷον ἢ τὰ πρὸς ταῖς πηγαῖς δένδρα πολὺς μὲν ἐν συμποσίοις ἤδετο, πολὺς δὲ ἐν σπουδαῖς. ἐπεὶ δὲ θυμοῦ ἥττων ἐφαίνετο, μουσικὴν αὐτὸν ὁ Χείρων ἐδιδάξατο, μουσικὴ γὰρ ἱκανὴ πραύνειν τὸ ἔτοιμόν τε καὶ ἀνεστηκὸς τῆς γνώμης, ὁ δὲ οὐδενὶ πόνῳ τάς τε ἁρμονίας ἐξέμαθε καὶ πρὸς λύραν ᾖσεν. ᾖδε δὲ τοὺς ἀρχαίους ἥλικας τὸν Ὑάκινθον καὶ τὸν Νάρκισσον καὶ εἴ τι Ἀδώνιδος. προσφάτων δὲ ὄντων τῶν περὶ Ὕλλᾳ τε καὶ Ἀβδήρῳ θρήνων, ἐπειδὴ ἄμφω ἐφήβω ὄντε ὁ μὲν ἐς πηγὴν ᾤχετο ἀφανισθείς, τὸν δὲ αἱ τοῦ Διομήδους ἵπποι ἐδαίσαντο, οὐκ ἀδακρυτὶ ταῦτα ᾖδεν. ἤκουσα δὲ κἀκεῖνα,

1. καὶ om. δ.
3. σπουδαὶ αὐτῶν. γ. 4. αὐτῶν om. m, o, B. ib. ποιῶνται. β. ib. ἴσως οὐδέ. f. ib. αὐτῶν. γ. 5. φύλα. γ. ib. ἔφην. g. 6. προστίθεται. f. ib. μὲν om. g. 7. δὲ γένη. j, ubi γρ. ἔθνη. 8. ὦ om. 2.
11. τῷ λόγῳ ἑπόμεθα. 2. ib. σιοπῆσαι. ψ. ib. δὲ om. 2. 12. ἐπὶ τῆς τ. d.
16. ἐντεύξῃ. β.
18. τὰ τοῦ Ἀχ. l. ib. τοιάδε. f, β, δ. τοιαῦτα — αὐτοῦ om. γ. 19. Θετταλίας. f. ib. αὐτοῦ οἶμαι. 2, EB. αὐτοῦ. ς. 20. ἦκει. 2. ib. ἐπεσχούσης. p. 21. θάλασσαν. f. ib. περιοπῆς. γ, nic, m, o. 24. ἐφοίτα. 2. ib. εἶπεν om. d. 25. Χείρονα. 2. 26. ἐν οἷς. f. 27. ἤθιζε. γ et E. 30. σπουδαῖς. γ, i ante corr. et E. ib. θυμοῦ τε. γ. p. 32. ὑπερανεστηκός. EB. ib. ᾖσεν. 2. 33. ἀχαιούς. j. ib. εἴ τινα Ἀδώνιδος. γ. εἴ τινα Ἀδών. φ (sic) εἴ τινα et γρ. εἴ τι. 2. 34. Ἀβήρῳ. 2. καὶ δήρῳ. γ cum lac. ib. ἐφοίβω. γ. 35. οἱ. γ.

200, 202, 204. XIX, 1, 2, p. 729. 730.

θύειν μὲν αὐτὸν τῇ Καλλιόπῃ μουσικὴν αἰτοῦντα καὶ τὸ ἐν ποιήσει κράτος, τὴν θεὸν δὲ ἐπιστῆναι καθεύδοντι καὶ „ὦ παῖ", φάναι „μουσικῆς μὲν καὶ ποιητικῆς δίδωμί σοι τὸ ἀποχρῶν, ὡς ἡδίους μὲν τὰς δαῖτας ἐργάζοιο, κομίζοις δὲ τὰς λύπας, ἐπειδὴ δὲ ἐμοί τε καὶ Ἀθηνᾷ δοκεῖ πολεμικὸν εἶναί σε καὶ δεινὸν ἐν στρατοπέδοις, Μοῖραί τε οὕτω κελεύουσι, σὺ μὲν ἐκεῖνα γυμνάζου κἀκείνων ἔρα· ποιητὴς δὲ ἔσται χρόνοις ὕστερον, ὃν ἐγὼ ἀνήσω τὰ σὰ ἔργα ὑμνεῖν. ταυτὶ μὲν αὐτῷ περὶ Ὁμήρου ἐχρήσθη. μειράκιον δὲ γενόμενος οὐχ, ὥσπερ οἱ πολλοί φασιν, ἀπόθετος ἐν Σκύρῳ ἐτρέφετο, τοῦτο δὴ τὸ ἐν ταῖς παρθένοις· οὔτε γὰρ τὸν Πηλέα εἰκὸς ἄριστον τῶν ἡρώων γενόμενον ὑπεκπέμψαι ποι τὸν υἱὸν πολέμους τε καὶ κινδύνους ἀποδράντα καὶ ταῦτα τοῦ Τελαμῶνος ἐξορμῶντος τὸν Αἴαντα, οὔτ' ἂν Ἀχιλλεὺς ἠνέσχετο ἐς γυναικωνῖτιν ἐσβεβλῆσθαι παρεὶς ἑτέροις τὸ θαυμάζεσθαί τε καὶ εὐδοκιμεῖν ἐν Τροίᾳ. τὸ γὰρ φιλότιμον πλεῖστον δὴ καὶ ἐν αὐτῷ ἦν.

Φ. Τί οὖν δὴ ὁ Πρωτεσίλεως, ἀμπελουργέ, περὶ τούτων οἶδεν;

Ἀ. Πιθανώτερα, ξένε, καὶ ἀληθέστερα· φησὶ γὰρ Θησέα ἐξ Ἀθηνῶν φεύγοντα ἐπὶ τῇ ἀρᾷ τῇ ἐς τὸν υἱὸν ἀποθανεῖν ὑπὸ Λυκομήδους ἐν Σκύρῳ, Θησεῖ δὲ ξένον ὄντα τὸν Πηλέα καὶ κοινωνὸν τοῦ Καλυδωνίου ἔργου στεῖλαι τὸν Ἀχιλλέα ἐς τὴν Σκῦρον τιμωρὸν τῷ Θησεῖ, τὸν δὲ ἐκπλεύσαντα ὁμοῦ τῷ Φοίνικι μόνα ὑπὸ γήρως τὰ ξυμβουλευτικὰ εἰδότι κατασεῖσαι τὴν Σκῦρον ἐκ προσβολῆς μετέωρον οὖσαν καὶ ἀνῳκισμένην ἐπ' ὄχθου πετραίου, τὸν Λυκομήδην δὲ σχεῖν μέν, οὐ μὴν ἀποκτεῖναι, ἀλλ' ἐρέσθαι, τί παθὼν ἄνδρα ἑαυτοῦ βελτίω φεύγοντα ἀπέκτεινεν, εἰπόντα δὲ „ὅτι ἐπ' ἀδίκοις, ὦ Ἀχιλλεῦ, ἥκοντα καὶ πειρῶντα τὴν ἀρχὴν τὴν ἐμήν", ἀφῆκεν ὡς ἐν δίκῃ ἀποκτείναντα καὶ ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ ἔφη πρὸς τὸν Πηλέα. Δηιδάμειαν δὲ θυγατέρα τοῦ Λυκομήδους ἔγημε καὶ γίγνεται αὐτοῖς Νεοπτόλεμος ὀνομασθεὶς τοῦτο διὰ νεότητα τοῦ Ἀχιλλέως, καθ' ἣν ἐς τὸ πολεμεῖν ὥρμησεν. ἐνταῦθα τῷ Ἀχιλλεῖ διαιτωμένῳ παρεγίγνετο ἡ Θέτις καὶ ἐθεράπευε τὸν υἱόν, ὥσπερ αἱ θνηταὶ τῶν μητέρων, ξυλλεγομένου δὲ ἐς τὴν Αὐλίδα τοῦ στρατοῦ διεπόρθμευσεν αὐτὸν ἐς τὴν Φθίαν διὰ τὰ ἐπ' αὐτῷ κεκλωσμένα τὸν Πηλέα ποιουμένη κύριον τοῦ παιδός, λέγεται δὲ καὶ ὅπλα ἐκποιῆσαι αὐτῷ, οἷα μήπω τις ἤνεγκε, ξὺν οἷς ἐς τὴν Αὐλίδα ἀφικόμενος ἐλπίδος τε ὑπέπλησε τὸν στρατὸν θεοῦ τε οὕτω τι ἐνομίσθη παῖς, ὡς θύειν αὐτοὺς τῇ Θέτιδι ἐπὶ θαλάττῃ καὶ προσκυνεῖν τὸν Ἀχιλλέα ἄττοντα ἐν τοῖς ὅπλοις. ἠρόμην τὸν Πρωτεσίλεων καὶ περὶ τῆς μελίας, ὅ τι ἦν τὸ περὶ αὐτὴν θαῦμα, καί φησι μῆκος μὲν εἶναι τῇ μελίᾳ, ὃ μὴ ἄλλῃ αἰχμῇ, εὐθὺ δὲ τὸ ξύλον καὶ οὕτω τι ἐρρωμένον, ὡς μὴ ἂν κλασθῆναι, τὸ δὲ στόμα τῆς αἰχμῆς ἀδάμαντός τε εἶναι καὶ παντὸς διεκπαίειν, τὸν δὲ στύρακα ἐκ τοῦ ἐπὶ θάτερα ὀρειχάλκου ἐμβεβλῆσθαι, ἵνα πᾶσα δὴ ἀστράπτουσα ἐμπίπτοι.

Φ. Τὰ δὲ ὅπλα, ὦ ἀμπελουργέ, πῶς φησιν αὐτῷ κεκοσμῆσθαι;

Ἀ. Οὐ τὸν Ὁμήρου τρόπον, ὦ ξένε· θεῖα μὲν γὰρ κἀκεῖνα ἐξευρῆσθαι τῷ Ὁμήρῳ πόλεις τε

1. τὸ ἐποιήσει. γ. 2. φᾶναι. γ. 3. κοιμίζεις. φ. κομίζοις. ε. ib. δὲ om. γ. 4. δεινὸν ἐν δεινοῖς ἐν στρατοπέδοις. i. δεινὸν ἐν δεινοῖς στρ. 2, 3 (p ante corr.) 5. ἔργα ὑμνεῖν. 1, 3. ὑμνεῖν ἔργα. 2, 4, EB. 6. φασιν om. d. 7. τουτὶ γὰρ δὴ. 2. ib. τὸν om. 2. 8. πη. γ, φ. οἱ. j. 9. γυναικονίτιν. suprasc. ω. φ. ib. ἐσβεβλῆσθαι. γ, l, 3. ἐμβεβλῆσθαι. b, j, e, d, π, 2, EB. ἐκβεβλῆσθαι. n. βεβλῆσθαι. g. 10. τε om. π. ib. δὴ καὶ. γ, φ, β. ἤδη καὶ. l, 4. ἤδη. p ex corr. B. ἤδη et γρ. ἤδη καὶ. 2. δὴ. E. ib. ἐν αὐτῷ εἶναι et γρ. ἐν αὐτῷ ἦν. 2.

11. περὶ αὐτῶν et γρ. περὶ τούτων. 2.

15. γρ. τῷ Κίμυκι. i. 16. ἀπῳκισμένην. 2. ib. Λυκομήδη. γ, g. Λυκομήδην. β, n. 17. μὴν δ'. 2. ib. βελτίω φεύγοντα. 2, EB. φεύγοντα. ς. ib. ἀπέκτεινεν. C. ἔκτεινεν. EB. 18. ἐνδίκως. 2. 19. αὐτῶν. nic. m. ib. Θησέα ex corr. φ. Ἀχιλλέα. g. 20. Νεοπτολέμῳ. γ. ib. τὴν νεότητα. EB. 21. τὸν πόλεμον. δ. ib. παρεγίγνετο. l, d, B. παρεγένετο. γ, 2, 3, 4, E. ἡ Θέτις παρεγένετο. 2. 22. τὴν om. δ. 23. διεπόρθμευεν. d. ib. Τροίαν. j. ib. δὲ ποιουμένη. 2, EB. 24. λέγεται δὲ καὶ. γ. λέγεται δὲ. ς. ib. ἐξήνεγκε. 2. 25. οὕτω τοι. EB. 26. εἰρόμην. E. 27. περὶ αὐτὴν. k. περὶ αὐτῇ et γρ. περὶ αὐτὴν. i. περὶ αὐτῇ. r. παρ' αὐτῇ. γ, l, 3, 4 praeter r. 28. οὕτω τοι. ε, o, B. ib. μηδὲ ἂν. E. μὴ ἀνακλασθῆναι. φ. ib. ἐπὶ θάτερον. d. 30. πᾶσα δὴ. γ, l, 3, i, r, B. δὴ πᾶσα. 4 praeter r et β (ubi πᾶσα διαστράπτουσα.) ἅπασα. E. ib. ἐμπίπτοι. l, 2, 3, r. ἐμπίπτει. γ. ἐμπίπτῃ. g, d, o, B. ἐκπίπτῃ. ε, m.

31. ὦ om. 2.

32. γὰρ om. γ, m.

206, 208, 210. 3, 4, p. 731. 732.

ἀναγράφοντι καὶ ἄστρα καὶ πολέμους καὶ γεωργίας καὶ γάμους καὶ ᾠδάς, ἀλλ' ἐκεῖνα περὶ αὐτῶν φησιν· Ἀχιλλεῖ ὅπλα μὴ γεγονέναι ἄλλα ἢ ἃ ἐς Τροίαν ἤνεγκε, μηδὲ ἀπολωλέναι ποτὲ Ἀχιλλεῖ ὅπλα, μηδὲ τὸν Πάτροκλον ἐνδῦναι αὐτὰ παρὰ τὴν μῆνιν, ἀποθανεῖν μὲν γὰρ ἐν τοῖς ἑαυτοῦ ὅπλοις εὐδοκιμοῦντα τῇ μάχῃ καὶ ἁπτόμενον ἤδη τοῦ τείχους, τὰ δὲ τοῦ Ἀχιλλέως ἄσυλα μεῖναι καὶ ἀνάλωτα, οὐδὲ γὰρ ἐν τοῖς ὅπλοις τελευτῆσαι αὐτόν, ἀλλὰ ἐς γάμον ἥκειν δοκοῦντα γυμνὸν ἀποθανεῖν ἐστε- 5 733
φανωμένον, ὥσπερ οἱ νυμφίοι, τὰ δὲ ὅπλα κατεσκευάσθαι μὲν ἄσημα καὶ σώφρονα, συγκεκρᾶσθαι δὲ αὐτοῖς ποίκιλμα ὕλης μεθιστάμενον ἐς αὐγὰς ἄλλοτε ἄλλας, ὅσας ἡ Ἶρις, ὅθεν δοκεῖν αὐτὰ πέρα τέχνης καὶ Ἡφαίστου ᾄδεσθαι.

212 *Φ.* Ἦ καὶ δείξεις αὐτόν, ἀμπελουργέ, καὶ ἀναγράψεις ἀπὸ τοῦ εἴδους; 5

Α. Τί δὲ οὐ μέλλω φιλήκοου γέ σου τυγχάνων; τὴν μὲν δὴ κόμην ἀμφιλαφῆ αὐτῷ φησιν 10
εἶναι καὶ χρυσοῦ ἡδίω καὶ εὐσχήμονα, ὅπη καὶ ὅπως κινοίη αὐτὴν ἢ ἄνεμος ἢ αὐτός, τὴν δὲ ῥῖνα οὔπω γρυπήν, ἀλλ' οἷον μέλλουσαν, τὴν δὲ ὀφρὺν μηνοειδῆ, τὸν θυμὸν δὲ τὸν ἐν τοῖς ὄμμασι χαροποῖς οὖσιν ἡσυχάζοντος μὲν ἀναβάλλεσθαί τινα ὁρμήν, ὁρμήσαντος δὲ συνεκπηδᾶν τῇ γνώμῃ τοῖς τε ὁρῶσιν ἡδίω αὐτὸν φαίνεσθαι· πεπονθέναι γάρ τι τοὺς Ἀχαιοὺς πρὸς αὐτόν, οἷόν τι πρὸς τοὺς ἀλκίμους τῶν λεόντων, ἀσπαζόμενοι γὰρ αὐτοὺς ἐν ἡσυχίᾳ μᾶλλον αὐτοῖς χαίρομεν, ἐπὰν 15
θυμοῦ ὑποπλησθέντες ἐπὶ σῦν ὁρμήσωσιν ἢ ταῦρον ἤ τι τῶν μαχίμων θηρίων. τὸ δὲ λῆμα τοῦ Ἀχιλλέως δηλοῦσθαί φησι καὶ παρὰ τοῦ αὐχένος, εἶναι γὰρ δὴ ὀρθὸν καὶ ἀνεστηκότα. δικαιότατον 6
δ' αὐτὸν ἡρώων γενέσθαι φύσει τε καὶ ξυνουσίᾳ τοῦ Χείρωνος. τό τοι διαβεβλῆσθαι πρὸς χρήματα ἐκεῖθεν τῷ Ἀχιλλεῖ φοιτῆσαι, διεβέβλητο γὰρ οὕτω πρὸς αὐτά, ὡς ἐκ τριῶν καὶ εἴκοσι πό-
214 λεων, ἃς αὐτὸς εἶλε, λαβεῖν μὲν πλεῖστα αἰχμάλωτα, μηδενὸς δὲ αὐτῶν ἡττηθῆναι πλὴν κόρης, ἣν 20
οὐδὲ αὐτὸς ἑαυτῷ δέδωκεν, ἀλλὰ τοὺς Ἀχαιοὺς ᾔτησεν, ἀδικίαν δὲ τοῖς Ἀχαιοῖς ἐπικαλοῦντος τοῦ Νέστορος, εἰ μὴ τὰ πλείω Ἀχιλλεὺς λήψοιτο „ἐμὸν ἔστω" ἔφη „τὸ πλέον τῶν ἔργων, χρήμασι δὲ πλεονεκτείτω ὁ βουλόμενος". ἐπ' ἐκείνης τῆς ἐκκλησίας, ὦ ξένε, καὶ ἡ πρὸς τὸν Ἀγαμέμνονα τῷ 734
Ἀχιλλεῖ μῆνις ὑπὲρ τοῦ Παλαμήδους ἤρξατο, μνημονεύων γὰρ τῶν πόλεων, ἃς ἅμφω ἐξεῖλον, „τοιαύτη μὲν" εἶπεν „ἡ τοῦ Παλαμήδους προδοσία, κἀμὲ δὲ κρινέτω ὁ βουλόμενος, ἀπὸ γὰρ τῶν 25
αὐτῶν ἥκω." δεξαμένου δὲ ἐς ἑαυτὸν ταῦτα τοῦ Ἀγαμέμνονος καὶ λοιδορουμένου τῷ Ἀχιλλεῖ τοῦ τε Ὀδυσσέως εἰπόντος, ὡς εἴη προδοσία καὶ τὸ ὑπὲρ προδότου λέγειν, ἐκεῖνον μὲν ἀπήλασε τῆς ἐκκλησίας οὐδὲ τοῖς Ἀχαιοῖς φίλα εἰπόντα, καθικόμενος δὲ τοῦ Ἀγαμέμνονος λοιδορίαις πλείοσιν ἔξω βελῶν διῃτήσατο μήτε ἔργον τι πράττων ἐς τὸ κοινὸν φέρον μήτε φοιτῶν ἐς τὰ βουλεύματα, ὅτε δὴ ἀφίκοντο αὐτῷ λιταὶ παρὰ τοῦ Ἀγαμέμνονος ἐν παντὶ ἤδη τῶν Ἀχαιῶν ὄντων, ἐπρέσβευον 30
δὲ αὐτὰς Αἴας τε καὶ Νέστωρ, ὁ μὲν διὰ τὸ ξυγγενές τε καὶ τὸ διηλλάχθαι ἤδη σφίσι μηνίσας
216 ἐφ' οἷς περ ὁ Ἀχιλλεὺς ἐμήνισεν, ὁ δὲ σοφίας τε ἕνεκα καὶ ἡλικίας, ἣν ἐτίμων οἱ Ἀχαιοὶ πάντες. ἐπεὶ δὲ τὸν γοῦν Πάτροκλον ξυμμαχῆσαί σφισι παρ' αὐτοῦ εὕραντο, ὁ μὲν δράσας τε καὶ παθών, ὑπόσα Ὅμηρός φησιν, ἀπέθανε μαχόμενος τῇ Τροίᾳ ὑπὲρ τοῦ τείχους, ὁ δ' ἔπραξε μὲν οὐδὲν 35
ἀγεννὲς ἐπ' αὐτῷ, οὐδὲ εἶπεν, ἀπολοφυράμενος δὲ αὐτὸν ἐρρωμένως καὶ θάψας, ὡς αὐτός τε

1. ἀντιγράφοντι. 2. 5. ἀλλὰ ἐς. γ, φ. ἀλλ' ἐς. ς. ib. ὕκειν. g. 7. ὥσπερ. 2. ὅσα. γ, p, d, g. ib. περὶ. g. 9. ἀμπιλουργέ. γ, l, g. ὦ ἀμπελ. ς. 10. γέ που. ib. τυγχάνοντος. φ. ib. φασιν. 2. 11. ὅποι. g, d, e, ρ. 12. μονοειδῆ. φ. ib. ῥυθμὸν. γ. 14. ἡδίω τότε. 2, EB. 15. αὐτὸν et οὓς suprasc. 2. ib. αὐτοῦ. 2. 16. γρ. ὑποπλησθέντος. 2. ib. ὑπὸ σῦν. 2. ib. λῆμμα. 3. 17. φασι. 2, g. 18. ἐξουσίᾳ. g. ib. τὸ γὰρ. d. 20. αὐτὸν. f, b, j, d, g. αὐτῶν. ς. 21. δέδωκεν. 1, 3, g, d, π. ἔδωκεν. ς. 22. φησιν. f. ib. πλεῖον. E. 23. τῷ om. 2. 24. ἤρξατο — Παλαμήδους om. γ. 26. εἰς αὐτὸν ταῦτα. 1, d. εἰς αὐτὸν τ. p. εἰς αὐτὰ ταῦτα. ψ. δὲ ταῦτα εἰς αὐτὸν. 2. 27. ὡς εἰ. m. 28. καθηκόμενος 2, m. ib. λοιδωρίαις. γ. 28. φέρων. 2. 30. ὅτε δ' ἀφίκοιντο. f. ib. ὅτε καὶ ἀφίκοντο. γ. ib. αὐτῷ om. g. ib. ἐν πα ' δέει. f (sic). ἐν παντὶ εἴδει. γ. 31. ξυγγενές. f, γ, 3, g, b. συγγενέσθαι. ε, m. ib. τὸ om. 2. ib. σφίσι μηνίσαι. 2. ib. μηνήσας. γ. 32. περ om. γ. 33. τὸν μὲν γὰρ. n. τὸν μὲν γοῦν. o. ib. εὕροντο. l, b, d, e, π. 34. οὐδ' ἔπραξε. b, e, n. 35. ἀγεννὲς. 2. ib. ἀπολοφυρόμενος. 2.

212, 214, 216, 5, 6, p. 733. 734.

7 ἐβούλετο κἀκείνῳ χαριεῖσθαι ᾧετο, ἐχώρει ἐπὶ τὸν Ἕκτορα. τὰς μὲν δὴ ὑπερβολάς, αἷς κέχρηται Ὅμηρος περί τε τοὺς ἀπολλυμένους αὐτοῖς ἅρμασιν, ὁπότε Ἀχιλλεὺς ἐφάνη, περί τε τοὺς ἐν τῷ
735 ποταμῷ σφαττομένους, τήν τε τοῦ ποταμοῦ κίνησιν, ὅτ' ἐπανίστη τῷ Ἀχιλλεῖ τὸ ἑαυτοῦ κῦμα, ἐπαινεῖ μὲν καὶ ὁ Πρωτεσίλεως ὡς ποιητικά, διαγράφει δὲ ὡς κεχαρισμένα, μήτε γὰρ τῷ Ἀχιλλεῖ
5 τηλικούτῳ ὄντι ἄπορον ἂν γενέσθαι τὸν Σκάμανδρον καὶ ταῦτα ἥττω ἢ οἱ μεγάλοι τῶν ποταμῶν ὄντα, μήτ' ἂν Ἀχιλλέα ἐς μάχην τῷ ποταμῷ ὁρμῆσαι, εἰ γὰρ καὶ σφόδρα ἐπ' αὐτὸν ἐμόρμυρεν, ἤλυξεν ἂν ἐκκλίνων καὶ μὴ ὁμόσε χωρῶν τῷ ὕδατι. πιθανώτερα δὲ τούτων ἐκεῖνα, οἶμαι, δίεισι· ξυνελαθῆναι μὲν ἐς τὸν ποταμὸν τοὺς Τρῶας καὶ πλείους ἀπολέσθαι σφῶν ἢ ἐν ἅπαντι τῷ πο- 218
10 λέμῳ ἀπώλοντο, οὐ μὴν μόνῳ γε Ἀχιλλεῖ πεπρᾶχθαι ταῦτα, ἀλλὰ θαρσήσαντας ἤδη παρ' αὐτοῦ τοὺς Ἕλληνας ἐπικαταβαίνειν καὶ τοὺς ἐν τῷ ποταμῷ σφάττειν, Ἀχιλλέα δὲ τούτων μὲν ἀμελεῖν,
8 ἀγωνίσασθαι δὲ ἀγῶνα τοιόνδε· ἦν ἀνὴρ ἐκ Παιονίας ἥκων, οὗ καὶ Ὅμηρος ἐπεμνήσθη, Ἀστεροπαῖον δὲ αὐτὸν καλεῖ καὶ Ἀξιοῦ τοῦ ποταμοῦ υἱωνὸν καὶ δεξιὸν ἅμφω τὼ χεῖρε, μέγιστον δὲ Ἀχαιῶν τε καὶ Τρώων ὄντα τὸν Παίονα καὶ θηρίου δίκην ὁμόσε χωροῦντα ταῖς αἰχμαῖς παρῆκεν Ὅμηρος τουτουί τοῦ λόγου, ἦγε δὲ καὶ ἀκραιφνῆ δύναμιν Παίονας ἱππέας ἄρτι ἐς Τροίαν ἥκων, οὓς
15 ἐτρέψατο μὲν ὁ Ἀχιλλεὺς ἐκπλήξας, δαίμονα γὰρ ἐμπεπτωκέναι σφίσιν ᾠοντο οὕπω ἀνδρὶ τοιῷδε ἐντετυχηκότες, ὑποστάντος δὲ Ἀστεροπαίου μόνου πλείω περὶ ἑαυτοῦ ἔδεισεν ἢ ὁπότε τῷ Ἕκτορι ἐμάχετο, καὶ οὐδὲ ἄτρωτος εἶλε τὸν Παίονα, ὅθεν τῶν συμμάχων ἀπαγορευόντων αὐτῷ μὴ μάχεσθαι τὴν ἡμέραν ἐκείνην τῷ Ἕκτορι οὐκ ἠνέσχετο τῶν λόγων τούτων, ἀλλὰ εἰπὼν „ἰδέτω με κρείττω καὶ τραυμάτων" ὥρμησεν ἐπὶ τὸν Ἕκτορα προτεταγμένον τοῦ τείχους. ἀποκτείνας δ' αὐτὸν
20 γενόμενον οἷον ἐν τῷ περὶ αὐτοῦ λόγῳ εἴρηκα, περιεῖλξε τῷ τείχει βάρβαρον μέν τινα καὶ ἀηδῆ 220
τρόπον, ξυγγνωστὸν δέ, ἐπειδὴ τῷ Πατρόκλῳ ἐτιμώρει. δαιμονίᾳ γὰρ δή τινι τὸν Ἀχιλλέα φύσει
736 χρώμενον ἀεί τι μέγα ὑπὲρ τῶν φίλων πράττειν, ὅθεν μηνῖσαι μὲν ὑπὲρ Παλαμήδους ὁμοῦ πᾶσιν Ἕλλησι, τιμωρῆσαι δὲ Πατρόκλῳ τε καὶ Ἀντιλόχῳ. τά τοι πρὸς τὸν Τελαμῶνος Αἴαντα περὶ φίλων αὐτῷ εἰρῆσθαι λεγόμενα σφόδρα χρὴ γιγνώσκειν· ἐρομένου γὰρ αὐτὸν μετὰ ταῦτα τοῦ Αἴαν-
25 τος, ποῖα τῶν ἔργων ἐπικινδυνότατα αὐτῷ γένοιτο, „τὰ ὑπὲρ τῶν φίλων" ὁ Ἀχιλλεὺς ἔφη. πάλιν δὲ ἐπερομένου, ποῖα ἡδίω τε καὶ ἀπονώτερα, ταὐτὸν ἀπεκρίνατο· θαυμάσαντος δὲ τοῦ Αἴαντος, πῶς ἂν ταὐτὸ ἔργον χαλεπόν τε γένοιτο καὶ ῥᾴδιον, „ὅτι" ἔφη „τὰ ὑπὲρ τῶν φίλων κινδυνεύματα μεγάλα ὄντα προθύμως πράττων τῆς ἐπ' αὐτοῖς λύπης παύομαι". „τραῦμα δέ, ὦ Ἀχιλλεῦ, ποῖον μάλιστά σε ἐλύπησεν"; ἦ δ' ὅς. „ὃ ἐτρώθην ὑπὸ τοῦ Ἕκτορος". „καὶ μὴν ὑπ' αὐτοῦ
30 γε οὐκ ἐτρώθης" ὁ Αἴας ἔφη. „νὴ Δία κεφαλὴν" ὁ Ἀχιλλεὺς εἶπε „τάς τε χεῖρας, σὲ μὲν γὰρ κεφαλὴν ἐμαυτοῦ ἡγοῦμαι, Πάτροκλος δέ μοι χεῖρες ἦν".

9 Τὸν δὲ Πάτροκλον ὁ Πρωτεσίλεως, ὦ ξένε, πρεσβύτερον μὲν τοῦ Ἀχιλλέως οὐ πολὺ γενέσθαι 222
φησί, θεῖον δὲ ἄνδρα καὶ σώφρονα τῷ τε Ἀχιλλεῖ ἐπιτηδειότατον τῶν ἑταίρων, χαίρειν τε γάρ, ὁπότε καὶ ὁ Ἀχιλλεὺς ἔχαιρε, λυπεῖσθαί τε τὸν αὐτὸν τρόπον καὶ ξυμβουλεύειν ἀεί τι καὶ ἀκούειν

2. ἅρμασι Τρῶας. EB. ib. ὁ Ἀχ. 2, EB. 3. ὁπότ'. 4, EB. ib. ἐπανέστη. β, n, o, B. 4. μὲν ὁ. 2. 6. εἰ δὲ et suprasc. γὰρ. p. εἰ καὶ. ψ. εἰ γὰρ om. δ. 7. ἔλυξεν, suprasc. ἦ. γ. 9. ἀπώλοντο. 2. ib. τῷ Ἀχ. EB. ib. περᾴχθαι. EB. 10. ἐν ποταμῷ. g. 12. γὰρ αὐτὸν. g. ib. Ἀξιοῦ. γ. Ἀξίου. ς. ib. υἱὸν et γρ. υἱωνὸν. i. 13. ὁ Ὅμηρος. EB. 14. τουτοΐ. 2. ib. ἤδε καί. γ. ib. Παίονας εἰς Τροίαν ἄρτι ἱππέας ἥκων. γ. ib. ἅρματι et γρ. ἄρτι. 2. 15. ὁ om. 2. ib. δαίμονα δὲ. γ. ib. τοιούτῳ. γ, 3. 16. αὐτοῦ. E. 22. μηνῆσαι. γ. ib. ὁμοῦ om. f, φ, ψ et p ante corr. 23. δὲ om. f. 24. δὲ αὐτὸν. j, e, n. 25. ἐπικινδυνώτατα. γ, EB. 26. ἐπανερομένου. h. ib. ποῖα τῶν ἔργων. β, r. ib. τε om. E. ib. ταὐτό. l, g, e, n, π. ταῦτα. γ, ψ. τὰ αὐτὰ. h. τὸ αὐτὸ. p, b, j, r. 27. τε om. d, e, n. 28. ὦ Ἀχ. ποῖον μ. σε. f, l, d, b, j, π, et g, ubi om. σε. Ἀχ. ποῖον μ. σε. γ, 3. ποῖον μ. σε, ὦ Ἀχ. 2, EB. ib. ὃ ὅς. γ. 29. ὑπ' αὐτοῦ γε οὐκ ἐτρώθης. C. οὐκ ἐτρώθης γε ὑπ' αὐτοῦ. 2, EB. 30. εἶπε et suprasc. ἔφη. ψ. ib. εἶπεν ὁ Ἀχ. g. ib. μὲν om. 3. σὲ δὲ. γ. 31. κεφαλὴν ἐμαυτοῦ ἡγοῦμαι. f, γ, p, b, e, r. κ. αὐτοῦ ἡγ. g. κ. ἡγ. ἐμαυτοῦ. ψ, π. ἐμ. κεφ. ἡγ. 2, EB.

33. δὲ om. 2. ib. ἑτέρων. e. 34. καὶ om. m, o. ib. τε om. 2. ib. γρ. αὐτῷ τι. 2. ἀεί τε. ρ.

218, 220, 222. 7, 8, 9, p. 735. 736.

ᾄδοντος, καὶ οἱ ἵπποι δὲ αὐτὸν ἔφερον χαίροντες, ὥσπερ καὶ τὸν Ἀχιλλέα. ἦν δὲ καὶ τὸ μέγεθος καὶ τὴν ἀνδρίαν μεταξὺ τοῖν Αἰάντοιν, τοῦ μὲν γὰρ Τελαμωνίου πάντα ἐλείπετο, ἐκράτει δὲ ἄμφω τοῦ Λοκροῦ, καὶ μελίχλωρος ἦν ὁ Πάτροκλος καὶ τὼ ὀφθαλμὼ μέλας καὶ ἱκανῶς εὔοφρυς καὶ μέτρα ἐπαινῶν κόμης, ἡ κεφαλὴ δὲ ἐβεβήκει ἐπ' αὐχένος, οἷον αἱ παλαῖστραι ἀσκοῦσιν, ἡ δὲ ῥὶς ὀρθή τε ἦν καὶ τοὺς μυκτῆρας ἀνευρύνετο, καθάπερ οἱ πρόθυμοι τῶν ἵππων.

Φ. Ἐς καλόν με τῶν τοῦ Ἀχιλλέως ἵππων ἀνέμνησας, ὦ ἀμπελουργέ, σφόδρα γὰρ δέομαι 10 737
μαθεῖν, τί βελτίους ὄντες ἑτέρων ἵππων θεῖοι ἐνομίσθησαν.

Α. Ἡρόμην κἀγώ, ξένε, τὸν ἥρω αὐτὸ τοῦτο καὶ φησι τὴν μὲν λεγομένην ἀθανασίαν περὶ
αὐτοὺς εἶναι μεμυθολογῆσθαι τῷ Ὁμήρῳ, τὴν Θετταλίαν δὲ εὐιππόν τε οὖσαν καὶ ἀγαθὴν δύο
21 ἵππους λευκόν τε καὶ ξανθὸν δαιμονίους τὴν ταχυτῆτα καὶ τὸ ἦθος λαμπροὺς ἱπποτροφῆσαι κατὰ 10
θεόν δή τινα, ὁπότε ὁ Ἀχιλλεὺς ἤνθει, καὶ πάντων, ὅσα θείως ἐπὶ τῷ Ἀχιλλεῖ ἐλέγετο, πιστευο-
μένων ἤδη ἐδόκει καὶ τὸ τῶν ἵππων θεῖόν τε εἶναι καὶ ἐπέκεινα τοῦ θνητοῦ φαίνεσθαι. τελευτὴ 11
δὲ τῷ Ἀχιλλεῖ ἐγένετο, ἣν καὶ Ὅμηρος ἐπιγιγνώσκει· φησὶ γὰρ αὐτὸν ἐκ Πάριδός τε καὶ Ἀπόλλω-
νος ἀποθανεῖν εἰδώς που τὰ ἐν τῷ Θυμβραίῳ καὶ ὅπως πρὸς ἱεροῖς τε καὶ ὅρκοις, ὧν μάρτυρα
τὸν Ἀπόλλω ἐποιεῖτο, δολοφονηθεὶς ἔπεσεν. ἡ θυσία δὲ τῆς Πολυξένης ἡ ἐπὶ τῷ σήματι καὶ ὅσα 15
περὶ τοῦ ἔρωτος ἐκείνου ποιητῶν ἀκούεις, ὧδε ἔχει· Πολυξένης ὁ Ἀχιλλεὺς ἦρα καὶ τὸν γάμον
τοῦτον ἑαυτῷ ἔπραττεν ἐπὶ τῷ τοὺς Ἀχαιοὺς ἀναστῆσαι τοῦ Ἰλίου, ἦρα δὲ καὶ ἡ Πολυξένη τοῦ
Ἀχιλλέως. εἶδον δὲ ἀλλήλους ἐν λύτροις Ἕκτορος, ὁ γὰρ Πρίαμος ἦκων παρὰ τὸν Ἀχιλλέα χειρα-
226 γωγὸν ἑαυτοῦ τὴν παῖδα ἐποιεῖτο νεωτάτην οὖσαν ὧν ἡ Ἑκάβη αὐτῷ ἔτεκεν, ἐθεράπευον δὲ ἀεὶ τὸ
βάδισμα τῶν πατέρων οἱ νεώτατοι τῶν παίδων, καὶ οὕτω δή τι ὁ Ἀχιλλεὺς ἐσωφρόνει ὑπὸ δικαιο- 20
σύνης καὶ τὰ ἐρωτικά, ὡς μήτε ἀφελέσθαι τὴν κόρην ἐφ' ἑαυτῷ οὖσαν γάμον τε αὐτῆς ὁμολογῆσαι
τῷ Πριάμῳ πιστεῦσαί τε ἀναβαλομένῳ τὸν γάμον. ἐπεὶ δὲ ἀπέθανε γυμνὸς ἐν τοῖς περὶ τούτων
ὅρκοις λέγεται ἡ Πολυξένη φευγουσῶν ἐκ τοῦ ἱεροῦ τῶν Τρωάδων καὶ τῶν Τρώων ἐσκεδασμένων,
οὐδὲ γὰρ τὸ πτῶμα τοῦ Ἀχιλλέως ἀδεῶς ἤνεγκαν, αὐτομολίᾳ χρήσασθαι καὶ φυγεῖν ἐς τὸ Ἑλλη- 738
νικὸν ἀναχθεῖσά τε τῷ Ἀγαμέμνονι ζῆν μὲν ἐν κομιδῇ λαμπρᾷ τε καὶ σώφρονι, καθάπερ ἐν πα- 25
τρὸς οἰκίᾳ, τριταίου δὲ ἤδη κειμένου τοῦ νεκροῦ δραμεῖν ἐπὶ τὸ σῆμα ἐν νυκτὶ ξίφει τε αὐτὴν
ἐπικλῖναι πολλὰ εἰποῦσαν ἐλεεινὰ καὶ γαμικά, ὅτε δὴ καὶ δεῖσθαι τοῦ Ἀχιλλέως ἐραστήν τε μεῖναι
καὶ ἀγαγέσθαι αὐτὴν μὴ ψευσάμενον τὸν γάμον. ἃ δὲ τῷ Ὁμήρῳ ἐν δευτέρᾳ Ψυχοστασίᾳ εἴρηται, 12
εἰ δὴ Ὁμήρου ἐκεῖνα, ὡς ἀποθανόντα Ἀχιλλέα Μοῦσαι μὲν ᾠδαῖς ἐθρήνησαν, Νηρηίδες δὲ πλη-
γαῖς τῶν στέρνων, οὐ παραπολύ φησι κεκομπάσθαι, Μούσας μὲν γὰρ οὔτε ἀφικέσθαι οὔτε ᾆσαι, 30
οὐδὲ Νηρηίδων τινὰ ὀφθῆναι τῷ στρατῷ καίτοι γιγνωσκομένας, ὅτι ἥκουσι, θαυμαστὰ δὲ ξυμβῆ-
ναι ἕτερα καὶ οὐ πόρρω τῶν Ὁμήρῳ εἰρημένων· ἐκ γὰρ τοῦ κόλπου τοῦ Μέλανος ἡ θάλαττα

1. οἱ om. b, c. ib. ἔφερον χαίροντες. f, γ, i, p. ἐχαίροντες. k. ἔχαιρον φέροντες. l, 4, o, B. χαίροντες ἔφερον. ε, m. 2. ἀνδρείαν. γ, l, 3, g, b, e, π, ε. ib. γὰρ om. f, γ. ib. ἐλέλειπτο et γρ. ἐλείπετο. 2. 3. μελίχλωρος. l, 3, 4. μελάγχρους et γρ. μελίχρωος. 2. μελίχρωος. ε, B. μελίχρως. m, o. 4. οἷον. f. οἷον. ς.
6. μοι. γ. ib. γὰρ δὴ. 2, EB. γὰρ om. p. ib. βούλομαι. l, 4. 7. ὄντες ἑτέρων. f, γ. ἑτέρων ὄντες. ς.
8. ξένε, τὸν ἥρω. 1, 3, 4. τὸν ἥρω, ξένε. 2, EB. ib. φασὶ. δ. 9. μεμυθολογεῖσθαι. i, ψ, E. ib. τότε δύο. 4. EB. ib. δύ' ἵππους. f. 10. λευκόν τε καὶ ξανθὸν. f, γ, 3, B. ξανθόν τε καὶ λευκόν. l, 4. Λάμπον τε καὶ Ξάνθον. 2, E. ib. ταχυτῆτα. γ, l, g, B. 14. τὰς ἐν τῷ Θυμβράθῳ. γ. γρ. Θρυμβαίῳ. 2. ib. ὅπερ. j. 15. ἐποιεῖτο τὸν Ἀπ. δ. ib. ἔπεσεν et γρ. ἀπέθανεν. 2. ib. ἡ Θ. δὲ ἡ ἐπὶ τῆς Πολ. 2. 17. ἐπὶ τὸ. γ. ib. ἀναστῆναι. 2. ib. ἦρα καὶ Π. 2. 18. ἀλλήλοις. 2. 19. ἐπ. τὴν π. g. ib. δ' ἀεί. γ. 20. νεώτατοι. γ. νεώτεροι. ς. ib. δή τοι. γ, EB. δέ τι. 2. ib. ἐφρόνει. γ. ib. ὑπὸ δικαιοσύνης ἐσωφρόνει. 2, EB. 21. ἑαυτοῖς. γ. ib. γάμον δὲ. e. 22. τε om. m. ib. ἀναβαλομένῳ. γ. ib. ἐπὶ τούτων. f. περὶ τούτων. γ, l, 2, 3, 4. ὑπὲρ τούτων. EB. 23. ἐκ τοῦ ἱεροῦ om. γ, 3. ib. καὶ τῶν Τρώων om. γ. 24. ἤνεγκαν ἀδεῶς. g. ib. τὸ φυγεῖν. m. 25. μὲν om. d, g, j. 26. αὐτὴν. m, o. 27. ἐπικλῖναι. γ. ἀποκτεῖναι. 2, d, g. 28. ψευσαμένην. E. ψευσάμενον et ην suprasc. i. 29. Ἀχιλλέα. γ, l, g. τὸν Ἀχ. ς. ib. Νηρεῖδες. γ, l. sic ubique. 30. ᾆσαι. C (praeter φ: ἐᾶσαι). αἰάσαι. EB. 31. ὅτι. C. ὅτε. EB. 32. θάλασσα. γ. g, b, j.

ἀνοιδήσασα τὰ μὲν πρῶτα ἐμυκᾶτο, μετ' οὐ πολὺ δὲ ἀρθεῖσα λόφῳ μεγάλῳ ἴσῃ ἐχώρει ἐς τὸ Ῥοι- 225
τεῖον ἐκπεπληγμένων τῶν Ἀχαιῶν καὶ ἀπορούντων, ὅ τι αὐτοί τε καὶ ἡ γῆ πείσονται, ἐπεὶ δὲ
πλησίον ἐγίγνετο καὶ προσεκύμαινε τῷ στρατοπέδῳ, ἠρῆνον ἦχησεν ὀξύν τε καὶ ἀθρόον, καθάπερ
γυναικῶν ὅμιλος, ὃν ἐς τὰ κήδη ἀναφθέγγονται. τούτου δὲ θείου τε καὶ δαιμονίου φανέντος καὶ
πάντων ὁμολογούντων, ὅτι Νηρηίδας ἦγε τὸ κῦμα, οὐδὲ γὰρ ἐπέκλυσεν οὐδέν, ἀλλὰ ῥᾷόν τε καὶ
λεῖον τῇ γῇ προσευνάσθη, πολλῷ θειότερα τὰ ἐφεξῆς ἔδοξεν· ἐπειδὴ γὰρ νὺξ ὑπέλαβεν, οἰμωγὴ
τῆς Θέτιδος διεφοίτα τὸν στρατὸν ἀνευφημούσης τε καὶ τὸν υἱὸν βοώσης. ἐβόα δὲ τορὸν μέγα τε
καὶ ἔναυλον, καθάπερ ἡ ἐν τοῖς ὄρεσιν ἠχώ, καὶ τότε μάλιστα οἱ Ἀχαιοὶ ξυνῆκαν, ὅτι τέκοι τὸν
Ἀχιλλέα ἡ Θέτις, οὐδὲ ἄλλως ἀπιστοῦντες. τὸν μὲν δὴ κολωνὸν τοῦτον, ξένε, ὃν ἐπὶ τοῦ μετώ-
739 που τῆς ἀκτῆς ὁρᾷς ἀνεστηκότα, ἤγειραν οἱ Ἀχαιοὶ ξυνελθόντες, ὅτε τῷ Πατρόκλῳ ξυνεμίχθη ἐς
τὸν τάφον, κάλλιστον ἐντάφιον ἑαυτῷ τε κἀκείνῳ διδούς, ὅθεν ᾄδουσιν αὐτὸν οἱ τὰ φιλικὰ ἐπαι-
νοῦντες. ἐτάφη δὲ ἐκδηλότατα ἀνθρώπων πᾶσιν οἷς ἐπήνεγκεν αὐτῷ ἡ Ἑλλὰς οὐδὲ κομᾶν ἔτι μετὰ
τὸν Ἀχιλλέα καλὸν ἡγούμενοι χρυσόν τε καὶ ὅ τι ἕκαστος εἶχεν ἢ ἀπάγων ἐς Τροίαν ἢ ἐκ δασμοῦ 226
λαβών, νήσαντες ἐς τὴν πυρὰν ἀθρόα παραχρῆμά τε καὶ ὅτε ὁ Νεοπτόλεμος ἐς Τροίαν ἦλθε, λαμ-
πρῶν γὰρ δὴ ἔτυχε πάλιν παρά τε τοῦ παιδὸς παρά τε τῶν Ἀχαιῶν ἀντιχαρίζεσθαι αὐτῷ πειρω-
μένων, οἵ γε καὶ τὸν ἀπὸ τῆς Τροίας ποιούμενοι πλοῦν περιέπιπτον τῷ τάφῳ καὶ τὸν Ἀχιλλέα
ᾤοντο περιβάλλειν.

13 Φ. Τὸν Νεοπτόλεμον δέ, ὦ ἀμπελουργέ, ποῖόν τινα γενέσθαι φησί;

Ἀ. Γενναῖον, ὦ ξένε, καὶ τοῦ μὲν πατρὸς ἥττω, φαυλότερον δὲ οὐδὲν τοῦ Τελαμωνίου,
ταὐτὸ δὲ καὶ περὶ τοῦ εἴδους φησί, καλὸν μὲν γὰρ εἶναι καὶ προσεοικότα τῷ πατρί, λείπεσθαι δὲ
14 αὐτοῦ τοσοῦτον, ὅσον τῶν ἀγαλμάτων οἱ καλοὶ λείπονται. καὶ μὴν καὶ ὕμνων ἐκ Θετταλίας ὁ
Ἀχιλλεὺς ἔτυχεν, οὓς ἀνὰ πᾶν ἔτος ἐπὶ τὸ σῆμα φοιτῶντες ᾄδον ἐν νυκτὶ τελετῆς τι ἐγκαταμ-
γνύντες τοῖς ἐναγίσμασιν, ὡς Λήμνιοί τε νομίζουσιν καὶ Πελοποννησίων οἱ ἀπὸ Σισύφου.

Φ. Ἄλλος αὖ λόγος ἥκει, ἀμπελουργέ, οὔ, μὰ τὸν Ἡρακλέα, οὐκ ἂν μεθείμην οὐδ' εἰ πάνθ' 227
ὑπὲρ τοῦ παραπτῆναι αὐτὸν πράττοις.

740 Ἀ. Ἀλλὰ τὰς ἐκβολὰς τῶν λόγων ἀδολεσχίας ἔνιοι, ξένε, ἡγοῦνται καὶ λῆρον πρὸς τοὺς μὴ
σχολὴν ἄγοντας. σὲ δὲ ὁρῶ δοῦλον μὲν τῆς νεώς, ἧς ἄρχεις, δοῦλον δὲ τῶν ἀνέμων, ὧν εἰ καὶ
μικρὰ αὖρα κατὰ πρύμναν σταίη, δεῖ τὰ ἱστία ἀνασείειν καὶ συνεξαίρεσθαι τῇ νηὶ πάντα δεύτερα
ἡγουμένους τοῦ πλεῖν.

Φ. Ἐρρώσθω λοιπὸν ἡ ναῦς καὶ τὰ ἐν αὐτῇ, τὰ γὰρ τῆς ψυχῆς ἀγώγιμα ἡδίω τέ μοι καὶ
κερδαλεώτερα, τὰς δὲ ἐκβολὰς τῶν λόγων μὴ λῆρον, ἀλλ' ἐπικέρδειαν ἡγώμεθα τῆς ἐμπορίας
ταύτης.

1. ἐμηκᾶτο. ε, m. 2. καὶ ἐκπεπληγμένων. d et p, ubi καὶ suprasc. ἐκπεπληγμένων δὲ. EB. ib. ἀπορρούντων. γ. ib. ἐπειδὴ. EB. 3. ἐγίγνετο. γ, l, 3, 4. ἐγένετο. 2, EB. 5. πάντα ὁμολογοῦντα. 2. 6. προσευνάσθη. 1, 2, g. προσηνάσθη. 3, 4 praeter g, EB. ib. ὑπέλαβεν. C. ἐπέλαβεν in i ex corr. EB. 7. τὸν om. γ. ib. τὸ ἱερὸν. C. τορὸν. EB. 8. οἱ om. 2, EB. 9. τὸν μὲν οὖν. β. δὴ om. 2. ib. τοῦτον, ξένε. γ, l, 3. ὦ ξένε τοῦτον. 4. ξένε τοῦτον. 2, EB. 10. ἤγειραν. o. ib. ὅτε. 3, 4. 11. τε om. φ. ib. διδοὺς. 1, 3, 4. δοὺς. 2, EB. 12. δὲ om. γ. 13. ἦγεν. 2. ib. ἐπάγων. b, j. 14. νήσάν τε ἐς. 2. ib. τε om. 2. ib. δὲ καὶ. φ. ib. καὶ om. g, b. ib. ὁ om. γ. 15. γὰρ om. γ. ib. πάλιν om. 2. ib. τῶν ἐνταφίων παρὰ. 2, EB. ib. ἀεί τι χαρίζεσθαι. 2. 16. ποιοῦντες τὸν ἀπόπλουν. b.

18. τὸν δὲ *N*. d. ib. ὦ om. g.

20. ταῦτα. 2. 22. ἐπὶ τὸ σῆμα (μνῆμα φ) φοιτῶντες. C. φοιτῶντες ἐπὶ τὸ σῆμα. EB.

24. οὐ μὰ. 2. ib. μεθοίμην. ε, m. 25. τοῦ μὴ. γ, i. γρ. E. τοῦ om. p, b. ib. πράττεις. 2. ἔπραττον. E.

26. ἀδολεσχίαν. π, n. 27. μὲν om. γ. 28. αὖρα. γ, g. E. ib. ξυναίρεσθαι. π. 29. ἡγούμενος. g. ib. πλοῦ. δ. 30. ἐρρώσθω. 1, 2, 3, b, g, EB. ἐρρῶσθαι. j, e, n. ἐρρέτω et γρ. ἐρρώσθω. π. ib. ἡ ναῦς om. δ. 31. ἐπαίρδειαν. l, 3, g, d, r, ρ, B. Valck. Diatr. 289. ἐπὶ κερδίαν. 2. ἐπικερδίαν γ. ἐπὶ κέρδει ἂν. j, e, n, π, o. ἐπικαιρίαν. e, m, unde ἐπικαρπίαν Salm.

228, 230, 232. 13, 14, p. 739. 740.

Ἀ. Ὑγιαίνεις, ξένε, οὑτωσὶ γιγνώσκων, καὶ ἐπειδὴ βούλει, ἄκουε· τὰ μὲν δὴ Κορινθίων ἐπὶ Μελικέρτῃ, τούτους γὰρ δὴ τοὺς ἀπὸ Σισύφου εἶπον, καὶ ὁπόσα οἱ αὐτοὶ δρῶσιν ἐπὶ τοῖς τῆς Μηδείας παισίν, οὓς ὑπὲρ τῆς Γλαύκης ἀπέκτειναν, θρήνῳ εἴκασται τελεστικῷ τε καὶ ἐνθέῳ, τοὺς μὲν γὰρ μειλίσσονται, τὸν δὲ ὑμνοῦσιν. ἐπὶ δὲ τῷ ἔργῳ τῷ περὶ τοὺς ἄνδρας ὑπὸ τῶν ἐν Λήμνῳ γυ-
231 ναικῶν ἐξ Ἀφροδίτης ποτὲ πραχθέντι καθαίρεται μὲν ἡ Λῆμνος καὶ καθ' ἕνα τοῦ ἔτους καὶ σβέννυ- 5
ται τὸ ἐν αὐτῇ πῦρ ἐς ἡμέρας ἐννέα, θεωρὶς δὲ ναῦς ἐκ Δήλου πυρφορεῖ, κἂν ἀφίκηται πρὸ τῶν ἐναγισμάτων, οὐδαμοῦ τῆς Λήμνου καθορμίζεται, μετέωρος δὲ ἐπισαλεύει τοῖς ἀκρωτηρίοις, ἕς τε ὅσιον τὸ ἐσπλεῦσαι γένηται. θεοὺς γὰρ χθονίους καὶ ἀπορρήτους καλοῦντες τότε καθαρόν, οἶμαι, 741
τὸ πῦρ τὸ ἐν τῇ θαλάττῃ φυλάττουσιν, ἐπειδὰν δὲ ἡ θεωρὶς ἐσπλεύσῃ καὶ νείμωνται τὸ πῦρ ἕς τε τὴν ἄλλην δίαιταν ἕς τε τὰς ἐμπύρους τῶν τεχνῶν, καινοῦ τὸ ἐντεῦθεν βίου φασὶν ἄρχεσθαι. 10
τὰ δὲ Θετταλικὰ ἐναγίσματα φοιτῶντα τῷ Ἀχιλλεῖ ἐκ Θετταλίας ἐχρήσθη Θετταλοῖς ἐκ Δωδώνης· ἐκέλευσε γὰρ δὴ τὸ μαντεῖον Θετταλοὺς ἐς Τροίαν πλέοντας θύειν ὅσα ἔτη τῷ Ἀχιλλεῖ καὶ σφάττειν τὰ μὲν ὡς θεῷ, τὰ δὲ ὡς ἐν μοίρᾳ τῶν κειμένων. καταρχὰς μὲν δὴ τοιάδε ἐγίγνετο· ναῦς ἐκ Θετ-
ταλίας μέλανα ἱστία ἠρμένη ἐς Τροίαν ἔπλει θεωροὺς μὲν δὶς ἑπτὰ ἀπάγουσα, ταύρους δὲ λευκόν τε καὶ μέλανα χειροήθεις ἄμφω καὶ ὕλην ἐκ Πηλίου, ὡς μηδὲν τῆς πόλεως δέοιντο καὶ πῦρ ἐκ 15
Θετταλίας ἦγον καὶ σπονδὰς καὶ ὕδωρ τοῦ Σπερχειοῦ ἀρυσάμενοι, ὅθεν καὶ στεφάνους ἀμαραντί-
236 νους ἐς τὰ κήδη πρῶτοι Θετταλοὶ ἐνόμισαν, ἵνα, κἂν ἄνεμοι τὴν ναῦν ἀπολάβωσι, μὴ σαπροὺς ἐπιφέρωσι μηδ' ἐξώρους. νυκτὸς μὲν δὴ καθορμίζεσθαι ἔδει καὶ πρὶν ἅψασθαι τῆς γῆς ὕμνον ἀπὸ τῆς νεὼς ᾄδειν ἐς τὴν Θέτιν ὧδε ξυγκείμενον·

Θέτι κυανέα, Θέτι Πηλεία, 20
ἃ τὸν μέγαν τέκες υἱόν,
Ἀχιλλέα, τοῦ θνατὰ μὲν ὅσον
φύσις ἤνεγκεν,
Τροία λάχε, σᾶς δ' ὅσον ἀθανάτου
γενεᾶς παῖς ἔσπασε, Πόντος ἔχει. 25 742
βαῖνε πρὸς αἰπὺν τόνδε κολωνὸν
μετ' Ἀχιλλέως ἔμπυρα . . .
βαῖν' ἀδάκρυτος μετὰ Θεσσαλίας,
Θέτι κυανέα, Θέτι Πηλεία.

προσελθόντων δὲ τῷ σήματι μετὰ τὸν ὕμνον ἀσπὶς μὲν ὥσπερ ἐν πολέμῳ ἐδουπεῖτο, δρόμοις δὲ 30
ἐρρυθμισμένοις συνηλάλαζον ἀνακαλοῦντες τὸν Ἀχιλλέα, στεφανώσαντες δὲ τὴν κορυφὴν τοῦ κολωνοῦ καὶ βόθρους ἐπ' αὐτῇ ὀρύξαντες τὸν ταῦρον τὸν μέλανα ὡς τεθνεῶτι ἔσφαττον.

1. ὑγιαίνοις. γ, EB. ib. οὑτωσί. γ. 3. οὕτω. ς. ib. καὶ om. γ. ib. μὲν γὰρ Κορ. 3, δ. μὲν Κορ. 2. 2. δὴ om. g. 3. ἀπέκτεινε. ε, m. ἀπέκτεινον. o. 4. γὰρ δὴ. EB. ib. ἐπεὶ δὲ. l. 5. καὶ καθ' ἕνα τοῦ ἔτους. γ, φ, ψ. καὶ καθ' ἕκαστον τοῦ ἔτους. p ex corr. καθ' ἕνα τοῦ ἔτους. E. καθ' ἕκαστον ἔτος. l, 2, 4, B. 6. ἐς om. m, o, B. ib. πῦρ φορεῖ. l. 7. ἔστε ὅσιον. C. ἔστ' ἂν αἴσιον. EB. 8. ἐκπλεῦσαι. γ, ψ, π. πλεῦσαι. ε, m. ib. γένοιτο. γ et 2 ubi γρ. γένηται. 9. τὸ ἐν — τὸ πῦρ om. φ. ib. δὲ om. g. 10. ἐμπόρους. b, j. ib. κενοῦ et γρ. καινοῦ. 2. κοινοῦ. ψ. ib. τοὐντεῦθεν. γ. τε ἐντεῦθεν. φ. ib. φασιν om. γ, l, φ, b, j. ib. ἄρχονται. p. 11. ἐκ — Θετταλοῖς om. γ. 12. σφάττειν μὲν τὰ μὲν. γ. 13. τὰ δὲ. γ. τάδ'. E. ib. δὴ om. 2. 14. θεωρὶς suprascr. οὐς. φ. ib. ἐπάγουσα. γ, g, j, e. ib. ταῦρον. j, e, n. 15. ἐκ Πηλ. C. ἐκ τοῦ Πηλ. EB. 17. ἐνομίσθησαν. e. ib. ἀπολαύωσι. 2, d. ἀποβάλωσι. Salm. 18. ἐξαώρους. 2.

20. κυαναία. 2. ib. Πηλία. C. ib. Πηλεῖ ἃ. Visconti. Recepi ἃ. 21. τέκες. B. ἔτεκες. C, E. 22. Ἀχιλλῆα. E. ib. ὅσων. 2. 23. ἤνεικε. b. ib. τοι Τροία. E. 26. βαῖν' ἐπ' αὐτὸν. 1, i, 3, 4. βαῖνε πρὸς αἰπὺν. 2 (in i γρ.). EB. Totum vs. om. n. ib. τόνδε om. 1, 3, 4 praeter β. τὸν. ρ. 27. μετ' om. o. ib. ἐν πυρᾷ. e. Post ἔμπυρα aliquid excidisse, ex. gr. βαῖνε θεά, metrum docet. 28. εὐδάκρυτος. ε, in m. γρ. ἀδακρ. ib. μετὰ Θυηλὰς. e, m. 29. κυαναία. 2. ib. Πηλία. C.

30. ἐδουπεῖτο. 1, 3, 4. περιεδούπει et γρ. περιεδουπεῖτο. 2. περιεδουπεῖτο. EB. 31. συνηλάλουν. γ. ib. δὲ om. g. 32. ἐπ' αὐτοῦ. l.

234, 236, p. 741, 742.

ἐκάλουν δὲ καὶ τὸν Πάτροκλον ἐπὶ τὴν δαῖτα, ὡς καὶ τοῦτο ἐς χάριν τῷ Ἀχιλλεῖ πράττοντες, 238
ἐντεμόντες δὲ καὶ ἐναγίσαντες κατέβαινον ἐπὶ τὴν ναῦν ἤδη καὶ θύσαντες ἐπὶ τοῦ αἰγιαλοῦ τὸν
ἕτερον τῶν ταύρων Ἀχιλλεῖ πάλιν κανοῦ τε ἐναρξάμενοι καὶ σπλάγχνων ἐπ' ἐκείνῃ τῇ θυσίᾳ.
ἔθυον γὰρ τὴν θυσίαν ταύτην ὡς θεῷ, περὶ ὄρθρον ἀπέπλεον ἀπάγοντες τὸ ἱερεῖον, ὡς μὴ ἐν τῇ
5 πολεμίᾳ εὐωχοῖντο. ταῦτα, ξένε, τὰ οὕτω σεμνὰ καὶ ἀρχαῖα καταλυθῆναι μὲν ὑπὸ τῶν τυράννων
φασίν, οἳ λέγονται μετὰ τοὺς Αἰακίδας ἄρξαι Θετταλῶν, ἀμεληθῆναι δὲ καὶ ὑπὸ τῆς Θετταλίας·
αἱ μὲν γὰρ ἔπεμπον τῶν πόλεων, αἱ δ' οὐκ ἠξίουν, αἱ δὲ ἐς νέωτα πέμψειν ἔφασαν, αἱ δὲ κατὲ-
743 βαλλον τὸ πρᾶγμα. αὐχμῷ δὲ πιεσθείσης τῆς γῆς καὶ κελευούσης τῆς μαντείας τιμᾶν τὸν Ἀχιλλέα
ὡς θέμις, ἃ μὲν ὡς θεῷ ἐνόμιζον, ἀφεῖλον τῶν δρωμένων ἐξηγούμενοι ταύτῃ τὸ ὡς θέμις, ἐνή-
10 γιζον δὲ ὡς τεθνεῶτι καὶ ἐνέτεμνον τὰ ἐπιτυχόντα, ἔς τε ἡ Ξέρξου ἔλασις ἐπὶ τὴν Ἑλλάδα ἐγένετο,
ἐν ᾗ Θετταλοὶ μηδίσαντες ἐξέλιπον πάλιν τὰ ἐς τὸν Ἀχιλλέα νόμιμα, ἐπειδὴ ναῦς ἐς Σαλαμῖνα ἐξ
Αἰγίνης ἔπλευσεν ἄγουσα ἐπὶ ξυμμαχίᾳ τοῦ Ἑλληνικοῦ τὸν τῶν Αἰακιδῶν οἶκον. ἐπεὶ δὲ Ἀλέξαν-
δρος ὁ Φιλίππου χρόνοις ὕστερον τὴν μὲν ἄλλην Θετταλίαν ἐδουλώσατο, τὴν δὲ Φθίαν τῷ Ἀχιλ- 240
15 λεῖ ἀνῆκεν ἐπί τε Δαρεῖον στρατεύων ξύμμαχον τὸν Ἀχιλλέα ἐν Τροίᾳ ἐποιήσατο, ἐπεστράφησαν
οἱ Θετταλοὶ τοῦ Ἀχιλλέως καὶ ἵππον τε, ὁπόσην Ἀλέξανδρος ἐκ Θετταλίας ἦγε, περιήλασαν τῷ
τάφῳ ξυνέπεσόν τε ἀλλήλοις, ὥσπερ ἱππομαχοῦντες, καὶ ἀπῆλθον εὐξάμενοί τε καὶ θύσαντες, ἐκά-
λουν δὲ αὐτὸν ἐπὶ Δαρεῖον αὐτῷ Βαλίῳ τε καὶ Ξάνθῳ, βοῶντες ταῦτα ἀπὸ τῶν ἵππων. ἐπεὶ δὲ
Δαρεῖος ἥλω καὶ πρὸς τοῖς Ἰνδικοῖς Ἀλέξανδρος ἦν, ξυνέστειλαν οἱ Θετταλοὶ τὰ ἐναγίσματα καὶ
ἔπεμπον ἄρνα μέλανα. τῶν δὲ ἐναγιζόντων οὔτε ἀφικνουμένων ἐς Τροίαν, εἴ τε ἀφίκοιντο, μεθ'
20 ἡμέραν ἕκαστα καὶ οὐκ ἐν κόσμῳ πραττόντων, ἐμήνισεν ὁ Ἀχιλλεύς, καὶ ὁπόσα τῇ Θετταλίᾳ ἐνέ-
σκηψεν εἰ διεξίοιμι, ἀδολεσχίας πλέως ὁ λόγος ἔσται. πρὸ ἐτῶν δέ που τεττάρων ἐντυχὼν ἐνταῦθά
μοι ὁ Πρωτεσίλεως ἐκ Πόντου μὲν ἥκειν ἔφη, νεὼς γὰρ ἐπιτυχὼν πλεῦσαι παρὰ τὸν Ἀχιλλέα ξένῳ
εἰκασθείς, τουτὶ δὲ θαμὰ πράττειν, ἐμοῦ δὲ εἰπόντος, ὡς φιλέταιρός τε καὶ χρηστὸς εἴη φιλῶν
744 τὸν Ἀχιλλέα „ἀλλὰ νῦν" ἔφη „διενεχθεὶς αὐτῷ ἦκω, Θετταλοῖς γὰρ ὑπὲρ τῶν ἐναγισμάτων μη-
25 νίοντα αἰσθόμενος „ἐμοί", ἔφην „ὦ Ἀχιλλεῦ, πάρες τοῦτο". ὁ δ' οὐ πείθεται, φησὶ δ' 242
αὐτοῖς κακόν τι ἐκ θαλάττης δώσειν. καὶ δέδια, μὴ παρὰ τῆς Θέτιδος εὕρηταί τι αὐτοῖς ὁ δεινὸς
ἐκεῖνος καὶ ἀμείλικτος." κἀγὼ μέν, ξένε, ταῦτα ἀκούσας τοῦ Πρωτεσίλεω ἐρυσίβας τε ᾤμην καὶ
ὁμίχλας προσβεβλῆσθαι τοῖς Θετταλῶν ληίοις ὑπὸ τοῦ Ἀχιλλέως ἐπὶ φθορᾷ τοῦ καρποῦ, ταυτὶ
γὰρ τὰ πάθη δοκεῖ πως ἐκ θαλάττης ἐπὶ τὰς εὐκάρπους τῶν ἠπείρων ἰζάνειν, ᾤμην δὲ καὶ ἐπι-
30 κλυσθήσεσθαί τινας τῶν ἐν Θετταλίᾳ πόλεων, οἷα Βοῦρά τε καὶ Ἑλίκη καὶ ἡ περὶ Λοκροὺς Ἀτα-
λάντη ἔπαθεν, τὴν μὲν γὰρ καταδῦναί φασι, τὴν δ' αὖ ῥαγῆναι. ἐδόκει δ' ἄλλα τῷ Ἀχιλλεῖ καὶ
τῇ Θέτιδι, ὑφ' ὧν ἀπολώλασι Θετταλοί· μεγάλων γὰρ δὴ ἐπιτιμίων ὄντων ἐπὶ τῇ κόχλῳ, παρ' ἧς

1. ἐκάλουν δὲ καὶ τὸν om. γ cum lac. ib. δαῖταν. γ. ib. πράττ. ἐ. δὲ om. γ cum lac. 2. τοῦ αἰγιαλοῦ. 1, 3, 4, B. (τῷ αἰγιαλῷ. β, r.) τὸν αἰγιαλόν. E. 3. τῷ Ἀχ. 2. ib. ἀρξάμενοι. 2. ib. ἐπ' ἐκ. τ. Θ. om. γ cum lac. 4. θυον. γ. ἔμον. l. ἔθυον τὴν γὰρ Θ. τ. m. τὴν γὰρ Θ. τ. ἔθυον. o. ib. ἄγοντες τὸ ἱερεῖον om. γ. c. lac. ib. ἐπὶ τῇ π. et γρ. ἐν τῇ π. 2. 5. . . . . ὰ καὶ ἀρχαῖα om. γ. c. lac. ib. μὲν καὶ. C. μὲν. EB. ib. ὑπὸ τυρ. o. 6. ἄρξαι. γ. 7. αἱ μὲν — ἠξίουν om. γ. c. lac. αἱ δ' οὐκ ἠξίουν om. l. ib. νεάτατα. 2. ib. αἱ δὲ. C. ἀεὶ δὲ. E. ib. κατέβαλον. 2, 3, g, d, b, j. 8. πιεσθ. τ. γῆς. 2, EB. ib. κελτῆς. γ. 9. τὸ οὐ θέμις. d. 10. ἐνετίμων et γρ. ἐνέτεμνον. 2. ἀνέτεμνον. E. ib. ἔλευσις et α suprasc. 2. 11. μειδίσαντες. 2. 13. χρόνοις. C. χρόνῳ. EB. ib. τὴν μὲν om. δ. ib. Ἀχιλεῖ. γ. 14. ἐστράφησαν φ ante corr. 15. τε om. γ. 18. οἱ om. 2. 18. εἴτε ἀφικν. m. ib. ἐφικνουμένων. o. ib. τὴν Τρ. j. 20. ἐμήνισεν — Θετ. om. γ. c. lac. 21. διεξίμι. γ, φ. ib. πλήρης. d. ib. ἐτῶν — ἐντυχὼν om. γ. c. lac. ib. ἐνταυθοῖ μοι. γ, φ. 22. ἐπιτυχὼν — τὸν om. γ. c. lac. ib. ἄρα πλεῦσαι. φ. 23. εἰπόντος — τε om. γ. c. lac. ib. τε εἴη καὶ χρ. b. ib. τιμῶν τὸν Ἀ. 4. 24. αὐτῷ ἦκω Θετ. om. γ. c. lac. ib. ὑπὸ. γ, φ. 25. ἔφη. g, b. ib. Ἀχιλλεῦ πάρις τοῦ om. γ. c. lac. ib. οὐκ ἐπίθετο. 2. 26. μὴ — Θέτιδος om. γ. c. lac. 27. ξένε. 1, 3, 4. ὦ ξένε. 2, EB. ib. ἀκούσας τοῦ om. γ. c. lac. 28. τοῖς Θετταλῶν om. γ. c. lac. 29. ἐκ om. γ. ib. καὶ om. 2. ib. ἐπικλύσεσθαι. γ. 31. τὰς μὲν. υ. ib. καταδῆναι. o. ib. φησί. 2, ε, m. 32. οἱ Θ. 2, EB. ib. κόχλῳ. 2. ib. οἷς. 2.

238, 240. 242. 15. p. 743. 741.

οἱ ἄνθρωποι σοφίζονται τὴν πορφύραν, αἰτίαν ἔσχον οἱ Θετταλοὶ παρανομῆσαί τι ἐς τὴν βαφὴν
ταύτην, εἰ μὲν ἀληθῆ, οὐκ οἶδα, λίθοι οὖν ἐπικρέμανταί σφισιν, ὑφ' ὧν ἀποδίδονται μὲν τοὺς 745
ἀγρούς, ἀποδίδονται δὲ τὰς οἰκίας, τῶν δὲ ἀνδραπόδων τὰ μὲν ἀποδέδρακε σφᾶς, τὰ δὲ πέπραται,
244 καὶ οὐδὲ τοῖς γονεῦσιν οἱ πολλοὶ ἐναγίζουσιν, ἀπέδοντο γὰρ καὶ τοὺς τάφους· ὥστε τὸ κακόν, ὃ
ἠπείλει τοῖς Θετταλοῖς ἐκ θαλάττης ὁ Ἀχιλλεὺς δώσειν, ξένε, τοῦτο ἡγώμεθα. 5

Φ. Οὐλομένην, ἀμπελουργέ, μῆνιν λέγεις καὶ δυσίατον. ἀλλά μοι εἰπέ, τί περὶ τῆς ἐν τῷ 16
Πόντῳ νήσου θαυμάσιον ὁ Πρωτεσίλεως οἶδεν· ἐκεῖ γάρ που αὐτῷ ξυγγίγνεται.

Α. Ἐκεῖ, ξένε, καὶ λέγει περὶ αὐτῆς τοιαῦτα, ὡς νῆσος μὲν εἴη μία τῶν ἐν τῷ Πόντῳ πρὸς
τῇ ἀξένῳ πλευρᾷ μᾶλλον, ἣν τίθενται ἀριστερὰν οἱ τὸ στόμα τοῦ Πόντου ἐσπλέοντες, ἐπέχοι δὲ
στάδια μῆκος μὲν τριάκοντα, εὖρος δὲ οὐ πλείω τεττάρων, δένδρα τε ἐν αὐτῇ πεφύκοι λευκαί τε 10
καὶ πτελέαι, τὰ μὲν ἄλλα ὡς ἔτυχε, τὰ δὲ περὶ τὸ ἱερὸν ἐν κόσμῳ ἤδη. τὸ δὲ ἱερὸν ἵδρυται μὲν
πρὸς τῇ Μαιώτιδι — ἡ δὲ ἴση τῷ Πόντῳ ἐς αὐτὸν βάλλει — τὰ δὲ ἐν αὐτῷ ἀγάλματα Ἀχιλλεύς
τε καὶ Ἑλένη ὑπὸ Μοιρῶν ξυναρμοσθέντες. κειμένου γὰρ δὴ ἐν ὀφθαλμοῖς τοῦ ἐρᾶν καὶ ποιητῶν
τὸν ἔρωτα ἀπὸ τούτου ᾀδόντων πρῶτοι Ἀχιλλεύς τε καὶ Ἑλένη μηδὲ ὀφθέντες ἀλλήλοις, ἀλλ' ἡ
246 μὲν κατ' Αἴγυπτον, ὁ δὲ ἐν Ἰλίῳ ὄντες ἐρᾶν ἀλλήλων ὥρμησαν γένεσιν ἱμέρου σώματος ὦτα εὖ- 15 746
ρόντες. πεπρωμένης δὲ αὐτοῖς ἐς τὸ ἀθάνατον τῆς διαίτης, οὐδεμιᾶς γῆς τῶν ὑπὸ Ἰλίῳ . . . . . .
Ἐχινάδων τῶν κατ' Οἰνιάδας καὶ Ἀκαρνανίαν ἤδη μεμιασμένων, ὅτε δὴ Ἀλκμαίων ἀποκτείνας τὴν
μητέρα τὰς ἐκβολὰς τοῦ Ἀχελῴου ᾤκησεν ἐν γῇ νεωτέρᾳ τοῦ ἔργου, ἱκετεύει τὸν Ποσειδῶνα ἡ
Θέτις ἀναδοῦναί τινα ἐκ τῆς θαλάττης νῆσον, ἐν ᾗ οἰκήσουσιν. ὁ δὲ ἐνθυμηθεὶς τὸ μῆκος τοῦ
Πόντου καὶ ὅτι νήσου οὐδεμιᾶς ἐν αὐτῷ κειμένης ἀοίκητος πλεῖται, τὴν Λευκὴν νῆσον, ὁπόσην 20
εἶπον, ἀνέφηνεν Ἀχιλλεῖ μὲν καὶ Ἑλένῃ οἰκεῖν, ναύταις δὲ ἵστασθαι καὶ τῷ πελάγει ἐγκαθορμίζε-
σθαι. ξυμπάσης δὴ ἄρχων, ὁπόση ὑγρὰ οὐσία καὶ τοὺς ποταμοὺς ἐννοήσας τὸν Θερμώδοντα καὶ
τὸν Βορυσθένην καὶ τὸν Ἴστρον, ὡς ἀμηχάνοις τε καὶ ἀενάοις ῥεύμασιν ἐς τὸν Πόντον ἐκφέρον-
ται, προὔχωσε τὴν ἰλὺν τῶν ποταμῶν, ἣν ἀπὸ Σκυθῶν ἀρξάμενοι σύρουσιν ἐς τὸ πέλαγος νήσόν
τε, ὁπόσην εἶπον, ἀπετόρνευσε συστησάμενος αὐτὴν ἐν τῷ πυθμένι τοῦ Πόντου. ἐνταῦθα εἰδόν τε 25
πρῶτον καὶ περιέβαλον ἀλλήλους Ἀχιλλεύς τε καὶ Ἑλένη καὶ γάμον ἐδαίσαντο σφῶν Ποσειδῶν τε
αὐτὸς καὶ Ἀμφιτρίτη Νηρηίδες τε ξύμπασαι καὶ ὁπόσοι ποταμοὶ καὶ δαίμονες ἔρχονται τὴν Μαιῶ-
248 τίν τε καὶ τὸν Πόντον. οἰκεῖν μὲν δὴ λευκοὺς ὄρνιθας ἐν αὐτῇ φασιν, εἶναι δὲ τούτους ὑγρούς
τε καὶ τῆς θαλάττης ἀπόζοντας, οὓς τὸν Ἀχιλλέα θεράποντας ἑαυτοῦ πεποιῆσθαι κοσμοῦντας αὐτῷ
τὸ ἄλσος τῷ τε ἀνέμῳ τῶν πτερῶν καὶ ταῖς ἀπ' αὐτῶν ῥανίσι, πράττειν δὲ τοῦτο χαμαὶ πετομέ- 30

1. οἱ ἄνθρωποι. CB. ἄνθρωποι. E. 2. εἰ μὲν ἀληθῆ, οὐκ οἶδα add. post ταύτην. 2, EB. om. ς. 3. ἀποδίδονται — ἀγροὺς om. γ. 4. τοὺς om. 2.
6. λέγει. γ. 7. θαυμάσιον. C. θαυμαστὸν. EB. ib. ἐκεῖνα γὰρ. γ.
8. τῶν om. 4, E. 9. ἀξείνῳ. 2. ib. ἀριστερᾶ. n. 10. μὲν μῆκος. γ. ib. ἐπέχοι. l, g. ἐπέχει. ς. ib. τεσσάρων. f, g. ib. δένδρα δὲ. γ, c. ib. πεφύκοι. l, g, b, π. πεφύκει. γ, EB. πεφύκοι et ει suprasc. f. πεφύκασι suprasc. οι. j, c. πέφυκασι. d, n. 11. πτελαῖαι. 2. 12. τῷ om. 4. ib. ἐς αὐτὸ. o. ib. ἐκβάλλει. 2. ἐμβάλλει. EB. 13. ὑπὸ M. ξυναρμ. om. δ. ib. συναρμοσθέντες f. 14. πρῶτον. l, EB. πρώτῃ. ψ. 15. εὑρόντος. ψ. 16. αὐτῆς. ψ, b, j, d, g. ib. εἰς τὸν θάνατον. g. ib. οὐδεμιᾶς τῆς. 1, ψ. οὐδεμιᾶς οὔσης. p ex rasura, 2, 4. EB. Sc. οὐδεμιᾶς γῆς. ib. post Ἰλίῳ excidit ἀρεσκούσης καὶ aut simile quid. 17. Ἐχινάδων τε τῶν. EB. ib. Οἰνιάδας. 1, 2, 3, B. Οἰνιάδα. g, E. Οἰνοάδας. π. Οἰνιόδας. ρ. Οἰνία. j, c, n. Ἰνία. b. ib. καὶ Ἀκ. C. τε καὶ Ἀκ. EB. ib. Ἀλκαίων. b. 18. Ἀχελλώου f. ut ubique. ib. ἐν τῇ. γ. ib. Ποσειδῶ. 2. 19. ἐκ γῆς νῆσον. d. 20. οὐδεμιᾶς. 1, 3, j. μηδεμιᾶς. ς. ib. ἀήττητος. ε. ib. Λευήν. 2. 21. καὶ τῷ π. C. καὶ ἐν τῷ π. EB. 22. δὲ. l, p, g, b. ib. ἐνοήσας. 2. ib. Θερμόδοντα. γ. 23. Βορυσθένην. γ, 3, g, b, B. Βορυσθένη. ς. ib. τε καὶ. l. ib. ἀμηχάνοις καὶ. j. ib. ἀεννάοις. f, p, ψ, g, d, ε. ib. ἐσβάλλουσι. 2. 24. νῆσόν τε. 1, 3, b, d, g, B. νῆσον δὲ. ς. 25. ὁπόσην εἶπον ex superioribus (20) huc delatum videtur. ὅσοι. n. 26. πρῶτον om. l. ib. περιέβαλλον ἀλλήλοις. 2. 27. Νηρεΐδες. γ. ib. ἔχονται. g. 28. δὴ om. g. 29. παρὰ τῆς Θ. ψ. ib. τῆς om. m, o. ib. ἀπάζοντας. γ. ib. αὐτοῦ. f, γ. αὐτούς. g, d. ib. καὶ αὐτὸ τὸ ἄλσος. b, d, g. ib. ταῖς ἀπάσαις. γ. ib. πράττειν τε. d, g, π.

244, 246, 248. 16, p. 745, 746.

17 νους καὶ μικρὸν τῆς γῆς ὑπεραίροντας. ἀνθρώποις δὲ πλέουσι μὲν τὸ τοῦ πελάγους χάσμα ὁσία ἡ
νῆσος ἐσβαίνειν, κεῖται γὰρ ὥσπερ εὔξεινος νεῶν ἑστία, οἶκον δὲ μὴ ποιεῖσθαι αὐτὴν πᾶσί τε ἀπεί-
747 ρηται τοῖς πλέουσι καὶ τοῖς περὶ τὸν Πόντον Ἕλλησί τε καὶ βαρβάροις. δεῖ γὰρ προσορμισαμένους
τε καὶ θύσαντας ἡλίου δυομένου ἐσβαίνειν μὴ ἐννυχεύοντας τῇ γῇ, κἂν μὲν τὸ πνεῦμα ἕπηται,
πλεῖν, εἰ δὲ μή, ἀναψαμένους τὸ πλοῖον ἐν κοίλῳ ἀναπαύεσθαι. ξυμπίνειν γὰρ δὴ λέγονται τότε
ὁ Ἀχιλλεύς τε καὶ ἡ Ἑλένη καὶ ἐν ᾠδαῖς εἶναι τὸν ἔρωτά τε τὸν ἀλλήλων ᾄδειν καὶ Ὁμήρου τὰ
ἔπη τὰ ἐπὶ τῇ Τροίᾳ καὶ τὸν Ὅμηρον αὐτόν. τὸ γὰρ τῆς ποιητικῆς δῶρον, ὃ παρὰ τῆς Καλλιόπης
τῷ Ἀχιλλεῖ ἐφοίτησεν, ἐπαινεῖ ὁ Ἀχιλλεὺς ἔτι καὶ σπουδάζει μᾶλλον, ἐπειδὴ πέπαυται τῶν πολε-
μικῶν. τὸ γοῦν ᾆσμα τὸ ἐπὶ τῷ Ὁμήρῳ θείως αὐτῷ, ξένε, καὶ ποιητικῶς ξύγκειται, καὶ γὰρ ἐκεῖνο 250
γιγνώσκει τε καὶ ᾄδει ὁ Πρωτεσίλεως.

Φ. Ἐμοὶ δ' ἂν γένοιτο, ἀμπελουργέ, ἀκοῦσαι τοῦ ᾄσματος, ἢ οὐ θέμις ἐκφέρειν αὐτό;

Ἀ. Καὶ μήν, ξένε, πολλοὶ τῶν προσελθόντων τῇ νήσῳ καὶ ἄλλα τοῦ Ἀχιλλέως ᾀδοντος
ἀκούειν φασί, τουτὶ δὲ πέρυσιν, οἶμαι, τὸ ᾆσμα ἡρμόσατο χαριέστατα τῆς γνώμης καὶ τῶν δια-
νοιῶν ἔχον. ξύγκειται δὲ ὧδε·

Ἀχώ, παρὰ μυρίον ὕδωρ
μεγάλου ναίουσα πλευρὰ Πόντου
ψάλλει σε λύρα διὰ χειρὸς ἐμᾶς,
σὺ δὲ θεῖον Ὅμηρον ἄειδέ μοι
κλέος ἀνέρων, κλέος ἀμετέρων πόνων,
δι' ὃν οὐ θάνον, δι' ὃν ἐστί μοι
Πάτροκλος, δι' ὃν ἀθανάτοις ἴσος
Αἴας ἐμός,
δι' ὃν ἀ δορίληπτος ἀειδομένα σοφοῖς
κλέος ἤρατο κοὐ πέσε Τροία.

Φ. Δαιμονίως γε ὁ Ἀχιλλεύς, ἀμπελουργέ, καὶ ἐπαξίως ἑαυτοῦ τε καὶ τοῦ Ὁμήρου. καὶ ἄλ-
σοφον ἐν τοῖς λυρικοῖς ᾄσμασι τὸ μὴ ἀποτείνειν αὐτά, μηδὲ σχοινοτενῆ ἐργάζεσθαι. καὶ ἐκ παλαιοῦ 251
ἄρα εὐδόκιμόν τε καὶ σοφὸν ἦν ἡ ποίησις.

748 Ἀ. Ἐκ παλαιοῦ, ξένε. καὶ γὰρ τὸν Ἡρακλέα φασὶν ἀναστανρώσαντα τὸ Ἀσβόλου τοῦ κεν-
ταύρου σῶμα ἐπιγράψαι αὐτῷ τόδε τὸ ἐπίγραμμα·

Ἄσβολος οὔτε θεῶν τρομέων ὄπιν οὔτ' ἀνθρώπων
ὀξυκόμοιο κρεμαστὸς ἀπ' εὐλιπέος κατὰ πεύκης
ἄγκειμαι μέγα δεῖπνον ἀμετροβίοις κοράκεσσιν.

ἀθλητής γε καὶ τούτων ὁ Ἡρακλῆς ἐγένετο μεγαληγορίαν ἐπαινῶν, ἀμπελουργέ, παρ' ἧς δεῖ δήπου

1. τὸ om. n. ib. τοῦ πε . . . . . χάσμα. γ. 2. πᾶσιν ἀπείρηται. 4. 4. τῇ γῇ et γρ. τῇ νυκτί. 2. 5. λέγεται. γ, 3. ib. ὁ om. γ. 6. Ἑλένη ἐν. δ. ib. τὸν alterum om. 2, b, d et eras. p. 7. ἐν τῇ. γ. ib. καὶ Ὅμ. g. 8. τῷ om. g, b. 9. αὐτοῖς et ῳ suprasc. 2.

12. καὶ μὴν πολλοὶ μὲν. ξένε. EB. ib. Ὀδυσσέως. d.

15. ἀλλὰ pro ἀχὼ. γ. ἀχὼ et suprasc. η. b. ἠχώ. j, e, n, o. ib. περὶ E. 16. μεγάλου om. l. ib. νέοισα. 2. ψ. οὖσα. p ex corr. et 4. 17. ψάλλει δέ σε. e, n. 18. ἄειδε ἐμοί. γ, m. 19. ἀνδρῶν. m, o. 20. δι' ὧν. π. ib. οὐκ ἔθανον. m, o. 21. ἴσος. a. 22. ἐμοί. ψ. 23. ἀ δορίληπτος f, ut Wesseling Probab. 81, B. ἀ δορύληπτος. γ. ἀδορύληπτος. 2, 3. ἀδορίληπτος. l, 4, E. 24. καὶ πεσε. 4.

25. γε om. 2, g. 26. ἀποκτείνειν. ju, m. ib. λυστρικοῖς. γ. ib. αὐτῷ. γ. ib. σχοινοτελῆ. j. σχοινοτενές. γ. ib. ἐκ πάλαι ἄρα. γ. 27. ἡ om. m.

28. τὸ τοῦ Ἀσβ. ε. τὸ τοῦ κεντ. (om. τοῦ Ἀσβ.) m, o.

31. Ἂν κρεμαστὸς ὦδ'? ib. εὐλικίος. φ. εὐλιπέον. g. 32. ἄγκειμαι. ψ, B. ἄγκειμαι. φ. ἔγκειμαι. l, p, d, E. ib. ἀμετροβόοις γ et g γρ. ἀμετροβόαις. l, π, B. ἀμετροβίοιο. ψ. ib. κοράκεσιν. f, φ.

33. ἐγένετο om. 4 (in b pro scholio). ib. δῆ δήπου. f, unde feci δεῖ δήπου. B voluit δεῖ ἀεί. δήλη που. γ. l. 2, φ, ψ, ε. δῆλόν που p ex corr. o. Val. B.

250, 252 17, p. 747. 748.

τὸν ποιητὴν φθέγγεσθαι. ἀλλ' ἐπανίωμεν ἐπὶ τὴν νῆσον· ῥεῦμα γὰρ δὴ ὑπολαβὸν ἡμᾶς, οἷα πολλὰ περὶ τὸν Πόντον εἵλεῖται, παρέπλαγξε τοῦ λόγου.

Ἀ. Ἐπανίωμεν, ὦ ξένε· τὰ μὲν γὰρ ἄσματα τὰ ἐν αὐτῇ τοιαῦτα, καὶ ἡ φωνὴ δέ, ἣν ἄδουσι, θεῖά τε ἠχεῖ καὶ λαμπρά· διήκει γοῦν τοσαύτη ἐς τὸ πέλαγος, ὡς φρίκην ἀνίστασθαι τοῖς ναύταις
254 ὑπὸ ἐκπλήξεως. φασὶ δ' οἱ προσορμισάμενοι καὶ κτύπου ἀκούειν ἵππων καὶ ἤχου ὅπλων καὶ βοῆς, οἷον ἐν πολέμῳ ἀναφθέγγονται. εἰ δ' ὁρμισαμένων ἐς τὰ βόρεια ἢ τὰ νότια τῆς νήσου μέλλοι τις ἄνεμος ἐναντίος τῷ ὅρμῳ πνεῖν, κηρύττει ὁ Ἀχιλλεὺς κατὰ πρύμναν τοῦτο καὶ κελεύει μεθορμισαμένους ἐκστῆναι τῷ ἀνέμῳ. πολλοὶ δὲ καὶ τῶν ἐκπλεόντων τοῦ Πόντου προσπλέουσί τέ μοι καὶ ἀπαγγέλλουσι ταῦτα, καὶ νὴ Δί', ὡς, ἐπειδὰν προίδωσι τὴν νῆσον ἅτε ἐν ἀπείρῳ πελάγει ἐμφερόμενοι περιβάλλουσί τε ἀλλήλους καὶ ἐς δάκρυα ὑφ' ἡδονῆς ἔρχονται, καταπλεύσαντες δὲ καὶ τὴν γῆν ἀσπασάμενοι βαδίζουσιν ἐπὶ τὸ ἱερὸν προσευξόμενοί τε τῷ Ἀχιλλεῖ καὶ θύσοντες. τὸ δὲ ἱερεῖον αὐτόματον τῷ βωμῷ προσέστηκε κατὰ τὴν ναῦν τε καὶ τοὺς ἐμπλέοντας. τὸ μὲν δὴ περὶ τὴν κάλπιν τὴν χρυσῆν τὴν ἐν Χίῳ ποτὲ φανεῖσαν τῇ νήσῳ εἴρηται, ξένε, σοφοῖς ἀνδράσι καὶ τί ἄν τις ἀριζήλως εἰρημένων αὖθις ἅπτοιτο; ἐμπόρῳ δὲ λέγεται θαμίζοντί ποτε ἐς τὴν νῆσον φαίνεσθαι μὲν 18
ὁ Ἀχιλλεὺς αὐτός, διηγεῖσθαι δὲ αὐτῷ τὰ ἐν Τροίᾳ, ξενίσαι δ' αὐτὸν καὶ ποτῷ κελεῦσαί τε
256 ἐκπλεύσαντα ἐς Ἴλιον ἀναγαγεῖν οἱ κόρην Τρωάδα, τὴν δεῖνα εἰπὼν δουλεύουσαν τῷ δεῖνι ἐν Ἰλίῳ. θαυμάσαντος δὲ τοῦ ξένου τὸν λόγον καὶ διὰ τὸ θαρρεῖν ἤδη ἐρομένου αὐτόν, τί δέοιτο 749
δούλης Ἰλιάδος, „ὅτι", ἔφη „ξένε γέγονεν ὅθεν περ ὁ Ἕκτωρ καὶ οἱ πρὸ αὐτοῦ ἄνω, λοιπὴ δ' ἐστὶ τοῦ Πριαμιδῶν τε καὶ Δαρδανιδῶν αἵματος." ὁ μὲν δὴ ἔμπορος ἐρᾶν τὸν Ἀχιλλέα ᾤετο καὶ πριάμενος τὴν κόρην ἐς τὴν νῆσον ἀνέπλευσεν, ὁ δὲ Ἀχιλλεὺς ἐπαινέσας αὐτὸν ἥκοντα τὴν μὲν
προσέταξε φυλάττειν ἑαυτῷ ἐν τῇ νηΐ δί', οἶμαι, τὸ μὴ ἐσβατὸν εἶναι γυναιξὶ τὴν νῆσον, αὐτὸν δὲ ἐσπέρας ἧκειν ἐς τὸ ἱερὸν καὶ εὐωχεῖσθαι μετ' αὐτοῦ τε καὶ Ἑλένης, ἀφικομένῳ δὲ πολλὰ μὲν χρήματα ἔδωκεν, ὧν ἥττους ἔμποροι, ξένον δ' αὐτὸν ποιεῖσθαι ἔφη διδόναι τέ οἱ τὴν ἐμπορίαν ἐνεργὸν καὶ τὴν ναῦν εὐπλοεῖν. ἐπεὶ δὲ ἡμέρα ἐγένετο, „σὺ μὲν πλεῖ" ἔφη „ταῦτ' ἔχων, τὴν δὲ κόρην ἐπὶ τοῦ αἰγιαλοῦ λίπε μοι". οὕπω στάδιον ἀπεῖχον τῆς γῆς καὶ οἰμωγὴ προσέβαλλεν αὐτοῖς
τῆς κόρης διασπωμένου αὐτὴν τοῦ Ἀχιλλέως καὶ μελειστὶ ξαίνοντος· Ἀμαζόνας δέ, ἃς ἔνιοι τῶν 19
ποιητῶν φασιν ἐλθεῖν ἐς Τροίαν Ἀχιλλεῖ μαχουμένας οὐκ ἀπέκτεινεν ὁ Ἀχιλλεὺς ἐν Τροίᾳ, πιθα-
258 νὸν γὰρ οὐκ οἶδ' ὅπως Πριάμου πολεμήσαντος αὐταῖς ὑπὲρ Φρυγῶν κατὰ Μυγδόνα ξυμμάχους Ἀμαζόνας ὕστερον ἐλθεῖν Ἰλίῳ, ἀλλ' οἶμαι κατὰ τὴν Ὀλυμπιάδα, ἣν τὸ πρῶτον ἐνίκα στάδιον Λεωνίδας ὁ Ῥόδιος, ἀπώλεσεν αὐτῶν ὁ Ἀχιλλεὺς τὸ μαχιμώτατον ἐν αὐτῇ, φασι, τῇ νήσῳ.

1. δὴ om. 2.
3. τὰ om. E. ib. δὲ om. n. ib. ᾄδουσιν. m, o, B. 4. γοῦν om. g. γὰρ τοσαύτη. δ. 5. δὴ προσορμ. 2, 4. ib. καὶ ante κτύπου om. 2, n. ib. κτύπου — ἤχου. b, j. κτύπου — ἤχου. d. 6. ὁρμισαμένων om. g. ib. ἢ ἐς τὰ. 2, 4, EB. ib. μέλλει. 2, 4. ib. ἀνεναντίος. f. 7. τῷ ἀνέμῳ. g, d. ib. πλεῖν. 2. ἐκπνεῖν. ε. ἐκπλεῖν. o. ib. —τὰ πρύμναν — με— sic, om. cett. γ. 8. ἐκστῆναι om. γ. ib. δὲ ἐκ τῶν πλεύντων. 2. 9. ἐπειδὴ. o. ib. τῇ νήσῳ. 2. 10. ἀλλήλοις. 2. 11. προσευξάμενοι — θύσαντες. o. 12. προσεστήκει. C, EB. Sc. προσέστηκε. ib. πλέοντας. 2. ib. περιττὸν. b. 13. τῇ νήσῳ φανεῖσαν. EB. 14. ἀριδήλως. EB. ib. αὖθις om. 2, 4. ib. ποτε θαμίζοντι. E. 15. αὐτὸς. l, 2, g, π, ρ, j, n. αὐτῷ. 1, 3, b, e, EB. ib. αὐτῷ om. EB. ib. ἐν τῇ Τρ. 3, 4. ib. αὐτῷ καί. 2, 4. 16. δουλεύουσαν. b, j. 17. θαρρεῖν. γ. θρασὺν. 2. θαρσεῖν. ς. ib. τί δέοιτο. f, γ, E. τί δέ σοι δεῖ. 2, p ex corr. ψ, 4, B. 18. ὁ Ἕκτωρ. f, γ. Ἕκτωρ. ς. 19. τῶν et τοῦ suprasc. 2. τῶν. g. 21. αὐτῷ. E. ib. δι' οἶμαι τὸ μὴ. f, l, φ, ψ. διὰ τὸ μὴ. γ, p ex eras. 2, 4. (διὰ τὸ et suprasc. τῷ. d.) δεῖ γὰρ οἶμαι. E. διὰ γὰρ οἶμαι. B. ib. ἐσβατὴν. p, d. ib. αὐτὸν. EB. Sc. αὐτὸν· 22. ἀφικομένῳ. f, γ. ἀφικομένου. ς. 23. ὡς. m. 24. ταῦτ' ἔχων ἔφη. γ. ib. ἔφη om. d. ib. τὴν δὲ κόρην. f. τὴν κόρην δ'. ς. 25. λεῖπε. 2, 4. ib. ἀπέχων. n. ib. προσέβαλλεν. f. προσέβαλεν. ς. 26. μελιστί. f, 3, d, g. ib. ξένοντος. φ. 29. φασιν ἐλθεῖν. f, γ. ἐλθεῖν φασιν. ς. ib. μαχουμένας. f, d, B. μαχουμένους. γ. μαχομένας. E. ib. ὁ om. 2. 28. αὐτὰς. d. ib. ὑπὸ. n. 29. ἐν Τροίᾳ. 2. ἐν Ἰλίῳ. δ. ib. τὴν . . . Ὀλυμπιάδα (sic cum lac.) f. ib. ἐν ᾗ. δ. 30. αὐτὸν — τόν. 2. ib. φησι. ε.

254, 256, 258. 18, 19, p. 749.

750 Φ. Μεγάλου, ὦ ἀμπελουργέ, ἤψω λόγου, καὶ τὰ ὠτά μοι ἤγειρας καὶ ἄλλως ἑστηκότα πρὸς τοὺς σοὺς λόγους· ἥκειν δέ σοι καὶ ταῦτα εἰκὸς παρὰ τοῦ Πρωτεσίλεω.

Ἀ. Παρὰ τούτου, ξένε, τοῦ χρηστοῦ διδασκάλου, πολλοῖς δὲ καὶ τῶν ἐς τὸν Πόντον ἐσπεπλευκότων δῆλα δὴ ταῦτα. κατὰ γὰρ τὴν ἄξενον τοῦ Πόντου πλευράν, ᾗ τὰ ὄρη τὰ Ταυρικὰ τέταται, λέγονταί τινες οἰκεῖν Ἀμαζόνες, ἣν Θερμώδων τε καὶ Φάσις ἐξερχόμενοι τῶν ὀρῶν περιβάλλουσιν ἤπειρον, ἃς ὁ πατήρ τε καὶ φυτουργὸς αὐτῶν Ἄρης ἐπαίδευσεν ἐν ὁμιλίᾳ τῶν πολεμικῶν εἶναι καὶ ζῆν ἔνοπλόν τε καὶ ἔφιππον βίον, βουκολεῖσθαι δὲ αὐταῖς ἵππον ἐν τοῖς ἔλεσιν ἀποχρῶσαν τῷ στρατῷ. ἀνδράσι μὲν δὴ ἐνομιλεῖν οὐ παρέχειν σφᾶς τὴν ἑαυτῶν χώραν, αὐτὰς δ', ἐπειδὰν δέωνται τέκνων, κατιούσας ἐπὶ ποταμὸν Ἅλυν ἀγοράζειν τε καὶ ξυγγίγνεσθαι τοῖς ἀνδράσιν, ἔνθα ἔτυχεν, ἀπελθούσας τε ἐς ἤθη καὶ οἴκους, ἃ μὲν ἂν τέκωσιν ἄρρενα, φέρειν ἐπὶ τὰ 260
ὅρια τῆς χώρας, ὅπως ἀνέλοιεν αὐτὰ οἱ φύσαντες, τοὺς δὲ ἀναιρεῖσθαί τε, ὧν ἕκαστος ἔτυχε, καὶ ποιεῖσθαι δούλους, ἃ δ' ἂν ἀποτέκωσι θηλέα, φιλεῖν τε ἤδη λέγονται καὶ ὁμόφυλα ἡγεῖσθαι, θεραπεύειν τε, ᾗ φύσις μητέρων, πλὴν τοῦ ἐπισχεῖν γάλα, τουτὶ δὲ πράττουσι διὰ τὰς μάχας, ὡς μήτε αὐτὰ θηλύνοιντο, μήτε τοὺς μαζοὺς ἀποκρεμῷντο. τὸ μὲν δὴ ὄνομα ταῖς Ἀμαζόσιν ἐκ τοῦ μὴ μαζῷ τρέφεσθαι κεῖσθαι ἡγώμεθα, τρέφουσι δὲ τὰ βρέφη γάλακτί τε φορβάδων ἵππων καὶ δρόσου κηρίοις, ἡ μέλιτος δίκην ἐπὶ τοὺς δόνακας τῶν ποταμῶν ἰζάνει. τὰ δὲ ποιηταῖς τε καὶ μυ-
751 θολόγοις περὶ τῶν Ἀμαζόνων τούτων εἰρημένα παραιτησώμεθα τοῦ λόγου, πρόσφορα γὰρ οὐκ ἂν τῇ παρούσῃ σπουδῇ γένοιτο, τὸ δὲ περὶ τὴν νῆσον ἔργον, ὁποῖόν τι αὐταῖς ἐπράχθη καὶ ἐς ὅ τι ἐτελεύτησε, λεγέσθω μᾶλλον, ἐπειδὴ τῶν τοῦ Πρωτεσίλεω λόγων ἐστί· ναῦται γὰρ ἐπὶ νεῶν ποτε πλειόνων καὶ ναυπηγοὶ τῶν ἐς Ἑλλήσποντον ἀπαγόντων ἐκ τοῦ Πόντου ὠνια κατηνέχθησαν ἐς τὴν ἀριστερὰν τοῦ πελάγους ὄχθην, περὶ ἣν αἱ γυναῖκες οἰκεῖν λέγονται, ληφθέντες δὲ ὑπ' αὐτῶν χρόνον μέν τινα ἐδέδεντο σιτούμενοι πρὸς φάτναις, ἵνα ἀποδῶνται σφᾶς ὑπὲρ τὸν ποταμὸν ἄγουσαι τοῖς ἀνδροφάγοις Σκύθαις. ἐπεὶ δὲ μειράκιον ξὺν αὐτοῖς ληφθὲν μία τῶν Ἀμαζόνων ἐπὶ τῇ ὥρᾳ 262
ἠλέησε καί τις ἔρως ἐκ τούτου ἐγένετο, παραιτεῖται τὴν δυναστεύουσαν ἀδελφὴν οὖσαν, μὴ ἀποδόσθαι τοὺς ξένους, λυθέντες δὲ καὶ πρὸς αὐτὰς συγκραθέντες ἐφθέγγοντο ἤδη τὸν ἐκείνων τρόπον, τόν τε χειμῶνα καὶ τὰ ἐν τῇ θαλάττῃ διηγούμενοι παρῆλθον ἐς μνήμην τοῦ ἱεροῦ προσπεπλευκότες οὐ πάλαι τῇ νήσῳ καὶ διῃρεσαν τὸν ἐν αὐτῷ πλοῦτον, αἱ δ' εὕρημα ποιησάμεναι τοὺς ξένους, ἐπειδὴ ναῦταί τε ἦσαν καὶ νεῶν τέκτονες οὔσης καὶ ἄλλως ναυπηγησίμου σφίσι τῆς χώρας ποιοῦνται ναῦς τὸν ἱππαγωγὸν τρόπον, ὡς τὸν Ἀχιλλέα σχήσουσαι ταῖς ἵπποις, καταβᾶσαι γὰρ ἵππων Ἀμαζόνες θῆλύ τέ εἰσι γένος καὶ ἀτεχνῶς γυναῖκες. εἰρεσίας μὲν δὴ πρῶτον ἤψαντο καὶ πλεῖν ἐμελέτησαν, ὡς δ' ἐπιστήμην τοῦ πλεῖν ξυνελέξαντο, ἄρασαι περὶ ἔαρ ἀπὸ τῶν ἐκβολῶν τοῦ Θερμώδοντος ἀφῆκαν ἐς τὸ ἱερὸν σταδίους μάλιστα δισχιλίους ἐπὶ νεῶν, οἶμαι, πεντήκοντα, καὶ προσορμισάμεναι τῇ νήσῳ πρῶτον μὲν ἐκέλευσαν τοὺς Ἑλλησποντίους ξένους ἐκκόπτειν τὰ δένδρα, οἷς

1. ὦ ἀμπελουργέ f. ἀμπελουργέ. ς. ib. τὰ om. d. 2. τοὺς om. l. ib. περὶ. γ.
3. διδασκάλου om. γ. ib. δὴ. 2. ib. ἐς om. 2. ib. τὸν *Πόντον*. C. *Πόντον*. EB. 4. καὶ γὰρ. 2. ib. εὔξεινον. g. 5. περιβάλλουσιν. g. 6. καὶ ὁ πατὴρ. π. 7. Ἕλλεσιν. f. 8. εἰς τὴν. γ. 9. ἐπειδὴ. o. ib. δέονται. γ. 9. τὸν ποταμὸν. 2, δ. 10. ἔτυχον. 2 ib. ἐπελθούσας. j. ib. τὰ om. b, j. 11. ἀνέλοιαν. f. ib. φυλάσσοντες. l. 12. τε καὶ ἤδη. γ. ib. λέγεται. 2. 13. ὡς φύσις. 2. ἡ φύσις. γ ib. ἐπιχεῖν. p, d. 14. αὐτὰς. γ, δ. ib. θηλύνοιτο. g, b, e, π, B. θηλύνοιτο et γρ. θηλάζοιτο. 2 ib. ἀποκρεμῶντο. f. ἀποκρεμῷντο. γ, l, 3, d, B. ἀποκρεμῶτο. 2. ἀποκρεμοῖντο. 4, E. 15. ἡγούμεθα. b. ib. τε om. 2. 16. κηρίων. 2. ib. δόνακας om. γ. c. lac. ib. τε om. 2. 17. τῶν om. f. ib. πρόσφορον. b. 18. γένοιντο. 2, i. ib. τε. 2. 19. ἐστί. ναῦται γὰρ. f, p. ἐστίν· ναῦται γὰρ. B. ἐστίν· αὗται γὰρ. γ, l, φ, ψ, d. ναῦται γὰρ om. 2, 4, E. ib. ποτε πλειόνων. 1, 3, B. πλειόνων ποτὲ. 2, 4, E. 20. καὶ ναυπηγῶν. 1, 3. ναυπηγοί. 2, 4, B. καὶ ναυπηγοί. B. ib. ἀπαγόντων. 1, 2, 3. ἀπαγαγόντων. 4, EB. 21. περὶ ὧν. 2. ib. δὲ. f, γ. δ'. ς. 23. αὐταῖς. γ, p. 24. τοὺς ξένους γ et f, ubi cad. m. corr. 25. συγκρατηθέντες. 2. 26. τῇ om. γ. ib. δὲ ἐς. 2, g. δὴ ἐς. b, j. 27. οὐ πάλαι om. δ. ib. πλοῦν. γ, ψ, ρ. 28. τε om. γ. ib. ἦσαν om. 2. 29. ἐπαγωγὸν. j. ib. σχήσουσι. 2. ib. τοῖς. C. ταῖς. EB. 31. ξυνελέξαντο. C. συνεξελέξαντο. EB. 32. προσορμισάμενοι. 2.

260, 262. 20, p. 750. 751.

261 κεκόσμηται κύκλῳ τὸ ἱερόν, ἐπεὶ δὲ οἱ πελέκεις ἐς αὐτοὺς ἀνακοπέντες τοῖς μὲν ἐς κεφαλὴν ἐχώρησαν, τοῖς δὲ ἐς αὐχένα πάντες τε πρὸς τοῖς δένδρεσιν ἔπεσον, ἐπεχύθησαν αἱ Ἀμαζόνες τῷ ἱερῷ βοῶσαί τε καὶ τὰς ἵππους ἐλαύνουσαι· ὁ δὲ θερμόν τε καὶ δεινὸν ἐς αὐτὰς ἰδὼν καὶ πηδήσας οἷον ἐπὶ Σκαμάνδρῳ τε καὶ Ἰλίῳ πτοίαν μὲν χαλινοῦ κρείττω ταῖς ἵπποις ἐνέβαλεν, ὑφ' ἧς ἀνε- 752
σκίρτησαν ἀλλότριόν τε καὶ περιττὸν ἄχθος ἡγούμεναι τὰς γυναῖκας, ἐς δὲ θηρίων ἤθη μετέστησαν καὶ κειμέναις ἐμπεσοῦσαι ταῖς Ἀμαζόσι τάς τε ὁπλὰς ἐνήρειδον καὶ τὰς χαίτας ἔφριττον καὶ τὰ ὦτα ἐπ' αὐτὰς ἵστασαν, καθάπερ τῶν λεόντων οἱ ὠμοί, κειμένων τε γυμνὰς ὠλένας ἤσθιον καὶ τὰ στέρνα ῥηγνῦσαι προσέκειντο τοῖς σπλάγχνοις καὶ ἐλάφυσσον, ἐμφορηθεῖσαι δὲ ἀνθρωπείου βρώσεως ἐκρόαινον περὶ τὴν νῆσον καὶ ἐμαίνοντο μεσταὶ λύθρου, στᾶσαι δὲ ἐπὶ τῶν ἀκρωτηρίων καὶ τὰ νῶτα τοῦ πελάγους ἰδοῦσαι πεδίῳ τε ᾤοντο ἐντετυχηκέναι καὶ κατὰ τῆς θαλάττης ἑαυτὰς ἧκαν. 10
ἀπώλοντο δὲ καὶ αἱ νῆες τῶν Ἀμαζόνων ἀνέμου σφοδροῦ ἐς αὐτὰς πνεύσαντος, ἅτε γὰρ κεναὶ καὶ οὐδενὶ κόσμῳ ὡρμισμέναι προσέπιπτον ἀλλήλαις καὶ ξυνηράττοντο ναῦς τε ὥσπερ ἐν ναυμαχίᾳ κα-
266 τέδυε ναῦν καὶ ἀνερρήγνυ, καὶ ὁπόσας ἐγκαρσίους τε καὶ ἀντιπρώρους ἐμβολὰς ποιοῦνται κυβερνῆται ναύμαχοι, πᾶσαι ξυνέπεσον ἐν ναυσὶ κεναῖς καὶ οὐκ ἐκ προνοίας πλεούσαις. πολλῶν δὲ ναυαγίων τῷ ἱερῷ προσενεχθέντων καὶ ἀνθρώπων ἐν αὐτῷ κειμένων ἐμπνεόντων ἔτι καὶ ἡμιβρώτων 15
μελῶν τε ἀνθρωπείων ἐσπαρμένων καὶ σαρκῶν, ἃς διέπτυσαν αἱ ἵπποι, κάθαρσιν ὁ Ἀχιλλεὺς ποιεῖται τῆς νήσου ῥᾳδίαν· κορυφὴν γὰρ τοῦ πόντου ἐπισπασάμενος ἀπένιψέ τε καὶ ἀπέκλυσε ταῦτα.

Φ. Ὅστις, ἀμπελουργέ, μὴ θεοφιλῆ σε ἡγεῖται σφόδρα, αὐτὸς ἀπήχθηται τοῖς θεοῖς· τὸ γὰρ τοιούτους τε καὶ θείους λόγους εἰδέναι οὕτω, παρ' ἐκείνων οἶμαί σοι ἥκειν, οἳ καὶ Πρωτεσίλεω φίλον τέ σε καὶ ἐπιτήδειον ἐποίησαν. ἀλλ' ἐπεὶ τῶν ἡρωικῶν ἡμᾶς λόγων ἐμπέπληκας, τὸ μὲν ὅπως 20
αὐτὸς ἀναβεβίωκεν, οὐκέτ' ἂν ἐροίμην, ἐπειδὴ ἀβεβήλῳ τε καὶ ἀπορρήτῳ φῇς αὐτὸν χρῆσθαι τούτῳ τῷ λόγῳ, τοὺς δὲ Κωκυτούς τε καὶ Πυριφλεγέθοντας καὶ τὴν Ἀχερουσιάδα καὶ τὰ τοιαῦτα τῶν
268 ποταμῶν τε καὶ τῶν λιμνῶν ὀνόματα καί, νὴ Δία, τοὺς Αἰακοὺς καὶ τὰ τούτων δικαστήριά τε καὶ δικαιωτήρια αὐτός τε ἴσως ἀπαγγελεῖς καὶ ξυγχωρεῖ διηγεῖσθαι.

Α. Ξυγχωρεῖ μέν, ἐσπέρα δὲ ἤδη καὶ βοῦς πρὸς ἀναπαύλῃ· τὰ γοῦν ζευγάρια ὁρᾷς, ὡς ἐκ 25 753
βουλυτοῦ ἥκει καὶ χρή με αὐτὰ ὑποδέξασθαι καὶ ὁ λόγος πλείων τοῦ καιροῦ· νῦν μὲν δὴ ἐπὶ τὴν ναῦν χαίρων ἴθι πάντα ἔχων, ὁπόσα ὁ κῆπος φέρει, κἂν μὲν τὸ πνεῦμα ὑμέτερον ᾖ, πλεῖ, ξένε, σπείσας ἀπὸ τῆς νεὼς τῷ Πρωτεσίλεῳ, τουτὶ γὰρ τοὺς ἐνθένδε λύοντας νενόμισται πράττειν, εἰ δ' ἐναντίον εἴη τὸ πνεῦμα, χώρει δεῦρο ἅμα ἡλίῳ ἀνίσχοντι καὶ τεύξει οὗ βούλει.

Φ. Πείθομαί σοι, ἀμπελουργέ, καὶ οὕτως ἔσται. πλεύσαιμι δὲ μήπω, Πόσειδον, πρὶν ἢ καὶ 30
τοῦδε ἀκροάσασθαι τοῦ λόγου.

1. ἔχουσαν. l. 2. δὲ. f, g. δ'. ς. ib. δένδροις. EB. 3. τοὺς ἵππους. f. 4. τοῖς. γ, E. ib. ἐνέβαλεν. 1, 3, d. προσέβαλεν. ς. 5. καὶ ἀλλότριον. p, ψ. ib. τε om. d. ib. ἔθος. γ. ib. ἡγούμενοι. 1, 3, d. 7. κειμένην. 2. ib. τε γυμνάς. 1. τε καὶ γυμνάς. ς. 8. προσέκοιντο. 2. ib. ἀνθρωπείου om. f. c. lac. ἀνθρωπείας. g. ib. αἵματος et γρ. βρώσεως. 2. 9. παρὰ. f. 10. θαλάσσης. f. 11. καὶ om. f. ib. σφοδρῶς. δ. 12. ὁρμισάμεναι. γ. ὡρμισάμεναι. 2 et r. ib. κατέδυ. o. 14. καὶ om. γ, 3. 15. ἀνθράπων om. j, e, n. ib. ἐμπνεόντων ἔτι καὶ ἡμιβρ. 1. ἐμπν. ἤδη καὶ ἡμιβρ. 3, d. ἡμιβρ. καὶ πνεόντων ἔτι. g. ἡμιβρ. τε καὶ ἐμπν. ἔτι. δ, B. ἡμιβρ. καὶ ἐμπν. ἔτι. 2, E. 16. ἐσπαρμένων. 1, 3. διεσπαρμένων. ς. ib. οἱ. 2, g. 17. τῆς νήσου. f, g, δ. τῇ νήσῳ. ς. ib. τε om. 2.
Laurentiani [1]) LVIII, 18 (f2), LVI, 20 (f7), LIX, 44 (f6) et Vindobonensis 203 theol.[2]) quibus anteponendi videntur Guelferbytani 82 (g) et inde descriptus 25 (γ),[3]) Vaticanus 87 (ϱ) [4]) Venetus Cl. XI, 29 [5]) Neapolitanus 86 (n),[6]) retinuerunt certe aliquot primae familiae lectiones. Ejusdem fere bonitatis alios habere licebit, qui posteriore libro carent: Vaticanum 98 (r) bombyc. saec. XIImi,[7]) antiquissimum hujus familiae, Meermanniani 315, ut videtur,[8]) fontem, Monacensem 266 (β), chart. saec. XVmi,[9]) Venetum 309, Parisinum 1698, qui desinit in medio capite I, 30, plane conspirans cum Jacobaeo 845,[10]) et Guelferbytanum 77 (gu.)[11]) Supra horum mediocritatem exsurgunt in priore libro Laudianus jam supra praedicatus [12]) et Lugdunensis 2, (λ) chart. saec. XVmi,[13]) quocum congruit Parisinus 2596 bombyc. saec. XIVmi, in altero autem Parisinus 3019 (π), chart. saec. XIVmi,[14]) consentientem habens Venetum Cl. XI, 15, qui non tam bonus est in priore. Lugdunensis mendosissime quidem scriptus est, at magni faciendus ob quasdam insignes correctiones; idem sentimus de Parisino 3019. Infimae denique notae sunt Palatini 143 et 341 (h), Laurentiani LV, 7 (f1) et LVIII 23 (f3), omnes praeter Palatinum 143 altero libro carentes, omnes chartacei et exeunte saec. XVmo scripti.[15])

[1]) cf. not. 4 praecedentis pag. Ad Laurentianum LVI, 20 accedit compluribus lectionibus alter Bruxellensis a Boulezio meo excussus, in quo sunt capita I, 28—31.

[2]) Omnes hucusque commemorati sunt chartacei, saec. XVmi, praeter Laur. LIX, 44. bombycinum saec. XIVmi. Vindobonensem in I, 11. F. H. Massmannus, v. cl. contulit, in I, 30 H. Poeschl.

[3]) Utrumque Guelferbytanum, saec. XV, chart. adhibuit Jacobsius. Cum prima familia faciunt in 382, 4. 384, 4. 389, 22. 400, 12. 406, 7. 423, 4. 424, 14. 426, 3 et 9. 433, 3. 434, 26. Raro praebent bona soli, ut 388, 10. 428, 2. 433, 7 et 16.

[4]) Eum Vaticanum usque ad p. 420, 3 contulit Ph. Lebasius v. cl. cujus ex schedis mihi descripsit lectiones pro solita benignitate E. Miller. Deinde accepi versionem Italicam auctore Ph. Mercurio. (titulus ei libro est: Le pitture dei Filostrati fatte in volgare la prima volta da Filippo Mercuri con le varianti lezione tratte da mss. vaticani. Roma per la società tipografica 1828) qui integram ejusdem libri, non, quod titulus promittit, aliorum praeterea, collationem exhibuit. Aliquoties optimorum codicum, maxime f, lectiones repetit, ut 382, 21. 383, 20. 408, 16. 412, 23. 421, 19 et 23. 422, 12. 423, 11. 428, 16. 434, 16.

[5]) Venetus idem, qui ex bona recensione habet vitam Apollonii, in I, 30 solus cum vd offert veram lectionem *οἱ ἄλλοι* 405, 16; in ceteris cum tertia familia facit.

[6]) Neapolitani jam in Prooem. V. Soph. et Heroic. fecimus mentionem. Nonnulla ex eo v. cl. Salv. Cyrillus olim contulerat, plura deinde amicissimus Spengelius, ille I, 11, hic I, 30. II, 23, ubi cf. cum prima familia consentientiae 427, 20. 428, 10 et 13.

[7]) Vaticani 98 specimen cum accepissem a Th. Heysio, vir summus F. G. Welcker hoc mihi tribuit, ut ipse compararet benignissime p. 379—384. 396, 20—401, 24. Cum prima familia facit in 380, 11, quo loco addes, *φράζοιμι* legi in r. Praeterea emendata scriptura superat plerosque tertiae sectae codices. Subsistit in I, 26.

[8]) Suspicor hoc, quia in utroque codice eadem opera adduntur Imaginibus, quae enumerat index Meermannianus.

[9]) Ipse hunc Monacensem tractavi.

[10]) Ex utroque duxi 390, 14. Parisinus recens est et pulcre scriptus.

[11]) Guelferbytanum adhibuit Jacobsius; chartaceus est, saec. XVmi.

[12]) Eximiae Laudiani in priore libro lectiones sunt praeter commemoratas antea 384, 26. 393, 4. 398, 14 et 401, 2; in 386, 28 vereor, ut recte receperim inde *τῆς γῆς*.

[13]) Chartaceus est, saec. XVmi, venit ex bibliotheca Vulcanii in Lugdunensem publicam. Cobet v. cl. inspexerat olim hunc librum ac mihi perhumaniter nonnulla, quae ipsi commemoranda videbantur, enotaverat; deinde totum accuratissime excerpsit H. de Hoff, cujus in hanc editionem merita supra praedicavi, cf. Prooem. Epp. p. III, 7. Codicis praeclara quaedam vide 388, 5. 389, 2. 390, 23. 392, 2. 394, 16. 395, 12. 406, 1. Plane cum eo conspirare Parisinum 2596 intellexi ex E. Milleri litteris.

[14]) Hunc librum Sybsomus v. d. comparavit cum ed. Ol. quum ex parte jam cognovissem Boissonadi, viri summi et G. Veesenmeyeri opera. Laudo inde maxime 415, 3. 417, 11. 419, 8. 430, 8. Cum 1 congruit saepius, ut 421, 19, 23. 422, 12, 21. 423, 6. 425, 16. 426, 3. 429, 19. 431, 9. 433, 1. Veneti Cl. XI, 15. selectam varietatem accepi a viro benignissimo A. de Steinbüchel. Quod consensum ejus cum π attinet, vide 416, 1. 428, 8. 429, 20. 430, 7.

[15]) Palatinum 341, qui explicit in 408, 4 *καὶ κηρίον*, relegi post Jacobsium. Plurima ejus alibi non reperta habet Aldina, ut 382, 17. 383, 13. 386, 29. 387, 5. 27. 396, 22. 397, 14. 402, 3. 403, 6, 14, 17, 31. 405, 12. 408, 1. Alterum Palatinum ex solo I, 11 cognitum habeo nec licuit plura nancisci. Inde est in editionibus ante Jacobsianam 389, 11 *στεγάζοντα*. Uterque Laurentianus minus a codicibus tertiae familiae discrepat; cum ed. principe consensum deprehendi in 404, 28. 405, 11 et 16.

Ex codice ejus generis Aldina (a), ut solet in hoc scriptore deterrima quaeque sequi, descripta est,[1] ita tamen, ut unus aliquis superstitum nequeat exemplar editionis haberi, nonnunquam enim aliunde quoque petitae comparent lectiones,[2] ut ex secunda familia complures,[3] ac satis magnus est earum numerus, quae in nullo codice reperiuntur.[4]

Aldinam posterae usque ad Morellianam editiones raro nec nisi in pejus deserunt.[5] Morellius pro more suo vitia illorum auxit, ad marginem paucas lectiones secundae familiae allevit. Deinde Olearius Bentleianis copiis ex Barocciano et Laudiano codice enotatis usus mendorum Morellianae tenacem se nec magnopere in corrigendo hoc quoque libro felicem praestitit.[6] Laetior lux ei affulsit ex curis ingeniosissimi Jacobsii, qui opera cum viro summo, F. G. Welckero, ita juncta, ut ille artificium imaginum explicaret, ipse cetera administraret, anno MDCCCXXV editionem rari exempli emisit.[7] Ut enim taceam de textu ex l, p, f, gu, γ, g plurimis locis emendato maxime profuit libro optimis evidentissimisque conjecturis,[8] quales vide infra indicatas. Nil etiam uberius commentario sive comparationem aliorum scriptorum spectas, sive rerum explicationem et orationis sophisticae illustrationem. Tantam copiam transferre integram pro consilio meae editionis non poteram, itaque continui me in excerpendis gravissimis annotationibus, interdum ipsa Jacobsii et Welckeri verba retinens, et in fontibus imitationibusque indicandis; praeterea adscripsi, quae artis monumenta post editionem laudatissimam in lucem prodierint accommodata ad expositionem harum imaginum ac quae in illa celeberrimi archaeologi commentati sint, significavi.[9]

Ex epigrammatum libello, quem Suida teste Philostratus composuit, nonnisi unum aetatem tulit, Anthol. Planud. p. 110, *ἐς εἰκόνα Τηλέφου τετρωμένου*, quod propter argumentum huic Imaginum libro subjectum est.

[1] cf. Prooem. Ap. XIII. Vit. Soph. V. Heroic. VII. Epp. IV.

[2] cf. 383, 26. 388, 9. 397, 5. 399, 23. 403, 1. 406, 18. 407, 2. 408, 21, 23. 409, 1. 414, 23. 424, 14. 425, 13. 434, 10.

[3] Talia sunt 383, 3, 18. 386, 8. 392, 22. 393, 18. 394, 19. 398, 24. 405, 21. 412, 20, 24. 414, 17. 416, 26. 425, 11. 432. 15, 19. 433, 18.

[4] In iis pauca sunt bona, ut 390, 15. 410, 14. 414, 18. 433, 11, 16, pleraque improbanda, cf. 380, 12. 384, 2, 27. 385, 20. 390, 9, 18. 391, 2, 26. 393, 20. 396, 7. 401, 14. 402, 16, 18, 20, 22, 25. 403, 24. 404, 7, 8, 10, 22. 405, 16. 406, 1, 21. 407, 20, 28. 409, 17, 18. 411, 14. 412, 15. 413, 15. 414, 23. 415, 22, 25. 417, 1. 418, 10, 13, 18. 419, 3, 15. 420, 11. 424, 14, 20, 29. 422, 26. 423, 26. 424, 10. 426, 18, 26. 427, 26. 428, 17. 429, 8. 430, 2. 433, 2, 20. 434, 6.

[5] Descriptionem earum plenissimam vide apud Jacobsium Praef. XX sqq.

[6] Bonas ejus correctiones vide 396, 23. 399, 7. 400, 24. 420, 7. 424, 8. 427, 25.

[7] „Philostratorum Imagines et Callistrati Statuae. Textum ad fidem veterum librorum recensuit et commentarium adiecit Fridericus Jacobs. Observationes Archaeologici praesertim argumenti addidit Fridericus Theophilus Welcker professor Univers. Rhenanae. Lipsiae in libraria Dyckiana MDCCCXXV.

[8] Vide 380, 13. 383, 5. 386, 16. 387, 12. 388, 14. 389, 7. 394, 15. 395, 12, 16. 396, 3, 24. 399, 10, 23. 406, 14. 408, 7. 409, 8. 412, 26. 415, 2. 416, 16. 417, 2, 28. 418, 1. 423, 23. 424, 27. 425, 14, 17. 427, 19. 428, 6. 429, 13. 433, 27. 434, 26. Quae cum paene omnes delitescant in commentario, locum suum iis duxi non amplius denegandum. Etiam Heynius compluribus emendationibus hunc librum ornavit, ut 429, 12. 430, 22. 433, 6 et quae codicum consensu firmantur 394, 23. 420, 22. 428, 3. 429, 16.

[9] Kimedoncianum commentarium valde spissum ex Harlejano 5380 excerpere non licuit praeter pauca ab initio posita.

Index codicum. (C.)

Prima familia. (1.)

v. Vossiana epitome. l. Laudianus 682 in libro secundo. p.*) Parisinus 1696. br. Bruxellensis 11182 in altera parte secundi libri. f. Laurentianus LXIX. 30. j. Jacobaeus 845 in libro secundo. φ. Laurentianus LVIII, 32. vd. Vindobonensis 331. β. Baroccianus 131. h. Palatina epitome 129.

Secunda familia. (2.)

Parisinus 1761. μ. Monacensis 242. br. Bruxellensis 11182. Parisinus 2706. f4. Laurentianus LVIII, 7. Vaticani 97 et 1404. Vindobonensis 82. Matritenses 76 et 100. Parisinus 2955. fe. Laurentiana epitome, LVII, 34.

Tertia familia. (3.)

α) Codices integri. ψ. Parisinus 2075. ϱ. Vaticanus 87. g. Guelferbytanus 82. γ. Guelferbytanus 25. m1. Mediolanensis L. 43 m2. Mediolanensis M 34. m3. Mediolanensis B 66. n. Neapolitanus 86. f2. Laurentianus LVIII, 18. f6. Laurentianus LIX, 44. f7. Laurentianus LVI, 20. ven. Venetus Cl. XI, 29. Veneti 392, 514, Cl. XI, 15. Urbinas 152. Vaticani 20, 100. Eiusdem familiae sunt l Laudianus 682 et j Jacobaeus 845 in priore libro.

β) Codices, qui posteriore libro carent. r. Vaticanus 98. Meermannianus 315. λ. Lugdunensis 2. Parisinus 2596. Venetus 309. Parisinus 1698. Mediolanensis L1. β. Monacensis 266. Vindobonensis (theol.) 203. gu. Guelferbytanus 77. h. Palatinus 341. pal. Palatinus 143. f1. Laurentianus LV, 7. f3. Laurentianus LVIII, 23.

γ) Priore libro caret π. Parisinus 3019.

δ) Pauciora habent fe. Laurentiana epitome. LIX, 25. Vaticanus 18. Bruxellensis alter.

Ab aliis scriptoribus expressa aut laudata: Arist. Aristaenetus. Isid. Pel. Isidorus Pelusiota. Ἐ. Eudocia. Θ. Thomas Magister. Gr. ap. Herm. Grammaticus apud Hermannum de emendanda ratione Graecae grammaticae. M. Eugen. Marcus Eugenicus, quem edidi anno 1840 cum Philostrati Gymnasticis.

Conjecturae VV. DD.

J. Jacobsius. Salm. Salmasius. Ham. Hamacker. Lectionem vulgatam aut eam, quae in codd. est, unde diversa lectio non profertur, significat ς. Hoc etiam de superioribus Philostrati libris, ubi adhibui ς, valet.

Index editionum. (E).

a. Aldina 1503.**) a2. Aldina 1522. i. Juntina 1517. i2. Juntina 1535 et Nicoliniana 1550 sunt ε. editiones veteres. m. Morelliana 1608. o. Olearіana 1709. J. Jacobsiana 1825. Ubi ea cum ceteris E conspirat, scripsi EJ.

*) p etiam ceteros Parisinos indicat adjectis numeris, praeter codd. 2075 (ψ) et 3019 (π). Vaticanos signavi vt praeter codd. 87 (ϱ) et 98 (r).

**) a. Bern., ut 399, 13 significat correctiones in exemplari Bernensi adscriptas, quae excerptae sunt ab A. Jahn. professore Bernensi, viro clarissimo.

ΦΙΛΟΣΤΡΑΤΟΥ ΕΙΚΟΝΕΣ.

ΠΡΟΟΙΜΙΟΝ.

1 Ὅστις μὴ ἀσπάζεται τὴν ζωγραφίαν, ἀδικεῖ τὴν ἀλήθειαν, ἀδικεῖ δὲ καὶ σοφίαν, ὑπόση ἐς 762
ποιητὰς ἥκει — φορὰ γὰρ ἴση ἀμφοῖν ἐς τὰ τῶν ἡρώων εἴδη καὶ ἔργα — ξυμμετρίαν τε οὐκ
ἐπαινεῖ, δι' ἣν καὶ λόγου ἡ τέχνη ἅπτεται. καὶ βουλομένῳ μὲν σοφίζεσθαι θεῶν τὸ εὕρημα διά τε
τὰ ἐν γῇ εἴδη, ὁπόσα τοὺς λειμῶνας αἱ ὧραι γράφουσι, διά τε τὰ ἐν οὐρανῷ φαινόμενα, βασα-
νίζοντι δὲ τὴν γένεσιν τῆς τέχνης μίμησις μὲν εὕρημα πρεσβύτατον καὶ ξυγγενέστατον τῇ φύσει, 5
εὗρον δὲ αὐτὴν σοφοὶ ἄνδρες τὸ μὲν ζωγραφίαν, τὸ δὲ πλαστικὴν φήσαντες. καὶ πλαστικῆς μὲν
πολλὰ εἴδη, καὶ γὰρ αὐτὸ τὸ πλάττειν καὶ ἡ ἐν τῷ χαλκῷ μίμησις καὶ οἱ ξέοντες τὴν λυγδίνην ἢ
τὴν Παρίαν λίθον καὶ ὁ ἐλέφας, καί, νὴ Δία, ἡ γλυφικὴ πλαστική, ζωγραφία δὲ ξυμβέβληται μὲν 763
ἐκ χρωμάτων, πράττει δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πλείω σοφίζεται ἀπὸ τούτου γε ἑνὸς ὄντος ἢ
ἀπὸ τῶν πολλῶν ἡ ἑτέρα τέχνη, σκιάν τε γὰρ ἀποφαίνει καὶ βλέμμα γιγνώσκει ἄλλο μὲν τοῦ με- 10
μηνότος, ἄλλο δὲ τοῦ ἀλγοῦντος ἢ τοῦ χαίροντος καὶ αὐγὰς ὀμμάτων, ὁποῖαί εἰσιν, ὃ πλαστικὸς
μέν τις ἥκιστα ἐργάζεται, χαροπὸν δὲ ὄμμα καὶ γλαυκὸν καὶ μέλαν γραφικὴ οἶδε, καὶ ξανθὴν
κόμην οἶδε καὶ πυρσὴν καὶ ἡλιῶσαν καὶ ἐσθῆτος χρῶμα καὶ ὅπλων θαλάμους τε καὶ οἰκίας καὶ
ἄλση καὶ ὄρη καὶ πηγὰς καὶ τὸν αἰθέρα, ἐν ᾧ ταῦτα. ὅσοι μὲν οὖν κράτος ἥραντο τῆς ἐπιστήμης
καὶ ὅσαι πόλεις καὶ ὅσοι βασιλεῖς ἔρωτι ἐς αὐτὴν ἐχρήσαντο, ἄλλοις τε εἴρηται καὶ Ἀριστοδήμῳ 15
τῷ ἐκ Καρίας, ὃν ἐγὼ ἐπὶ ζωγραφίᾳ ξένον ἐποιησάμην ἐτῶν τεττάρων, ἔγραφε δὲ κατὰ τὴν Εὐ-
μήλου σοφίαν πολὺ τὸ ἐπίχαρι ἐς αὐτὴν φέρων· ὁ λόγος δὲ οὐ περὶ ζωγράφων, οὐδ' ἱστορίας
αὐτῶν νῦν, ἀλλ' εἴδη ζωγραφίας ἀπαγγέλλομεν ὁμιλίας αὐτὰ τοῖς νέοις συντιθέντες, ἀφ' ὧν ἑρμη-
νεύσουσί τε καὶ τοῦ δοκίμου ἐπιμελήσονται. ἀφορμαὶ δέ μοι τουτωνὶ τῶν λόγων αἵδε ἐγένοντο·
ἦν μὲν ὁ παρὰ τοῖς Νεαπολίταις ἀγών, ἡ δὲ πόλις ἐν Ἰταλίᾳ ᾤκισται γένος Ἕλληνες καὶ ἀστυκοί, 20
ὅθεν καὶ τὰς σπουδὰς τῶν λόγων Ἑλληνικοί εἰσι, βουλομένῳ δέ μοι τὰς μελέτας μὴ ἐν τῷ φανερῷ

Liber hic plerisque in codd. et ε sic inscribitur: *Εἰκόνες Φιλοστράτου* (Φιλ. Εἰκ. vd. n, et Εἰκ. τοῦ Φιλ. λ, p 2956, p 1760.) *προοίμιον ἑλλαδίᾳ.* ἑλλαδια. l. majusculis ἑλλάδια. j, p 1698, 1760. ἑλλαδικὰ vt. 100. ἑλαδία. π ven. cl. XI, 29.) Verba *προοίμιον ἑλλαδία* om. f, p 2956, λ, et omnino inscriptionem p 1761. In n legitur plenus titulus: *Φιλ. Εἰκ. βιβλίον πρῶτον. προοίμιον ἑλλαδία*, in l *Εἰκ. Φιλ. προοίμιον ἑλλαδία* (subsc. π) *βιβλίον πρῶτον.* Apud Jac. *των του Φιλοστρατου εικονων προοιμιον ἑλλαδια* litteris majusculis. Ego substiti in titulo *προοίμιον*, auctore Ol.

1. ὅστις — ἥκει. v. ib. ἀσπάζεσθαι. l, j. ib. ἀδικεῖ καὶ σοφίαν. v. ἀδικεῖ δὲ σοφίαν. f. 2. ἔργα καὶ εἴδη. f. ib. δὲ οὐκ. J. 3. καὶ βουλομένῳ — φήσαντες. v. καὶ βουλομένῳ — φαινόμενα. Gramm. ap. Herm. 366. ib. εὕρεμα. r, vd, μ, r, β, γ, g. αἴνιγμα. ψ. 5. εὕρεμα ut 3. ib. συγγ. γ, g, gu, ψ. 6. καὶ om. m. ib. μὲν οὖν. f. 7. Λυγδίνην. o. 8. τὸν et η suprasc. br. ib. ξυμβέβληται. f, γ, g, J. 9. ἀλλὰ πλείω. vd. 10. ἡ ἑτέρα conj. J. ἑτέρα. C, E. 11. ἢ χαίροντος. r, ρ, β. ib. ὃ πλ. 2, γ, β, o. ὁ πλ. ε, J. 12. ξανθὴν μὲν. ρ, β. ib. γραφικὴ δὲ οἶδε καὶ ἄλση — ταῦτα. v. 15. ἐπ' αὐτὴν. β. 16. καρδίας. ρ. ib. ζωγραφίαν. h. ib. τεττάρων. γ. καὶ τῶν τεσσάρων. λ. 17. ὁ λόγος — ζωγρ. — ἀλλ' εἴδη ζ. ἀπαγγ. v. 18. συντεθέντες. l. 19. δέ μοι. φ. δὲ ἐμοί. ζ. 20. Ἕλληνες ἀστικοί. λ. ib. ἀττικοὶ. f.

ποιεῖσθαι παρεῖχεν ὄχλον τὰ μειρακια φοιτῶντα ἐπὶ τὴν οἰκίαν τοῦ ξένου. κατέλυον δὲ ἔξω τοῦ τείχους ἐν προαστείῳ τετραμμένῳ πρὸς θαλατταν, ἐν ᾧ στοά τις ἐξῳκοδόμητο κατὰ ξέφυρον ἄνεμον ἐπὶ τεττάρων, οἶμαι, ἢ καὶ πέντε ὀροφῶν ἀφορῶσα ἐς τὸ Τυρρηνικὸν πέλαγος. ἥστραπτε μὲν
764 οὖν καὶ λίθοις, ὁπόσους ἐπαινεῖ τρυφή, μάλιστα δὲ ἤνθει γραφαῖς ἐνηρμοσμένων αὐτῇ πινάκων, οὓς ἐμοὶ δοκεῖν οὐκ ἀμαθῶς τις συνελέξατο, σοφία γὰρ ἐν αὐτοῖς ἐδηλοῦτο πλειόνων ζωγράφων. ἐγὼ μὲν οὖν καὶ ἀπ' ἐμαυτοῦ ᾤμην δεῖν ἐπαινεῖν τὰς γραφάς, ἦν δὲ ἄρα υἱὸς τῷ ξένῳ κομιδῇ νέος, ἐς ἔτος δέκατον, ἤδη φιλήκοος καὶ χαίρων τῷ μανθάνειν, ὃς ἐπεφύλαττέ με ἐπιόντα αὐτὰς καὶ ἐδεῖτό μου ἑρμηνεύειν. ἵν' οὖν μὴ σκαιόν με ἡγοῖτο „ἔσται ταῦτα" ἔφην „καὶ ἐπίδειξιν αὐτὰ ποιησόμεθα, ἐπειδὰν ἥκῃ τὰ μειράκια. ἀφικομένων οὖν „ὁ μὲν παῖς" ἔφην „προβεβλήσθω καὶ ἀνακείσθω τούτῳ ἡ σπουδὴ τοῦ λόγου, ὑμεῖς δὲ ἕπεσθε μὴ ξυντιθέμενοι μόνον, ἀλλὰ καὶ ἐρωτῶντες, εἴ τι μὴ σαφῶς φράζοιμι.

Α'.

ΣΚΑΜΑΝΔΡΟΣ.

α'. Ἔγνως, ὦ παῖ, ταῦτα Ὁμήρου ὄντα ἢ οὐ πώποτε ἔγνωκας δηλαδὴ θαῦμα ἡγούμενος, ὅπως δήποτε ἔξη τὸ πῦρ ἐν τῷ ὕδατι; συμβάλλωμεν οὖν, ὅ τι νοεῖ, σὺ δὲ ἀπόβλεψον αὐτῶν, ὅσον ἐκεῖνα ἰδεῖν, ἀφ' ὧν ἡ γραφή. οἶσθά που τῆς Ἰλιάδος τὴν γνώμην, ἐν οἷς Ὅμηρος ἀνίστησι μὲν τὸν Ἀχιλλέα ἐπὶ τῷ Πατρόκλῳ, κινοῦνται δὲ οἱ θεοὶ πολεμεῖν ἀλλήλοις. τούτων οὖν τῶν περὶ τοὺς θεοὺς ἡ γραφὴ τὰ μὲν ἄλλα οὐκ οἶδε, τὸν δὲ Ἥφαιστον ἐμπεσεῖν φησι τῷ Σκαμάνδρῳ πολὺν καὶ ἄκρατον. ὅρα δὴ πάλιν· πάντα ἐκεῖθεν· ὑψηλὴ μὲν αὕτη ἡ πόλις καὶ ταυτὶ τὰ κρήδεμνα τοῦ Ἰλίου, πεδίον δὲ τουτὶ μέγα καὶ ἀποχρῶν τὴν Ἀσίαν πρὸς τὴν Εὐρώπην ἀντιτάξαι, πῦρ δὲ
765 τοῦτο πολὺ μὲν πλημμυρεῖ κατὰ τοῦ πεδίου, πολὺ δὲ περὶ τὰς ὄχθας ἕρπει τοῦ ποταμοῦ, ὡς μηκέτι αὐτῷ δένδρα εἶναι. τὸ δὲ ἀμφὶ τὸν Ἥφαιστον πῦρ ἐπιρρεῖ τῷ ὕδατι, καὶ ὁ ποταμὸς ἀλγεῖ καὶ ἱκετεύει τὸν Ἥφαιστον αὐτός. ἀλλ' οὔτε ὁ ποταμὸς γέγραπται κομῶν, ὑπὸ τοῦ περικεκαῦσθαι, οὔτε χωλεύων ὁ Ἥφαιστος, ὑπὸ τοῦ τρέχειν. καὶ τὸ ἄνθος τοῦ πυρὸς οὐ ξανθόν, οὐδὲ τῇ εἰθισμένῃ ὄψει, ἀλλὰ χρυσοειδὲς καὶ ἡλιῶδες. ταῦτα οὐκέτι Ὁμήρου.

ΚΩΜΟΣ.

β'. Ὁ δαίμων ὁ Κῶμος, παρ' οὗ τὸ κωμάζειν τοῖς ἀνθρώποις, ἐφέστηκεν ἐν θαλάμου θύ- 6
ραις χρυσαῖς, οἶμαι, βραδεῖα δὲ ἡ κατάληψις αὐτῶν ὑπὸ τοῦ ὡς ἐν νυκτὶ εἶναι. γέγραπται δὲ ἡ

1. παρεῖνται. λ. 2. τοίχους. h. ib. ἐς Θ. f. ib. θάλατταν. 2. θάλασσαν. f, β, EJ. ib. ἐξῳκοδόμηται, o suprasc. γ. 3. ἤστραπτε — τρυφὴ. v. ib. ἤστραπτε. v, φ. ἔστραπτε. vd. ἤστραπτο. ς. (f.) 4. καὶ λίθαρις. v. ib. ἡ τρυφὴ conj. J. ib. αὐτῇ om. p 2562. ib. ἴσως ἐμοὶ ἐδόκει. h. ib. ἐμοί τε δοκεῖν. λ. 5. ἀπαθῶς. C, EJ. ἀμαθῶς Thiersch. Kunstbl. 1827, 66. ib. ἐν αὐταῖς. φ, vd. 6. ἐγὼ μὲν καὶ. f. ἐγὼ δὲ καὶ. h. ib. ἐπ' ἐμαυτοῦ. λ. ib. ᾤμην δεῖν. l, o. ᾤμην. ς. 7. δέκατον ἤδη, φιλήκοος. sic interp. μ, β, EJ. ib. χέρων τὸ. λ. ἑρμ. τὰς γραφὰς. f. 9. ποιησώμεθα. ju, m, o. ib. ἐπειδὴ. o. ib. ἥκοι. 2. ἥκει. l. ib. οὖν om. j. 10. τοῦτο. m. ib. ἡμεῖς δὲ ἕπεσθαι. φ. ib. καὶ μὴ συντιθ. br. 11. μὴ καλῶς. μ. μὴ σαφές. l. ib. φράζοιμι. f, φ. p. φράζοιμεν. vd, 2, 3, EJ.

I, 1. 12. ἔγνως. C. ἔγνως οὖν. EJ. ib. ἢ οὐκ ἔγνως αὐτὰ. r. 13. ὁπωσδήποτε. E. ib. συμβάλλω μὲν. μ, br, β. συμβάλω μὲν. γ, h, ε. ib. νοεῖ. conj. J. νοεῖς. ς. 14. οἶσθά που — ἀλλήλοις. Gr. Herm. 377. ib. Ὅμηρος om. 2. (br. addit in mg.) ib. μὲν ἀνίστησι. Gr. Herm. 377. 15. πολεμεῖν om. λ. 16. κασμάνδρῳ. r. ib. πολὺν τε. μ. ib. πολὺν ἄκρατον. λ. 18. τῆς Ἰλίου. l. τῆς ἡλίου. λ. 19. πῶς δὲ — ἕρπει. v. ib. κατὰ πεδίον. v. ib. περὶ. 1, v. (παρὲ. φ). κατὰ. 2, 3, EJ. 22. καὶ τὸ — Ὁμήρου. φ. ib. περιτρέχειν. vd. 23. ὄψει om. φ. ib. χρυσιῶδες. v. χρυσῶδις. gu. ib. ἡλῶδες. v. ib. ταῦτα. v, vd. ταῦτ'. ς.

II. 24. τοῖς ἀνθρώποις τὸ κωμάζειν. p. κομάζειν. h, γ.

νὺξ οὐκ ἀπὸ τοῦ σώματος, ἀλλ' ἀπὸ τοῦ καιροῦ, δηλοῖ δὲ τὰ προπύλαια νυμφίους μάλα ὀλβίους ἐν εὐνῇ κεῖσθαι. καὶ ὁ Κῶμος ἥκει νέος παρὰ νέους ἁπαλὸς καὶ οὔπω ἔφηβος, ἐρυθρὸς ὑπὸ οἴνου καὶ καθεύδων ὀρθὸς ὑπὸ τοῦ μεθύειν. καθεύδει δὲ τὸ μὲν πρόσωπον ἐπὶ στέρνα ῥίψας καὶ τῆς δειρῆς ἐκφαίνων οὐδέν, τὴν δὲ ἀριστερὰν προβολίῳ ἐπέχων, εἰλῆφθαι δὲ ἡ χεὶρ δοκοῦσα λύεται καὶ ἀμελεῖ, τὸ εἰωθὸς ἐν ἀρχῇ τοῦ καθεύδειν, ὅταν σαίνοντος ἡμᾶς τοῦ ὕπνου μετέρχηται ὁ λογισμὸς ἐς λήθην ὧν συνέχει, ὅπερ καὶ τὸ ἐν τῇ δεξιᾷ λαμπάδιον ἔοικε διαφεύγειν τὴν χεῖρα, καταρραθυμοῦντος αὐτὴν τοῦ ὕπνου. δεδιὼς δὲ ὁ Κῶμος προσβάλλον τὸ πῦρ τῷ σκέλει περιφέρει τὴν μὲν κνήμην τὴν ἀριστερὰν ἐπὶ τὰ δεξιά, τὸ δὲ λαμπάδιον ἐπὶ τὰ ἀριστερά, ἵν' ἐκκλίνοι τὸν ἀτμὸν τοῦ πυρὸς ἐκκειμένῳ τῷ γένατι ἀφιστὰς τὴν χεῖρα. πρόσωπα δὲ ὀφείλεται μὲν παρὰ τῶν ζωγράφων τοῖς ἐν ὥρᾳ καὶ τυφλώττουσί γε ἄνευ τούτων αἱ γραφαί, τῷ δὲ Κώμῳ σμικρὰ δεῖ τοῦ προσώπου νενευκότι καὶ ἕλκοντι τὴν ἀπὸ τῆς κεφαλῆς σκιάν. κελεύει δέ, οἶμαι, μὴ ἀπαρακαλύπτως κωμάζειν τοὺς ἐν ἡλικίᾳ τούτου. τὰ δὲ λοιπὰ τοῦ σώματος διηκρίβωται πάντα, περιλάμποντος αὐτὰ τοῦ λαμπαδίου καὶ ἐς φῶς ἄγοντος. ὁ στέφανος δὲ τῶν ῥόδων ἐπαινείσθω μέν, ἀλλὰ μὴ
7 ἀπὸ τοῦ εἴδους — ξανθοῖς γὰρ καὶ κυανοῖς, εἰ τύχοι, χρώμασιν ἀπομιμεῖσθαι τὰς τῶν ἀνθέων εἰκόνας οὐ μέγας ὁ ἆθλος — ἀλλὰ ἐπαινεῖν χρὴ τὸ χαῦνον τοῦ στεφάνου καὶ ἁπαλόν. ἐπαινῶ καὶ τὸ ἔνδροσον τῶν ῥόδων καὶ φημὶ γεγράφθαι αὐτὰ μετὰ τῆς ὀσμῆς. τί λοιπὸν τοῦ Κώμου; τί δ' ἄλλο γε ἢ οἱ κωμάζοντες; ἢ οὐ προσβάλλει σε κρόταλα καὶ θροῦς ἔναυλος καὶ βοὴ ἄτακτος; λαμπάδιά τε ὑπεκφαίνεται, παρ' ὧν ἐστι τοῖς κωμάζουσι καὶ τὰ ἐν ποσὶν ὁρᾶν καὶ ἡμῖν μὴ ὁρᾶσθαι. συνεξαίρεται δὲ καὶ πολὺς λεὼς καὶ γύναια μετ' ἀνδρῶν ἴεται καὶ ὑπόδημα καὶ ζώννυται παρὰ τὸ οἰκεῖον. συγχωρεῖ δὲ ὁ κῶμος καὶ γυναικὶ ἀνδρίζεσθαι καὶ ἀνδρὶ θῆλυν ἐνδῦναι στολὴν καὶ θῆλυ βαίνειν. καὶ οἱ στέφανοι οὐκ ἀνθηροὶ ἔτι, ἀλλ' ἀφῄρηται αὐτοῖς τὸ ἱλαρὸν ὑπὸ τοῦ ταῖς κεφαλαῖς ἐφαρμόττεσθαι, διὰ τὸ ἀτακτεῖν ἐν τῷ δρόμῳ. ἡ γὰρ τῶν ἀνθέων ἐλευθερία παραιτεῖται τὴν χεῖρα ὡς μαραίνουσαν αὐτὰ πρὸ τοῦ χρόνου. μιμεῖταί τινα ἡ γραφὴ καὶ κρότον, οὗ μάλιστα δεῖται ὁ κῶμος, καὶ ἡ δεξιὰ τοῖς δακτύλοις ὑπεσταλμένοις ὑποκειμένην τὴν ἀριστερὰν πλήττει ἐς τὸ κοῖλον, ἵν' ὥσιν αἱ χεῖρες ξύμφωνοι πληττόμεναι τρόπῳ κυμβάλων.

766

ΜΥΘΟΙ.

γ'. Φοιτῶσιν οἱ μῦθοι παρὰ τὸν Αἴσωπον ἀγαπῶντες αὐτόν, ὅτι αὐτῶν ἐπιμελεῖται. ἐμέλησε μὲν γὰρ καὶ Ὁμήρῳ μύθου καὶ Ἡσιόδῳ, ἔτι δὲ καὶ Ἀρχιλόχῳ πρὸς Λυκάμβην, ἀλλ' Αἰσώπῳ πάντα τὰ τῶν ἀνθρώπων ἐκμεμύθωται, καὶ λόγου τοῖς θηρίοις μεταδέδωκε λόγου ἕνεκεν· πλεονεξίαν τε
8 γὰρ ἐπικόπτει καὶ ὕβριν ἐλαύνει καὶ ἀπάτην καὶ ταῦτα λέων τις αὐτῷ ὑποκρίνεται καὶ ἀλώπηξ

767

1. οὐκ εὐνῇ. φ. 3. μὴ μεθύειν. φ. 4. ἐμφαίνων. 2 (br. ex suprasc.) ἐκφαίνον. λ. 5. ἀμέλει. m, o. ib. ἤθος. φ, h, ε, m. εἰοθός. γ. ib. ἡμᾶς ὕπνου. f et p ante corr. 6. συνέχεις. gu. ib. ἔοικε τοῦτο διαφ. — ὕπνου. Θ. s. v. ῥαθυμῶ. ib. ἐν δεξιᾷ. l. 7. αὐτὸν. j. ib. περιφέρει. vd. παραφέρει. ς. 8. τῇ δεξιᾷ. vd. ib. ἐπὶ τῇ ἀριστερᾷ. f, et vd. ante corr. ἐν ἀριστερᾷ. p, φ. ib. ἐκκλίνοι. f, φ. ἐκλίνῃ. l. ἐκκλίνῃ. ς. 9. ἐκκειμένου. f. 10. σμικρὰ δή. p ante corr. 11. σκυλεύει δὲ. φ. κελεύειν οἶμαι. γ. ib. ἀπαρακαλύπτως. f, vd. ἀπαρακαλύπτους. p, φ. ἀπερικαλύπτους. ς. 14. τύχῃ. vd. ib. καὶ τὰς. br. ib. τῶν om. λ. 15. ἀλλὰ. f, φ, ρ, β. 16. μὴ γεγράφθαι. ρ. ib. κόσμου. gu. 17. οἱ om. λ. ib. προβάλλει. h, ε, mγρ. ib. σε om. γ pr. m. ib. κρόταλον. φ. ib. ὠδὴ ἄτακτος. f, φ. ib. λαμπάδιά τε ὑπεκφαίνεται. f, φ, p. ὑπεκφαίνοντες. br. rec. m. 18. μὴ ὁρᾶσθαι. f, p, J. ὁρᾶσθαι ς. (φ, vd.) 19. ξυναίρεταί τε δὲ. h. συνεξαίρεσθαι. i2. ib. ἔεται. j, J. ib. ὑποδήματα. λ. ὑπόδημα κοινὸν ἔχουσι. μ, br, p 2706. κοινὸν ἔχουσι τὸ „παρὰ τὸ οἰκεῖον" gl. est in l, j, β, al. Fo: καὶ ὑποδεῖται καὶ ζ. ib. ζώννυται. f. ζώνυνται. γ, g. ζώννυνται. p, φ, 2, 3, EJ. 20. συνεχώρει. f. ib. ἀνδρὶ θῆλυ. f, β. ib. ἐνδύναι μ. 22. ἐφαρμόζεσθαι. br. ἐναρμόττεσθαι. vd, λ. ib. ἐν om. l. ib. ἡ – ἐλευθερία. Θ. s. v. ἀνθέων. 24. καὶ ἡ – ἔπληττεν εἰς τὸν κοιλὸν – εὔφωνοι συμπληττόμεναι τρόπον κυμβάλων. Aristaenet. I. 10, p. 49. ed. B. ib. καὶ om. ante ἡ. j. ib. ἀπεσταλμένοις. φ. ib. εἰς τὸ. φ.

III. 27. μύθου in rasura vd, fortasse fuit μύθων. 28. τὰ om. γ, g. ib. μετέδωκε. φ, r, h. ib. ἕνεκεν. f, p. ἕνεκα. ς. ib. τε om. v.

7, 8. 766, 767. I, 3.

καὶ ἵππος, νὴ Δία, καὶ οὐδὲ ἡ χελώνη ἄφωνος, ὑφ' ὧν τὰ παιδία μαθηταὶ γίγνονται τῶν τοῦ βίου πραγμάτων. εὐδοκιμοῦντες οὖν οἱ μῦθοι διὰ τὸν Αἴσωπον φοιτῶσιν ἐπὶ τὰς θύρας τοῦ σοφοῦ ταινίαις αὐτὸν ἀναδήσοντες καὶ στεφανώσοντες αὐτὸν θαλλοῦ στεφάνῳ. ὁ δέ, οἶμαι, τινα ὑφαίνει μῦθον. τὸ γὰρ μειδίαμα τοῦ Αἰσώπου καὶ οἱ ὀφθαλμοὶ κατὰ γῆς ἑστῶτες τοῦτο δηλοῦσιν· οἶδεν ὁ ζωγράφος, ὅτι αἱ τῶν μύθων φροντίδες ἀνειμένης τῆς ψυχῆς δέονται. φιλοσοφεῖ δὲ ἡ γραφὴ καὶ τὰ τῶν μύθων σώματα. θηρία γὰρ συμβάλλουσα ἀνθρώποις περίστησι χορὸν τῷ Αἰσώπῳ ἀπὸ τῆς ἐκείνου σκηνῆς συμπλάσασα, κορυφαία δὲ τοῦ χοροῦ ἡ ἀλώπηξ γέγραπται, χρῆται γὰρ αὐτῇ ὁ Αἴσωπος διακόνῳ τῶν πλείστων ὑποθέσεων, ὥσπερ ἡ κωμῳδία τῷ Δάῳ.

ΜΕΝΟΙΚΕΥΣ.

δ'. Θηβῶν μὲν ἡ πολιορκία, τὸ γὰρ τεῖχος ἑπτάπυλον, ἡ στρατιὰ δὲ Πολυνείκης ὁ τοῦ Οἰδίποδος, οἱ γὰρ λόχοι ἑπτά. πελάζει αὐτοῖς Ἀμφιάρεως ἀθύμῳ εἴδει καὶ ξυνιέντι ἃ πείσονται, καὶ οἱ μὲν ἄλλοι λοχαγοὶ δεδίασι — ταῦτα καὶ τὰς χεῖρας ἐς τὸν οὐρανὸν αἴρουσι — Καπανεὺς
768 δὲ τὰ τείχη βλέπει περιφρονῶν τὰς ἐπάλξεις ὡς κλίμακι ἁλωτάς. οὐ μὴν βάλλεταί πω ἀπὸ τῶν ἐπάλξεων ὀκνοῦντές που οἱ Θηβαῖοι ἄρξαι μάχης. ἡδὺ τὸ σόφισμα τοῦ ζωγράφου· περιβάλλων τοῖς τείχεσιν ἄνδρας ὡπλισμένους τοὺς μὲν ἀρτίους παρέχει ὁρᾶν, τοὺς δὲ ἀσαφεῖς τὰ σκέλη, τοὺς δὲ ἡμίσεας καὶ στέρνα ἐνίων καὶ κεφαλὰς μόνας καὶ κόρυθας μόνας, εἶτα αἰχμάς. ἀναλογία ταῦτα, ὦ παῖ. δεῖ γὰρ κλέπτεσθαι τοὺς ὀφθαλμοὺς τοῖς ἐπιτηδείοις κύκλοις συναπιόντας. οὐδὲ αἱ Θῆβαι ἀμάντευτοι, λόγιον γάρ τι ὁ Τειρεσίας λέγει τεῖνον ἐς Μενοικέα τὸν τοῦ Κρέοντος, ὡς ἀποθανών, ἔνθα ἡ χειὰ τοῦ δράκοντος, ἐλευθέρα ἡ πόλις ἐκ τούτου εἴη. ὁ δὲ ἀποθνήσκει λαθὼν τὸν πατέρα ἐλεεινὸς μὲν τῆς ἡλικίας, εὐδαίμων δὲ τοῦ θάρσους. ὅρα γὰρ τὰ τοῦ ζωγράφου· γράφει μειράκιον οὐ λευκόν, οὐδ' ἐκ τρυφῆς, ἀλλ' εὔψυχον καὶ παλαίστρας πνέον, οἷον τὸ τῶν μελιχρόων ἄνθος, οὓς ἐπαινεῖ ὁ τοῦ Ἀρίστωνος, διαφράττει δὲ αὐτὸ στέρνοις εὐαφέσι καὶ πλευραῖς καὶ γλουτῷ συμμέτρῳ καὶ μηρῷ. ἔρρωται καὶ ὤμων ἐπαγγελίᾳ καὶ οὐκ ἀτρέπτῳ τένοντι, μετέχει δὲ καὶ κόμης, ὅσον μὴ κομᾶν. ἐφέστηκε δὲ τῇ χειᾷ τοῦ δράκοντος ἕλκον τὸ ξίφος ἐνδεδυκὸς ἤδη τῇ πλευρᾷ, καὶ δεξώμεθα, ὦ παῖ, τὸ αἷμα κόλπον αὐτῷ ὑποσχόντες, ἐκχεῖται γάρ, καὶ ἡ ψυχὴ ἤδη ἄπεισι,
769 μικρὸν δὲ ὕστερον καὶ τετριγυίας αὐτῆς ἀκούσῃ. ἔρωτα γὰρ τῶν καλῶν σωμάτων καὶ αἱ ψυχαὶ ἴσχουσιν, ὅθεν ἄκουσαι αὐτῶν ἀπαλλάττονται. ὑπεξιόντος δὲ αὐτῷ τοῦ αἵματος ὀκλάζει καὶ ἀσπάζεται τὸν θάνατον καλῷ καὶ ἡδεῖ τῷ ὄμματι καὶ οἷον ὕπνον ἕλκοντι.

1. ἵπποις. l. ib. ἀφ' ὧν. φ. ib. μυθηταὶ. φ. ib. γίγνονται. φ. γίνονται. ς. ib. τῶν. br. 3. ταινίαις. l. ταιν[ί]ας. γ. ib. ἀναδύσοντες. j. ib. στεφάνου. gu. 4. τοῦ Αἰσώπου. f, p. τοῦ Αἰσώπου suprasc. προ. vd. sec. m. τοῦ προσώπου. ς. ib. κατὰ γῆς. f, p, γ, g. κατὰ τῆς γῆς. φ, 2, 3, EJ. 5. φιλοσοφεῖ — ἀνθρώποις. v. 5. γὰρ om. v. 7. κορυφαία — ἀλώπηξ. v. 8. Δαναῷ. f, p, non φ, vd.

IV. 9. μὲν om. j. ib. τὸ δὲ τεῖχος. f, j. ib. ἡ δὲ στρ. λ. ib. Οἰδίπου. vd. 10. λοχᾶροι. f. ib. πελάζει αὐτοῖς. 1. (πελάζῃ. φ.) πελάζει δ' αὐτοῖς. 2, 3, EJ. ib. οἱ δὲ γὰρ. λ. ib. Ἀμφιάρεως. l. Ἀμφιάραος. ς. 11. δεδίασι ταῦτα. C, E ante J. ib. ἐς τὸν Δία. p, φ, EJ. ἐς τὸν Δία οὐρανὸν. j. ἐς τὸν οὐρανὸν et γρ. Δία. β. ib. ὁ Καπανεὺς δὲ — μάχης. Glyc. π. συντ. 54. ed. Jahn. 12. κλίμακας. vd. ib. πω om. J. 13. ἡδὺ — ζωγράφου. v. ἡδὺ — ὡπλισμένους. Gr. Herm. 363. ib. περιβάλλων τοῖς. f, φ, et vd ante correctionem, Schol. Eur. Or. 362. (περιβάλλον f.) περιβάλλων γὰρ τοῖς. ς. (περιβάλλει γ. τ. Gr. Herm.) 14. τοὺς μὲν γὰρ — συναπιόντας. v. ib. ὁρᾶν παρέχει. vd. ib. σκέλη ἡμισέας. λ. 15. ταῦτα ἀπαιτεῖ. J conj. 17. λόγιον — Μενοικέα. Gr. Herm. 390. λόγιον — εἴη. Glyc. π. συντ. 54 ed. Jahn. ib. τεῖνος. br. ib. τὸν Κρέοντος. h, E. 18. ἐλευθέρα. m. ib. ἐκ τούτου om. Glyc. ib. τὸν om. vd. 19. θράσους. f, λ, g. 20. ὡς καὶ. j. 21. Ἀρίστονος. gu. ib. εὐβάφεσι. f, ρ, gu. ib. ἢ καὶ γλ. 1. 22. ἔρρωται. λ. ib. εὐαγγελία. φ. εὐπαγία. o. ib. μετέχει — κομᾶν. v. ib. δὲ κόμης. v, l. 23. ἕλκων. o. ib. ξίφος ἐνδεδυκὸς. l. ξίφος καὶ ἐνδεδυκὸς. vd. ex corr. 2, 3, EJ. (ὑποδεδυκὸς. ψ.) 24. καὶ δεξώμεθα. 1 (in p lineola deletur καὶ). δεξώμεθα. 2, 3, EJ. 25. τετριγυίας. vd, φ, λ, j, γ, g, J. τετρηγυίας. h. τετρυγυίας. f, p, E. 26. ἴσχουσι. φ. ib. τοῦ σώματος. gu. 27. ὕπνον. l. εἰς ὕπνον. λ.

9. 768, 769 1, 4.

ΠΗΧΕΙΣ.

ε'. Περὶ τὸν Νεῖλον οἱ πήχεις ἀθύρουσι παιδία ξύμμετρα τῷ ὀνόματι, καὶ ὁ Νεῖλος αὐτοῖς ὑπεργάνυται τά τε ἄλλα καὶ ὅτι κηρύττουσιν αὐτόν, ὅσος Αἰγυπτίοις προεχύθη. προσάγεται οὖν καὶ οἷον ἔρχεται αὐτῷ ἐκ τοῦ ὕδατος βρέφη ἁπαλὰ καὶ μειδιῶντα, μετέχειν δὲ οἶμαί τι αὐτὰ καὶ τοῦ λάλου, καὶ οἱ μὲν τοῖς ὤμοις αὐτοῦ ἐφιζάνουσιν, οἱ δὲ τῶν πλοκάμων ἐκκρέμανται, οἱ δὲ τῇ ἀγκάλῃ ἐγκαθεύδουσιν, οἱ δὲ κωμάζουσιν ἐπὶ τοῦ στέρνου. ὁ δὲ ἀναδίδωσιν αὐτοῖς ἄνθη τὰ μὲν ἀπὸ τοῦ κόλπου, τὰ δὲ ἀπὸ τῆς ἀγκάλης, ὡς στεφάνους τε ἀπ' αὐτῶν διαπλέκοιεν καὶ καθεύδοιεν ἐπὶ τῶν ἀνθέων ἱεροὶ καὶ εὐώδεις, καὶ ἐπαναβαίνουσιν ἄλλο ἄλλῳ τὰ παιδία σείστροις ἅμα, ταυτὶ γὰρ ἔναυλα ἐκείνῳ τῷ ὕδατι. κροκόδειλοι μὲν οὖν καὶ οἱ ποτάμιοι τῶν ἵππων, οὓς τῷ Νείλῳ τινὲς προσγράφουσιν, ἀπόκεινται νῦν ἐν βαθείᾳ τῇ δίνῃ, μὴ δέος τοῖς παιδίοις ἐμπέσοι, γεωργίας δὲ καὶ ναυτιλίας σύμβολα δηλοῖ τὸν Νεῖλον ἐκ τοιοῦδε, ὦ παῖ, λόγου· Νεῖλος Αἴγυπτον πλωτὴν ἐργασάμενος εὐκάρπῳ τῇ γῇ χρῆσθαι δίδωσιν ὑπὸ τῶν πεδίων ἐκποθείς, ἐν Αἰθιοπίᾳ δέ, ὅθεν ἄρχεται, ταμίας αὐτῷ δαίμων ἐφέστηκεν, ὑφ' οὗ πέμπεται ταῖς ὥραις σύμμετρος. γέγραπται δὲ οὐρανομήκης ἐπινοῆσαι καὶ τὸν πόδα ἔχει πρὸς ταῖς πηγαῖς, οἷον, ὦ Πόσειδον, προσνεύων. ἐς τοῦτον ὁ ποταμὸς βλέπει καὶ αἰτεῖ τὰ βρέφη αὐτῷ πολλὰ εἶναι. 770

ΕΡΩΤΕΣ.

ς'. Μῆλα ἔρωτες ἰδοὺ τρυγῶσιν, εἰ δὲ πλῆθος αὐτῶν, μὴ θαυμάσῃς, νυμφῶν γὰρ δὴ παῖδες οὗτοι γίγνονται, τὸ θνητὸν ἅπαν κυβερνῶντες, πολλοὶ διὰ πολλά, ὧν ἐρῶσιν ἄνθρωποι, τὸν δὲ οὐράνιόν φασιν ἐν τῷ οὐρανῷ πράττειν τὰ θεῖα. μῶν ἐπῄσθου τι τῆς ἀνὰ τὸν κῆπον εὐωδίας ἢ βραδύνει σοι τοῦτο; ἀλλὰ προθύμως ἄκουε, προσβαλεῖ γάρ σε μετὰ τοῦ λόγου καὶ τὰ μῆλα. ὄρχοι μὲν οὗτοι φυτῶν ὀρθοὶ πορεύονται, τοῦ μέσου δὲ αὐτῶν ἐλευθερία βαδίζειν. πόα δὲ ἁπαλὴ κατέχει τοὺς δρόμους οἷα καὶ κατακλιθέντι στρωμνὴ εἶναι. ἀπ' ἄκρων δὲ τῶν ὄζων μῆλα χρυσᾶ καὶ πυρσὰ καὶ ἡλιώδη προσάγονται τὸν ἐσμὸν ὅλον τῶν ἐρώτων γεωργεῖν αὐτά. φαρέτραι μὲν οὖν χρυσόπαστοι καὶ χρυσαῖ καὶ τὰ ἐν αὐταῖς βέλη, γυμνὴ τούτων ἡ ἀγέλη πᾶσα καὶ κοῦφοι διαπέτονται περιαρτήσαντες αὐτὰ ταῖς μηλέαις, αἱ δὲ ἐφεστρίδες αἱ ποικίλαι κεῖνται μὲν ἐν τῇ πόᾳ, μυρία δὲ αὐτῶν τὰ ἄνθη, οὐδὲ ἐστεφάνωνται τὰς κεφαλὰς ὡς ἀποχρώσης αὐτοῖς τῆς κόμης. πτερὰ δὲ κυάνεα καὶ φοινικᾶ καὶ χρυσᾶ ἐνίοις μονονοὺ καὶ αὐτὸν πλήττει τὸν ἀέρα ξὺν ἁρμονίᾳ μουσικῇ. φεῦ τῶν ταλάρων, ἐς οὓς ἀποτίθενται τὰ μῆλα, ὡς πολλὴ μὲν περὶ αὐτοὺς ἡ σαρδώ, πολλὴ δὲ ἡ σμάραγδος, ἀληθινὴ δὲ ἡ μάρ-

v. *Πήχεις.* p, ρ, p 1760, 1761. matr. ib. *Νεῖλος.* ς. 1. πηχεῖς. l. ib. ξυμμέτροι et α suprascr. p. 2. ὑπεργάνυται. gu, J. ὑπεργάννυται. ς. ib. κυρήττ. h. κιρύττ. o. ib. προσάγει et προσάγεται. mg. br. προάγεται. λ. ib. ω̃ γοῦν. 1, J. οὖν. ς. 3. καὶ om. λ. αὐτοῖς. φ. αὐτῷ. μ, EJ. αὐτῷ et mg. αὐτοῖς. br. αὐτοῖς. ς. ib. ἄρχεται sive ἔλκεται. conj. J. ib. μετέχει. l. ib. οἶμαί τι. 1, J. οἶμαι. 2, 3, E. ib. ἐκ τοῦ λάλου. ρ. 4. τὸ πλοκάμω ἐκρέμανται. λ. 5. ἐγκαθεύδουσιν. conj. J. καθεύδουσιν. ς. ib. τοῦ om. γ. 6. ἀπὸ τῶν ἀνθ. φ. ib. ἄλλος ἄλλῳ. p, J. ἄλλω ἄλλῳ. λ. ὑ 8. οὖν om. ρ. ib. οἱ ποταμοί. φ, λ. ib. τῶν ἵππων om. r. 9. ἀπόκεινται. br. ib. ἐμπέσοι. 1, j et g, ubi suprasc. η. ἐμπέσῃ. ς. 10. σύμβολα. 1, J. σύμβολον. ς. ib. τοῦ τοιοῦδε. h. 11. εὐκαρπία. vd. 12. ἄρχεται. 1, γ, g, gu, λ, J. ἔρχεται. 2. (γρ. ἄρχεται in p 1761.) r, h, E. ib. ἐφίσταται. ρ. ib. γέγραπται — ἐπινοῆσαι. v. ib. γέγραπται γὰρ. h. 13. παῖδα. p, γ et φ, ubi o suprascr. ib. πρὸς om. 1 et γ. Fo: ἐπέχει ταῖς π. ib. ἐς τοῦτον. C, J. πρὸς τοῦτον. h, E. 14. αὐτὰ τὰ βρ. λ.

VI. 15. *μῆλα ἔρωτες ἰδοὺ τρυγῶσιν* laudat Eustath. ad Od. 1572, 48. ib. γὰρ δὲ. p 1761. 16. γίνονται. j. ib. διακυβερνῶντες. f, p, J. ib. διὰ πολλῶν. λ. 18. προσβάλλει. λ. ib. σοι. ψ. ib. ὄρκοι. l. πτόρθοι et mg. ὀρχοί. br. p. 1761. πτόρθοι et ἴσως ὄρχοι in mg. h. ὀρθοὶ. μ, ρ. πτόρθοι. ε, m, et vd. in mg. 19. δὲ αὐτῶν. C. δ' αὐτῶν. E. 20. οἷα. p 1761. ib. στρωμνήν. f, ρ, ε, m. ib. καὶ πυρσὰ om. λ. πυρσᾶ. vd. 21. ὅλων. m, o. ib. γεωργῆν. j. ib. φαρέτραι — πᾶσα. Schol. Eur. Or. 971. ib. ουν om. λ. 22. χρυσᾶ. o. ib. καὶ ἐν αὐταῖς. φ. 24. αὐτῆς τῆς κόμης. λ. 25. μονονοὺ. 1, l, j, μ, br, ρ, β, λ. μονονουχὶ. γ, g, J. ib. κατ' αὐτόν. φ. ib. μουσικῆς. vd. ante corr. ib. φεῦ — μάργηλις. v. 26. ἀποτίθεται. l, β, ρ, o. ib. ἀληθινὴ δὲ. φ. ἀληθὴς δὲ. ς.

10, 11. 770. 1, 5, 6.

771 γηλις, ἡ συνθήκη δὲ αὐτῶν Ἡφαίστου νοείσθω. οὐδὲ κλιμάκων δέονται πρὸς τὰ δένδρα παρ' αὐτοῦ, ὑψοῦ γὰρ καὶ ἐς αὐτὰ πέτονται τὰ μῆλα. καὶ ἵνα μὴ τοὺς χορεύοντας λέγωμεν ἢ τοὺς διαθέοντας ἢ τοὺς καθεύδοντας ἢ ὡς γάννυνται τῶν μήλων ἐμφαγόντες, ἴδωμεν, ὅ τι ποτὲ νοοῦσιν οὗτοι. οἱ γὰρ κάλλιστοι τῶν ἐρώτων ἰδοὺ τέτταρες ὑπεξελθόντες τῶν ἄλλων δύο μὲν αὐτῶν ἀντιπέμπουσι μῆλον ἀλλήλοις, ἡ δὲ ἑτέρα δυὰς ὁ μὲν τοξεύει τὸν ἕτερον, ὁ δὲ ἀντιτοξεύει καὶ οὐδὲ ἀπειλὴ τοῖς προσώποις ἔπεστιν, ἀλλὰ καὶ στέρνα παρέχουσιν ἀλλήλοις, ἵν' ἐκεῖ που τὰ βέλη πελάσῃ. καλὸν τὸ αἴνιγμα· σκόπει γάρ, εἴ τι ξυνίημι τοῦ ζωγράφου· φιλία ταῦτα, ὦ παῖ, καὶ ἀλλήλων ἵμερος, οἱ μὲν γὰρ διὰ τοῦ μήλου παίζοντες πόθου ἄρχονται, ὅθεν ὁ μὲν ἀφίησι φιλήσας τὸ μῆλον, ὁ δὲ 12 ὑπτίαις αὐτὸ ὑποδέχεται ταῖς χερσὶ δῆλον ὡς ἀντιφιλήσων, εἰ λάβοι, καὶ ἀντιπέμψων αὐτό, τὸ δὲ τῶν τοξοτῶν ζεῦγος ἐμπεδοῦσιν ἔρωτα ἤδη φθάνοντα, καὶ φημὶ τοὺς μὲν παίζειν ἐπὶ τῷ ἄρξασθαι τοῦ ἐρᾶν, τοὺς δὲ τοξεύειν ἐπὶ τῷ μὴ λῆξαι τοῦ πόθου. ἐκεῖνοι μὲν οὖν, περὶ οὓς οἱ πολλοὶ θεαταί, θυμῷ συμπεπτώκασι καὶ ἔχει τις αὐτοὺς πάλη. λέξω καὶ τὴν πάλην, καὶ γὰρ τοῦτο ἐκλιπαρεῖς· ὁ μὲν ἥρηκε τὸν ἀντίπαλον περιπτὰς αὐτῷ κατὰ τῶν νώτων καὶ ἐς πνῖγμα ἀπολαμβάνει καὶ καταδεῖ τοῖς σκέλεσιν, ὁ δὲ οὔτε ἀπαγορεύει καὶ ὀρθὸς ὑπανίσταται καὶ διαλύει τὴν χεῖρα, ὑφ' ἧς ἄγχεται, στρεβλώσας ἕνα τῶν δακτύλων, μεθ' ὃν οὐκέτι οἱ λοιποὶ ἔχουσιν, οὐδέ εἰσιν ἐν 772 τῷ ἀπρίξ, ἀλγεῖ δὲ ὁ στρεβλούμενος καὶ κατεσθίει τοῦ παλαιστοῦ τὸ οὖς. ὅθεν δυσχεραίνουσιν οἱ θεώμενοι τῶν ἐρώτων ὡς ἀδικοῦντι καὶ ἐκπαλαίοντι, καὶ μήλοις αὐτὸν καταλιθοῦσι. μηδὲ ὁ λαγὼς ἡμᾶς ἐκεινοσὶ διαφευγέτω, συνθηράσωμεν δὲ αὐτὸν τοῖς ἔρωσι. τοῦτο τὸ θηρίον ὑποκαθήμενον ταῖς μηλέαις καὶ σιτούμενον τὰ πίπτοντα ἐς γῆν μῆλα, πολλὰ δὲ καὶ ἡμίβρωτα καταλεῖπον διαθηρῶσιν οὗτοι καὶ ταράττουσιν ὁ μὲν κρότῳ χειρῶν, ὁ δὲ κεκραγώς, ὁ δὲ ἀνασείων τὴν χλαμύδα, καὶ οἱ μὲν ὑπερπέτονται τοῦ θηρίου καταβοῶντες, οἱ δὲ μεθέπουσιν αὐτὸ πεζοὶ κατὰ ἴχνος, ὁ δ' ὡς ἐπιρρίψων ἑαυτὸν ὥρμησε καὶ τὸ θηρίον ἄλλην ἐτράπετο, ὁ δὲ ἐπιβουλεύει τῷ σκέλει τοῦ λαγώ, τὸν δὲ καὶ διωλίσθησεν ἡρηκότα· γελῶσιν οὖν καὶ καταπεπτώκασιν ὁ μὲν ἐς πλευράν, ὁ δὲ πρηνής, οἱ δὲ ὕπτιοι, πάντες δὲ ἐν τοῖς τῆς διαμαρτίας σχήμασι. τοξεύει δὲ οὐδείς, ἀλλὰ πειρῶνται αὐτὸν ἐλεῖν ζῶντα ἱερεῖον τῇ Ἀφροδίτῃ ἥδιστον. οἶσθα γάρ που τὸ περὶ τοῦ λαγὼ λεγόμενον, ὡς 13 πολὺ τῆς Ἀφροδίτης μέτεστιν αὐτῷ· λέγεται γοῦν περὶ μὲν τοῦ θήλεος θηλάζειν τε αὐτό, ἃ ἔτεκε, καὶ ἀποτίκτειν πάλιν ἐπὶ ταὐτῷ γάλακτι καὶ ἐπικυίσκειν δὲ καὶ οὐδὲ εἰς χρόνος αὐτῷ τοῦ τόκου κενός, τὸ δὲ ἄρρεν σπείρει τε, ὡς φύσις ἀρρένων, καὶ ἐπικυίσκει παρ' ὃ πέφυκεν. οἱ δὲ ἄτοποι τῶν ἐραστῶν καὶ πειθώ τινα ἐρωτικὴν ἐν αὐτῷ κατέγνωσαν βιαίῳ τέχνῃ τὰ παιδικὰ θηρώμενοι. ταῦτα μὲν οὖν καταλείπωμεν ἀνθρώποις ἀδίκοις καὶ ἀναξίοις τοῦ ἀντερᾶσθαι, σὺ δέ μοι τὴν Ἀφροδίτην βλέπε· ποῦ δὴ καὶ κατὰ τί τῶν μήλων ἐκείνῃ; ὁρᾷς τὴν ὕπαντρον πέτραν, ἧς νᾶμα κυανώ-

1. αὐτοῦ. 2. 2. ἐς αὐτὰ C, (παρ' αὐτὰ. h.) J. ἐπ' αὐτά. E. ib. καὶ ἵνα — νοοῦσιν οὗτοι. v. ib. χορεύοντας. v. χορευτάς. ς. ib. ἢ om. β, ρ. 3. γάννυνται. μ, gu, J. γάννυνται. ς. ib. εἴδωμεν. f et p, ubi ι suprasc. ἴδωμεν. λ. ib. τότε. γ. ib. νοοῦσιν οὗτοι. v. οὗτοι νοοῦσιν. ς. 4. ἰδοὺ τέτταρες. 1, γ, g, gu. ἰδοὺ δὴ τέττ. ς. (vd. ex corr.) ib. δύο. 1, 2. (br. pr. m.) οἱ δύο. vd. pr. m. br. sec. m. 3, EJ. 6. ἀλλὰ καὶ . . . . ἔχουσιν. φ sic cum lac. ib. ἵν' ἐκεῖ — ἀλλήλων om. r. ib. πετάσῃ. f. ib. ὅπου ξ. f. 9 ταῖς om. λ. 7. τ. χ. om. vd. ib. δῆλον om. λ. ib. τὸ δὲ τὸ τῶν. λ. 10. τόξων. γ. τοξευτῶν. vd. 11. μὴ δὲ. h, ε, m. 12. ξυμπέπτωκασι. γ, g. 13. περιττὰς. i 2, m. ib. κατὰ om. gu. ib. νότων. γ, g. 14. οὗτι velit J. ib. ὑπαγορεύει. λ. 15. ὁ στριβλούμενος. J conj. ὁ om. ς. στρεβλούμενος om. vd. 17. λαγὼς. f, p, J. λαγωός. vd, φ, 2, 3, E. 18. ἐκεῖνος. f. ib. διαφυγέτω. p. ib. ξυνθηρ. J. 19. μηλαίαις. λ. ib. ἐς γῆν. gu. εἰς γ. ς. 20. καὶ καταταράττουσιν. f. καὶ ταράσσουσιν. φ, vd. ib. κατασείων. J, nescio unde. 21. αὐτῷ. μ, λ. αὐτοῦ. J. Hoc quoque unde sit, nescio. ib. πεζοῖ. E. ib. κατὰ ἴχνος. φ, μ, br, ρ. 22. αὐτὸν. ib. ἄλλη. λ. 23. διώλισθεν. φ. ib. ἡρηκότα. l. ib. οἱ δ' οὖν. λ. 24. πάντες — σχήμασι. v. ib. π. δὲ ἐν. f, p. π. ἐν. v, φ. 2. 3, EJ. ib. ἁμαρτίας. v, λ. ib. τῷ — σχήματι. λ. 26. πολλῆς τῆς. f. ib. λέγεται γοῦν. l. λέγ. δὲ. λ. λέγ. ουν. ς. ib. τοῦ λαγὼ θηλάζειν. l. ib. μὲν αὐτὸν. vd. ib. αὐτὸ. φ, γ, g, gu, J. αὐτὸν. ς. 27. ἐπὶ τῷ αὐτῷ. φ. ἐπὶ ταυτά. l. pr. m. ἐπιταυτῷ. vd. ib. ἐπικυίσκει. C, J. ἐπικυίσκειν. E. ib. τοῦ om. λ. ib. τοκετοῦ. f, p, J. 29. ἐρωτικὴν om. vd. 30. τὰ μὲν οὖν φίλτρα καταλ. — ἐκείνῃ. v. ib. καταλείπωμεν. v, λ. καταλίπωμεν. ς. 31. ποῦ δὴ κατὰ τί. φ. v. ib. τῶν μήλων. C, EJ. Fo: τῶν μηλεῶν. ib. ἐκείνων. λ. ib. πέτραν. l. πέτραν ἐκείνην. 2, 3, EJ.

12, 13. p. 771, 772.

τατον ὑπεκτρέχει χλωρόν τε καὶ πότιμον, ὃ δὴ καὶ διοχετεύεται ποτὸν εἶναι ταῖς μηλέαις; ἐνταῦθά 773
μοι τὴν Ἀφροδίτην νόει, νυμφῶν, οἶμαι, αὐτὴν ἱδρυμένων, ὅτι αὐτὰς ἐποίησεν ἐρώτων μητέρας
καὶ διὰ τοῦτο εὔπαιδας. καὶ κάτοπτρον δὲ τὸ ἀργυροῦν καὶ τὸ ὑπόχρυσον ἐκεῖνο σανδάλιον καὶ
αἱ περόναι αἱ χρυσαῖ, ταῦτα πάντα οὐκ ἀργῶς ἀνῆπται· λέγει δὲ Ἀφροδίτης εἶναι, καὶ γέγραπται
τοῦτο, καὶ νυμφῶν δῶρα εἶναι λέγεται, καὶ οἱ ἔρωτες δὲ ἀπάρχονται τῶν μήλων καὶ περιεστῶτες 5
εὔχονται καλὸν αὐτοῖς εἶναι τὸν κῆπον.

ΜΕΜΝΩΝ.

ξ'. Ἡ μὲν στρατιὰ Μέμνονος, τὰ ὅπλα δὲ αὐτοῖς ἀπόκειται καὶ προτίθενται τὸν μέγιστον
αὐτῶν ἐπὶ θρήνῳ, βέβληται δὲ κατὰ τὸ στέρνον, ἐμοὶ δοκεῖν, ὑπὸ τῆς μελίας. εὑρὼν γὰρ πεδίον
εὐρὺ καὶ σκηνὰς καὶ τεῖχος ἐν στρατοπέδῳ καὶ πόλιν συμπεφραγμένην τείχεσιν οὐκ οἶδ' ὅπως οὐκ
16 Αἰθίοπες οὗτοι καὶ Τροία ταῦτα, θρηνεῖται δὲ Μέμνων ὁ τῆς Ἠοῦς. τοῦτον ἀφικόμενον ἀμῦναι 10
τῇ Τροίᾳ κτείνει, φασίν, ὁ τοῦ Πηλέως, μέγαν ἥκοντα καὶ οὐδὲν αὐτοῦ μείω. σκόπει γάρ, ὅσος
μὲν κεῖται κατὰ τῆς γῆς, ὅσος δὲ ὁ τῶν βοστρύχων ἄσταχυς, οὓς, οἶμαι, Νείλῳ ἔτρεφε. Νείλου
γὰρ Αἰγύπτιοι μὲν ἔχουσι τὰς ἐκβολάς, Αἰθίοπες δὲ τὰς πηγάς. ὅρα τὸ εἶδος, ὡς ἔρρωται καὶ τῶν
ὀφθαλμῶν ἀπολωλότων. ὅρα τὸν ἴουλον, ὡς καθ' ἡλικίαν τῷ κτείναντι. οὐδ' ἂν μέλανα φαίης
τὸν Μέμνονα, τὸ γὰρ ἀκράτως ἐν αὐτῷ μέλαν ὑποφαίνει τι ἄνθους. αἱ δὲ μετέωροι δαίμονες Ἠὼς 15
ἐπὶ τῷ παιδὶ πενθοῦσα κατηφῇ ποιεῖ τὸν Ἥλιον καὶ δεῖται τῆς Νυκτὸς ἀφικέσθαι πρὸ καιροῦ καὶ
τὸ στρατόπεδον ἐπισχεῖν, ἵνα ἐγγένηταί οἱ κλέψαι τὸν υἱόν, Διός που ταῦτα νεύσαντος. καὶ ἰδού,
ἐκκέκλεπται καὶ ἔστιν ἐπὶ τέρμασι τῆς γραφῆς. [σπουδὴ καὶ κατὰ τί τῆς γῆς] τάφος οὐδαμοῦ Μέμ-
νονος, ὁ δὲ Μέμνων ἐν Αἰθιοπίᾳ, μεταβεβληκὼς ἐς λίθον μέλανα, καὶ τὸ σχῆμα μὲν καθημένου, 774
τὸ δὲ εἶδος ἐκεῖνο, οἶμαι, καὶ προσβάλλει τῷ ἀγάλματι ἡ ἀκτὶς τοῦ Ἡλίου· δοκεῖ γὰρ ὁ Ἥλιος 20
οἱονεὶ πλῆκτρον κατὰ στόμα ἐμπίπτων τῷ Μέμνονι ἐκκαλεῖσθαι φωνὴν ἐκεῖθεν καὶ λαλοῦντι σο-
φίσματι παραμυθεῖσθαι τὴν Ἡμέραν.

ΑΜΥΜΩΝΗ.

η'. Πεξεύοντι τὴν θάλατταν τῷ Ποσειδῶνι ἐντετύχηκας, οἶμαι, παρ' Ὁμήρῳ, ὅτε κατὰ τοὺς
Ἀχαιοὺς ἀπὸ Αἰγῶν στέλλεται, καὶ ἡ θάλαττα γαλήνην ἄγει παραπέμπουσα αὐτὸν αὐτοῖς ἵπποις
15 καὶ αὐτοῖς κήτεσι, καὶ γὰρ ἐκεῖνα ἕπεται καὶ σαίνει τὸν Ποσειδῶνα ὡς ἐνταῦθα. ἐκεῖ μὲν οὖν 25
ἠπειρωτῶν οἶμαι τῶν ἵππων αἰσθάνῃ, χαλκόποδάς τε γὰρ αὐτοὺς ἀξιοῖ εἶναι καὶ ὠκυπέτας καὶ

1. χλωερόν. l. ib. τε om. j et p 1698. ib. διοχεύεται. γ. 2. οἶμαι αὐτὴν om. λ. ib. ἱδρυμένην. l. ib. ἐποίησεν αὐτὰς. l. 3. ἄπαιδας. l. ib. καὶ κάτοπτρον. 1, J. κάτοπτρον. 2, 3, E. ib. ἐκείνῳ. λ. 4. ἀνῆπται ἀργῶς. l, γ, g. 5. τούτῳ. l. ib. δῶρα, οἶμαι conj. J. ib. περιέσθοντες. f. 6. ἀεὶ καλὸν conj. J.

VII. ὑπόκειται. γ. ib. προστίθενται. p 2955. 8. τῶν στέρνων. λ. ib. εὐρὸν. λ. 9. σκηνὰς et γρ. πηγὰς. p. ib. ξυμπεφρ. J. ib. οὐκ οἶδ' ὅπως — ταῦτα. v. 10. ἀμῦναι. vd. 11. οὐδὲν αὐτοῦ. p, l, 2. οὐδὲν ἂν αὐτοῦ. f, φ, 3. J. ἂν suprasc. in vd. pr. m. 12. κατὰ γῆς. br. 14. ὡς om. λ. 15. ἐν αὐτῇ. f, p, unde J conj. ἐν αὐγῇ. ib. αἱ δὲ μετ. δαιμ. excitat Greg. Cor. p. 87. 17. ἵνα ἐγγ. l. ἵν' ἐγγ. ς. 18. ἔκκλεπται. μ. ib. τέρμα. l. τέρματι. vd. ib. Verba σπουδὴ καὶ κατὰ τί τῆς γῆς partim ex superioribus 384, 31 huc irrepsisse videntur. J. conj.: ποῦ δὴ καὶ κατὰ τί τῆς γῆς τάφος; cui assentiens Welcker om. τάφος. At non dubito, quin τῆς γῆς ad complendam sententiam adjectum sit aliunde illatis. ib. τί om. p. ib. οὐδαμοῦ. λ. 19. ὁ δὲ — οἶμαι. v. ib. ἐν om. gu. ib. τὸ σχῆμα καθημένου. f et p ante corr. rec. τὸ μὲν σχ. καθ. v. 20. ἐκείνου. o. 21. κατὰ στόμα. C. κατὰ τὸ στόμα. EJ. τὸ suprasc. in vd ib. ἐμπίπτον. br. ib. Μέμνωνι. o. ib. καλοῦντι. j, p 1698.

VIII. 23. Ποσειδῶν ἢ Ἀμ. h, EJ. 24. ἀπὸ τῶν Αἰγῶν. h, J. ib. τοῖς ἵπποις. f. ib. ὅρα καὶ. vd. ib. ἵπποισι. p 2955. 25. καὶ γὰρ κἀκεῖ. conj. J. ib. Ποσειδῶ. l. 26. τε om. φ. ib. αὐτὸς. ρ. ib. ἀξιοῖς. μ, p 1761. ib. καὶ μ. πλήττ. om. br. pr. m.

14, 15. p. 773, 774. 1, 7, 8.

μάστιγι πλήττεσθαι, ἐνταῦθα δὲ ἱππόκαμποι τὸ ἅρμα καὶ ἔφυδροι τὰς ὁπλὰς καὶ νευστικοὶ καὶ
775 τοὺς ὀφθαλμοὺς ὑπόγλαυκοι καί, νὴ Δία, ὅσα δελφῖνες κἀκεῖ μὲν δυσχεραίνειν ὁ Ποσειδῶν ἔοικε
καὶ νεμεσᾶν τῷ Διὶ κλίνοντι τὸ Ἑλληνικὸν καὶ βραβεύοντι αὐτοῖς ἀπὸ τοῦ χείρονος, ἐνταῦθα δὲ
φαιδρὸς γέγραπται καὶ ἱλαρὸν βλέπει καὶ σεσόβηται μάλα ἐρωτικῶς· Ἀμυμώνη γὰρ ἡ Δαναοῦ θα-
5 μίζουσα ἐπὶ τὸ τοῦ Ἰνάχου ὕδωρ κεκράτηκε τοῦ θεοῦ καὶ στέλλεται θηρεύσων αὐτὴν οὔπω ξυνι-
εῖσαν, ὅτι ἐρᾶται. τὸ γοῦν περίφοβον τῆς κόρης καὶ τὸ πάλλεσθαι καὶ ἡ κάλπις ἡ χρυσῆ διαφεύ-
γουσα τὰς χεῖρας δηλοῖ τὴν Ἀμυμώνην ἐκπεπλῆχθαι καὶ ἀπορεῖν, τί βουλόμενος ὁ Ποσειδῶν ἐκλεί-
πει πανσυδὶ τὴν θάλατταν, λευκήν τε ὑπὸ φύσεως οὖσαν ὁ χρυσὸς περιστίλβει κεράσας τὴν αὐγὴν
τῷ ὕδατι. ὑπεκστῶμεν, ὦ παῖ, τῇ νύμφῃ, καὶ γὰρ κῦμα ἤδη κυρτοῦται ἐς τὸν γάμον, τὸ δὲ κῦμα
10 γλαυκὸν ἔτι καὶ τοῦ χαροποῦ τρόπου, πορφυροῦν δὲ αὐτὸ ὁ Ποσειδῶν γράφει.

ΕΛΟΣ.

Θ'. Ὕπομβρος μὲν ἡ γῆ, φέρει δὲ κάλαμον καὶ φλοιόν, ἃ δὴ ἄσπαρτα καὶ ἀνήροτα δίδωσιν
ἡ τῶν ἑλῶν εὐφυία, καὶ μυρίκη γέγραπται καὶ κύπειρον, καὶ γὰρ ταῦτά ἐστι τῶν ἑλῶν. ὄρη δὲ
οὐρανομήκη περιβέβληται φύσεως οὐ μιᾶς, τὰ μὲν γὰρ τὴν πίτυν παρεχόμενα λεπτόγεων τιθεῖ, τὰ
δὲ κυπαρίττῳ κομῶντα τῆς ἀργιλώδους λέγει, ἐλάται δὲ ἐκεῖναι τί ἄλλο γε ἢ δυσχείμερον καὶ τραχὺ 16
15 τὸ ὄρος; οὐ γὰρ ἀσπάζονται βῶλον, οὐδὲ ἀγαπῶσι θάλπεσθαι· ταῦτά τοι καὶ ἀποικοῦσι τῶν πε-
δίων, ὡς ἐν τοῖς ὄρεσι ῥᾷον αὐξόμεναι τοῦ ἄνω. πηγαὶ δὲ ἀποβλύζουσι τῶν ὀρῶν, αἳ δὴ ῥέουσαι
κάτω καὶ κοινούμεναι τὸ ὕδωρ ἕλος ὑπ' αὐτῶν τὸ πεδίον, οὐ μὴν ἄτακτόν γε, οὐδὲ οἷον πεφύρ-
776 θαι, διῆκται δὲ αὐτοῦ τὸ νᾶμα ὑπὸ τῆς γραφῆς, ὡς ἂν καὶ ἡ φύσις αὐτὸ διήγαγεν ἡ σοφὴ πάν-
των, Μαιάνδρους δὲ πολλοὺς ἑλίττει σελίνου βρύοντας ἀγαθοὺς ναυτίλλεσθαι τοῖς ὄρνισι τοῖς
20 ὑγροῖς. ὁρᾷς γάρ που τὰς νήττας, ὡς ἔφυδροι διολισθαίνουσιν ἀναφυσῶσαί τινας οἷον αὐλοὺς τοῦ
ὕδατος. τί δὴ τὸ τῶν χηνῶν ἔθνος; καὶ γὰρ δὴ κἀκεῖνοι γεγράφαται κατὰ τὴν ἑαυτῶν φύσιν ἐπι-
πόλαιοί τε καὶ πλωτῆρες. τοὺς δὲ ἐπὶ μακροῖν τοῖν σκελοῖν, τοὺς περιττοὺς τὸ ῥάμφος ξένους οἶ-
μαι αἰσθάνῃ καὶ ἄβρους ἄλλον ἄλλου πτεροῦ, καὶ τὰ σχήματα δὲ αὐτῶν ποικίλα. ὁ μὲν γὰρ ἐπὶ
πέτρας ἀναπαύει τῷ πόδε κατὰ ἕνα, ὁ δὲ ψύχει τὸ πτερόν, ὁ δὲ ἐκκαθαίρει, ὁ δὲ ῥῆγκέ τι ἐκ
25 τοῦ ὕδατος, ὁ δὲ ἐς τὴν γῆν ἀπονένευκεν ἐπισιτίσασθαί τι ἐκεῖθεν. ἡνιοχεῖσθαι δὲ τοὺς κύκνους
ὑπὸ τῶν ἐρώτων θαῦμα οὐδέν, ἀγέρωχοι γὰρ οἱ θεοὶ καὶ δεινοὶ παίζειν ἐς τοὺς ὄρνιθας, ὅθεν
μηδὲ τὴν ἡνιόχησιν ἀργῶς παρέλθωμεν, μηδὲ αὐτὸ τὸ ὕδωρ, ἐν ᾧ ταῦτα. τὸ μὲν γὰρ δὴ ὕδωρ
τοῦτο κάλλιστον τοῦ ἕλους, τῆς γῆς αὐτὸ διδούσης αὐτόθεν, συνίσταται δὲ ἐς κολυμβήθραν παγ-
κάλην. διὰ μέσου γὰρ τοῦ ὕδατος ἀμάραντα νεύει τὰ μὲν ἔνθεν, τὰ δὲ ἐκεῖθεν, ἡδεῖς ἀστάχυες

1. δὲ. J. δ'. ς. ib. ὑπόκαμποι. φ, ρ, β. ὑπόκαμπτοι. μ, p 1761. ἱππόκαμπτοι. p 1760, et 2955, γ, g. ib. καὶ ἔφυδροι. 2. ἔφυδροι. ς. (ὕφεδροι. f. ὕφυδροι. p.) ib. καὶ τοὺς — δελφῖνες. v. ib. καὶ τοὺς ὀφθαλμοὺς ὑπόγλαυκοι. v. καὶ γλαυκοὶ. ς. 2. ὅσα om. λ. ib. κἀκεῖ δὲ. l. 3. νεμεσσᾶν. φ. νεμεσᾷ. h. 4. βλέπει. 1, J. βλέπων. ς. ib. Ἀμυμώνη δὲ. φ. 5. τὸ Ἰνάχου. λ. 6. τὸ γοῦν. 1, J. τὸ οὖν. ς. ib. παράλλεσθαι. λ. 7. ἐκπλῆχθαι. br. ib. ἐλλείπει. f. λείπει. j. ἐκλίπει. h. 8. πανσυδὶ. 1, 3, J. πασσυδὶ. 2. (γρ. πανσυδί. p 1761.) E. ib. ἀπὸ φύσεως velit J. 9. ὑπεκστῶμεν — νύμφῃ. Gr. Herm. 377. ib. ὑπεκστῶσαν λ. ib. καὶ γὰρ κῦμα. f, φ, p. κῦμα γὰρ. vd, 2, 3, EJ. ib. τὸ δὲ κῦμα — τρόπου. v. ib. τὸ δὲ κῦμα γλαυκὸν. v. γλαυκόν. ς. 10. τοῦ πορφυροῦ τρόπου. v. ib. πορφυφυροῦν. l. ib. γράψει conj. J.

IX. Ἕλος inscriptio est in C, Ἕλη in EJ. 11. δὴ ἅπαντα. f. δὴ ἄσπατα. gu. ib. ἀνήρωτα. m, o. 13. τῶν λεπτόγεων conj. J. 14. αἱ κεῖναι. λ. ἐκεῖνο. gu. ib. ἄλλο γε. 1, J. ἄλλο. 2, 3, E. 15. ἀσπάζεται. gu. ib. οὐ γὰρ ἀγαπῶσι. λ. ἐπιθυμοῦσι et suprasc. ἀγαπῶσι. ψ. 16. αὐξόμεναι. f, φ. αὐξανόμεναι. ς. ib. τοῦ ἄνω om. o. τῷ ἀνέμῳ conj. J. 17. κοινούμεναι. l. ib. ὅλος ἀπ' αὐτῶν. φ. ib. παιδίον. vd. 18. τὸν ἅμα. p 2955. ib. τῆς om. λ. 19. ναυτίλεσθαι. h. 20. γάρ που. 1, J. γὰρ. ς. ib. νήτας. λ. ib. ἔνυδροι. λ. 21. τί τὸ δὴ. m. ib. γεγράφθαι. λ. ib. ἐπιπόλαιοί τινες. φ. 22. τοὺς δὲ — πτεροῦ. v. 23. ἀλλοίου. f, p, h, β pro gl. J. ἄλλου. φ, 2, l, ρ, ψ. ἄλλα. p 2955. ib. ὁ μὲν γὰρ — ἐκεῖθεν. Aristaenet. I, 3, 17. ed. B. 24. ψήχει. γ, g, et Eugenic. 170. ψήχει τὸ πτερὸν. ib. ῥηγ. Arist. ib. κατανένευκεν. Arist. ib. ἀποσιτίσασθαι. Arist. 26. ἀπὸ τῶν. γ. 27. μὲν γὰρ. f et p ante corr. J. μὲν. vd, φ. 2, 3, E. 28. τῆς γῆς. l. πηγῆς. ς. ib. συνίσταται — ἐκεῖθεν. Gr. Herm. 384. συνίσταται — παγκάλην. Θ. s. v. συνίσταται. 29. μέσου δὲ. h. E.

16. p. 775, 776. l, 9.

καὶ βάλλοντες ἄνθει τὸ ὕδωρ. περὶ τούτους ἡνιοχοῦσιν ἔρωτες ἱεροὺς καὶ χρυσοχαλίνους ὄρνις ὁ μὲν πᾶσαν ἡνίαν ἐνδιδούς, ὁ δὲ ἀνακόπτων, ὁ δὲ ἐπιστρέφων, ὁ δὲ περὶ τὴν νύσσαν ἐλαύνων. καὶ παρακελευομένων τοῖς κύκνοις ἀκούειν δόκει καὶ ἀπειλούντων ἀλλήλοις καὶ τωθαζόντων, ταῦτα γὰρ τοῖς προσώποις ἔπεστιν. ὁ δὲ καταβάλλει τὸν πέλας, ὁ δὲ καταβέβληκεν, ὁ δὲ ἠγάπησεν ἐκπεσεῖν τοῦ ὄρνιθος, ὡς λούσαιτο ἐν τῷ ἱπποδρόμῳ. κύκλῳ δὲ ταῖς ὄχθαις ἐφεστᾶσιν οἱ μουσικώτεροι τῶν κύκνων, ἐπᾴδοντες, οἶμαι, τὸν ὄρθιον, ὡς πρὸς τρόπου τοῖς ἁμιλλωμένοις. σημεῖον τῆς ᾠδῆς ὁρᾷς τὸ πτηνὸν μειράκιον; ἄνεμος τοῦτο Ζέφυρος, τὴν ᾠδὴν τοῖς κύκνοις ἐνδιδούς. γέγραπται δὲ ἁπαλὸν καὶ χαρίεν ἐς αἴνιγμα τοῦ πνεύματος, καὶ αἱ πτέρυγες ἥπλωνται τοῖς κύκνοις πρὸς τὸ πλήττεσθαι ὑπὸ τοῦ ἀνέμου. ἰδοὺ καὶ ποταμὸς ὑπεξέρχεται τοῦ ἕλους εὐρὺς καὶ ὑποκυμαίνων, διαβαίνουσι δ' αὐτὸν αἰπόλοι καὶ νομεῖς ἐπὶ ζεύγματος. εἰ δὲ τῶν αἰγῶν ἐπαινοίης τὸν ζωγράφον, ὅτι αὐτὰς ὑποσκιρτώσας καὶ ἀγερώχους γέγραφεν, ἢ τῶν προβάτων, ὅτι σχολαῖον αὐτοῖς τὸ βάδισμα καὶ οἷον ἄχθος οἱ μᾶλλοι, τάς τε σύριγγας εἰ διεξίοιμεν ἢ τοὺς χρωμένους αὐταῖς, ὡς ὑπεσταλμένῳ τῷ στόματι αὐλοῦσι, σμικρὸν ἐπαινεσόμεθα τῆς γραφῆς καὶ ὅσον ἐς μίμησιν ἥκει, σοφίαν δὲ οὐκ ἐπαινεσόμεθα, οὐδὲ καιρόν, ἃ δὴ κράτιστα δοκεῖ τῆς τέχνης. τίς οὖν ἡ σοφία; ζεῦγμα φοινίκων ἐπιβέβληκε τῷ ποταμῷ καὶ μάλα ἡδὺν ἐπ' αὐτῷ λόγον· εἰδὼς γὰρ τὸ περὶ τῶν φοινίκων λεγόμενον καὶ ὅτι αὐτῶν ὁ μὲν ἄρσην τις, ἡ δὲ θήλεια, καὶ περὶ τοῦ γάμου σφῶν διακηκοὼς καὶ ὅτι ἄγονται τὰς θηλείας περιβάλλοντες αὐτὰς τοῖς κλάδοις καὶ ἐπιτείνοντες αὐτοὺς ἐπ' αὐτὰς ἀφ' ἑκατέρου τοῦ γένους δύο φοίνικας, ἕνα κατὰ μίαν ὄχθην, γέγραφεν· εἶτα ὁ μὲν ἐρᾷ καὶ ἐπικλίνεται καὶ ὑπεράλλεται τοῦ ποταμοῦ, τῆς δὲ θηλείας ἔτι ἀφεστώσης οὐκ ἔχων ἐπιλαβέσθαι κεῖται καὶ δουλεύει ζεύξας τὸ ὕδωρ, καὶ ἔστι τοῖς διαβαίνουσιν ἀσφαλὴς ὑπὸ τῆς τοῦ φλοιοῦ τραχύτητος.

777

778

18

ΑΜΦΙΩΝ.

ι'. Τῆς λύρας τὸ σόφισμα πρῶτος Ἑρμῆς πήξασθαι λέγεται κεράτοιν δυοῖν καὶ ζυγοῦ καὶ χέλυος, καὶ δοῦναι μετὰ τὸν Ἀπόλλω καὶ τὰς Μούσας Ἀμφίονι τῷ Θηβαίῳ τὸ δῶρον, ὁ δὲ οἰκῶν τὰς Θήβας οὔπω τετειχισμένας ἀφῆκε κατὰ τῶν λίθων τὰ μέλη καὶ ἀκούοντες οἱ λίθοι συνθέουσι. ταῦτα γὰρ τὰ ἐν τῇ γραφῇ. πρώτην οὖν διαθεῶ τὴν λύραν, εἰ καθ' αὑτὴν γέγραπται. τὸ μὲν γὰρ κέρας αἰγὸς ἰξάλου ποιηταί φασι, χρῆται δὲ αὐτῷ ὁ μὲν μουσικὸς ἐς τὴν λύραν, ὁ δὲ τοξότης ἐς τὰ οἰκεῖα. μέλανα καὶ πριονωτὰ ὁρᾷς τὰ κέρατα καὶ δεινὰ ἐναράξαι, ξύλα δέ, ὅσων δεῖ τῇ λύρᾳ, πύξου πάντα στρυφνοῦ καὶ λείου τὸν ὄζον. ἐλέφας οὐδαμοῦ τῆς λύρας οὔπω οἱ ἄνθρωποι εἰδότες

25

1. ὄρνεις. h. 2. ἡνιοχείαν. vd. ib. ἐλαύνων. f et p, ubi γρ. ἐκκλίνων. J. ἐκκλίνων. ς. 3. δοκεῖ. φ. 5. ἐφιστῶσιν. f. 6 τὸ ὄρθιον. h. E. ib. πρὸς τρόπον. λ. ib. Verba σημεῖον τῆς ᾠδῆς glossam sapiunt. 8. χαρίεν. b. ib. αἱ om. vd. ib. οἱ πτ. J. ib. τῶν κύκνων. br. 9. πρὸς τοῦ πλήττεσθαι velit J. ib. ἰδοὺ ποταμὸς — νομεῖς. Gr. Herm. 365. respicit huc etiam Eugenic. 161, ubi legitur ἡδὺς καὶ κάτωθεν ὑποκυμαίνων. ib. τοῦ ἕλους om. φ. 10. διαβαίνουσιν αὐτὸν. ρ. διαβ. δὲ αὐτὸν. ψ. ib. αὐτοὶ. λ. ib. ζεύκματος. λ. ib. εἰ δὲ — τῆς τέχνης. ν. ib. ἐπαινείης. ν. 11. γεγράφασιν. vd. ib. σχολαίων p 2955. 12. οἱ μᾶλλοι conj. J. ἢ μᾶλλον. C, E. ib. εἰ om. j, p 1698. 13. ἀπεσταλμένῳ. br. ib. σώματι corr. sec. m. vd. ib σμικρὸν. ν, f, φ, J. μικρὸν. ς. 14. σοφίαν — τέχνης adhibuit paucis mutatis Eugenic. 158. ib. τί. λ. ib. ἡ om. m. 15. ἐπιβέβληκε — φοινίκων om. p 2955. ib. οἶδας. f, p. 16. λεγόμενον ὅτι. f. ib. ὁ μὲν αὐτῶν. φ. ὅτι τῶν. p 2955. ib. ἄρσεν. λ. ἄρρην. γ, g. 17. διακήκοας. f, p. ib. διακ. ὅτι. f. ib. κλ. ἐπιτείνοντες. λ. ib. αὐτοὺς. vd, φ, gu, h. 18. ἐφ' ἑκατέρου. λ. ib. τοῦ γε δύο. vd. ib. δύο φοίνικας om. f. ib. ἕναν. φ. 19. ὑπερβάλλεται. φ, λ, gu. ib. τοῦ om. J. ib. ἐπιβάλλεσθαι. φ. 20. κεῖται δὲ. λ. ib. τῆς om. λ. ib. τραχύτατος. λ.

ι. 22. τῆς λύρας. f, p, vd, J. τὴν λύραν. ς. ib. κατὰ ζυγοῦ. J, nescio unde. 23. Ἀμφίονι. λ. ib. τὸ δῶρον. f (in p τὸ erasum) praeter vd. δῶρον ς. ib. τὰ om. f incl. J. ib. βέλη, μ suprasc. h. 25. διαθῶμεν. f, p. διαθρῶ. j. ib. καθ' αὑτὴν o. ib. αἰγὸς — φασί laudat Schol. Aristid. Panath. p. 5 ed. Dindf. 26. οἱ ποιηταί. l. 27. τριόπ
νωτα. φ. πριόνωτα. br. πριόνωπα. j. πριόνωτα. ς. ib. ἐναρράξαι. p. ib. ξύλα — ὄζον. ν. ib. δὴ. h, E. ib. ὅσα. ν, f, p, vd. ὅσ' ἐνδεῖ. p 2955. 28. στρεφνοῦ. ν, f, vd. στριφνοῦ. 2. ib. εἰδότες αὐτό. ψ.

οὔτε αὐτὸ τὸ θηρίον, οὔτε ὅ τι τοῖς κέρασιν αὐτοῦ χρήσονται, καὶ ἡ χέλυς μέλαινα μέν, διηκρίβωται δὲ κατὰ τὴν φύσιν καὶ λαγαροὺς περιβέβληται κύκλους ἄλλον ξυνάπτοντας ἄλλῳ ξανθοῖς τοῖς ὀμφαλοῖς, νευραὶ δὲ τὰ μὲν ἐπὶ τῇ μαγάδι πρόκεινται καὶ τοῖς ὀμφαλοῖς ἀπαντῶσι, τὰ δὲ ὑπὸ τῷ ζυγῷ κοῖλα δοκοῦσι. σχῆμά που τοῦτο αὐτῶν ἀναλογώτατον ἀνακεκλίσθαι σφᾶς ὀρθὰς ἐν τῇ λύρᾳ. ὁ δὲ Ἀμφίων τί φησι; τί ἄλλο γε ἢ ψάλλει καὶ [ἡ ἑτέρα χεὶρ] τείνει τὸν νοῦν ἐς τὴν πηκτίδα καὶ παραφαίνει τῶν ὀδόντων, ὅσον ἀπόχρη τῷ ᾄδοντι; ᾄδει δέ, οἶμαι, τὴν γῆν, ὅτι πάντων γενέτειρα καὶ μήτηρ οὖσα καὶ αὐτόματα ἤδη τείχη δίδωσιν. ἡ κόμη δὲ ἡδεῖα μὲν καὶ καθ' ἑαυτὴν ἐναλύουσα μὲν τῷ μετώπῳ, συγκατιοῦσα δὲ τῷ ἰούλῳ παρὰ τὸ οὖς καὶ χρυσοῦ τι ἐπιφαίνουσα, ἡδίων δὲ μετὰ τῆς μίτρας, ἣν φασιν οἱ τῶν ἀποθέτων ποιηταὶ Χάριτας καμεῖν, ἄγαλμα ἥδιστον καὶ προσεχέστατον τῇ λύρᾳ. δοκῶ μοι τὸν Ἑρμῆν ἔρωτι κατειλημμένον δοῦναι Ἀμφίονι ἄμφω τὰ δῶρα. καὶ ἡ χλαμύς, ἣν φορεῖ, παρὰ τοῦ Ἑρμοῦ καὶ αὕτη. οὐ γὰρ ἀφ' ἑνὸς φέρει χρώματος, ἀλλὰ τρέπεται καὶ κατὰ τὴν ἶριν μετανθεῖ. κάθηται δὲ ἐπὶ κολωνοῦ τῷ μὲν ποδὶ κρούων ξυμμελές, τῇ δεξιᾷ δὲ παραπλήττων τὰς νευρὰς ψάλλει, καὶ ἡ ἑτέρα χεὶρ ἐν ὀρθαῖς ταῖς τῶν δακτύλων προβολαῖς, ὅπερ ᾤμην πλαστικὴν ἀπανθαδιεῖσθαι μόνην. εἶεν. τὰ δὲ τῶν λίθων πῶς ἔχει; πάντες ἐπὶ τὴν ᾠδὴν συνθέουσι καὶ ἀκούουσι καὶ γίγνονται τεῖχος, καὶ τὸ μὲν ἐξωκοδόμηται, τὸ δὲ ἀναβαίνει, τὸ δὲ ἄρτι κατέλαβε, φιλότιμοι καὶ ἡδεῖς λίθοι καὶ θητεύοντες μουσικῇ, τὸ δὲ τεῖχος ἑπτάπυλον, ὅσοι τῆς λύρας οἱ τόνοι.

ΦΑΕΘΩΝ.

780 ια'. Χρυσᾶ τῶν Ἡλιάδων τὰ δάκρυα· Φαέθοντι λόγος αὐτὰ ῥεῖν, τοῦτον γὰρ παῖδα Ἡλίου γενόμενον ἐπιτολμῆσαι τῷ πατρῴῳ ὄχῳ κατὰ ἔρωτα ἡνιοχήσεως καὶ μὴ κατασχόντα τὴν ἡνίαν σφαλῆναι καὶ ἐν τῷ Ἠριδανῷ πεσεῖν. ταῦτα τοῖς μὲν σοφοῖς πλεονεξία τις εἶναι δοκεῖ τοῦ πυρώδους, ποιηταῖς δὲ καὶ ζωγράφοις ἵπποι καὶ ἅρμα, καὶ συγχεῖται τὰ οὐράνια. σκόπει γάρ· νὺξ μὲν ἐκ μεσημβρίας ἐλαύνει τὴν ἡμέραν, ὁ δὲ ἡλίου κύκλος ἐς γῆν ῥέων ἕλκει τοὺς ἀστέρας. αἱ δὲ Ὧραι τὰς πύλας ἐκλιποῦσαι φεύγουσιν ἐς τὴν ἀπαντῶσαν αὐταῖς ἀχλὺν καὶ οἱ ἵπποι τῆς ζεύγλης ἐκπεσόντες οἴστρῳ φέρονται, ἀπαγορεύει δὲ ἡ Γῆ καὶ τὰς χεῖρας αἴρει ἄνω, ῥαγδαίου τοῦ πυρὸς ἐς αὐτὴν ἰόντος. ἐκπίπτει δὲ τὸ μειράκιον καὶ καταφέρεται, τήν τε γὰρ κόμην ἐμπέπρησται καὶ

1. οὔτε ὅ τι. φ. οὔθ' ὅ τι. EJ. ib. καὶ ἡ χέλυς — κύκλους. Gr. Herm. 364. 2. συνάπτ. φ. 3. ὀφθαλμοῖς. ρ et b pr. m. ib. τὰ μὲν — τὰ δὲ, suprasc. αἱ bis, vd. ib. ὑπὸ τῇ μ. f, p, vd. ib. μαγίδι. φ. ib. πρόσκεινται. f, p, vd. πρόκειται. ψ. 4. σχῆμα τοῦτο. 2 (p 2955.) ib. αὐτῶν om. μ, J. αὐτὸ cett. 2. αὐτὸν. λ. ib. ὀρθοὺς. f, p, vd. 5. ὁ δὲ — ψάλλει. v. ib. ἡ ἑτέρα χεὶρ om. p 2596, incl. J. 6. πυκτίδα. f et p ante corr. m. ib. καὶ παραφ. — ᾄδοντι. v. ib. παρεμφαίνει. λ. 7. οὖσα om. o. ib. ἤδη. br. ex corr. j, gu, et J ex conj. ἤδε. ς. ib. τὰ τείχη. f. τέχνη. j et br. ib. Haec expressit Aristaenet. I, 11 p. 54 ed. B. 8. περὶ τὸ οὖς. vd. ib. ἀποφαίνουσα. h. 9. μήτρας. f. μίτρης φ. ib. καμεῖν. φ, μ, p 2562, E. καμεῖν. f. κοσμεῖν et γρ. καμεῖν. β. κοσμεῖν. ς. (κορμεῖν. γ.) 10. προσεχέστατον. γ, g. J. correxit ita jam Hemsterh. in exemplari suo, deinde Heyne Opusc. V, 37 et Koen. ad Gr. Cor. 195. ib. Ἀμφίονι. l. 11. καὶ om. l. ib. χλαμὶς. br. ib. κἀκείνη παρὰ τ. Ἑ. ταῦτα. f, vd. παρὰ τ. Ἑ. καὶ ταῦτα. φ. κἀκείνη παρὰ τ. Ἑ. τάχα. p, J. παρὰ τ. Ἑ. καὶ αὕτη. 2, 3, E. ib. οὐ γὰρ — μετανθεῖ. Aristaenet. I, 11, p. 54. ed. B. et v. ib. ἐφ' ἑνὸς μένει. Arist. 12. κατὰ τὴν ἶριν om. Arist. τρέπεται κατὰ τὴν ἶριν καὶ μετανθεῖ. v. ib. τὴν ῥέα. gu. ib. τὸ μὲν. m, o. 13. συμμελὲς. φ. ib. πλήττων. gu. ib. ἐν om. f, p. ib. ταῖς om. 2. 14. προσβολαῖς. l. ib. ᾤμην conj. J. οἶμαι. C, E. ib. εἶεν — συνθέουσι. v. 15. πάντες — τεῖχος. Gr. Herm. 367 et 375. ib. τὴν ὁδὸν Gr. Herm. 367. ib. γίνεται. f. γένονται. p 2955. ib. καὶ τὰ. φ. 16. ἄνω βαίνει. φ. ib. κατελάβοντο. f, vd. ib. ἡδεῖς λίθοι. 1. ἡδεῖς οἱ λίθοι. ς. ib. καὶ τὸ τεῖχος. ψ, gu.

XI. 18. χρυσᾶ — ῥεῖν. v. ib. ῥεῖν αὐτὰ. l, pal. ib. τοῦτον δὲ. m2. 19. γιγνόμενον. λ. γινόμενον. μ. ib. δήφρῳ. p 2706. ib. ἡνιοχεύσεως. λ. 20. σφαλῆναι ἐν. pal. ib. πυρρώδους. vt 97, p 1760, 2706, 2955. 21. καὶ ξυγγραφεῦσιν. r ex corr. καὶ λογογράφοις. n. 22. τοῦ ἡλίου. j, p 1698, br. rec. m. ib. κύκλος om. j, p 1698. 23. τὰς θύρας. l, pal. ib. ἐκλείπουσαι. γ, g. ib. φεύγουσιν. f2. ib. αὐτοὺς et corr. αὐταῖς. f7. αὐτοὺς et suprasc. αὐτῆς. fe. ib. ἀχλὴν m1. ib. καὶ ἵπποι. vt 20, 100, f7, fe, in r οἱ est suprasc. 24. δὲ om. gu. ib. ἄρει ἄρω. m2. 25. καταφαίρεται. pal. ib. ἐκπέπρησται. vt 97. ib. κώμην. p 2706.

19, 20. p. 779, 780. I, 11.

τὰ στέρνα ὑποτύφεται ποταμῷ τε Ἠριδανῷ ἐμπεσεῖται καὶ παρέξει μῦθόν τινα τῷ ὕδατι· κύκνοι γὰρ δὴ ἀναφυσῶντες ἡδὺ τὸ ἐντεῦθεν καὶ ποιήσονται ᾠδὴν τὸ μειράκιον, ἀγέλαι τε αὐτῶν ἀρθεῖσαι Καύστρῳ ταῦτα καὶ Ἴστρῳ ᾄσονται καὶ οὐδὲν ἀνήκοον ἔσται τοῦ τοιούτου λόγου, Ζεφύρῳ τε χρήσονται πρὸς τὴν ᾠδὴν ἐλαφρῷ καὶ ἐνοδίῳ, λέγεται γὰρ ξυναυλίαν τοῦ θρήνου τοῖς κύκνοις 781
ὁμολογῆσαι. ταῦτά τοι καὶ πάρεστι τοῖς ὄρνισιν, ὥστε ὥρα καὶ ψάλλειν αὐτοὺς οἷον ὄργανα. τὰ δὲ ἐπὶ τῇ ὄχθῃ γύναια, αἳ οὔπω δένδρα, φασὶ τὰς Ἠλιάδας ἐπὶ τῷ ἀδελφῷ μεταφῦναι καὶ ἐς δένδρα λῆξαι δάκρυά τε ἀφιέναι. καὶ ἡ γραφὴ ταῦτα οἶδε· ῥίζας γὰρ βαλλομένη ταῖς παρυφαῖς τὰ μὲν ἐς ὀμφαλὸν δένδρα αὖται, τὰς δὲ χεῖρας ὄζοι φθάνουσι. φεῦ τῆς κόμης, ὡς αἰγείρου πάντα. φεῦ τῶν δακρύων, ὡς χρυσᾶ, καὶ τὸ μὲν πλημμῦρον ἐν τῇ τῶν ὀφθαλμῶν ἕδρᾳ χαροπαῖς ἐπαυγάζει ταῖς κόραις καὶ οἷον ἀκτῖνα ἕλκει, τὸ δὲ ταῖς παρειαῖς ἐντυγχάνον μαρμαίρει περὶ τὸ ἐκείνῃ ἔρευθος, τὰ δὲ στάζοντα κατὰ τοῦ στέρνου χρυσὸς ἤδη. θρηνεῖ καὶ ὁ ποταμὸς ἀνέχων τῆς δίνης καὶ τῷ μὲν Φαέθοντι κόλπον ὑπέχει, τὸ γὰρ χρῶμα δεξαμένου, τὰς δὲ Ἠλιάδας γεωργήσει
21 αὐτίκα, αὔραις γὰρ καὶ κρυμοῖς, οὓς ἀναδίδωσι, λιθουργήσει καὶ πεσόντα ὑποδέξεται καὶ διὰ φαιδροῦ τοῦ ὕδατος ἀπάξει τοῖς ἐν Ὠκεανῷ βαρβάροις τὰ τῶν αἰγείρων ψήγματα.

ΒΟΣΠΟΡΟΣ.

ιβ'. — [τὰ δὲ ἐπὶ τῇ ὄχθῃ γύναια] παραβοῶσι, παρακαλεῖν δὲ καὶ τοὺς ἵππους ἐοίκασι μὴ ῥῖψαι τὰ παιδία, μηδὲ ἀποπτύσαι τὸν χαλινόν, ἑλεῖν δὲ καὶ συμπατῆσαι τὰ θηρία, οἱ δὲ ἀκούουσιν, οἶμαι, καὶ ποιοῦσι ταῦτα. θηράσαντας δὲ αὐτοὺς καὶ δαῖτα ᾐρηκότας διαπορθμεύει ναῦς ἀπὸ τῆς Εὐρώπης ἐς τὴν Ἀσίαν σταδίους μάλιστά που τέτταρας, τουτὶ γὰρ τὸ ἐν μέσῳ τοῖν ἐθνοῖν, καὶ αὐτερέται πλέουσιν· ἰδοὺ καὶ πεῖσμα βάλλονται, δέχεται δὲ αὐτοὺς οἰκία μάλα ἡδεῖα θαλάμους ὑποφαίνουσα καὶ ἀνδρῶνας καὶ θυρίδων ἴχνη, καὶ τεῖχος δὲ περιβέβληται καὶ ἐπάλξεις ἔχει. τὸ δὲ κάλλιστον αὐτῆς, ἡμίκυκλος περιέστηκε στοὰ τῇ θαλάττῃ κιρροειδὴς ὑπὸ τοῦ ἐν αὐτῇ λίθου. γένεσις ἐκ πηγῶν τῷ λίθῳ, θερμὸν γὰρ νᾶμα ὑπεκρέον τὰ τῆς κάτω Φρυγίας ὄρη καὶ τὸ ῥεῦμα ἐς 782
τὰς λιθοτομίας ἐσάγον ὑπόμβρους ἐργάζεται τῶν πετρῶν ἐνίας καὶ ὑδατώδη ποιεῖ τὴν ἔκφυσιν τῶν

1. ὑποτίφεται. br, p 2706. ὑποτετύφωται. ex corr$_4$ r. ib. ποταμῷ δὶ. 2 (p 2955.) ib. τῷ Ἠριδανῷ. vd. 2. δὴ om. φ et f7, fe. ib. ἀναφυσσῶντες. f1 et 7, fe, m2. ib. τὸ ἐντεῦθεν. λ et Ham. Lect. Ph. p. 49. τὸ ἔνθεν. ς. τι ἔνθεν καὶ ἔνθεν conj. J. ib. καὶ om. o. 3. καὶ ὕστρῳ. pal. ib. οἴστρῳ. br, p 2706, f1, n ante corr. ib. καὶ οὐ οὐδὲν. γ. ib. τοῦ τοιοῦδε λόγου. β. 4. χρήσιται corr. cad. m. φ. ib. ἐλάφρῳ τε. r ex corr. ib. εὐδίῳ J ex Heynii conj. Op. V, 44. ib. συναυλίαν. 1, f7. ξυναυλίαν. ς. 5. ταῦτά τι. f, φ, r. ib. ὄρνεσιν. pal. ὄρνισι. m1. ib. ὡς. f7, fe. ib. ὅρα velit Welcker. ib. ὥρα τὸ ᾄδειν καὶ ψάλλειν. r ex corr. ib. αὐτὰς. ρ. ib. αὐτοὺς πληττομένους τὰ πτερὰ τῷ ζεφύρῳ οἷον ὄργανα. μ. eadem rubricata leguntur in β. Addita gl. in μ: ὥσπερ τὰ ὄργανα τῷ εἶσί πλήκτρῳ, in p 1761: ὥσπερ τὰ πληττόμενα τὰ πτερὰ τῷ ζεφύρῳ, ὥσπερ τὰ ὄργανα τῷ πλήκτρῳ. 6. δένδρα φασί. p 1761. ib. ᾆ. vd. ib. μεταφύναι. o. in f7: corr. μεταθεῖναι. 7. τε γὰρ. br. ib. ταῖς παρυφαῖς. J conj. ταῖς κορυφαῖς. ς. ib. βαλομένη. ρ, h, E. 8. δὲ om. gu. ib. αἰγύρου. br, p 2706. ἀγείρου. f2. 9. ἐπὶ et ἐν suprasc. l. ib. ἕδρα r et vat. 20. 10. ἐπαυγάζεται (et ει suprasc.) κόραις. r. ἀπαυγάζει. h. ἐπ' αὐγάζει. gu. ib. ἀκτῖνας. 2. (μ, p 1760, 1761, 2706, 2955, br. vat. 97, 1404. f4 et 3 ante corr.) ἀκτίνα. r. ib. παροιαῖς. λ. ib. παρὰ τὸ. p. 11. ἐκείνῃ. f, p, J. ἐκείνης. vd. ἐκείναις. suprasc. ων. ψ, f1, ven. cl. XI, 15. r, vat. 20, 1404. ἐκείναις. l, φ, j, p 1698, g, gu, μ, br. f4, f6, f7, fe. ἐκείνων. f2, f3. ib. στεγάζοντα. pal. E. ib. καὶ τὸν τοῦ στέρνου. j. ib. θρηνεῖ om. vat. 20. 12. τὸ μὲν. pal. ib. σχῆμα. f et m. mg. o, J. ib. δεξομένου. m, o. ib. κρυμνοῖς. vat. 1404 et del. v. r. 13. οὓς ἀναδ. f, φ, p, J. οἷς ἀναδ. ς. ib. λειτουργήσει. m, o. λειθουργήσει. m1. ib. καὶ πεσόντα. 1. καὶ τὰ πεσόντα. ς. 14. ὑπάξει. vat. 97, 1404 et p. 1761, ubi α suprasc. ib. τῶν om. fe. ib. ἀγείρων. m.

XII. 15. Excidisse nonnulla recte censuit Salm. Ipse τὰ — γύναια ex superioribus translata suspicor. ib. τάδ'. E. τάδε. gu. ib. καὶ om. m, o. ib. ἐοίκασιν. h 16. πεδία. vd. 17. δαῖτος. φ. ib. διαπορθμεύειν. λ. 18. εἰς. vd, μ, γ, g. ib. μάλιστα ποῦ. f. ib. τέτταρας. l, o, J. τέσσαρας. ς. ib. τουτὶ γὰρ τὸ ἐν μέσῳ. f, p. τ. γ. τοὺν μέσῳ. φ, vd. τ. γάρ που τοὺν μέσῳ. 2, 3, EJ. ib. θεοῖν. gu. 20. παραβέβληται. φ. ib. τὸ δὲ — λίθου. Gr. Herm. 377. 21. στοὰ om. φ, Gr. Herm. ib. κηροειδὴς. f, h, et l ex corr. σκιροειδὴς. p. σκιρροειδὴς φ et Gr. Herm. 22. πηγῶν. 1, β, γ, J. πηγῆς. ς. ib. τῆς om. λ. κάτω om. 2, 3, E. ib. ὄρη τὸ ῥ. p.

21. p. 781. 782. 1, 12.

λίθων, ὅθεν αὐτῶν καὶ πολλὰ τὰ χρώματα· θολερὸν μὲν γάρ, ἔνθα λιμνάζει, καὶ κιρροειδὲς δίδωσι, καθαρὸν δὲ ὅπου, κρυσταλλοειδὲς ἐκεῖθεν καὶ ποικίλλει τὰς πέτρας ἐν πολλαῖς διαπινόμενον ταῖς ὀπαῖς. ἡ ἀκτὴ δὲ ὑψηλὴ καὶ τοιοῦδε μύθου φέρει σύμβολα· κόρη καὶ παῖς ἄμφω καλὼ καὶ φοιτῶντε ταὐτῷ διδασκάλῳ προσεκαύθησαν ἀλλήλοις καὶ περιβάλλειν οὐκ οὔσης ἀδείας ὥρμησαν ἀποθανεῖν ἀπὸ ταυτησὶ τῆς πέτρας κἀντεῦθεν ἤρθησαν ἐς τὴν θάλατταν ἐν ὑστάταις καὶ πρώταις περιβολαῖς, καὶ ὁ Ἔρως ἐπὶ τῇ πέτρᾳ τείνει τὴν χεῖρα ἐς τὴν θάλατταν, ὑποσημαίνων τὸν μῦθον ὁ ζωγράφος. ἡ δὲ ἐφεξῆς οἰκία, χηρεύει τι γύναιον ἐξεληλυθὸς τοῦ ἄστεος δι' ὄχλον νέων, ἁρπάσασθαι γὰρ αὐτὸ ἔφασαν καὶ ἀφειδῶς ἐκώμαζον καὶ δώροις ἐπείρων. ἡ δ', οἶμαι, κομψόν τι ἐς αὐτοὺς ἔχουσα κνίζει τὰ μειράκια καὶ δεῦρο ὑπεξελθοῦσα οἰκεῖ τὴν ἐχυρὰν ταύτην οἰκίαν. σκέψαι γὰρ ὡς ὠχύρωται· κρημνὸς τῇ θαλάττῃ ἐφέστηκε τὰ μὲν κλυζόμενα ὑπωλισθηκώς, τὰ δὲ ἄνω προεκκείμενος ἔφαλόν τινα ταύτην ἀνέχων οἰκίαν, ὑφ' ἧς καὶ ἡ θάλαττα κυανωτέρα φαίνεται καθιεμένων ἐς αὐτὴν τῶν ὀφθαλμῶν, καὶ ἡ γῆ παρέχεται τὰ νεὼς πάντα πλὴν τοῦ κινεῖσθαι. ἐς τοῦτο ἤκουσαν τὸ φρούριον οὐδὲ ὡς ἀπολελοίπασιν αὐτὴν οἱ ἐρῶντες, ἀλλ' ὁ μὲν κυανόπρωρον, ὁ δὲ χρυσόπρωρον, ὁ δὲ ἄλλος ἄλλο τι τῶν ποικίλων ἀκατίων ἐμβεβηκὼς πλεῖ, καὶ ὁ κῶμος αὐτὸς καλοί τε καὶ ἐστεφανωμένοι, καὶ ὁ μὲν αὐλεῖ, ὁ δὲ κροτεῖν φησιν, ὁ δὲ ᾄδει, οἶμαι, στεφάνους δὲ
783 ἀναρριπτοῦσι καὶ φιλήματα, καὶ οὐδὲ ἐρέττουσιν, ἀλλὰ ἐπέχουσι τὴν εἰρεσίαν καὶ ὑφορμίζονται τῷ κρημνῷ. τὸ δὲ γύναιον ἀπὸ τῆς οἰκίας οἷον ἐκ περιωπῆς ὁρᾷ ταῦτα καὶ γελᾷ κατὰ τοῦ κώμου, χλιδῶσα ἐς τοὺς ἐρῶντας ὡς οὐ πλεῖν μόνον, ἀλλὰ καὶ νεῖν ἀναγκάζουσα. καὶ ποίμναις ἐντεύξῃ προχωρῶν καὶ μυκωμένων ἀκούσῃ βοῶν καὶ συρίγγων βοὴ περιηχήσει σε καὶ κυνηγέταις ἐντεύξῃ καὶ γεωργοῖς καὶ ποταμοῖς καὶ λίμναις καὶ πηγαῖς — ἐκμέμακται γὰρ ἡ γραφὴ καὶ τὰ ὄντα καὶ τὰ γιγνόμενα καὶ ὡς ἂν γένοιτο ἔνια, οὐ διὰ πλῆθος αὐτῶν ῥᾳδιουργοῦσα τὴν ἀλήθειαν, ἀλλ' ἐπιτελοῦσα τὸ ἑκάστου οἰκεῖον, ὡς ἂν εἰ καὶ ἓν τι ἔγραφεν — ἧς τ' ἂν ἐφ' Ἱερὸν ἀφικώμεθα. καὶ τὸν ἐκεῖ νεών, οἶμαι, ὁρᾷς, καὶ στήλας, αἳ περίδρυνται αὐτῷ, καὶ τὸν ἐπὶ τῷ στόματι πυρσόν, ὃς ἥρτηται ἐς φρυκτωρίαν τῶν νεῶν, αἳ πλέουσιν ἐκ τοῦ Πόντου.

[ιγ'] „τί οὖν οὐκ ἐπ' ἄλλο ἄγεις; ἱκανῶς γάρ μοι τὰ τοῦ Βοσπόρου διανενόηται." τί φήσεις; λέλοιπέ με τὸ τῶν ἁλιέων, ὃ κατ' ἀρχὰς ἐπηγγειλάμην. ἵν' οὖν μὴ περὶ μικρῶν διεξίοιμεν, ἀλλὰ περὶ ὧν λέγειν ἄξιον, τοὺς μὲν καλάμῳ θηρῶντας ἢ κύρτῳ τεχνάζοντας ἢ εἴ τις ἀνιμᾷ δίκτυον ἢ ἐναράττει τρίαιναν, ἀφέλωμεν τοῦ λόγου, σμικρὰ γὰρ ἀκούσῃ περὶ αὐτῶν καὶ φανεῖταί σοι μᾶλλον ἡδύσματα τῆς γραφῆς, τοὺς δὲ ἐπιχειροῦντας τοῖς θύννοις ἴδωμεν, ἄξιοι γὰρ οὗτοι λόγου διὰ μέ-

1. λιμνάζει κιρρ. f. ib. κηροειδὲς E et γρ. κηροειδὲς p 1761 κηροειδὲς ante corr. in κιροειδὲς. vd. 2. κρυσταλοειδές. vd. ib. διατεινόμενον. λ. 3. τροπαῖς. f, p, vd. ib. τοῦδε. gu. ib. σύμβολα 1, J (ubi ξύμβολα.) ξύμβολον. 2, 3, E. ib. καλὼ et suprasc. αἱ. λ. 4. φοιτῶντ' ἐν et mg. φοιτῶντες. μ. φοιτῶντες. γ. ib. αὐτῷ. i. ib. διδασκαλείῳ προσεκάθισαν. vd. 5. καὶ ἐντεῦθεν p 2955. ib. εἰς τ. θάλασσαν. ρ et E. Sic et 6. 6. ὑποκυμαίνων. l. 7. χορεύει. λ. ib. δι' ὄχλον. i. ib. τῶν νέων. λ. ib. ἁρπάσασθαι. f, λ, p 2955. ἁρπάσεσθαι. ς. 9. ὀχυρὰν E. 10. κρυμνὸς. λ. ib. θαλάσσῃ. μ. ρ, β, E. ib. ἀπωλισθηκὼς. φ. ib. ὑπερκείμενος. f. 11. ἐμφαλλον. λ. ἀνέχων. om. m. ib. ἀφ' ἧς. γ, g. ἐφ' ἧς. l. ib. θάλαττα. φ. J. θάλασσα. ς. 13. οὐδὲ om. l. ib. αὐτὴν om. j. ib. ἔρωτες. φ, l et f, ubi mg. ἐρῶντες. ἐρῶντες. gu, suprasc. ν rec. m. ἔροντες. λ. ib. ὁ δὲ πρωρον. (sic) j. ὁ δὲ χρ. om. φ, ρ. 14. καὶ om. f, p, vd, pr. m. ib. ὁ κῶμος. j, p 1698 et br. ex corr. rec. κῶμος. ς. ib. αὐτῇ. f, p. αὐτῆς ante corr. vd. 15. κ. τε καὶ εὐειδεῖς καὶ ἐστεφ. β. ib. κροτεῖ φησιν. C. κροτεῖν φησιν. EJ. 16. ἀλλ' ἐπέχ. ib. ἀπέχουσι. φ. 18. ἔρωτας l et br. in mg. ib. καὶ οὐ. E. 19. προχωρῶν om. p, φ. ib. μωκωμένων. μ, p 1761, 2955, br. f1, f3, f4, l, ρ, γ, g, μηκωμένων. 1, λ, gu. μηκώμενον. ψ. ib. βοῇ. f1. ib. σε om. λ. ib. περιήχησε. ψ. ib. ἐντεύξῃ προχωρῶν. f, φ, et p, ubi προσχωρῶν. 20. λήμναις. l. ib. ἐκμέμακται γὰρ ἡ γραφὴ τὰ γενηθέντα καὶ τὰ γενόμενα. ν. ib. ἡ γρ. τὰ ὄντα. 2. 21. ῥᾳδιουργοῦσαν. λ. 22. ὡσὰν κἂν εἰ. φ. ὡσανεὶ κἂν. ς. ὡς κἂν εἰ conj. J. Sc: ὡς ἂν εἰ καὶ. ib. ἔγραφεν. vd. γεγραφεν i2, m, o. ib. Ἱερὸν. EJ. Sc: Ἱερὸν. 23. περίδρυνται. λ. παρίδρυνται. ς. Sc: περιίδρυνται. ib. αὐτῶν. λ. ib. πύργον. vd. 24. ἥρηται. br. ib. ὃς et γρ. ὡς. ib. ἐς φρ f, φ.

XIII. Praefigitur persona ὁ παῖς in vd, μ, br. 3. Ἁλιεῖς. EJ. 25. ἱκανὸς. λ. ib. ante τί φήσεις praefigitur Φιλόστρατος in iisdem libris. 26. τὸ τοῦ B. φ. ib. λ. με τὸ. 1. λ. μοι τὰ. 2, 3. EJ. ib. κατ' ἀρχάς. vd. ib. σμικρῶν. 1, J. μικρῶν. ς. ib. διεξίειμεν. λ. 27. θηρῶντας om. j. ib. εἴ τι. φ. 28. σμικρὸν. f. ib. ἀκούσει. f. ib. στιφεντεῖται. l. 29. θύνοις. l, γ, g ut infra. τοὺς θύννους. gu. ib. διὰ μέγεθος. 1. διὰ τὸ μέγιθος. 2, 3. EJ.

22, 23. p. 783. 1, 13.

γεθος τῆς Θήρας. φοιτῶσιν οἱ Θύννοι τῇ ἔξω Θαλάττῃ παρὰ τοῦ Πόντου γένεσιν ἐν αὐτῷ σχόντες καὶ νομὰς τὰς μὲν ἰχθύων, τὰς δὲ ἰλύων καὶ χυμῶν ἑτέρων, οὓς Ἴστρος ἐς αὐτὸν φέρει καὶ Μαιῶτις, ὑφ' ὧν γλυκερώτερος καὶ ποτιμώτερος ἄλλης Θαλάττης ὁ Πόντος. νέουσι δὲ οἷον στρατιωτῶν φάλαγξ ἐπὶ ὀκτὼ καὶ ἐφ' ἑκκαίδεκα καὶ δὶς τόσοι, καὶ ὑποκυματίζουσιν ἀλλήλοις, ἄλλος ἄλλῳ ἐπι- 784
νέοντες, τοσοῦτον βάθος, ὅσον αὐτῶν τὸ εὖρος. ἰδέαι μὲν οὖν, καθ' ἃς ἁλίσκονται, μυρίαι, καὶ
24 γὰρ σίδηρόν ἐστιν ἐπ' αὐτοὺς θήξασθαι καὶ φάρμακα ἐπιπάσαι καὶ σμικρὸν ἤρκεσε δίκτυον, ὅτῳ ἀπόχρη καὶ σμικρόν τι τῆς ἀγέλης. ἀρίστη δὲ ἥδε ἡ Θήρα· σκοπιωρεῖται γάρ τις ἀφ' ὑψηλοῦ του ξύλου ταχὺς μὲν ἀριθμῆσαι, τὴν δὲ ὄψιν ἱκανός. δεῖ γὰρ αὐτῷ πεπηγέναι μὲν τοὺς ὀφθαλμοὺς ἐς τὴν Θάλατταν, ἐξικνεῖσθαι δὲ πορρωτάτω, κἂν ἐμβάλλοντας τοὺς ἰχθῦς ἴδῃ, βοῆς τε ὡς μεγίστης δεῖ αὐτῷ πρὸς τοὺς ἐν τοῖς ἀκατίοις, καὶ τὸν ἀριθμὸν λέγει καὶ τὰς μυριάδας αὐτῶν, οἱ δὲ ἀπο- 10
φράξαντες αὐτοὺς βαθεῖ καὶ κλειστῷ δικτύῳ δέχονται λαμπρὰν ἄγραν, ὑφ' ἧς καὶ πλουτεῖν ἕτοιμον τῷ τῆς Θήρας ἡγεμόνι. βλέπε πρὸς τὴν γραφὴν ἤδη, κατόψει γὰρ αὐτὰ καὶ δρώμενα· ὁ μὲν σκοπιωρὸς ἐς τὴν Θάλατταν βλέπει διαπέμπων τοὺς ὀφθαλμοὺς ἐς τὴν τοῦ ἀριθμοῦ σύλληψιν, ἐν γλαυκῷ δὲ τῷ τῆς Θαλάττης ἄνθει τὰ τῶν ἰχθύων χρώματα μέλανες μὲν οἱ ἄνω δοκοῦσιν, ἧττον δὲ οἱ ἐφεξῆς, οἱ δὲ μετ' ἐκείνους ἤδη παραψεύδονται τὴν ὄψιν, εἶτα σκιώδεις, εἶτα ὑδαροί, εἶτα 15
ὑπονοῆσαι, καταβαίνουσα γὰρ ἐς τὸ ὕδωρ ἡ ὄψις ἀμβλύνεται διακριβοῦν τὰ ἐν αὐτῷ. ὁ δὲ τῶν ἁλιέων δῆμος ἡδεῖς καὶ ξανθοὶ τὴν χρόαν ὑπὸ τοῦ θέρεσθαι καὶ ὁ μὲν τὴν κώπην ζεύγνυσιν, ὁ δὲ ἐρέττει μάλα διεξῳδηκότι τῷ βραχίονι, ὁ δὲ ἐπικελεύεται τῷ πέλας, ὁ δὲ παίει τὸν μὴ ἐρέττοντα, βοὴ δὲ ἦρται τῶν ἁλιέων, ἐμπεπτωκότων ἤδη τῶν ἰχθύων ἐς τὸ δίκτυον, καὶ τοὺς μὲν ἠρήκασι, τοὺς δὲ αἱροῦσιν. ἀμηχανοῦντες δέ, ὅ τι χρήσονται τῷ πλήθει καὶ παρανοίγουσι τοῦ δικτύου καὶ 20
συγχωροῦσιν ἐνίους διαφυγεῖν καὶ διεκπεσεῖν, τοσοῦτον ἐς τὴν Θήραν τρυφῶσιν.

ΣΕΜΕΛΗ.

25 ιδ'. Βροντὴ ἐν εἴδει σκληρῷ καὶ Ἀστραπὴ σέλας ἐκ τῶν ὀφθαλμῶν ἰεῖσα πῦρ τε ῥαγδαῖον ἐξ οὐρανοῦ τυραννικῆς οἰκίας ἐπειλημμένον, λόγου τοιοῦδε, εἰ μὴ ἀγνοεῖς, ἅπτεται· πυρὸς νεφέλη 785
περισχοῦσα τὰς Θήβας ἐς τὴν τοῦ Κάδμου στέγην ῥήγνυται κωμάσαντος ἐπὶ τὴν Σεμέλην τοῦ Διός, καὶ ἀπόλλυται μέν, ὡς δοκοῦμεν, ἡ Σεμέλη, τίκτεται δὲ Διόνυσος, οἶμαι, νὴ Δία, πρὸς 25
τὸ πῦρ, καὶ τὸ μὲν τῆς Σεμέλης εἶδος ἀμυδρὸν διεκφαίνεται ἰούσης ἐς οὐρανόν, καὶ αἱ Μοῦσαι αὐτὴν ἐκεῖ ᾄδονται, ὁ δὲ Διόνυσος τῆς μὲν μητρὸς ἐκθρώσκει ῥαγείσης τὴν γαστέρα, τὸ δὲ πῦρ ἀχλυώδες ἐργάζεται φαιδρὸς αὐτός, οἷον ἀστὴρ τις, ἀστράπτων. διασχοῦσα δὲ ἡ φλὸξ ἄντρον τῷ Διονύσῳ σκιαγραφεῖ παντὸς ἥδιον Ἀσσυρίου τε καὶ Λυδίου, ἔλικές τε γὰρ περὶ αὐτὸ τεθήλασι

1. Θαλάττῃ. 1, J. Θαλάσσῃ. ς. ib. γέννεσιν. λ. ib. ἐν αὐτῇ. vd. 2. Ἴστρος. C, J. ὁ Ἴστρος. E. ib. ἐν. ψ. εἰς. ς. 3. γλυκύτερος. f, vd. ib. ὁ om. λ. 4. τόσος. vd. 5. τοσοῦτο. br. τοσοῦτον αὐτῷ τὸ β. p 2955. ib. καὶ ᾗς. φ. καθ' οὓς. p. 2955. 6. καὶ σμικρὸν ἤρκεσε — ἀγέλης. v. ib. οὕτω. λ. ib. σμικρόν τι. 1 (v), J. μικρὸν. ς. 7. ἥδε om. br, gu. ib. σκοπιωρεῖται — Θάλατταν. v. ib. ὑψηλοῦ του ξ. v. ὑψηλοῦ. ς. 8. μὲν om. gu. ib. ἐς. p, J. εἰς. v, ς. ib. πεπηγμέναι. γ. 9. Θάλασσαν. vd, γ, g, gu. ib. ἐξικν. τε. p, φ. ib. ἐμβαλόντας. vd. ib. ἴδοι. 1. 10. δεῖ αὐτῷ. f. p. αὐτῷ δεῖ. 2, 3, EJ. 11. βαθὺ. j. ib. κλειτῷ. v. κλυστῷ. λ. 12. καὶ δρ. λ. 13. Θάλασσαν. φ. vd. 14. Θαλάσσης suprasc. τε. γ. ib. τὰ δὲ τῶν — ἀμβλύνεται. v. ib. ἄθρει τὰ sive πάντα τὰ velit J. ib. χρώματα. μέλανες disting. J. ib. ἧττονες δ' οἱ. v, f. (δὲ. f.) ἧττον δ' οἱ. vd. 15. ὑδαρεῖς ὑπονοῆσαι. v. 16. γὰρ om. v. ib. διακρυβοῦν. φ. ib. ἐν αὐτῇ. vd. 18. κελεύει. φ. 19. ἐμπεπτοκότων. λ. 20. παραλίγουσι. ψ. 21. τρυφῶσι. E.

xiv. 22. εἴδη. g. εἴδει et η suprasc. γ. ib. ἀστραπή. E. ib. κατὰ τῶν. o. ib. ἰεῖσα. vd, ε. 23. τυρανικῆς. γ. ib. ἅπτεσθαι. λ. 24. παρασχοῦσα. φ. 25. ὡς δοκουμένη Σεμέλη. φ. ὡς δοκουμένη Σελήνη. vd. ὡς δοκουμένη ἡ Σ. f. ὡς δοκοῦσα λ. ib. ὁ Διόνυσος. m, o. 26. διεκφαίνεται. φ. διαφαίνεται. ς. (f.) ib. ἐς τὸν. μ, EJ. ib. αἱ Μ. ᾄδονται ἐκεῖ αὐτὴν. λ. ἐς αὐτὴν m, o. 27. ἐκτρώσκει. m, o. ib. τὸ πῦρ. λ. 28. Fo: φαιδρὸν αὐτός. ib. ἀπεστράπτων. f. ib. ἄντρον τι. 1, J. ἄντρον. ς. 29. σκιογραφεῖ. vd. διαγράφει. λ. Ἀσυρίου. ρ et μ ante corr. a, i. ib. ἕλικες — ἄμπελοι. v. ib. ἕλικες γὰρ. γ. ib. τε καὶ περὶ. i, o, m. ib. περὶ αὐτό. f, φ, vd, l et 2 praeter p 1761 περὶ αὐτῷ. ς.

21, 25. p. 784, 785. 1, 14.

καὶ κιττοῦ κόρυμβοι καὶ ἤδη ἄμπελοι καὶ θύρσου δένδρα οὕτω τι ἑκούσης ἀνασχόντα τῆς γῆς, ὡς κἂν τῷ πυρὶ εἶναι ἔνια. καὶ οὐ χρὴ θαυμάζειν, εἰ στεφανοῖτο πῦρ ἐπὶ τῷ Διονύσῳ ἡ γῆ, ἥ γε καὶ συμβακχεύσει αὐτῷ καὶ οἶνον ἀφύσσειν ἐκ πηγῶν δώσει γάλα τε οἷον ἀπὸ μαζῶν ἕλκειν τὸ μὲν ἐκ βώλου, τὸ δὲ ἐκ πέτρας. ἄκουε τοῦ Πανός, ὡς τὸν Διόνυσον ᾄδειν ἔοικεν ἐν κορυφαῖς τοῦ Κιθαιρῶνος, ὑποσκιρτῶν εὖιον. ὁ Κιθαιρὼν δὲ ὁλοφύρεται ἐν εἴδει ἀνθρώπου τὰ μικρὸν ὕστερον ἐν αὐτῷ ἄχη καὶ κιττοῦ φέρει στέφανον ἀποκλίνοντα τῆς κεφαλῆς, στεφανοῦται γὰρ δὴ αὐτῷ σφόδρα ἄκων, ἐλάτην τε αὐτῷ παραφυτεύει Μέγαιρα καὶ πηγὴν ἀναφαίνει ὕδατος ἐπὶ τῷ Ἀκταίωνος, οἶμαι, καὶ Πενθέως αἵματι.

ΑΡΙΑΔΝΗ.

ιέ. Ὅτι τὴν Ἀριάδνην ὁ Θησεὺς ἄδικα δρῶν — οἱ δ' οὐκ ἄδικά φασιν, ἀλλ' ἐκ Διονύσου — κατέλιπεν ἐν Δίᾳ τῇ νήσῳ καθεύδουσαν, τάχα που καὶ τίτθης διακήκοας, σοφαὶ γὰρ ἐκεῖναι
786 τὰ τοιαῦτα καὶ δακρύουσιν ἐπ' αὐτοῖς, ὅταν ἐθέλωσιν. οὐ μὴν δέομαι λέγειν, Θησέα μὲν εἶναι τὸν ἐν τῇ νηί, Διόνυσον δὲ τὸν ἐν τῇ γῇ, οὐδ' ὡς ἀγνοοῦντα ἐπιστρέφοιμ' ἂν ἐς τὴν ἐπὶ τῶν πετρῶν, ὡς ἐν μαλακῷ κεῖται τῷ ὕπνῳ. οὐδὲ ἀπόχρη τὸν ζωγράφον ἐπαινεῖν, ἀφ' ὧν κἂν ἄλλος ἐπαινοῖτο, ῥᾴδιον γὰρ ἅπαντι καλὴν μὲν τὴν Ἀριάδνην γράφειν, καλὸν δὲ τὸν Θησέα, Διονύσου τε μυρία φάσματα τοῖς γράφειν ἢ πλάττειν βουλομένοις, ὧν κἂν μικροῦ τύχῃ τις, ἥρηκε τὸν θεόν. καὶ γὰρ οἱ κόρυμβοι στέφανος ὄντες Διονύσου γνώρισμα, κἂν τὸ δημιούργημα φαύλως ἔχῃ, καὶ κέρας ὑπεκφυόμενον τῶν κροτάφων, Διόνυσον δηλοῖ καὶ παρδάλις ὑπεκφαινομένη αὖ τοῦ θεοῦ σύμβολον. ἀλλ' οὗτός γε ὁ Διόνυσος ἐκ μόνου τοῦ ἐρᾶν γέγραπται· σκευὴ μὲν γὰρ ἠνθισμένη καὶ θύρσοι καὶ νεβρίδες, ἔρριπται ταῦτα ὡς ἔξω τοῦ καιροῦ, καὶ οὐδὲ κυμβάλοις αἱ βάκχαι χρῶνται νῦν, οὐδὲ οἱ σάτυροι αὐλοῦσιν, ἀλλὰ καὶ ὁ Πὰν κατέχει τὸ σκίρτημα, ὡς μὴ διαλύσειε τὸν ὕπνον τῆς κόρης, ἁλουργίδι τε στείλας ἑαυτὸν καὶ τὴν κεφαλὴν ῥόδοις ἀνθίσας ἔρχεται παρὰ τὴν Ἀριάδνην ὁ Διόνυσος, μεθύων ἔρωτι, φησὶν [περὶ τῶν ἀκρατῶς ἐρώντων] ὁ Τήιος· ὁ Θησεὺς δὲ ἐρᾷ μέν, ἀλλὰ τοῦ τῶν Ἀθηνῶν καπνοῦ, Ἀριάδνην δὲ οὔτε οἶδεν ἔτι, οὔτε ἔγνω ποτέ, φημὶ δ' αὐτὸν ἐκλελῆσθαι καὶ τοῦ Λαβυρίνθου, καὶ μηδὲ εἰπεῖν ἔχειν, ἐφ' ὅτῳ ποτὲ ἐς τὴν Κρήτην ἔπλευσεν. οὕτω μόνον τὰ ἐκ πρῴρας βλέπει. ὕρα καὶ τὴν Ἀριάδνην, μᾶλλον δὲ τὸν ὕπνον· γυμνὰ μὲν ἐς ὀμφαλὸν τὰ στέρνα ταῦτα, δέρη δὲ ὑπτία καὶ ἁπαλὴ φάρυγξ, μασχάλη δὲ ἡ δεξιὰ φανερὰ πᾶσα,
787 ἡ δὲ ἑτέρα χεὶρ ἐπίκειται τῇ χλαίνῃ, μὴ αἰσχύνῃ τι ὁ ἄνεμος. οἷον, ὦ Διόνυσε, καὶ ὡς ἡδὺ τὸ ἄσθμα. εἰ δὲ μήλων ἢ βοτρύων ἀπόζει, φιλήσας ἐρεῖς.

1. κόρυβοι. v. ib. οὕτω τι. f, φ, λ, J οὕτω τοι. ς. ib. ἑκούσης om. br. add. rec. m. 2. κἂν. J. καὶ. ς. ib. ἐστεφανοῦτο. λ. εἰ στεφανοῖ τὸ. ς. Sc: εἰ στεφανοῖτο. 3. συμβακχεύει. l. ib. ἀναφύσει. λ. ib. ἐκ πηγῶν. 1, λ, γ, g, ψ, J. ἐκ τῶν πηγῶν. ς. ib. οἶνον ἀπὸ. γ. 4. ἐν κορυφαῖς. 1. ἐν ταῖς κ. 2, 3, EJ. 5. ὑποσκιρτῶντα. f. ὑποκιρτῶν. L ib. ὕστερον αὐτῷ. l. 6. ἄχθη. f. ib. ἀποκλίναντα. l. 7. ἐλάτην αὐτῷ. 2. ib. πηγὴν οἶμαι. vd, nec deest ibi verbum ante καὶ Πενθέως. ib. ἀναφαίνει ὕδατος. om. λ.

XV. 9. ὅτε. vd. ib τὴν Ἀριάδνην — καθεύδουσαν. v. ib. οἶδ'. μ, E. 10. ἐν Δίῳ. f. ib. διακήκοας. f, p, J. ἀκήκοας. vd, ω, 2, 3, E. ib. γὰρ om. 2. (br. add. rec. m.) 12. οὐδαμῶς. λ. ib. τῶν πετρῶν. om. λ. 13. οὐδὲ — ἐπαινοῖτο. v. ib. οὐδὲ. v et br. οὐδ'. ς. ib. ἄλλο. v. 14. καλὸν — γράφειν om. f. 15. πλ. βουλομένοις. f et p ante corr. πλ. δυναμένοις. ς. ib. τύχοι. l. 16. ἔχοι. 1. 17. Διόνυσος. i, m. ib. αὐτοῦ. f. 19. νευρίδες. br, γ, g. ib. ἔρριπται. φ. 20. Πὰν. λ. 21. ἀλλουργ. f, p, λ. ib. τε στείλας. f, p. δὲ στείλας. ς. (δὲ om. p 2955.) ib. ἐφάνη τὴν κεφαλὴν ῥόδοις ἀνθίσας. Aristaenet. II, 19, p. 185 ed. B. ib. ῥόδων. φ. ib. ἀνθήσας. f, p. ἀερθίσας. gu. ib. ἔρχεται — Τήιος. v. ib. περὶ. f, vd. 22. ἔρωτι. 1, J. μ. τῷ ἔρωτι. 2, 3, E. ib. μεθύων ἔρωτι. μεθύων ἔρωτί φησι περὶ τῶν ἀκρατῶς ἐρώντων ὁ Τήιος. Verba π. τ. ἀκρ. ἐρ. inclusi ut glossema. καὶ φησι. vd. ib. ὁ Τήιος. 1, (v) γ, g, gu, φ, J. Τήιος. 2, β, E. ib. ὁ ante Θησεὺς om. φ. ib. δὲ om. λ. 23. πόποτε. λ. ib. ἐκλελ. ὑπὸ τοῦ Λ. 2. 24. καὶ ante μηδὲ om. l, o. ib. τὴν om. ψ. ib. πρώτης f, vd, φ et p, ubi πρώτης. 25. ἐς ὀμφ. om. φ. ἐς ὀμφαλοῦ. p 2955. ib. τὰ στέρνα. 2, β. στέρνα. ς. 26. δέρη ὑπτία. λ, p 2955. 28. φιλῆσαι. f.

26, 27. p. 786. 787. 1, 16.

ΠΑΣΙΦΑΗ.

ις'. Ἡ Πασιφάη τοῦ ταύρου ἐρᾷ καὶ ἱκετεύει τὸν Δαίδαλον σοφίσασθαί τινα πειθὼ τοῦ θηρίου, ὁ δὲ ἐργάζεται βοῦν κοίλην παραπλησίαν ἀγελαίᾳ βοὶ τοῦ ταύρου ἐθάδι. καὶ ἥτις μὲν ἡ εὐνὴ σφῶν ἐγένετο, δηλοῖ τὸ τοῦ Μινωταύρου εἶδος, ἀτόπως συντελεσθὲν τῇ φύσει, γέγραπται δὲ οὐχ ἡ εὐνὴ νῦν, ἀλλ' ἐργαστήριον μὲν τοῦτο πεποίηται τῷ Δαιδάλῳ, περιέστηκε δὲ αὐτὸν ἀγαλματα τὰ μὲν ἐν μορφαῖς, τὰ δὲ ἐν τῷ διορθοῦσθαι, διαβεβηκότα ἤδη καὶ ἐν ἐπαγγελίᾳ τοῦ βαδίζειν, τοῦτο δὲ ἄρα ἡ πρὸ Δαιδάλου ἀγαλματοποιία οὔπω ἐς νοῦν ἐβέβλητο. αὐτὸς δὲ ὁ Δαίδαλος ἀττικίζει μὲν καὶ τὸ εἶδος ὑπέρσοφόν τι καὶ ἔννουν βλέπων, ἀττικίζει δὲ καὶ αὐτὸ τὸ σχῆμα, φαιὸν γὰρ τρίβωνα τοῦτον ἀμπέχεται προσγεγραμμένης αὐτῷ καὶ ἀνυποδησίας, ᾗ μάλιστα δὴ οἱ Ἀττικοὶ κοσμοῦνται. κάθηται δὲ ἐφ' ἁρμονίᾳ τῆς βοὸς καὶ τοὺς ἔρωτας ξυνεργοὺς ποιεῖται τοῦ μηχανήματος, ὡς Ἀφροδίτης τι αὐτῷ ἐπιδεῖν. ἐναργεῖς μὲν τῶν ἐρώτων καὶ οἱ τὸ τρύπανον, ὦ παῖ, στρέφοντες, καί, νὴ Δί', οἱ τῷ σκεπάρνῳ λεαίνοντες τὰ μήπω ἠκριβωμένα τῆς βοὸς καὶ οἱ σταθμώμενοι τὴν ξυμμετρίαν, ἐφ' ᾗς ἡ δημιουργία βαίνει, οἱ δὲ ἐπὶ τοῦ πρίονος ἔννοιάν τε ὑπερβεβλήκασι πᾶσαν καὶ σοφίαν, ὁπόση χειρός τε καὶ χρωμάτων. σκόπει γάρ· πρίων ἐμβέβληται τῷ ξύλῳ καὶ διῆκται αὐτοῦ ἤδη, διάγουσι δὲ αὐτὸν οὕτυι οἱ ἔρωτες ὁ μὲν ἐκ τῆς γῆς, ὁ δ' ἀπὸ μηχανῆς ὀρθουμένω τε καὶ προνεύοντε. τουτὶ δὲ ἐναλλὰξ ἡγώμεθα, ὁ μὲν γὰρ νένευκεν ὡς ἀναστησόμενος, ὁ δὲ ἀνέστηκεν ὡς νεύσων, καὶ ὁ μὲν ἀπὸ τῆς γῆς ἐπὶ τὸ στέρνον ἀναπέμπει τὸ ἄσθμα, ὁ δ' ἀπὸ τοῦ μετεώρου καὶ τὴν γαστέρα πίμπλαται κάτω συνερείδων τῷ χεῖρε. ἡ Πασιφάη δὲ ἔξω περὶ τὰ βουκόλια περιαθρεῖ τὸν ταῦρον, οἰομένη προσάξεσθαι αὐτὸν τῷ εἴδει καὶ τῇ στολῇ θεῖόν τε ἀπολαμπούσῃ καὶ ὑπὲρ πᾶσαν ἶριν, βλέπει τε ἀμήχανον, καὶ γὰρ γιγνώσκει, ὁποίων ἐρᾷ, καὶ περιβάλλειν τὸ θηρίον ὥρμηκεν, ὁ δὲ τῆς μὲν οὐδὲν ξυνίησι, βλέπει δὲ τὴν ἑαυτοῦ βοῦν. γέγραπται δὲ ὁ μὲν ταῦρος ἀγέρωχός τε καὶ ἡγεμὼν τῆς ἀγέλης, εὔκερώς τε καὶ λευκὸς καὶ βεβηκὼς καὶ βαθὺς τὴν φάρυγγα καὶ πίων τὸν αὐχένα καὶ ἱλαρὸν βλέπων ἐς τὴν βοῦν, ἡ δὲ ἀγελαία τε καὶ ἄνετος καὶ λευκὴ πᾶσα ἐπὶ μελαίνῃ τῇ κεφαλῇ, ἀπαξιοῖ δὲ τὸν ταῦρον, σκίρτημα γὰρ ὑποφαίνει κόρης δή τινος ὑποφευγούσης ἐραστοῦ ὕβριν.

ΙΠΠΟΔΑΜΕΙΑ.

ιζ'. Ἡ μὲν ἔκπληξις ἐπ' Οἰνομάῳ τῷ Ἀρκάδι, οἱ δὲ ἐπ' αὐτῷ βοῶντες, ἀκούεις γάρ που, ἥ τε Ἀρκαδία ἐστὶ καὶ ὁπόσον ἐκ τῆς Πελοποννήσου. πέπτωκε δὲ συντριβὲν τὸ ἅρμα τέχνῃ Μυρ-

xvi. 1. τινα τοῦ θηρίου πειθὼ. ψ et gu (ubi πειθῶ.) 2. μὲν om. vd. 3. ἡ εὐνὴ σφῶν. 1 (φ om. ἡ.) σφῶν ἡ εὐνὴ. 2, 3, EJ. ib. Μινωταύρου. λ, J. Μινοταύρου (μηνοταύρου. gu.) ς. ib. συντιθὲν. f et p, ubi γρ. συντελεσθὲν. 4. νῦν om. 2. ib. τοῦ Δαιδάλου. vd. ib. περιέστη. p, vd. δὲ αὐτὸν. l. δὲ αὐτῷ. f, vd, p, μ, br, β, γ, λ. δὲ αὐτὸ. φ, p 1761, g, gu. δ' αὐτὸ. E. 5. βεβηκότα. f, p. ib. καὶ om. λ. ἀπαγγελίᾳ. i, m, o. 6. τοῦτο. f, vd. τοῦ τὸ. p. τουτὶ. ς. ib. ἐς. p. ib. ἐμβέβλητο. φ. 7. αὐτὸ σχῆμα. 1. 8. προγεγρ. φ. ib. μάλ. δεῖ. λ. 9. δ' ἐφ' ᾧ. vd. ib. καὶ — μηχανήματος om. λ. 10. τί αὐτῷ δεῖν ἐπειδὴ. f. τί αὐτῶν· ἐπειδὴ. φ. τι αὐτῷ ἐπειδὴ. corr. sec. m. ἐπειδεῖν. vd. An: τι αὐτῷ ἐπιδέον? αὐτὸ. λ. ib. ἐνεργεῖ σοι. λ. ib. ἐρώντων. φ, λ. ib. τρύπ. αὐτῷ στρ. vd. 11. νὴ Δί' οἱ. f. νὴ Δία, οἱ. ς. 12. ὥσπερ οἱ ἄριστοι τῶν ἀγαλματοποιῶν σταθμῶνται τὴν συμμετρίαν, ἐφ' ἧς ἡ δημιουργία διαβαίνει. Isid. Pel. p. 615, 2. ib. ἐφ' οἷς. f. 13. χρωματίων. f. χρομάτων. gu. ib. πρίων ἐμβ. τῷ ξύλῳ 1. τῷ ξ. πρ. ἐμβ. ς. ib. τοῦ ξύλου, suprasc. term. dativi. p. ib. διήκει. 1. διῆκται. 2, 3, EJ. 14. αὐτῷ ἤδη. f. ib. ἀπὸ μετεώρου. o. ib. τῆς om. p. ib. ὀρθούμενοι — προνεύοντες. λ, p 2955. 15. προσνεύοντε. f, p. l. προνεύοντι. vd. ib. ἐναλὰξ. φ. ib. ἡγούμεθα. f, vd, p. 17. συνερείδων. 1. ξυνερείδων. ς. ib. τὸ χεῖρε. λ, m, o. ib. δὲ om. φ. 18. προσάξεσθαι. 1. λ, γ, ψ, J. προσάξασθαι. l, j, gu, g, β. προσάξαι. 2, ρ, E. ib. αὐτὸν om. J. ib. θεῖόν τι malit J. 19. βλέπει δὲ. J. ib. ὁποῖον. λ. ib. γιγνώσκει τε. g. 20. ὥρμησεν. E. ib. οὐδὲν om. j, ψ, p 2955. ib. τῆς ὁδοῦ. l. 21. εὔκερος. λ. ib. λεπτὸς. vd. ib. βεβηκὼς ἤδη. f, p. ib. τὸν φαρ. vd. 23. ἀπαξιοῖ τε. 2.

xvii. Ἱπποδάμεια C, praeter μ, br: Οἰνόμαος et γ, g: Πέλοψ. Πέλοψ ἢ Ἱπποδάμεια. EJ. 25. Ἀρκαδία ἐστί. 1, J. Ἀρκαδία. 2, 3, E. 26. τῆς om. l. ib. τὸ om. p 2955.

28. 788. 1, 16, 17.

τίλου, τὸ δὲ ἵππων σύγκειται τεττάρων, τουτὶ γὰρ ἐς μὲν τὰ πολεμικὰ οὔπω ἐθαρσεῖτο, οἱ δὲ ἀγῶ- 29
νες ἐγίγνωσκόν τε αὐτὸ καὶ ἐτίμων, καὶ οἱ Λυδοὶ δὲ φιλιππότατοι ὄντες ἐπὶ μὲν Πέλοπος τέ-
789 θριπποί τε ἦσαν καὶ ἤδη ἁρματῖται, μετὰ ταῦτα δὲ τετραρύμου τε ἥψαντο καὶ λέγονται πρῶτοι
τοὺς ὀκτὼ σχεῖν. ὅρα, παῖ, τοὺς μὲν τοῦ Οἰνομάου, ὡς δεινοί τέ εἰσι καὶ σφοδροὶ ὁρμῆσαι λύτ-
της τε καὶ ἀφροῦ μεστοί, τουτὶ δὲ περὶ τοὺς Ἀρκάδας εὖρois ἂν μάλιστα, καὶ ὡς μέλανες, ἐπειδὴ
ἐπ' ἀτόποις καὶ οὐκ εὐφήμοις ἐξεύγνυντο, τοὺς δὲ τοῦ Πέλοπος, ὡς λευκοί τέ εἰσι καὶ τῇ ἡνίᾳ
πρόσφοροι πειθοῦς τε ἑταῖροι καὶ χρεμετίζοντες ἥμερόν τι καὶ εὐξύνετον τῆς νίκης, τόν τε Οἰνό-
μαον, ὡς ἴσα καὶ Διομήδης ὁ Θρᾷξ βάρβαρός τε κεῖται καὶ ὠμὸς τὸ εἶδος. οἶμαι δὲ οὐδὲ τῷ Πέ-
λοπι ἀπιστήσεις, ὡς Ποσειδῶν ποτε αὐτὸν ἠγάσθη τῆς ὥρας οἰνοχοοῦντα ἐν Σιπύλῳ τοῖς θεοῖς
καὶ ἀγασθεὶς ἀνέθηκεν ἐς τουτὶ τὸ ἅρμα μειράκιόν γε ἤδη ὄντα. τὸ δὲ ἅρμα ἴσα τῇ γῇ τὴν θά-
λατταν διαστείχει, καὶ οὐδὲ ῥανὶς ἀπ' αὐτῆς πηδᾷ ἐς τὸν ἄξονα, βεβαία δὲ καὶ τῇ γῇ ἐοικυῖα ὑπό-
κειται τοῖς ἵπποις. τὸν μὲν οὖν δρόμον ὁ Πέλοψ τε καί ἡ Ἱπποδάμεια νικῶσιν ἐφεστηκότε ἅμφω
τῷ ἅρματι κἀκεῖ συζυγέντε, ἀλλήλων δὲ οὕτως ἤττησθον, ὡς ἐν ὁρμῇ τοῦ περιβάλλειν εἶναι. ἔσταλ-
ται δὲ ὁ μὲν τὸν Λύδιόν τε καὶ τὸν ἁβρὸν τρόπον ἡλικίαν τε καὶ ὥραν ἄγων, ἣν καὶ μικρῷ πρό-
σθεν εἶδες, ὅτε τοὺς ἵππους τὸν Ποσειδῶνα ἐξῄτει, ἡ δ' ἔσταλται τὸν γαμικὸν τρόπον ἄρτι τὴν
παρειὰν ἀνακαλύπτουσα, ὅτε ἐς ἀνδρὸς ἥκειν νενίκηται. πηδᾷ καὶ Ἅλφειὸς ἐκ τῆς δίνης κοτίνου
τινὰ ἐξαίρων στέφανον τῷ Πέλοπι προσελαύνοντι τῇ ὄχθῃ. τὰ δὲ ἐν τῷ ἱπποδρόμῳ σήματα οἱ
μνηστῆρες ἐκεῖ ἐθάπτοντο, οὓς ἀποκτείνων ὁ Οἰνόμαος ἀνεβάλλετο τὸν τῆς θυγατρὸς γάμον ἐπὶ
τρισκαίδεκα ἤδη νέοις. ἀλλὰ ἡ γῆ νῦν ἄνθη φύει περὶ τοῖς σήμασιν, ὡς μετέχοιέν τι κἀκεῖνοι τοῦ
στεφανοῦσθαι δοκεῖν ἐπὶ τῇ τοῦ Οἰνομάου δίκῃ.

ΒΑΚΧΑΙ.

790 ιή. Γέγραπται μέν, ὦ παῖ, καὶ τὰ ἐν τῷ Κιθαιρῶνι, βακχῶν χοροὶ καὶ ὕποινοι πέτραι καὶ
νέκταρ ἐκ βοτρύων καὶ ὡς γάλακτι τὴν βῶλον ἡ γῆ λιπαίνει, καὶ ἰδού, κιττὸς ἕρπει καὶ ὄφεις
ὀρθοὶ καὶ Θύρσοι καὶ δένδρα. οἶμαι, μέλι στάζοντα. καὶ ἥδε σοι ἡ ἐλάτη χαμαὶ γυναικῶν ἔρ-
γον ἐκ Διονύσου μέγα, πέπτωκε δὲ τὸν Πενθέα ἀποσεισαμένη ταῖς βάκχαις ἐν εἴδει λέοντος, αἱ
δὲ καὶ ξαίνουσι τὸ θήραμα μήτηρ ἐκείνη καὶ ἀδελφαὶ μητρὸς αἱ μὲν ἀπορρηγνῦσαι τὰς χεῖρας,
ἡ δὲ ἐπισπῶσα τὸν υἱὸν τῆς χαίτης. εἴποις δ' ἄν, ὡς καὶ ἀλαλάζουσιν, οὕτως εὔιον αὐταῖς τὸ ἆσθμα.
Διόνυσος δὲ αὐτὸς μὲν ἐν περιωπῇ τούτων ἕστηκεν ἐμπλήσας τὴν παρειὰν χόλου, τὸν δὲ οἶστρον
προσβακχεύσας ταῖς γυναιξίν· οὔτε ὁρῶσι γοῦν τὰ ὁρώμενα καὶ ὁπόσα ἱκετεύει ὁ Πενθεύς, λέοντος
ἀκούειν φασὶ βρυχωμένου. ταυτὶ μὲν τὰ ἐν τῷ ὄρει, τὰ δὲ ἐγγὺς ταῦτα, Θῆβαι ἤδη καὶ Κάδμου στέγη

1. σύγκειται 1, ψ. ξυγκ. ς. ib. τεσσάρων. vd. ib. θαρσεῖται. vd. ib. ἀγῶνες om. γ, g, p 2955. 2. αὐτόν. λ ib. τε ὄντες. gu. Πέλοπι. vd. 3. Fo: ἤδη καί. ib. μετὰ ταῦτα δέ. 1. μετὰ δὲ ταῦτα. 2, 3, EJ. ib. τετραρύμου. 1. τεθραρύμου. m, o. ib. λέγεται. 1. ib. ἐν τοὺς. vd. ubi sec. m. πρῶτοι. 5. ἂν om. 1. 6. λευκός τε. g. ib. τὴν ἡνίαν. gu. ib. πειθοῦς δὲ J, nescio unde. 8. ἴσα. vd. ib. βάρβαρός τε. f, J. βάρβαρος. ς. 9. οἰνοχοῦντα. br. corr. rec. m. 10. ἀγασθεὶς om. λ. ib. τε ἤδη. f, ψ. ib. ἴσα. vd. ib. θάλατταν. f. θάλασσαν. ς. 11. ἀπ' αὐτῆς. p, vd. ἐπ' αὐτῆς. f. ἐξ' αὐτῆς. ς. ib. δὲ τῇ. 1. 12. ἡ om. br. 13. οὗτοι. 1. ib. ἔσταλται — τρόπον. v. 14. τε om. l. ib. καὶ τὸν ἁβρὸν. v, f, vd. καὶ ἁβρὸν. ς. ib. ἣν καὶ μικρῷ. f, J. καὶ μικρῷ. p. ἣν μικρῷ. 2, 3, E. 15. ὅτι. br. ὁπότε. λ. ib. τὸν Ποσειδῶνα. 1, μ, β, J. τῷ Ποσειδῶνι λ. τὸν Ποσειδῶ. ς. ib. ἐξῄτει. J conj. ἐξήτει. ς. ib. ἄρτον. p 2955. 16. ἐς τὸν. γ, g, J. ib. νενίκηται. λ. νικηκε. ς. 18. τὰ δὲ — ἐθάπτοντο. v. 19. τρισκαίδεκα. 1, λ, ψ, p 1760, 2955, J. τρὶς καὶ δέκα. γ. τρικαίδεκα. β. τρεισκαίδεκα. gu, ρ. τρεὶς καὶ δέκα. μ, br, p 1761, β, E. ib. νέους. 2, o. ib. περὶ. f. παρὰ. ς. ib. ὥστε br, ubi τε del. sec. m. 20. δοκεῖν del. vd. sec. m. ib. τῇ om. J. ib. δίκῃ. 1. νίκῃ. 2, 3, EJ.

XVIII. Βάκχαι. f. p. vd, matr. p 1760, 1761, 2562, ρ. Πενθεὺς. Βάκχαι. l. Πενθεὺς. ς. 21. ἐν Κιθαιρ. p 2955. 22. τὸν βῶλον. f, 2. (p 2955.) 23. Θύρσοι καὶ δένδρα 2 praeter p 2955 et p 1760 (ubi om. καὶ Θύρσοι καί.) Idem conj. Heyne Op. V, 62. ib. στάζοντα. p 2955. ib. ἥδε σοι ἡ ἐλ. f, μ, p 1761. ἡδέ σοι ἐλ. p 2955. ἡδύ σοι ἐλ. p 1760. ἡ om. ς. 25. ἀπορηγνῦσαι p. ἀπορρηγνύσαι. f. 12. ἀπορυγνῦσαι. br, λ. ἀπορρηγνοῦσαι. o. 26. καὶ ὡς. f. ib ἀλλάζουσιν. g. ἀλαλάξουσιν. p 2955. ib. εὔνον. br. 27. δὲ om. p 2955. ib. περιοπῇ. p, λ. ib. τὸ δὲ. λ. ib. ἰατρόν. λ 28. ἱκετεύει Πενθεὺς. vd. 29. φησί. f. ib. Θῆβαι ἤδη. 1. ἤδη Θῆβαι. 2, 3. EJ. (ἤδη om. p 1761.

29, 30. p. 789, 790. l, 18.

καὶ θρῆνος ἐπὶ τῇ ἄγρᾳ καὶ συναρμόττουσιν οἱ προσήκοντες τὸν νεκρόν, εἴ πη σωθείη τῷ τάφῳ. πρόκειται καὶ ἡ κεφαλὴ τοῦ Πενθέως οὐκέτι ἀμφίβολος, ἀλλ' οἷα καὶ τῷ Διονύσῳ ἐλεεῖν, νεωτάτη 791
καὶ ἁπαλὴ τὴν γένυν καὶ πυρσὴ τὰς κόμας, ἃς οὔτε κιττὸς ἥρεψεν οὔτε σμίλακος ἢ ἀμπέλου κλῆμα
31 οὔτε αὐλὸς ἔσεισέ τις οὔτε οἶστρος. ἐρρώννυτο μὲν ὑπ' αὐτῶν, καὶ ἐρρώννυεν αὐτάς, ἐμαίνετο δὲ αὐτὸ τὸ μὴ μετὰ Διονύσου μαίνεσθαι. ἐλεεινὰ καὶ τὰ τῶν γυναικῶν ἠγώμεθα, οἷα μὲν γὰρ ἐν τῷ Κιθαιρῶνι ἠργόησαν, οἷα δὲ ἐνταῦθα γιγνώσκουσιν! ἀπολέλοιπε δὲ αὐτὰς οὐχ ἡ μανία μόνον, ἀλλὰ καὶ ἡ ῥώμη, καθ' ἣν ἐβάκχευσαν. κατὰ μὲν γὰρ τὸν Κιθαιρῶνα ὁρᾷς, ὡς μεσταὶ τοῦ ἄθλου φέρονται συνεξαίρουσαι τὴν ἠχὼ τοῦ ὄρους, ἐνταῦθα δὲ καθίστανται καὶ ἐς νοῦν τῶν βεβακχευμένων ἥκουσιν, ἰξάνουσαί τε κατὰ τῆς γῆς τῆς μὲν ἐς γόνατα ἡ κεφαλὴ βρίθει, τῆς δὲ ἐς ὦμον, ἡ δ' Ἀγαυὴ περιβάλλειν μὲν τὸν υἱὸν ὥρμηκε, θιγεῖν δὲ ὀκνεῖ. προσμέμικται δ' αὐτῇ
τὸ τοῦ παιδὸς αἷμα τὸ μὲν ἐς χεῖρας, τὸ δὲ ἐς παρειάν, τὸ δὲ ἐς τὰ γυμνὰ τοῦ μαζοῦ. ἡ δὲ Ἁρμονία καὶ ὁ Κάδμος εἰσὶ μέν, ἀλλ' οὐχ οἷοί περ ἦσαν, δράκοντε γὰρ ἤδη ἐκ μηρῶν γίγνονται, καὶ φολὶς ἤδη αὐτοὺς ἔχει, φροῦδοι πόδες, φροῦδοι γλουτοί, καὶ ἡ μεταβολὴ τοῦ εἴδους ἕρπει ἄνω. οἱ δὲ ἐκπλήττονται καὶ περιβάλλουσιν ἀλλήλους, οἷον ξυνέχοντες τὰ λοιπὰ τοῦ σώματος, ὡς ἐκεῖνα γοῦν αὐτοὺς μὴ φύγῃ.

ΤΥΡΡΗΝΟΙ.

ιϑ'. Ναῦς θεωρὶς καὶ ναῦς λῃστρική. τὴν μὲν Διόνυσος εὐθύνει, τὴν δ' ἐμβεβήκασι Τυρρηνοὶ λῃσταὶ τῆς περὶ αὐτοὺς θαλάττης. ἡ μὲν δὴ ἱερὰ ναῦς βακχεύει ἐν αὐτῇ ὁ Διόνυσος καὶ ἐπιρροθοῦσιν αἱ βάκχαι, ἁρμονία δέ, ὁπόση ὀργιάζει, κατηχεῖ τῆς θαλάττης, ἡ δὲ ὑπέχει τῷ Διο-
32 νύσῳ τὰ ἑαυτῆς νῶτα, καθάπερ ἡ Λυδῶν γῆ, ἡ δὲ ἑτέρα ναῦς μαίνονται καὶ τῆς εἰρεσίας ἐκλαν- 792
θάνονται, πολλοῖς δὲ αὐτῶν καὶ ἀπολώλασιν ἤδη αἱ χεῖρες. τίς ἡ γραφή; τὸν Διόνυσον, ὦ παῖ, λοχῶσι Τυρρηνοὶ λόγου ἐς αὐτοὺς ἥκοντος, ὡς θῆλύς τε εἴη καὶ ἀγύρτης καὶ χρυσοῦς τὴν ναῦν ὑπὸ τοῦ ἐν αὐτῇ πλούτου γύναιά τε αὐτῷ ὁμαρτοίη Λύδια καὶ σάτυροι καὶ αὐλητὰ καὶ ναρθηκοφόρος γέρων καὶ οἶνος Μαρώνειος καὶ αὐτὸς ὁ Μάρων, καὶ Πᾶνας αὐτῷ ξυμπλεῖν ἀκούοντες ἐν εἴδει τράγων αὐτοὶ μὲν ἄξεσθαι τὰς βάκχας, αἶγας δὲ ἀνήσειν ἐκείνοις, ἃς ἡ Τυρσηνῶν γῆ βύσκει. ἡ μὲν οὖν λῃστρικὴ ναῦς τὸν μάχιμον πλεῖ τρόπον, ἐπωτίσι τε γὰρ κατεσκεύασται καὶ ἐμβόλῳ καὶ σιδηραῖ αὐτῇ χεῖρες καὶ αἰχμαὶ καὶ δρέπανα ἐπὶ δοράτων, ὡς ἐκπλήττοι τοὺς ἐντυγχάνοντας καὶ θηρίον τι αὐτοῖς ἐκφαίνοιτο, γλαυκοῖς μὲν γέγραπται χρώμασι, βλοσυροῖς δὲ κατὰ πρῳ-

1. καὶ θρ. — ἄγρᾳ om. γ, g. ib. ἀγορᾷ. m. ib. εἴ ποι συνθείη. vd. 2. προσκεῖται. f. πρόσκειται. p, vd. ib. καὶ ἡ — ἐλεεῖν. v. ib. Πενθέος. λ. ib. οὐκέτι. v, p 2955. οὐκέτ'. ς. ib. οἷα. μ. ib. Διονύσῳ. p 2955. ib. ἐλεῖν. p. ἐλθεῖν. p 2955. 3. πυρσὴ. μ. ib. ἔρριψεν. br. corr. mg. ἔρεψεν. μ. ἔρρεψεν. p 2955. 4. ἐρρώννυτο. br. Ante hoc verbum aliquid excidisse suspicatur J. ib. μὲν. f, J. γὰρ. 2, 3, E. ib. ἐπ' αὐτῶν. m, o. ib. ἐμαίνετο — μαίνεσθαι. v. 5. αὐτῷ τῷ. μ. αὐτῷ τὸ cett. 2. (p 2955.) ib. ἐλεεῖν. p 2955. ib. τοὺς. λ. ib. καὶ ἠγώμεθα. γ, g. 7. κατὰ μὲν τὸν. 2. τὰ μὲν τὸν. j. μετὰ corr. sec. m. μεσταὶ. vd. 8. συνεξαίρουσι. l. ib. ἠχῶ. g. ib. παρίστανται. f, φ, vd. ἀνθίστανται. μ. 9. ἰξάνουσι. f, p, non φ. ib. τὴν μὲν. φ. ib. τὰ γόνατα. λ. 10. ἡδεῖα γυνὴ. vd, corr. sec. m. Ἀγαύη. J. ib. Θίγειν. EJ. 11. ἐς χέρας. f. εἰς χεῖρας. φ. ib. τὴν παρειὰν. vd. ib. γυμνὰν. gu. 12. δράκοντε. λ. δράκοντες. ς. ib. μηρῶν. λ. μειρῶν. gu. μηρῶν. conj. J. μοιρῶν. ς. ib. γίνωνται. λ. γίγνονται. φ. 15. Malim φύγοι.

XIX. Τυρρηνοὶ EJ et C praeter μ: ναῦς θεωρὶς καὶ ναῦς λῃστρική. γ, g: Διόνυσος ἢ Τυρρηνοί. 16. τὸν μὲν. φ. ib. δὲ βεβήκασιν. μ et br, (ubi corr. rec. m.) p 2955. 17. περὶ αὐτόν. vd. 18. Θαλάττης. f, p, φ, J. Θαλάσσης. ς. ib. ὁ Διόνυσος om. λ. ib. ἁρμονία — θαλάττης. v. ib. Θαλάττης. f, p, v, φ, λ, p 2955. J. Θαλάσσης. ς. 19. ἡ ἑτέρα δὲ. φ. 20. αὐτῶν ἀπολωλ. f, p. ib. Ante τίς ἡ γρ. praefigitur in vd, l, γ, gu. ὁ παῖς, ante τὸν Διόνυσον in γ: Φιλόστρατος, in g: ὁ διδάσκαλος. 21. Τυρρηνικοί. λ. ib. λόγον. gu. ib. χρυσοῦν καὶ τὴν. br. 22. πλούτου, Λύδιά τε αὐτῷ ὁμ. καὶ σατ. vd. 23. Πᾶνα. f. ib. συμπλεῖν. br, p 1761. 24. ἄξασθαι. γ. ib. ἀνήσει. gu. ἀνήσεις. λ. 25. ἡ μὲν — τρόπον. v. ib. τε om. f. ib. γὰρ om. 2. ib. ἐμβόλοις. vd. 26. ὡς. C. (ὡς ἴν' ἐκπλ. vd.) E. καὶ ὡς conj. J. malim ὡς δ' aut καὶ ἵν' ἐ. ib. ἐκπλήττει. br. ἐκπλήττῃ. μ, vd. 27. ἐμφαίνοιτο. μ, p 1761. ib. βλοσσυροῖς. φ, γ, g, β.

793 ραν ὀφθαλμοῖς οἷον βλέπει, λεπτὴ δὲ ἡ πρύμνα καὶ μηνοειδής, καθάπερ τὰ τελευτῶντα τῶν ἰχθύων, ἡ δὲ τοῦ Διονύσου ναῦς τὰ μὲν ἄλλα πέτρᾳ μοι δοκεῖ διεικάσθαι, φολιδωτὴ δὲ ὁρᾶται τὰ ἐς πρύμναν κυμβάλων αὐτῇ παραλλὰξ ἐνηρμοσμένων, ἵν', εἰ καὶ σάτυροί ποτε ὑπὸ οἴνου καθεύδοιεν, ὁ Διόνυσος μὴ ἀψοφητὶ πλέοι, τὴν δὲ πρῷραν ἐς χρυσῆν πάρδαλιν εἴκασταί τε καὶ ἐξῆκται. φιλία δὲ τῷ Διονύσῳ πρὸς τὸ ζῷον, ἐπειδὴ θερμότατον τῶν ζῴων ἐστὶ καὶ πηδᾷ κοῦφα καὶ ἴσα εὐάδι. ὁρᾷς γοῦν καὶ αὐτὸ τὸ θηρίον συμπλεούσας τῷ Διονύσῳ καὶ πηδώσας ἐπὶ τοὺς Τυρρηνοὺς μήπω κελεύοντος; θύρσος δὲ οὗτοσὶ ἐκ μέσης νεὼς ἐκπέφυκε τὰ τοῦ ἱστοῦ πράσσων, καὶ ἱστία μεθῆπται ἀλουργῆ μεταυγάζοντα ἐν τῷ κόλπῳ, χρυσαῖ δὲ ἐνύφανται βάκχαι ἐν Τμώλῳ καὶ Διονύσου τὰ ἐν Λυδίᾳ. κατηρεφῆ δὲ τὴν ναῦν ἀμπέλῳ καὶ κιττῷ φαίνεσθαι καὶ βότρυς ὑπὲρ αὐτῆς αἰωρεῖσθαι, θαῦμα μέν, θαυμασιωτέρα δὲ ἡ πηγὴ τοῦ οἴνου, ὡς κοίλη αὐτὸν ἡ ναῦς ἐκδίδοται καὶ ἀντλεῖται. ἀλλ' ἐπὶ τοὺς Τυρρηνοὺς ἴωμεν, ἕως εἰσίν· ὁ γὰρ Διόνυσος αὐτοὺς ἐκμήνας ἐντρέχουσι τοῖς Τυρρηνοῖς ἰδέαι δελφίνων οὔπω ἐθάδων, οὐδὲ ἐγχωρίων τῇ θαλάττῃ, καὶ τῷ μὲν τὰ πλευρὰ κυάνεα, τῷ δ' ὀλι-
794 σθηρὰ τὰ στέρνα, τῷ δ' ἐκφύεται λοφιὰ παρὰ τῷ μεταφρένῳ, ὁ δὲ ἐκδίδωσι τὰ οὐραῖα, καὶ τῷ μὲν ἡ κεφαλὴ φρούδη, τῷ δὲ λοιπή, τῷ δ' ἡ χεὶρ ὑγρά, ὁ δ' ὑπὲρ τῶν ποδῶν ἀπιόντων βοᾷ. ὁ δὲ Διόνυσος ἐκ πρῴρας γελᾷ ταῦτα καὶ κελεύει τοῖς Τυρρηνοῖς τὰ μὲν εἴδη ἰχθύσιν ἐξ ἀνθρώπων, τὰ δὲ ἤθη χρηστοῖς ἐκ φαύλων. ὀχήσεται γοῦν μικρὸν ὕστερον Παλαίμων ἐπὶ δελφῖνος οὐδὲ ἐγρηγορὼς οὗτος, ἀλλ' ὕπτιος ἐπ' αὐτοῦ καθεύδων, καὶ Ἀρίων δὲ ὁ ἐπὶ Ταινάρῳ δηλοῖ τοὺς δελφῖνας ἑταίρους τε εἶναι ἀνθρώποις καὶ ᾠδῆς φίλους καὶ οἵους παρατάξασθαι πρὸς λῃστὰς ὑπὲρ ἀνθρώπων καὶ μουσικῆς.

ΣΑΤΥΡΟΙ.

κ'. Κελαιναὶ μὲν τὸ χωρίον, ὅσον αἱ πηγαὶ καὶ τὸ ἄντρον, ἐκποδὼν δὲ ὁ Μαρσύας ἢ ποιμαίνων ἢ μετὰ τὴν ἔριν. μὴ ἐπαίνει τὸ ὕδωρ· καὶ γὰρ εἰ πότιμόν τε καὶ γαληνὸν γέγραπται, ποτιμωτέρῳ ἐντεύξῃ τῷ Ὀλύμπῳ. καθεύδει δὲ μετὰ τὴν αὔλησιν. ἁβρὸς ἐν ἁβροῖς ἄνθεσι συγκεραννὺς τὸν ἱδρῶτα τῇ τοῦ λειμῶνος δρόσῳ, καὶ ὁ ξέφυρος ἐκκαλεῖ αὐτὸν προσπνέων τῇ κόμῃ, ὁ δὲ ἀντιπνεῖ τῷ ἀνέμῳ ἕλκων τὸ ἀπὸ τοῦ στέρνου ἄσθμα, κάλαμοί τε αὐλοῦντες ἤδη παράκεινται τῷ Ὀλύμπῳ καὶ σιδήρια ἔτι, οἷς ἐπιθρύπτονται οἱ αὐλοί. ἐρῶντες δὲ αὐτοῦ σατύρων τις ἀγέλη καταθεῶνται τὸ μειράκιον ἐρυθροὶ καὶ σεσηρότες, ὁ μὲν τοῦ στέρνου θιγεῖν δεόμενος, ὁ δὲ ἐμφῦναι τῇ δέρῃ, ὁ δὲ σπάσαι τι ἐπιθυμῶν φίλημα, ἄνθη τε ἐπιπάττουσι καὶ προσκυνοῦσιν ὡς ἄγαλμα,

1. πρύμνη. br. ib. μονοειδὴς. vd. 2. τοῦ om. br, vd. ib. τῷ μὲν. l. ib. δοκεῖ διείκασται. l. Sc. δοκεῖ διικάσθαι, non, ut o, δοκεῖν διείκασται. διείκασται. ς. ib. φολιδωτή. f, p. φολιδωτός. φ, 2, 3, EJ. ib. τὰς εἰς. br. 3. ἐς πρώραν. 1, 3, E. ἐς τὴν πρώραν 2 praeter p 1760, 2955. ἐς πρύμναν. conj. J. ib. κυμβάλλων. g. ib. αὐτῇ om. m. ib. ἐνηρησμένων. j. ἠρμοσμένων. E. ib. εἰ σάτυροί τε λ. ib. ἀπὸ οἴνου. l. ib. καθεύδοιεν. λ. 4. πλέῃ. 2, γ, ξ. 5. τὸ om. br. ib. ζῷον ἐστὶν. vd. ib. καὶ π. κούφα om. λ. ib. ἴσα. vd. ib. ὁρᾷς οὖν. vd. 6. τὸ om. f. ib. συμπλεούσας — πηδώσας. f, p, vd. συμπλέον — πηδῶν. φ, 2, 3, EJ. 7. οὑτωσί. λ. οὑτοσίν. E. ib. Deleverim ἐκ. ib. ἐκπέφυκε. 1, J. πέφυκε. 2, 3, E. ib. τὰ om. λ. 8. ἐν Τμώλῳ. f, vd, φ. ἐν τῷ Τμώλῳ. ς. 9. τὴν νῦν. l. ib. βότρυς δ' ὑπὲρ — οἴνου. ν. ib. ὑπὲρ τῆς νεώς. ν. 10. αὐτὸ. j. αὐτῶν. γ, g. αὐτῷ. ρ. ib. ἐνδίδοται. λ. ib. ἀλλὰ ἐπὶ τ. m, o. 11. Τυρσηνούς. f. Τυρρηνικούς. p 1761. ib. ἰδέα. vd. 12. θαλάττῃ. h, J. 13. μεταφέρνῳ. gu. ib. οὐρέα. h. 14. τῷ δὲ χειρ. γ, g. 15. An ἐγκελεύει? ib. μὲν ἤδη. λ. 16. οὖν. br, γ, g. ib. οὐδ'. l. 17. ὑπ' αὐτοῦ. f, λ. ἐπ' αὐτῷ. vd, j. αὐτοῦ. l. ib. καὶ om. p. ib. ὁ Ἀρ. p. καὶ ὁ Ἀρ. vd. ib. δὲ ἐπὶ. 2. ib. ἐπὶ Ταινάρῳ. φ. ἐπὶ τῷ T. ς. 18. εἶναι om. vd. ib. ἀνθρώποις. l. τοῖς ἀνθρώποις. ς. ib. ὑπὸ ἀνθρ. γ.

xx. Κελαιναὶ Σάτυροι. γ, g. 20. Κελέναι. l. ib. ἐππηδᾷ δὲ. vd. ib. Μαρσίας. br, g, h. ib. καὶ ποιμαίνων. f. ib. ποιμένων. λ. 21. μὴ ἐπαίνει — Ὀλύμπῳ. ν. ib. πότιμόν τε. ν. πότιμον. ς. ib. γαληνὸν γρ. καλὸν. p 1761. ib. ποτιμώτερος ἐντεύξεται Ὀλυμπίῳ. ν. 22. καὶ ᾠδαὶ δὲ. 1, J. ᾠδαὶ δὲ. 2, 3, E. Sc. καθεύδει δὲ. In h adscriptum margini ἴσως ὅδε. ib. καὶ ἐν ἁβροῖς. h, E. 23. χειμῶνος. C, e, m. λειμῶνος. o, J. 24. ἀναπνεῖ τοῦ ἀνέμου. C, EJ. (τοῦ αἵματος. p 1761.) ἀντιπνεῖ τῷ ἀνέμῳ conj. J. ib. τοῦ αἵματος. p 1761. 25. οἱ ἐπιθρ. γ. ib. ἐπιτροπῶνται velit B. 26. τοῖν στέρνοιν. gu. 27. σπᾶσαι. E.

33, 34. p. 793, 791. l. 20.

ὁ σοφώτατος δὲ αὐτῶν ἔτι θερμοῦ θατέρου τοῦ αὐλοῦ τὴν γλῶτταν ἀνασπάσας ἐσθίει καὶ τὸν Ὄλυμπον οὕτω φιλεῖν οἴεται, φησὶ δὲ καὶ ἀπογεύσασθαι τοῦ πνεύματος.

ΟΛΥΜΠΟΣ.

κα'. Τίνι αὐλεῖς, Ὄλυμπε; τί δὲ ἔργον μουσικῆς ἐν ἐρημίᾳ; οὐ ποιμήν σοι πάρεστιν, οὐκ αἰπόλος, οὐδὲ νύμφαις αὐλεῖς, αἳ καλῶς ἂν ὑπωρχήσαντο τῷ αὐλῷ, μαθὼν δὲ οὐκ οἶδ' ὅ τι χαίρεις τῷ ἐπὶ τῇ πέτρᾳ ὕδατι καὶ βλέπεις ἐπ' αὐτό. τί μετέχων αὐτοῦ; καὶ γὰρ οὔτε κελαρύζει σοι [καὶ] πρὸς τὸν αὐλὸν [ὑποΐσται] οὔτε διαμετροῦμέν σοι τὴν ἡμέραν, οἵ γε βουλοίμεθα ἂν καὶ ἐς νύκτας ἀποτεῖναι τὸ αὔλημα. εἰ δὲ τὸ κάλλος ἀνακρίνεις, τοῦ ὕδατος ἀμέλει, ἡμεῖς γὰρ ἱκανώτεροι λέξαι τὰ ἐν σοὶ ἅπαντα· τὸ μὲν ὄμμά σοι χαροπόν, πολλὰ δὲ αὐτοῦ πρὸς τὸν αὐλὸν τὰ κέντρα, ὀφρὺς δὲ αὐτῷ περιβέβληται διασημαίνουσα τὸν νοῦν τῶν αὐλημάτων, ἡ παρειὰ δὲ πάλλεσθαι δοκεῖ καὶ οἷον ὑπορχεῖσθαι τῷ μέλει, τὸ πνεῦμα δὲ οὐδὲν ἐπαίρει τοῦ προσώπου ὑπὸ τοῦ ἐν τῷ αὐλῷ εἶναι, ἡ κόμη τε οὐκ ἀργὴ οὔτε κεῖται καθάπερ ἐν ἀστικῷ μειρακίῳ λιπῶσα, ἀλλ' ἐγήγερται μὲν ὑπὸ τοῦ αὐχμοῦ, παρέχεται δὲ αὐχμηρὸν οὐδὲν ἐν ὀξείᾳ καὶ χλωρᾷ τῇ πίτυι. καλὸς γὰρ ὁ στέφανος καὶ δεινὸς ἐπιπρέψαι τοῖς ἐν ὥρᾳ, τὰ δὲ ἄνθη παρθένοις ἀναφυέσθω καὶ γυναίοις ἔρευθος ἑαυτὰ ἐργαζέσθω. φημί σοι καὶ τὰ στέρνα οὐ πνεύματος ἔμπλεα εἶναι μόνον, ἀλλὰ καὶ ἐννοίας μουσικῆς καὶ διασκέψεως τῶν αὐλημάτων. μέχρι τούτων σε τὸ ὕδωρ γράφει κατακύπτοντα ἐς αὐτὸ ἀπὸ τῆς πέτρας, εἰ δὲ ἑστηκότα ἔγραφεν, οὐκ ἂν εὐσχήμονα τὰ ὑπὸ τῷ στέρνῳ ἔδειξεν, ἐπιπόλαιοι γὰρ αἱ μιμήσεις τῶν ὑδάτων ὑπὸ τοῦ συνιζάνειν ἐν αὐτοῖς τὰ μήκη. τὸ δὲ καὶ κλύζεσθαί σοι τὴν σκιὰν ἔστω μὲν καὶ παρὰ τοῦ αὐλοῦ τὴν πηγὴν καταπνέοντος, ἔστω δὲ καὶ παρὰ τοῦ ζεφύρου ταῦτα πάντα, δι' ὃν καὶ σὺ ἐν τῷ αὐλεῖν καὶ ὁ αὐλὸς ἐν τῷ πνεῖν καὶ ἡ πηγὴ ἐν τῷ καταυλεῖσθαι. 795

ΜΙΔΑΣ.

κβ'. Καθεύδει ὁ σάτυρος, καὶ ὑφειμένῃ τῇ φωνῇ περὶ αὐτοῦ λέγωμεν, μὴ ἐξεγείρηται καὶ διαλύσῃ τὰ ὁρώμενα. Μίδας αὐτὸν οἴνῳ τεθήρακεν ἐν Φρυγίᾳ περὶ αὐτά, ὡς ὁρᾷς, τὰ ὄρη, τὴν κρήνην οἰνοχοήσας, ἐν ᾗ κεῖται παραβλύζων τοῦ οἴνου ἐν τῷ ὕπνῳ. σατύρων δὲ ἡδὺ μὲν τὸ σφοδρόν, ὅτε ὀρχοῦνται, ἡδὺ δὲ τὸ βωμολόχον, ὅτε μειδιῶσι, καὶ ἐρῶσιν οἱ γενναῖοι καὶ ὑποποιοῦνται τὰς Λυδὰς αἰκάλλοντες αὐτὰς τέχνῃ. κἀκεῖνο αὐτῶν ἔτι· σκληροὶ γράφονται καὶ ἄκρατοι τὸ 796

1. ὁ σοφ. δὲ αὐτῶν om. vd. ib. τοῦ αὐτοῦ. λ. ib. τήν τε. λ. ib. γλῶτταν. 1, μ, br. γλῶσσαν. ς. 2. δὲ ἀπογ. r.

XXI. 3. τίν' αὐλεῖς. vd. ib. οὐ καὶ πόλος. gu. 4. ὑποχωρήσαντο. φ. ὑπωρχήσαιντο. γ. ἀπωρχήσ. ρ pr. m. ib. μαθὼν f et p ante corr. παθὼν. ς. ib. οἶδα. f, p. ib. χαίροις. φ. 5. τῇ om. gu. ib. Fo: ἐς αὐτό. ib. αὐτῷ. j. ib. τί — αὐτοῦ om. br. ib. κελαρίζει. μ, E. ib. σοι om. gu. 6. ὑποΐσται. l, EJ. ὕπο ἔσται sive ὑπο ἔσται. C. In p, β est gl. ὑπήκοον ἔσται. Legerim καὶ γὰρ οὔτε κελαρύζει σοι πρὸς τὸν αὐλὸν om. gl. ὑποΐσται h. e. ὑπήκοον ἔσται et καὶ ante πρὸς, quod adhibitum glossae annectendae. ib. οὔπω διαμ. γ. ib. εἴ γε. p 1761. ib. βουλοίμεθα ἄν. φ, μ, γ, g, gu. βουλοίμεθ' ἄν. ς. ib. Requiritur ἐς νύκτα σε ἀποτεῖναι. 7. καλὸς. gu. 8. ὄμμασι χαρόποις. r. ὁ. χαροπολὸν. br. χαρωπὸν. p. ib. ὀφρῦς. E. 11. τε γὰρ. β. ib. ἐν om. λ. ib. ἀστικῷ. 1. ἀσευκῷ. ς. 12. καλὸς — ἀναφυέσθω. v. καλὸς δὲ — ταῖς ὥραις (Boiss. ὡραίαις.) Aristaenet. I, 3, p. 18 ed. B. 13. δεινοὶ. ψ. ib. ἐπιπρέψαι. 1, j, l, λ, γ ex corr. et emend. Huet. o, J. ἐπιτρέψαι. ρ, gu, v, e. m, Arist. ib. τοὺς. gu. ib. ἀφείσθω. v. ἀναφαινέσθω vd. ante corr. 14. ἔμπλεω. h, E. ib. εἶναι ἔμπλ. j. 15. κατακρύπτοντα. λ. 16. ἔγραψεν. vd. ib. ἐπιπόλαιοι — μήκη. v. 17. ἐμμιμήσεις. λ. ib. ἀπὸ τοῦ. f, vd. ib. ἐν αὐταῖς. l. ib. μήκει. λ. ib. τὸ δὲ καὶ κλύζεσθαι. 1. καὶ om. ς. ib. σοι om. j. 18. ἔστω — καταυλεῖσθαι. v. ib. ζεφύρου. f et p, (ubi γρ. ζωγράφον.) J. ζωγράφου. vd, φ, v, l, 2, 3, E. 19. δι' ὃν σὺ. λ.

XXII. 20. Respicit huc Aristaenet. I, 3, p. 17 ed. B. ib. περὶ αὐτοῦ λέγωμεν. 1. (χρώμεθα. vd.) λέγωμεν περὶ αὐτοῦ. 2, 3, EJ. 21. Μιδ. δὲ. br. ib. τεθάρρηκεν. p, f. ib. ἐν Φρ. ἐλεῖν. f. ib. περὶ αὐτὴν. λ, γ, g, gu. 22. παραυλίζων. λ. 23. ὅτι ὀρχ. vd. ib. ὅτι μ. vd. ib. μειδειῶσι. br. 24. αἰκάλλοντες αὐτὰς. 1, J. αἰκάλλοντες. 2, 3, E. ib. ἐστί. v. ib. σκληροὶ — ὦτα om. gu, ψ.

36. p. 795, 796. 1, 21, 22.

αἷμα καὶ περιττοὶ τὰ ὦτα καὶ κοῖλοι τὸ ἰσχίον, ἀγέρωχοι πάντα καὶ τὸ ἐπὶ τὰ οὐραῖα ἵπποι. τὸ δὲ θήραμα τοῦ Μίδου τοῦτο γέγραπται μὲν ὅσα ἐκεῖνοι, καθεύδει δὲ ὑπὸ τοῦ οἴνου τὸ ἄσθμα ἕλκων ὡς ἐκ μέθης, καὶ ἡ μὲν κρήνη πέποται αὐτῷ ῥᾷον ἢ ἑτέρῳ κύλιξ, αἱ δὲ νύμφαι χορεύουσι τωθάζουσαι τὸν σάτυρον ἐπὶ τῷ καθεύδειν. ὡς ἁβρὸς ὁ Μίδας, ὡς δὲ ῥᾴθυμος! μίτρας ἐπιμελεῖται καὶ βοστρύχου καὶ θύρσον φέρει καὶ στολὴν ἔγχρυσον. ἰδοὺ καὶ ὦτα μεγάλα, ὑφ' ὧν ἡδεῖς οἱ ὀφθαλμοὶ δοκοῦντες ὑπνηλοὶ φαίνονται καὶ μεθέλκουσι τὴν ἡδονὴν ἐς τὸ νωθρὸν αἰνιττομένης σπουδῇ τῆς γραφῆς ἐκμεμηνῦσθαι ταῦτ' ἤδη καὶ διαδεδύσθαι τοῖς ἀνθρώποις ἐν καλάμῳ, μὴ κατασχούσης τῆς γῆς ἃ ἤκουσεν.

ΝΑΡΚΙΣΣΟΣ

κγ'. Ἡ μὲν πηγὴ γράφει τὸν Νάρκισσον, ἡ δὲ γραφὴ τὴν πηγὴν καὶ τὰ τοῦ Νάρκισσου πάντα. μειράκιον ἄρτι θήρας ἀπηλλαγμένον πηγῇ ἐφέστηκεν ἕλκον τινὰ ἐξ αὐτοῦ ἵμερον καὶ ἐρῶν τῆς ἑαυτοῦ ὥρας, ἀστράπτει δέ, ὡς ὁρᾷς, ἐς τὸ ὕδωρ. τὸ μὲν οὖν ἄντρον Ἀχελῴου καὶ νυμφῶν, 797 γέγραπται δὲ τὰ εἰκότα, φαύλου τε γὰρ τέχνης τὰ ἀγάλματα καὶ λίτου ἐντεῦθεν, καὶ τὰ μὲν περιτέτριπται ὑπὸ τοῦ χρόνου, τὰ δὲ βουκόλων ἢ ποιμένων παῖδες περιέκοψαν ἔτι νήπιοι καὶ ἀναίσθητοι τοῦ θεοῦ, καὶ οὐδὲ ἀβάκχευτος ἡ πηγὴ τοῦ Διονύσου οἷον ἀναφήναντος αὐτὴν ταῖς λιναῖς· ἀμπέλῳ γοῦν καὶ κιττῷ ἧρεπται καὶ ἕλιξι καλαῖς καὶ βοτρύων μετέσχηκεν, ὅθεν οἱ θύρσοι. κωμάζουσί τε ἐπ' αὐτῇ σοφοὶ ὄρνιθες, ὡς ἑκάστου ἁρμονία, καὶ ἄνθη λευκὰ τῇ πηγῇ παραπέφυκεν οὔπω ὄντα, ἀλλ' ἐπὶ τῷ μειρακίῳ φυόμενα. τιμῶσα δὲ ἡ γραφὴ τὴν ἀλήθειαν καὶ δρόσου τι λείβει ἀπὸ τῶν ἀνθέων, οἷς καὶ μέλιττα ἐφιζάνει τις, οὐκ οἶδα εἴτ' ἐξαπατηθεῖσα ὑπὸ τῆς γραφῆς, εἴτε ἡμᾶς ἐξηπατῆσθαι χρὴ εἶναι αὐτήν. ἀλλ' ἔστω. σὲ μέντοι, μειράκιον, οὐ γραφή τις ἐξηπάτησεν, οὐδὲ χρώμασιν ἢ κηρῷ προστέτηκας, ἀλλ' ἐκτυπωσάν σε τὸ ὕδωρ, οἷον εἶδες αὐτό, οὐκ οἶσθα, οὔτε τὸ τῆς πηγῆς ἐλέγχεις σόφισμα, νεῦσαι δέον καὶ παρατρέψαι τοῦ εἴδους καὶ τὴν χεῖρα ὑποκινῆσαι καὶ μὴ ἐπὶ ταὐτοῦ ἑστάναι, σὺ δ', ὥσπερ ἑταίρῳ ἐντυχὼν τἀκεῖθεν περιμένεις. εἰτά σοι ἡ πηγὴ μύθῳ χρήσεται; οὗτος μὲν οὖν οὔτ' ἐπαίει τι ἡμῶν, ἀλλ' ἐμπέπτωκεν ἐπὶ τὸ ὕδωρ αὐτοῖς ὠσὶ καὶ αὐτοῖς ὄμμασιν, αὐτὸ δὲ ἡμεῖς, ὥσπερ γέγραπται, λέγωμεν. ὀρθὸν ἀναπαύεται ἐναλλάξαν τῷ πόδε τὸ μειράκιον καὶ [τὴν χεῖρα] ὑπέχον πεπηγότι τῷ ἀκοντίῳ ἐν ἀριστερᾷ, ἡ δεξιὰ δὲ πε-

1. καὶ περιττοὶ. 1, J. περιττοὶ. 2, 3. E. ib. τῇ οὐραίᾳ. 1. τὸ οὐραῖα. gu. 3. κίλιξ. br. ib. ὁ δὲ νύμφαι. vd. 4. τὴν σάτυρον. φ. ib. ὡς ἁβρὸς — βοστρύχου. ν. ib. ὡς ῥᾴθυμος. ν. 7. ἐκμεμηνύσθαι. EJ. ib. διαδίδοσθαι. br. ib. μὴ om. f, φ, et vd. pr. m.

xxii. 9. ἡ δὲ γραφὴ. f, p, J, Aristaenet. II, 10, 158 ed. B. ubi legitur ἡ μὲν γὰρ πηγὴ γράφει τὸν Νάρκισσον, ἡ δὲ γραφὴ καὶ τὴν πηγὴν καὶ τὸν Νάρκισσον οἷον διψῶντα τοῦ κάλλους. (vid. finem hujus imaginis.) ἡ γραφὴ δὲ. φ, 2, 3, E. ib. τὴν πηγὴν. f, p. καὶ τὴν πηγὴν. 2, 3, EJ. ib. τὰ Νάρκισσου. l, j. 10. Θύρας. gu. ib. ἐξ αὐτοῦ. μ, p 1761. ἐξ αὐτοῦ. ς. 11. τῆς ἑαυτοῦ. 1, J. τῆς αὐτοῦ. 2, (αὐτοῦ. μ.) 3, E. ib. ἐς. φ. 12. φαύλης. j. φατ-

η

λους. br. sic. rec. corr. ib. ἄγαλμα. gu. ib. Fo: τοῦ ἐντεῦθεν. 13. καὶ ποιμένων. λ, p 1761. ποιμαίνων. ε, m. ib. παῖδας. gu. 14. θεοῦ· οὐδὲ. 2. ib. ἀναφήσαντος. γ. ib. ληναῖς. l, o, J. ληνοῖς. ς. 15. οὖν. φ. ib. κατέσχηκεν. λ. ib. ἕλιξ. λ. 16. κωμάζουσι — ἁρμονία. ν. ib. ἐπ' αὐτῆς. 2. ib. περιπέφυκεν. f. 17. τιμῶσα — ἀνθέων. ν. ib. τὸ λείβειν. ν. τι om. vd. 18. οἶδα. 1. οἶδ'. ς. 19. ἠπατῆσθαι. j. ἐξαπατεῖσθαι. E unde ἐξαπατᾶσθαι Huet. ἐξαπατῆσθαι. p 1761. ib. αὐτήν· εἶτα σὲ μὲν. 2. ib. ἑστὼ. gu. ib. σὲ μὲν τὸ μ. C. (praeter γ, ubi σὲ μὲν, ὦ μειράκιον et g, ubi σὲ μὲν τὸ suprasc. ὦ.) EJ. Sc: σὲ μέντοι, μειράκιον. 20. ἐκτυπῶσάν με τὸ ὕδωρ. j, λ. ib. εἶδος. γ. g. 21. ἐλέγχεις. f, p, J. ἐλέγχει. φ et vd. ante corr. ἐλέγχειν. vd. corr. 2, 3, E. ib. νεῦσαι δὲ. 1. (vd. pr. m.) τεῦσαι τε. vd, sec. m. 2, 3, EJ. Sc: νεῦσαι δέον. ib. περιτρέψαι. vd. pr. m. 22. σὺ — χρήσεται. ν. ib. σὺ δὲ. 2. ib. ἐντυχὼν ἑταίρῳ. ν. ib. τακεῖ. f. ib. εἴ τι σοι. J. 23. οὔτε πλίει. λ. Fo: οὐδ' ib. ὑμῶν. br. ib. ἐμπέπτωκεν om. ν. ἐπιπέπτωκεν. γ, g. 24. αὐτὸ δὲ ἡμεῖς. f, p. An αὐτοὶ δὲ ἡμεῖς? ἡμεῖς δὲ αὐτὸ. φ, vd, 2, 3, EJ. (αὐτὰ. j.) ib. ἐναλλάξαν. 1, 3. ἐναλλὰξ. 2, EJ. 25. τὸ μειράκιον ἐναλλάξαν. vd. ib. τὸ μειράκιον om. 2, 3, E. ib. ὑπέχον. 2, l, j, p 1698. h, γ, g, gu, ε. ὑπέχων. λ, ρ, p 2561. ἐπέχον. 1, m, o, J. Verba τὴν χεῖρα uncis inclusi. ib. ἡ δεξιὰ δὲ. 1. ἡ δὲ δεξιὰ. 2, 3, EJ. (ἡ δεξιὰ. λ, g.)

36, 37. p. 797. l, 23.

ρηκται ἐς τὸ ἰσχίον ἀνασχεῖν τε αὐτὸν καὶ σχῆμα πράττειν ἐκκειμένων τῶν γλουτῶν διὰ τὴν τῶν ἀριστερῶν ἔκκλισιν. δεικνύει δὲ ἡ χεὶρ ἀέρα μέν, καθ' ὃ κυρτοῦται ὁ ἀγκών, ῥυτίδα δὲ καθ' ὃ στρεβλοῦται ὁ καρπὸς καὶ σκιὰν παρέχεται συνιζάνουσα ἐς τὸ θέναρ, λοξαὶ δ' αἱ ἀκτῖνες τῆς σκιᾶς 798
διὰ τὴν ἔσω ἐπιστροφὴν τῶν δακτύλων. τὸ δὲ ἐν τῷ στέρνῳ ἄσθμα οὐκ οἶδα εἴτε κυνηγετικὸν ἔτι, εἴτε ἤδη ἐρωτικόν· τό γε μὴν ὄμμα ἱκανῶς ἐρῶντος, τὸ γὰρ χαροπὸν αὐτοῦ καὶ γοργὸν ἐκ φύσεως 5
πραύνει τις ἐφιζάνων ἵμερος, δοκεῖ δ' ἴσως καὶ ἀντερᾶσθαι, βλεπούσης αὐτὸν τῆς σκιᾶς, ὡς παρ' αὐτοῦ ὁρᾶται. πολλὰ καὶ περὶ τῆς κόμης ἐλέχθη ἄν, εἰ θηρῶντι αὐτῷ ἐνετύχομεν, μυρίαι γὰρ αὐτῆς αἱ κινήσεις ἐν τῷ δρόμῳ, καὶ μᾶλλον, ἐπειδὰν ὑπὸ ἀνέμου τινὸς ἔμπνους γένηται, τύχοι
38 δ' ἂν καὶ νῦν λόγου· ἀμφιλαφοῦς γὰρ οὔσης αὐτῆς καὶ οἷον χρυσῆς τὸ μὲν οἱ τένοντες ἐφέλκονται, τὸ δ' ὑπὸ τῶν ὤτων κρίνεται, τὸ δὲ τῷ μετώπῳ ἐπισαλεύει, τὸ δὲ τῇ ὑπήνῃ ἐπιρρεῖ. ἴσοι 10
τε ἄμφω οἱ Νάρκισσοι τὸ εἶδος ἴσον ἐμφαίνοντες ἀλλήλων, πλὴν ὅσον ὁ μὲν ἔκκειται τοῦ ἀέρος, ὁ δὲ τὴν πηγὴν ὑποδέδυκεν. ἐφέστηκε γὰρ τὸ μειράκιον ὕδατι ἑστῶτι, μᾶλλον δὲ ἀτενίζοντι ἐς αὐτὸ καὶ οἷον διψῶντι τοῦ κάλλους.

ΤΑΚΙΝΘΟΣ.

κδ'. Ἀνάγνωθι τὴν ὑάκινθον, γέγραπται γάρ, καὶ φησιν ἀναφῦναι τῆς γῆς ἐπὶ μειρακίῳ καλῷ, καὶ θρηνεῖ αὐτὸ ἅμα τῷ ἦρι, γένεσιν, οἶμαι, παρ' αὐτοῦ λαβοῦσα, ὅτε ἀπέθανε, καὶ μή σε 15
λειμὼν ἀναβάλῃ τοῦτο, καὶ γὰρ ἐνταῦθα ἐκπέφυκεν, ὁποία τῆς γῆς ἀνέσχε. λέγει δὲ ἡ γραφὴ καὶ ὑακινθίνην εἶναι τῷ μειρακίῳ τὴν κόμην, καὶ τὸ αἷμα ἔμβιον τῇ γῇ πινόμενον ἐς οἰκεῖόν τι χρῶσαι τὸ ἄνθος. ῥεῖ δὲ ἀπ' αὐτῆς τῆς κεφαλῆς, ἐμπεπτωκότος αὐτῇ τοῦ δίσκου. δεινὴ μὲν ἡ διαμαρτία καὶ οὐδὲ πιστὴ λέγεσθαι κατὰ τοῦ Ἀπόλλωνος, ἐπεὶ δὲ οὐ σοφισταὶ τῶν μύθων ἥκομεν, 20
οὐδὲ ἀπιστεῖν ἕτοιμοι, θεαταὶ δὲ μόνον τῶν γεγραμμένων, ἐξετάσωμεν τὴν γραφήν, καὶ πρῶτόν γε τὴν βαλβῖδα τοῦ δίσκου. βαλβῖς διακέχωσται μικρὰ καὶ ἀποχρῶσα ἐνὶ ἑστῶτι, ᾗ δὴ τὸ κατόπιν 799
καὶ τὸ δεξιὸν σκέλος ἀνέχουσα πρανῆ τὰ ἔμπροσθεν ἐργάζεται καὶ κουφίζουσα θάτερον τοῖν σκελοῖν, ὃ χρὴ συναναπάλλεσθαι καὶ συμπορεύεσθαι τῇ δεξιᾷ. τὸ δὲ σχῆμα τοῦ δίσκου ἀνέχοντος
39 ἐξαλλάξαντα τὴν κεφαλὴν ἐπὶ δεξιὰ χρὴ κυρτοῦσθαι τοσοῦτον, ὅσον ὑποβλέψαι τὰ πλευρὰ καὶ ῥιπτεῖν, οἷον ἀνιμῶντα καὶ προσεμβάλλοντα τοῖς δεξιοῖς πᾶσι. καὶ ὁ Ἀπόλλων οὕτω πως ἐδίσκευσεν, 25
οὐ γὰρ ἂν ἄλλως ἀφῆκεν, ἐμπεσὼν δὲ ὁ δίσκος ἐς τὸ μειράκιον τὸ μὲν κεῖται ἐπ' αὐτοῦ γε τοῦ δίσκου — Λακωνικὸν τὸ μειράκιον καὶ τὴν κνήμην ὀρθὸν καὶ δρόμων οὐκ ἀγύμναστον καὶ βραχίονα

1. ἀνανσχεῖν. f. ib. αὐτὸ. 2. ib. γλουττῶν. br. ib. εἰς τὴν. vd. 2. ἔγκλισιν. λ. ἔκλισιν. γ. ib. ῥυτίδα. 1. ῥυτίδας. 2, 3, EJ. ib. καθὸ. vd. 3. συνιζάνουσα. f, φ et p pr. m, J. συνιζάνουσαν. ς. ib. λοξαὶ δὲ. λ. ib. αἱ om. f, vd, 2. 4. ἔσω. p. εἴσω. ς. ib. οὔτε κυνηγ. λ. 5. ζωτικὸν. f. ib. μὲν. o. ib. καὶ om. o. 6. ἀπ' αὐτοῦ. f, φ, vd. 7. ἐρᾶται. μ, h, ε, m. ib. ἐλέγχθη. j. ib. θυρῶντι. p. ib. ἐντύχομεν. gu. ἐνετύχωμεν. λ. 8. ἐπειδὴ. o. ib. γίνηται. l. 9. λόγου νῦν. φ, vd. 10. νώτων. gu. ib. ἴσοι. J conj. εἰσί. C, E. τε. 1. δὲ. 2, 3, EJ. 11. ἴσα. p, φ. ἴσα. f, vd. ἴσον. 2, 3, EJ. ib. ἔγκειται. φ. 13. ἐρῶντι. l. οἷον διψῶντι τοῦ κάλλους Aristaenet. II, 10, 158 ed. B.

xxiv. 14. τὸν. f. 15. γενεὴν. 1. (vd. ex corr. sec. m. γένεσιν habet.) ib. ὅτι. β. 16. χειμὼν. λ. ib. ἀναβάλλῃ. φ. ib. ὀπρῖα. β. ι

17. ὑακινθύνην. μ. ib. ἔμβριον. φ, br, j. ἔμβρυον. vd. ib. γινόμενον. 1. (in vd. legitur ἐν ἄλλῳ· ἔμβιον τῇ γῇ πινομενον. sec. m.) ib. καὶ οἰκεῖον. λ. 18. αὐτοῦ τοῦ. 2. (fe.) ib. δεινὴ — γραφὴν. v. ib. δεινὴ δὲ. p, μ. δεινὴ καὶ. vd. ib. ἁμαρτία. v. 19. λέγεσθαι. v. λέγεται. ς. 20. τῶν γεγραμμένων μόνων. β. ib. δαιμόνων. gu. 21. βαλβίδα. gu, J. βαλβίδα. ς. ib. διακεχώρισται. vd, μ et h pr. m. δὲ ἀκέχωσται. p 2706. ib. εἰ μὴ τὸ. f, p et vd, ubi mg. ἡ δὴ εἰ μὲν sec. m. 22. δεξιὸς. λ. ib. τὴν ἐμπρ. suprasc. τὰ rec. m. br. ib. ἐργάζεται om. f et vd. pr. m. 23. συναναπάλλεσθαι. φ, 2, εφέλλεσθαι.

fe, ψ, β, j, γ, g, gu. J. συναναβάλλεσθαι. f et π suprasc. p. συναποβάλλεσθαι. vd. συναπάλλεσθαι. ρ. συνεφαλέσθαι. l. συνεφάλεσθαι. E. ib. δίσκον. φ ut J conj. et anonym. in a Bern. δίσκου. ς. 24. ἐπιδεξιὰ. j, J. ib. κυρτοῦσθαι. 1, J. κιρτοῦν. l. κυρτοῦν. ς. ib. τόσον. p. ib. γρ. ὅσον ὑποκλέψαι anonym. in a Bern. 25. οἷς ἀνιμῶνται. vd. ib. προσεμβαλλόντα. p. ib. καὶ — ἀφῆκεν. v. ib. οὕτω πῶς. a2, i2, m, o. ib. ἐδίσκευσεν. λ. 26. ἂν om. β. ib. τὸ μὲν — τὸ om. v. 26. καὶ ἐπ'. p. ib. ὑπ' αὐτοῦ. m, o. ib. τε τοῦ. f. vd. 27. τὸ om. 1, J. ib. δρόμον et ω suprasc. g. δρόμου. m, o.

38, 39. p. 198, 199. 1, 24.

ὑπεγεῖρον ἤδη καὶ τὴν ὥραν τῶν ὀστῶν ὑπεκφαῖνον — ἀπέστραπται δὲ ὁ Ἀπόλλων ἔτι ἐφεστηκὼς τῇ βαλβίδι καὶ κατὰ γῆς βλέπει. πεπηγέναι φήσεις αὐτόν, τοσοῦτον αὐτῷ τῆς ἐκπλήξεως ἐμπέπτωκεν. ἀμαθὴς γε ὁ Ζέφυρος νεμεσήσας αὐτῷ καὶ τὸν δίσκον ἐς τὸ μειράκιον ἐπαφεὶς, καὶ γέλως δοκεῖ τῷ ἀνέμῳ ταῦτα καὶ τωθάζει περιωπὴν ἔχων. ὁρᾷς δέ, οἶμαι, αὐτὸν ἐν πτηνῷ τῷ κροτάφῳ καὶ ἁβρῷ τῷ εἴδει, καὶ στέφανον φέρει πάντων ἀνθέων, μικρὸν δὲ ὕστερον καὶ τὴν ὑάκινθον αὐτοῖς ἐμπλέξει.

ΑΝΔΡΙΟΙ.

κε'. Τὸ τοῦ οἴνου ῥεῦμα τὸ ἐν Ἄνδρῳ τῇ νήσῳ καὶ οἱ μεθύοντες τοῦ ποταμοῦ Ἄνδριοι λόγος εἰσὶ τῆς γραφῆς. Ἀνδρίοις γὰρ δὴ ἐκ Διονύσου ἡ γῆ ὕποινος ῥήγνυται καὶ ποταμὸν αὐτοῖς ἀναδίδωσιν, εἰ μὲν ἐνθυμηθείης ὕδωρ, οὔπω μέγαν, εἰ δὲ οἶνον, μέγας ὁ ποταμὸς καὶ θεῖος· ἔστι γὰρ τούτου ἀρυσαμένῳ Νείλου τε ὑπεριδεῖν καὶ Ἴστρου, καί που καὶ φάναι περὶ αὐτῶν, ὅτι κἀκεῖνοι βελτίους ἂν ἐδόκουν ὀλίγοι μέν, ἀλλὰ τοιοῦτοι ῥέοντες. καὶ ᾄδουσιν, οἶμαι, ταῦτα γυναίοις ἅμα καὶ παιδίοις ἐστεφανωμένοι κιττῷ τε καὶ σμίλακι, καὶ οἱ μὲν χορεύοντες ἐφ' ἑκατέρας ὄχθης, οἱ δὲ κατακείμενοι. εἰκὸς δέ που κἀκεῖνα εἶναι τῆς ᾠδῆς, ὡς δόνακα μὲν Ἀχελῷος, Πηνειὸς δὲ Τέμπη φέρει, Πακτωλὸς δὲ ἄνθη λοιπόν, οὗτοσὶ δὲ ὁ ποταμὸς πλουσίους τ' ἀποφαίνει καὶ δυνατοὺς τὰ ἐν ἀγορᾷ καὶ ἐπιμελεῖς τῶν φίλων καὶ καλοὺς καὶ τετραπήχεις ἐκ μικρῶν, ἔστι γὰρ κορεσθέντι αὐτοῦ συλλέγεσθαι ταῦτα καὶ ἐσάγεσθαι ἐς τὴν γνώμην. ᾄδουσι δέ που, ὅτι μόνος ποταμῶν οὗτος μήτε βουκολίοις ἐστὶ βατὸς μήθ' ἵπποις, ἀλλ' οἰνοχοεῖται μὲν ἐκ Διονύσου, πίνεται δὲ ἀκήρατος μόνοις ἀνθρώποις ῥέων. ταυτὶ μὲν ἀκούειν ἦγον καὶ ᾀδόντων αὐτὰ ἐνίων κατεψελλισμένων τὴν φωνὴν ὑπὸ τοῦ οἴνου. τὰ δὲ ὁρώμενα τῆς γραφῆς· ὁ μὲν ποταμὸς ἐν βοτρύων εὐνῇ κεῖται τὴν πηγὴν ἐκδιδοὺς ἄκρατός τε καὶ ἐργῶν τὸ εἶδος, θύρσοι δ' αὐτῷ παραπεφύκασι, καθάπερ οἱ κάλαμοι τοῖς ὕδασι, παραμείψαντι δὲ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ ταῦτα συμπόσια Τρίτωνες ἤδη περὶ τὰς ἐκβολὰς ἁπαντῶντες ἀρύονται κόχλοις τοῦ οἴνου, καὶ τὸ μὲν πίνουσιν αὐτοῦ, τὸ δ' ἀναφυσῶσιν, εἰσὶ δ' οἳ καὶ μεθύουσι τῶν Τριτώνων καὶ ὀρχοῦνται. πλεῖ καὶ ὁ Διόνυσος ἐπὶ κῶμον τῆς Ἄνδρου καὶ καθώρμισται μὲν ἡ ναῦς ἤδη, σατύρους δὲ ἀναμίξ καὶ ληνὰς ἄγει καὶ Σειληνούς· οἱ τὸν Γέλωτά τε ἄγει καὶ τὸν Κῶμον ἱλαρωτάτω καὶ ξυμποτικωτάτω δαίμονε, ὡς ἥδιστα ὁ ποταμὸς αὐτῷ τρυγῷτο.

1. ἐπεγεῖρον. φ. ib. ὁ om. f. ib. ἐφεστηκὼς. l. ἐφεστὼς. ς. 2. βαλβῖδι. gu, J. βαλβίδι. ς. ib. βλέπει om. br. ib. ἐκπέπτωκεν. br. 3. καὶ νεμεσ. br, fe. ib. ὡς τὸ μ. f, p. ib. παρεὶς. f, p et vd, ubi sec. m. ἐπαφεὶς. 4. αὐτὸ. 2. καὶ αὐτὸν. β. 5. ἀνδρῷ. g. ἀδρῶ. β, gu. ἀδρῷ.λ. ib. ἀπάντων. fe. ib. τὸν ὑακ. f, p.

xxv. 8. καὶ ποταμὸν — ῥέοντες. v. ib. αὐτῆς. f. 9. μέγα. 1. ib. ὁ μέγας ποτ. br. 10. ἀρρυσαμένῳ. φ. ἀρυσαμένου. f, v. ib. καί που καὶ. v. καί που. ς. 11. ὀλίγον — τοιοῦτο. 2 praeter p 1760. 12. ἐπ' ἑκατέρας. o. ib. ὄχθης. 1, l, λ, γ, g. τῆς ὄχθης. ς. 13. κατακείμενοι φαίνονται. λ. ib. Ἀχελῶνος. br. 14. οὗτοσὶ δ' ὁ ποταμὸς πλουσίους ἀποφαίνει καὶ καλοὺς — μικρῶν. v. ib. δὲ ὁ π. CJ. δ' ὁ π. E. ib. ποταμὸς πλουσίους τ' ἀποφαίνει καὶ δυνατοὺς τὰ ἐ. ἀγ. f, p, φ. ποταμὸς δυνατούς τε ἀποφαίνει τὰ ἐ. ἀγ. καὶ πλουσίους. 2, 3, EJ. ποτ. δ. τ. ἀποφ. τοὺς ἐν ἀγ. καὶ πλ. vd. 15. μικροῦ. vd. ib. κορεσθέντας. vd. 16. ἐσάγεσθαι ἐς. f, φ, J. 17. ἄκρατος. vd. 18. καὶ ἐψιλισμένων malit J. 19. τὰ δὲ — κεῖται. v. ib. τὰ μὲν ὁρ. f. τὰ ὁρ. eraso δὲ p. τὰο'ρ. vd. 20. γε καὶ. f, p ib. αὐτὸν. f. ib. περιπεφύκασι. 1. ib. καθάπαξ. 1, m. 21. ταῦτα τὰ. br. 22. ἁπατῶντες. l. ἀπαντῶντι. 2 (in br. corr. sec. m.) ib. ἀρύτονται. h. ib. ἀναφυσῶσι. e. 23. Τριτόνων. λ. ib. τοῦ Ἄνδρου. vd. ib. ὁ om. f et p. pr. m. 24. Ἄνδρου κεκόμισται. p 1760. καθόρμισται. m, o. ib. ληνὰς. p 1761, ut conj. o, J. ληναίους. ς. ib. Σειληνὸς s. Σειληνοὺς ὅσοι. 1. Σειληνοὺς. ς. Inde feci Σειληνός, ὅς οἱ τὸν. 25. ἱλαρωτάτῳ καὶ ξυμποτικωτάτῳ δαίμονι. f. ib. ἥδιστ' ἂν. vd.

40. p. 800. l. 25.

ΕΡΜΟΥ ΓΟΝΑΙ.

κς'. Ὁ κομιδῇ παῖς ὁ ἔτι ἐν σπαργάνοις, ὁ τὰς βοῦς ἐς τὸ ῥῆγμα τῆς γῆς ἐλαύνων, ἔτι
11 κἀκεῖνος ὁ συλῶν τοῦ Ἀπολλωνος τὰ βέλη Ἑρμῆς οὗτος. μάλα ἡδεῖαι αἱ κλοπαὶ τοῦ θεοῦ· φασὶ
γὰρ τὸν Ἑρμῆν, ὅτε τῇ Μαίᾳ ἐγένετο, ἐρᾶν τοῦ κλέπτειν καὶ εἰδέναι τοῦτο οὔτι πω ταῦτα πενίᾳ
δρῶν ὁ θεός, ἀλλ' εὐφροσύνῃ διδοὺς καὶ παίζων. εἰ δὲ βούλει καὶ ἴχνος αὐτοῦ κατιδεῖν, ὅρα τὰ
ἐν τῇ γραφῇ· τίκτεται μὲν ἐν κορυφαῖς τοῦ Ὀλύμπου, κατ' αὐτὸ ἄνω τὸ ἕδος τῶν θεῶν, ἐκεῖ δὲ 5 801
Ὅμηρος οὔτε ὄμβρων αἰσθάνεσθαί φησιν οὔτε ἀνέμων ἀκούειν, ἀλλ' οὐδὲ χιόνι βληθῆναί ποτε
αὐτὸ δι' ὑπερβολήν, εἶναι δὲ θεῖον ἀτεχνῶς καὶ ἐλεύθερον ἁπάντων παθῶν, ὧν μετέχει τὰ τῶν
ἀνθρώπων ὄρη. ἐνταῦθα τὸν Ἑρμῆν ἀποτεχθέντα Ὧραι κομίζονται. γέγραφε κἀκείνας, ὡς ὥρα
ἑκάστης, καὶ σπαργάνοις αὐτὸν ἀμπίσχουσιν ἐπιπάττουσαι τὰ κάλλιστα τῶν ἀνθέων, ὡς μὴ ἀσή-
μων τύχῃ τῶν σπαργάνων, καὶ αἱ μὲν ἐπὶ τὴν μητέρα τοῦ Ἑρμοῦ τρέπονται λεχὼ κειμένην, ὁ δ' 10
ὑπεκδὺς τῶν σπαργάνων ἤδη βαδίζει καὶ τοῦ Ὀλύμπου κάτεισι. γέγηθε δὲ αὐτῷ τὸ ὄρος, τὸ γὰρ
μειδίαμα αὐτοῦ οἷον ἀνθρώπου. νόει δὲ τὸν Ὄλυμπον χαίροντα, ὅτι ὁ Ἑρμῆς ἐκεῖ ἐγένετο. τίς
οὖν ἡ κλοπή; βοῦς νεμομένας ἐν τῷ τοῦ Ὀλύμπου πρόποδι, ταύτας δήπου τὰς χρυσόκερως καὶ
ὑπὲρ χιόνα λευκάς, ἀνεῖνται γὰρ τῷ Ἀπόλλωνι, ἄγει στροβῶν ἐς χάσμα τῆς γῆς, οὐχ ὡς ἀπόλοιντο,
ἀλλ' ὡς ἀφανισθεῖεν ἐς μίαν ἡμέραν, ἔστ' ἂν τὸν Ἀπόλλω δάκῃ τοῦτο, καὶ ὡς οὐδὲν μετὸν αὐτῷ 15
τοῦ γεγονότος ὑποδύεται τὰ σπάργανα. ἥκει καὶ ὁ Ἀπόλλων παρὰ τὴν Μαῖαν ἀπαιτῶν τὰς βοῦς,
ἡ δὲ ἀπιστεῖ καὶ ληρεῖν οἴεται τὸν θεόν. βούλει μαθεῖν, ὅ τι καὶ λέγει; δοκεῖ γάρ μοι μὴ φωνῆς
μόνον, ἀλλὰ καὶ λόγου τι ἐπιδηλοῦν τῷ προσώπῳ, ἔοικεν ὡς μέλλων πρὸς τὴν Μαῖαν λέγειν
12 ταῦτα· ἀδικεῖ με ὁ σὸς υἱός, ὃν χθὲς ἔτεκες, τὰς γὰρ βοῦς, αἷς ἔχαιρον, ἐμβέβληκεν ἐς τὴν γῆν,
οὐκ οἶδ' ὅποι τῆς γῆς. ἀπολεῖται δὴ καὶ ἐμβεβλήσεται κατωτέρω πρὸ τῶν βοῶν. ἡ δὲ θαυμάζει καὶ 20
οὐ προσδέχεται τὸν λόγον. ἔτ' αὐτῶν ἀντιλεγόντων ἀλλήλοις ὁ Ἑρμῆς ἵσταται κατύπιν τοῦ Ἀπόλ-
λωνος καὶ κούφως ἐπιπηδήσας τοῖς μεταφρένοις ἀψοφητὶ λύει τὰ τόξα καὶ συλῶν μὲν διέλαθεν,
οὐ μὴν ἠγνοήθη σεσυληκώς. ἐνταῦθα ἡ σοφία τοῦ ζωγράφου· διαχεῖ γὰρ τὸν Ἀπόλλω καὶ ποιεῖ
χαίροντα, μεμέτρηται δὲ ὁ γέλως, οἷος ἐφιζάνων τῷ προσώπῳ θυμὸν ἐκνικώσης ἡδονῆς.

ΑΜΦΙΑΡΕΩΣ.

κξ'. Τὸ τοῖν δυοῖν ἅρμα ἵπποιν, τὸ γὰρ ἐπὶ τεττάρων οὔπω τοῖς ἥρωσι διὰ χειρὸς ἦν, εἰ 25 802
μὴ ἄρα Ἕκτορι τῷ θρασεῖ, φέρει τὸν Ἀμφιάρεων ἐκ Θηβῶν ἐπανιόντα, ὁπότε αὐτῷ ἡ γῆ λέγεται
διασχεῖν, ὡς μαντεύοιτο ἐν τῇ Ἀττικῇ καὶ ἀληθεύοι σοφὸς ἐν πανσόφοις. ἑπτὰ οὗτοι Πολυνείκει

XXVI. 1. ὁ ante κομιδῇ om. b, gu. 2. τοῦ Ἀπ. τὰ βέλη l. τὰ βέλη τοῦ Ἀπ. ς. ib. μάλιστα. br. μέγα ἤδη αἱ κλ. φ. ἡδεῖαι κλοπαί. vd. 3. οὔτι πω. f, λ. οὔτι που. ς. 4. Fo: κατ' ἴχνος αὐτὸν κατιδεῖν. ib. τὰ τῆς γραφῆς. gu. 5. κορυφαῖς. 1. κορυφῇ. 2, 3, EJ. ib. κατ' αὐτὸ τὸ ἀ. ἐ. p 2562. ἄνω κατ' αὐτὸ τὸ ἕδος. vd. 6. ὄμβρον. i2, m, o. ὄμβρῶν. (sic) p. ib. οὔτε. J. ib. ποτε αὐτὸ. 1, J. αὐτό ποτε. 2, 3, E. 7. ἁπάντων. 1, J. πάντων. 2, 3, E. 9. ἑκάστη. λ. ib. ἐπιτάττουσαι κάλλιστα. φ. 10. τύχοι εἰ η suprasc. g. ib. καὶ αἱ μὲν — σπαργάνων om. λ. ib. λεχὼ. 2, g, γ, gu, J. λεχῶ et suprasc. ει. ψ. λέχει et γρ. λεχὼ. p 1761, β. λέχει. 1. 11. τῶν σπαργάνων om. f. ib. ὁ δὲ. μ. ib. αὐτὸ τὸ ὄρος. λ. 13. τῷ Ὀλ. j. ib. ταύτας δὴ τὰς. vd, μ. 14. δὲ τῷ. j. ib. στροβῶν. f, et p, (ubi γρ. σοβῶν.) φ (ubi γρ. καὶ σοβῶν.) σοβῶν. vd, 2, 3, EJ. ib. οὐχ ὡς — ἡμέραν. Θ. s. v. ἀφανίζεται. ib. ἀπόλλοιντο. E. ib. ὡς om. f. 15. ἐς τοῦτο. gu. ib. Ἀπόλλωνα. λ. ib. μὲν τὸν. r. μεστὸν. φ, gu. 17. γάρ μοι. 1. γὰρ. 2, 3, EJ. 18. μέλ-
οι
λον. λ. 19. ἐμβέβληκεν. corr. rec. m. br. 20. ὁπη. f, p, λ, J. ὅπη. φ. ὅποι. 2, E. ib. ἀπολεῖται δὲ. p. ib. ἐμβλήσεται. gu. κατοτέρω καὶ πρὸ. vd. 21. προάρχεται. f. 23. διηχεῖ. ψ. ib. Ἀπόλλω. 1. Ἀπόλλωνα. 2, 3. EJ. 24. οἷον. φ, vd. ib. ἐφιζάνων. f, p. ἐφιζάνειν. vd, φ. 2, ϱ, E. ἐφιζάνει. λ, gu, h, J. ib. Respicit haec Isid. Pel. V. 192. p. 617. A. ib. ὡς νικώσης. vd.

XXVII. Inscr. in μ, g: Ἀμφιάραος δύων κατὰ γῆς. 25. τοῖν om. λ. τῶν δυοῖν. vd. ib. ἀπὸ τεττάρων. γ. ib. ἦν om. o. 26. αὐτῷ ἡ γῆ λέγεται. f, p. ἡ γῆ λέγ. αὐτῷ. ς. 27. ἀληθεύει. γ, λ. ib. ἐν σοφοῖς. λ. ἐπ' ἀσόφοις. vd.

τῷ Θηβαίῳ τὴν ἀρχὴν κατακτώμενοι οὐδεὶς ἐνόστησε πλὴν Ἀδράστου καὶ Ἀμφιάρεω, τοὺς δὲ λοιποὺς ἡ Καδμεία κατέσχεν. ἀπώλοντο δὲ οἱ μὲν ἄλλοι δόρασι καὶ λίθοις καὶ πελέκεσι, Καπανεὺς δὲ λέγεται κεραυνῷ βεβλῆσθαι, πρότερος, οἶμαι, κόμπῳ βαλὼν τὸν Δία. οὗτοι μὲν οὖν ἑτέρου λόγου, κελεύει δὲ ἡ γραφὴ βλέπειν ἐς μόνον τὸν Ἀμφιάρεων φεύγοντα κατὰ τῆς γῆς αὐτοῖς στέμμασι καὶ αὐτῇ δάφνῃ, καὶ οἱ ἵπποι λευκοὶ καὶ ἡ δίνη τῶν τροχῶν σπουδῆς ἔμπλεως καὶ τὸ ἆσθμα τῶν ἵππων ἀπὸ παντὸς τοῦ μυκτῆρος, ἀφρῷ δὲ ἡ γῆ διέρρανται καὶ ἡ χαίτη μετακλίνεται, διαβρόχοις τε ὑπὸ ἱδρῶτος οὖσι περίκειται λεπτὴ κόνις ἧττον μὲν καλοὺς ἀποφαίνουσα τοὺς ἵππους, ἀληθεστέρους δέ. ὁ δὲ Ἀμφιάρεως τὰ μὲν ἄλλα ὥπλισται, μόνου δὲ ἀμελεῖ κράνους ἀνιεὶς τὴν κεφαλὴν Ἀπόλλωνι, βλέπων ἱερὸν καὶ χρησμῳδες. γράφει δὲ καὶ τὸν Ὠρωπὸν νεανίαν ἐν γλαυκοῖς γυναίοις, τὰ δέ ἐστι θάλατται. γράφει καὶ τὸ φροντιστήριον τοῦ Ἀμφιάρεω ῥῆγμα ἱερὸν καὶ θειῶδες. αὐτοῦ καὶ Ἀλήθεια λευχειμονοῦσα, αὐτοῦ καὶ ὀνείρων πύλη, δεῖ γὰρ τοῖς ἐκεῖ μαντευομένοις
803 ὕπνου, καὶ Ὄνειρος αὐτὸς ἐν ἀνειμένῳ τῷ εἴδει γέγραπται καὶ ἐσθῆτα ἔχει λευκὴν ἐπὶ μελαίνῃ, τό, οἶμαι, νύκτωρ αὐτοῦ καὶ μεθ' ἡμέραν. ἔχει καὶ κέρας ἐν ταῖν χεροῖν, ὡς τὰ ἐνύπνια διὰ τῆς ἀληθοῦς ἀνάγων.

ΣΤΟΘΗΡΑΙ.

κη'. Μὴ παραθεῖτε ἡμᾶς, ὦ θηρευταί, μηδὲ ἐπικελεύεσθε τοῖς ἵπποις, πρὶν ὑμῶν ἐξιχνεύσομεν, ὅ τι βούλεσθε καὶ ὅ τι θηρᾶτε. ὑμεῖς μὲν γὰρ ἐπὶ χλούνην σῦν φατε ἴεσθαι, καὶ ὁρῶ τὰ ἔργα τοῦ θηρίου· τὰς ἐλαίας ἐξορώρυχε καὶ τὰς ἀμπέλους ἐκτέτμηκε καὶ οὐδὲ συκῆν καταλέλοιπεν ἢ μῆλον ἢ μηλάνθην, πάντα δὲ ἐξήρηκεν ἐκ τῆς γῆς τὰ μὲν ἀνορύττων, τοῖς δὲ ἐμπίπτων, τοῖς δὲ παρακνώμενος, ὁρῶ δὲ αὐτὸν καὶ τὴν χαίτην φρίττοντα καὶ πῦρ ἐμβλέποντα καὶ οἱ ὀδόντες αὐτῷ παταγοῦσιν ἐφ' ὑμᾶς, ὦ γενναῖοι, δεινὰ γὰρ τὰ τοιαυτὶ θηρία ὕτι ἐκ πλείστου κατακούειν τοῦ ὑμάδου· ἐγὼ μέντοι οἶμαι τὴν ὥραν ἐκείνου τοῦ μειρακίου διαθηρῶντας ὑμᾶς τεθηρᾶσθαι ὑπ' αὐτοῦ καὶ προκινδυνεύειν ἐθέλειν. τί γὰρ οὕτω πλησίον; τί δὲ παραψαύοντες; τί δὲ παρ' αὐτὸ ἐπέστραφθε; τί δὲ ὠστίζεσθε τοῖς ἵπποις; οἷον ἔπαθον· ἐξήχθην ὑπὸ τῆς γραφῆς μὴ γεγράφθαι δοκεῖν αὐτούς, εἶναι δὲ καὶ κινεῖσθαι καὶ ἐρᾶν, διατωθάζω γοῦν ὡς ἀκούοντας καὶ δοκῶ τι ἀντακούσεσθαι, σὺ δ' οὐδ' ὅσα ἐπιστρέψαι παραπαίοντα ἐφθέγξω τι, παραπλησίως ἐμοὶ νενικημένος καὶ οὐκ ἔχων ἀνείργεσθαι τῆς ἀπάτης καὶ τοῦ ἐν αὐτῇ ὕπνου. σκοπῶμεν οὖν τὰ γεγραμμένα.
804 γραφῇ γὰρ παρεστήκαμεν. περίκεινται μὲν δὴ τῷ μειρακίῳ νεανίαι καλοὶ καὶ καλὰ ἐπιτηδεύοντες καὶ οἷον εὐπατρίδαι, καὶ ὁ μὲν παλαίστρας τι ἐπιδηλοῖ τῷ προσώπῳ, ὁ δὲ χάριτος, ὁ δὲ ἀστεί-

2. ἀπώλοντο. μ. ib. Καπανεὺς — τὸν Δία. v. 3. βληθῆναι. Ε. ib. πρότερον λέγεται. gu. ib. μὲν οἶμαι. h, E. πρότερος μὲν ὡς λέγεται, κόμπῳ. Ε. ib. κόμπῳ βάλλων. φ, vd. κ. καλῶν. v. κομπολακῶν. Ruhnk. ap. Wyttenb. de S. N. V. p. 6. 4. κελεύη. br. ib. βλέπεις. λ. 5. καὶ ἡ δίνη — μυκτῆρος. v. 6. οἴσθμα. v. 7. τε καὶ ὑπὸ. λ. ib. δὲ ὑπὸ. J. ib. ὑπὸ τοῦ ἱδρῶτος. γ, g. ib. πρόκειται. φ. ib. ἡ κόνις — ἀληθεστέρους δὲ. v. ib. ἀποφαίνουσα. 1, v, J. ὑποφαίνουσα. ζ. 8. ὁ Ἀμφιάρεως βλέπων ἱερὸν καὶ χρησμῳδες. v. 10. Fo: ἅτε δὴ ἐπιθαλάττιον sive τὸ δὴ ἐπὶ θαλάττῃ. ib. δὲ καὶ τὸ φροντ. br. δὲ τὸ. o. ib. τοῦ om. f. ib. Ἀμφιάρεως. λ. ib. ῥῆγμα τὸ ἱερὸν. λ. 13. μεθημέραν. vd. ib. τὰ ὕπτια. γ. 14. ἐνάγων. f. ἀνάγνων. λ.

XXVIII. Inscr. Θηρευταί in f. 15. μὴ δὲ. E. ib. ἡμῶν. gu. ib. ἐξιχνεύσομεν. 1, J. ἐξιχνεύσωμεν. 2, 3, E. 16. ὅτε. br. ib. θηρᾶτε. CJ. Θηρᾶσθε. E. ib. χλοῦνιν. f, p. ib. ἴεσθαι. vd, J. ἴεσθε. μ. 17. τὰς. C. καὶ τὰς E et J. qui velit ὡς τὰς. ib. καὶ τὰς ἀμπ. 1, J. τὰς. 2, 3, E. 18. ἢ μῆλον ἢ μηλάνθην. C, J. οὐδὲ μ. οὐδε μ. E. ib. πάντα γὰρ. j. ib. ἐνορύττων. f, p. ἀνορύπτων. br. ἐνορύττων. λ. ib. τοῖς δὲ ἐμπ. om. br. 19. περικνώμενος. vd. ib. αὐτὸν καὶ C, EJ. An καὶ αὐτὸν τὴν? ib. οἱ om. l. 20. αὐτῷ. 1, J. αὐτῶν. br. αὐτοῦ. 2, 3, E. ib. ἐφ' ἡμας. φ. ib. τὰ τοιαυτὶ. 1, μ, ρ 1761, λ, gu, J. ταυτὶ τὰ. γ, g, ψ. τοιαυτί. E. 21. τῆς ὁμάδος. vd. ib. μὲν οἶμαι. C., EJ. Sc: μέντοι οἶμαι. ib. ἐκείνην. f. τοῦ μειρακίου ἐκείνου. β. ib. ἡμᾶς. φ. 22. τί — πλησίον om. gu. ib. αὐτὸ. C, J. αὐτῷ. E. 23. οἷον — κινεῖσθαι. v. ib. ἐνστίζεσθε. f. ib. μὴ δὲ. v. ib. δοκεῖν. v. δοκῶν. ζ. 24. οἶμαι δὲ. β, ρ. ib. ἀντακούεσθαι. l. ἀντακούσεσθε. br. 25. σὺ οὐδ.' λ. ib. ἐπιστρέψας. E. 26. ἔχω. f. ib. ὕθλον velit J. ib. σκοπῶ μὲν. a, i. ib. αὐτοῦ corr. sec. m. vd. 27. προεστήκαμεν. f. ib. δὴ om. br. pr. m. ib. καλοὶ καλὰ. λ. 28. καὶ — ἀστεισμοῦ. v. ib. εὐπατρίδα. br. ib. παλαίστραν τις. φ. παλ. ἐπιδ. j. id. ὁ δὲ χάριτος om. j.

43, 44. p. 803, 804. 1, 28.

σμοῦ, τὸν δὲ ἀνακεκυφέναι φήσεις ἐκ βιβλίου, φέρουσι δὲ αὐτοὺς ἵπποι παραπλήσιοι οὐδεὶς ἄλλος ἄλλῳ λευκός τις καὶ ξανθὸς καὶ μέλας καὶ φοινιξ, ἀργυροχάλινοι καὶ στικτοὶ καὶ χρυσοῖ τὰ φάλαρα. ταῦτα φασὶ τὰ χρώματα τοὺς ἐν Ὠκεανῷ βαρβάρους ἐγχεῖν τῷ χαλκῷ διαπύρῳ, τὰ δὲ συνίστασθαι καὶ λιθοῦσθαι καὶ σώζειν, ἃ ἐγράφη. οὐδὲ τὴν ἐσθῆτα συμβαίνουσιν ἢ τὴν στολήν, ὁ μὲν γὰρ εὔζωνος ἱππάζεται καὶ κοῦφος, ἀκοντιστής, οἶμαι, ἀγαθὸς ὤν, ὁ δὲ πέφρακται τὸ στερνον ἀπειλῶν πάλην τινὰ τῷ θηρίῳ, καὶ τὰ σκέλη πέφρακται, * * τὸ δὲ μειράκιον ὀχεῖται μὲν ἐφ' ἵππου λευκοῦ, μέλαινα δέ, ὡς ὁρᾷς, ἡ κεφαλὴ τῷ ἵππῳ καὶ λευκὸν ἀποτετόρνευται κύκλον ἐπὶ τοῦ μετώπου κατ' αὐτὸ τῆς σελήνης τὸ πλῆρες, καὶ φάλαρα ἔχει χρυσᾶ καὶ χαλινὸν κόκκου Μηδικοῦ, τουτὶ γὰρ τὸ χρῶμα προσαστράπτει τῷ χρυσῷ, καθάπερ οἱ πυρώδεις λίθοι. στολὴ τῷ μειρακίῳ χλαμὺς ἔχουσά τι ἀνέμου καὶ κόλπου. τὸ μὲν χρῶμα ἐκ φοινικῆς ἁλουργίας, ἣν ἐπαινοῦσι Φοίνικες, ἀγαπάσθω δὲ τῶν ἁλουργῶν μάλιστα, δοκοῦν γὰρ σκυθρωπάζειν ἔλκει τινὰ παρὰ τοῦ ἡλίου ὥραν καὶ τῷ τῆς ἴδης ἄνθει ῥαίνεται. αἰδοῖ δὲ τοῦ γυμνοῦσθαι πρὸς τοὺς παρόντας ἔσταλται χειριδωτῷ φοινικῷ, συμμετρεῖται δὲ ὁ χιτὼν ἐς ἥμισυ τοῦ μηροῦ καὶ ἴσα τοῦ ἀγκῶνος. καὶ μειδιᾷ καὶ χαροπὸν βλέπει καὶ κομᾷ ὅσον μὴ ἐπισκοτεῖσθαι τοὺς ὀφθαλμούς, ὅτε ἀτακτήσει ἡ κόμη ὑπὸ τοῦ ἀνέμου. τάχα τις καὶ τὴν παρειὰν ἐπαινέσεται καὶ τὰ μέτρα τῆς ῥινὸς καὶ καθ' ἓν οὑτωσὶ τὰ ἐν τῷ προσώπῳ, ἐγὼ δὲ ἄγαμαι τοῦ φρονήματος· καὶ γὰρ ὡς θηρατὴς ἔρρωται καὶ ὑπὸ τοῦ ἵππου ἐπῄρται καὶ συνίησιν, ὅτι ἐρᾶται. σκευοφοροῦσι δὲ αὐτοῖς ὀρεῖς καὶ ὀρεωκόμοι ποδοστράβας καὶ ἄρκυς καὶ προβόλια καὶ ἀκόντια καὶ λόγχας, ἐφ' ὧν οἱ κυώδοντες, καὶ κυναγωγοὶ συστρατεύουσι καὶ σκοπιωροί, καὶ τὰ ἔθνη τῶν κυνῶν, οὐχ αἱ τὴν ῥῖνα ἀγαθαὶ μόναι ἢ αἱ ταχεῖαι αὐτῶν, ἀλλὰ καὶ αἱ γενναῖαι, ἔδει γὰρ καὶ ἀλκῆς ἐπὶ τὸ θηρίον. γράφει δὴ Λοκρίδας Λακαίνας Ἰνδικὰς Κρητικάς, τὰς μὲν ἀγερώχους καὶ ὑλακτούσας, τὰς δὲ ἐννοούσας, αἱ δὲ μεθέπουσι καὶ σεσήρασι κατὰ τοῦ ἴχνους * * καὶ τὴν Ἀγροτέραν προιόντες ᾄσονται, νεὼς γάρ τις αὐτῆς ἐκεῖ καὶ ἄγαλμα λεῖον ὑπὸ τοῦ χρόνου καὶ συῶν κεφαλαὶ καὶ ἄρκτων, νέμεται δὲ αὐτῇ καὶ θηρία ἄνετα, νεβροὶ καὶ λύκοι καὶ λαγωοί, πάντα ἥμερα καὶ μὴ δεδιότα τοὺς ἀνθρώπους. ἔχονται μετὰ τὴν εὐχὴν τῆς θήρας. καὶ τὸ θηρίον οὐκ ἀνέχεται λανθάνειν, ἀλλ' ἐκπηδᾷ τῆς λόχμης, εἶτα ἐμπίπτει τοῖς ἱππεῦσι καὶ ταράττει μὲν αὐτοὺς ἐκ προσβολῆς, νικᾶται δὲ ὑπὸ τῶν βαλλόντων καιρίᾳ μὲν οὐκ ἐντυχὼν διά τε τὸ φράττεσθαι πρὸς τὰς πληγὰς διά τε τὸ μὴ ὑπὸ θαρρούντων βάλλεσθαι, μαλαχθεὶς δὲ πληγῇ ἐπιπολαίῳ κατὰ τοῦ μηροῦ φεύγει διὰ τῆς ὕλης, ἐκδέχεται δὲ αὐτὸν ἕλος βαθὺ καὶ λίμνη πρὸς τῷ ἕλει. διώκουσιν οὖν βοῇ χρώμενοι οἱ μὲν ἄλλοι μέχρι τοῦ ἕλους, τὸ δὲ μειράκιον συνεμβάλλει τῷ θηρίῳ ἐς τὴν λίμνην καὶ τέτταρες οὗτοι κύνες, καὶ τὸ μὲν θηρίον ἴεται τρῶσαι τὸν ἵππον, ἀπονεῦσαν δὲ τοῦ ἵππου τὸ μειράκιον καὶ ἐς τὰ δεξιὰ μετακλῖναν ἀφῆσι τῇ χειρὶ πάσῃ καὶ βάλλει τὸν σῦν κατ' αὐτὸ μάλιστα τὸ συνάπτον τὴν πλάτην τῇ δέρῃ. τοὐντεῦθεν οἱ μὲν κύνες κατά-

1. παραπλήσιος. br, ρ, E. παραπλησίως. φ. 2. λευκός τε. br. ib. φοῖνιξ. vd. φοίνιξ. ς. 3. διαπύρῳ ὄντι. vd. 4. ἃ γραφῇ φ. ib. ὁ μὲν γὰρ. 1, J. ὁ μὲν. 2, 3, E. 5. κούφως. λ. ib. καὶ ἀγαθὸς. br. κἀγαθὸς. l, λ, o. 6. Descriptio vestitus equitis tertii et quarti excidit. ib. ὀχλεῖται. h, ε. 7. μέλανα. f. 8. μετόπου. β. μετώπου et γρ. προσώπου. p. προσώπου. vd. ib. καὶ ταὐτὸ. br. 9. καὶ οἱ. γ. ib. πυρρώδεις. br. 10. οἷον ἐπαινοῦσι. φ. 11. ἀγαπάσθαι. j, br. ib. δὲ om. 2. (br. add. rec. m.) ib. ἕλκειν. m. 12. εἴλης ἄνθει. Hemsterh. not. marg. ib. χειριδῶ τῷ. a, i. 13. φοίνικι. gu, ψ. ib. ἴσα. vd, γ, g. 14. κωμᾶ. l. ib. ἀτακτήσῃ. h, E. 15. καὶ τὰ – προσώπῳ. v. τὰ ἐν αὐτῷ προσώπει. vd. ib. τοῦ ῥινὸς. v. 16. τῷ om. λ. 17. ἐπῆκται. h, E. ib. ὀρεοκόμοι. φ. ὀρεωκόμος. vd. 18. ἄρκεις. m. ib. συναγωγοί. λ. 19. τὴν om. o. ib. μόνον. γ, g, gu, J. 20. δὲ. j. δὴ et ε suprasc. br. 21. αἱ δὲ. l. αἳ δὲ. J. αἱ. γ. αἳ καὶ. 2, 3, E. ib. σεσήρωσι. m. Post ἴχνους nonnihil excidit. 22. ἀγροτέραν. E. ib. προιοῦσαι. vd, corr. sec. m. ib. καὶ νεὼς. j. νεῶς. g, h. νέως. m, o. ib. αὐτοῖς. β, λ et vd ante corr. 23. νευροὶ. μ, br. 24. πάντα ἥμεροι. vd. ib. ἥμερα μὴ. l, o. ἥμερα καὶ δ. ε, m. ib. δεδιότας – ἔχοντα. μετὰ. 1. ib. ἔχονται δὲ. Heyne Op. V, 85. ib. πρὸ τῆς. f. 25. τόλμης. br. λόγχμης. p 1761. 26. ταράττει, 1, l, J. ταράσσει. ς. ib. βαλόντων. l. ib. οὐκ om. m. ib. ἐντυχὼν. 1, J. ἐντυχόντων. 2, 3, E. 27. φράττειν. 1. ib. βαλέσθαι. l. 30. τέτταρες. f, l, γ, g, gu, J. τέσσαρες. ς. ib. ἴεται. vd, J. 31. κλῖναν. h, E. μετὰ κλῖναν. j. 32. δείρῃ. l.

γουσι τὸν σὺν ἐς τὴν γῆν, οἱ δὲ ἐρασταὶ βοῶσιν ἀπὸ τῆς ὄχθης οἷον φιλοτιμούμενοι πρὸς ἀλλήλους, ὅστις ὑπερκεκράξεται τὸν πέλας, καὶ πέπτωκέ τις ἀπὸ τοῦ ἵππου μὴ κατασχών, ἀλλ' ἐκθορυβήσας τὸν ἵππον, ὁ δὲ καὶ στέφανον αὐτῷ πλέκει παρὰ τοῦ λειμῶνος τοῦ ἐν τῷ ἕλει. ἔτι ἐν τῇ λίμνῃ τὸ μειράκιον, ἔτι ἐπὶ τοῦ σχήματος, ᾧ τὸ παλτὸν ἀφῆκεν, οἱ δὲ ἐκπεπλήγασι καὶ θεωροῦσι τὸ αὐτό, οἷον γραφέν.

ΠΕΡΣΕΥΣ.

κθ'. Ἀλλ' οὐκ Ἐρυθρά γε αὕτη ἡ θάλασσα, οὐδ' Ἰνδοὶ ταῦτα, Αἰθίοπες δὲ καὶ ἀνὴρ Ἕλλην ἐν Αἰθιοπίᾳ, καὶ ἆθλος τοῦ ἀνδρός, ὃν ἑκὼν ἔτλη κατὰ ἔρωτα, οἶμαί σε, ὦ παῖ, μὴ ἀνήκοον εἶναι τοῦ Περσέως, ὃν φασιν Ἀτλαντικὸν ἀποκτεῖναι κῆτος ἐν Αἰθιοπίᾳ πεζεῦον ἐπὶ τὰς ἀγέλας καὶ τοὺς ἐν τῇ γῇ ἀνθρώπους. ταῦτ' οὖν ἐπαινῶν ὁ ζωγραφος καὶ οἰκτείρων τὴν Ἀνδρομέδαν, ὅτι κήτει ἐξεδόθη, τετέλεσται ἤδη ὁ ἆθλος, καὶ τὸ μὲν κῆτος ἔρριπται πρὸ τῆς ἠόνος ἐμπλημμυροῦν πηγαῖς αἵματος, ὑφ' ὧν ἐρυθρὰ ἡ θάλασσα, τὴν δὲ Ἀνδομέδαν ἀπαλλάττει τῶν δεσμῶν ὁ Ἔρως· γέγραπται δὲ πτηνὸς μὲν τὸ εἰωθός, νεανίας δὲ παρ' ὃ εἴωθε, καὶ ἀσθμαίνων γέγραπται καὶ οὐκ ἔξω τοῦ μεμοχθηκέναι. καὶ γὰρ εὐχὴν ἀνεβάλετο τῷ Ἔρωτι ὁ Περσεὺς πρὸ τοῦ ἔργου, παρεῖναι αὐτὸν καὶ κατὰ τοῦ θηρίου συμπέτεσθαι, ὁ δὲ ἀφίκετο καὶ ἤκουσε τοῦ Ἕλληνος. ἡ κόρη δὲ ἡδεῖα μέν, ὅτι λευκὴ ἐν Αἰθιοπίᾳ, ἡδίων δὲ αὐτὸ τὸ εἶδος· παρέλθοι ἂν καὶ Λυδὴν ἁβρὰν καὶ Ἀτθίδα ὑπόσεμνον καὶ Σπαρτιᾶτιν ἐρρωμένην. κεκαλλώπισται δὲ ἀπὸ τοῦ καιροῦ, καὶ γὰρ ἀπιστεῖν ἔοικε, καὶ χαίρει μετ' ἐκπλήξεως καὶ τὸν Περσέα βλέπει μειδιαμά τι ἤδη ἐς αὐτὸν πέμπουσα. ὁ δὲ οὐ πύρρω τῆς κόρης ἐν ἡδείᾳ καὶ λιβανώδει πόᾳ κεῖται στάζων ἐς τὴν γῆν ἱδρῶτα καὶ τὸ δεῖμα τῆς Γοργοῦς ἔχων ἀπόθετον, μὴ ἐντυχόντες αὐτῷ λαοὶ λίθοι γένωνται. πολλοὶ δὲ οἱ βουκόλοι γάλα ὀρέγοντες καὶ οἶνου ἐπισπάσαι. ἡδεῖς οἱ Αἰθίοπες ἐν τῷ τοῦ χρώματος ἀτόπῳ καὶ βλοσυρὸν μειδιῶντες καὶ οὐκ ἄδηλοι χαίρειν καὶ οἱ πλεῖστοι ὅμοιοι. ὁ Περσεὺς δὲ ἀσπάζεται μὲν καὶ ταῦτα, στηρίζων δὲ ἑαυτὸν ἐπὶ τοῦ ἀριστεροῦ ἀγκῶνος ἀνέχει τὸν θώρακα ἔμπνους ὑπὸ ἄσθματος, ἐμβλέπων τῇ κόρῃ, καὶ τὴν χλαμύδα τῷ ἀνέμῳ ἐκδίδωσι φοινικῆν οὖσαν καὶ βεβλημένην αἵματος ῥανίσιν, ἃς προσέπνευσεν αὐτῷ τὸ θηρίον ἐν τῷ ἀγῶνι. ἐρρώσθων Πελοπίδαι παρὰ τὸν τοῦ Περσέως ὦμον. καλῷ γὰρ ὄντι αὐτῷ καὶ ὑφαίμῳ προσήνθηκέ τι τοῦ καμάτου καὶ ὑπωδήκασιν αἱ φλέβες ἐπιλαμβάνον τοῦτο αὐτάς, ὅταν πλεονεκτήσῃ τὸ ἄσθμα. πολλὸ καὶ παρὰ τῆς κόρης ἄρνυται.

ΠΕΛΟΨ.

λ'. Στολὴ δὲ ἁπαλή, σχῆμα ἐκ Λυδίας καὶ μειράκιον ἐν ὑπήνῃ πρώτῃ Ποσειδῶν τε μειδιῶν ἐς τὸ μειράκιον καὶ ἀγάλλων αὐτὸ ἵπποις δηλοῖ Πέλοπα τὸν Λυδὸν ἐπὶ θάλατταν ἥκοντα, ὡς εὖ-

2. ὑπερκεκράξαι. λ. ὑποκεκράξεται. β. ib. ἐκθορυβήσας suprasc. ἐπι. p. ἐπιθορυβήσας. vd. 3. ὃς δὲ. β, ρ, γ, ξ. ib. αὐτοῦ. λ. ib. πρὸς τοῦ. vd. ib. λειμῶνος ἐν. j. 4. τὸν παλτὸν. vd. ib. ἐκπλήγασι. br. 5. πρὸς αὐτὸ conj. J. xxix. 6. ἐρυθρά. EJ. ib. ἡ om. φ, vd. 7. τοῦ om. j, br. ib. ὃς. E. 8. Ἀντλαντικὸν. f. ib. πεζεύων. ε. 9. ἐπαινεῖν. λ. 10. τετέλεσθαι. ε. ib. ἠόνος. l, J. ἤόνος. vd. ἠιόνος. ζ. ib. ἐκπλημμ. φ, λ. 11. τοῦ δεσμοῦ. f. τῷ δεσμῷ. l 12. ἀσθμαίνων – μεμοχθηκέναι. γ. 13. ἀνεβάλλετο. f, l, gu, μ, p 1761. 14. καὶ om. gu et br. ubi add. πε. ib. ἀφίκεται. i. 15. ἡδὺ. f. ib. ἦθος. vd. ib. παρέλθοι – κεκαλλώπισται. γ. ib. παρέλθῃ. br. παρέλθοι περ καὶ Λυδὴν ἂν ἁβραν. γ. ib. ἁβραν. vd. 16. ὑπόσεμνον Σπ. ἐρωμένην. γ. ib. Σπαρτιάτην. ρ, h, E. Σπαρτιάτιν. γ. gu. μ. J. Σπαρτιᾶτιν. λ. ib. ἐρωμένην. γ, λ, β et vd ex mala corr. pr. m. ib. ἀπὸ τοῦ καιροῦ κεκαλλώπισται. γ. ib. καινοῦ. g. 17. χαίρει. 1. χαίρειν. 2, 3, EJ. 18. ἡδὺ. conj. J. ib. ἐς. φ. ib. ἡδία. br. ib. ἐς τ. γ. ἱδρῶ. φ ib. δεῖγμα. f. 19. Γόργης. vd. ib. δὲ om. f. ib. δὲ ὁ βουκόλοι. vd. 20. ἐπισπᾶσαι. E. ib. ἡδεῖς – χαίρειν. γ ib. οἱ Αἰθίοπες. γ. Αἰθίοπες. ζ. ib. καὶ βλ. μειδ. om. γ. 21. μὲν ταῦτα. l, o. 22. αὐτὸν. p. αὐτόν. E. ib. ἐμπνοτ. f. p. ib. ὑπὸ τοῦ ἄσθματος. EJ. 23. φοινικῆς gu. φοινικῶ. μ. 24. καὶ ἅς. f. ib. Πελοπίδα. i. Πελοπίσι. gu. 25. ὑποδήκασιν. γ, λ. 26. ἐπιλαμβάνοντος τούτου. vd, 2, β, m, o. ib. ὅτε. g, β. ib. πλεονεκτήσει. β. ib. Malim πολλὰ δὲ.

xxx. Πέλοψ ὁ Λυδὸς inscr. in matr. 27. καὶ σχῆμα. f2, ven. 392. ib. Ποσειδῶν δὲ. J. 28. αὐτὸς. br. ib. ἀγάλλοι. f1 ante corr. rec. m, ε. ib. ἐς τὸ. f, n. ib. θάλασσαν. vd. ib. εὖξαιντο. f7.

47, 48 p. 807. l. 29, 30.

ξαιτο τῷ Ποσειδῶνι κατὰ τοῦ Οἰνομάου, ὅτι μὴ χρῆται γαμβρῷ ὁ Οἰνόμαος, ἀλλὰ κτείνων τοὺς τῆς Ἱπποδαμείας ἐρῶντας φρονεῖ τοῖς τούτων ἀκροθινίοις ἀνάπτων τὰς αὐτῶν κεφαλὰς οἷον οἱ θήραν ᾐρηκότες. καὶ εὐχομένῳ τῷ Πέλοπι ἥκει χρυσοῦν ἅρμα ἐκ θαλάττης. ἠπειρῶται δὲ οἱ ἵπποι καὶ οἷοι διαδραμεῖν τὸν Αἰγαῖον αὐχμηρῷ τῷ ἄξονι καὶ ἐλαφρᾷ τῇ ὁπλῇ. ὁ μὲν οὖν ἆθλος εὐδρομήσει τῷ Πέλοπι, τὸν δὲ τοῦ ζωγράφου ἆθλον ἡμεῖς ἐξετάζωμεν. οὐ γὰρ σμικροῦ, οἶμαι, ἀγῶνος ἵππους μὲν ξυνθεῖναι τέτταρας καὶ μὴ ξυγχέαι τῶν σκελῶν τὸ κατὰ ἕνα αὐτῶν, ἐμβαλεῖν 808
δὲ αὐτοῖς μετὰ τοῦ χαλινοῦ φρόνημα στῆσαί τε τὸν μὲν ἐν αὐτῷ τῷ μὴ θέλειν ἑστάναι, τὸν δὲ ἐν τῷ κροαίνειν βούλεσθαι, τόν δ' ἐν τῷ πείθεσθαι, ὁ δὲ γάνυται τοῦ Πέλοπος τῇ ὥρᾳ καὶ εὑρεῖαι αὐτῷ αἱ ῥῖνες, ὅσα χρεμετίζοντι. ἔτι κἀκεῖνο σοφίας· ὁ Ποσειδῶν τοῦ μειρακίου ἐρᾷ καὶ ἀναφέρει αὐτὸ ἐς τὸν λέβητα καὶ τὴν Κλωθώ, ὅτε Πέλοψ ἀστράψαι ἐδόκει τῷ ὤμῳ, καὶ τοῦ μὲν γαμεῖν οὐκ ἀπάγει αὐτόν, ἐπειδὴ ὥρμηκεν, ἀγαπῶν δὲ ἀλλ' ἐφάψασθαι τῆς χειρὸς ἐμπέφυκε τῇ δεξιᾷ τοῦ Πέλοπος ὑποτιθέμενος αὐτῷ τὰ ἐς τὸν δρόμον, ὁ δὲ ὑπέρφρον ἤδη καὶ Ἀλφειὸν πνεῖ,
19 καί ἡ ὀφρὺς μετὰ τῶν ἵππων. βλέπει δὲ ἡδὺ καὶ μετέωρον ὑπὸ τοῦ τιάρᾳ ἐπισοβεῖν, ἧς οἷα χρυσαῖ λιβάδες ἡ κόμη τοῦ μειρακίου ἀποστάζουσα μετώπῳ ὁμολογεῖ καὶ ἰούλῳ συνανθεῖ καὶ μεταπίπτουσα τῇδε κἀκεῖσε ἐν τῷ καιρίῳ μένει. γλουτὸν καὶ στέρνα καὶ ὅσα περὶ γυμνοῦ τοῦ Πέλοπος ἐλέχθη ἄν, καλύπτει ἡ ἐσθὴς αὐτῇ κνήμῃ. Λυδοὶ γὰρ καὶ οἱ ἄλλοι βάρβαροι καθείρξαντες ἐς τοιάσδε ἐσθῆτας τὸ κάλλος λαμπρύνονται τοῖς ὑφάσμασιν ἐνὸν λαμπρύνεσθαι τῇ φύσει, καὶ τὰ μὲν ἄλλα ἀφανῆ καὶ ἔσω, τὸ δὲ τῆς στολῆς, ἔνθα ὁ ὦμος ὁ ἀριστερός, τέχνῃ ἡμέληται, ὡς μὴ κρύπτοιτο αὐτοῦ ἡ αὐγή, νύξ τε γὰρ ἐπέχει καὶ λαμπρύνεται τῷ ὤμῳ τὸ μειράκιον, ὅσον ἡ νὺξ τῷ ἑσπέρῳ.

ΞΕΝΙΑ.

λα'. Καλὸν δὲ καὶ συκάσαι καὶ μηδὲ ταῦτα παρελθεῖν ἀφώνους. σῦκα μέλανα ὀπῷ λειβό- 20
μενα σεσώρευται μὲν ἐπὶ φύλλων ἀμπέλου. γέγραπται δὲ μετὰ τῶν τοῦ φλοιοῦ ῥηγμάτων, καὶ τὰ μὲν 809
ὑποκέχηνε παραπτύοντα τοῦ μέλιτος, τὰ δ' ὑπὸ τῆς ὥρας οἷον ἔσχισται. πλησίον δὲ αὐτῶν ὄζος ἔρριπται, μὰ Δί', οὐκ ἀργὸς ἢ κενὸς τοῦ καρποῦ, σκιάζει δὲ σῦκα τὰ μὲν ὠμὰ καὶ ὀλύνθους ἔτι,

1. τοὺς om. m, o. 2. τῆς om. br. (add. mg.) τῆς Ἱπποδαμείας om. vd. ib. μνηστῆρας. f, p, vd, J. ἐρῶντας. φ, 2, 3, E. ib. τοῖς om. m, o. τούτων. f, p, vd. αὐτῶν. J. τῶν μνηστήρων. φ, 2, 3, E. ib. ἀκροθηνίοις. ven. 392, 514. ἀκροθρονίοις. l. ib. ἀτάκτων λεόντων κεφαλαῖς οἷον θήραν ᾐρηκότες. f, φ, vd (ubi ᾐρηκότων) ante corr. et olim p, ubi erasa haec verba. Sc: ἀνάπτων τὰς αὐτῶν κεφαλὰς οἷον οἱ θήραν ᾐρ. 3. τῷ om. f1. ib. δὲ ἵπποι. λ, β. 4. καὶ οἷον. β, ρ, f2, ven. 392, 514. ib. ἄξονι. vd 82 et γ ante corr. ib. ἐλαφρῷ et α suprasc. br. 5. ἐξετάζομεν. f1, 3, 7. ἐξετάσωμεν. ven. 6. συγχέαι. ψ. ib. ἐμβάλλει μὲν αὐτῷ μετὰ χαλινοῦ φρόνημα, ἵστησί δὲ αὐτὸν ἐν αὐτῷ τῷ μὴ θέλειν ἑστάναι. Isid. Pel. p. 619 A. ib. ἐμβαλεῖν — φρόνημα. ν. ib. ἐμβ. τε. ven. 309. 7. τοῖς ἵπποις. ν. ib. χαλινοῦ. 1, v, J, Isid. ib. τε om. vd. ib. ἑστᾶναι. g. 8. τόν τ' ἐν. vd. ib. πιθέσθαι. p. τίθεσθαι. f, φ, vd. ib. ὁ δὲ om. f7 cum lac. ib. γάνυται. λ, f1, 4, gu, J. γάννυται. ς. ib. τοῦ Πέλοπος τῇ ὥρᾳ. φ. τῇ ὥρᾳ τοῦ Πελ. ς. ib. εὐθεῖαι. j. 9. ῥῖναις. f1. ib. χρεματίζοντι. vd. 82. ib. ὅτι. f7. ib. σόφισμα. φ. 10. αὐτὸν. f7. ib. λέβιτα. br. ib. ὅ, τε. EJ. ib. δοκεῖ. C, EJ. Sc: ἐδόκει. ib. μὲν om. μ. 11. ἐπάγει. f1, 3, 4, ε. ἀπάγειν. j. ib. ὥρμησεν. m, o. ib. ἀγαπῶν δὲ λίαν. φ. ib. ἀλλ' ἐφαψ. 1, J. ἄλλως ἐφαψ. 2, 3, E. ib. ἐμπέφυκε δὲ. br. 12. ἐς δρόμον. f7. Hic explicit p 1698, atque inde j ad fam. 1. transit. ib. ὑπέρφρον. C. (ὑπερφέρον. ρ.) ὑπέρφρων. h. ει EJ. ib. Ἀλφειὸν. Salm. Grut. J. et ex rec. corr. Ἀλφαιὸν. br. ἀφναὸν. p 2706. ἀφνειόν. ς. ib. ἀφν. ὁρᾷ. λ. 13. τί ἄρα. f, j. 14. λαβίδες. f3, 4. ib. κόρη. f7. ib. τῷ μετώπῳ. f7. ib. σὺν ἀνθεῖ. f1. 15. καιρῷ. 1, br. καιρίῳ. 2, 3, EJ. ib. περὶ τοῦ γυμνοῦ τοῦ. f, j. 16. ἐλέγχῃ. E. ἐλέγχθη. f1. ib. ἀνακαλύπτει. 1 et ἀνὰ suprasc. in br. ib. ἡ γραφὴ ἐσθὴς αὐτῇ (αὐτὴ. f.) καὶ κνήμῃ. 1. Inde feci καλύπτει ἡ ἐσθὴς αὐτῇ κνήμῃ. ἡ γραφὴ. 2, 3, EJ. ib. Λυδοὶ — φύσει. ν. ib. γὰρ om. 2. (vd. 82.) ib. καὶ om. f. ib. οἱ ἄλλοι βάρβαροι. vd, ven. οἱ ἄνω. β. ς. (f.) ib. ἐς τοιαύτας. ν. ἐς τοι om. γ. 17. τοῖς. ν. τοῖσδε. f2. τοιοῖσδε. ς. ib. ἄλλ' ἀφανῆ. vd. 18. ἔνθα ὦμος. p eras. art. vd, ven. ib. ὁ ὦμος ἀριστερὸς. f7. 19. τε om. f7. ib. ἡ νὺξ. β. ib. νὺξ γάρ τε. 2. (vd. 82.) ib. ὅσον. f. j, p, J. ὅσα. vd, φ, 2, 3, E.

XXXI. 20. καλὸν καὶ. f, j. ib. μὴ δὲ. vd. ib. σύκα. o. μέλαινα. f. 21. φύλων. g. ib. τῶν φλ. 2 praeter p 1760. ε. m. τοῦ φλ. o. in br. τοῦ est a rec. m. ib. ῥημάτων. φ. 22. περιπτύοντα vd. ante corr. ib. τάδ'. E. 23. δὲ καὶ. f, j, et p ante corr. ib. ὀλύνθοις. m.

19. p. 808, 809. l, 31.

τὰ δὲ ῥυσσὰ καὶ ἔξωρα, τὰ δὲ ὑποσέσηρε παρεμφαίνοντα τοῦ χυμοῦ τὸ ἄνθος, τὸ δὲ ἐπ' ἄκρῳ τοῦ ὄζου στρουθὸς διορώρυχεν, ἃ δὴ καὶ ἥδιστα σύκων δοκεῖ. καρύοις δὲ ἅπαν ἔστρωται τοὔδαφος, ὧν τὰ μὲν παρατέτραπται τοῦ ἐλύτρου, τὰ δὲ ἔγκειται μεμυκότα, τὰ δὲ παρεμφαίνει τὴν διαφυήν. ἀλλὰ καὶ ὄγχνας ἐπ' ὄγχναις ὥρα καὶ μῆλα ἐπὶ μήλοις σωρούς τε αὐτῶν καὶ δεκάδας, εὐώδη πάντα καὶ ὑπόχρυσα. τὸ δὲ ἐν αὐτοῖς ἔρευθος οὐδὲ ἐπιβεβλῆσθαι φήσεις, ἀλλὰ ἔνδον ὑπηνθηκέναι. κεράσου δὲ ταῦτα δῶρα ὁπώρα τις αὕτη βοτρυδὸν ἐν ταλάρῳ, ὁ τάλαρος δὲ οὐκ ἀλλοτρίων πέπλεκται λύγων, ἀλλ' αὐτοῦ τοῦ φυτοῦ. πρὸς δὲ τὸν σύνδεσμον τῶν κλημάτων εἰ βλέποις καὶ τὰς ἐκκρεμαμένας αὐτῶν σταφυλὰς καὶ ὡς κατὰ μίαν αἱ ῥᾶγες, ᾖσῃ τὸν Διόνυσον, οἶδα, καὶ ὦ πότνια βοτρυόδωρε, περὶ τῆς ἀμπέλου ἐρεῖς. φαίης δ' ἂν καὶ τοὺς βότρυς τῇ γραφῇ ἐδωδίμους εἶναι καὶ ὑποίνους. κἀκεῖνο ἥδιστον· ἐπὶ φύλλων κράδης μέλι χλωρὸν ἐνδεδυκὸς ἤδη τῷ κηρῷ καὶ ἀναπλημμυρεῖν ὡραῖον, εἴ τις ἀποθλίβοι, καὶ τροφαλὶς ἐφ' ἑτέρου φύλλου νεοπαγὴς καὶ σαλεύουσα καὶ ψυκτῆρες γάλακτος οὐ λευκοῦ μόνον, ἀλλὰ καὶ στιλπνοῦ, καὶ γὰρ στίλβειν ἔοικεν ὑπὸ τῆς ἐπιπολαζούσης αὐτῷ πιμελῆς.

Β'.

ΤΜΝΗΤΡΙΑΙ.

810 α'. Ἀφροδίτην ἐλεφαντίνην ἐν ἁπαλοῖς μυρρινῶσιν ἕδουσιν ἁπαλαὶ κόραι. διδάσκαλος αὐτὰς ἄγει σοφὴ καὶ οὐδὲ ἔξωρος, ἐφιζάνει γάρ τις ὥρα καὶ ῥυτίδι πρώτῃ γήρως μὲν τὸ ὑπόσεμνον ἕλκουσα, τούτῳ δ' αὖ κεραννῦσα τὸ σωζόμενον τῆς ἀκμῆς. καὶ τὸ μὲν σχῆμα τοῦ τῆς Ἀφροδίτης ἕδους γυμνὴ καὶ εὐσχήμων, ἡ δὲ ὕλη συνθήκη μεμυκότος ἐλέφαντος. ἀλλὰ οὐ βούλεται γεγράφθαι δοκεῖν ἡ θεός, ἔκκειται δὲ οἷα λαβέσθαι. βούλει λόγου τι ἐπιλείβωμεν τῷ βωμῷ; λιβανωτοῦ γὰρ ἱκανῶς ἔχει καὶ κασίας καὶ σμύρνης, δοκεῖ δέ μοι καὶ Σαπφοῦς τι ἀναπνεῖν. ἐπαινετέα τοίνυν ἡ σοφία τῆς γραφῆς· πρῶτα μὲν ὅτι τὰς ἀγαπωμένας λίθους περιβαλοῦσα οὐκ ἐκ τῶν χρωμάτων αὐτὰς ἐμιμήσατο, ἀλλ' ἐκ τοῦ φωτός, οἷον ὀφθαλμῷ κέντρον τὴν διαύγειαν αὐταῖς ἐνθεῖσα, εἶτα ὅτι καὶ τοῦ ὕμνου παρέχει ἀκούειν· ᾄδουσι γὰρ αἱ παῖδες, ᾄδουσι, καὶ ἡ διδάσκαλος ὑποβλέπει τὴν ἀπᾴδουσαν κροτοῦσα τὰς χεῖρας καὶ ἐς τὸ μέλος ἱκανῶς ἐμβιβάζουσα. τὸ μὲν γὰρ τῆς στολῆς ἀπέριττον καὶ μὴ δι' ὄχλου αὐταῖς, εἰ ἀθύροιεν, ἢ τὸ ἐν χρῷ τῆς ζώνης ἢ τὸ ἐς βραχίονα τοῦ

1. ῥυσσὰ. l, λ, J. ῥυσὰ. ς. ib. ὑποσέσηρα. E. ib. παρεμφαίνοντα. λ, h. παραφαίνοντα. ς. ib. τὰ δὲ. 2. ib. ἄκρον. g. 2. στρουθοὺς. φ. στρατὸς. vd. ib. δὲ ἅπαν. f, p. 3. τῶν καρύων τὰ μὲν — διαφυὴν. v. ib. παρατέτραπται. v. παρατέτριπται. ς. (περιτετρ. vd.) ib. ἐλλύτρου. v. ib. παρεκφαίνει. v. 4. διαφυγὴν. v. διαφυλακὴν. vd. ib. καὶ om. λ, γ. ib. ὄγχνας ἐπ' ὄγχναις. l, g. ὄχνας ἐπ' ὄχναις. ς. 5. καὶ εὐώδη. φ. ib. ἐπ' αὐτοῖς. vd. ib. ἀλλ' ἔνδον. f, vd, h. 6. τε αὖτη. conj. J. ib. βοτρυδὼν. br. 7. βλέποις. l, γ, g, J. βλέπεις. ς. 8. ἐγκρεμ. γ, g. ib. αὐτῆς. br. ib. ἄγουσι τὸν. vd. 9. πώτνια. p. ib. περὶ om. φ. ib. βότρυς τὴν γραφὴν. ex corr. p. βότρυας. vd. 10. ἤδὺ τὸ. J conj. ib. ἐνδεδωκὸς. br. ib. καὶ τῷ κηρῷ — ἀποθλίβοι. v. ib. καιρῷ. f, br, et φ, ubi η suprasc. fuitque ante corr. in p. καρῷ. j. 11. τροφαλίς. f. p et ex corr. φ, J. τρυφαλλὶς. g, β. τρυφαλὶς. ς. ib. φύλου. γ. 12. καὶ στίβειν γὰρ. γ, g. ib. στίβειν. m, o. στίλβον. ψ. στίλβον. vd.

II, 1. Ἀφροδίτη insc. vd. 14. ἐν ἁπαλοῖς. couj. J. ἁπαλοῖς. ς. ib. μυρρῶσιν. h. μυρρίνης. vd. ex corr. sec. m. ib. αὐτὴν. mg. l. 15. ῥητίδι. γ. ib. Excidisse videtur παρὰ τοῦ ante γήρως. id. ἔχουσα. p et p 1761. ἐνέλκουσα. vd. ex corr. sec. m. 16. τῆς Ἀφροδίτης, αἰδοῦς γυμνή. C, E. τῆς Ἀφροδίτης Αἰδοῦς· γυμνὴ. J. αἰδοῦς γυνὴ. φ αἰδοῦς αιδους γυμνὴ. vd. Sc: τοῦ τῆς Ἀφρ. ἕδους γυμνὴ. 17. ἡ δὲ ὅλη. l, φ. ib. μεμυκότος καὶ ἐλέφαντος. φ ib. ἀλλὰ οὐ. p, φ, π, ψ. ἀλλ' οὐ. ς. 18. ἔγκειται. vd. ib. ἔκκ. δὲ οἷα λαβέσθαι adhibet M. Eugenic. 160. ἔλκεται. φ ib. ἐπιλάβωμεν. e, m, et vd a sec. m. 19. ἔχει ἱκανῶς. br. ib. κασίας. f. 20. πρῶτα. φ. πρῶτον. ς. ib. οἷον ἀγαπ. vd. ib. τὰς. C, (τοῖς ἀγαπωμένοις. φ.) EJ. Sc: ὅτι τὰς. ib. περιβαλοῦσα. br. περιλαβοῦσα. l corr. mg. 21. κέντρῳ. γ. ib. αὐτῶν et mg. αὐταὶς. l. ib. εἶθ' ὅτι. vd. ib. καὶ ὅτι. EJ. 22. καὶ — ἱκανῶς ἐνεβίβαζε. Aristaenet. I, 10 p. 49 ed. B. ὁ διδάσκαλος. vd. quod corr. sec. m. ib. ἐπέβλεπε. Arist. 23. ἐπᾴδουσαν. Arist. ib. εἰς τὸ μέλος. φ. 24. διόχλου. j. ib. ἀθύρροιεν. f.

30, 33. p. 810. II, 1.

χιτῶνος ἢ ὡς ἀνυποδησίᾳ χαίρουσιν ἐφεστῶσαι ἀπαλῇ πόᾳ καὶ ἀναψυχὴν ἕλκουσαι παρὰ τῆς δρό- 811
σου λειμών τε ὁ περὶ τὰς ἐσθῆτας καὶ τὰ ἐν αὐταῖς χρώματα καὶ ὡς ἄλλο ἄλλῳ ἐπιπρέπει, δαι-
μονίως ἐκμεμίμηται. τὰ γὰρ συμβαίνοντα οἱ μὴ γράφοντες οὐκ ἀληθεύουσιν ἐν ταῖς γραφαῖς. τὰ
δὲ εἴδη τῶν παρθένων εἰ τῷ Πάριδι ἢ ἄλλῳ τῳ κριτῇ ἐπιτρέποιμεν, ἀπορῆσαι ἄν μοι δοκεῖ ψη-
φίσασθαι, τοσοῦτον ἁμιλλῶνται ῥοδοπήχεις καὶ ἑλικώπιδες καὶ καλλιπάρῃοι καὶ μελίφωνοι, Σαπ- 5
φοῦς τοῦτο δὴ τὸ ἡδὺ πρόσφθεγμα. παραψάλλει δὲ αὐταῖς Ἔρως ἀνακλίνας τοῦ τόξου τὸν πῆ-
χυν, καὶ ἡ νευρὰ παναρμόνιον ᾄδει καί φησι πάντα ἔχειν, ὅσα ἡ λύρα, ταχεῖς τε οἱ ὀφθαλ-
μοὶ τοῦ θεοῦ ῥυθμόν τινα, οἶμαι, διανοοῦντες. τί δῆτα ᾄδουσι; γέγραπται γάρ τι καὶ ᾠδῆς· τὴν
Ἀφροδίτην ἐκδοῦναι τῆς θαλάττης λέγουσιν ἀπορροῇ τοῦ Οὐρανοῦ, καὶ ὅπου μὲν τῶν νήσων προσ-
έσχεν, οὔπω λέγουσιν, ἐροῦσι δέ, οἶμαι, Πάφον, τὴν γένεσιν δὲ ἱκανῶς ᾄδουσιν· ἀναβλέπουσαι 10
μὲν γὰρ ἐμφαίνουσιν, ὅτι ἀπ' οὐρανοῦ, τὰς δὲ χεῖρας ὑπτίας ὑποκινοῦσαι δηλοῦσιν, ὅτι ἐκ θαλάτ-
της, τὸ μειδίαμα δὲ αὐτῶν γαλήνης ἐστὶν αἴνιγμα.

ΑΧΙΛΛΕΩΣ ΤΡΟΦΑΙ.

β'. Νεβροὶ καὶ λαγώς, ταῦτα θηράματα τοῦ νῦν Ἀχιλλέως, ὁ δέ γε ἐν Ἰλίῳ πόλεις αἱρήσει
καὶ ἵππους καὶ ἀνδρῶν στίχας, καὶ οἱ ποταμοὶ αὐτῷ μαχοῦνται μὴ ἐῶντι αὐτοὺς ῥεῖν, κἀκείνων
μὲν τῶν ἔργων μισθὸν ἀπολσεται Βρισηίδα καὶ τὰς ἐκ Λέσβου ἑπτὰ καὶ χρυσὸν καὶ τρίποδας καὶ 15
τὸ τοὺς Ἀχαιοὺς ἐπ' αὐτῷ εἶναι, τὰ δὲ παρὰ τῷ Χείρωνι ταῦτα μήλων δοκεῖ καὶ κηρίων ἄξια, 812
καὶ ἀγαπᾷς, ὦ Ἀχιλλεῦ, μικρὰ δῶρα πόλεις ἀπαξιώσων τότε καὶ τὸ κῆδος τοῦ Ἀγαμέμνονος. ὁ
μὲν οὖν ἐπὶ τῆς τάφρου καὶ ὁ κλίνας τοὺς Τρῶας ἐκ μόνου τοῦ βοῆσαι καὶ ὁ κτείνων ἐπιστρο-
φάδην καὶ ἐρυθαίνων τὸ τοῦ Σκαμάνδρου ὕδωρ ἵπποι τε ἀθάνατοι καὶ ἕλξεις Ἕκτορος καὶ ὁ βρυ-
χώμενος ἐπὶ τοῖς Πατροκλείοις στέρνοις Ὁμήρῳ γέγραπται, γράφει δὲ αὐτὸν καὶ ᾄδοντα καὶ εὐ- 20
χόμενον καὶ ὁμωρόφιον τῷ Πριάμῳ, τουτονὶ δὲ οὕπω ξυνιέντα ἀρετῆς, ἀλλὰ παῖδα ἔτι γάλακτι
ὑποθρέψας καὶ μυελῷ καὶ μέλιτι δέδωκεν ὁ Χείρων γράφειν ἁπαλὸν καὶ ἀγέρωχον καὶ ἤδη κοῦ-
φον, εὐθεῖα μὲν γὰρ ἡ κνήμη τῷ παιδί, ἐς γόνυ δὲ αἱ χεῖρες, ἀγαθαὶ γὰρ δὴ αὗται πομποὶ τοῦ
δρόμου, κόμη τε ἡδεῖα καὶ οὐδὲ ἀκίνητος, ἔοικε γὰρ προσαθύρων ὁ ζέφυρος μετατάττειν αὐτήν,
ὡς μεταπιπτούσης τῇδε κἀκεῖσε ἄλλοτε ἄλλος ὁ παῖς εἴη, ἐπισκύνιόν τε καὶ θυμοειδὲς φρύαγμά 25
ἐστι μὲν ἤδη τῷ παιδί, πραύνει δὲ αὐτὸ ἀκάκῳ ὄμματι καὶ παρειᾷ μάλα ἵλεῳ καὶ προσβαλλούσῃ
τι ἁπαλοῦ γέλωτος. ἡ χλαμὺς δέ, ἣν ἀμπέχεται, παρὰ τῆς μητρός, οἶμαι· καλὴ γὰρ καὶ ἀλιπόρ-
φυρος καὶ πυραυγὴς ἐξαλλάττουσα τοῦ κυανῆ εἶναι. κολακεύει δὲ αὐτὸν ὁ Χείρων, οἷον λέοντα,

1. ὡς om. γ. ib. ἕλκουσι. vd. sed sec. m. corr. 2. καὶ ante ὡς om. f, j, p. ib. ἐπιτρέπει. l, ρ, et vd. ex corr. sec. m. s. 3. τὰ γὰρ – γραφαῖς. v. ib. γὰρ om. l. 4. τῷ. a2, i, m. ib. μοι om. f. ib. δοκεῖ. π, ψ, b, g, J. δοκῇ. p, vd, f, j, p 1761. δοκοῖ. l, o. δοκοίη. φ. 5. ῥοδοπήχεος. π. ib. καλλιπάρειοι. j. καλλιπάριοι. br. ib. μελίφωνοι, τοῦτο δὴ Σαπφοῦς τὸ ἥδιστον φθέγμα. Aristaenet. I. 10. p. 49 ed. B. 6. δὴ om. o. ib. τὴν. o. 7. παναρμόνιος. φ. ib. ταχεῖς τε. f, vd, φ. π, ψ, br, ε, m. ταχεῖς δὲ. ς. 8. τινα εἶναι. f, j. 9. καὶ Ἀφρ. et mg. τὴν Ἀφρ. l. ib. ἐκδοῦναι et mg. ἐκφῦναι. l. ἐκφῦναι. ς. ib. θαλάσσης. vd. ib. ἀπορροῆ. 1. (ἐπι suprasc. in φ al. m.) p 1761, J. ἐπιρροῆ. 3, E. ib. καὶ ὅπου — Πάφον. v. ib. προσίσχειν. ρ. 11. ὑπο eras. in p. et κινοῦσαι. vd. 12. τὸ δὲ μειδ. vd. 13. ταῦτα, θηράματα disting. h, J. 14. καὶ ἀνδρ. στίχ. om. μ. ib. καὶ οἱ ποτ. f, j, l. καὶ ποτ. ς. ib. ῥέειν. ς. Sc: ῥεῖν. 15. ἐν Λέσβου. J. 16. τὸ om. m. 17. σμικρὰ. p 1761. ib. ἀπαξιῶν. 2 praeter p 1760. ἀπαξιώσας. ρ. 18. τῆς τάφρου. f, j, vd. τῇ σῇ τάφρῳ. p. τῇ τάφρῳ. ς. 19. ἐρυθαίνων. p ex corr. π, γ, g, ψ, J. ἐρυθραίνων. ς. ib. ἕξεις. γ. ib. ῥήτορος. j. ib. βρυχόμενος. p, 2. 20. τοῖς Πατροκλείοις. l. τοῖς τοῦ Πατρόκλου. f, j, φ, vd, 2, 3. τοῖς Πατρόκλου. EJ. 21. ξυνιέντα τῆς ἀρετῆς. vd. 22. καὶ μυελῷ ὑποθρέψας. ψ. 23. γὰρ om. j. ib. γνώμη. φ. ib. ἐς γόνυ – δρόμου. v. ib. ἀγαθοὶ. l. ib. δὴ om. μ. p 1761. 24. ἰδία. j. ib. προαθύρων. f, j. 25. ἄλλοτε ἄλλο. φ. ib. ἐπισκήνιον. l. βλε
26. δὲ om. J. ib. ὄμματι et γρ. βλέμματι. l, br. ὄμματι. p 1761. βλέμματι. ς. ib. προσβαλλοῦσι. φ. 27. πυραυγῶς. l, φ. ib. ἐξαλάττουσα. φ. ἐξαλλάττουσα et γρ. ἀστράπτουσα. p. ἀπαστράπτουσα et sec. m. ἀπαλλάττουσα. vd. ου
28. τὸ. 2 (br. mg. τοῦ). τῷ. ρ, π, ψ. τῶ. φ. τῶ ex τοῦ corr. sec. m. vd. ib. κυανῆν. E. ib. σκυλακεύειν et γρ. κολακεύειν. l.

54, 55. ρ 811, 812. II, 2.

πτῶκας ἁρπάζειν καὶ νεβροῖς συμπέτεσθαι· νεβρὸν γοῦν ἄρτι ἠρηκὼς ἥκει παρὰ τὸν Χείρωνα καὶ
ἀπαιτεῖ τὸ ἆθλον, ὁ δὲ χαίρει ἀπαιτούμενος καὶ τοὺς προσθίους ὀκλάσας ἐς ἴσον καθίσταται τῷ
παιδί, μῆλα ἀπὸ τοῦ κόλπου ὀρέγων αὐτῷ καλὰ καὶ εὐώδη, καὶ γὰρ καὶ τοῦτο αὐτῶν ἔοικεν ἐγ-
γεγράφθαι, καὶ κηρίον ὀρέγει τῇ χειρὶ σταγόνα λεῖβον δι' εὐνομίαν τῶν μελιττῶν. ὅταν γὰρ πόαις
813 5 ἀγαθαῖς ἐντυχοῦσαι κυίσκωσι, περιπληθῇ τὰ κηρία γίγνεται καὶ ἀποβλύζουσι τὸ μέλι οἱ οἶκοι αὐ- 56
τῶν. ὁ δὲ Χείρων γέγραπται μὲν ὅσα κένταυρος· ἀλλὰ ἵππον ἀνθρώπῳ συμβαλεῖν θαῦμα οὐδέν,
συναλεῖψαι μὴν καὶ ἑνῶσαι καί, νὴ Δία, λήγειν ἄμφω δοῦναι καὶ ἄρχεσθαι καὶ διαφεύγειν τοὺς
ὀφθαλμούς, εἰ τὸ τέρμα τοῦ ἀνθρώπου ἐλέγχοιεν, ἀγαθοῦ, οἶμαι, ζωγράφου. καὶ τὸ ἥμερον δὲ φαίνε-
σθαι τὸ τοῦ Χείρωνος ὄμμα ἐργάζεται μὲν καὶ ἡ δικαιοσύνη καὶ τὸ ὑπ' αὐτῆς πεπνύσθαι, πράττει δὲ καὶ
10 ἡ πηκτίς, ὑφ' ἧς ἐκμεμούσωται, νυνὶ δὲ καὶ ὑποκορισμοῦ τι αὐτῷ ἔπεστιν, εἰδώς που ὁ Χείρων,
ὅτι τοὺς παῖδας τοῦτο μειλίσσεται καὶ τρέφει μᾶλλον ἢ τὸ γάλα. ταυτὶ μὲν περὶ θύρας τοῦ ἄν-
τρου, ὁ δ' ἐν τῷ πεδίῳ παῖς ὁ ἱππηδὸν ἐπὶ τοῦ κενταύρου ἀθύρων ὁ αὐτὸς ἔτι· διδάσκει ὁ Χεί-
ρων τὸν Ἀχιλλέα ἱππάζεσθαι καὶ κεχρῆσθαι αὐτῷ ὅσα ἵππῳ, καὶ συμμετρεῖται μὲν τὸν δρόμον ἐς
τὸ ἀνεκτὸν τῷ παιδί, καγχάζοντι δὲ αὐτῷ ὑπὸ τοῦ ἥδεσθαι προσμειδιᾷ μεταστρεφόμενος καὶ μο-
15 νονουχὶ λέγει „ἰδού σοι κροαίνω ἄπληκτος, ἰδοὺ καὶ ἐπικελεύομαί σοι· ὁ ἵππος ὀξὺς ἄρα καὶ ἀφαι-
ρεῖ γέλωτα. λαγαρῶς γάρ μοι ἱππασθείς, θεῖε παῖ, καὶ τοιῷδ' ἵππῳ πρέπων ὀχήσῃ ποτὲ καὶ ἐπὶ
Ξάνθου καὶ Βαλίου καὶ πολλὰς μὲν πόλεις αἱρήσεις, πολλοὺς δὲ ἄνδρας ἀποκτενεῖς θεὸν ὅσα
καὶ συνεκφεύγοντας." ταῦτα ὁ Χείρων μαντεύεται τῷ παιδὶ καλὰ καὶ εὔφημα καὶ οὐχ οἷα ὁ
Ξάνθος.

ΚΕΝΤΑΥΡΙΔΕΣ.

20 γ'. Σὺ μὲν ᾤου τὴν τῶν κενταύρων ἀγέλην δρυῶν ἐκπεφυκέναι καὶ πετρῶν ἢ, νὴ Δία, ἵππων
814 μόνον, αἷς τὸν τοῦ Ἰξίονος ἐπιθόρνυσθαί φασιν, ὑφ' οὗ οἱ κένταυροι [ἐνωθέντες] ἦλθον ἐς κρᾶσιν· 57
τοῖς δὲ ἄρα καὶ μητέρες ὁμόφυλοι ἦσαν καὶ γυναῖκες ἤδη καὶ πῶλοι ἐν εἴδει βρεφῶν καὶ οἶκος ἥδιστος.
οὐ γὰρ οἶμαί σε ἄχθεσθαι τῷ Πηλίῳ καὶ τῇ ἐν αὐτῷ διαίτῃ καὶ τῷ τῆς μελίας φυτῷ ἀνεμοτρεφεῖ
ὄντι καὶ παρεχομένῳ τὸ ἰδὺ ὁμοῦ καὶ τὸ μὴ κλᾶσθαι ἐν τῇ αἰχμῇ, καὶ τὰ ἄντρα κάλλιστα καὶ αἱ
25 πηγαί, καὶ αἱ παρ' αὐτοῖς κενταυρίδες, εἰ μὲν ἐπιλαθοίμεθα τῶν ἵππων, οἷον ναΐδες, εἰ δὲ μετὰ
τῶν ἵππων αὐτὰς λογιζοίμεθα, οἷον ἀμαζόνες, ἡ γὰρ τοῦ γυναικείου εἴδους ἁβρότης ῥώννυται
συνορωμένου αὐτῷ τοῦ ἵππου. κένταυροι δὲ ταυτὶ τὰ μὲν βρέφη τὰ μὲν σπαργάνοις ἔγκειται, τὰ δὲ
τῶν σπαργάνων ὑπεκδύεται, τὰ δὲ κλάειν ἔοικε, τὰ δὲ εὖ πράττει καὶ εὐροοῦντος τοῦ μαζοῦ μει-

1. περὶ a et h ex corr. 2. τὸ ἆθλον. p ante corr. et j. τὸν ἆθλον. f. τὰ ἆθλα. ς. ib. ὀκλάσας. f, j, p, vd. ἐνοκλάσας. ς. 3. καὶ γὰρ τοῦτο. f, j, l. 4. ὅτε. ψ. 5. καὶ om. f. ib. ἀποβλίζουσι. br. ib. αἶκοι. ψ. 6. ἀλλὰ — ζωγράφου. v. ib. συμπλέξαι. γ et γρ. συμβαλεῖν. συμμαχεῖν. v. 7. μὲν οὖν. v. ib. καὶ διαλήγειν ἄμφω δοῦναι. v. καὶ, νὴ Δία, δοῦναι ἄμφω λήγειν. conj. J. Inde scripsi: καί, νὴ Δία, λήγειν ἄμφω δοῦναι. In ς est καὶ διαδοῦναι ἄμφω λήγειν. ib. ὡς διαφεύγειν conj. J. 8. ἢ τὸ. v. ib. τέρμα τὸ θατέρου conj. J. ib. καὶ — φαίνεσθαι om. o. 9. καὶ τὸ τοῦ. f, J. ib. ὄμμα. f et j, ubi ἦθος in mg. ἦθος. ς. (l, vd.) ib. πεπνῆσθαι. φ. ib. πηκτίς. π. πυκτίς. vd. 10. νυνὶ δὲ ὑποκ. vd. ib. ὑποκυρισμοῦ. π. ib. αὐτὴν. l. mg. 11. μάλα. f, j. ib. θύρας. C. τὰς θύρας. EJ. ib. τὸν ἄνδρα τοῦ ἄντρου. π. 12. παιδίω. br, vd. ib. ὁ αὐτὸς. f, j, p, J. οἱ αὐτοὶ. φ, 2, 3, E. 13. χρῆσθαι. μ. ib. Fo: ἑαυτῷ. 14. τὸν ἀνεκτὸν. ρ. ib. μονονουχί. f. p, J. μονονού. ς. 15. ἀφαιρεῖ. f, vd, l. φ, J. ἀφαιρῇ p. ἀφερῇ. j. ἀφαιρεῖν. 2, 3, E. 16. λαγαρὸς. ρ. ib. ὁ ἱππασθείς. φ. ἱππαστής. ρ. ib. ὀχήσω. ρ. ib. ποτὲ ἐπὶ. o. ib. ἢ B. j. ib. Βαλλίον. f, j, ρ. 17. θεὸν. f, j, l, p. θεῶν. ς. 18. συνεκφεύγοντες. o. συνεκφεύγονται, π ex nota Osanni Auct. lex. 152. Fo: ὅσα θεὸν καὶ σὲ ὑπεκφεύγοντας.

III. 20. μὲν om. vd. pr. m. ib. ἀλλὰ καὶ. π. ib. ταύρων. j. κενταυρίδων. l (et mg. γρ. κενταύρων.). ε. m. κενταύρων add. id. sec. m. vd. 21. μόνων. l. ib. ἐς τὸν. ρ, π. ib. κενταύριοι. j. ib. οἰνωθέντες et ἠνωθέντες mg. l. οἰνωθέντες. C, ε. ἑνωθέντες. m, o. ὁρμηθέντες. Creuzer Wiener Jahrb. LVII, 42. Inclusi participium. οἶκος ἥδιστος, οὐ γὰρ om. o. 23. ἀνεμοτροφεῖ. f, φ, E. 24. καὶ αἱ — ἀμαζόνες. v. 25. κεντρίδες. ρ. 26. λογιζόμεθα. ς. ib. γυναικίου. br. 27. συναρωμένου. γ, ς. ib. βρέφη καὶ τὰ μὲν. vd. 29. πράττειν. vd.

36, 57. p. 813, 814. II, 3.

διᾷ, τὰ δὲ ἀτάλλει ὑπὸ ταῖς μητράσι, τὰ δὲ περιβάλλει αὐτὰς ὀκλαζούσας, ὁ δὲ ἐς τὴν μητέρα λίθον ἀφίησιν ὑβρίζων ἤδη καὶ τὸ μὲν τῶν νηπίων εἶδος οὔπω σαφὲς ἐμπλημμυροῦντος αὐτοῖς τοῦ γάλακτος, τὰ δὲ ἤδη σκιρτῶντα ἐκφαίνει τι καὶ τραχύτητος. ὑπάρχει δὲ αὐτοῖς χαίτη μέλλουσα καὶ ὁπλαὶ ἁπαλαὶ ἔτι. ὡς καλαὶ αἱ κενταυρίδες καὶ ἐν ταῖς ἵπποις· αἱ μὲν γὰρ λευκαῖς ἵπποις ἐμπεφύκασιν, αἱ δὲ ξανθαῖς συνάπτονται, τὰς δὲ ποικίλλει μέν, ἀποστίλβει δὲ αὐτῶν οἷόν τι τῶν ἐν κομιδῇ ἵππων. ἐκπέφυκε καὶ μελαίνης ἵππου λευκὴ κενταυρὶς καὶ τὰ ἐναντιώτατα τῶν χρωμάτων ἐς τὴν τοῦ κάλλους συνθήκην ὁμολογεῖ.

ΙΠΠΟΛΥΤΟΣ.

δ'. Τὸ μὲν θηρίον ἀρὰ Θησέως, ἐμπέπτωκε δὲ τοῖς Ἱππολύτου ἵπποις ἐν εἴδει ταύρου γλαυκοῦ κατὰ τοὺς δελφῖνας, ἥκει δὲ ἐκ θαλάττης κατὰ τοῦ μειρακίου οὐδεμιᾷ δίκῃ· μητρυιὰ γὰρ Φαίδρα ξυνθεῖσα λόγον ἐπ' αὐτῷ οὐκ ὄντα, ὡς δὴ ἐρῷτο ὑπὸ τοῦ Ἱππολύτου — αὐτὴ δὲ ἄρα τοῦ μειρακίου ἦρα — ἀπατᾶται ὁ Θησεὺς τῷ λόγῳ καὶ καταρᾶται τοῦ παιδὸς τὰ ὁρώμενα· οἱ μὲν δὴ ἵπποι ὁρᾷς, ὡς ἀτιμάσαντες τὸν ζυγὸν ἐλευθέραν αἴρουσι τὴν χαίτην, οὐδὲ κροαίνουσιν, ὥσπερ οἱ λαμπροὶ καὶ ἔμφρονες, ἀλλ' ἐξηρμένοι φόβῳ καὶ πτοίᾳ, ῥαίνοντες δὲ ἀφρῷ τὸ πεδίον ὁ μὲν ἐς τὸ θηρίον ἐπέστραπται φεύγων, ὁ δ' ἀνεσκίρτησεν ἐς αὐτό, ὁ δὲ ὑποβλέπει, τῷ δὲ ἐς τὴν θάλατταν ἡ φορὰ καθάπερ ἑαυτοῦ τε καὶ τῆς γῆς ἐκλαθομένῳ, μυκτῆρσι δὲ ὀρθοῖς ὀξὺ χρεμετίζουσιν, εἰ μὴ παρακούεις τῆς γραφῆς. τροχοὶ δ' ἅρματος ὁ μὲν ἐξήρμοσται τὰς κνήμας ὑπὸ τοῦ συγκλιθῆναι τὸ ἅρμα ἐς αὐτόν, ὁ δ' ἐκλελοιπὼς τὸν ἄξονα φέρεται καθ' ἑαυτὸν στροβούσης αὐτὸν ἔτι τῆς δίνης. διεπτόηνται καὶ οἱ τῶν ὀπαδῶν ἵπποι καὶ τοὺς μὲν ἀποσείονται, τοὺς δ' ἄγχοντάς ποι ἤδη φέρουσι. σὺ δέ, μειράκιον, σωφροσύνης ἐρῶν ἄδικα μὲν ὑπὸ τῆς μητρυιᾶς ἔπαθες, ἀδικώτερα δὲ ὑπὸ τοῦ πατρός, ὥστε ὠδύρατο καὶ ἡ γραφὴ θρῆνόν τινα ποιητικὸν ἐπὶ σοὶ ξυνθεῖσα· σκοπιαὶ μὲν γὰρ αὗται, δι' ὧν ἐθήρας ξὺν Ἀρτέμιδι, δρύπτονται τὰς παρειὰς ἐν εἴδει γυναικῶν, λειμῶνες δ' ἐν ὥρᾳ μειρακίων, οὓς ἀκηράτους ὠνόμαζες, μαραίνουσιν ἐπὶ σοὶ τὰ ἄνθη, νύμφαι τε αἱ σαὶ τροφοὶ τουτωνὶ τῶν πηγῶν ἀνασχοῦσαι σπαράττουσι τὰς κόμας ἀποβλύζουσαι τῶν μαζῶν ὕδωρ. ἤμυνε δέ σοι οὐδ' ἡ ἀνδρία οὐδέν, οὐδὲ ὁ βραχίων, ἀλλά σοι τὰ μὲν ἐσπάρακται τῶν μελῶν, τὰ δὲ συντέτριπται, πέφυρται δ' ἡ κόμη, καὶ τὸ μὲν στέρνον ἔμπνουν ἔτι καθάπερ μὴ μεθιέμενον τῆς ψυχῆς, τὸ δὲ ὄμμα περιαθρεῖ τὰ τετρωμένα. φεῦ τῆς ὥρας, ὡς ἄτρωτός τις ἐλελήθει οὖσα· οὐδὲ γὰρ νῦν ἀπολείπει τὸ μειράκιον, ἀλλ' ἐπιπρέπει τι καὶ τοῖς τραύμασιν.

1. ἀτάλλει. f, π, J. ἀτάλει. γ. ἀττάλει. γ. ἀττάλλει. vd, E. ib. ὁ δὲ — ἤδη. v, qui addit τῶν κενταύρων. ib. τὸ δὲ — ὑβρίζον. vd. 2. ὑβρίζειν. v. ib. ἐμπλημμυρ. 1, π. ἐκπλημμυρ. ς. (vd.) ib. αὐτοῖς τοῦ γ. vd. αὐτῷ τοῦ γ. ς. 3. ἐμφαίνει. m, ubi mg. γρ. ἐκφαίνει, et o. ib. αὐτῆς. ρ. 4. καὶ καλαὶ. π. ib. τοῖς ἵπποις. C, EJ. Sc: ταῖς ἵπποις. ib. λευκοῖς. br. 5. ξυνάπτονται. φ. p 1761. συνάπτονται. ς. 6. ἐναντιώματα. ρ. ib. τῶν om. f, j. 7. ἐς τὸν. o. iv. 8. ἀρὰ. conj. J. ἄρα. ς. ib. γλαυκοῦ. p et l, ubi in mg. λευκοῦ. o, J. θελφοῦ et suprasc. λευκοῦ. γ. λευκοῦ. ς. (f, vd, φ.) 9. οὐδὲ μιᾷ. μ, vd. 10. Φαίδρα — ἦρα. v. ib. Φαίδρα. J. ib. μητρυὰ. φ. ib. ἐπὶ Ἱππολύτῳ ἥκοντα. v. ἐπ' αὐτὸ. ρ. ib. διερῶτο. v, br, p 1760, 1761. δὴ ἐρῶ τὸ. φ. ib. ὑπ' αὐτοῦ. v. 12. ἀτιμάσαντα. φ. ib. ὅδε. f. οἵδε. l. οὐδὲ. om. m, o. ib. κροαίνουσιν. l. κροαίνοντες. ς. 13. ἐξηρημένοι. f, p. ib. παιδίον. j. 14. ὑπέστραπται. π. ib. ἀνεσκίρτησεν. o. ib. τῷ δὲ — ἐκλαθομένῳ. v. ib. εἰς τὴν θ. v, φ, vd, π. ib. θάλασσαν. π. 15. ἑαυτοῦ τε. v. ἑαυτοῦ. ς. ib. χρεματίζοντι. br. 16. παρακούοις. μ, p 1761. ib. κνήμας. 1, EJ. πλήμνας et γρ. κνήμας. g. πλήμνας. 2, 3. E. 17. τῆς δίνης. E post αὐτὸν. in vd. add. sec. m. ib. καθ' ἑαυτὸν. f, p. καθ' αὐτὸν. ς. ib. στροβούσῃ. π. στρομβούσης. E. 18. οἱ τῶν παίδων. φ. ib. ἄγχον τὰς. f. ἄγχοντες. 2, 3, ε, m. ib. ποι. C, J. που. vd. πη. E. 19. πέπονθας. vd. 20. ἐπὶ σοὶ om. l. 21. μὲν γὰρ. 1, π, J. μὲν. 2, 3. E. ib. σὺν Ἀρτ. p, γ, g. ib. θρύπτονται. αι π. θρύπτονται — γυναικῶν om. vd. 23. ταράττουσι et mg. σπαράττουσι. l. ib. τῶν ὀμμάτων. conj. J. 24. ἤμυνε. sic. vd. corr. pr. m. ib. ἡ ἀνδρεία. φ. ib. οὐδ' ὁ βρ. vd. ib. ἐσπάρατται. l, j. 27. οὐ γὰρ. f, j. ib. ἐπιτρέπει. p. ante corr. ε, m.

58, 59. p. 815. 11, 4.

ΡΟΔΟΓΟΥΝΗ.

ε΄. Καὶ τὸ αἷμα πρὸς τῷ χαλκῷ καὶ ταῖς φοινικίσι προσβάλλει τι ἄνθος τῷ στρατοπέδῳ, καὶ χαρίεν τῆς γραφῆς οἱ ἄλλος ἄλλως πεπτωκότες ἵπποι τε ἀτακτοῦντες μετ' ἐκπλήξεως καὶ παρε-
816 φθορὸς ὕδωρ ποταμοῦ, ἐφ' ᾧ ταῦτα, οἱ δὲ αἰχμάλωτοι καὶ τὸ ἐπ' αὐτοῖς τρόπαιον Ῥοδογούνη καὶ Πέρσαι νικῶσιν Ἀρμενίους ἐν σπονδαῖς ἀτακτήσαντας, ὅτε δὴ λέγεται ἡ Ῥοδογούνη κρατῆσαι τῆς μάχης οὐδὲ ὅσον τὰ δεξιὰ τῆς χαίτης ἀναλαβεῖν ξυγχωρήσασα ἑαυτῇ βραδῦναι. ἢ οὐκ ἐπῆρται καὶ φρονεῖ ἐπὶ τῇ νίκῃ καὶ ξυνίησιν, ὡς ἔσοιτο ἀοίδιμος ἐπὶ τῷ ἔργῳ καὶ ἐν κιθάρᾳ καὶ ἐν αὐλῷ καὶ ἔνθα Ἕλληνες; προσγέγραπται δὲ αὐτῇ καὶ Νισαία ἵππος μέλαινα ἐπὶ λευκοῖς τοῖς σκέλεσι καὶ τὰ στέρνα λευκὰ καὶ τὸ πνεῦμα ἀπὸ λευκοῦ τοῦ μυκτῆρος καὶ τὸ μέτωπον ἐν ἀρτίῳ τῷ κύκλῳ. λίθων μὲν οὖν καὶ ὅρμων καὶ παντὸς ἁπαλοῦ κόσμου παρακεχώρηκεν ἡ Ῥοδογούνη τῷ ἵππῳ, ὡς ἀγάλ-
10 λοιτο καὶ ἁβρῶς τὸν χαλινὸν διαπτύοι, κοκκοβαφεῖ δὲ ἐσθῆτι καταλάμπει πάντα πλὴν τοῦ ἑαυτῆς εἴδους ἐν ἡδείᾳ μὲν τῇ ζώνῃ καὶ τὴν ἐσθῆτα μετρούσῃ ἐς γόνυ, ἡδείᾳ δὲ τῇ ἀναξυρίδι καὶ παρε- 60
χομένῃ γραφὰς ἀπὸ κερκίδος, τὸ δὲ ἀπὸ ὤμου ἐς ἀγκῶνα τὸν χιτῶνα διαλείπουσαι πόρπαι ξυνάπτουσιν ὑπανισχούσης ἐναλλὰξ τῆς ὠλένης, ἔνθα ὁ δεσμός. ὁ δὲ ὦμος ἔγκειται καὶ τὸ σχῆμα οὔπω ἀμαζόνος. καὶ τῆς ἀσπίδος ἄγασθαι χρὴ τὸ μέτριον καὶ ἀποχρῶν τῷ στέρνῳ καὶ τὴν ἰσχὺν τῆς
15 γραφῆς ἐνταῦθα ἐξετάσαι· ὑπερβάλλουσα γὰρ ἡ ἀριστερὰ τὸν πόρπακα ἔχεται τῆς αἰχμῆς ἀφιστᾶσα τοῦ στέρνου τὴν ἀσπίδα, ὀρθῆς δὲ ἐκκειμένης τῆς ἵππου ὁρᾶται μὲν καὶ τὰ ἔξω τῆς ἀσπίδος· ἢ οὐ χρυσᾶ ταῦτα καὶ οἷον ζῷα; τὰ δὲ ἔσω, καὶ ἔνθα ἡ χείρ, ἀλουργά, προσανθεῖ δὲ αὐτοῖς ὁ πῆχυς. αἰσθάνεσθαί μοι δοκεῖς, ὦ παῖ, τοῦ ἐν αὐτῇ κάλλους καὶ βούλεσθαί τι καὶ περὶ τούτου ἀκούειν. ἄκουε δή· σπένδει μὲν ἐπὶ τῇ τῶν Ἀρμενίων τροπῇ, καὶ ἡ ἔννοια εὐχομένης. εὔχεται δὲ αἱρεῖν
817 20 τοὺς ἄνδρας, οὓς νῦν ἥρηκεν, οὐ γάρ μοι δοκεῖ ἐρᾶν τοῦ ἐρᾶσθαι. καὶ τὸ μὲν ἀνειλημμένον τῶν τριχῶν αἰδοῖ κεκόσμηται τὸ ἀγέρωχον κολαζούσῃ, τὸ δὲ ἄνετον βακχεύει αὐτὴν καὶ ῥώννυσι, καὶ ξανθὸν μὲν καὶ χρυσοῦ πέρα τὸ ἀτακτοῦν τῆς κόμης, τὸ δὲ ἐπὶ θάτερα κείμενον ἔχει τι καὶ ἐς αὐγὴν παραλλάττον ὑπὸ τοῦ τετάχθαι. τῶν δὲ ὀφρύων χαρίεν μὲν τὸ ἀπὸ τοῦ αὐτοῦ ἄρχεσθαι καὶ ὁμόθεν ἐκπεφυκέναι τῆς ῥινός, χαριέστερον δὲ τὸ περιῆχθαι, δεῖ γὰρ αὐτὰς μὴ προβεβλῆσθαι
25 τῶν ὀφθαλμῶν μόνον, ἀλλὰ καὶ περιβεβλῆσθαι αὐτοῖς. ἡ παρειὰ δὲ ὑποδέχεται μὲν τὸν ἀπὸ τῶν ὀμμάτων ἵμερον, εὐφραίνει δὲ τῷ ἱλαρῷ, τὸ γὰρ φιλομειδὲς ἐν παρειᾷ μάλιστα, καὶ οἱ ὀφθαλμοὶ κέκρανται μὲν ἀπὸ τοῦ χαροποῦ ἐς τὸ μέλαν, παρέχονται δὲ τὸ μὲν ἱλαρὸν ἀπὸ τοῦ καιροῦ, τὸ δὲ ὡραῖον ἀπὸ τῆς φύσεως, τὸ δὲ γαῦρον ἀπὸ τοῦ ἄρχειν. στόμα δὲ ἁπαλὸν καὶ ἀνάμεστον ὀπώρας ἐρωτικῆς, φιλῆσαι μὲν ἥδιστον, ἀπαγγεῖλαι δὲ οὐ ῥᾴδιον· ἃ δὲ ἀπόχρη σοι μαθεῖν, ὅρα, παι- 61
30 δίον· χείλη ἀνθηρὰ καὶ ἴσα, στόμα σύμμετρον καὶ παραφθεγγόμενον τὴν εὐχὴν τῷ τροπαίῳ, κἂν παρακοῦσαι βουληθῶμεν, τάχα ἑλληνιεῖ.

v. 2. ἄλλος ἄλλη. vd. ἄλλοι ἄλλως. i2. ib. παρεμφθορὸς. br. 3. ὑπ' αὐτοῖς et mg. ἐπ' αὐτοῖς. l. ἐπ' αὐτῆς. f. ib. τρόπαιον. vd, π. τροπαῖον. ς. 4. ἀτακτήσαντες. ρ. 5. βραδῦναι. vd, J. βραδύναι. E. ib. ἢ. J. ᾗ. m. 6. ἐν αὐλοῖς. EJ. καὶ αὐλοῖς. l. 7. ἔνθα οἱ Ἑλλ. vd, φ. ib. Νησαία. f. Νίσαια. μ. 9. ἄλλου. π, ρ, br, m. mg. ib. καὶ ἀγάλοιτο. φ. 10. διαπτύη. φ. ib. κοκκοβαφῆ. f. ib. καταλάμπειν. ρ. 12. γραφὰς ἀπὸ κερκίδος κτὲ expressit Aristaenet. I, 27. p. 118. ed. B. ib. ἀπὸ τοῦ ὤμου. φ, vd, et p ex corr. 13. οὐ δεσμὸς. o. ib. ἐγχεῖται. f. ἐγκεῖται. φ. ib. καὶ om. C ante τὸ σχῆμα. 14. ἄγεσθαι. f. 15. ἐξέτασε. l. ib. ὑποβάλλουσα. o. ib. ἀφιστᾶσαι. f, j, φ. 16. ἐκκειμένης. l, o, J. ἐγκειμένης. ς. ib. ἀσπίδα τοῦ στέρνου. ρ. ib. τῆς om. br. ib. ᾗ οὐ. J. 17. ἀλουργὰ. vd. ib. αὐτῆς. l. γ. 18. αἰσθάνεσθαί μοι δοκεῖς. 1, π, 2. καὶ αἰσθάνεσθαι μοι. l. αἰσθάνεσθαι δέ μοι. 3, EJ. 19. εὔνοια. l. ἔνοια. π. 20. ὡς νῦν. o. ib. ἀντερᾶσθαι. π. ib. τὸ μὲν — τροπαίῳ. h. ib. ἐνειλημμένον. π. 22. ξανθὴν. j. ib. ἐς αὐτὴν conj. J. εἰς αὐτὴν. br. εἰς αὐτὴν. ς. 23. τὸ ὑπὸ τοῦ αὐτοῦ. vd. τὸ ἀπὸ τούτου τοῦ. γ. αὐτοῦ om. ε, m. τὸ et αὐτοῦ om. o. 24. τὴν ῥῖνα. p ante corr. 25. τῶν — περιβεβλῆσθαι om. j, γ. ib. τὸ ἀπὸ τῶν ὀφθ. φ. ib. μόνων. π. ib. ἡ παρειὰ — ἵμερον. Arist. II, 4. p. 138 ed. B. 27. εἰς. b, 9. 29. ἰδεῖν μὲν — ῥᾴδιον. v. φιλῆσαι μὲν — ῥᾴδιον. Ar. l. c. ib. ἰδεῖν. v. 30. περιφθ. vd. ib. τῷ τροπαίῳ om. p 1760. τῷ τροπαίῳ ἐκ τοῦ λελησθότος. μ, p 1761. τῷ τρόπῳ. vd.

60, 61. p. 816, 817. II, 5.

ΑΡΡΙΧΙΩΝ.

ς'. Ἐς αὐτὰ ἥκεις Ὀλύμπια καὶ τῶν ἐν Ὀλυμπίᾳ το κάλλιστον, τουτὶ γὰρ δὴ ἀνδρῶν τὸ παγκράτιον, στεφανοῦται δὲ αὐτὸ Ἀρριχίων ἐπαποθανὼν τῇ νίκῃ καὶ στεφανοῖ αὐτὸν οὑτοσὶ Ἑλλανοδίκης — ἀτρεκὴς δὲ προσειρήσθω διά τε τὸ ἐπιμελεῖσθαι ἀληθείας διά τε τό, ὡς ἐκεῖνοι, γεγράφθαι — στάδιόν τε ἡ γῆ δίδωσιν ἐν ἁπαλῇ αὐλῶνι καὶ ἐσεχούσῃ τοσοῦτον, καὶ τὸ τοῦ Ἀλφειοῦ 818
νᾶμα ἐξέρχεται κοῦφον — ταῦτά τοι καὶ μόνος ποταμῶν ἐπὶ τῆς θαλάττης ὀχεῖται — κότινοί τε
αὐτῷ περιτεθήλασιν ἐν γλαυκῷ εἴδει καλοὶ καὶ κατὰ τὴν τῶν σελίνων οὐλότητα. ταυτὶ μὲν οὖν μετὰ τὸ στάδιον ἐπισκεψόμεθα καὶ πολλά ἕτερα, τὸ δὲ ἔργον τοῦ Ἀρριχίωνος, πρὶν ἢ παύσασθαι αὐτό, σκοπῶμεν, ἔοικε γὰρ μὴ τοῦ ἀντιπάλου μόνον, ἀλλὰ καὶ τοῦ Ἑλληνικοῦ κεκρατηκέναι· βοῶσι γοῦν ἀναπηδήσαντες τῶν θάκων καὶ οἱ μὲν τῷ χεῖρε ἀνασείουσιν, οἱ δὲ τὴν ἐσθῆτα, οἱ δὲ αἴρονται ἀπὸ τῆς γῆς, οἱ δὲ τοῖς πλησίον ἱλαρὸν προσπαλαίουσι, τὰ γὰρ οὕτως ἐκπληκτικὰ οὐ
συγχωρεῖ τοῖς θεαταῖς ἐν τῷ καθεκτῷ εἶναι. ἢ τίς οὕτως ἀναίσθητος, ὡς μὴ ἀνακραγεῖν ἐπὶ τῷ
62 ἀθλητῇ; μεγάλου γὰρ δὴ αὐτῷ ὑπάρχοντος τοῦ δὶς ἤδη νικῆσαι τὰ Ὀλύμπια μεῖζον τοῦτο νυνί, ὅτε καὶ τῆς ψυχῆς αὐτὰ κτησάμενος ἐς τὸν τῶν ὀλβίων πέμπεται χῶρον αὐτῇ κόνει. μὴ δὲ συντυχία νοείσθω τοῦτο, σοφώτατα γὰρ προυνοήθη καὶ τὸ πάλαισμα τῆς νίκης· οἱ παγκρατιάζοντες, ὦ παῖ,
κεκινδυνευμένῃ προσχρῶνται τῇ πάλῃ, δεῖ γὰρ αὐτοῖς ὑπτιασμῶν τε, οὓς μή εἰσιν ἀσφαλεῖς τῷ πα- 819
λαίοντι, καὶ συμπλοκῶν, ἐν αἷς περιγίγνεσθαι χρὴ οἷον πίπτοντα, δεῖ δὲ αὐτοῖς καὶ τέχνης ἐς τὸ ἄλλοτε ἄλλως ἄγχειν, οἱ δὲ αὐτοὶ καὶ σφυρῷ προσπαλαίουσι καὶ τὴν χεῖρα στρεβλοῦσι, προσόντος τοῦ παίειν καὶ ἐνάλλεσθαι· ταυτὶ γὰρ τοῦ παγκρατιάζειν ἔργα πλὴν τοῦ δάκνειν καὶ ὀρύττειν. Λακεδαιμόνιοι μὲν οὖν καὶ ταῦτα νομίζουσιν ἀπογυμνάζοντες, οἶμαι, ἑαυτοὺς ἐς τὰς μάχας, Ἠλεῖοι δὲ καὶ οἱ ἀγῶνες ταυτὶ μὲν ἀφαιροῦσι, τὸ δὲ ἄγχειν ἐπαινοῦσιν. ὅθεν τὸν Ἀρριχίωνα μέσον ἤδη
ἠρηκὼς ὁ ἀντίπαλος ἀποκτεῖναι ἔγνω καὶ τὸν μὲν πῆχυν τῇ δειρῇ ἐνέβαλεν ἀποφράττων αὐτῷ τὸ ἄσθμα, τὰ σκέλη δὲ τοῖς βουβῶσιν ἐναρμόσας καὶ περιδιείρας ἐς ἑκατέραν ἀγκύλην ἄκρῳ τῷ πόδε τῷ μὲν πνίγματι ἔφθη αὐτὸν ὑπνηλοῦ τοῦ ἐντεῦθεν θανάτου τοῖς αἰσθητηρίοις ἐντρέχοντος, τῇ δὲ ἐπιτάσει τῶν σκελῶν ἀνειμένῃ χρησάμενος οὐκ ἔφθη τὸν λογισμὸν τοῦ Ἀρριχίωνος· ἐκλακτίσας γὰρ τὸν ταρσὸν τοῦ ποδὸς Ἀρριχίων, ὑφ' οὗ ἐκινδύνευεν αὐτῷ τὰ δεξιὰ κρεμαννυμένης ἤδη τῆς
ἀγκύλης ἐκεῖνον μὲν συνέχει τῷ βουβῶνι ὡς οὐκέτ' ἀντίπαλον, τοῖς δέ γε ἀριστεροῖς ἐνιζήσας καὶ τὸ περὶ τὸ ἄκρον τοῦ ποδὸς ἐναποκλείσας τῇ ἀγκύλῃ οὐκ ἐᾷ μένειν τῷ σφυρῷ τὸν ἀστράγαλον
63 ὑπὸ τῆς ἐς τὸ ἔξω βιαίου ἀποστροφῆς, ἡ γὰρ ψυχὴ ἀπιοῦσα τοῦ σώματος ἀδρανὲς μὲν αὐτὸ ἐργάζεται, δίδωσι δὲ αὐτῷ ἰσχύειν ἐς ὃ ἀπερείδεται. γέγραπται δὲ ὁ μὲν ἀποπνίξας νεκρῷ εἰκάσαι

VI. 1. εἰς αὐτὰ. μ. 2. αὐτῷ. C, EJ. Sc: αὐτὸ. ib. Ἀριχίων. φ. Ἀρριχίωνι. π. ib. οὑτοσίν. μ. 3. Ἑλληνοδίκης. π, ρ et vd. sec. m. ib. προσειρήσθαι. j. 4. στάδιον — τοσοῦτον om. ψ. ib. στάδιον δὲ. J. ib. δίδωσιν ἔνθα ἐναπλῇ αὐλῶν. π. ἁπαλῇ. l. ἀπλῇ. g. ἁπλῇ. ς. ib. καὶ om. γ. 5. ποταμὸς. vd. ib. ἡχεῖται. j. 6. An παρατεθήλασιν? ib. καὶ om. l. ib. τῶν om. l. ib. σελήνων. μ. ib. ταυτὶ — ἕτερα. ν. 7. ἐπισκεψώμεθα. ν, μ. ib. ἔργον τοῦ. f, p. ἔργον τὸ τοῦ. ς. 8. αὐτῷ. br. ib. πρινὴ. j. 9. βοῶσιν οὖν. μ. ib. θώκων. vd. 10. ἱλαρὸν. f, j, br, J. ἱλαροὶ. ς. ib. ὄντως. f, j. ib. ἐπιπληκτὰ. γ. ἐπιπληκτικὰ. g. 11. ἀναγαγεῖν. ρ. 12. μεγάλου — χῶρον. ν. ib. δὴ om. π. 13. κτησαμένης. ν, l. ib. εἰς τὸν τῶν Ὀλυμπίων. φ. ib. αὐτῇ τῇ κόνει. φ, vd. ib. μὴ δὲ. C, J. μὴ. E. ib. μὴ — νίκης. ν. 14. τούτω. π. ib. προύνοήθη τῆς νίκης καὶ τὸ π. f, p, EJ. προυνοήθη καὶ τὸ πάλ. vd, φ, 2, 3. ib. τῆς νίκης. vd, φ, 2, 3. Deest in f, p, EJ. τὸ πάλαισμα οὐκ ἀγνοήσεις. EJ. ib. παγκρατίζοντες. j. 15. παλάμῃ. f, j et p ante corr. ib. ὑπωπιασμῶν. p, f. ὑπωπισμῶν. j. ὑποπτιασμῶν. γ. ib. οἱ. m, o. εἰ. s. ib. οὐκ. μ. 16. ἐν οἷς. φ. ib. περιγίγνεσθαι. l, j. περιγίνεσθαι. ς. ib. οἱ πίπτοντα. π. ib. καὶ — ἐνάλλεσθαι. ν. 17. ἀποστρεβλοῦσι. ν. 18. ἐναλλάττεσθαι. γ. ib. καὶ ὀρύττειν. l, m. γρ. J. ἢ ὑύττειν. o. ἢ ὀρύττειν. ς. 19. Λακεδαιμονίοις. mg. l. ib. οὖν om. μ. ib. ἀπογυμνάζουσιν. suprasc. οντες. g. ib. ἐς. p, φ, J. εἰς. ς. 20. καὶ οἱ ἀγῶνες. l. καὶ ἀγῶνες. f et p ante corr. ἀγῶνες. vd, φ, 2, 3, EJ. ib. ταυτὰ. π. ib. ἄρχειν. φ. ib. ὅθεν — χειρί. h. 21. ἤδη τῇ. f, j, p. ib. πηχῆ. j. ib. δειρί. φ. ib. ἀποσφάττον. l. ib. αὐτὸ τὸ. ρ. 22. ἐς ἐκ. φ. 23. τὸ ἐντεῦθεν. f, J. ib τῆδε. m, o. 24. ἐπιστάσει. φ. ib. ἀνημένῃ. j. ib. γρ. λυγισμὸν. m, inde o, J. ib. ὑπὸ τοῦ. vd. 25. ἐφ' οὗ. φ. 26. ἐκεῖνος. f, j, l, h. ib. συνέχει. μ, ρ, h. ib. βουβῶνι οὐκέτ'. φ. 27. τὸ περιττὸν. l, h. περὶ τὸ deleverim. ib. ἄκρον suprasc. ου. p. ib. τὴν ἀστραγάλην. j. 28. ἀναστροφῆς. φ. ἀποστροφῆς, υ suprasc. f. ὑποστροφῆς. vd. 29. δὲ αὐτὸ. vd, j, p, π. ib. ἀπερίδεται. br.

62, 63. p. 818, 819. II, 6.

καὶ τὸ ἀπαγορεῦον ἐπισημαίνων τῇ χειρί, ὁ δὲ Ἀρριχίων ὅσα οἱ νικῶντες γέγραπται, καὶ γὰρ το αἷμα ἐν τῷ ἄνθει καὶ ὁ ἱδρὼς ἀκραιφνὴς ἔτι, καὶ μειδιᾷ, καθάπερ οἱ ζῶντες, ἐπειδὰν νίκης αἰσθάνωνται.

ΑΝΤΙΛΟΧΟΣ.

ξ'. Τὸν Ἀχιλλέα ἐρᾶν τοῦ Ἀντιλόχου πεφώρακας, οἶμαι, παρ' Ὁμήρῳ, νεώτατον τοῦ Ἑλληνικοῦ ὁρῶν τὸν Ἀντίλοχον, καὶ τὸ ἡμιτάλαντον τοῦ χρυσοῦ ἐννοῶν τὸ ἐπὶ τῷ ἀγῶνι, καὶ ἀπαγγέλλει τῷ Ἀχιλλεῖ κεῖσθαι τὸν Πάτροκλον σοφισαμένου τοῦ Μενέλεω παραμυθίαν ὁμοῦ τῇ ἀγγελίᾳ, μεταβλέψαντος τοῦ Ἀχιλλέως ἐς τὰ παιδικά, καὶ θρηνεῖ ἐρωμένου ἐπὶ τῷ πένθει καὶ συνέχει τὸ χεῖρε, μὴ ἀποκτείνῃ ἑαυτόν, ὁ δ', οἶμαι, καὶ ἀπτομένῳ χαίρει καὶ δακρύοντι. ταῦτα μὲν οὖν Ὁμήρου γραφαί, τὸ δὲ τοῦ ζωγράφου δρᾶμα· ὁ Μέμνων ἐξ Αἰθιοπίας ἀφικόμενος κτείνει τὸν Ἀντίλοχον προβεβλημένον τοῦ πατρὸς καὶ τοὺς Ἀχαιοὺς οἷον δεῖμα ἐκπλήττει, πρὸ γὰρ τοῦ Μέμνονος μῦθος οἱ μέλανες, κρατοῦντες δὲ οἱ Ἀχαιοὶ τοῦ σώματος ὀδύρονται τὸν Ἀντίλοχον οἱ Ἀτρεῖδαι καὶ ὁ ἐκ τῆς Ἰθάκης καὶ ὁ τοῦ Τυδέως καὶ οἱ ὁμώνυμοι, ἐπίδηλος δὲ ὁ μὲν Ἰθακήσιος ἀπὸ τοῦ στρυφνοῦ καὶ ἐργηγορότος, ὁ δὲ Μενέλεως ἀπὸ τοῦ ἡμέρου, ὁ δὲ Ἀγαμέμνων ἀπὸ τοῦ ἐνθέου, τὸν δὲ τοῦ Τυδέως ἡ ἐλευθερία γράφει, γνωρίζοις δ' ἂν καὶ τὸν Τελαμώνιον ἀπὸ τοῦ βλοσυροῦ καὶ τὸν Λοκρὸν ἀπὸ τοῦ ἑτοίμου. καὶ ἡ στρατιὰ πενθεῖ τὸ μειράκιον περιεστῶτες αὐτὸ θρήνῳ ἅμα, πήξαντες δὲ τὰς
821 αἰχμὰς ἐς τοὔδαφος ἐναλλάττουσι τῷ πόδε καὶ στηρίζονται ἐπὶ τῶν αἰχμῶν ἀπερείσαντες οἱ πλεῖστοι δυσφορούσας τὰς κεφαλὰς τῷ ἄχει. τὸν Ἀχιλλέα μὴ ἀπὸ τῆς κόμης, οἴχεται γὰρ τοῦτο αὐτῷ μετὰ τὸν Πάτροκλον, ἀλλὰ τὸ εἶδος αὐτὸν ἐνδεικνύτω καὶ τὸ μέγεθος καὶ αὐτὸ τὸ μὴ κομᾶν. θρηνεῖ δὲ προσκείμενος τοῖς στέρνοις τοῦ Ἀντιλόχου, καὶ πυράν, οἶμαι, ἐπαγγέλλεται καὶ τὰ ἐς αὐτὴν καὶ τὰ ὅπλα ἴσως καὶ τὴν κεφαλὴν τοῦ Μέμνονος, ἀποτῖσαι γὰρ καὶ τὸν Μέμνονα ὅσα τὸν Ἕκτορα, ὡς μηδὲ ταῦτα ὁ Ἀντίλοχος ἔλαττον τοῦ Πατρόκλου ἔχοι. ὁ δ' ἐν τῷ τῶν Αἰθιόπων στρατῷ δεινὸς ἕστηκεν ἔχων αἰχμὴν καὶ λεοντῆν ἐνημμένος καὶ σεσηρὼς ἐς τὸν Ἀχιλλέα. σκεψώμεθα δ' αὖ καὶ τὸν Ἀντίλοχον· ἡβάσκει μὲν ὑπήνης πρόσω, κομᾷ δὲ ἐν ἡλιώσῃ κόμῃ. κοῦφος ἡ κνήμη καὶ τὸ σῶμα σύμμετρον ἐς ῥᾳστώνην τοῦ δρόμου καὶ τὸ αἷμα δὲ οἷον ἐπ' ἐλέφαντι χρῶμα ἤνθηκεν ἐσπεσούσης αὐτῷ κατὰ τοῦ στέρνου τῆς αἰχμῆς. κεῖται δὲ οὐ κατηφὲς τὸ μειράκιον, οὐδὲ νεκρῷ εἰκάσαι, φαιδρὸν δὲ καὶ μειδιῶν, τὴν γάρ, οἶμαι, χαρὰν τὴν ἐπὶ τῷ τὸν πατέρα σῶσαι φέρων ἐν τῷ εἴδει ὁ Ἀντίλοχος ἀπώλετο ὑπὸ τῆς αἰχμῆς, καὶ τὸ πρόσωπον ἡ ψυχὴ κατέλιπεν οὐχ ὡς ἥλγησεν, ἀλλ' ὡς ἐπεκράτησε τὸ εὐφραῖνον.

1. ἐπισημαίνον. l. τῇ χειρὶ ἐπισημ. h. ib. ὁ δὲ — γέγραπται. v. ib. νικῖνες. v. ib. γὰρ om. br. 2. ἐπειδὴ. o. ib. αἴσθωνται. vd.

VII. 7. τοῦ Ἀχιλλ. j. (non f.) Ἀχιλλ. ς. ib. εἰς παιδικά. φ, 2, π, ψ. ἐς om. vd. ubi legitur τὰ εἰς παιδικοὺς. l. ib. ἐρρωμένου. br. ἐρώμενος. vd. corr. sec. m. Fo: καὶ ὁ μὲν θρ. ἐ. s. ὅδ'. E. ib. αὐτά. C, E. αὗται conj. J. Sc: ταῦτα. 9. ἀφικόμενος om. ρ. 10. πρὸ — μέλανες. v. ib. Ἀγαμέμνονος. γ, g. 12. τῆς om. vd. eras. p et τοῦ item. Malui ἐκ delere in lect. C, E: ὁ ἐκ τοῦ Τυδέως. 13. Μενέλαος. br, J. ib. Ἀγ. ἀπὸ τοῦ συλικοῦ. vd. An βασιλικοῦ? ib. ἡ om. l. 14. γνωρίζεις δ' ἄν. φ. ib. βλοσυροῦ. π, ρ. 15. αὐτῷ. f, j, p et φ ante corr. 16. τὸ τῶν. l, π. 18. ἐκδεικνύτω. j, φ, ρ. ib. κοσμαν. sic. vd. 19. παρακείμενος. l. ib. στέρνοις Ἀντιλόχου. φ. ib. ἐπαγγέλλεται αὐτῷ. EJ. 20. ἴσως τὴν. φ. ib. ἀποτίσαι. p, vd. J. ἀποκτεῖναι. f, j. ἀποτῖναι. φ, ρ. ἀποτίναι. 2, E. Sc: ἀποτῖσαι. 21. ὡς μὴ καὶ ταῦτα. φ. ib. τῶν om. br. ib. ἔχει. π. 22. δεινῶς ἔνεκεν. φ. ib. λεοντῆν. μ. ib. σκεψώμεθα δ' αὖ. φ. σκεψώμεθα οὖν. ς. 23. ἡβάσκει — δρόμου. h. ib. δὲ καὶ ἐν. vd, φ, ρ, π et p ex corr. ib. καὶ κοῦφος. EJ. ib. κῦφος. φ. 24. τὸ αἷμα οἷον. 1, π, ρ, γ, g. τὸ αἷμα δὲ οἷον. ς. 25. ἤνθηκεν om vd, φ, π, ρ. ib. ἐσπεσούσης. C. ἐμπεσούσης. EJ. ib. κεῖται — μειδιῶν. v. ib. κατηρεφὲς. l. 26. νεκρὸν εἰκάσαι. v. ib. φαιδρὸν δὲ. v, et conj. J. φαιδρόν τι. 1, 2 (in μ ante φαιδρὸν legitur ἀλλὰ rubro atramento scriptum, in ρ 2706 idem in ordine.) φαιδρόν τε. 3, EJ. ib. ἐπὶ τὸν πατ. γ. 27. ὁ om. vd. 28. ὑπεκράτησε. π.

81. p. 821. II, 7.

ΜΕΛΗΣ.

65 ἡ. Τὸ μὲν τοῦ Ἐνιπέως καὶ ὡς ἦρα ἡ Τυρὼ τοῦ ὕδατος, Ὁμήρῳ λέλεκται, λέγει δὲ καὶ ἀπάτην τὴν ἐκ Ποσειδῶνος καὶ τὸ ἄνθος τοῦ κύματος, ὑφ' ᾧ ἡ εὐνή, οὑτοσὶ δὲ ὁ λόγος ἕτερος, οὐκ ἐκ Θετταλίας, ἀλλ' Ἰωνικός· ἐρᾷ ἡ Κριθηὶς ἐν Ἰωνίᾳ τοῦ Μέλητος, ὁ δ' ἐφήβῳ ἔοικε καὶ ὁρᾶται τῷ θεατῇ ὅλος, ἐκεῖ ἐκβάλλων ὅθεν ἄρχεται. πίνει δὲ οὐ διψῶσα καὶ λαμβάνεται τοῦ ὕδα- 822
τος καὶ κελαρύζοντι προσδιαλέγεται καθάπερ λαλοῦντι, δάκρυα δὲ λείβει ἐρωτικὰ τῷ ὕδατι, καὶ ὁ ποταμός, ἀντερᾷ γάρ, χαίρει αὐτῶν τῇ κράσει. χαρίεν μὲν οὖν τῆς γραφῆς αὐτὸς ὁ Μέλης ἐν κρόκῳ καὶ ἰωτῷ κείμενος καὶ ὑακίνθῳ χαίρων δι' ἡλικίαν τοῦ ἄνθους καὶ παρεχόμενος εἶδος ἁβρὸν καὶ μειρακιῶδες καὶ οὐδὲ ἄσοφον — εἴποις ἂν τοὺς ὀφθαλμοὺς τοῦ Μέλητος ἀνασκοπεῖν τι τῶν ποιητικῶν — χαρίεν δὲ αὐτοῦ καὶ ὅτι μὴ λάβρους τὰς πηγὰς ἐκδίδωσι, καθάπερ τοὺς ἀμαθεῖς τῶν ποταμῶν γράφεσθαι νόμος, ἀλλὰ τὴν γῆν ἄκροις τοῖς δακτύλοις διαμώμενος ὑπέχει τὴν
χεῖρα τῷ ὕδατι ἀψοφητὶ βλύζοντι, καὶ ὁρᾶται ἡμῖν, ὡς τῇ γε Κριθηίδι, ὕδωρ οὗτος, καὶ παρακάθηται ὀνείρατι, ὥς φασιν. ἀλλ' οὐκ ὄναρ ταῦτα, ὦ Κριθηίς, οὐδὲ ἐς ὕδωρ τὸν ἔρωτα τοῦτον γράφεις, ἐρᾷ γάρ σου ὁ ποταμός, εὖ οἶδα, καὶ σοφίζεταί τινα ὑμῖν θάλαμον, κῦμα αἴρων, ὑφ' ᾧ ἡ εὐνὴ ἔσται. εἰ δὲ ἀπιστεῖς, λέξω σοι καὶ τὴν τοῦ θαλάμου τέχνην· λεπτὴ αὔρα κῦμα ὑποδραμοῦσα ἐργάζεται αὐτὸ κυρτὸν καὶ περιεχὲς καὶ ἀνθηρὸν ἔτι, ἡ γὰρ ἀνταύγεια τοῦ ἡλίου χρῶμα
προσβάλλει μετεώρῳ τῷ ὕδατι. τί οὖν, ὦ παῖ, λαμβάνῃ μου; τί δ' οὐκ ἐᾷς καὶ τὰ λοιπὰ διεξιέναι τῆς γραφῆς; εἰ βούλει, καὶ τὴν Κριθηίδα διαγράψωμεν, ἐπειδὴ χαίρειν φῄς, ὅταν ἐναλύῃ 823
66 αὐτοῖς ὁ λόγος. λεγέσθω τοίνυν· ἁβρὸν μὲν αὐτῇ τὸ εἶδος καὶ μάλα Ἰωνικόν, αἰδῶς δὲ τῷ εἴδει ἐπιπρέπει καὶ ἀπόχρη τοῦτο τῇ παρειᾷ τὸ ἄνθος, ἡ χαίτη δὲ ἀνείληπται μὲν ὑπὸ τὸ οὖς, ἐπικοσμεῖται δὲ καὶ κρηδέμνῳ ἁλουργεῖ. δῶρον Νηρηίδος ἢ ναίδος οἶμαι εἶναι τὸ κρήδεμνον, εἰκὸς γὰρ
συγχορεύειν τὰς θεὰς ἐπὶ τῷ Μέλητι παρεχομένῳ τὰς πηγὰς οὐ πόρρω τῶν ἐκβολῶν. βλέπει δὲ οὕτω τι ἡδὺ καὶ ἀφελές, ὡς μηδὲ ὑπὸ τῶν δακρύων ἐξαλλάττειν τὸ ἵλεων, καὶ ἡ δέρη ἔτι ἡδίων ὑπὸ τοῦ μὴ κεκοσμῆσθαι· ὅρμοι γὰρ καὶ αὐγαὶ λίθων καὶ περιδέραια ταῖς μὲν ἐν μετρίῳ τῷ κάλλει γυναιξὶν οὐκ ἀηδῶς προσανθοῦσι, καί, νὴ Δί', ὥρας τι ἐς αὐτὰς φέρουσιν, αἰσχραῖς δὲ καὶ ἄγαν ὡραίαις ἀντιπράττουσι, τὰς μὲν γὰρ ἐλέγχουσι, τῶν δὲ ἀπάγουσι. τῷ χεῖρε ἀνασκοπῶμεν· ἁπαλοὶ
οἱ δάκτυλοι καὶ εὐμήκεις καὶ λευκοὶ κατὰ τὴν ὠλένην, ὁρᾷς δὲ καὶ τὴν ὠλένην, ὡς διὰ λευκῆς τῆς ἐσθῆτος λευκοτέρα ὑποφαίνεται, καὶ οἱ μαζοὶ ὀρθοὶ ὑπανγάζουσι. τί οὖν αἱ Μοῦσαι δεῦρο; τί δὲ ἐπὶ ταῖς πηγαῖς τοῦ Μέλητος; Ἀθηναῖοι τὴν Ἰωνίαν ὅτε ἀπῴκιζον, Μοῦσαι ἡγοῦντο τοῦ ναυτικοῦ ἐν εἴδει μελιττῶν, ἔχαιρον γὰρ τῇ Ἰωνίᾳ διὰ τὸν Μέλητα ὡς Κηφισοῦ καὶ Ὀλμειοῦ πο-

VIII. 1. λ. δὲ καὶ. vd. φ, 3, EJ. λ. δὲ. f, p, 2. 2. τὴν om. 1, 2. ib. ὑφ' ὧν. j. ὑφ' ὃ. π. ib. ἕτερος om. 2. 3. οὐκ — Ἰωνικός om. π, ρ. ib. Κρηθηὶς. φ, vd, ut infra. ib. ὅδ'. E. 4. θεατῇ ὁ λόγος. l, br. ib. ἐμβάλλων. m, o. 5. κελαρίζοντι, j, br. 6. αὐτῷ. l. ib. κράτει. μ. ib. χαρίεν — κείμενος. v. ib. μὲν γὰρ. v. ante corr. ib. αὐτὸς ἐν κρ. vd. 7. κρόκκω. vd. ib. καὶ ἐν. λ. vd. ib. ὁ μὲν καὶ ὑακ. vd. ib. χαίρει. l. 8. οὐδὲν. l. ib. ἀναπολεῖν. m, o, in p 1761 pro scholio est adscriptum. 9. χαρίεν — ἐκδίδωσι. v. ib. λαύρους. l, μ, ρ, π. ψ. 10. ἄκραν. f, j. 11. βλήζοντι. br. et γ ante corr. 13. ἡμῖν. φ. ib. ὑφ' ὧν. γ, g. ἐφ' ᾧ. vd. 14. αὔρα. br, E. 15. περιεχές. f, j, p. 16. προβάλλει. γ. ib. τί δ' οὐκ ἔχων καὶ. φ (sic). 17. διαγράφομεν. vd. ib. ἀναλύῃ. vd. 18. αὐτοῖς. 1, π, ψ, ρ. αὐτὰς. γ, g. αὐτῆς. μ, p 1761. αὐτῇ. EJ. ib. ἁβρὸν — ἐπιπρέπει. v. ἁβρὸν — κρήδεμνον. h. ib. καὶ τῷ εἴδει. μ. 19. ἐπιτρέπει. ρ. ib. ἀπέληπται. br. ἐνείληπται π. 20. νηριίδος. br. ib. οἶμαι om. π. εἶναι om. vd. 21. τοῖς θεοῖς. φ. ib. βλέπει — ἵλεων. v. 22. τι om. v. ib. ὡς μὴ. φ. 23. ὅρμοι — ἀπάγουσι. v, h et Isid. Pel. p. 619. ib. ὁρμοὶ. f, j, E. ὁρμ. δὲ. f. ib. γὰρ om. v. ib. αὐλαὶ. l. ib. περιδέραια. f, π, ρ, h. 24. ἀηδέως. v, h. ἀειδῶς. E. corr. Ham. Lect. Philostr. p. 38. ib. καὶ νὴ — φέρουσι om. vd. ib. νὴ Δία. ρ, h. ib. ἐς ταύτας. π. ib. αἰσχροῖς. br. ib. δὲ om. π. 25. ὡραίαις om. br. ib. τὰς μὲν. p, v, h, Isid. Pel. et conj. J. τὰ μὲν. ς. (f, j.) ib. ἀπάδουσι ex corr. π. 27. λευκότερα. m, o. ib. ἀπανγάζουσι. l. 28. Μέλιττος et 29 Μέλιττα. br. Μέλιτος. vd. corr. ex μελιττῶν. pr. m. ib. Ἀθηναίοις p ex corr. 29. Κηφισοῦ. f, j, p, μ, π, ψ, J. Κηφίσου. φ. Κηφισσοῦ. ς. ib. Ὀλμειοῦ. μ.

65, 66. p. 822, 823. II, 8.

τιμώτερον. ἐντεύξῃ μὲν οὖν αὐταῖς καὶ χορευούσαις ποτὲ ἐνταῦθα, νυνὶ δὲ γένεσιν τῷ Ὁμήρῳ αἱ Μοῦσαι κλώθουσι Μοίραις δοκοῦν, καὶ δώσει διὰ τοῦ παιδὸς ὁ Μέλης Πηνειῷ μὲν ἀργυροδίνῃ
824 εἶναι, Τιταρησίῳ δὲ κούφῳ καὶ εὐφόρῳ, Ἐνιπεῖ δὲ θείῳ καὶ Ἀξίῳ παγκάλῳ, δώσει δὲ καὶ Ξάνθῳ τὸ ἐκ Διὸς καὶ Ὠκεανῷ τὸ ἐξ αὐτοῦ πάντας.

ΠΑΝΘΙΑ.

5 Θ'. Πανθία ἡ καλὴ Ξενοφῶντι μὲν ἀπὸ τοῦ ἤθους γέγραπται, ὅτι τε Ἀράσπαν ἀπηξίου καὶ 67
Κύρου οὐχ ἡττᾶτο καὶ Ἀβραδάτῃ ἐβούλετο κοινὴν γῆν ἐπισπάσασθαι, ὁποία δὲ ἡ κόμη καὶ ἡ ὑφὴς ὅση καὶ οἷον ἔβλεπε καὶ ὡς εἶχε τοῦ στόματος, οὕπω ὁ Ξενοφῶν εἴρηκε καίτοι δεινὸς ὢν περιλαλῆσαι ταῦτα, ἀλλ' ἀνὴρ ξυγγράφειν μὲν οὐχ ἱκανός, γράφειν δὲ ἱκανώτατος, αὐτῇ μὲν Πανθίᾳ οὐκ ἐντυχών, Ξενοφῶντι δὲ ὁμιλήσας γράφει τὴν Πανθίαν, ὁποίαν τῇ ψυχῇ ἐτεκμήρατο. τὰ τείχη,
10 ὦ παῖ, καὶ τὰς ἐμπιπραμένας οἰκίας καὶ αἱ Λυδαὶ αἱ καλαί, Πέρσαις ταῦτα ἀφῶμεν ἄγειν τε καὶ αἴρειν, ὅ τι αὐτῶν ἁλωτόν. καὶ ὁ Κροῖσος, ἐφ' ὃν ἡ πυρά, οὐχὶ αὐτῷ Ξενοφῶντι. οὔκουν οἶδεν
825 αὐτὸν ἢ ξυγχωρεῖ τῷ Κύρῳ. τὸν δὲ Ἀβραδάτην καὶ τὴν ἀποθανοῦσαν ἐπ' αὐτῷ Πανθίαν, ἐπειδὴ ταῦτα ἡ γραφὴ βούλεται, διασκεψώμεθα, οἷον τὸ δρᾶμα· ἤρων οὗτοι ἀλλήλων καὶ τὸν κόσμον ἡ γυνὴ τὸν ἑαυτῆς ὅπλα αὐτῷ ἐποιεῖτο, ἐμάχετο δὲ ἄρα ὑπὲρ Κύρου πρὸς Κροῖσον ἐπὶ τετραρρύμου
15 ἅρματος καὶ ἵππων ὀκτὼ νέος ἔτι ἐν ἀπαλῇ τῇ ὑπήνῃ, ὁπότε καὶ οἱ ποιηταὶ τὰ δένδρα [τὰ νέα] ἐλεινὰ ἡγοῦνται τῆς γῆς ἐκπεσόντα. τὰ μὲν δὴ τραύματα, ὦ παῖ, οἷα ἐκ μαχαιροφόρων, τὸ γὰρ κατακόπτειν πρὸς τρόπου τῇ τοιαύτῃ μάχῃ, τοῦ δὲ αἵματος ἀκραιφνοῦς ὄντος τὸ μὲν τὰ ὅπλα χραίνει, τὸ δ' αὐτόν, ἔστι δ' ὃ καὶ διέρρανται κατὰ τοῦ λόφου, ὁ δὲ ἄρα χρυσοῦ τοῦ κράνους ἀνέστηκεν ὑακινθινος αὐτῷ τῷ χρυσῷ ἐπαστράπτων. καλὰ μὲν οὖν ἐντάφια καὶ ταυτὶ τὰ ὅπλα τῷ
20 γε μὴ καταισχύναντι αὐτά, μηδὲ ἀποβαλόντι ἐν τῇ μάχῃ, πολλὰ δὲ Ἀσσύριά τε καὶ Λύδια Κῦρος 68
ἀνδρὶ ἀγαθῷ δῶρα ἀπάγει τά τε ἄλλα καὶ ψάμμον χρυσῆν ἐπὶ ἁρμαμάξης ἐκ θησαυρῶν Κροίσου τῶν ἀργῶν, Πανθία δὲ οὕπω τὰ πρόσφορα ἔχειν ἡγεῖται τὸν τάφον, εἰ μὴ ἐντάφιον τῷ Ἀβραδάτῃ αὐτὴ γένοιτο. τὸν μὲν δὴ ἀκινάκην διελήλακεν ἤδη τοῦ στέρνου, ἀλλ' οὕτω τι δὴ ἐρωμένως, ὡς μηδὲ οἰμωγὴν ἐπ' αὐτῷ ῥῆξαι. κεῖται γοῦν, τὸ στόμα ξυμμετρίαν τὴν ἑαυτοῦ φυλάττον, καί,
25 νὴ Δί', ὥραν, ἧς τὸ ἄνθος οὕτω τι ἐπὶ χείλεσιν, ὡς καὶ σιωπώσης ἐκφαίνεσθαι. ἀνήρτηται δὲ οὔπω τὸν ἀκινάκην, ἀλλ' ἐνερείδει ἔτι συνέχουσα τῆς κώπης αὐτόν, ἡ δὲ κώπη ῥοπάλῳ χρυσῷ εἴκασται σμαραγδίνῳ τοὺς ὄζους. ἀλλ' ἡδίους οἱ δάκτυλοι, μεταβέβληκέ τε οὐδὲν τοῦ εἴδους ὑπὸ τοῦ ἀλγεῖν, ἢ γε μηδὲ ἀλγεῖν ἔοικεν, ἀλλ' ἀπιέναι χαίρουσα, ὅτι αὐτὴν πέμπει, ἄπεισι δὲ

1. χορεύουσαι. br. ποτε om. l, br, o. 3. Τιταρησίῳ. j, vd et f ex corr. rec. m. J. Τιταρήσῳ. ς. ib. Ἀξιῷ. π. Ἀξίῳ. ς. ib. παγκάλλω. μ. καὶ ἄξω καὶ παγαγκάλω. vd. ib. δὲ καὶ Ξ. vd. καὶ Ξ. ς. 4. τὸ et ω suprasc. ρ.
IX. 5. Πάνθεια. π, ut semper. ib. Ἀρίσπαν. π. 6. κόρου. vd. ib. γῆν om. ρ. ib. ἐπισπάσασθαι. π, ψ. ρ. σπάσασθαι. ς. ἐπείσασθαι. Hemst. ad Hesych. I, 1352. ἀσπάσασθαι. Salm. 8. ἀλλ' ἀνὴρ. vd, φ, π. ἀλλὰ ἀνὴρ. ς ib. αὐτῇ μὲν Πανθίᾳ. l, μ, br, ρ. αὐτῇ μὲν τῇ Π. ς. 9. τὴν ψυχὴν. f, j. 10. ἄγειν τε καὶ φέρειν. Salm. 11. αὐτῷ. ρ. τῶν. br. 12. καὶ ξυγχ. j. (non f.) ib. ξυγχωρεῖν. br. ib. Ἀβραδάταν. μ. 14. τὸν ἑαυτοῦ. vd. ib. ἑαυτῇ ἐποιεῖτο. φ. ib. τετραρύμου. f, φ, vd, π, ρ. 15. Respicit haec Aristaenet. II, 19. p. 185. ed. B. ib. ὁποῖα. γ. ib. τὰ δένδρα τὰ νέα. C, E. τὰ νέα delenda censet J. ib. ἐλεεῖν. m. 16. τὰ μὲν — μάχῃ. v. ib. μαχαιρηφόρων. v. μαχαιροφόρου. vd ib. τὸ κατακόπτειν. φ. τὸ γὰρ κόπτειν. v. 12. τόδ'. E. ib. χρυσοῦ κράνους. 2, 3. χρυσόκρανος. f, j. χρυσῷ κράνους. p, vd. φ. χρυσοῦ τοῦ κράνους. EJ. 19. ὑακίνθιος. br. ib. καλὰ — αὐτά. v. 20 γε μὲν. γ. ib. καταισχύναντι. f, j, p, vd, J. αἰσχύναντι. φ, 2, 3, E. 21. ἐπάγει. μ, p 1761, π. ib. ἅρμα ἁμάξης. ρ, ψ. ἁμάξης. φ, vd. ib. θησαυροῦ. γ, ε. 22. Πανθία — γένοιτο. v. ib. ἔχειν ἡγεῖται τὰ πρόσφορα. v. ib. τὰ om. vd. ib. ἐκτάφιον. φ. 23. αὐτὴ γε γένοιτο. EJ. αὐτὴ ἐγένετο. vd. ib. διελήλακεν ἤδη. f, j, p. ἤδη ἐλήλακε. vd. ἤδη διελήλακεν. φ, 2, 3, EJ. ib. οὕτω
α
τι δὴ. l, 2, o. οὕτω τι. f, j, π, ρ, J. οὕτω τι (sic). vd. ἔστω τι. φ. οὕτω τοι. p, γ, g, ψ. οὕτω δὴ. br, ε. οὕτω διερρωμ. m. ib. ἐρρωμένος. φ. 24. οὖν. π. 25. Δία. π. ib. οὕτω τοι. p, g et γ ex corr. 26. ἐριδέι. 2 (ἐριδει p 2706). ib. ἔτι om. br. ib. ξυνέχουσα. φ, p 1761. 27. μεταβέβληκε δὲ. 2, EJ. ib. οὐδὲ. vd. 28. ἡ δὲ μὴ δὲ. vd.

67, 68. p. 824, 825. II, 9.

οὐχ ὥσπερ ἡ τοῦ Πρωτεσίλεω καταστεφθεῖσα οἷς ἐβάκχευσεν, οὐδ' ὥσπερ ἡ τοῦ Καπανέως οἷον 826
θυσίας ἀρθεῖσα, ἀλλ' ἀσκεύαστον τὸ κάλλος καὶ οἷον ἐπὶ τοῦ Ἀβραδάτου ἦν, φυλάττει αὐτὸ καὶ
ἀπάγει χαίτην μὲν οὔπω μέλαινάν τε καὶ ἀμφιλαφῆ περιχέουσα τοῖς ὤμοις καὶ τῷ αὐχένι, δέρην
δὲ λευκὴν ὑπεκφαίνουσα, ἣν ἐδρύψατο μέν, οὐ μὴν ὡς αἰσχῦναι, τὰ γὰρ σημεῖα τῶν ὀνύχων
ἡδίω γραφῆς. τὸ δὲ ἐν τῇ παρειᾷ ἔρευθος οὐδὲ ἀποθνήσκουσαν διαφεύγει, χορηγοὶ δὲ αὐτοῦ ἥ τε
ὥρα καὶ ἡ αἰδώς. ἰδοὺ καὶ μυκτῆρες ἀνεσταλμένοι τὸ μέτριον καὶ βάσιν τῇ ῥινὶ πράττοντες, ἧς
ὥσπερ πτόρθοι μηνοειδεῖς ἐκπεφύκασιν αἱ ὀφρύες ὑπὸ λευκῷ τῷ μετώπῳ μέλαιναι. τοὺς δὲ ὀφθαλ-
69 μούς, ὦ παῖ, μὴ ἀπὸ τοῦ μεγέθους, μηδ' εἰ μέλανες, ἀλλὰ τόν τε νοῦν θεωρῶμεν, ὅσος ἐν
αὐτοῖς ἐστι καί, νὴ Δί', ὁπόσα τῶν τῆς ψυχῆς ἀγαθῶν ἔσπασαν ἐλεεινῶς μὲν διακείμενοι, τοῦ
δὲ φαιδρῶς ἔχειν οὐκ ἀπηλλαγμένοι, καὶ θαρσαλέοι μέν, λογισμοῦ δὲ ἔσω μᾶλλον ἢ τόλμης, καὶ 10
τοῦ μὲν θανάτου ξυνιέντες, οὔπω δὲ ἀπιόντες. ὀπαδὸς δὲ ἔρωτος ἵμερος οὕτω τι ἐπικέχυται τοῖς
ὀφθαλμοῖς, ὡς ἐπιδηλότατα δὴ ἀπ' αὐτῶν ἀποστάζειν. γέγραπται καὶ ὁ Ἔρως ἐν ἱστορίᾳ τοῦ ἔρ-
γου, γέγραπται δὲ καὶ ἡ Λυδία τὸ αἷμα ὑποδεχομένη καὶ χρυσῷ γε, ὡς ὁρᾷς, τῷ κόλπῳ.

ΚΑΣΑΝΔΡΑ.

ι'. Οἱ κείμενοι κατ' ἄλλος ἄλλο τοῦ ἀνδρῶνος καὶ τὸ ἀναμὶξ τῷ οἴνῳ αἷμα καὶ οἱ ἐκπνέον-
τες ἐπὶ τῶν τραπεζῶν κρατήρ τε οὑτοσὶ λελακτισμένος ὑπὸ ἀνδρός, ὃς πρὸς αὐτῷ σπαίρει, κόρη τε 15
χρησμῳδὸς τὴν στολὴν ἐς πέλεκυν ἐμπεσούμενον ἑαυτῇ βλέπουσα τὸν Ἀγαμέμνονα ἥκοντα ἐκ Τροίας
ἡ Κλυταιμνήστρα δέχεται τούτῳ τῷ τρόπῳ, καὶ τοὺς μὲν ἄλλους ἄλλοι κτείνουσιν οὕτω μεθύοντας,
ὡς καὶ τὸν Αἴγισθον θαρσῆσαι τὸ ἔργον, ἡ Κλυταιμνήστρα δὲ πέπλου τέχνῃ τινὸς ἀπείρου τὸν 827
Ἀγαμέμνονα περισχοῦσα πέλεκυν ἐς αὐτὸν ἧκεν ἀμφήκη τοῦτον, ὃς καὶ τὰ δένδρα αἱρεῖ τὰ με-
γάλα, τὴν δὲ τοῦ Πριάμου κόρην καλλίστην νομισθεῖσαν τῷ Ἀγαμέμνονι χρησμούς τε ἀπιστουμέ- 20
νους ᾄδουσαν ἀποκτείνει θερμῷ τῷ πελέκει, καὶ εἰ μὲν ὡς δρᾶμα ἐξετάζομεν, ὦ παῖ, ταῦτα, τε-
τραγῴδηται μεγάλα ἐν σμικρῷ, εἰ δ' ὡς γραφήν, πλείω ἐν αὐτοῖς ὄψει. σκόπει γάρ· λαμπτῆρες
οὗτοι χορηγοὶ φωτός, ἐν νυκτὶ γὰρ ταῦτά που, κρατῆρες δ' ἐκεῖνοι χορηγοὶ ποτοῦ φανότεροι τοῦ
70 πυρὸς οἱ χρυσοῖ, πλήρεις δὲ ὄψων τράπεζαι, βασιλεῖς ὧν ἐσιτοῦντο ἥρωες, ἐν κόσμῳ δὲ οὐδὲν
τούτων, ἀποθνήσκοντες γὰρ οἱ δαιτυμόνες τὰ μὲν λελάκτισται, τὰ δὲ συντέτριπται, τὰ δὲ ἀπ' 25
αὐτῶν κεῖται, καὶ κύλικες δὲ χειρῶν ἐκπίπτουσι πλήρεις αἱ πολλαὶ λύθρου, καὶ ἀλκὴ τῶν ἀποθνη-
σκόντων οὐδεμία, μεθύουσι γάρ. τὰ δὲ τῶν κειμένων σχήματα ὁ μὲν ἐκτέτμηται τὴν φάρυγγα σί-

1. οὐδὲ. π. 2. θυιάς velit J. ib. ἀκατασκεύαστον conj. J. ib. ἐπὶ τῷ Ἀβρ. vd. ib. φυλάττειν. γ, vd. 3. ἀπάγειν. vd. ib. μὲν οὖν. ρ. ib. οὔπω. π. οὕτω. ς. ib. περιχέουσα. p. περιχεύασα. ρ. περιχέασα. ς. (f.) ib. παρειὰν δὲ. l, p 1761. 4. οὐ μὴν δὲ. π. ib. αἰσχύναι. EJ. 6. ἰδοὺ — μέλαιναι. h. ib. βᾶσιν. μ. 7. πτορθοὶ. o, J. ib. μηνοειδεῖς ἐκπεφύκασιν. h. μηνοειδεῖς. ς. ib. τοὺς ὀφθαλμούς. φ. 8. θεωροῦμεν. f, br. ib. ὅσον. f, j. ib. ἐν αὐταῖς. vd. 9. τῆς ψυχῆς. f, j, J. ψυχῆς. φ, 2, 3, E. ib. ἐλεεινῶς — τόλμης. v. 10. ἀπηλλαγμένοι. v. 11. ξυνιόντες. φ. ib. ὀπαδὸς — ἀποστάζειν. h. ib. οὕτω τοι. γ, g, h. ἵμερος γέλωτι ἐπικεχ. p. ib. ὡς ἡμερότητα καὶ ἐπαγωγὸν ἀπ' αὐτῶν. vd. 12. ἐπ' αὐτῶν. m. ib. στάζειν. h. ib. γεγρ. δὲ καὶ. φ, vd. ib. ἔρως συνεργὸς τοῦ ἔργου. p. 13. γεγρ. δὲ καὶ ἡ Λυδ. φ. γεγρ. καὶ ἡ Λυδ. ς. ib. ὑποχειμένη. γ. ib. γε om. vd.

ι. 14. κατ' ἄλλο ἄλλος. o. 15. τῶν τραπεζῶν. ψ. τραπεζῶν. ς. 16. χρησμῳδὸς et mg. χρησμοδὸς. l. ib. πέλεκιν. br. ib. ἐκπεσούμενον. μ. ib. ἥκοντα om. π. 17. Κλυταιμνήστρα. vd. ib. οὕτω μὴ καὶ τοῖς μὲν ἄλλοις ἄλλοι κτείνουσιν μεθύοντας. l. (sic). Inde feci: καὶ τοὺς μὲν ἄλλους ἄλλοι κτείνουσιν οὕτω μεθύοντας, ὡς καὶ κτέ. οὕτω μέθυοντα, ὡς καὶ. ς. 18. Αἴγιστον. π. ib. Θαρρῆσαι τῷ ἔργῳ. π. ib. τέχνῃ πέπλου. γ. 19. πέλεκιν. br. ib. ἔργα δένδρα. γ. 20. τὴν δὲ. l. 2, π, ψ. τήν τε. ς. 21. θερμῷ om. br. ib. εἰ μὲν — ὄψει. v. 22. πλείων. v. πλείονα. vd. ib. λαμπτῆρες — χρυσοῖ. v. 23. δὲ ἐκεῖνοι. vd. ib. φανότεροι. μ, γ, ubi suprasc. ερ. E, J. φανερώτεροι. f, φ. vd, π, ρ. φανερώτεροι et mg. φανότεροι. ψ. φανερότεροι. v. j. 24. δὲ οὐδὲν. J. τε οὐδὲν. ς. 25. δαιτημόνες. br. ib. ἐπ' αὐτῶν. E. 26. ἐκ om. vd. ib. χειρῶν ἐκπίπτουσι. vd. ἐκ χειρῶν πίπτουσι. ς. 27. οὐδὲ μία. vd, μ. ib. ἐκτέτμηκε. l. ib. τὴν φάρυγγα — ἕλκουσαν. vd.

69, 70. p. 826, 827. 11, 10.

του τι ἢ ποτοῦ ἕλκουσαν, ὁ δ' ἀποκέκοπται τὴν κεφαλὴν ἐς τὸν κρατῆρα κύπτων, ὁ δὲ ἀπήρακται τὴν χεῖρα φέρουσαν ἔκπωμα, ὁ δὲ ἐφέλκεται τὴν τράπεζαν ἐκπεσὼν τῆς κλίνης, ὁ δ' ἐς ὤμους καὶ κεφαλὴν κεῖται, ποιητὴς ἂν φαίη κύμβαχος, ὁ δ' ἀπιστεῖ τῷ θανάτῳ, ὁ δὲ οὐκ ἔρρωται φυγεῖν οἷον πέδης ἐμβεβλημένης αὐτῷ τῆς μέθης, ὠχρὸς δὲ οὐδεὶς τῶν κειμένων, ἐπειδὴ τοὺς ἐν οἴνῳ ἀποθνήσκοντας οὐκ εὐθὺς ἀπολείπει τὸ ἄνθος. τὸ δὲ κυριώτατον τῆς σκηνῆς ὁ Ἀγαμέμνων ἔχει,
828 κείμενος οὐκ ἐν πεδίοις Τρωικοῖς, οὐδὲ ἐπὶ Σκαμάνδρου τινὸς ἠιόσιν, ἀλλ' ἐν μειρακίοις καὶ γυναίοις, βοῦς ἐπὶ φάτνῃ, τουτὶ γὰρ τὸ μετὰ τοὺς πόνους τε καὶ τὸ ἐν δείπνῳ, κυριώτερα δὲ ἐν οἴκτῳ τὰ τῆς Κασάνδρας· ὡς ἐφέστηκε μὲν αὐτῇ μετὰ τοῦ πελέκεως ἡ Κλυταιμνήστρα μανικὸν βλέπουσα καὶ σεσοβημένη τὰς χαίτας καὶ τραχεῖα τὴν ὠλένην, αὐτὴ δὲ ὡς ἁβρῶς τε καὶ ἐνθέως ἔχουσα περιπεσεῖν ὥρμηκε τῷ Ἀγαμέμνονι ῥιπτοῦσα ἀφ' αὑτῆς τὰ στέμματα καὶ οἷον περιβάλλουσα τῇ τέχνῃ αὐτόν, διηρμένου δὲ ἤδη τοῦ πελέκεως ἀναστρέφει τοὺς ὀφθαλμοὺς ἐκεῖ, βοᾷ δὲ οὕτω τι οἰκτρόν, ὡς καὶ τὸν Ἀγαμέμνονα τῷ λοιπῷ τῆς ψυχῆς ἐλεεῖν ταῦτα ἀκούοντα, μεμνήσεται γὰρ αὐτῶν καὶ ἐν ᾅδου πρὸς Ὀδυσσέα, ἐν τῇ ἀγορᾷ τῶν ψυχῶν.

ΠΑΝ.

ια.' Τὸν Πᾶνα αἱ νύμφαι πονηρῶς φασὶν ὀρχεῖσθαι καὶ ἐκπηδᾶν τοῦ προσήκοντος ἐξαίροντα 71
καὶ ἀναθρώσκοντα κατὰ τοὺς ἀγερώχους τῶν τράγων, αὗται δ' ἂν μεταδιδάξαιεν αὐτὸν ἑτέραν ὄρχησιν ἡδίω τῷ ἤθει, προσέχοντι δ' αὐταῖς οὐδέν, ἀλλὰ πειρῶντι αὐτὰς καὶ ἁπτομένῳ τῶν κόλπων ἐπιτίθενται κατὰ μεσημβρίαν, ὅτε δὴ λέγεται καθεύδειν ὁ Πὰν ἐκλελοιπὼς τὴν θήραν. ἐκάθευδε δ' ἄρα πρότερον μὲν ἀνειμένος τε καὶ πρᾷος τὴν ῥῖνα καὶ τὸ ἐπίχολον αὐτῆς λεαίνων τῷ ὕπνῳ, τήμερον δὲ ὑπερχολᾷ, προσπεσοῦσαι γὰρ αὐτῷ αἱ νύμφαι περιῆκται μὲν ἤδη τὼ χεῖρε ὁ Πάν, δέδιε δὲ ἐπὶ τοῖς σκέλεσιν, ἐπειδὴ βούλονται αἱρεῖν αὐτά. τὸ δὲ δὴ γένειον, οὗ πλεῖστος αὐτῷ λόγος, ἐξύρηται μαχαιρίδων ἐσβεβληκυιῶν ἐς αὐτό, φασὶ δὲ καὶ τὴν Ἠχὼ ἀναπείσειν ὑπερορᾶν τε αὐτοῦ καὶ μηδὲ φθέγγεσθαι πρὸς αὐτὸν ἔτι. ταῦτα αἱ νύμφαι πανσυδί, σὺ δὲ κατὰ δήμους
829 αὐτὰς ὅρα· τὰ μὲν γὰρ τῶν ναίδων εἴδη ῥανίδας ἀπορραίνουσιν αὗται τῆς κόμης, ὁ δὲ περὶ ταῖς βουκόλοις αὐχμὸς οὐδὲν φαυλότερος τῆς δρόσου, αἱ δὲ ἀνθοῦσαι τὰς χαίτας ἐκπεφύκασιν ὑακινθίνοις ὁμοίως ἄνθεσιν.

ΠΙΝΔΑΡΟΣ.

ιβ.' Οἶμαι θαῦμά σοι εἶναι τὰς μελίττας οὕτω γλίσχρως γεγραμμένας, ὧν γε καὶ προνομαία δήλη καὶ πόδες καὶ πτερὰ καὶ τὸ χρῶμα τῆς στολῆς οὐκ ἀτακτοῦσιν ἴσα τῇ φύσει διαποικιλ- 72

1. ἀποκόπτεται. φ, π, ρ, ven. cl. XI, 15. ἀποκόπτει. vd. ib. ἀπήρρακτο. f, ρ. ἀπερρ(η)κ(α)ται. p. ἀπέρρηκται. φ. ἀπήρρακται. π, ven. cl. XI, 15. ἀπήρρακται(ε η). vd. 2. ὅδ' E, ut statim. 3. ποιητὴς δ' ἂν. μ. ib ὃ δ' οὐκ. vd. 4. ὠχρὸς μὲν. l. 5. τὸ δὲ — ἔχει. v. ib. ὁ Ἀγαμ. v. ὁ om. ς. 6. ἐν πεδίω τρωικῶ. vd. ib. οὐδὲ. φ, vd. οὐδ'. EJ. ib. ἐπὶ excidit in vd. 7. ὡς βοῦς. br. ib. ταυτὶ. vd. ib. κυριώτερα — Κασάνδρας. v. ib. δὲ om. br. 8. οἴκῳ. vd. ib. καὶ τῆς Κασ. π. ib. πελέκεος. vd. ib. Κλυταιμνῆστρα. vd. 10. ῥίπτουσα. μ. ib. ἀπ' αὐτῆς. φ. 11. αὐτὴν. μ. sed corr. ib. βοᾷ — ἀκούοντα. v. ib. οὕτω τὸ. v, qui post ἀκούοντα addit ἔθνησκε γὰρ ὁ Ἀγαμέμνων. 12. μέμνηται. γ. ib. αὐτῆς. ρ.

XI. 14. Πάνα. μ. 15. κατὰ τοῦ. μ. ib. αὗται ἄν. γ. ib. αὐτὸν om. 1, 2. 16. ἐῆθει. γ sic. ἔθει. m, o. ib. ἀποτεταμένῳ τὸν κόλπον. C, EJ. ἀποτεταπένῳ. π. ἁπτομένῳ τῶν κόλπων conj. J. 17. μεσυμβρίαν. br. 18. πρῶτον. vd. 20 αἴρειν. vd. ib. πλεῖστον. m, o. 21. ἐξέρτεται. l. ib. ἐσβεβληκυιῶν. 1, ρ, π. ἐμβεβλ. ς. ib. φασὶ δὲ τὴν. f. 22. πασσυδὶ. E. ib. οὐδὲ κατὰ δ. l. 23. ναίδων ἤδη. br. ib. παρὰ. m, o. ib. ταῖς conj. J. τοῖς. ς. 24. αὐχμὴ. j. ib. φαυλότερον. j. ib. ἀνθοῦσι — ἐκπεφυκόσιν. o.

XII. 25. θαυμάσαι. μ. ib. εἶναι om. γ. ib. καὶ τὰς. 2, E. ib. μελίσσας. vd. ib. προνομία. br. 26. ἴσα. E. ib. διαποικιλούσης. br.

71, 72. p. 828, 829. II, 11, 12.

λούσης αὐτὰ τῆς γραφῆς. τί οὖν οὐκ ἐν σίμβλοις αἱ σοφαί; τί δὲ ἐν ἄστει; κωμάζουσιν ἐπὶ τὰς τοῦ Δαιφάντου θύρας — γέγονε δὲ ἤδη Πίνδαρος, ὡς ὁρᾷς — πλάττειν κἀκ νηπίου αὐτόν, ἵν' ἐμμελὴς ἤδη καὶ ἔμμουσος ᾖ, καὶ ποιοῦσι ταῦτα. τὸ μὲν γὰρ παιδίον ἐς δάφνην ἀπόκειται καὶ κλῶνας μυρρίνης ξυμβαλλομένου τοῦ πατρὸς ἱεροῦ τεύξεσθαι τοῦ παιδός, ἀφ' ὧν κύμβαλά τε κατήχει τῆς οἰκίας, ὅτε ἐτίκτετο, καὶ τύμπανα ἠκούετο ἐκ Ῥέας, ἐλέγοντο δὲ καὶ αἱ νύμφαι χορεῦσαί οἱ καὶ ἀνασκιρτῆσαι τὸν Πᾶνα· φασὶ δὲ αὐτόν, ὅτε Πίνδαρος ἐς τὸ ποιεῖν ἀφίκετο, ἀμελήσαντα τοῦ σκιρτᾶν ᾄδειν τὰ τοῦ Πινδάρου. ἡ Ῥέα δὲ ἄγαλμα ἐκπεπόνηται καὶ καθίδρυται μὲν αὐτοῦ καὶ περὶ θύρας, οἶμαι δὲ καὶ λίθου τὸ ἄγαλμα φαίνεσθαι, κατεσκληκυίας ἐνταῦθα τῆς γραφῆς καὶ τί γὰρ ἄλλο ἢ ἐξεσμένης; ἄγει καὶ τὰς νύμφας ἐνδρόσους καὶ οἵας ἐκ πηγῶν, ὁ δὲ Πὰν ἐξορχεῖται μὲν ῥυθμὸν δή τινα, φαιδρὸν δὲ αὐτῷ τὸ εἶδος καὶ τῆς ῥινὸς οὐδὲν χολῶδες. αἱ δὲ ἔσω μέλιτται περιεργάζονται τὸ παιδίον ἐπιβάλλουσαι τὸ μέλι καὶ τὰ κέντρα ἀνέλκουσαι δέει τοῦ ἐγχρίψαι. ἐξ Ὑμηττοῦ τάχα ἥκουσι, καὶ ἀπὸ τῶν λιπαρῶν καὶ ἀοιδίμων, καὶ γὰρ τοῦτο οἶμαι αὐτὰς ἐνστάξαι Πινδάρῳ. 830

ΓΥΡΑΙ.

ιγ.' Αἱ τοῦ πελάγους ἀνεστηκυῖαι πέτραι καὶ ἡ ξέουσα περὶ αὐτὰς θάλαττα ἧρως τε δεινὸν
73 βλέπων ἐπὶ τῶν πετρῶν καί τι καὶ φρονήματος ἔχων ἐπὶ τὴν θάλατταν ὁ Λοκρὸς Αἴας βέβληται μὲν τὴν ἑαυτοῦ ναῦν, ἐμπύρου δὲ αὐτῆς ἀποπηδήσας ὁμόσε κεχώρηκε τοῖς κύμασι, τῶν μὲν διεκπαίων, τὰ δὲ ἐπισπώμενος, τὰ δὲ ὑπαντλῶν τῷ στέρνῳ, Γυραῖς δ' ἐντυχών, αἱ δὲ Γυραὶ πέτραι εἰσὶν ὑπερφαίνουσαι τοῦ Αἰγαίου κόλπου, λόγους ὑπέρφρονας λέγει κατὰ τῶν θεῶν αὐτῶν, ἐφ' οἷς ὁ Ποσειδῶν αὐτὸς ἐπὶ τὰς Γυρὰς στέλλεται φοβερός, ὦ παῖ, καὶ χειμῶνος πλέως καὶ τὰς χαίτας ἐξηρμένος. καίτοι ποτὲ καὶ συνεμάχει τῷ Λοκρῷ κατὰ τὸ Ἴλιον, σωφρονοῦντι δὲ καὶ φειδομένῳ τῶν θεῶν, καὶ ἐρρώννυ αὐτὸν τῷ σκήπτρῳ, νῦν δ', ἐπειδὴ ὑβρίζοντα ὁρᾷ, τὴν τριαιναν ἐπ' αὐτὸν φέρει καὶ πεπλήξεται ὁ αὐχὴν τῆς πέτρας ὁ ἀνέχων τὸν Αἴαντα, ὡς ἀποσείσαιτο αὐτὸν αὐτῇ ὕβρει. ὁ μὲν δὴ λόγος τῆς γραφῆς οὗτος, τὸ δὲ ἐναργές· λευκὴ μὲν ὑπὸ κυμάτων ἡ θάλαττα, σπιλάδες δ' αἱ πέτραι διὰ τὸ ἀεὶ ῥαίνεσθαι, πῦρ δὲ ἐκ μέσης ἄττει τῆς νεώς, ἐς ὃ ἐμπνέων ὁ ἄνεμος πλεῖ ἡ ναῦς ἔτι καθάπερ ἱστίῳ χρωμένη τῷ πυρί, ὁ δὲ Αἴας οἷον ἐκ μέθης ἀναφέρων περιαθρεῖ τὸ πέλαγος οὔτε ναῦν ὁρῶν οὔτε γῆν, καὶ οὐδὲ τὸν Ποσειδῶ προσιόντα δέδοικεν, ἀλλ' ἔοικε διατεινομένῳ ἔτι. οὕπω γὰρ τοὺς βραχίονας ἡ ῥώμη ἀπολέλοιπεν, ὁ αὐχήν τε ἀνέστηκεν οἷον ἐπὶ Ἕκτορα καὶ Τρῶας. ὁ μὲν δὴ Ποσειδῶν ἐμβαλὼν τὴν τριαιναν ἀπαράξει τὸ τρύφος αὐτῷ Αἴαντι τῆς πέτρας, αἱ δὲ Γυραὶ αἱ λοιπαὶ μενοῦσί τε, ἐς ὅσον θάλαττα, καὶ ἄσυλοι ἑστήξουσι τῷ Ποσειδῶνι. 30

1. συμβόλοις. ε. σύμβλοις. m, ubi γρ. συμβόλοις. 2. Διόφαντος. f. Δαίφαντος. j. ib. γέγονε δὲ. f, p. γέγονε. ς. ib. ἤδη om. f. ib. πλάττειν. J et Welcker conj. πλάττει. ς. 3. πεδίον. μ. 4. ξυμβάλλομαι τοῦ. f, j, p. ib. κατέχει. g. 5. καὶ νύμφαι. f. καὶ αἱ Μοῦσαι. p. ib. χορεύουσαι. j. 6. ἐς om. γ. 7. τὰ om. br, p 1761. ib. ἐκπεποίηται. j, γ. ib. ἐκπ. καθ. m. ib. καὶ ante περὶ θ. om. o, uncis inclusit J. 8. λίθον. π. 9. εἰς δρόσους. f. ib. πεδίον. f, j. 11. ἀνέχουσαι. vd. ib. ἐγχρίψαι. π. ἐγχειρῆσαι. C (ἀγχι χρήματος. l). ἐγχειρήματος. EJ. ἐγχρίμματος conj. Kuster ad Hesych. I, 1215. ἐγχρίσαι conj. J. 12. ἥκουσιν ἀπὸ τ. ψ. ib. ἀηδίμων. l. ib. ἀοιδίμων Ἀθηνῶν. m.

XIII. Γυραί. f, p, br, l, π, ψ. Γυραὶ πέτραι. φ. Αἴας ὁ Λοκρός. p 1761, 2706. Αἴας ὁ Λοκρὸς ἢ Γυραί. ς. 14. Θάλασσα. γ, g. ib. δεινὰ βλέπων. f, j. 15. καί τοι. l. ib. Θάλασσαν. φ, π. ib. Αἴας om. f, j. 16. ὁμοίως ἐκκεχώρηκε. f, j. ὧδε κεχώρηκε. l. 17. Fo: ἐπαντλῶν. ib. αἱ δὲ — πλέως. v. ib. Γυραῖς δὲ. vd. 18. ὑποφαίνουσαι. v. ib. Αἰγέου. γ. Αἰγέου, ἔνθα Αἴας τέθνηκεν. v. ib. Fo: αὐχῶν. 19. ὁ δὲ Ποσειδῶν φοβερὸς. v. 20. καί τι. l, π. ib. καὶ eras. post ποτὲ. p. ib. δὲ eras. p, om. vd, φ, 2, 3. 21. Θεῶν ἐρρώννυ. f. ib. ἐρώννυ. E. ἐρώννυ. vd. ib. ἐν τῷ σκ. φ. ib. νῦν δὲ. vd. ib. ἐπ' αὐτῷ. vd. 22. πεπλήξεται. br. ib. ἐν τῇ. br. 23. τὸ δ'. vd. 24. ἄπτει. i2, m, o. ἄττει. vd, π. 26. οὔτε. C, J. Sc. οὐδὲ. 27. οὔπω γὰρ. l, J. οὔπω. ς. ib. οἷον. l, 2. οἷος. ς. 28. ὁ μὲν οὖν. π. ib. τὴν om. φ. ib. ἀναταράξει. f, j, l et p ante corr. ἀράξει. ς. (vd.) ἀπαράξει conj. J. 29. ἑστήξονται. l.

73. p. 830. 11, 13.

ΘΕΤΤΑΛΙΑ.

831 ιδ'. Αἰγυπτιάζει μὲν ἡ προσβολὴ τῆς γραφῆς, ὁ λόγος δὲ αὐτῆς οὐκ Αἰγύπτιος, ἀλλ', οἶμαι, 71
Θετταλῶν· Αἰγυπτίοις μὲν γὰρ παρὰ τοῦ Νείλου ἡ γῆ, Θετταλοῖς δὲ Πηνειὸς οὐ συνεχώρει πάλαι γῆν ἔχειν, περιβεβλημένων τοῖς πεδίοις ὀρῶν καὶ τοῦ ῥεύματος ἐπικλύζοντος αὐτὰ ὑπὸ τοῦ μήπω ἐκβαλεῖν. ῥήξει οὖν ὁ Ποσειδῶν τῇ τριαίνῃ τὰ ὄρη καὶ πύλας τῷ ποταμῷ ἐργάσεται. τούτῳ γὰρ νυνὶ τῷ ἔργῳ ἐφέστηκεν ἀθλῶν αὐτὸ καὶ ἀνακαλύπτων τὰ πεδία, καὶ διῄρται μὲν ἡ χεὶρ ἐς τὸ ἀναρρῆξαι, τὰ δὲ ὄρη, πρὶν πεπλῆχθαι, διίσταται τὸ ἀποχρῶν τῷ ποταμῷ μέτρον. ἀγωνιζομένης δὲ πρὸς τὸ ἐναργὲς τῆς τέχνης τὰ δεξιὰ τοῦ Ποσειδῶνος ὁμοῦ καὶ ὑπέσταλται καὶ προβέβηκε καὶ ἀπειλεῖ τὴν πληγὴν οὐκ ἀπὸ τῆς χειρός, ἀλλ' ἀπὸ τοῦ σώματος. γέγραπται δὲ οὐ κυάνεος, οὐδὲ θαλάττιος, ἀλλ' ἠπειρώτης. τῷ τοι καὶ ἀσπάζεται τὰ πεδία καὶ ὁμαλὰ ἰδὼν καὶ εὐρέα, καθάπερ θαλάττας. χαίρει καὶ ὁ ποταμὸς οἷον αὐχῶν, καὶ φυλάττων τὸ ἐς ἀγκῶνα ποταμῷ γὰρ ὀρθοῦσθαι οὐ σύνηθες ἀνατίθεται τὸν Τιταρήσιον ὡς κοῦφον καὶ ποτιμώτερον καὶ ὁμολογεῖ τῷ Ποσειδῶνι ἐκρυήσεσθαι τῶν πεδίων ὁδῷ χρώμενος. ἀνίσχει καὶ ἡ Θετταλία συνιζάνοντος ἤδη τοῦ ὕδατος ἐλαίᾳ κομῶσα καὶ ἀστάχυι καὶ πώλου ἐφαπτομένη συνανίσχοντος. ἔσται γὰρ καὶ ἵππος αὐτῇ παρὰ τοῦ Ποσειδῶνος, ὅταν τὴν ἀπορροὴν τοῦ θεοῦ καθεύδοντος ἡ γῆ ὑποδέξηται ἐς ἵππον.

ΓΛΑΥΚΟΣ ΠΟΝΤΙΟΣ.

832 ιε'. Βοσπόρου καὶ Συμπληγάδων ἡ Ἀργὼ διεκπλεύσασα μέσον ἤδη τέμνει τὸ ῥόθιον τοῦ Πόν- 73
του, καὶ θέλγει τὴν θάλατταν Ὀρφεὺς ᾄδων, ἡ δὲ ἀκούει καὶ ὑπὸ τῇ ᾠδῇ κεῖται ὁ Πόντος. τὰ μὲν δὴ ἀγώγιμα τῆς νεὼς Διόσκουροι καὶ Ἡρακλῆς Αἰακίδαι τε καὶ Βορεάδαι καὶ ὅσον τῆς ἡμιθέου φορᾶς ἦνθει, τρόπις δὲ ὑφήρμοσται τῇ νηὶ δένδρον ἀρχαῖον, ᾧ κατὰ Δωδώνην ὁ Ζεὺς ἐς τὰ μαντεῖα ἐχρῆτο. γνώμη δὲ ἐς τὸν πλοῦν ἥδε· χρυσοῦν ἀπόκειταί τι ἐν Κόλχοις κώδιον κριοῦ ἀρχαίου, ὃς λέγεται τὴν Ἕλλην ὁμοῦ τῷ Φρίξῳ διὰ τοῦ οὐρανοῦ πορθμεῦσαι· τοῦτο Ἰάσων ἐλεῖν, ὦ παῖ, πεποίηται ἆθλον — φρουρὸς γάρ τις αὐτῷ δράκων ἐμπέπλεκται δεινὸν βλέπων καὶ ὑπερορῶν τοῦ καθεύδειν — ὅθεν ἄρχει τῆς νεώς, ἐπειδὴ βλέπει ἐς αὐτὸν ἡ τοῦ πλοῦ αἰτία. καὶ Τῖφυς μέν, ὦ παῖ, κυβερνᾷ, λέγεται δὲ οὑτοσὶ πρῶτος ἀνθρώπων ἀπιστουμένην θαρρῆσαι τὴν τέχνην, Λυγκεὺς δὲ ὁ Ἀφαρέως ἐπιτέτακται τῇ πρῴρᾳ δεινὸς ὢν ἐκ πολλοῦ τε ἰδεῖν καὶ ἐς πολὺ καταβλέψαι τοῦ βάθους καὶ πρῶτος μὲν ὑποκειμένων ἑρμάτων αἰσθέσθαι, πρῶτος δὲ ὑποφαίνουσαν γῆν ἀσπάσασθαι. ἀλλὰ νῦν ἐκπεπλῆχθαί μοι δοκεῖ καὶ τὸ τοῦ Λυγκέως ὄμμα τὴν προσβολὴν τοῦ φάσματος, ὑφ' οὗ καὶ οἱ πεντήκοντα σχασάμενοι τὴν εἰρεσίαν Ἡρακλῆς μὲν ἄτρεπτος μένει τοῦ θαύ-

xv. 1. προσβολὴ conj. Welcker et J. προβολὴ. ς. 2. παρὰ τοὺς Νείλου. γ. παρὰ τοῖς Ν. μέτροις. g. παρὰ τὸν Νεῖλον. m, o. 3. περικλύζοντος. f. 4. οὖν. vd, φ, π. γοῦν. ς. 5. ἀνακαλύπτον. br. ib. διήρτηται. f, j, l, et p ante corr. 6. μέτρῳ. g. ib. ἀγωνιζομένης — ὑπέσταλται. v. 7. ὁμοῦ καὶ om. v. ib. προβέβληκε. φ. 8. τὴν ὀργὴν. γ, g, inde conj. J. τὴν ὁρμήν. ib. ἀλλὰ ἀπὸ. o. 9. τώ τοι. μ. ib. ὥσπερ. π. 10. θαλάττας, χαίρει. EJ. ib. οἷον αὐχῶν. 2. αὖθις. ς. ἀρθεὶς conj. J. ib. ὀρθοῦσθαι οὐ σύνηθες. C, J. οὐ σύνηθες ὀρθοῦσθαι. ς. 11. ἀνατίθεται. br. 12. ἐκρυῆναι (sic) vd. ib. τῶν πεδίων om. f, j et p pr. m. 13. κοσμῶσα. br. κομώσῃ. vd. ib. συνανίσχοντος om. br. ib. παρ' αὐτοῦ Ποσειδῶνος. E. 14. εἰς ἵππον. μ, E.

xv. 15. Βοσπόρους καὶ Συμπληγάδας ἡ Ἀ. διαπλεύσασα. vd. ib. τέμνει om. ρ, φ. 16. Θάλασσαν. vd. 17. Διόσκοροι. φ, ρ. ib. Αἰακίδαι — ἦνθει. v. 18. ὑφόρμοσται. φ. ib. Ζεὺς ἑαυτοῦ. EJ. 19. γν. δὲ ἐπίπλουν. l. ib. ἤδη. j. 20. Φρύξῳ. m, o, ut infra. 21. πεποίηται. φ. ποιεῖται. ς. ib. γὰρ om. μ. ib. ἐν αὐτῷ. l. ib. ἐκπέπλεκται. br. 22. τοῦ om. m. ib. Τίφυς. μ, E. 23. λέγεται — τέχνην. v. ib. δὲ Τύφις. v. ib. ἀπιστουμένην om. γ, g. ib. θαρρῆσαι om. br. ib. τὴν om. v. ib. Λυγγεὺς. f, ρ, ut infra. 24. ἐκ πολλοῦ. C, J. διὰ πολλοῦ. E. 25. πρῶτος — ἀσπάσασθαι om. f, j, l. 26. σοι δοκεῖ. φ. ib. προβολὴν. vd. ib. δράκοντος et mg. φάσματος. l. 27. πεντήκοντα. π. ib. θεάματος velit J.

71, 73. p. 831, 832. 11, 14, 15.

ματος, ἅτε δὴ πολλοῖς ὁμοίοις ἐντυχών, οἳ δὲ λοιποὶ θαῦμά τι, οἶμαι, τοῦτο λέγουσιν· ὁρᾶται γὰρ αὐτοῖς Γλαῦκος ὁ Πόντιος, οἰκῆσαι δὲ οὑτοσί ποτε λέγεται τὴν ἀρχαίαν Ἀνθηδόνα, καὶ πόας
76 μέν τινος ἐπιθαλαττίας γεύσασθαι, κύματος δὲ ὑποδραμόντος αὐτὸν ἐς τὰ τῶν ἰχθύων ἀπηνέχθη ἤθη. μαντεύεται μὲν οὖν μέγα τι, ὡς εἰκός, περίεστι γὰρ αὐτῷ τῆς τέχνης, τὸ δὲ εἶδος ὑγροὶ μὲν αὐτῷ γενείων βόστρυχοι, λευκοὶ δὲ ἰδεῖν, καθάπερ κρουνοί, βαρεῖς δὲ πλόκαμοι κόμης, καὶ τοῖς ὤμοις ἐποχετεύοντες ὅσον ἐσπάσαντο θαλάττης. ὀφρῦς δὲ λάσιαι συνάπτουσαι πρὸς ἀλλήλας οἷον μία. φεῦ τοῦ βραχίονος, ὡς γεγύμνασται πρὸς τὴν θάλατταν ἐμπίπτων ἀεὶ τοῖς κύμασι καὶ λεαίνων αὐτὰ ἐς τὴν νῆξιν. φεῦ τῶν στέρνων, ὡς λάχνη μὲν αὐτοῖς ἐγκατέσπαρται βρύοις κομῶσα καὶ φυκίοις, γαστὴρ δὲ ὑπόκειται παραλλάττουσα καὶ ἀπιοῦσα ἤδη. ἰχθὺν δὲ εἶναι τῷ λοιπῷ τὸν Γλαῦκον δηλοῖ τὰ οὐραῖα ἐξηρμένα καὶ πρὸς τὴν ἰξὺν ἐπιστρέφοντα, τὸ δὲ μηνοειδὲς αὐτῶν ἁλιπορ- 10
φύρου τι ἄνθος ἔχει. περιθέουσι δ' αὐτὸν καὶ ἀλκυόνες ὁμοῦ μὲν ᾄδουσαι τὰ τῶν ἀνθρώπων, ἐξ ὧν αὐταί τε καὶ ὁ Γλαῦκος μεθηρμόσθησαν, ὁμοῦ δ' ἐνδεικνύμεναι τῷ Ὀρφεῖ τὴν ἑαυτῶν ᾠδήν, δι' ἣν οὐδὲ ἡ θάλαττα ἀμούσως ἔχει.

ΠΑΛΑΙΜΩΝ.

ις'. Ὁ Θύων ἐν Ἰσθμῷ δῆμος, εἴη δ' ἂν ὁ ἐκ τῆς Κορίνθου, καὶ βασιλεὺς οὑτοσὶ τοῦ δήμου, Σίσυφον αὐτὸν ἡγώμεθα, τέμενος δὲ τουτὶ Ποσειδῶνος ἠρέμα τι προσηχοῦν θαλάττῃ, αἳ γὰρ τῶν 15
πιτύων κόμαι τοῦτο ᾄδουσι, τοιάδε, ὦ παῖ, σημαίνει· ἡ Ἰνὼ τῆς γῆς ἐκπεσοῦσα τὸ μὲν ἑαυτῆς 834
Λευκοθέα τε καὶ τοῦ τῶν Νηρηίδων κύκλου, τὸ δὲ τοῦ παιδὸς ἡ γῆ Παλαίμονι τῷ βρέφει χρήσε-
77 ται. καταίρει δὲ ἤδη ἐς αὐτὴν ἐπὶ δελφῖνος εὐηνίου, καὶ ὁ δελφὶς τὰ νῶτα ὑποστρωννὺς φέρει καθεύδοντα διολισθαίνων ἀψοφητὶ τῆς γαλήνης, ὡς μὴ ἐκπέσοι τοῦ ὕπνου, προσιόντι δὲ αὐτῷ ῥήγνυταί τι κατὰ τὸν Ἰσθμὸν ἄδυτον διασχούσης τῆς γῆς ἐκ Ποσειδῶνος, ὃν μοι δοκεῖ καὶ Σισύφῳ 20
τούτῳ προειπεῖν τὸν τοῦ παιδὸς ἔσπλουν καὶ ὅτι θύειν αὐτῷ δέοι. θύει δὲ ταῦρον τουτονὶ μέλανα ἀποσπάσας, οἶμαι, αὐτὸν ἐκ τῆς τοῦ Ποσειδῶνος ἀγέλης. ὁ μὲν οὖν τῆς θυσίας λόγος καὶ ἡ τῶν θυσάντων ἐσθὴς καὶ τὰ ἐναγίσματα, ὦ παῖ, καὶ τὸ σφάττειν ἐς τὰ τοῦ Παλαίμονος ἀποκείσθω ὄργια, σεμνὸς γὰρ ὁ λόγος καὶ κομιδῇ ἀπόθετος, ἅτ' ἀποθειώσαντος αὐτὸν Σισύφου τοῦ σοφοῦ· σοφὸν γὰρ ἤδη που δηλοῖ αὐτὸν ἡ ἐπιστροφὴ τοῦ εἴδους. τὸ δὲ τοῦ Ποσειδῶνος εἶδος, εἰ μὲν 25
τὰς Γυρὰς πέτρας ἢ τὰ Θετταλικὰ ὄρη ῥήξειν ἔμελλε, δεινὸς ἄν που ἐγράφετο καὶ οἷον πλήττων, ξένον δὲ τὸν Μελικέρτην ποιούμενος, ὡς ἐν τῇ γῇ ἔχοι, μειδιᾷ καθορμιζομένου καὶ κελεύει τὸν Ἰσθμὸν ἀναπετάσαι τὰ στέρνα καὶ γενέσθαι τῷ Μελικέρτῃ οἶκον. ὁ δὲ Ἰσθμός, ὦ παῖ, γέγραπται μὲν ἐν εἴδει δαίμονος ἐνυπτιάζων ἑαυτὸν τῇ γῇ, τέτακται δὲ ὑπὸ τῆς φύσεως Αἰγαίου μέσος καὶ

2. αὐτοῦ φ. 3. ἐπιθαλαττίας. l. ἐπὶ θαλάττης. f, j, φ, 2, g, π, ρ. (θαλάσσης. vd.) ἐπὶ τῆς θαλ. EJ. ib. ἀπηνέχθαι. 2, 3, E. ib. ἤθη om. μ. ἔδη. f. 4. μαντεῦσαι. f, j. ib. περίεστι — βόστρυχοι. v. ib. αὐτοῦ τέχνης. v. ib. τὸ δὲ — ἀπιοῦσα ἤδη. h. ib. δὲ om. h. ib. αὐτοῦ οἱ βοστρ. v. 5. γενύων. γ, g. 6. ἔσπασε τῆς θαλ. h. ib. θαλάττης. π. ib. ὀφρὺς δὲ. h. ib. ὀφρῦς θαλάττιαι. vd. δὲ om. ς. ib. Malis καὶ συνάπτουσαι. ib. πρὸς ἀλλήλοις. φ. 7. καὶ τὴν. j. 8. βρύοις — φυκίοις. h. βρύων — φυκίων. ς. ib. λάχνην αὐτοῖς. π, qui φρύων habet. 9. ἀπαλλάττουσα. f. ib. γλαῦκα. l. 10. ἐξηρμένον. π. ib. νῆξιν. f, j. ib. μονοειδές. f, j, vd ex corr. 11. περιθέουσι — ἐνδεικνύμεναι. h. ib. ἁλιπορφύρας. vd. 12. αὐταί τε. h, μ, br. ib. Γλαῦκος αὐτός. h. ib. προσηρμόσθησαν. vd. pr. m. ib. ἐνδεικνύμενοι. π. ib. τῷ Ὀρφεῖ om. h, ψ.

XVI. 14. ὁ Θύων — θαλάττῃ. v. 15. ἡγούμεθα. f, j, v. ib. θέαμά τι. π. ib. τῇ θαλ. EJ. 16. ἐμπεσοῦσα. l. 17. Λευκοθέα. p, br. J. Λευκοθέας. ς. Λευκοθέα ἔσται conj. Huet. ib. καὶ ταυτῶν. br. 18. ἤδη ἑαυτὴν. ρ. ib. δελφίν. vd. 19. διολισθένων. γ. ib. διεκπέσοι. br. διεκπέσῃ. vd. ἐκπέσῃ. ρ. 21. τοῦτο. br. ib. προσειπεῖν. f, j. ib. τὸν om. φ. ib. μέλαινα. π. 23. ἐς τὰ. j, φ, J. ib. ἀποκεῖσθαι. j. κείσθω. ρ. 24. κομιδῇ. μ. ib. ἀποθειώσαντος. f, j. ἀποθειάσαντος. ς. ib. οὐ τὸν. φ. ib. Σισύφω. f, j. 26. ἐφαίνετο. l. 27. καὶ ἐν τῇ. φ. 29. Αἰγαίου μέσος καὶ Ἀδρίου. l. Αἰγ. κ. Ἀδρ. μέσος. o. Αἰγ. κ. Ἀδρ. μέσον. ς. (Ἀνδρίου. f, j.)

76, 77. p. 834. ll. 16.

Ἀδρίου κεῖσθαι, καθάπερ ἐπεξευγμένος τοῖς πελάγεσιν. ἔστι δὲ αὐτῷ μειράκιον μὲν ἐν δεξιᾷ Λίχαιον, οἶμαι, αἱ κόραι δ' ἐν ἀριστερᾷ Κεγχρεαί που τάχα. θάλατται δὲ αὗται καλαὶ καὶ ἱκανῶς εὔδιοι τῇ τὸν Ἰσθμὸν ἀποφαινούσῃ γῇ παρακάθηνται.

ΝΗΣΟΙ.

835 ιξ'. *Βούλει, ὦ παῖ, καθάπερ ἀπὸ νεὼς διαλεγώμεθα περὶ τουτωνὶ τῶν νήσων, οἷον περι-* 78
πλέοντες αὐτὰς τοῦ ἤρος, ὅτε Ζέφυρος ἱλαρὰν ἐργάζεται θάλατταν προσπνέων τῆς ἑαυτοῦ αὔρας; ἀλλ' ὅπως ἑκὼν λελήσῃ τῆς γῆς καὶ θαλαττά σοι ταυτὶ δόξει μήτ' ἐξηρμένη καὶ ἀναχαιτίζουσα μήθ' ὑπτία καὶ γαληνή, πλωτὴ δέ τις καὶ οἷον ἔμπνους. ἰδοὺ ἐμβεβλήκαμεν· ξυγχωρεῖς γάρ που; [καὶ ὑπὲρ παιδὸς ἀποκρίνασθαι;] „ξυγχωρῶ καὶ πλέωμεν". ἡ μὲν θάλαττα, ὡς ὁρᾷς, πολλή, νῆσοι δὲ ἐν αὐτῇ, μὰ Δί', οὐ Λέσβος, οὐδ' Ἴμβρος ἢ Λῆμνος, ἀλλ' ἀγελαῖαι καὶ μικραί, καθάπερ κῶμαί τινες ἢ σταθμοὶ ἤ, νὴ Δί', ἐπαύλια τῆς θαλάττης. ἡ μὲν δὴ πρώτη σφῶν ἐρυμνή τέ ἐστι καὶ ἀπότομος καὶ τειχήρης τὴν φύσιν ἀκρωνυχίαν ἐξαίρουσα πανόπτῃ Ποσειδῶνι, κατάρρους τε καὶ ὑγρὰ καὶ τὰς μελίττας βόσκουσα ὀρείοις ἄνθεσιν, ὧν δρέπεσθαι καὶ τὰς Νηρηίδας εἰκός, ὅταν τῇ θαλάττῃ ἐπιπαίζωσι. τὴν δὲ νῆσον τὴν ἐφεξῆς ὑπτίαν τε καὶ γεώδη οὖσαν οἰκοῦσι μὲν ἁλιεῖς τε καὶ γεωργοὶ ἅμα, ξυμβάλλονται δὲ ἀγορὰν ἀλλήλοις οἱ μὲν τῶν γεωργουμένων, οἱ δὲ ὧν ἤγρευσαν, Ποσειδῶ δὲ τουτονὶ γεωργὸν ἐπ' ἀρότρου καὶ ζεύγους ἵδρυνται λογιούμενοι αὐτῷ τὰ ἐκ τῆς γῆς, ὡς δὲ μὴ σφόδρα ἠπειρώτης ὁ Ποσειδῶν φαίνοιτο, πρῷρα ἐμβέβληται τῷ ἀρότρῳ καὶ τὴν γῆν ῥήγνυσιν, οἷον πλέων. αἱ δ' ἐχόμεναι τούτων νῆσοι δύο μία μὲν ἄμφω ποτὲ ἦσαν, ῥαγεῖσα δὲ ὑπὸ τοῦ πελάγους μέση ποταμοῦ εὖρος ἑαυτῆς ἀπηνέχθη, τουτὶ δ' ἔστι σοι καὶ παρὰ τῆς γραφῆς, ὦ παῖ, γιγνώσκειν· τὰ γὰρ ἐσχισμένα τῆς νήσου παραπλήσιά που ὁρᾷς καὶ ἀλλήλοις ξύμμετρα καὶ οἷα ἐναρμόσαι κοῖλα ἐκκειμένοις. τοῦτο καὶ ἡ Εὐρώπη ποτὲ περὶ τὰ Τέμπη τὰ Θετταλικὰ ἔπαθεν· σει-
836 *σμοὶ γὰρ δὴ κἀκείνην ἀναπτύξαντες τὴν ἁρμονίαν τῶν ὀρῶν ἐναπεσημήναντο τοῖς τμήμασι, καὶ* 79
πετρῶν τε οἶκοι φανεροὶ ἔτι παραπλήσιοι ταῖς ἐξηρμοσμέναις σφῶν πέτραις, ὕλη θ', ὁπόσην σχισθέντων τῶν ὀρῶν ἐπισπέσθαι εἰκός, οὕπω ἄδηλος, λείπονται γὰρ δὴ ἔτι αἱ εὐναὶ τῶν δένδρων. τὸ μὲν δὴ τῆς νήσου πάθος τοιοῦτον ἡγώμεθα, ζεῦγμα δὲ ὑπὲρ τοῦ πορθμοῦ βέβληται, ὡς μίαν ὑπ' αὐτοῦ φαίνεσθαι καὶ τὸ μὲν ὑποπλεῖται τοῦ ζεύγματος, τὸ δὲ ἀμαξεύεται, ὁρᾷς γάρ που τοὺς διαφοιτῶντας αὐτό, ὡς ὁδοιπόροι τέ εἰσι καὶ ναῦται. τὴν δὲ νῆσον, ὦ παῖ, τὴν πλησίον θαῦμα ἡγώμεθα, πῦρ γὰρ δὴ ὑποτύφει αὐτὴν πᾶσαν σήραγγάς τε καὶ μυχοὺς ὑποδεδυκὸς τῆς νήσου, δι' ὧν ὥσπερ αὐλῶν ἡ φλὸξ διεκπαίει ῥύακάς τε ἐργάζεται δεινούς, παρ' ὧν ἐκπίπτουσι ποταμοὶ πυρὸς μεγάλοι τε καὶ τῇ θαλάττῃ ἐπικυμαίνοντες. καὶ φιλοσοφεῖν μὲν βουλομένῳ τὰ τοιαῦτα νῆσος ἀσφάλτου καὶ θείου παρεχομένη φύσιν, ἐπειδὰν ὑφ' ἁλὸς ἀναβρωθῇ, πολλοῖς ἐκπυροῦται πνεύμασι

1. *Λέχριον οἶμαι τι. κόραι δ'.* l. Inde feci *Λέχαιον, οἶμαι, αἱ κόραι δ'. Λεχαιόν τι* (*Λέχαον.* φ). 1. *Λέχριον τι* 2, 3, E. *Λέχαιον τι οἶμαι. κόραι δ'.* J ex mala indicatione apud o. 2. *Κεγχρεαί που τάχα.* C om. (praeter l,) et ε, m. ib. *ἱκαρῶς.* j.

XVII. 5. *αὐτοῖς.* π ib. *ὅτι.* p, br. ib. *ὥρας.* π. 6. *ὅπως* om. l. ib. *θάλασσα.* φ. ib. *σοί τι.* f. ib. *δόξει.* C. *δόξῃ.* EJ. ib. *ἐξηρημένη.* f, j. 7. *ὑπτιά.* m, o. ib. *καὶ ἦν.* f, j. ib. *ἐμβεβήκαμεν.* m, o. ib. *ξ. γ. που καὶ ὑπὲρ* (*ὑπὸ.* l. *τοῦ παιδὸς ἀποκρίνασθαι* (*ὑποκρίνασθαι.* l). 1, ε, m, J. *ξ. γ. π. καὶ ὑπὲρ ποδὸς* (*τοῦ ποδὸς* p 1760.) *ὑποκρίνασθαι.* 2, 3, m. *γρ. ξ. γ. που*; ceteris omissis o. Inclusi *καὶ — ἀποκρίνασθαι.* 8. *νῆσοι δ'.* φ, ρ, π. 9. *Δία.* l, π. 10. *ἀπαύλια.* l. ib. *θαλάσσης.* vd. ib. *ἔστι* eras. p. om. br. vd. 11. *ἀκρονυχίαν.* E. ib. *τῷ Ποσ.* μ. ib. *κατάρρους.* μ. 12. *μελίσσας.* l, p, vd, p 1761, π, ψ. ib. *ὀρίοις.* φ. ib. *θαλάττῃ.* f, π, J. *τῇ* om. φ. 13. *γεώδη — τε καὶ* om. m. ib. *γεωργοὶ δὴ ἅμα.* l. 14. *ξυμβάλλονται — ἤγρευσαν.* ν. 15. *ὡς μὴ δὲ.* f, j. 17. *οἷον πλέον.* φ. ib. *αἱ διχόμεναι.* f, j, p. ib. *τοῦτον.* p. 18. *μέσον μὲν.* γ. ib. *μέρος ἑαυτῆς.* f, j. 19. *ἐσχηματισμένα.* f. *ἐχηματισμένα.* j. ib. *οἷον* f, j. 20. *τὰ κοῖλα.* l, p 1761. ib. *ἔπαθεν.* ψ. 21. *γὰρ δὴ.* l, o, J. *γὰρ.* ς. 22. *αὐτῶν.* l. ib. *ὕλην.* j. ib. *ὁπόσοι.* γ, g. *ὁπήσῃ.* br. *ὁπόσην.* f, J. *ὁπόσῃ* ς. 23. *εὔδηλος.* π. ib. *δὴ* om. φ, π. ib. *αἱ* om. ρ. 24. *ἐπὶ.* Salm. o, J. *ὑπὸ* C, ε, m. Sc. *ὑπὲρ.* 27. *γὰρ ἤδη.* f, j. ib. *μύχους* m, o. 28. *ἐργάζεται.* f, j, φ. *ἐξερεύγεται* p ex corr. vd. *ἐξεργάζεται.* 2, 3, EJ. 30. Fo: *παρεχομένη κρᾶσιν.* ib. *ἐπειδὴ.* o. ib. *ἀναχραθῇ.* f, j.

78, 79. p. 835, 836. II, 17.

τὰ τὴν ὕλην ἐξερεθίζοντα παρὰ τῆς θαλάττης ἀνασπῶσα, ἡ γραφὴ δὲ τὰ τῶν ποιητῶν ἐπαινοῦσα καὶ μῦθον τῇ νήσῳ ἐπιγράφει, γίγαντα μὲν βεβλῆσθαί ποτε ἐνταῦθα, δυσθανατοῦντι δ' αὐτῷ τὴν νῆσον ἐπενεχθῆναι δεσμοῦ ἕνεκεν, εἴκειν δὲ μήπω αὐτόν, ἀλλ' ἀναμάχεσθαι ὑπὸ τῇ γῇ ὄντα καὶ τὸ πῦρ τοῦτο σὺν ἀπειλῇ ἐκπνεῖν. τουτὶ δὲ καὶ τὸν Τυφῶ φασιν ἐν Σικελίᾳ βούλεσθαι καὶ τὸν Ἐγκέλαδον ἐν Ἰταλίᾳ ταύτῃ, οὓς ἤπειροί τε καὶ νῆσοι πιέζουσιν οὔπω μὲν τεθνεῶτας, ἀεὶ δὲ ἀποθνήσκοντας. ἔστι δέ σοι, ὦ παῖ, μηδ' ὑπολελεῖφθαι δόξαι τῆς μάχης ἐς τὴν κορυφὴν τοῦ ὄρους ἀποβλέψαντι, τὰ γὰρ ἐπ' αὐτῆς φαινόμενα ὁ Ζεὺς ἀφίησι κεραυνοὺς ἐπὶ τὸν γίγαντα, ὁ δ' ἀπα-
80 γορεύει μὲν ἤδη, πιστεύει δὲ τῇ γῇ ἔτι, καὶ ἡ γῆ δὲ ἀπείρηκεν οὐκ ἐῶντος αὐτὴν ἑστάναι τοῦ Ποσειδῶνος. περιβέβληκε δὲ αὐτοῖς ἀχλύν, ὡς ὅμοια γεγονόσι μᾶλλον ἢ γιγνομένοις φαίνοιτο. τὸν δὲ περίπλουν κολωνὸν τοῦτον οἰκεῖ δράκων πλούτου τινός, οἶμαι, φύλαξ, ὃς ὑπὸ τῇ γῇ κεῖται. 10 837
τοῦτο γὰρ λέγεται τὸ θηρίον εὔνουν τε εἶναι τῷ χρυσῷ, καὶ ὅ τι ἴδῃ χρυσοῦν, ἀγαπᾶν καὶ θάλπειν· τό τοι κώδιον τὸ ἐν Κόλχοις καὶ τὰ τῶν Ἑσπερίδων μῆλα, ἐπειδὴ χρυσᾶ ἐφαίνοντο, διττῷ ἀύπνῳ ξυνεῖχον δράκοντε καὶ ἑαυτοῖν ἐποιοῦντο, καὶ ὁ δράκων δὲ ὁ τῆς Ἀθηνᾶς ὁ ἔτι καὶ νῦν ἐν ἀκροπόλει οἰκῶν δοκεῖ μοι τὸν Ἀθηναίων ἀσπάσασθαι δῆμον ἐπὶ τῷ χρυσῷ, ὧν ἐκεῖνοι τέττιγας ταῖς κεφαλαῖς ἐποιοῦντο. ἐνταῦθα δὲ καὶ χρυσοῦς αὐτὸς ὁ δράκων, τὴν γὰρ κεφαλὴν τῆς 15
χειᾶς ὑπερβάλλει δεδιώς, οἶμαι, ὑπὲρ τοῦ κάτω πλούτου. κατηρεφὴς δὲ κιττῷ τε καὶ σμίλακι καὶ ἀμπέλοις ἥδε ἡ νῆσος οὖσα Διονύσῳ μὲν ἀνεῖσθαί φησι, τὸν Διόνυσον δ' ἀπεῖναι νῦν καὶ ἐν ἠπείρῳ που βακχεύειν ἐπιτρέψαντα τῷ Σειληνῷ τὰ ἐνταῦθα ἀπόρρητα· τὰ δὲ ἀπόρρητα κύμβαλά τε ταῦτα ὕπτια καὶ κρατῆρες ἀνεστραμμένοι χρυσοῖ καὶ αὐλοὶ θερμοὶ ἔτι, καὶ τὰ τύμπανα ἀψοφητὶ κείμενα, καὶ τὰς νεβρίδας ὁ ζέφυρος οἷον αἴρει ἀπὸ τῆς γῆς, ὄφεις τε οἱ μὲν ἐμπλέκονται τοῖς θύρσοις, οἱ 20
δ' ὑπὸ τοῦ οἴνου παρεῖνται ζώννυσθαι αὐτοὺς ταῖς βάκχαις καθεύδοντας. βότρυς δὲ οἱ μὲν ὀργῶσιν, οἱ δὲ περκάζουσιν, οἱ δ' ὄμφακες, οἱ δ' οἰνάνθαι δοκοῦσι σεσοφισμένου τοῦ Διονύσου τὰς ὥρας τῶν ἀμπέλων, ὡς ἀεὶ τρυγώῃ. ἀμφιλαφεῖς δ' οὕτω τι οἱ βότρυς, ὡς καὶ τῶν πετρῶν ἁπερτῆσθαι καὶ τῇ θαλάττῃ ἐπικρέμασθαι, ὁπωρίζουσί τε προσπετόμενοι θαλάττιοί τε καὶ ἠπειρῶται ὄρνιθες,
81 τὴν γὰρ ἄμπελον ὁ Διόνυσος παρέχει κοινὴν πᾶσι πλὴν τῆς γλαυκός, ἐκείνην δὲ μόνην ἄρα ἀπωθεῖται 25
τῶν βοτρύων, ἐπειδὴ τοῖς ἀνθρώποις διαβάλλει τὸν οἶνον· ᾠὰ γὰρ τῆς γλαυκὸς εἰ φάγοι παιδίον νήπιόν τε καὶ ἄοινον, ἀπεχθάνεται τῷ οἴνῳ πᾶσαν τὴν ἡλικίαν, καὶ οὔτ' ἂν πίοι καὶ φοβεῖται τοὺς μεθύοντας. σὺ δ' οὕτω τι θρασύς, ὦ παῖ, ὡς μηδὲ τὸν Σειληνὸν τοῦτον, τὸν φύλακα τῆς νήσου, φοβεῖσθαι μεθύοντά 838
τε καὶ ἁπτόμενον τῆς βάκχης. ἡ δ' οὐκ ἀξιοῖ ἐς αὐτὸν βλέπειν, ἀλλὰ τοῦ Διονύσου ἐρῶσα ἀνατυποῦται αὐτὸν καὶ ἀναγράφει καὶ ὁρᾷ μὴ παρόντα. τὸ γὰρ τῶν ὀφθαλμῶν ἦθος τῇ βάκχῃ μετέωρον μέν, 30

1. ἐξερεθίζοντα. f, j et p ante corr. J. ἐρεθίζοντα. vd, φ, 2, 3, E. ἐθερίζοντα. br. ib. θαλάσσης. φ. ib. τὰ om. vd. 2. ἐπιγράφειν. 1. ib. δυσθανοῦντι. j, br, ε, m. διὸς θανατοῦντι. l. 3. ἕνεκα. l. 4. συναπειλεῖ. l, j, μ. ib. Τυφῶνα καὶ Ἐγκέλαδον οὔπω μὲν τεθνεῶτα, ἀεὶ δὲ ἀποθνήσκοντα. v. ib. Τυφῶνα. φ. 6. ὑπολεῖφθαι. f, j, p, φ. ἀπολελεῖφθαι. vd, 2, 3, E. ὑπολελεῖφθαι br, π. ib. δόξαι om. γ, g. ib. τοῦ ὄρους et γρ. τῆς νήσου. l. 7. ὑπ' αὐτῆς. f, j. ἐπ' αὐτοὺς et γρ. ὑπ' αὐτῆς. l. ib. ὁ δὲ Τυφῶν — ἔτι. v. 9 ἄχλυν. EJ. ib. γινομένοις. π, vd. ib. φαίνονται. vd. 10. περίπλουν τὸν κολ. vd. 11. εἶναι αὐτῷ. vd. ib. τὸ χρυσίον. vd. ib. ἴδοι. br, γ, g. Fo: ἂν ἴδῃ. ib. θάλπειν καὶ ἀγαπᾶν. vd. 12. τότε. vd. τότοι. o. ib. ἑσπερίων. f, vd. ib. τέσσαρα μῆλα. vd. ib. ἐφαίνοντο. f, j, p. ἐφαίνετο. ς. 13. δράκοντες. br. ib. ἑαυτῶν. f, j. 14. ἐπισπάσασθαι. ψ. ib. οὗ velit Osann ad Philem. 198. ταῖς κεφ. 1, 3, J. ἐπὶ ταῖς κεφ. φ, 2. ἐπὶ τὰς κ. E. 15. δὲ χρυσοῦς. f. 16. τε om. l, μ. 17. ἤδη ἡ νῆσος. ε, m. ib. φασι. f, p, br. ib. τὸν om. φ. 18. ἐπιτρέψαντι. f. ib. Σιληνῷ. π, ρ. Σειλήνῳ. f. 19. τὰ δὲ ἀπόρρητα κύμβαλα. 1, π, ρ. κύμβαλα. 2, 3, EJ. ib. Fo: ἀνατετραμμένοι. ib. χρυσῷ. vd, π, ρ. ib. τύμπανα. 1. τύμπανα δὲ. 2, 3, EJ. 20. νευρίδας. l. ib. τοῖς om. E. ib. ὄφεις τε. l, p, br, vd, φ, π, o. ὄφεις ἓξ. f, j. ὄφεις τε ἓξ. ς. ib. οἶμαι ἐμπλ. vd. 21. παρεῖναι. br. ib. τοῖς βάκχοις. l. ib. ὧν οἱ μὲν ὀργῶσιν — δοκοῦσιν excerpsit Aristaenet. I, 3 p. 14 ed. B. 22. περκάζουσαι. π. 23. τρυγῶν. l, br. ib. οὕτω τοι. φ. ib. βότρυες. φ, br, vd, π, ρ. 24. ὁπωρίζουσί τε. f, j, p. ὁπ. δὲ. ς. ib. προσπεττόμενοι. f. ib. θαλάσσιοί τε. vd. 25. γλαύκης. vd. 26 διαβάλλεται. vd. ib. φάγει. br. 27. παιδίον νήπιόν τε καὶ ἄοινον. l et J, ubi unci appositi verbis νήπιόν τ. κ. ἄ. παιδίον. ς. ib. ἀπεχθάνεται τὸν οἶνον. l. ib. πᾶσαν τὴν ἡλικίαν. l, (br), π. πᾶσαν ἡλ. 2, 3, EJ. ib. πίῃ. p 1761. ib. φοβοῖτο. 1, π. φοβεῖτο. br. 28. οὕτω τοι. br, φ, g. ib. Σειληνὸς. l. mg. Σιληνὸν. π, ρ. 29. ἐς αὐτὸν. C. ἐπ' αὐτὸν. EJ. ib. αὐτόν. 1. αὐτόν τε. 2, 3, KJ. 30. εἶδος. br, vd.

80, 81. p 837, 838. II, 17.

οὐ μὴν ἔξω γ' ἐρωτικῶν φροντίδων. ταυτὶ δὲ ἡ φύσις τὰ ὄρη ξυνθεῖσα νῆσον εἴργασται δασείαν τε καὶ ὕλης πλέων, ὁπόση κυπαρίττου τε ὑψηλῆς καὶ πεύκης καὶ ἐλάτης δρυῶν τε αὖ καὶ κέδρου, καὶ γὰρ τὰ δένδρα τὸν ἑαυτῶν γέγραπται τρόπον. τὰ μὲν δὴ ἔνθηρα τῆς νήσου συοθῆραί τε ἀνιχνεύουσι καὶ ἐλαφηβόλοι λόγχας ἐπὶ τὰ θηρία ἠρμένοι καὶ τόξα ἔνιοι καὶ μαχαίρας δέ, ὦ παῖ, καὶ κορύνας φέρουσιν οἱ ἀγχέμαχοι σφῶν καὶ θρασεῖς δίκτυά τε ταῦτα διῆκται τῆς ὕλης τὰ μὲν ἐγκολπίσασθαι θηρίον, τὰ δὲ δῆσαι, τὰ δὲ σχεῖν τοῦ δρόμου, καὶ τὰ μὲν εἵληπται τῶν θηρίων τὰ δὲ μάχεται, τὰ δὲ ᾔρηκε τὸν βάλλοντα. ἐνεργὸς δὲ πᾶς βραχίων νεανίας, καὶ συνεξαίρουσι βοὴν κύνες ἀνδράσιν, ὡς καὶ τὴν ἠχὼ φάναι ξυμβακχεύειν τῇ θήρᾳ. τὰ δὲ μεγάλα τῶν φυτῶν δρυτόμοι σπαθῶσι διατέμνοντες καὶ ὁ μὲν διαίρει τὸν πέλεκυν, ὁ δὲ ἐμβέβληκεν, ὁ δὲ θήγει λαβὼν ἀπεστομωμένον ὑπὸ τοῦ πλήττειν, ὁ δ' ἐπισκοπεῖται τὴν ἐλάτην ἱστοῦ ἕνεκα τεκμαιρόμενος τοῦ δένδρου πρὸς τὴν ναῦν, ὁ δὲ τὰ νέα καὶ ὀρθὰ τῶν δένδρων τέμνει ἐς τὰ ἐρετικά. ἡ δ' ἀπορρὼξ πέτρα καὶ ὁ τῶν αἰθυιῶν δῆμος καὶ ὁ ἐν μέσαις ὄρνις ἀπὸ τοῦ τοιοῦδε γέγραπται λόγου· οἱ ἄνθρωποι ταῖς αἰθυίαις ἐπιτίθενται, μὰ Δί', οὐ τῶν κρεῶν ἕνεκα, μέλαν γὰρ καὶ νοσῶδες καὶ οὐδὲ πεινῶντι ἡδὺ τὸ ἐξ αὐτῶν κρέας, γαστέρα δὲ παρέχονται παισὶν ἰατρῶν, οἵαν τοὺς γευσαμένους αὐτῆς εὐσίτους ἀποφαίνειν καὶ κούφους ὑπνηλαὶ οὖσαι καὶ πυριάλωτοι, νύκτωρ γὰρ αὐταῖς ἐναστράπτουσι. προσάγονται δὲ τὸν κήυκα ὄρνιν ἐπὶ μοίρᾳ τῶν ἁλισκομένων μελεδωνὸν εἶναι καὶ προεγρηγορέναι
839 σφῶν. ὁ δὲ κήυξ θαλάττιος μέν, χρηστὸς δὲ ὄρνις καὶ ἀπράγμων καὶ θηρᾶσαι μέν τι ἀδρανής, πρὸς δέ γε ὕπνον ἔρρωται καὶ καθεύδει σμικρά. ταῦτά τοι καὶ ἀπομισθοῖ τοὺς ὀφθαλμοὺς ἐκείναις. ἐπειδὰν οὖν ἐπὶ δαῖτα ἀποπτῶσιν, ὁ μὲν οἰκουρεῖ περὶ τὴν πέτραν, αἱ δ' ἥκουσιν ἐς ἑσπέραν ἀπάγουσαι δεκάτην αὐτῷ τῶν τεθηραμένων, καὶ καθεύδουσιν ἤδη περὶ αὐτὸν οὐ καθεύδοντα, οὐδ' ἂν ἡττηθέντα ὕπνου ποτέ, εἰ μὴ αὐταὶ βούλονται. εἰ δὲ δόλου του προσιόντος αἴσθοιτο, ὁ μὲν ἀναβοᾷ τορόν τε καὶ ὀξύ, αἱ δ' ἀπὸ συνθήματος ἀρθεῖσαι φεύγουσιν ἀνέχουσαι τὸν μελεδωνόν, εἰ πετόμενος ἀπείποι ποτέ. ἀλλ' ἐνταῦθα ἕστηκε καὶ τὰς αἰθυίας περιορᾷ. ἔστι δ' αὐτοῦ τὸ μὲν ἐν μέσαις ἑστάναι ταῖς ὄρνισιν ὁ Πρωτεὺς ὁ ἐν ταῖς φώκαις, τὸ δὲ μὴ καθεύδειν ὑπὲρ τὸν Πρωτέα. ἐνταῦθα δέ, ὦ παῖ, καὶ καθώρμισται ἡμῖν, καὶ ὅ τι μὲν ὄνομα τῇ νήσῳ, οὐκ οἶδα, χρυσῆ δ' ἂν πρός γε ἐμοῦ ὀνομάζοιτο, εἰ μὴ μάτην οἱ ποιηταὶ τὴν τοιάνδε ἐπωνυμίαν ἐξευρήκασι τοῖς καλοῖς τε καὶ θαυμασίοις πᾶσιν. ᾤκισται μὲν δή, ὁπόση βασίλεια μικρὰ δέξασθαι, οὐ γὰρ ἀρόσει γε ἐνταῦθά τις, οὐδὲ ἀμπελουργήσει, περίεστι δ' αὐτῇ πηγῶν, ὧν τὰς μὲν ἀκραιφνεῖς τε καὶ ψυχρὰς ἐκδίδωσι, τὰς δὲ ἐκπυρώσασα, ἔστι δ' οὕτω τι εὕρους, ὡς καὶ τῇ θαλάττῃ ἐπιπλημμυρεῖν· τό τοι ῥόθιον τοῦτο πηγαὶ ὑποκυματίζουσι ξέουσαι καὶ οἷον ἐκ λέβητος ἀναπαλλόμεναί τε καὶ ἀναπηδῶσαι, περὶ ἃς βέβληται ἥδε ἡ νῆσος. τὸ μὲν οὖν θαῦμα τῆς τῶν πηγῶν ἐκδόσεως εἴτε τῆς γῆς

1. ἔξω γ' ἐρ. p, vd, φ, π. ἔξω γε ἐρ. ς. ib. νῆσον δασεῖαν — ἐλάτης. v. 2. πλέων. v. πλέω. ς. ib. ὑψηλοῦ. ψ, π ὑψηλῆς καὶ πεύκης om. v. 3. καὶ γὰρ — τρόπον. v. ib. τῶν — τρόπων. v. ib ἔνθυρα. ρ. 4. ἐλαφηβόλος. vd. 5. ἀγχίμαχοι. vd. ib. ἐκκολπίσασθαι. π. εὐκολπίσασθαι. γ. 6. τὸ θηρίον. l. ib. τὰ δὲ σχεῖν τοῦ δρόμου, τὰ δὲ δῆσαι. vd. 7. ἐνεργῶς. γ. ib. νεανίας. f, j. νεανίου. ς. ib. συνεξαίρουσι. φ, π. ξυνεξαίρ. ς. 8. ὡς τὴν. μ, π. ib. συμβακχ. φ ib. σπασθῶσι. γ. 9. λαβὼν θήγει. vd. θίγει. ρ. ib. ἀπιστομωμένον. l mg. ἐπιστομισμένον. j. ἀποστομισμένον. μ. 10. ἕνεκεν. f, p. 11. τὰ ὀρθὰ καὶ νέα. vd. ib. πρὸς τὰ ἐρ. vd. ib. ἐρατικά. br. ib. ἀπορρὼξ πέτρα. 1, Eugenic. 148. ἀπορρὰξ καὶ ἡ ἀπορραγεῖσα πέτρα. 2, 3, E et J, qui uncis includit καὶ ἡ ἀπορραγεῖσα. 12. ἐν μέσῳ. vd. ib. τοῦ τοιοῦδε. 1, π, ρ. τοιοῦδε. ς. 13. αἰθυίαις. π. 14. τοῖς παισὶν. l. 15. πυράλωτοι. l. ib. νύκτωρ πῦρ velit J. 16. προσάγονται δὲ καὶ. l. προσάγονται. o. Fo: πρ. δὴ τὸν. ib. προσγρηγορέναι. j, π. 17. θηράσαι. μ, γ, g. 18. μικρὰ. φ ib. τοι om. l. ib. κἀπομισθοῖ. vd, φ, π. 19. ἐπειδὴ. o. ib. ἀναπτῶσιν. μ. ὑποπτῶσιν. γ. ib. παρὰ τὴν π. φ ib. ἐς om. ρ. εἰς. μ. 21. εἰ μὴ — ἀπείποι ποτέ om. γ, g. ib. αὗται. μ. αὐτοὶ. π. ib. δόλου του. 1, π, J. δόλοι τι. 2, 3, K. δόλον. vd. Respicit huc anonymus apud Boiss. Anecd. II, 358. 22. τόρειον. l. ib. μελεδονὸν. μ. μελεδῶνα. vd. 23. ἔστι — Πρωτέα. v. ib. ἔστι δὲ τοῦ κήυκος. g. ἔσται δ' αὐτοῦ. vd. ib. ἀπὸ τοῦ μὲν velit J. 24. ὑπὲρ Πρωτέα. φ. 25. ἐνταῦθα καὶ. π. 26. τὸν τοιάδε ἐπ. φ. ib. τοιαύτην γ et g, ubi suprasc. τοιάνδε. ἐξ ib. εὑρήκασι. φ. ib. τὴν καλήν τε καὶ θαυμασίαν. ε, m. τε om. vd. 27. μὲν ἤδη. vd. ib. βασιλεία. ε, m. ib. οὐ γὰρ. f, j, p. οὐ γὰρ δὴ. ς. 29. ἔστω. f. ib. οὕτω τις. f, vd. ib. εὐρους. m, o. ib. θαλάσσῃ. C, J. θαλάττῃ. E 31. ἤδη. φ. ἦτε. o. ib. πτηνῶν. vd.

82, 83. p. 839. II, 17.

προσήκει νομίζειν, εἴτε τῇ θαλάττῃ οἰκειοῦν, δικάσει ὅδε ὁ Πρωτεύς, ἧκει γὰρ δὴ θεμιστεύσων τοῦτο, τὰ δὲ πεπολισμένα τῆς νήσου σκοπῶμεν· ᾤκισται γὰρ δὴ ἐν αὐτῇ πόλεως καλῆς τε καὶ λαμπρᾶς εἴδωλον, ὅσον οἰκία, καὶ βασιλικὸν ἔσω τρέφεται παιδίον, ἄθυρμα δὲ αὐτῷ πόλις. θέατρα γάρ ἐστιν, ὁπόσα αὐτό τε δέξασθαι καὶ τοὺς συμπαίστας τουτουσί παῖδας, ἱππόδρομός τε ἐξῳκοδόμηταί τις ἀποχρῶν τοῖς Μελιταίοις κυνιδίοις περιδραμεῖν αὐτόν, ἵππους γὰρ δὴ ὁ παῖς ταῦτα ποιεῖται καὶ ξυνέχει σφᾶς ἐς ζυγόν τε καὶ ἅρμα, ἡνιοχήσων δὴ ὑπὸ τουτωνὶ τῶν πιθήκων, οὓς τὸ παιδίον θεράποντας ἡγεῖται, λαγωὸς δὲ οὑτοσὶ χθές, οἶμαι, ἐσῳκισμένος ξυνέχεται μὲν ἱμάντι φοινικῷ, καθάπερ κύων, δεδέσθαι δὲ οὐκ ἀξιοῖ καὶ διολισθῆσαι τοὺς δεσμοὺς ἐθέλει πιστεύων τοῖς προσθίοις τῶν ποδῶν, ψίττακός τε καὶ κίττα ἐν οἰκίσκῳ πλεκτῷ Σειρήνων δίκην ἐν τῇ νήσῳ ᾄδουσιν, ᾄδει δὲ ἡ μὲν ὁπόσα οἶδεν, ὁ δὲ ὁπόσα μανθάνει. 840

ΚΥΚΛΩΨ.

ιη.' Οἱ θερίζοντές τε τὰ λήια καὶ τρυγῶντες τὰς ἀμπέλους οὔτε ἤροσαν, ὦ παῖ, ταῦτα, οὔτε 841 ἐφύτευσαν, ἀλλ' αὐτόματα ἡ γῆ σφίσιν ἀναπέμπει ταῦτα, εἰσὶ γὰρ δὴ κύκλωπες, οἷς, οὐκ οἶδα ἐξ ὅτου, τὴν γῆν οἱ ποιηταὶ βούλονται αὐτοφυᾶ εἶναι ὧν φέρει, πεποίηται δὲ αὐτοὺς καὶ ποιμένας τὰ πρόβατα βύσκουσα, ὧν τὸ γάλα ποτόν τε ἡγοῦνται καὶ ὄψον. οἱ δ' οὔτε ἀγορὰν γιγνώσκουσιν οὔτε βουλευτήριον, οὐδ' οἶκον, ἀλλὰ τὰ ῥήγματα ἐσοικισάμενοι τοῦ ὄρους. τοὺς μὲν ἄλλους ἔα, Πολύφημος δὲ ὁ τοῦ Ποσειδῶνος ἀγριώτατος αὐτῶν οἰκεῖ ἐνταῦθα, μίαν μὲν ὑπερτείνων ὀφρὺν τοῦ ὀφθαλμοῦ ἑνὸς ὄντος, πλατείᾳ δὲ τῇ ῥινὶ ἐπιβαίνων τοῦ χείλους καὶ σιτούμενος τοὺς ἀνθρώπους, ὥσπερ τῶν λεόντων οἱ ὠμοί. νυνὶ δὲ ἀπέχεται τοῦ τοιούτου σιτίου, ὡς μὴ βορός, μηδὲ ἀηδὴς φαίνοιτο, ἐρᾷ γὰρ τῆς Γαλατείας παιζούσης ἐς τουτὶ τὸ πέλαγος, ἀφιστορῶν αὐτὴν ἀπὸ τοῦ ὄρους, καὶ ἡ μὲν σύριγξ ἔτι ὑπὸ μάλης καὶ ἀτρεμεῖ, ἔστι δ' αὐτῷ ποιμενικὸν ᾆσμα, ὡς λευκή τε εἴη καὶ γαῦρος καὶ ἡδίων ὄμφακος καὶ ὡς νεβροὺς τῇ Γαλατείᾳ σκυμνεύει καὶ ἄρκτους. ᾄδει δὲ ὑπὸ πρίνῳ ταῦτα, οὐδ' ὅπου αὐτῷ τὰ πρόβατα νέμεται, εἰδώς, οὐδ' ὁπόσα ἐστίν, οὐδ' ὅπου ἡ γῆ. ἔτι δὲ ὄρειός τε καὶ δεινὸς γέγραπται χαίτην μὲν ἀνασείων ὀρθὴν καὶ ἀμφιλαφῆ πίτυος δίκην, καρχάρους δὲ ὑποφαίνων ὀδόντας ἐκ βοροῦ τοῦ γενείου, στέρνα τε καὶ γαστέρα καὶ τὸ ἐς ὄνυχας ἧκον λάσιος πάντα, καὶ βλέπειν μὲν ἤμερόν φησιν, ἐπειδὴ ἐρᾷ, ἄγριον δὲ ὁρᾷ καὶ ὑποκαθήμενον ἔτι, καθάπερ τὰ θηρία τὰ ἀνάγκης ἠττώμενα. ἡ δὲ ἐν ἁπαλῇ τῇ θαλάττῃ παίζει τέτρωρον δελφίνων ξυνάγουσα ὁμοζυγούντων τε καὶ ταὐτὸν πνεόντων, παρθένοι δ' αὐτοὺς ἄγουσι Τρίτωνος αἱ

1. προσήκε. C, EJ. Sc. προσήκει. ib. θαλάσσῃ. f. ib. οἰκοιοῦν. p 1761. ib. δικάσει δὲ. φ. δικ. δὴ. vd. δικάσει. l, om. ὅδε. ib. δὴ om. vd. 2. τοῦτο. j, p, br, φ, conj. J. τούτῳ. ς. (τούτους. l. mg.) ib. τε om. γ, g. 3. ἔσω om. ψ. ib. θέατρα — συμπαίστας. ν. ib. θ. δὲ. f. 4. εἰσίν. ν. ib. αὐτό τε. p 1761. αὐτόν τε. ς. (αὐτόν. γ.) ib. τούτω ἱππάδας et γρ. ους h. e. τούτους.) παῖδας l. τούτω ἱππάδας. f, j, p, E. τούτω ἱππιάδας. br. τούτου ἱππάδας. φ, μ. τούτους ἱππάδας. vd, p 1760, 1761, γ, g, ρ, ψ. τουτονί ἱππάδος. π. τουτουσὶ παῖδας. J. 5. μελιτταίοις. φ. 6. ξυνέχει. φ, π, 2, ρ. ψ. συνέχει. ς. ib. ἐς om. 1 praeter φ. ib. ἡνιοχήσων. f, p, J. ἡνιόχησον. (sic) vd. ἡνιοχώσων. j. ib. δὲ ὑπὸ. l, π. δὴ om. ψ. 7. λαγὼς velit Lob. ad Phryn. 187. ib. δὲ οἶμαι οὑτοσὶ χθὲς. φ, vd. ib. εἰσῳκισμ. φ, E. 8. δ' οὐκ. vd, φ, π. 9. τῶν ποδῶν om. ψ. ib. ψιττακοὶ. p. ψεττακοὶ. br. ib. καὶ κίττα om. l. κίσσα suprasc. ττ. μ. ib. λεκτῷ. l, (mg. λεπτῷ.) γ, g et p 1761, ubi γρ. πλεκτῷ. 10. ὁ μὲν. br. ἡ μὲν et ὁ suprasc. vd.

XVIII. 11. θερίζοντές τε. f, j, ρ. θερίζοντες. ς. 13. πεπ. δὲ καὶ αὐτοὺς τοὺς ποιμένας καὶ τὰ πρόβ. o. 14. βόσκοντας. p, vd, br, et μ ante corr. ib. ποτόν τε τὸ γ. τούτων ἡγεῖται. f, j. ib. οὔτε ἀγ. φ. οὔτ' ἀγ'. EJ. 15. οὔτε οἶκον. C. οὔτ' οἶκον. EJ. Sc. οὐδ' οἶκον. ib. ἀλλὰ ῥήγματα. μ, p 1761. J. velit οὔτ' οἶκον ἄλλον. ib. ἐσωκισάμενοι. π. 16. αὐτῶν om. μ. ib. ἀγριώτητος. ψ. 20. σύριξ. π. ib. αὐτὸν. br. ib. ὡς λευκὴ — γαῦρος om. p. 1760 et 1761 pr. m. 21. γαῦρος διεγηγερμένη. μ. ib. νεκροὺς. μ. ib. σκυμνεύειν. π. Fo: σκυμνεύοι. ib. ἄρκτια. π. 22. ὅσα. vd. ib. ὅπου· ἡ γῆ δὲ καὶ οὗτος ὄρειος. ψ. ὅπου τῆς γῆς αὐτὸς conj. J. 23. ὅτι δὲ. f, j. ἔτι δὲ conj. J. ὅτι. ς. 24. καρχαρόδους. f, j. ib. στέρνα — πάντα. ν. ib. στέρνα. ν. στέρνον. ς. ib. ὄνυχας. ν. ὄνυχα. ς. 25. λάσιον. φ. ib. βλέπει. μ, p 1761, ε, m. ib. φησὶν ἥμερον. γ, g. ib. ἄγριον — ἡττώμενα. ν. ib. ἀχρεῖον velit J. ὑποκαθειμένον. m, o. 26. καθάπτοις. ν. ib. τῶν θηρίων. EJ. ib. τὰ ὑπ' ἀνάγκης. (sic) vd. 27. ξυμβάλλουσα. l in mg. ib. τε om. f. ib. ταὐτό. p 1761, π.

84. p. 840, 841. II, 18.

δμωαὶ τῆς Γαλατείας ἐπιστομίζουσαι σφᾶς, εἰ ἀγέρωχόν τι καὶ παρὰ τὴν ἡνίαν πράττοιεν. ἡ δ' ὑπὲρ κεφαλῆς ἁλιπόρφυρον μὲν λῆδιον ἐς τὸν ξέφυρον αἴρει σκιὰν ἑαυτῇ εἶναι καὶ ἱστίον τῷ ἄρ- 85
ματι, ἀφ' οὗ καὶ αὐγή τις ἐπὶ τὸ μέτωπον καὶ τὴν κεφαλὴν ἥκει οὔπω ἡδίων τοῦ τῆς παρειᾶς ἄνθους, αἱ κόμαι δ' αὐτῆς οὐκ ἀνεῖνται τῷ ζεφύρῳ, διάβροχοι γὰρ δή εἰσι καὶ κρείττους τοῦ ἀνέμου. καὶ μὴν καὶ ἀγκὼν δεξιὸς ἔκκειται λευκὸν διακλίνων πῆχυν καὶ ἀναπαύων τοὺς δακτύλους πρὸς ἁπαλῷ τῷ ὤμῳ καὶ ὠλέναι ὑποκυμαίνουσι καὶ μαζὸς ὑπανίσταται καὶ οὐδὲ τὴν ἐπιγουνίδα ἐκλείπει ἡ ὥρα. ὁ ταρσὸς δὲ καὶ ἡ συναπολήγουσα αὐτῷ χάρις ἔφαλος, ὦ παῖ, γέγραπται καὶ ἐπιψαύει τῆς θαλάττης οἷον κυβερνῶν τὸ ἅρμα. θαῦμα οἱ ὀφθαλμοί, βλέπουσι γὰρ ὑπερόριόν τι καὶ συναπιὸν τῷ μήκει τοῦ πελάγους.

ΦΟΡΒΑΣ.

842 ιθ'. Ὁ μὲν ποταμός, ὦ παῖ, Κηφισὸς Βοιώτιός τε καὶ οὐ τῶν ἀμούσων, σκηνοῦσι δ' ἐπ' αὐτῷ Φλεγύαι βάρβαροι πόλις οὔπω ὄντες. οἱ δὲ πυκτεύοντες τόν τε Ἀπόλλω, οἶμαι, ὁρᾷς, ὁ δ' αὖ Φόρβας ἐστίν, ὃν ἐστήσαντο οἱ Φλεγύαι βασιλέα, ἐπειδὴ μέγας παρὰ πάντας οὗτος καὶ ὠμότατος τοῦ ἔθνους. πυκτεύει δὲ Ἀπόλλων πρὸς αὐτὸν ὑπὲρ τῶν παρόδων, τὴν γὰρ εὐθὺ Φωκέων τε καὶ Δελφῶν κατασχὼν ὁδὸν οὔτε θύει Πυθοῖ οὐδεὶς ἔτι οὔτε παιᾶνας ἀπάγει τῷ θεῷ χρησμοί τε καὶ λόγια καὶ ὀμφαὶ τρίποδος ἐκλέλειπται πάντα. λῃστεύει δὲ τῶν ἄλλων Φλεγυῶν ἀποτάξας ἑαυτόν, τὴν γὰρ δρῦν, ὦ παῖ, ταύτην οἶκον πεποίηται καὶ παρ' αὐτὸν φοιτῶσιν οἱ Φλεγύαι δικασόμενοι δήπου ἐν τοῖς βασιλείοις τούτοις. τοὺς δὲ βαδίζοντας ἐς τὸ ἱερὸν λαμβάνων γέροντας 86
μὲν καὶ παῖδας ἐς τὸ κοινὸν τῶν Φλεγυῶν πέμπει ληίζεσθαί τε καὶ ἀποινᾶν, τοῖς δὲ ἐρρωμενεστέροις ἀνταποδύεται καὶ τοὺς μὲν καταπαλαίει, τοὺς δὲ ὑπερτρέχει, τοὺς δὲ παγκρατίῳ αἱρεῖ καὶ ὑπερβολαῖς δίσκων κεφαλάς τε ἀποκόπτων ἀνάπτει τῆς δρυὸς καὶ ὑπὸ τούτῳ ζῇ τῷ λύθρῳ, αἱ δ' ἁπήρτηνται τῶν πτόρθων μυδῶσαι καὶ τὰς μὲν αὔους ὁρᾷς, τὰς δὲ προσφάτους, αἱ δὲ ἐς κρανία περιήκουσι, σεσήρασι δὲ καὶ ὀλολύζειν ἐοίκασιν ἐσπνέοντος αὐτὰς τοῦ ἀνέμου. φρονοῦντι δὲ αὐτῷ ταῖς Ὀλυμπιάσι ταύταις ἦκεν ὁ Ἀπόλλων εἰκάσας ἑαυτὸν μειρακίῳ πύκτῃ, καὶ τὸ μὲν τοῦ θεοῦ εἶδος, ἀκειρεκόμης, ὦ παῖ, γέγραπται καὶ τὰς χαίτας ἀνειληφώς, ἵνα εὐζώνῳ τῇ κεφαλῇ πυκτεύῃ, ἀκτῖνες δὲ ἀπανίστανται ἀπὸ τοῦ μετώπου καὶ μειδίαμα θυμῷ ξυγκεκραμένον ἡ παρειὰ πέμπει βολαί τε ὀφθαλμῶν εὔσκοποι καὶ ξυνεξαίρουσαι ταῖς χερσίν· αἱ δὲ ἐνήψαντο τοὺς ἱμάντας ἡδίους. 843
εἰ στέφανοι περὶ αὐταῖς ἦσαν. πεπύκτευται δὲ αὐτὸν ἤδη, τὸ γὰρ ἐμβεβληκὸς τῆς δεξιᾶς ἐνεργὸν ἔτι δηλοῖ τὴν χεῖρα καὶ οὔπω καταλύουσαν τὸ σχῆμα, ᾧ ἤρηκεν, ὁ Φλεγύας δὲ κεῖται ἤδη καὶ ὁπόσον

1. ἀγέρωχόν τι. p, br, vd. Isid. Pel. p. 570 et 665, J. τι ἀγέρωχον. ς. (τι ἀχέρωχόν τε. j.) 2. λύδιον. φ, j et vd. ex corr. pr. m. ληίδιον. μ. 3. ἥδιον. C, EJ. Sc. ἡδίων. ib. εἰς τὸν. μ. 4. ἡ εἰσὶ. EJ. 5. δεξιὰς. j. ib. ἔκκειται. p, φ, π, γ, g, o (conj.), J. ἔγκειται. ς. (f, j.) 7. ὁ ταρσὸς — γέγραπται. v. ib. ἔφαλος. v. ἐφ' ἁλὸς. ς. 8. θαῦμα — πελάγους. v. 9. συναπιῶν. φ (sic).

XIX. Φόρβας. C. Φόρβας ἢ Φλεγύαι. EJ. 10. Κηφισός. l, p, vd, φ, π, ψ, γ, g et f ante corr. rec. Κηφισσὸς ς ib. δὲ. vd, φ. om. ψ. 11. Φλεγύαι — Φόρβας ἐστὶν. v. ib. Φλεγυῖαι. v, f, ut infra. ib. πόλις. v, φ, μ, ψ, γ, g et πόλις. vd. pr. m. πόλεις. ς. ib. οὐ δὲ. μ, π, ψ. ib. Ἀπόλλω, οἶμαι. v. οἶμαι Ἀπόλλωνα. ς. 12. ἐστί, ὃν. φ. ib. παρὰ πάντας om. br. vd. 14. κατασχὼν ὁδὸν. vd, φ, π, ψ, γ, g. κατασχόντος ὁδὸν. 2. ὁδὸν κατασχών. f. EJ. ib. παιῶνας. vd. 15. λογεῖα. vd. 16. ταῦτα γρ. m. ib. Φλεγυίων. f ut infra. Φλεγύων. EJ. ib. δικασόμενος. j. 17. εἰς τὸ ἱ. vd. 18. εἰς τὸ κ. f, φ, vd. ib. ποινᾶν. br. 19. ἐπαποδύεται. vd. ib. ὑπεκτρέφει. f. ὑπεκτρέχει. j, p, φ, vd. 20. ὑπερβολῇ. br, vd. 21. αὖας. vd, μ, p 1760. ib. ἐς κρ. π. 23. αὐτὸν. vd. ib. μειρακείῳ. ρ. ib. καὶ τὸ μὲν — πυκτεύῃ om 1 (praeter l), 2, π, ψ. 24. ἀκερσεκόμης. l. 25. ἀπὸ τοῦ μ. p, vd, br, φ. περὶ τοῦ μ. j, π et f, ubi παρὰ corr. m. rec. παρὰ τοῦ μ. ς. ib. συγκεκραμένον. μ. 26. συνεξαίρουσαι. vd. ib. ἐνήψαιντο. γ. ἐνίψαντο. vd, π 27. οἱ στέφανοι. C, E. εἰ στέφ. conj. J. ib. παρ' αὐταῖς. l, mg et 2, (ubi παρὰ αὐτ.) ἐν ἑαυταῖς. vd. ib. Fo: κατα- πεπύκτευκε. 28. ἤδη delendum videtur. ib. καὶ — τραῦμα. v.

85, 86. p. 812, 813. 11, 19.

μὲν ἐπέχει τῆς γῆς, ποιητὴς ἐρεῖ, κεχώρηκε δὲ ἐς κρύταφον αὐτῷ τὸ τραῦμα καὶ τὸ αἷμα ὥσπερ ἐκ πηγῆς ἐκδίδοται. γέγραπται δὲ ὠμὸς καὶ συώδης τὸ εἶδος, οἷος σιτεῖσθαι μᾶλλον τοὺς ξένους ἢ κτείνειν. τὸ δὲ ἐξ οὐρανοῦ πῦρ σκηπτὸς ἐπὶ τὴν δρῦν φέρεται συμφλέξων τὸ δένδρον, οὐ μὴν ἐξαιρήσων γε τὴν ἐπ' αὐτῷ μνήμην, τὸ γὰρ χωρίον, ἐν ᾧ ταῦτα, Δρυός, ὦ παῖ, κεφαλαὶ ἔτι.

ΑΤΛΑΣ.

87 κ. Καὶ Ἄτλαντι ὁ Ἡρακλῆς οὐδὲ προστάξαντος Εὐρυσθέως ἤρισεν, ὡς τὸν οὐρανὸν οἴσων μᾶλλον ἢ ὁ Ἄτλας, τὸν μὲν γὰρ συγκεκυφότα ἑώρα καὶ πεπιεσμένον καὶ κείμενον ἐς γόνυ θάτερον καὶ μικρὰ καταλειπόμενα αὐτῷ τοῦ ἑστάναι, αὐτὸς δ' ἂν καὶ μετεωρίσαι τὸν οὐρανὸν καὶ στῆσαι ἀναθέμενος ἐς μακρὸν τοῦ χρόνου. τὸ μὲν δὴ φιλότιμον τοῦτο οὐδαμοῦ ἐκφαίνει, φησὶ δὲ συναλγεῖν τε τῷ Ἄτλαντι ἐφ' οἷς μοχθεῖ καὶ μετασχεῖν ἂν τοῦ ἄχθους αὐτῷ. ὁ δ' οὕτω τι ἄσμενος εἴληπται τοῦ Ἡρακλέους, ὡς ἱκετεύειν αὐτὸν τλῆναι ταῦτα. γέγραπται δὲ ὁ μὲν ἀπειρηκώς, ὡς τῷ ἱδρῶτι συμβαλέσθαι, ὁπόσος ἀπ' αὐτοῦ στάζει, βραχίονός τε ξυνεῖναι τρέμοντος, ὁ δὲ ἐρᾷ τοῦ ἄθλου. δηλοῖ δὲ τοῦτο ἥ τε ὁρμὴ τοῦ προσώπου καὶ τὸ ῥόπαλον καταβεβλημένον καὶ αἱ χεῖρες ἀπαιτοῦσαι τὸν ἆθλον. σκιὰς δὲ τὰς μὲν τοῦ Ἡρακλέους οὕπω θαυμάζειν ἄξιον, εἰ ἔρρωνται τὸν ἆθλον — τὰ γὰρ τῶν κειμένων σχήματα καὶ οἱ ὀρθοὶ μάλα εὔσκιοι, τὸ δὲ ἀκριβοῦν ταῦτα οὕπω σοφόν — αἱ δὲ τοῦ Ἄτλαντος σκιαὶ σοφίας πρόσω, οὑτωσὶ γὰρ συνιζηκότος συμπίπτουσί τε ἀλλήλαις καὶ οὐδὲν τῶν ἐκκειμένων ἐπιθολοῦσιν, ἀλλὰ φῶς ἐργάζονται περὶ τὰ κοῖλά τε καὶ ἐσέχοντα. 844 τὴν δὲ γαστέρα καὶ προνενευκότος τοῦ Ἄτλαντος ὁρᾶν τε ὑπάρχει καὶ ἀσθμαινούσης ξυνιέναι, τά τε ἐν τῷ οὐρανῷ, ὃν φέρει, γέγραπται μὲν ἐν αἰθέρι, ὁποῖος περὶ αὐτὰ ἕστηκεν, ἔστι δὲ ξυνεῖναι ταύρου τε, ὃς δὴ ἐν οὐρανῷ ταῦρος, ἄρκτων τε, ὁποῖαι ἐκεῖ ὁρῶνται, καὶ πνευμάτων.
88 γέγραπται γὰρ τὰ μὲν ξὺν ἀλλήλοις, τὰ δὲ ἐξ ἀλλήλων, καὶ τοῖς μὲν φιλία πρὸς ἄλληλα, τὰ δὲ σώζειν ἔοικε τὸ ἐν τῷ οὐρανῷ νεῖκος. νῦν μὲν οὖν ἀναθήσεις ταῦτα, Ἡράκλεις, μετ' οὐ πολὺ δὲ ξυμβιώσεις αὐτοῖς ἐν τῷ οὐρανῷ πίνων καὶ περιβάλλων τὸ τῆς Ἥβης εἶδος· ἄξῃ γὰρ τὴν νεωτάτην καὶ πρεσβυτάτην τῶν θεῶν, δι' αὐτὴν γὰρ κἀκεῖνοι νέοι.

ΑΝΤΑΙΟΣ.

κα. Κόνις οἷα ἐν πάλαις ἐκείνη ἐπὶ πηγῇ ἐλαίου καὶ δυοῖν ἀθληταῖν ὁ μὲν ξυνδέων τὸ οὖς, ὁ δὲ ἀπολύων λεοντῆς τὸν ὦμον κολωνοί τε ἐπιτήδειοι καὶ στῆλαι καὶ κοῖλα γράμματα Λιβύη 845

1. εἰς τὸν κρ. vd. 2. καὶ ὠμὸς. l. 3. τὸ δὲ — φέρεται om. br. ib. δρῦν om. γ. τὴν γῆν. vd. 4. αὐτοῦ. μ. p 1761. ib. κεφάλαιον. f, j et l, ubi corr. mg.

xx. 5. Ἄτλαντα. f, ρ. ib. οἴσειν. l. 6. ἢ Ἄτλ. γ. ib. κείμενον — ἑστάναι. v. ib. πίπτοντα ἐς γόνυ. p, br. vd. ib. ἕτερον. C, EJ. θάτερον. Lob. ad Phryn. 474. 7. στήσαι malit J. ib. μετεωρῆσαι. vd. 8. μικρὸν. f, j, p. 9. τε om. p. τῷ om. f, φ. ib. μετασχὼν. f. συμμετασχεῖν. vd. συμματασχεῖν. br. ib. οὕτω τοι. p, br, γ, g. 10. τλῆσαι. φ. vd. 11. συμβάλλεσθαι ὁπ. ἂν ἀπ' αὐτοῦ. 2, EJ. ib. στάζει. 1, p 1761, γ, g, J. στάζειν. j. στάζοι. μ, E. ib. τρέμοντος. (sic) vd. 12. δῆλον. π. 13. ἀπειροῦσαι. br. ib. τὸ ἆθλον. vd. ib. σκιὰς — ἄξιον. v. ib. τοῦ om. π. ib. εἰ ἔρρωνται τοῦ ἆθλου. f, j et ψ, ubi γρ. τῷ ἄθλῳ. εἰ ἐρῶνται τοῦ ἄθλου et mg. εἰ ἔρρωνται τὸ ἆθλον. vd, φ, br. εἰ ἐρῶνται τοῦ ἆθλου. π. εἰ ἐρῶνται τὸν ἆθλον. p. εἰ ἔρρωται τὸν ἆθλον. μ, p 1760, 1761. εἰ ἔρρωνται τὸν ἆθλον. EJ. 14. τὸν ἆθλον deleverim. ib. τὸ δὲ ἀκριβοῦν — πρόσω. v. ib. τὸ δὲ. v. καὶ τὸ. ς. 15. γὰρ τοῦ. f, j. Fo: γὰρ αὐτοῦ. 16. περὶ τὰ. 1, π, ψ, J. παρὰ τὰ. ς ib. τε om. μ. 17. τὴν γαστέρα δὲ. J conj τὴν γαστέρα. ς ib. ὁρᾶν τέ ἐστι. vd. οντος ib. ἀσθμαινούσης. 1, J. ἀσθμαίνοντος et γρ. ἀσθμαινούσης. p 1761. ἀσθμαινούσῃ. vd. sic corr. sec. m. ἀσθμαίνοντος. ς. 18. αὐτὰς. C, ε, m, J. αὐτὰ. o. ib. ἔστι δὲ — ἄρκτων. v. 19. ταῦρον. π. ib. καὶ ἄρκτων. v. 20. τὰ μὲν γὰρ γέγρ. p, br. τὰ μὲν γέγρ. f, j. 21. καὶ ἐν τῷ οὐρ. νεῖκος velit J. 21. μὲν om. μ. ib. Ἡρακλῆς. γ. Ἡρακλεῖ. p, br. φ, vd. Ἡρακλῆ. j. 22. παρεκβαλλων. π. ib. ἄξεις. φ. ἄξει. vd. ib. καὶ νεωτάτην. π.

xxi. 24. ἐν παλάμαις. vd., φ et p. γρ. ib. ἐκείναις. C, EJ. ἐχῖνος ἐν τῇ γῇ. J conj. Sc: ἐκείνη. ib. ἐπὶ τῇ γῇ. γ. ib. καὶ δι' ἣν ἆθλ. γ. ib. ἀθλητῶν. vd, φ. 25. καὶ Λιβύη. f, j, ρ.

87, 88. p. 844, 845. 11, 20, 21.

ταῦτα καὶ Ἀνταῖος, ὃν γῇ ἀνῆκε σίνεσθαι τοὺς ξένους, λῃστρικῇ, οἶμαι, πάλῃ. ἀθλοῦντι δὲ αὐτῷ ταῦτα καὶ θάπτοντι οὓς ἀπώλλυε περὶ αὐτήν, ὡς ὁρᾷς, τὴν παλαίστραν, ἄγει τὸν Ἡρακλέα ἡ γραφὴ χρυσᾶ ταυτὶ τὰ μῆλα ᾠρηκότα ἤδη καὶ τὰ τῶν Ἑσπερίδων ἀδόμενον — οὐκ ἐκείνας ἐλεῖν θαῦμα τοῦ Ἡρακλέους, ἀλλ' ὁ δράκων — καὶ οὐδὲ γόνυ, φασί, κάμψας, ἀποδύεται πρὸς τὸν Ἀνταῖον ἐν τῷ τῆς ὁδοιπορίας ἄσθματι, τείνων τοὺς ὀφθαλμοὺς ἐς νοῦν τινα καὶ οἷον διάσκεψιν τῆς πάλης. ἐμβέβληκέ τε ἡνίαν τῷ θυμῷ μὴ ἐκφέρειν αὐτὸν τοῦ λογισμοῦ. ὑπερφρονῶν δὲ ὁ Ἀνταῖος ἐπῆρται, δυστήνων δέ τε παῖδες ἢ τοιοῦτόν τι πρὸς τὸν Ἡρακλέα ἐοικὼς λέγειν καὶ ῥωννὺς αὐτὸν τῇ ὕβρει. εἰ δὲ καὶ πάλης τῷ Ἡρακλεῖ ἔμελεν, οὐκ ἄλλως ἐπεφύκει ἢ ὡς γέγραπται, γέγραπται δὲ ἰσχυρὸς οἷος καὶ τέχνης ἔμπλεως δι' εὐαρμοστίαν τοῦ σώματος. εἴη δ' ἂν καὶ πελώριος καὶ τὸ εἶδος ἐν ὑπερβολῇ ἀνθρώπου. ἔστιν αὐτῷ καὶ ἄνθος αἵματος καὶ αἱ φλέβες οἷον ἐν ὠδῖνι θυμοῦ τινος ὑποδεδυκότος αὐτὰς ἔτι. τὸν δὲ Ἀνταῖον, ὦ παῖ, δέδιας, οἶμαι, θηρίῳ γάρ τινι ἔοικεν, ὀλίγον ἀποδέων ἴσος εἶναι τῷ μήκει καὶ τὸ εὖρος, καὶ ὁ αὐχὴν ἐπέζευκται τοῖς ὤμοις, ὧν τὸ πολὺ ἐπὶ τὸν αὐχένα ἧκει. περιῆκται δὲ καὶ ὁ βραχίων, ὅσα καὶ ὦμοι· στέρνα γὰρ γαστὴρ ταυτὶ τὰ σφυρήλατα, καὶ τὸ μὴ ὀρθὸν τῆς κνήμης, ἀλλὰ ἀνελεύθερον ἰσχυρὸν μὲν τὸν Ἀνταῖον οἶδε, ξυνδεδε-
846 μένον μὴν καὶ οὐκ ἔσω τέχνης. ἔτι καὶ μέλας ὁ Ἀνταῖος, κεχωρηκότος αὐτῷ τοῦ ἡλίου ἐς βαφήν. ταυτὶ μὲν ἀμφοῖν τὰ ἐς τὴν πάλην. ὁρᾷς δὲ αὐτοὺς καὶ παλαίοντας, μᾶλλον δὲ πεπαλαικότας, καὶ τὸν Ἡρακλέα ἐν τῷ κρατεῖν. καταπαλαίει δὲ αὐτὸν ἄνω τῆς γῆς, ὅτι ἡ γῆ τῷ Ἀνταίῳ συνεπάλαιε κυρτουμένη καὶ μετοχλίζουσα αὐτόν, ὅτε κινοῖτο. ἀπορῶν οὖν ὁ Ἡρακλῆς, ὅ τι χρήσαιτο τῇ γῇ, συνείληφε τὸν Ἀνταῖον μέσον ἄνω κενεῶνος, ἔνθα αἱ πλευραί, καὶ κατὰ τοῦ μηροῦ ὀρθὸς ἀναθέμενος ἔτι καὶ τῷ χεῖρε ξυμβαλὼν τὸν πῆχυν λαγαρᾷ τε καὶ ἀσθμαινούσῃ τῇ γαστρὶ ὑποσχὼν ἐκθλίβει τὸ πνεῦμα καὶ ἀποσφάττει τὸν Ἀνταῖον ὀξείαις ταῖς πλευραῖς ἐπιστραφείσαις ἐς τὸ ἧπαρ. ὁρᾷς δέ που τὸν μὲν οἰμώζοντα καὶ βλέποντα ἐς τὴν γῆν οὐδὲν αὐτῷ ἐπαρκοῦσαν, τὸν δ' Ἡρακλέα ἰσχύοντα καὶ μειδιῶντα τῷ ἔργῳ. τὴν κορυφὴν τοῦ ὄρους μὴ ἀργῶς ἴδῃς, ἀλλ' ἐκεῖ ἐπ' αὐτῆς θεοὺς ὑπονόει περιωπὴν ἔχειν τοῦ ἀγῶνος. καὶ γάρ τι χρυσοῦν γέγραπται νέφος, ὑφ' ᾧ, οἶμαι, σκηνοῦσι, καὶ ὁ Ἑρμῆς οὑτοσὶ παρὰ τὸν Ἡρακλέα ἧκει στεφανώσων αὐτόν, ὅτι αὐτῷ καλῶς ὑποκρίνεται τὴν πάλην.

ΗΡΑΚΛΗΣ ΕΝ ΠΥΓΜΑΙΟΙΣ.

κβ'. Ἐν Λιβύῃ καθεύδοντι τῷ Ἡρακλεῖ μετὰ τὸν Ἀνταῖον ἐπιτίθενται οἱ Πυγμαῖοι τιμωρεῖν τῷ Ἀνταίῳ φάσκοντες, ἀδελφοὶ γὰρ δὴ εἶναι τοῦ Ἀνταίου, γενναῖοί τινες, οὐκ ἀθληταὶ μέν, οὐδ'

1. παλάμῃ. f, j, φ, etiam p ante corr. et l, ubi corr. marg. 2 θάλποντι. φ. ib. ἀπώλνε. γ, g. 3. ταῦτα. br. ib. τὰ μῆλα ταυτί. vd, φ. ib. εἰρηκότα. j. (non f.) ib. ᾠρηκότα ἤδη. l, π, γ, g. ἤδη ᾠρηκότα. ς. ib. καὶ τὰ. vd, φ, br. et p ex corr. καὶ κατὰ. f, 2, 3, EJ. ib. ᾀδόμενα. φ, γ, g. ib. ἐλθεῖν. φ. 4. Ἡρακλέος. vd. ib. φησί. φ. 6. ἐμβεβλ. τε ἡνίαν τῷ θυμῷ respicit Isid. Pel. 615. ib. ἡνίων. f. 7. δυστήνων om. γ. ib. ἢ om. br, φ, π, μ, p 1761. ib. εἰκὸς. γ, g. ib. αὐτὸν. μ. αὐτὸν. ς. 8. δὲ καὶ om. f. ib. ἔμελλεν. μ, γ, g. 9. ἰσχυρῶς. μ. ib. καὶ τέχνης. l, π, γ, g, J. καὶ τῆς τέχνης. ς. ib. τέχνῃ. γ. ib. εὐροστίαν. br. ib. πελώριος. γ. 11. ἤδη. ψ. ib. ὡς γὰρ conj. J. ib. ἄν τινι. j, o. 12. ὀλίγον — εὖρος. ν. ib. ὀλίγον. ν, π, ψ, p 1761. ὀλίγων. ς. ib. ἴσος. ν. ib. τῷ μήκει τὸ εὖρος. φ. καὶ τὸ εὖρος om. vd. 13. ὑπερῆρται δὲ conj. J. ib. καὶ ὁ βρ. br. δὲ ὁ βρ. m, o. ib. αἱ ὦμοι. γ, g. ib. Fo: δὲ καὶ. ib. τὰ σφυρήλατα om. f, j. 14. τὸ μὲν ὀρθὸν τῆς γνώμης. π. ib. ἀλλ' ἀνελ. γ, g. ib. τὸν Ἀ. οἶδε ποιεῖν. p, br. οἶδε τὸν Ἀνταῖον ποιεῖν. vd. ib. ξ. γε μὴν. γ et g ex corr. ξ. δὲ. vd. 15. ὁ Ἀντ. h, π, ψ Ἀντ. ς. 16. πεπαληκότας. φ. 17. δὲ τὸν Ἡρακλ. h. ib. συνεπάλαισε. φ. 18. μετοκλίζουσα. m. μετοκλάζουσα. o. ib. ὅττι κιν. j. ib. κινεῖτο. vd. ἐκινοῖτο. γ, g, ψ. ἐκινεῖτο. E. 19. καὶ πλευραὶ. π. ib. ὀρθῶς. m, o. 20. ἔτι τε καὶ. E. ib. στρεβαλὼν. π, ψ. ib. τὸν πῆχυν λαγαρᾷ — ὑποσχὼν. l, f, j, p ex corr. p. 1761. λαγαρᾷ — ὑποσχὼν τὸν πῆχυν. vd. br. et ς. (ὑποσχὼν. j.) ib. Fo: τόν τε π. 21. ἀποστραφείσαις. p, vd, br. ib. ἐς τὸ. p 1761. 22. τὸν δὲ ἰσχύοντα. vd, φ, π, γ, g. 23. ἀλλ' ἐπ' αὐτῆς. φ. ἀλλὰ ἐκεῖ ἐπ' αὐτῆς. π. 24. περιοπὴν. E. ib. γὰρ τι. C. γάρ τοι. j, EJ. 25. ὁ om. vd. ib. περὶ τὸν Ἡ. μ, p 1761. ib. αὐτῷ om. 2 (p 1760.) 26. τὴν om. E.

XXII. 28. γὰρ δὴ. l. γὰρ. ς. ib. γενναῖοι om. br.

89, 90. p. 846. 11, 22.

ἰσοπαλεῖς, γηγενεῖς δὲ καὶ ἄλλως ἰσχυροί, καὶ ἀνιόντων ἐκ τῆς γῆς ὑποκυμαίνει ἡ ψάμμος. οἰκοῦσι γὰρ οἱ Πυγμαῖοι τὴν γῆν ὅσα μύρμηκες καὶ ἀγορὰν ἀποτίθενται, ἐπισιτίζονται δὲ οὐκ ἀλλότρια, 847
ἀλλ' οἰκεῖα καὶ αὐτουργά, καὶ γὰρ σπείρουσι καὶ θερίζουσι καὶ πυγμαίῳ ζεύγει ἐφεστᾶσι, λέγονται δὲ καὶ πελέκει χρήσασθαι ἐπὶ τὸν ἄσταχυν ἡγούμενοι αὐτὸν δένδρα εἶναι. ἀλλὰ τοῦ θράσους· ἐπὶ τὸν Ἡρακλέα οὗτοι, καὶ ἀποκτεῖναί φασι καθεύδοντα, δείσειαν δ' ἂν οὐδ' ἐγρηγορότα. ὁ δὲ ἐν ἀπαλῇ τῇ ψάμμῳ καθεύδει καμάτου αὐτὸν ὑποδεδυκότος ἐν τῇ πάλῃ, καὶ παντὶ τῷ στέρνῳ τὸ ἄσθμα ἐφέλκεται χανδὸν ἐμπιπλάμενος τοῦ ὕπνου, αὐτός τε ὁ Ὕπνος ἐφέστηκεν αὐτῷ ἐν εἴδει, μέγα, οἶμαι, ποιούμενος τὸ ἑαυτοῦ ἐπὶ τῷ τοῦ Ἡρακλέους πτώματι. κεῖται καὶ ὁ Ἀνταῖος, ἀλλ' ἡ τέχνη τὸν μὲν Ἡρακλέα ἔμπνουν γράφει καὶ θερμόν, τὸν δὲ Ἀνταῖον τεθνηκότα καὶ αὖον καὶ καταλείπει αὐτὸν τῇ γῇ. ἡ στρατιὰ δὲ οἱ Πυγμαῖοι τὸν Ἡρακλέα περισχόντες μία μὲν αὕτη φάλαγξ τὴν ἀριστερὰν χεῖρα βάλλουσι, δύο δὲ οὗτοι λόχοι στρατεύουσιν ἐπὶ τὴν δεξιὰν ὡς μᾶλλον ἐρρωμένην καὶ τῷ πύδε πολιορκοῦσι τοξόται καὶ σφενδονητῶν ὄχλος ἐκπληττόμενοι τὴν κνήμην, ὅση, οἱ δὲ τῇ κεφαλῇ προσμαχόμενοι τέτακται ἐνταῦθα ὁ βασιλεὺς καρτερωτάτου αὐτοῖς τούτου δοκοῦν- 91
τος, ἐπάγουσι δὲ καὶ οἷον ἀκροπόλει μηχανάς, πῦρ ἐπὶ τὴν κόμην, ἐπὶ τοὺς ὀφθαλμοὺς δίκελλαν, θύραι τινὲς ἐπὶ τὸ στόμα καὶ τὰς τῆς ῥινός, οἶμαι, πύλας, ὡς μὴ ἀναπνεύσοι ὁ Ἡρακλῆς, ἐπειδὰν ἡ κεφαλὴ ἁλῷ. ταυτὶ μὲν περὶ τὸν καθεύδοντα, ἰδοὺ δὲ καὶ ὡς ὀρθοῦται καὶ ὡς ἐπὶ τῷ κινδύνῳ γελᾷ τούς τε πολεμίους πανσυδὶ συλλεξάμενος ἐς τὴν λεοντῆν ἐντίθεται καί, οἶμαι, τῷ Εὐρυσθεῖ φέρει.

ΗΡΑΚΛΗΣ ΜΑΙΝΟΜΕΝΟΣ.

κγ'. Μάχεσθε, ὦ γενναῖοι, τὸν Ἡρακλέα καὶ πρόβατε. ἀλλὰ τοῦ λοιποῦ γε παιδὸς ἀπόσχοιτο δυοῖν ἤδη κειμένοιν καὶ στοχαζομένης τῆς χειρός, ὡς καλὸν Ἡρακλεῖ. μέγας μὲν ὑμῖν ὁ ἆθλος καὶ μείων οὐδὲν ὢν πρὸ τῆς μανίας αὐτὸς ἤθλησεν. ἀλλὰ δείσητε μηδέν· ἄπεστιν ὑμῶν Ἄργος 848
βλέπων καὶ τοὺς Εὐρυσθείδας ἀποκτεῖναι δοκῶν, ἐγὼ δὲ ἤκουσα αὐτοῦ παρ' Εὐριπίδῃ καὶ ἅρματα ἡγουμένου καὶ κέντρα ἐς τοὺς ἵππους φέροντος καὶ τὴν Εὐρυσθέως οἰκίαν ἀπειλοῦντος ἐκπέρσειν, ἀπατηλὸν γάρ τι ἡ μανία καὶ δεινὸν ἐκ τῶν παρόντων ἀγαγεῖν ἐς τὰ μὴ παρόντα. τούτοις μὲν οὖν ἀπόχρη ταῦτα, σοὶ δὲ ὥρα γίγνεσθαι τῆς γραφῆς· ὁ μὲν θάλαμος, ἐφ' ὃν ὥρμηκε, Μεγάραν ἔχει καὶ τὸν παῖδα ἔτι, κανᾶ δὲ καὶ χέρνιβα καὶ οὐλαὶ καὶ σχίζαι καὶ κρατήρ, τὰ τοῦ Ἐρκείου, λελάκτισται πάντα καὶ ὁ μὲν ταῦρος ἕστηκεν, ἱερεῖα δὲ προσέρριπται τῷ βωμῷ [βρέφη] τὰ γένη καὶ τῇ

3. ἐφεστῶσι. f, j, ρ. ἐφεστάσι. φ (sic). 4. σταχὺν. vd. ib. αὐτὸν. p, br. αὐτοὺς. ς. 5. καὶ ἀποκτεῖναι — ἐγρηγορότα. v. ib. δείσαιεν. v, φ, vd, π, p 1761. ib. οὐδὲ. vd, π. ib. ἐγρηγορότος. p, br. ib. ὁ δὲ. vd, φ, π. 6. ἐν πάλῃ. 1, μ. πάλῃ. vd. ἐν τῇ πάλῃ. 3, EJ. 7. ἐμπιπλώμενος. vd, br. ib. καὶ ὁ ὕπνος — πτώματι. v. 8. ἐφ. τῷ Ἡρακλεῖ καθεύδοντι. v. ib. ἐπὶ τὸ ἐκείνου πτῶμα. v. ib. Ἡρακλέος. vd. ib. κεῖται ὁ Ἀντ. f, j. ib. Ἡρακλῆ. f, φ. Ἡρακλεῖ et suprasc. ἦν. γ. Ἡρακλῆν. ς. Sc. Ἡρακλέα. 10. περιέχοντες. γ. 12. πολυορκοῦσι. μ. ib. ἐκπληττόμενος. f, j. ib. μνήμην. γ. ib. ὅσην. π. 13. τέτακται ἐνταῦθα. j. τ. μὲν ἐντ. ς. (f). ib. τούτου αὐτοῖς. ψ. 14. οἷον ἐν ἀκροπ. φ. οἷον ἀκροπόλεις. vd. 15. θύρας conj. J. ib. τινὸς. φ. ib. ἐπὶ στόμα. φ. ib. ἀναπνεύση. vd. Fo: ἀναπνεύσειε. 16. ἐπειδὴ. o. ib. ταυτὶ δὲ. f. ib. ἰδοὺ δὲ ὡς. f. ἰδοὺ γὰρ. j. 17. πρσσυδὶ. φ. ib. λεοντὴν. μ.

xxiii. 19. μάχεσθαι. ρ. Fo: καταμάχεσθε, nisi τὸν Ἡρακλέα aliunde irrepserit. ib. ἀλλ' οὐ τοῦ. C, EJ. ἅμα τοῦ λοιποῦ. conj. J. Sc. ἀλλὰ τοῦ λοιποῦ. 20. στοχαζομένης. ψ, o, J. στοχαζομένοιν. f7. σταζομένης. f6. σταζομένην. ven. cl. XI, 15. στοχαζόμενος. p 1760. στοχαζομένοιν. 1, (στοχαζόμενον. l.) n, γ, g, π, ven. p 1761. στοχαζομένων. μ. στοχαζομένην. f2, ven. 514. ib. μὲν om. vd. 21. ὑμῖν. br. ἡμῶν. f2, ven. 392, 514. ib. αὐτὸς om. vd. ib. δεί . . . μηδὲν. φ. 22. Εὐριπίδῃ. p, φ, EJ. Εὐριπίδου. ς (l, n, vd). ib. ἅρματα. p, vd, br. ἅρμα. ς. (j, L) 23. ἀφέροντος. f2. φέροντα. φ. ib. καὶ μὴ. φ. ib. οἰκείαν. br. ib. εἰπειλοῦντος. ven. 392. 24. ἀπατηλὸν — παρόντα. v. ib. ἐς τὰ. vd, φ, p, ψ, g, f7. εἰς τὰ. ς. 25. τῇ γραφῇ. l, μ. ib. ὁ μὲν γὰρ θ. vd. ib. ἐφ' οὗς. j. ib. Μεγάραν. p 1761. γρ. J. Μεγαίραν. C, ε, m. Μέγαραν. o. 26. κρατὴρ δὲ τὰ. ven. ib. ἐρυκίου. f7. Ἐρκίου. E, J. 27. προσερρ . . . . τῷ. sic cum lac. φ. ib. Inclusi βρέφη, quia glossema est. ib. ἀγεννῆ. C, EJ. (βλεφοι-αγεννῆ. γ.) Sc. τὰ γένη. ib. τῇ λεοντῇ προσγέγραπται. φ, vd.

91. p. 847, 848. II, 2.

λεοντῇ. προσβέβληται δ' ὁ μὲν κατὰ τοῦ λαιμοῦ καὶ δι' ἀπαλῆς γε τῆς φάρυγγος ἐκδεδράμηκεν ὀιστός, ὁ δὲ ἐς αὐτὸ διατέταται τὸ στέρνον καὶ ὄγκοι τοῦ βέλους μέσων διεκπεπαίκασι τῶν σπον- 92
δύλων, ὡς δῆλα ἐς πλευρὰν ἐρριμμένων. αἱ παρειαὶ δὲ αὐτῶν διάβροχοι καὶ μὴ θαυμάσῃς, εἰ ἐδάκρυσάν τι, [περὶ τοῦ δακρῦσαι] παισὶ γὰρ χρυσοῦν τὸ δάκρυον καὶ μικρὸν δ' ἴσως καὶ μέγα. οἰ-
στροῦντι δὲ τῷ Ἡρακλεῖ περίκειται πᾶς ὁ τῶν οἰκετῶν δῆμος, οἷον βουκόλοι ταύρῳ ὑβρίζοντι, δῆσαί τις ἐπιβουλεύων καὶ κατασχεῖν τις ἀγῶνα ποιούμενος καὶ κεκραγὼς ἕτερος, ὁ δ' ἤρτηται τῶν χειρῶν, ὁ δ' ὑποσκελίζει, οἱ δὲ ἐνάλλονται· τῷ δὲ αἴσθησις μὲν αὐτῶν οὐδεμία, ἀναρριπτεῖ δὲ τοὺς προσιόντας καὶ συμπατεῖ, πολὺ μὲν τοῦ ἀφροῦ διεκπτύων, μειδιῶν δὲ βλοσυρὸν καὶ ξένον
849 καὶ τοῖς ὀφθαλμοῖς ἀτενίζων ἐς αὐτά, ἃ ὁρᾷ, τὴν δὲ τοῦ βλέμματος ἔννοιαν ἀπάγων ἐς ἃ ἐξη-
πάτηται. βρυχᾶται δὲ ἡ φάρυγξ καὶ ὁ αὐχὴν ἐμπίπλαται καὶ ἀνοιδοῦσιν αἱ περὶ αὐτὸν φλέβες, δι' ὧν ἐς τὰ καίρια τῆς κεφαλῆς ἀναρρεῖ πᾶσα χορηγία τῆς νόσου. τὴν Ἐρινὺν δέ, ἣ ταῦτα ἴσχυσεν, ἐπὶ μὲν τῆς σκηνῆς εἶδες πολλάκις, ἐνταῦθα δὲ οὐκ ἂν ἴδοις, ἐς αὐτὸν γὰρ ἐσῳκίσατο τὸν Ἡρακλέα, καὶ διὰ τοῦ στέρνου χορεύει μέσου αὐτῷ ἔσω σκιρτῶσα καὶ τὸν λογισμὸν θολοῦσα. μέχρι τούτων ἡ γραφή, ποιηταὶ δὲ προσπαροινοῦσι καὶ ξυνδοῦσι τὸν Ἡρακλέα καὶ ταῦτα τὸν Προμηθέα φάσκοντες ὑπ' αὐτοῦ λελύσθαι.

ΘΕΙΟΔΑΜΑΣ.

κὸ. Τραχὺς οὗτος καί, νὴ Δί', ἐν τραχείᾳ τῇ γῇ, Ῥόδος γὰρ αὕτη ἡ νῆσος, ἧς τὸ τραχύτατον Λίνδιοι, γῇ σταφίδα μὲν καὶ σῦκα ἀγαθὴ δοῦναι, ἀρόσαι δὲ οὐκ εὐδαίμων καὶ ἀμαξεῦσαι 93
ἄπορος. ὁ δὲ στρυφνὸς καὶ ἐν ὠμῷ τῷ γήρᾳ γεωργὸς νοείσθω, Θειοδάμαντα τὸν Λίνδιον εἴ που ἀκούσας ἔχεις. ἀλλὰ τοῦ θράσους· ὀργίζεται τῷ Ἡρακλεῖ ὁ Θειοδάμας, ὅτι ἀροῦντι αὐτῷ ἐπιστὰς ἀποσφάττει τὸν ἕτερον τῶν βοῶν καὶ σιτεῖται σφύδρα ἐθὰς ὢν τοῦ τοιούτου σιτίου. Ἡρακλεῖ γάρ που παρὰ Πινδάρῳ ἐνέτυχες, ὁπότε ἐς τὴν τοῦ Κορωνοῦ στέγην ἀφικόμενος σιτεῖται βοῦν ὅλον, ὡς μηδὲ τὰ ὀστέα περιττὰ ἡγεῖσθαι, Θειοδάμαντι δὲ περὶ βουλυτὸν ἐπιφοιτήσας καὶ πῦρ κομισάμενος — ἀγαθοὶ δὲ ἐμπυρεύσασθαι καὶ οἱ λίθοι — ἀπανθρακίζει τὸν βοῦν ἀποπειρώμενος τῶν σαρκῶν, εἰ μαλάττονται ἤδη, καὶ μονονουχὶ ἐγκαλῶν ὡς βραδεῖ τῷ πυρί. τὰ δὲ τῆς γραφῆς οἷα μηδὲ τὸ εἶδος παρεωρακέναι τῆς γῆς, ὅπου γάρ τι καὶ μικρὸν ἑαυτῆς ἀρόσαι παραδέδωκεν ἡ γῆ, ἔοικεν, εἰ συνίημι, οὐδὲ ἀπορεῖν. ὁ δὲ Ἡρακλῆς τὸ μὲν ἐρρωμένον τῆς διανοίας ἐπὶ τὸν βοῦν ἔχει, τὸ δὲ

1. ἁπλῆς. p. ib. γε om. f2, 7, ven. 392. ib. ὁ ἱστὸς. f2. ib. φάρυγκος. ven. 514 2. αὐτὸν. br. ib. διατέταται et τ suprasc. ven. ib. μέσων. γ, g, J. μέσον. ς. ib. διεκπεπέκασι ven. 514. 3. ἐς πλευρὰν. γ, g. ib. ἐρριμένων. φ, f2, 7, π. ἐριμμένων. vd. ib. Post ἐδακρυσαν addunt ε, C (praeter j): περὶ τοῦ δακρῦσαι, p: περὶ τὸ δακρύσαι, m, o: παρὰ τὸ δακρύσαι. Verba omissa voluit jam Heyne Opusc. V, 135. 5. βουκόλοι δὲ. φ. 6. ἠττᾶται. f. ἤρτηται. J conj. ἤρται. ς. 7. χερῶν. f7. ib. ὁδὲ. vd. ib. αὐτῶν om. 1, j, β. αὐτῷ. p 1761, f7. ib. ἀναρριπεῖ. f6, 7 et ven. cl. XI, 15. 8. πολέμιον μὲν. π. ib. διεκπτύων. p 1760, 1761, ven. cl. XI, 15, π, ψ, f6, 7, J. διαπτύων. ς. ib. καὶ μειδιῶν. ven. 9. ἐς αὐτὸ. φ et ven. cl. XI, 15. εἰς αὐτὰ. vd. 10. βρυχ. ἡ φ. br. ib. ὁ φάρυγξ. l et vd. ib. φάρυγξι. π. ib. περὶ αὐτὴν. j, br, n. 11. κύρια. l, β. κήρια. br. ib. ἔριν. f7. ἐρινῦν. f6. ἐρινὺν. μ. ib. ἡ om. br. 12. τῆς σκηνῆς. l. σκηνῆς. ς. (σκευῆς. j.) ib. ἐς om. 2, 3, E. 13. αὐτό. φ. ib. εἴσω κείσεται. f, j, n. εἰσῳκήσατο. ven. vd. ib. Ἡρακλέα. n. Ἡρακλῆ. f. Ἡρακλῆν. EJ. ib. τοῦ om. ven. ib. μέσου. φ. μέσῳ. ς. ib. αὐτῶν. f2. ib. ἴσως. ψ. ib. κιρτῶσα. f2, v 392, 514. 14. Προμιθέα. ven. 392. 15. λύεσθαι. f, j. λελῦσθαι. vd.

XXIV. 16. βραχὺς. p, φ, ρ. ib. νὴ Δία. vd. ib. βραχύτατον. f, j, p, φ. 17. σταφίδα (σταφύδα. φ.) C. σταφίδας. EJ. ib. μὲν σῦκα. γ. ib. ἀμαξεῦσαι. vd. corr. pr. m. 19. ἀλλὰ — Θειοδάμας. v. ib. ὁ om. f, vd, φ, γ, ξ 20. τοῦ om. φ, 2, γ, g, π. 21. ἐς τὴν. γ. 22. περιττὰ τὰ ὀστέα. vd. ib. Θειδάμαντι. π. ib. δὲ om. π. ib. παρὰ βουλητὸν. π. βουλιτὸν. ε. 23. ἀγαθοὶ — λίθοι. v. ib. ἐμπειρεύσασθαι. v. 24. μονονουχί. l. μόνον οὐχί. J. μονονού. φ, π. μονονοὺ οὐκ. ψ. μόνον οὐκ. ς. ib. τῷ om. br. ib. τὰ δὲ. φ. τὰ. ς. 25. γάρ τοι. γ. γὰρ καὶ μικρόν τι. π, ψ. ib. αὐτῆς. vd. 26. εἰ μὴ συνίημι. μ, non p 1760, 1761. ib. ἀπορεῖν. l, 2. ἀπόρῳ. φ, π, ψ, EJ. ἀσπόρῳ. p ex corr. ἀπορῶ. f, j, vd. ib. ὁ δὲ — δέδωκεν. v. ib. ἐφορώμενον. v.

92, 93. p. 849. 11, 21.

ῥᾴθυμον αὐτῆς ταῖς τοῦ Θειοδάμαντος ἀραῖς δέδωκεν, ὅσον τὴν παρειὰν ἀνεῖσθαι, ὁ γεωργὸς δὲ λίθοις ἐπὶ τὸν Ἡρακλέα, καὶ ὁ τρόπος τῆς στολῆς Δώριος, αὐχμός τε τῇ κόμῃ καὶ περὶ τῷ μετώπῳ πίνος, καὶ ἐπιγουνὶς καὶ βραχίων, οἵους ἡ φιλτάτη γῆ τοὺς ἑαυτῆς ἀθλητὰς ἀποτελεῖ. τοῦτο τοῦ Ἡρακλέους τὸ ἔργον καὶ ὁ Θειοδάμας οὗτος σεμνὸς παρὰ Λινδίοις, ὅθεν βοῦς μὲν ἀρότης Ἡρακλεῖ θύεται, κατάρχονται δὲ ἐπαρώμενοι, ὅσα, οἶμαι, ὁ γεωργὸς τότε. χαίρει δὲ ὁ Ἡρακλῆς καὶ Λινδίοις δίδωσι καταρωμένοις τἀγαθά. 850

ΑΒΔΗΡΟΥ ΤΑΦΑΙ.

91 κε'. Μὴ τὰς ἵππους, ὦ παῖ, τὰς τοῦ Διομήδους ἆθλον ἡγώμεθα τοῦ Ἡρακλέους; ἃς γε καὶ ᾔρηκεν ἤδη καὶ συντέτριφε τῷ ῥοπάλῳ καὶ ἡ μὲν κεῖται αὐτῶν, ἡ δὲ ἀσπαίρει, τὴν δὲ ἀναπηδᾶν ἐρεῖς, ἡ δὲ πίπτει, βάρβαροι ταῖς χαίταις καὶ ἐς ὁπλὴν λάσιοι καὶ ἄλλως θηρία, φάτναι δὲ ὡς ἀνάπλεῳ μελῶν ἀνθρωπείων καὶ ὀστέων εἰσίν, οἷς ἐς τὴν ἱπποτροφίαν ταύτην ὁ Διομήδης ἐχρήσατο, αὐτός τε ὁ ἱπποτρόφος ὡς ἀγριώτερος ἰδεῖν ἢ αἱ ἵπποι, πρὸς αἷς πέπτωκεν, ἀλλὰ τουτονὶ τὸν ἆθλον χαλεπώτερον χρὴ δοκεῖν. Ἔρωτός τε πρὸς πολλοῖς ἐπιτάττοντος αὐτὸν τῷ Ἡρακλεῖ, μύχθου τε ἐπ' αὐτῷ οὐ σμικροῦ ὄντος· τὸν γὰρ δὴ Ἄβδηρον ὁ Ἡρακλῆς ἡμίβρωτον φέρει ἀποσπάσας τῶν ἵππων, ἐδαίσαντο δὲ αὐτὸν ἀπαλὸν ἔτι καὶ πρὸ Ἰφίτου νέον, τουτὶ δέ ἐστι καὶ τοῖς λειψάνοις συμβαλέσθαι, καλὰ γὰρ δὴ ἔτι ἐν τῇ λεοντῇ κεῖται. τὰ μὲν δὴ δάκρυα τὰ ἐπ' αὐτοῖς καὶ εἰ δή τι περιεπτύξατο αὐτῶν ἢ ὀλοφυρόμενος εἶπε, καὶ τὸ βαρὺ τοῦ προσώπου τὸ ἐπὶ πένθει δεδόσθω καὶ ἄλλῳ ἐραστῇ, ἐχέτω καὶ στήλη τι γέρας ἐφεστηκυῖα καλοῦ σήματι, ὁ δ' οὐχ ὅπερ οἱ πολλοί, πόλιν δὲ τῷ Ἀβδήρῳ ἀνίστησιν, ἣν ἀπ' αὐτοῦ καλοῦμεν καὶ ἀγὼν τῷ Ἀβδήρῳ κείσεται. ἀγωνιεῖται δ' ἐπ' αὐτῷ πυγμὴν καὶ παγκράτιον καὶ πάλην καὶ τὰ ἐναγώνια πάντα πλὴν ἵππων. 851

ΞΕΝΙΑ.

95 κς'. Ὁ μὲν ἐν τῷ οἰκίσκῳ λαγωὸς δικτύου θήραμα, κάθηται δὲ ἐπὶ τῶν σκελῶν ὑποκινῶν τοὺς προσθίους καὶ ὑπεγείρων τὸ οὖς, ἀλλὰ καὶ βλέπει παντὶ τῷ βλέμματι, βούλεται δὲ καὶ κατόπιν ὁρᾶν δι' ὑποψίαν καὶ τὸ ἀεὶ πτώσσειν, ὁ δ' ἐκκρεμάμενος τῆς αὔου δρυὸς ἀνερρωγώς τε τὴν γαστέρα καὶ διὰ τοῖν ποδοῖν ἐκδεδυκὼς ὠκύτητα κατηγορεῖ τοῦ κυνός, ὃς ὑπὸ τῇ δρυὶ κάθηται διαναπαύων ἑαυτὸν καὶ δηλῶν μόνος ᾔρηκέναι. τὰς δὲ πλησίον τοῦ λαγὼ νήττας, ἀρίθμει δὲ αὐτὰς δέκα, καὶ τούς, ὅσαιπερ αἱ νῆτται, χῆνας, οὐ δεῖ βλιμάζειν, ἀποτέτιλται γὰρ αὐτῶν τὸ

1. Θηοδάμαντος. l. 2. τε καὶ κόμῃ. φ. Fo: περὶ τῇ κ. ib. μετώπῳ. 1. προσώπῳ. 2, 3, EJ. 3. αὐχμηρὸς οἵους — ἀποτελεῖ ἡ γεωργούς. v. 4. Ἡρακλέος. vd. ib. περὶ. π. 4. δὲ καὶ. br. 5. ὅρα. j. 6. τὰ ἀγαθὰ. 1, γ, g, π, J. τἀγαθά. ς.

xxv. 7. τοὺς ἵππους, ὦ παῖ, τὰς. φ. ib. Ἡρακλέος. vd. ib. οὗς γε. br. 8. συντέτριφθε. ε. 9. ἐρεῖς om. γ. ib. οἱ δὲ ἵπποι βάρβαροι — λάσιοι. v. ib. λάσιαι. o. 10. ὀστέων. l, j, p 1761. ὀστῶν. ς (f, p). ib. ὑποτροφίαν. μ. 11. αὐτὸς δὲ. π. ib. καὶ ἀγριώτερος velit J. 12. αὐτὸν conj. Heyne Op. V, 152. αὐτῷ. ς. 13. τε om. l, j, p 1761. ib. ἐπ' αὐτῷ conj. J. ἐπ' αὐτόν. ς. ib. μικροῦ. f, p, vd, φ. ib. γὰρ δὴ. f, j, l, br, β, φ, o, J. γὰρ. ς. ib. Ἄνδηρον. vd. 14. ἐδαίσαντο γὰρ. 2, π. ib. πρὸ Ἰφίτου om. vd. 15. ἤδη ἔτι. vd, φ. ib. τὰ μὲν — ἐραστῇ. v. ib. ἐπ' αὐταῖς. φ. 16. αὐτὸν. π, γ. αὐτὰ. l, p 1761. ib. καὶ ὀλοφ. φ, π, br. ib. καὶ — πένθει om. v. ib. τὸ β ex corr. μ, p 1761, et conj. Heyne Op. V 153, J. τῷ. ς. 17. διδόσθω. v, j. ib. ἐραστῇ. μ, p 1761. ἐραστῇ ἄλλο (ἄλλος. ψ.) ς. (l, j.) ib. στολὴ. f, j, p, br. ib. καλῷ. C, EJ. Sc. καλοῦ. ib. σώματι. f, p, φ. σόματι. j. ib. ὁ δ' — καλοῦμεν. v. 18. πόλιν τῷ. v. πόλιν τε τῷ. ς. Sc. πόλιν δὲ τῷ. ib. Ἀνδήρῳ. vd. 19. ἐπ' αὐτῷ. 1, 2, π. ἐν αὐτῷ. ς. ib. πυγμὴν καὶ παγκράτιον om. 2, γ, g. ib. τι πάλην. p 1760. ib. καὶ ante τὰ om. vd.

xxvi. 20. ἐν om. ρ, γ, g. ib. δικτύων. π, ven. cl. XI, 15. ib. κάθεται. φ. 21. προσθίους suprasc. ἐμ. pr. m. vd. ib. παντὶ. 1, β, 2, γ, g, π, J. πάντῃ et γρ. παντί. l. πάντῃ. E. ib. δὲ om. J. 22. πτήσσειν. f. πτώσειν. E, quod corr. Huet. ib. ἐκκρεμαννύμενος. l, j, non f. ib. ἀνερρωγὼς. f, vd. φ. br, π. ἀναρρωγὰ. j. ἀνερρηγὼς. ς. 23. καὶ om. j. ib. τὴν ποδὴν. j. ib. ὃν. j. ib. τῆς δρυός. f, j, 2, ε, m. 24. τὰς δὲ. vd, φ, p ex corr. br, π. τὰς. ς. b. ἀριθμεῖ. m, o. 25. καὶ ταῖς. br. ib. οὐ δεῖ. 1, 2, π. οὐδὲν δεῖ. ς. ib. θαυμάζειν. φ.

94, 95. p. 850, 851. 11. 25. 26.

περὶ τὰ στέρνα πᾶν ἐκεῖ τοῖς πλωτοῖς ὄρνισι πλεονεκτούσης τῆς πιμελῆς. εἰ δὲ καὶ ζυμίτας ἄρτους ἀγαπᾷς ἢ ὀκταβλώμους, ἐκεῖνοι πλησίον ἐν βαθεῖ τῷ κανῷ, καὶ εἰ μὲν ὄψου τι χρῄζεις, αὐτοὺς ἔχεις, τοῦ τε γὰρ μαράθρου μετέχουσι καὶ τοῦ σελίνου καὶ ἔτι τῆς μήκωνος, ἥπερ ἐστὶν ἥδυσμα τοῦ ὕπνου, εἰ δὲ τραπέζης ἐρᾷς, τουτὶ μὲν ἐς ὀψοποιοὺς ἀναβαλοῦ, σὺ δὲ σιτοῦ τὰ ἄπυρα. τί οὖν οὐ τὰς δρυπεπεῖς ἁρπάζεις, ὧν ἐφ' ἑκατέρου κανοῦ σωρὸς οὗτος; οὐκ οἶσθ', ὅτι μικρὸν ὕστερον οὐκέθ' ὁμοίαις ἐντεύξῃ ταύταις, ἀλλὰ γυμναῖς ἤδη τῆς δρόσου; καὶ μηδὲ τῶν τραγημάτων ὑπερίδῃς, εἴ τι σοι μεσπίλου μέλει καὶ Διὸς βαλάνων, ἃς τρέφει λειότατον φυτὸν ἐν ὀξεῖ τῷ ἐλύτρῳ καὶ ἀτόπῳ ἰδεῖν. ἐρρέτω καὶ τὸ μέλι παρούσης [τῆς τῶν ἰσχάδων συνθήκης] παλάθης ταυτησὶ
852 καλουμένης, καὶ ὅ τι ἂν εἴποις, οὕτως ἡδὺ πέμμα. περιαμπίσχει δὲ αὐτὴν φύλλα οἰκεῖα παρέχοντα τῇ παλάθῃ τὴν ὥραν. οἶμαι τὴν γραφὴν ἀποφέρειν τὰ ξένια ταυτὶ τῷ τοῦ ἀγροῦ δεσπότῃ, 96
ὁ δὲ λούεται τάχα Πραμνείους ἢ Θασίους βλέπων ἐνὸν τῆς γλυκείας τρυγὸς ἐπὶ τῇ τραπέζῃ πιεῖν, ὡς ἐς ἄστυ κατιὼν ὄζοι στεμφύλου καὶ ἀπραγμοσύνης καὶ κατὰ τῶν ἀστυτρίβων ἐρεύγοιτο.

ΑΘΗΝΑΣ ΓΟΝΑΙ.

κζ.' Οἱ μὲν ἐκπληττόμενοι θεοὶ καὶ θεαὶ προειρημένον αὐτοῖς μηδὲ νύμφας ἀπεῖναι τοῦ οὐρανοῦ, παρεῖναι δὲ αὐτοῖς ποταμοῖς, ὧν γίγνονται, φρίττουσι δὲ τὴν Ἀθηνᾶν ἄρτι τῆς τοῦ Διὸς κεφαλῆς ἐν ὅπλοις ἐκραγεῖσαν Ἡφαίστου μηχαναῖς, ὡς ὁ πέλεκυς. τὴν δὲ ὕλην τῆς πανοπλίας οὐκ ἂν συμβάλοι τις, ὅσα γὰρ τῆς ἴριδος χρώματα παραλλαττούσης ἐς ἄλλοτε ἄλλο φῶς, τοσαῦτα καὶ τῶν ὅπλων. καὶ ὁ Ἥφαιστος ἀπορεῖν ἔοικεν, ὅτῳ ποτὲ τὴν θεὸν προσαγάγηται, προανάλωται γὰρ αὐτῷ τὸ δέλεαρ ὑπὸ τοῦ τὰ ὅπλα συνεκφῦναί οἱ, ὁ δὲ Ζεὺς ἀσθμαίνει σὺν ἡδονῇ, καθάπερ οἱ μέγαν ἐπὶ μεγάλῳ καρπῷ διαπονήσαντες ἆθλον, καὶ τὴν παῖδα ἐξιστορεῖ φρονῶν τῷ τόκῳ καὶ οὐδὲ τῆς Ἥρας τι δεινὸν ἐνταῦθα, γέγηθε δέ, ὡς ἂν εἰ καὶ αὐτῆς ἐγένετο. καὶ θύουσιν ἤδη τῇ Ἀθηνᾷ δῆμοι δύο ἐπὶ δυοῖν ἀκροπολέοιν, Ἀθηναῖοι καὶ Ῥόδιοι, γῆ καὶ θάλαττα, [ἄνθρωποι γηγενεῖς] οἱ μὲν ἄπυρα ἱερὰ καὶ ἀτελῆ, ὁ δὲ Ἀθήνησι δῆμος πῦρ ἐκεῖ καὶ κνῖσα ἱερῶν καὶ ὁ κα-
853 πνὸς οἷον εὐώδης γέγραπται καὶ μετὰ τῆς κνίσης ἀναρρέων, ὅθεν ὡς παρὰ σοφωτέρους ἀφίκετο ἡ θεὸς καὶ θύσαντας εὖ, Ῥοδίοις δὲ λέγεται χρυσὸς ἐξ οὐρανοῦ ῥεῦσαι καὶ διαπλῆσαι σφῶν τὰς οἰκίας καὶ τοὺς στενωποὺς νεφέλην ἐς αὐτοὺς ῥήξαντος τοῦ Διός, ὅτι κἀκεῖνοι τῆς Ἀθηνᾶς ξυνῆ- 97
καν. ἐφέστηκε τῇ ἀκροπόλει καὶ ὁ δαίμων ὁ Πλοῦτος, γέγραπται δὲ πτηνὸς μὲν ὡς ἐκ νεφῶν, χρυσοῦς δὲ ἀπὸ τῆς ὕλης, ἐν ᾗ ἐφάνη. γέγραπται καὶ βλέπων, ἐκ προνοίας γὰρ αὐτοῖς ἀφίκετο.

1. καὶ om. f. 2. ζυμήτας. E. ib. ὄψον. μ. ib. χρήσεις. γ. 3. μαράθου. l, p 1761, π, ven. cl. XI, 15. ib. οπερ. j, non f. 4. δευτέρας τραπέζης velit J. ib. τουτὶ μὲν. o ex codd. suis. τουτί. ς. ib. ἀναβαλοῦ. l. ἀναβάλλου. ς. ib. ἄπορα. ven. cl. XI, 15. 5. οὖν αὐτοὺς. p, j. ib. δρυπεπεῖς. φ, p. δρυπεττεῖς. π, ven. cl XI, 15. δρυπέπεις. γ, g, J. δρυπέτεις. f, 2 (p 1760). ib. ὧν — οὗτος om. l. ib. ἐφ' ἑτέρου. j, φ, π. ib. οὐκένθ'. br. 6. ἀλλὰ γὰρ μνᾶς. f, j. ib. μηδὲ τραγημάτων. 1. μηδὲ τραγήματα et γρ. μηδὲ καὶ τραγημάτων. π. μηδὲ τραγήματα. vd. 7. μέλλει. p 1761. ib. μεσπίλων. vd, π, ven. cl. XI, 15. 8. ἰδεῖν. π, ψ. εἰπεῖν. ς. ib. τῆς — συνθήκης pro scholio est in p, om. br et π, vd, ven. cl. XI, 15, ubi legitur μέλι παλάθης παρούσης καὶ εἴτι κτέ deinde mg π: τῆς τῶν ἰσχ. συνθ. ἢ τὸ ἐκ τούτων ῥέον ὑγρόν. ib. πιλάθης. φ. ib. ταυτησὶ καλουμένης eras. p, om. br. ib. ὅ τι ἂν conj. J. εἴ τι ἂν. C, E. 9. φῦλλα. f, j. φύλλα om. ε, m. 11. οἰκείας. ven. idem. ib. Θασία. br. ib. ὁρῶν. vd. ib. τῇ om. vd. ib. πνεῖν. vd. 12. στεμφύλοις. π. ib. κατὰ τὴν τῶν ἀ. φ. ib. ἀστυτρίβων. ven. id.

XXVII. 13. αὐτοῖς delendum videtur. αὐταῖς. J. 14. γίνονται. vd. ib. τὴν αἴσθησιν. φ. 15. ᾧ ὁ π. o. ib. ὁ om. f, j et p 1761. ib. πέλεκύς φησι conj. J. 16. συμβάλοιτο. π. ib. ὅσα — ὅπλων. v. ib. μεταλλαττούσης. vd. μεταλαττούσης et mg. παραλλαττούσης. π. ib. εἰς ἄλλοτε ἄλλο. φ. ib. καὶ om. v. 17. οὕτω ποτὲ. φ, π. ὁπότε. vd. ib. προσανάλωται. β, br, φ, ε. 18. ὁ δὲ Ζεὺς. f. ὁ Ζεὺς δὲ. ς. 19. καὶ οὐ. μ, p 1761. 20. καὶ αὐτὸς. γ. ib. καὶ μεθύουσιν. π. 21. ἀκροπόλεων. f, vd, 2, π, ρ, γ, ε, m. ib. θαλάττῃ καὶ ἀνθρώποι γηγενεῖς. C praeter β, ubi καὶ om. Sc. γῆ καὶ θάλαττα om. ἀνθρ. γηγ. J malit ἀνθρ. γηγ. καὶ θαλαττογενεῖς. 22. ὁ δὲ — εὐώδης. v. ib. κνίσσα conj. Heyne Op. V, 149. ib. καὶ ὁ καπνὸς. v. ὁ κ. δὲ. ς. 23. ὅθεν καὶ παρὰ ἀφίκετο. φ. 26. πλοῦτος. ς. Πλοῦτος. J. 27. χρ. δὲ ὡς ἀπὸ τ. vd. ib. βλέπτων. π. ib. αὐτῆς. φ. ib. ἀφίκοιτο. f.

96. 97. p. 852, 853. II, 27.

ΙΣΤΟΙ.

κη'. Ἐπεὶ τὸν τῆς Πηνελόπης ἱστὸν ἄδεις ἐντετυχηκὼς ἀγαθῇ γραφῇ καὶ δοκεῖ σοι πάντα ἱστοῦ ἔχειν, στήμοσί τε ἱκανῶς ἐντέταται καὶ ἄνθεα κεῖται ὑπὸ τῶν μίτων καὶ μόνον οὐχ ὑποφθέγγεται ἡ κερκὶς αὐτή τε ἡ Πηνελόπη κλαίει δακρύοις, οἷς τὴν χιόνα τήκει Ὅμηρος καὶ ἀναλύει, ἃ διύφηνεν, ὅρα καὶ τὴν ἀράχνην ὑφαίνουσαν ἐκ γειτόνων, εἰ μὴ παρυφαίνει καὶ τὴν Πηνελόπην καὶ τοὺς Σῆρας ἔτι, ὧν τὰ ὑπέρλεπτα καὶ μόλις ὁρατά. οἰκίας μὲν οὐκ εὖ πραττούσης προπύλαια ταῦτα, φήσεις αὐτὴν χηρεύειν δεσποτῶν, αὐλὴ δὲ ἔρημος ἔσω παραφαίνεται, καὶ οὐδὲ οἱ κίονες αὐτὴν ἔτι ἐρείδουσιν ὑπὸ τοῦ συνιζάνειν καὶ καταρρέειν, ἀλλ' ἔστιν οἰκητὸς ἀράχναις μόναις, φιλεῖ γὰρ τὸ ζῷον ἐν ἡσυχίᾳ διαπλέκειν. ὅρα καὶ τὰ μηρύματα· τοῦτο ἀναπτύουσαι τὸ νῆμα καθιᾶσιν ἐς τοὔδαφος, δεικνύει δὲ αὐτὰς ὁ ζωγράφος κατιούσας δι' αὐτοῦ καὶ ἀναρριχωμένας ἀερσιποτήτους κατὰ τὸν Ἡσίοδον καὶ μελετώσας πέτεσθαι, καὶ οἰκίας δὲ προσυφαίνουσι ταῖς γωνίαις τὰς μὲν εὐρείας, τὰς δὲ κοίλας· τούτων αἱ μὲν εὐρεῖαι χρησταὶ θερίζειν, τὰς δὲ κοίλας ὑφαίνουσιν. ἀγαθὸν τοῦτο χειμῶνος. καλὰ μὲν οὖν καὶ ταῦτα τοῦ ζωγράφου, τὸ γὰρ οὕτω γλί-
98 σχρως ἀράχνην τε αὐτὴν διαπονῆσαι καὶ στίξαι κατὰ τὴν φύσιν καὶ τὸ ἔριον αὐτῆς ὑπομόχθηρον γράψαι καὶ ἄγριον, ἀγαθοῦ δημιουργοῦ καὶ δεινοῦ τὴν ἀλήθειαν, ὁ δ' ἡμῖν καὶ τὰ λεπτὰ διύφη- 854
νεν. ἰδοὺ γάρ· τετράγωνος μὲν αὕτη μήρινθος περιβέβληται ταῖς γωνίαις, οἷον πεῖσμα τοῦ ἱστοῦ, περιῆπται δὲ τῇ μηρίνθῳ λεπτὸς ἱστὸς πολλοὺς ἀποτετορνευμένος τοὺς κύκλους, βρόχοι δὲ ἐκτενεῖς ἀπὸ τοῦ πρώτου κύκλου μέχρι τοῦ σμικροτάτου διαπλέκονται διαλείποντες ἀπ' ἀλλήλων ὅσον οἱ κύκλοι. αἱ δὲ ἔριθοι δι' αὐτῶν βαδίζουσι τείνουσαι τοὺς κεχαλασμένους τῶν μίτων. ἀλλὰ καὶ μισθὸν ἄρνυνται τοῦ ὑφαίνειν καὶ σιτοῦνται τὰς μυίας, ἐπειδὰν τοῖς ἱστοῖς ἐμπλακῶσιν, ὅθεν οὐδὲ τὴν θήραν αὐτῶν παρῆλθεν ὁ ζωγράφος, ἡ μὲν γὰρ ἔχεται τοῦ ποδός, ἡ δὲ ἄκρου τοῦ πτεροῦ, ἡ δὲ ἐσθίεται τῆς κεφαλῆς, ἀσπαίρουσι δὲ πειρώμεναι διαφυγεῖν, ὅμως οὐ ταράττουσιν οὐδὲ διαλύουσι τὸν ἱστόν.

ΑΝΤΙΓΟΝΗ.

κθ'. Τοὺς μὲν ἀμφὶ Τυδέα καὶ Καπανέα καὶ εἴ δή τις Ἱππομέδων καὶ Παρθενοπαῖος ἐνταῦθα, Ἀθηναῖοι θάψουσιν ἀγῶνα ἀράμενοι τὸν ὑπὲρ τῶν σωμάτων, Πολυνείκην δὲ τὸν Οἰδίποδος Ἀντιγόνη ἡ ἀδελφὴ θάπτει νύκτωρ ἐκφοιτήσασα τοῦ τείχους καίτοι κεκηρυγμένον ἐπ' αὐτῷ μὴ θάπτειν αὐτόν, μηδὲ ἐνοῦν τῇ γῇ, ἣν ἐδουλοῦτο. τὰ μὲν δὴ ἐν τῷ πεδίῳ νεκροὶ ἐπὶ νεκροῖς, καὶ ἵπποι, ὡς ἔπεσον, καὶ τὰ ὅπλα, ὡς ἀπερρύη τῶν ἀνδρῶν, λύθρου τε οὐτοσὶ πηλός, ᾧ φασι

xxviii. Πηνελόπη inscr. g. 1. ἐπειδὴ. vd, π. ib. ἄδῃς. ρ. 2. ἐντέτακται. br. 3. κεραίς. j. 4. καὶ ἀράχνην. οντα φ. ib. ὑφαίνουσαν. vd, corr. pr. m. ib. ἐκεῖ τόπων velit J. 5. μὲν om. g. ib. οἰκίαι. π. 7. ἔτι αὐτὴν. π. ἔτι τι ἐρείδουσιν. φ. ib. ὁ ἀράχνης φιλεῖ γὰρ ἐν — μηρύματα. v. 8. μυρήματα. f, p. 9. καθιᾶσιν. 1, π. καθίεσαν. ως ς (j). ib. καὶ om. et mg. ἀναρριχωμένας. π. 12. γλίσχρον. l mg. γλίσχρον. p 1761. 13. στίξαι. 1 (στῆξαι. φ), J. δεῖξαι. 2, 3, E. 14. ὅδ'. E. ib. ὑμῖν. 1. ib. καὶ τὰ om. π. 15. ἰδοὺ γὰρ. vd, br, ψ. ἰδοὺ. ς (p, j). ib. τετράγωνος. j. ib. αὕτη. l, J. αὐτὰ. br. αὐτῇ. ς. 16. τῷ μηρίνθῳ. f. ib. ἀποτετορευμένος. π, br, et ex corr. p. 17. διατρέχονται. vd. ib. ἀπ' ἀλλήλων. l. ἀλλήλων. ς (ἀλλήλους. γ, g). 18. τηροῦσαι. γ, g. ib. μισθὸς. φ. 19. μύας. vd. ib. ἐπειδὴ. o. 20. παρῆλθεν. φ, p, br, l, π, o, J. προῆλθεν. j, γ. προῆλθεν et suprasc. παρῆλθεν. f. προδιῆλθεν. 2 (p 1760), g, ε, m. ib. ὁ μὲν — ὁ δὲ ἄκρου. π. 21. ἐσθίετε. π. ib. ἀσπ. πειρώμεναι. γ. ib. ὁμῶς. p. ib. οὐ om. m, o. ib. διαλύττουσιν. γ.

xxix. Hoc caput in p addidit serior manus, om. p 1760, μ. 23. Τυδήα. i. 24. δὲ om. π. 25. Ἀντιγόνη ἀδελφή. vd, φ, br, π. ib. νύκτωρ om. l. ib. κεκηρυγμένου. p, br, p 1761. 26. πέδῳ. p 1761. 27. ὑπερρίη. φ. ib. οὐτοσὶ πολύς. π.

98. p. 854. ll, 28, 29.

τὴν Ἐννὼ χαίρειν, ὑπὸ δὲ τῷ τείχει τὰ μὲν τῶν ἄλλων λοχαγῶν σώματα μεγάλοι τέ εἰσι καὶ ὑπερ- 99
βεβληκότες ἀνθρώπων, Καπανεὺς δὲ γίγαντι ἔοικασται, πρὸς γὰρ τῷ μεγέθει βέβληται ὑπὸ τοῦ
Διὸς καὶ ἐπιτύφεται. τὸν Πολυνείκην δὲ ἡ Ἀντιγόνη μέγαν καὶ κατ' ἐκείνους ὄντα καὶ ἀνῄρηται
τὸν νεκρὸν καὶ θάψει πρὸς τῷ τοῦ Ἐτεοκλέους σήματι διαλλάττειν ἡγουμένη τοὺς ἀδελφούς, ὡς
855 λοιπόν ἐστι. τί φήσομεν, ὦ παῖ, τὴν σοφίαν τῆς γραφῆς; σελήνη μὲν γὰρ προσβάλλει φῶς οὕπω
πιστὸν ὀφθαλμοῖς, μεστὴ δὲ ἐκπλήξεως ἡ κόρη θρηνεῖν ὥρμηκε περιβάλλουσα τὸν ἀδελφὸν ἐρρω-
μένοις τοῖς πήχεσι, κρατεῖ δὲ ὅμως τοῦ θρήνου δεδοικυῖά που τὰ τῶν φυλάκων ὦτα, περιαθρεῖν
τε βουλομένη πάντα τὰ πέριξ ὅμως ἐς τὸν ἀδελφὸν βλέπει τὸ γόνυ ἐς γῆν κάμπτουσα. τὸ δὲ τῆς
ῥοιᾶς ἔρνος αὐτοφυές, ὦ παῖ, λέγεται γὰρ δὴ κηπεῦσαι αὐτὸ Ἐρινύας ἐπὶ τῷ τάφῳ, κἂν τοῦ κα- 100
ποῦ σπάσῃς, αἷμα ἐκδίδοται νῦν ἔτι. θαῦμα καὶ τὸ πῦρ τὸ ἐπὶ τοῖς ἐναγίσμασιν, οὐ γὰρ ξυμ-
βάλλει ἑαυτῷ, οὐδὲ ξυγκεράννυσι τὴν φλόγα, τὸ ἐντεῦθεν δὲ ἄλλην καὶ ἄλλην τρέπεται καὶ τὸ
ἄμικτον δηλοῖ τοῦ τάφου.

ΕΤΑΔΝΗ.

λ'. Ἡ πυρὰ καὶ τὰ ἐς αὐτὴν ἐσφαγμένα καὶ ὁ ἀποκείμενος ἐπὶ τῇ πυρᾷ μείζων ἢ ἀνθρώπου
δόξαι νεκρὸς ἡ γυνή τε ἡ σφοδρὸν οὕτω πήδημα ἐς τὸ πῦρ αἴρουσα ἐπὶ τοιοῖσδε, ὦ παῖ, γέγρα-
15 πται· τὸν Καπανέα οἱ προσήκοντες θάπτουσιν ἐν τῷ Ἄργει, ἀπέθανε δὲ ἄρα ἐν Θήβαις ὑπὸ τοῦ
Διὸς ἐπιβεβηκὼς ἤδη τοῦ τείχους. ποιητῶν γάρ που ἤκουσας, ὡς κομπάσας τι ἐς τὸν Δία κεραυνῷ 101
ἐβλήθη καὶ πρὶν ἐς τὴν γῆν πεσεῖν, ἀπέθανεν, ὅτε δὴ καὶ οἱ λοχαγοὶ οἱ λοιποὶ ὑπὸ τῇ Καδμείᾳ
ἔπεσον. νικησάντων δ' Ἀθηναίων ταφῆναι σφᾶς πρόκειται ὁ Καπανεὺς τὰ μὲν ἄλλα ἔχων ὥσπερ
Τυδεὺς καὶ Ἱππομέδων καὶ οἱ ἄλλοι, τουτὶ δὲ ὑπὲρ πάντας λοχαγούς τε καὶ βασιλέας· Εὐάδνη
20 γὰρ ἡ γυνὴ ἀποθανεῖν ἐπ' αὐτῷ ὥρμηκεν οὔτε ξίφος τι ἐπὶ τὴν δέρην ἕλκουσα οὔτε βρόχου τινὸς
ἑαυτὴν ἀπαρτῶσα, οἷα ἠσπάσαντο γυναῖκες ἐπ' ἀνδράσιν, ἀλλ' ἐς αὐτὸ τὸ πῦρ ἴεται οὔπω τὸν
ἄνδρα ἔχειν ἡγούμενον, εἰ μὴ καὶ αὐτὴν ἔχοι. τὸ μὲν δὴ ἐντάφιον τῷ Καπανεῖ τοιοῦτον, ἡ γυνὴ
856 δέ, καθάπερ οἱ ἐς τὰ ἱερὰ στεφάνους τε καὶ χρυσὸν ἐξασκοῦντες, ὡς φαιδρὰ θύοιτο καὶ ἐς χάριν
τοῖς θεοῖς, οὕτως ἑαυτὴν στείλασα καὶ οὐδὲ ἐλεεινὸν βλέπουσα πηδᾷ ἐς τὸ πῦρ καλοῦσα, οἶμαι,
25 τὸν ἄνδρα, καὶ γὰρ βοᾶσῃ ἔοικεν, δοκεῖ δ' ἄν μοι καὶ τὴν κεφαλὴν ὑποσχεῖν τῷ σκηπτῷ ὑπὲρ
τοῦ Καπανέως. οἱ δὲ ἔρωτες ἑαυτῶν ποιούμενοι ταῦτα τὴν πυρὰν ἀπὸ τῶν λαμπαδίων ἅπτουσι
καὶ τὸ πῦρ οὗ φασι χραίνειν, ἀλλ' ἡδίονί τε καὶ καθαρωτέρῳ χρήσεσθαι θάψαντες αὐτῷ τοὺς κα-
λῶς χρησαμένους τῷ ἐρᾶν.

1. ὑπερβεβληκότες. 1. (in f est λ deletum rec. m.) ὑπερβεβηκότες. 2, 3, EJ. 2. βέβλυται. br. 3. καὶ τύφεται φ. καὶ ἔτι τύφεται voluit olim J. 4. θάψει. 1, ψ, J. θάψοι. π. θάπτει. ς. ib. πρὸς τὸ. γ. τὸ τῷ τοῦ. vd. ib. ἐσφορβου
ματι. l. ib. ὡς λοιπὸν ἔτι. Gruter et Salm. 5. προβάλλει. m, o. 6. ὥρμησε. π. 7. τὰ ὦτα. ψ. ib. βουλομένη. vd. 8. εἰς. γ, g, E. ib. ἐς γῆν. f, j, p, vd, br, π, p 1761. εἰς τὴν γῆν. ς. ib. δὴ om. vd, γ, g. 9. Ἐριννύας. EJ. 10. τὸ om. br. ib. ἀναγίσμασιν. γ. 11. ξυγκεράννυσι. p, vd. ξυγκεράννυσι. f, φ. ξυγκεραννύει. ς. ib. καὶ ἄλλην om. br.
xxx. 13. ὁ ἀποκείμενος — νεκρός. v. 14. δεῖξαι. π, γ, g. ib. ἡ om. γ, g. ib. ἡ γῆ τε. μ. ib. τοιοῖς δὲ. o. 15. ἐπὶ τῷ Ἄργει. φ. ib. ἐν Θήβαις ὑπὸ τοῦ Διός. C, J. ὑπο τοῦ Διὸς ἐν Θ. μ, E. 16. εἰς. vd, φ, π. 17. ὅτι δὲ. γ. ib. λοχαγοὶ οἱ λοιποί. p ex corr. (ubi mg. γρ. οἱ ἄλλοι.) br, φ. π. λοχαγοὶ καὶ οἱ λοιποί. ς. ib. ὑπὸ τῇ Κ. φ. vd. π. ἐπὶ τῇ Κ. ς (κηδεία. ρ, γ, g). 18. νικησάντων δ'. br, vd, φ, π, p 1761. οἰκησάντων δ'. μ, p 1760. νικησάντων. ς. ib. πρόκειται ὁ Καπανεύς om. γ, g. 19. καὶ οἱ ἄλλοι. vd, φ et β, (ubi γρ.) καὶ οἱ λοιποί. ς. ib. Εὐάδνη γάρ. C. Εὐάδνη γὰρ δὴ. μ, EJ. 20. τι om. p, vd, br. ib. δέρην. φ. 21. ἑσπάσαντο. π. ib. ἴεται. vd. J. 22. ἔχειν ἡγούμενον f, j, 2 (p 1760) et l, ubi γρ. ἡγουμένη. ἡγουμένη ἔχειν. ν, β. ἔχειν ἡγουμένη. ς. πάντ' ἔχειν ἡγουμένη. Heyne Op. V, 152, prob. J. ib. ἡ γυνὴ δὲ. vd, φ, π. ἡ δὲ γυνὴ. ς. 23. εἰς. vd. ib. στεφάνοις τε καὶ χρυσῷ ἑαυτῶν. β. 24. οὐδὲ ἐλ. π. 25. ἐοικεν. φ. ib. δοκεῖν. p 1761. ib. ὃ. γάρ μοι. π, l, p 1761. 26. οἱ ποιούμενοι med. om. ε, m. ib. ποιούμενοι ταῦτα. p, vd, br, φ. π. ποιούμενοι τὸ πῦρ. f, j et l, (ubi γρ. ἔργον) ποιούμενοι τὸ ἔργον. ς. 27. ἀλλὰ. φ. γ. g. ib. χρήσεσθαι. 1. p 1761, π, J. χρήσασθαι. ς. ib. θάψαντας. p, vd. ib. ἐς αὐτὸ. β.

99, 100. p. 855, 856. 11, 30.

ΘΕΜΙΣΤΟΚΛΗΣ.

λα'. Ἕλλην ἐν βαρβάροις, ἀνὴρ οὐκ ἐν ἀνδράσιν, [ἀπολωλόσι καὶ τυφῶσιν] ἀττικῶς ἔχων μάλα τοὺ
101 τρίβωνος ἀγορεύει σοφόν, οἶμαί, τι, μεταποιῶν αὐτοὺς καὶ μεθιστὰς τοῦ θρύπτεσθαι. Μῆδοι ταῦτα καὶ Βαβυλὼν μέση καὶ τὸ σημεῖον τὸ βασίλειον ὁ χρυσοῦς ἐπὶ τῆς πέλτης ἀετὸς καὶ ὁ βασιλεὺς ἐπὶ τοῦ χρυσοῦ θρόνου στικτός, οἷον ταώς. οὐκ ἀξιοῖ ἐπαινεῖσθαι ὁ ζωγράφος, εἰ τιάραν καλῶς μεμίμηται καὶ καλάσιριν ἢ κάνδυν ἢ θηρίων τερατώδεις μορφάς, οἷα ποικίλλουσι βάρβαροι, ἀλλ' ἐπαινείσθω μὲν ἐπὶ τῷ χρυσῷ γράφων αὐτὸν εὑήτριον καὶ σώζοντα, ὃ ἠνάγκασται, καί, νὴ Δί', ἐπὶ τῷ τῶν εὐνούχων εἴδει, καὶ ἡ αὐλὴ χρυσῆ ἔστω, δοκεῖ γὰρ μὴ γεγράφθαι, γέγραπται γὰρ οἷα ᾠκοδομῆσθαι, λιβανωτοῦ τε καὶ σμύρνης αἰσθανόμεθα, τὰς γὰρ τῶν ἀέρων ἐλευθερίας οὕτω παραφθείρουσιν οἱ βάρβαροι, καὶ δορυφόρος ἄλλος ἄλλῳ διαλεγέσθω περὶ τοῦ Ἕλληνος, ἐκπληττόμενοι αὐτὸν κατὰ 857
δή τινα σύνεσιν μεγάλων αὐτοῦ ἔργων. Θεμιστοκλέα γάρ, οἶμαι, ἀκούεις, τὸν τοῦ Νεοκλέους Ἀθή- 10
νηθεν ἐς Βαβυλῶνα ἥκειν μετὰ τὴν Σαλαμῖνα τὴν θείαν ἀποροῦντα, ὅποι σωθήσεταί ποτε τῆς Ἑλλάδος, καὶ διαλέγεσθαι βασιλεῖ περὶ ὧν στρατηγοῦντος αὐτοῦ ὁ Ξέρξης ὤνητο. ἐκπλήττει δὲ αὐτὸν οὐδὲν τῶν Μηδικῶν, ἀλλὰ τεθάρσηκεν οἷον καθεστὼς ἐπὶ τοῦ λίθου καὶ ἡ φωνὴ οὐκ ἀπὸ τοῦ ἡμεδαποῦ τρόπου· μηδίζων ὁ Θεμιστοκλῆς, ἐξεπόνησε γὰρ ἐκεῖ τοῦτο. εἰ δ' ἀπιστεῖς, ὅρα τοὺς ἀκούοντας, ὡς εὐξύνετον ἐπισημαίνουσι τοῖς ὄμμασιν, ὅρα καὶ τὸν Θεμιστοκλέα τὴν μὲν τοῦ προ- 15
σώπου στάσιν παραπλήσιον τοῖς λέγουσι, πεπλανημένον δὲ τὴν τῶν ὀφθαλμῶν ἔννοιαν ὑπὸ τοῦ λέγειν, ὡς μετέμαθεν.

ΠΑΛΑΙΣΤΡΑ.

102 λβ'. Ὁ μὲν χῶρος [Ἀρκαδία καὶ] τὸ κάλλιστον Ἀρκαδίας καὶ ᾧ μάλιστα ὁ Ζεὺς χαίρει — Ὀλυμπίαν αὐτὸ ὀνομάζομεν — ἆθλον δὲ οὔπω πάλης, οὐδὲ τοῦ παλαίειν ἔρως, ἀλλ' ἔσται. Παλαίστρα γὰρ ἡ Ἑρμοῦ ἠβήσασα νῦν ἐν Ἀρκαδίᾳ πάλην εὗρηκε καὶ ἡ γῆ χαίρει πως τῷ εὑρήματι, ἐπειδὴ σίδηρος 20
μὲν πολεμιστήριος ἔνσπονδος ἀποκείσεται τοῖς ἀνθρώποις, στάδια δὲ ἡδίω στρατοπέδων δόξει καὶ ἀγωνιοῦνται γυμνοί. τὰ μὲν δὴ παλαίσματα παιδία, ταυτὶ γὰρ ἀγέρωχα σκιρτᾷ περὶ τὴν Παλαίστραν ἄλλο ἐπ' ἄλλῳ ἐς αὐτὴν λυγίζοντα, εἴη δ' ἂν γηγενῆ, φησὶ γὰρ ὑπ' ἀνδρίας ἡ κόρη μήτ' ἂν γήμασθαί τῳ ἑκοῦσα μήτ' ἄν τεκεῖν. διαπέφυκε δὲ ἀπ' ἀλλήλων τὰ παλαίσματα, κράτιστον γὰρ τὸ ξυνημμένον τῇ πάλῃ. τὸ δὲ εἶδος τῆς Παλαίστρας, εἰ μὲν ἐφήβῳ εἰκάζοιτο, κόρη ἔσται, εἰ δὲ 25 858
423, 10. ὁπόσα μανθάνει. cf. V. A. 4, 20. — 12. cf. Hom. Od. ι, 116. — 13. Idem judicium de Cyclopibus vide Heroic. 302, 4. 283, 17. Poetas quum appellat, unum Homerum indicat. — 17. vide Theocr. XI, 33. — 18. Redeunt haec verba Her. 331, 7. adde 302, 14. — 19. cf. Theocr. XI, 17. — 21. ἡδίων ὄμφακος. „Theocr. XI, 21 Galateam dicens φιαρωτέραν ὄμφακος ὠμᾶς aliud quid spectavit." W. — 22. Memorabilis nota schol. in p 1761: ὅπου ἡ γῆ· διότι ἐκεῖνος ὄρειος τὸ σχῆμα καὶ ἄριος προσεγράφη. — 23. Theocr. XI, 50. — 24. τὸ ἐς ὄννχας ἦκον. Ut est V. S. 259, 4. τὸ μὲν ἐς πατέρα ἦκον. — 25. Jacobsii conjecturam ἀχρεῖον ab Osanno et in Sylloge Epigr. p. 151 et in Cornuti ed. p. 242 improbatur. — 27. παρθένοι Τρίτωνος sunt Nereides, quas Nostro Tritonidas vocare libuit, quia Triton aeque ac Nereus maris tenet imperium et quia Nereides cum Tritonibus, quos Tritonis, tanquam maris domini, appellare possis filios sive populum fere junctae ab artificibus repraesentari solent." W. cf. praeterea Müller Arch. 616, §. 3 et Gerh. A. B. tab. 320 (p. 409).

424, 1. Repetitur locutio in V. A. 98, 18. — 2. ἰστίον. Fortasse huc respexit Ach. Tat. p. 6 ed. Jac. — 7. συναπολήγουσα α. χ. „planta pedis, et quae est in extrema hac corporis parte venustas." J. — 10. Fabula illustratur Schol. Il. ψ, 660, quibus adhibe Müller Orch. 184, Welcker Ep. Cycl. 64. — 12. Phlegyarum importunitatem castigat Hymn. Hom. in Ap. 270, adde Schol. Eur. Phoen. 691. — 23. Simile vide V. A. 84, 16. ib. cf. Müller Arch. 517. de Apolline μειρακίῳ. — 25. ἀπὸ receptum defendo ex loco, quem jam J. laudavit Her. 319, 19. ib. μειδίαμα θυμῷ κεκραμένον hinc duxit Isid. Pel. 600. Indidem profecit Aristaenet. 2. ed. B. scribens ἐπιτοξεύειν ταῖς τῶν ὀμμάτων βολαῖς, quod vidit Wyttenbach. Opusc. I, 53. — 26. „Apollinis oculi, quod in hoc genere certaminis praecipuum, motum manuum adversarii accurate observant, eumque ita sequuntur, ut simul cum illius manibus tollantur simulque descendant." J.

425, 1. cf. Il. Od. λ, 576. sive Il. φ, 407. — 3. vide Paus. IX, 36, 2. — 4. Δρυὸς κεφαλαί laudantur etiam ab Herodoto IX, 39. 5. Atlantem sic cum Hercule exhibitum vidit Paus. V, 10, 2. 18, 2. Praeterea cf. maxime Gerhard Archemoros p. 42, 46, 60 sq. etiam Müll. Arch. 601. ibique laudata. — 7. Supple cogitatione verbum e. g. ἔφη s. ὡμολόγει. — 14. τὸν ἆθλον h. l. delendum esse jam Jacobsius intellexerat, quod me fugit in conscribenda annotatione critica. Nequeo hic Welckero assentire dicenti: »sophisticum acumen est in oppositis χεῖρες et σκιαί, ἀπαιτοῦσαι τὸν ἆθλον et ἔρρωνται τὸν ἆθλον, denique in voce ἆθλος de heroe picto simulque de pictore adhibita.« ἐρρῶσθαι = verum esse habes Heroic. 317, 33. — 16. ἐπιθολοῦσιν. nihil ex eminentibus obscurant, sed potius inde (ἐκ τῶν ἐκκειμένων) lucem in reducta transferunt. — 21. Jac. scribens καὶ ἐν τῷ οὐρανῷ νεῖκος addit: »in signis coelestibus veteres amicitiae et inimicitiae conspiciuntur, quibus, antequam in coelum pervenirent, affecta fuerunt." Incertum tamen, num haec sit scriptoris sententia. Schol. certe non ita intellexit, cujus haec nota est: Ζέφυρος γὰρ καὶ νότος καὶ ὅσα δυτικώτερα τῶν πνευμάτων φιλίαν ἔχουσι, ἐκ τοῦ αὐτοῦ γὰρ πνέουσι, τῶν πνευμάτων ἐναντία ὄντα (excidisse nonnulla patet) μάχονται πρὸς ἄλληλα. — 24. De Antaeo, Aegyptiorum deo cf. Letronne Recueil des Inscr. de l' Egypte, p. 31. Wilkinson Manners and customs of the ancient Egyptians. IV, 140. Mythum primus ex Graecis poetis Pisander illustrasse videtur. cf. Müller Dor. II, 476. Gerhard Auserl. Vasengem. II, 36. Adde Cr. Symb. II, 83. Imagines indicantur a Müllero Arch. 635, immemori tamen nostrae, et a Gerhardo in Annali dell' Inst. III, 150. — 25. κολωνοί. Jac. confert Lucan. IV, 590.

426, 2. cf. Gerhard Auserl. Vas. II, 101. — 3. Hercules εὔμηλος s. μηλών tractatur a Cr. S. II, 620. Ejus fabulae icones vide apud Müller Arch. 635 indicatas ut apud Gerhard in Archemoro, p. 41 sqq. ib. Jac. scribebat ex γ, g καὶ τὰ τῶν Ἑσπερίδων ᾀδόμενα, οὐκ ἐκείνας ἑλεῖν θαῦμα vertens: „quod ad historiam de Hesperidibus attinet, non mirum est, Herculem illas vicisse." At ᾀδόμενον, quod meliores libri praebent, cum superioribus cohaeret. Constructio eadem est ac V. A. 155, 13. — 7. Ex Il. Il. ζ, 127. ib. αὐτὸν legendum esse recte intellexit Boiss. ad Heroic. 399. — 9. cf. Heroic. 292, 24. — 11. ῥίῳ pro θῃρίῳ optime emendavit Jac. in Callistr. XII; huc eadem correctio ex Il. Od. ι, 190 ducta non convenit. — 13. περιῆκται cum Heynio intellige de turgido et toroso quasi circumducto brachio. ib. τὰ σφυρήλατα Jac. monet respici Theocr. XXII, 46. — 14. Huic Antaeo commode oppones Hyacinthum, 399, 27. ib. ξυνδεδεμένον. συντεθειμένον καὶ συμπεπιλημένον κατὰ τοὺς ἀνδριαντας. Sch. — 22. Fuit locus ante oculos Libanio IV, 1082. — 24. Huc facere videtur observatio Creuzeri zur Gallerie etc. p. 37. — 27. De Pygmaeis egere Jablonsky Panth. Aeg. II, 175 et H. Schulz in Annali dell' Inst. X, 164, ubi laudat Strab. XVII, 564. Aristot. H. A. VIII, 12. Mel. III, 8. Ptolem. IV, 8. Adde Schneidewin ad Eustath. p. 51. Gerhard Aus. Vas. II, 105 et Müller Arch. 640, a quo citantur Zoeg. Bassir. 69. Tischb. II, 18, 7. Millin. Gal. I, 63, 72.

427, 9. καταλείπει αὐτὸν τῇ γῇ. »non roborandum, sed tegendum, ut αὖον." — 14. Fortasse hinc duxit Isid. Pel. V ep. 249. p. 634. d. ἡ κεφαλὴ ἡ καθάπερ ἀκρόπολις τοῦ σώματος οὖσα. — 21. Ἄργος βλέπων. cf. Eur. Herc. fur. 917. — 22. ἅρματα. Pluralem

tuetur idem H. f. 941. — 26. De forma Ἐρχείου cf. Lob. ad Soph. Aj. 82. — 27. τὶ γένη ex ἀγεννῆ, unde νεογενῆ fecit Piers. Veris. p. 234. et Valck. Diatr. p. 170. πρωτόγονα G. Koenius ad Greg. Cor. p. 653. εὐγενῆ Boissonadus a Jacobsio ad h. l. laudatus, correxi memor rarioris hujus notionis Nostro usurpatae V. S. 254, 6. 258, 8, quam hic aliquis adjecto βρέφη explicare voluit.

428, 4. Glossema glossemate explicatur a M. Apostole: περὶ τοῦ δακρῦσαι. ἕνεκα τοῦ ἑλκύσαι τὸν Ἡρακλέα πρὸς δάκρυα καὶ πρὸς συμπάθειαν. Quod cetera verba attinet, nescio an eorum hic sit sensus: noli mirari lacrimas puerorum expressas in imagine, aureae enim illorum sunt lacrimae (h. e. suaves et jucundae) et parvae pariter ac magnae. — 5. Jac. confert H. Il. ν, 572. — 8. Haec referunt Euripidem H. f. 926. — 11. „Furiam vocare videtur, quae in tragoedia magis proprie dicitur Λύσσα. Haec Herculis pectus insidet, non Erinys.“ W. — 12. ἐσῳκίσατο. cf. Eur. H. f. 841, et ad 13. χορεύει ibid. 867. — 19. De hac fabula cf. Creuzer, Hercules Buzyges in Annali dell' Inst. VII, 108 et Symb. IV, 417, ubi laudat Lactant. I, 21. Adde Eudociam p. 209 sqq. Callimachum in Dian. 161. Apollon. Arg. I, 1214. Apollod. II, 7, 7. Hi duo ultimi Thiodamantem faciunt Thessalum. — 20. τοῦ τ. σιτίου. cf. Cr. Symb. I, 98. M. Lopez in Annal. dell' Inst. IV, 68 sqq. — 21. cf. Pindari fragm. ed. Boeckh. p. 639. Bergk. Poet. lyr. Gr. 262. — 26. ἀπορεῖν. Mira est Apostolis nota: τὸν Θειοδάμαντα, ἀλλ' εἰδέναι. Terra, quamvis raro aretur, tamen ubi vomerem admittit, non videtur inops.

429, 2. cf. Müller Arch. 470. — 7. Vas Volcentinum, quod edidit Roulez Acad. Royale de Bruxelles. T. IX, n. 3. (Melanges de Philologie etc. Fasc. IV, 4. Brux. 1843.) adhuc solum est, quo Abderus ab equis Diomedis discerptus exhibetur. — 18. cf. C. Fr. Hermann Versuch einer urkundlichen Geschichte von Abdera. Schulztg. 1830, 507 sqq. — 23. διὰ τοῖν ποδοῖν ἐκδεδυκώς per pedes excoriatus.

430, 1. ξυμίτας Τρῶων ὁ Ἀλεξανδρεὺς τοὺς ἄρτους κατὰ γένος οὕτως ἐκτίθεται· ἄζυμον ἄρτον καὶ ζυβαμίτην, σεμίδα λεπτήν, ἐγκρυφίαν καὶ κλιβανίτην, ὃν κριθίτην φασὶν οἱ Ἀττικοί. Sch. — 2. ὀκταβλώμους est ex Hesiod. Ἔργ. 442. — ib. αὐτοὺς ἔχεις. Jac. malit αὐτοῦ ἔχεις. Locus bene habet: dicit, panes tales tanquam ὄψον esse, dummodo ne puer ὄψον, quale in coenis soleat apponi, desideret. — 5. ὀρυπεπεῖς etiam Jacobsium voluisse, docet ejus annotatio. — 11. Jac. proposuit ἐπὶ τῇ τραπείᾳ πιεῖν, recte repugnante Welckero. — 12. ἀπραγμοσύνης. Ducta ista ex Aristoph. Nub. 1005, cujus scholiastam expilavit, qui nostro loco haec allevit in p 1761: ἀπρ. εἶδος ἄνθους. Ἀριστοφάνης ἐν Νεφέλαις σμίλακος ὄζων καὶ ἀπραγμοσύνης ἀντὶ τοῦ πάσης εὐωδίας ὄζων καὶ ἀσφαλείας. ἢ οὐ πολυπραγμοσύνης. οἱ δέ, ὅτι ἀπραγμοσύνη φυτὸν ἐν Ἀκαδημίᾳ φυόμενον. — 13. Proxime accedit ad hanc imaginem figurarum multitudine vas Volcentinum apud Gerhard Auserl. Vasengem. I, tab. 3, 4. De magno fictilium numero, in quibus hoc argumentum repraesentatur, egit idem l. c. p. 4 sqq. Hanc picturam saepius adhibet, cf. p. 12, 14, 16, 18. Praeterea cf. Welcker Zeitschrift etc. 265 sqq. Müller Arch. 542. Creuzer Symb. III, 427, 523. ib. Respicitur H. Il. ν, 4 sqq. — 14. Ex Pind. Ol. VII, 35 sqq. — 15. ὡς ὁ πέλεκυς. Simile est V. A. 121, 16. neuter locus mutatione eget. — 21. δῆμοι. Etiam in Volc. vase δῆμος agnoscitur a Gerhardo l. c. p. 16. — 22. cf. Pind. Ol. VII, 47. — 26. De hoc Pluto cf. Creuz. Symb. III, 458. Gerhard Ant. Bildw. 79, a, b. et Auserl. Vasengem. II, 17. — 27. βλέπων. vide V. S. 234, 23 et G. E. Schulz Annali dell' Inst. 1839, 125.

431, 3. cf. H. Od. τ, 431. — 4. ἐκ γειτόνων Non erat, cur Jac. mallet ἐκεῖ τόπων scribi. vide Menandrum ed. Meineke fr. inc. 232. — 10. Hesiod. Ἔργ. 777. — 13. ἔριον. „Significatur tenue illud vellus, quod est in araneae thorace.“ J. — 23. vid. Welcker Schulztg. 1832, p. 171. — 24. Eadem verba leguntur Heroic. 304, 18. — 26. Vide iterum Heroic. 311, 17.

432, 10. θαῦμα καὶ τὸ πῦρ. Vide hac de re Paus. IX, 18, 3. Anth. P. VII, 339 et 396. Welcker Trag. 569 in Euripidis Antigona idem fuisse suspicatur. — 15. Nec sepeliri nec cremari χερανωθέντες solebant, quippe ἄσηπτοι. cf. Artemid. Oniroer. II, 9, 145. Plut. Symp. IV, 2, 3. Convenit Eurip. Suppl. 935, cui nostra imago adversatur. — 17. cf. Eur. Phoen. 1182. — 22. Si scriptoris sententiam assecutus sit Heyne, saltem scribendum fuit τὰ πρόσφορα ἔχειν ἡγουμένη, ut est 414, 22. — 23. cf. Eur. Suppl. 1058. — 27. χραίνειν. „Vulgaris enim opinio ferebat, παρεῖναι νεκροῖς οὐ θεμιτόν.“ J, qui confert Eustath. ad Od. χ, 792, 43. Valckenaer ad Eur. Hippolyt. 1437.

433, 1. Argumentum petitum est ex Thucyd. I, 137. Plut. Themistocl. 28. — 3. τὸ σημεῖον. cf. Xenoph. Anab. I, 10, 12. ib. ἐπὶ τοῦ χρ. θρ. scribendum esse docuit etiam locus V. A. 11, 30. — 4. καλάσιριν. λινοῦν ἱμάτιον πλατύ. adscr. Mich. Apost. — 5. κάνδυν. cf. Xenoph. Cyrop. VIII, 3, 13. — 11. cf. Thucyd. l. c. — 13. ἐπὶ τοῦ λίθου. Apte confert Jac. Aristoph. Acharn. 683. — 18. cf. Müller Arch. 625, 681 sq. et a Welckero laudat. Millingen vasc. Coghill. 27. Mus. PioCl. V, 37. Gal. di Firenze Stat. III, 120. Augustin. gemm. II, t. 21. — 22. παιδία. cf. Bouillon III. Basr. XIII, 4. — 26 vide Müller Arch. 453. — 29. ὁρμῆς. Simile est, quod legitur Heroic. 303, 24.

434, 3. Hic quoque malim cum T. Hemsterhusio

legere τῇ ἰλῇ, ut supra 403, 12. — 7. Tractata haec imago est a Creuzero Symb. III, 182. — 8. Ἑλλὸς. cf. Schol. Il. Il. π, 234. — 10. De hoc choro errabat O. Müller ex Thebis Boeotiis Dodonam perlatam esse columbam existimans, vid. Böttiger Amalth. I, 122. Thebae Aegyptiae dicuntur, unde columbas fatidicas Dodonam advolasse narrat Herodot. II, 55. — 12. Ex Il. Il. π, 233. ib. αὐτοσχέδιοι. conferatur locus V. A. 49, 21. — 17. ὀμφῆς μεστόν. Respexerit huc Heliod. II, 16 p. 90. laudatus a Jacobsio. — 18. De Echus repraesentatione vide Wieseleri doctissimam dissertationem, quae inscribitur: „die Nymphe Echo.“ ibique p. 6 sqq. — 21. Horarum imagines commemorat Müller Arch. 609, omisso nostro loco. „Horas saltantes, i. e. anni choream agentes, non quasi coelo in terram descendentes, sed terram levi passu superlabentes nescio an praeter nostrum opus elegantissimum aliud nullum exhibeat.“ W. ib. πύλας. cf. Il. Il. ε, 749. — 22. „Homerus de coelo demissus in coelum rediit. vide Animadv. ad Anth. Gr. III, 2. p. 145.“ J.

435, 3. Non debuit Jac. offendere in dativo τῷ λιήῳ. — 4. Eadem verba vide Heroic. 294, 10.

ΦΙΛΟΣΤΡΑΤΟΥ ΤΟΥ ΝΕΩΤΕΡΟΥ

ΕΙΚΟΝΕΣ.

PROOEMIUM.

De juniore Philostrato in Praefatione egi. Imagines ejus et ratione et oratione cum Flavianis consentiunt, ut intelligas, ad exemplum avi illum se plane composuisse, id quod ipse indicat in prooemio suo, dicens *ἐσπούδασταί τις γραφικῆς ἔργων ἔκφρασις τῷμῷ ὁμωνύμῳ καὶ μητροπάτορι λίαν ἀττικῶς τῆς γλώττης ἔχουσα ξὺν ὥρᾳ τε προηγμένῃ καὶ τόνῳ· ταύτης κατ' ἴχνη χωρῆσαι θελήσαντες ἀνάγκην ἔσχομεν πρὸ τῆς ὅλης ἐπιβολῆς καὶ περὶ ζωγραφίας τινα διελθεῖν κτέ.* Discrimen quod inter utrumque invenitur, ejusmodi est, quod deprehendas inter auctorem et imitatorem; magis enim senior suus est, magis eloquens, ingeniosus, festivus; recentius quiddam sonat junior, et minus benignam ingenii veniam doctrina compensat, quae in poetarum maxime usu cernitur. Ut avus, duxit et ipse descriptiones suas ex pinacotheca, quam ne significat quidem, nedum ut pictores nominaverit, minime tamen propterea dubitari posse de veritate descriptoris, jam Welckerus docuit.[1])

Quod autem seniori contigit, ut magno lectorum numero suas Imagines probaret, non aeque felix nepos fuisse videtur, sive citationem rarissimam spectas, sive codicum penuriam. Citari videtur ab epitomatore V. Soph. (cf. Praef. Vit. Soph. ed. pecul. XXVIII) nisi hic senioris Imagines alteri cognomini distinguendo a nepote tribuit falso. Praetera nullius memini citationis a vetere scriptore factae. Codices adhuc tres innotuerunt, ex quibus unus tantum optimus est, Laurentianus VIII, 32, membr. saec. XII, idem, quo Heroicus cum ultima particula Gymnastici parte continentur et a recentiore librario saec. XIV in charta scriptae Imagines senioris. Ex hoc libro passim emendatum est opusculum, quod olim multo amplius fuisse et in plures partes divisum conjicias ex inscriptione illius codicis *Φιλοστράτου νεωτέρου εἰκόνων πρῶτον.*[2]) Nunc id quoque, quod superest, lacunis deformatur, deest exitus primi capitis et initium secundi, etiam ultimi magna pars desideratur. Ceteri duo codd. sunt Vaticanus 87 (v) et Parisinus 1760 (p); illum negligentius contulisse videtur Mercuri, cf. Prooem. Imag. X, 14. quippe qui paucissimas inde lectiones enotavit, easque exigui momenti; Parisini autem lectiones ab E. Millero mihi suppeditatae in primis capitibus tam vitiosae sunt, ut infra conditionem editionum veterum descendant. Propterea plenam utriusque collationem nil profuturam non quaesivi, contentus Laurentiano, quem compluribus locis denuo, nec frustra, meam in gratiam inspexit V. Cl. Fr.

[1]) cf. Ed. Imag. pag. LVII, sq.

[2]) Ea etiam in veteres editiones transiit.

de Furia. Verba valde corrupta saepissime sanavit Jacobsii felicissimum ingenium; alia emendaverunt ante eum Salmasius, Hemsterhusius, Heynius, Piersonus, Wyttenbachius, Hamackerus; nonnulla alleverunt anonymi exemplis Aldinae Gottingensibus et Bernensibus; illis Olearius et Heynius usus est, haec A. Jahn pro amica in me veluntate descripsit. Jacobsii et Welckeri notis eadem atque in senioris Imaginibus explicandis ratione usus sum, atque omnino hic eum modum tenui, quem illic mihi statueram. Indicem codicum in tam exiguo numero omitto, editiones non aliae sunt atque alterius Imaginum voluminis. Quae Jacobsius ex Laurentiano libro recepit, et ipse in ordinem rettuli, lectionum priorum editionum sigla ς indicans, ubi ille nondum ansus erat, optimum codicem sequi, eadem sigla etiam Jacobsianum textum complectitur.

ΦΙΛΟΣΤΡΑΤΟΥ ΤΟΥ ΝΕΩΤΕΡΟΥ ΕΙΚΟΝΕΣ.

ΠΡΟΟΙΜΙΟΝ.

109 *Μὴ ἀφαιρώμεθα τὰς τέχνας τὸ ἀεὶ σώζεσθαι δυσαντίβλεπτον ἡγούμενοι τὸ πρεσβύτερον, μηδ'* 861
B. J. *εἴ τῳ τῶν παλαιοτέρων προείληπταί τι, τοῦτο ζηλοῦν κατὰ δύναμιν φειδιόμεθα σχήματι εὐπρεπεῖ τὸ ῥᾴθυμον ὑποκοριζόμενοι, ἀλλ' ἐπιβάλωμεν τῷ φθάσαντι, τυχόντες γὰρ σκοποῦ ἀξίως λόγου πράξομεν, εἰ δέ πη καὶ σφαλῆναι ξυμβαίη, τὸ γοῦν ἐπαινοῦντας φαίνεσθαι ζηλοῦν τὰ εὖ ἔχοντα ἑαυτοῖς δώσομεν. τί δή μοι ταυτὶ προανακέκρουσται; ἐσπούδασταί τις γραφικῆς ἔργων ἔκφρασις* 5
τῷμῷ ὁμωνύμῳ τε καὶ μητροπάτορι λίαν ἀττικῶς τῆς γλώττης ἔχουσα ξὺν ὥρᾳ τε προηγμένῃ καὶ τόνῳ. ταύτης κατ' ἴχνη χωρῆσαι θελήσαντες ἀνάγκην ἔσχομεν πρὸ τῆς ὅλης ἐπιβολῆς καὶ περὶ ζωγραφίας τινὰ διελθεῖν, ὡς ἂν καὶ ὁ λόγος ἔχῃ τὴν οἰκείαν ὕλην ἐφαρμόττουσαν τοῖς ὑποκειμένοις. ζωγραφίας ἄριστον καὶ οὐκ ἐπὶ σμικροῖς τὸ ἐπιτήδευμα, χρὴ γὰρ τὸν ὀρθῶς προστατεύσοντα τῆς 10
τέχνης φύσιν τε ἀνθρωπείαν εὖ διεσκέφθαι καὶ ἱκανὸν εἶναι γνωματεῦσαι ἠθῶν ξύμβολα καὶ σιωπώντων καὶ τί μὲν ἐν παρειῶν καταστάσει, τί δὲ ἐν ὀφθαλμῶν κράσει, τί δὲ ἐν ὀφρύων ἤθει κεῖται καὶ ξυνελόντι εἰπεῖν, ὁπόσα ἐς γνώμην τείνει. τούτων δὲ ἱκανῶς ἔχων ξυναιρήσει πάντα καὶ 862
110 *ἄριστα ὑποκρινεῖται ἡ χεὶρ τὸ οἰκεῖον ἑκάστου δρᾶμα, μεμηνότα εἰ τύχοι ἢ ὀργιζόμενον ἢ ἔννουν ἢ χαίροντα ἢ ὁρμητὴν ἢ ἐρῶντα καὶ καθάπαξ τὸ ἁρμόδιον ἐφ' ἑκάστῳ γράψει. ἡδεῖα δὲ καὶ ἡ ἐν αὐτῷ ἀπάτη καὶ οὐδὲν ὄνειδος φέρουσα, τὸ γὰρ τοῖς οὐκ οὖσιν ὡς οὖσι προσεστάναι καὶ ἄγεσθαι* 15
ὑπ' αὐτῶν, ὡς εἶναι νομίζειν, ἀφ' οὗ βλάβος οὐδέν, πῶς οὐ ψυχαγωγῆσαι ἱκανὸν καὶ αἰτίας ἐκτός; δοκοῦσι δέ μοι παλαιοί τε καὶ σοφοὶ ἄνδρες πολλὰ ὑπὲρ ξυμμετρίας τῆς ἐν γραφικῇ γράψαι, οἷον νόμους τιθέντες τῆς ἑκάστου τῶν μελῶν ἀναλογίας ὡς οὐκ ἐνὸν τῆς κατ' ἔννοιαν κινήσεως ἐπιτυχεῖν ἄριστα μὴ ἔσω τοῦ ἐκ φύσεως μέτρου τῆς ἁρμονίας ἠκούσης, τὸ γὰρ ἔκφυλον καὶ ἔξω μέτρου 20
οὐκ ἀποδέχεσθαι φύσεως ὀρθῶς ἐχούσης κίνησιν. σκοποῦντι δὲ καὶ ξυγγένειάν τινα πρὸς ποιητικὴν ἔχειν ἡ τέχνη εὑρίσκεται καὶ κοινή τις ἀμφοῖν εἶναι φαντασία. θεῶν γὰρ παρουσίαν οἱ ποιηταὶ ἐς τὴν ἑαυτῶν σκηνὴν ἐσάγονται καὶ πάντα, ὅσα ὄγκου καὶ σεμνότητος καὶ ψυχαγωγίας ἔχεται, γραφικήν τε ὁμοίως, ἃ λέγειν οἱ ποιηταὶ ἔχουσι, ταῦτ' ἐν τῷ γράμματι σημαίνουσα. καὶ τί χρὴ 25
λέγειν περὶ τῶν ἀριζήλως εἰρημένων πολλοῖς ἢ πλείονα λέγοντα δοκεῖν ἐς ἐγκώμια καθίστασθαι τοῦ πράγματος; ἀρκεῖ γὰρ καὶ ταῦτα δεικνύναι τὸ σπουδαζόμενον ἡμῖν, ὡς οὐκ ἀποβεβλήσεταί ποι, ἢ κομιδῇ σμικρά, γράμμασι γὰρ προστυχὼν χειρὸς ἀστείας, ἐν οἷς ἀρχαῖαι πράξεις οὐκ ἀμούσως

Titulus in f: *Φιλοστράτου νεωτέρου εἰκόνων πρῶτον. προοίμιον.* 2. *προείληπταί τι.* o. *προείληπται.* ς. τι J uncis inclusit. 4. *ξυμβαίνῃ.* m, o. ib. *ἐπαινοῦντας.* Heyne Op. V. 164. *ἐπαινοῦντα.* ς. (f.) 5. *γραφικῶν.* ς. 6. *τοὐμῷ.* E. ib. *ὁμωνύμῳ καὶ.* ς. ib. *προηγμένῃ.* e. 7. *καὶ* ante *περὶ* om. m, o. 10. *διασκέφθαι.* e. ib. *εἶναι* om. m, o. ib. *σύμβολα.* ς. 13. *οἰκεῖον* om. ς. 18. *ἐπιχειρεῖν.* ς. 19. *φύσεως.* J. *φύσει.* C, E. 20. *ἐχούσῃ.* ς. 22. *εἰσάγονται.* m, o. 23. *γραφῇ.* ς. 25. om. *οὐκ.* o. 26. *ἢ κομιδῇ σμικρά.* C, E. *εἰ καὶ κ. σμ.* J conj.

ἔχουσαι ἦσαν, οὐκ ἠξίωσα σιωπῇ παρελθεῖν ταῦτα. ἀλλ' ἵν' ἡμῖν μὴ ἐφ' ἑνὸς τὸ γράμμα προίοι, ἔστω
863 τις ὑποκείμενος, πρὸς ὃν χρὴ τὰ καθ' ἕκαστα διαρθροῦν, ἵν' οὕτω καὶ ὁ λόγος τὸ ἁρμόττον ἔχοι.

ΑΧΙΛΛΕΥΣ ΕΝ ΣΚΥΡΩΙ.

α.' Ἡ κομῶσα τῇ σχοίνῳ ἡρωίνη, ὁρᾷς γάρ που τὴν ὑπὸ τῷ ὄρει στιφρὰν τὸ εἶδος καὶ 111
ἐσταλμένην κυανῷ, Σκῦρος, ὦ παῖ, νῆσος, ἣν ὁ θεῖος Σοφοκλῆς ἀνεμώδεα καλεῖ. ἔστι δ' αὐτῇ
καὶ πτόρθος ἐλαίας ἐν ταῖν χεροῖν καὶ ἀμπέλου κλῆμα, ὁ δ' ὑπὸ τοῖς πρόποσι τοῦ ὄρους πύργος,
παρθενεύονται ἐνταῦθα αἱ τοῦ Λυκομήδους κόραι ξὺν τῇ δοκούσῃ παρὰ Θέτιδος ἥκειν, τὸ γάρ
τοι Μοιρῶν ἐπὶ τῷ παιδὶ δόγμα τοῦ πατρὸς Νηρέως ἡ Θέτις μαθοῦσα καὶ ὡς ἐπ' ἄμφω πεπρω-
μένον αὐτῷ εἴη ἢ ζῆν ἀκλεῶς ἢ εὐκλεᾶ γενόμενον τάχιστα τελευτᾶν, ἀπόθετος αὐτῇ ὁ παῖς ξὺν
ταῖς Λυκομήδους θυγατράσιν ἐν Σκύρῳ κρύπτεται· κόρη μὲν εἶναι δοκῶν ταῖς ἄλλαις, μίαν δὲ
αὐτῶν τὴν πρεσβυτάτην ξὺν ἀπορρήτῳ γνοὺς ἔρωτι, καὶ προιών γε ἐς τόκου ὥραν ὁ χρόνος τὸν
Πύρρον ἐκδώσει. ἀλλ' οὐκ ἐνταῦθα ταῦτα. λειμὼν δὲ πρὸ τοῦ πύργου, ἐπιτήδειος γὰρ ὁ τόπος
τῆς νήσου κόραις ἀνθέων ἀφθονίαν δοῦναι καὶ ὁρᾷς γε, ὡς ἄλλη ἀλλαχόσε ἀποσκίδνανται τὰ ἄνθη
ἀποκείρουσαι. κάλλος μὲν οὖν ἀμήχανον ἁπασῶν, ἀλλ' αἱ μὲν ἀτεχνῶς ἐς θήλειαν ὥραν ἀποκλί-
νουσι βολαῖς τε ὀφθαλμῶν ἁπαλὰ ἐκβλεπούσαις καὶ παρειᾶς ἄνθει καὶ τῇ πρὸς ἕκαστα ὁρμῇ εὖ
μάλα τὸ θῆλυ ἐλέγχουσαι, ἡδὺ δὲ ἡ ἀναχαιτίζουσα τὴν κόμην καὶ βλοσυρὰ σὺν ἀβρότητι αὐτίκα
μάλα διελεγχθήσεται τὴν φύσιν καὶ τὸ ξὺν ἀνάγκῃ ἐπίπλαστον ἐκδῦσα τὸν Ἀχιλλέα ἐκδείξει· λόγου
γὰρ ἐς τοὺς Ἕλληνας ἐμπεσόντος τοῦ τῆς Θέτιδος ἀπορρήτου στέλλεται Διομήδης ξὺν Ὀδυσσεῖ ἐπὶ
τὴν Σκῦρον διελέγξοντες, ὅπῃ ταῦτα ἔχει. ὁρᾷς δὲ ἄμφω τὸν μὲν καὶ βεβυθισμένον τὴν τῶν 112
ὀφθαλμῶν ἀκτῖνα διὰ πανουργίαν, οἶμαι, καὶ τὸ διαθρεῖν τι ἀεί, ὁ δὲ τοῦ Τυδέως ἔμφρων μέν,
864 ἕτοιμος δὲ τὴν γνώμην καὶ τὸ δραστήριον προτείνων, κατόπιν δὲ αὐτῶν καὶ ὁ τῇ σάλπιγγι ση-
μαίνων τί δὴ βούλεται, καὶ τί τὸ ἦθος τῆς γραφῆς; σοφὸς ὢν Ὀδυσσεὺς καὶ ἱκανὸς τῶν ἀδήλων
θηρατὴς πρὸς τὸν τῶν θηρωμένων ἔλεγχον μηχανᾶται τὰ νῦν· ῥίψας γὰρ ἐς τὸν λειμῶνα ταλά-
ρους τε καὶ ὅσα παισὶ κόραις ἐς παιδιὰν εὐπρεπῆ, καὶ πανοπλίαν, αἱ μὲν οὖν Λυκομήδους ἐς τὸ
οἰκεῖον χωροῦσιν, ὁ δὲ τοῦ Πηλέως ταλάροις μὲν καὶ κερκίσι χαίρειν λέγει παραλιπὼν αὐτὰ ταῖς
κόραις ἤδη, ἐς δὲ τὴν πανοπλίαν ὁρμήσας γυμνοῦταί τε τὸ ἐντεῦθεν. —

[β.'] Ὁ δὲ Πύρρος οὐκ ἄγροικος ἔτι, οὐδ' ἐν αὐχμῷ σφριγῶν, οἷα βουκόλων νεανιεύματα,
ἀλλ' ἤδη στρατιώτης, ἔστη μὲν γὰρ ἀκοντίῳ ἐπερείσας ἑαυτὸν καὶ ἀποβλέπων ἐς τὴν ναῦν, ἐσθὴς
δὲ αὐτῷ φοινικὶς ἐξ ὤμου ἄκρου ἐς τὴν ἀριστερὰν ἀνειλημμένη χεῖρα καὶ λευκὸς ὑπὲρ γόνυ χιτών.
τὸ δὲ ὄμμα αὐτῷ γοργὸν μέν, οὐκ ἐν ὁρμῇ δέ, ἀλλ' ἐν ἀναβολαῖς ἔτι καὶ ἀνατυποῖ τι ἡ γνώμη
τῶν ἐν Ἰλίῳ μικρὸν ὕστερον. ἡ κόμη νῦν μὲν ἡσυχάζοντος ἐπικρέμαται τῷ μετώπῳ, ὁρμήσαντος
δὲ ἀτακτήσει συναπονεύουσα ταῖς τοῦ θυμοῦ κινήσεσιν. αἱ δὲ ἀνασκιρτῶσαι ἄνετον αἴγες καὶ τὰ

1. αὐτὰ. ς. ib. ἵνα μὴ. ς. ib. χροίοι. e. 2. ἔχοι. f. ἔχῃ. ς.
I, 3. ἴσ. στρυφνὰν. m. mg. est in v. στιφὰν. p. 3. καὶ ἀ. κλ. ἐν τ. χεροῖν. ς. ib. ὑπὸ τῆς. p. 4. γενόμενος. C, J. γινόμενον. E. 10. προιοῦσά γε. m, o. ib. χωρὸς. p. χορὸς. e. χόρη (sic). m. κόρη. o. χρόνος. J ex conj. habet f. 12. ἀνθέων corr. J. ib. ἄλλη. e, m. ib. τὰ ἔθνη. e. corr. in a Bern. 13. ἀποκείρουσαι. f, J. ἀποχωροῦσαι. p et adscr. V. D. exemplari Aldinae Gottingensi. ἀποχαίρουσαι. i2. ἀπο . . . ρουσαι. a, i1. ἀποδρέπουσαι. m, o. ib. ἀλλ' αἱ. J conj. ἀλλὰ. ς. 14. ἁπαλὰ. o (conj.), J. ἁπλᾶ. ς. ib. ἀνθεῖ. f, p, o. ἄνθῃ. J. ἄνθη. e. 15. ἡδὺ δὲ. J conj. ἥδιστ δὲ. ς. 16. διελυχθήσεται. p. ib. ἐκδεῖσα. p. 18. ὡς βιβυθισμένος conj. J. 19. διαρθρεῖν. e. 20. τὴν p ante corr. 22. θηρατὴρ. ς. ib. τὰ om. f. 25. τε. f, om. ς. ib. ἀνδρίζεσθαι. p, o. . . . . σθαι. e. omisi.
II.) 26. οὐδὲ ἐν. ς. ib. φριγῶν. p. 27. γὰρ om. ς. ib. εὐθὺς δ. α. φοινικ̣ες. f. p, e. correxit m et a Bern. 28. ἐξ ὤμου. f, m, o, J. ἐξ ᾶμου. p, e, correxit a Bern. ib. ἀνειλημμένην. e. 29. ἀνατυποῖ τι. f, J. τῷ ἀσχάλειν (ἀσχάλειν p.) τῇ τριβῇ τι. ς. 30. ἐπικρέμμαται. p. 31. ἀτακτήσειε. f. ἀτακτήσει. J conj. ἀτακτήσειεν. o et m. ubi mg. γρ. ἀντικινεῖται. αὐτὰ κτήσειεν. e.

111, 112. p. 863, 864. I, II.

ἀτακτοῦντα βουκόλια καὶ ἡ ἐν μέσοις ἐρριμμένη κορύνη σὺν καλαύροπι τοιοῦδε, ὦ παῖ, λόγου
113 ἔχεται· ἀχθόμενος τῇ μητρὶ καὶ τῷ πάππῳ τῆς ἐν τῇ νήσῳ ἕδρας, ἐπειδὴ ἐπ' Ἀχιλλεῖ τεθνεῶτι δείσαντες περὶ τῷ παιδὶ ἀπώμοτον ἐποιήσαντο τὴν τοῦ Πύρρου ἔξοδον, αἰπολίοις τε καὶ βουσὶν ἑαυτὸν ἐφίστησιν ἀπαυχενίζων τοὺς ἀτιμάζοντας τὴν ἀγέλην ταύρους, οἳ δὴ πρὸς τῷ ἐν δεξιᾷ ἐνδείκνυνται ὄρει. λογίου δὲ ἐς τοὺς Ἕλληνας ἐμπεσόντος, ὡς οὐκ ἄλλῳ τῳ ἁλωτὸς ἔσοιτο ἡ Τροία 5 865
πλὴν τοῖς Αἰακίδαις, στέλλεται ὁ Φοῖνιξ ἐς τὴν Σκῦρον ἀνάξων τὸν παῖδα, καὶ καθορμισάμενος ἐντυγχάνει οἱ οὐκ εἰδότι οὐκ εἰδὼς πλὴν ὅσα τὸ ἀβρόν τε καὶ ἁδρὸν τοῦ εἴδους ὑπεδείκνυ αὐτὸν Ἀχιλλέως εἶναι παῖδα. κἀντεῦθεν γνωρίσας, ὃς εἴη, ἔκπυστος γίγνεται τῷ τε Λυκομήδει καὶ τῇ Δηιδαμείᾳ. ταῦθ' ἡ τέχνη βραχεῖ τούτῳ γράμματι ἀναδιδάσκειν ἡμᾶς ἐθέλει, γέγραπται δὲ ὡς καὶ ποιηταῖς ᾠδὴν παρασχεῖν. 10

ΜΑΡΣΥΑΣ.

β'. Καθήρηται ὁ Φρύξ, βλέπει γοῦν ἀπολωλὸς ἤδη διὰ ξύνεσιν ὧν πείσεται, καὶ ὕστατα δὴ αὐλῆσαι πεπίστευκεν οὐκ ἐς καιρὸν ἐς τὸν τῆς Λητοῦς θρασυνάμενος, ἔρριπταί τε αὐτῷ ὁ αὐλὸς ἄτιμος μὴ αὐλεῖν ἔτι, ὡς καὶ νῦν ἀπάδων ἐλήλεγκται, καὶ παρέστηκε μὲν τῇ πίτυι, ἀφ' ἧς κρεμασθήσεσθαι οἶδε ταύτην ἑαυτοῦ καταδικασάμενος δίκην ἀσκὸς δεδάρθαι. ὑποβλέπει δὲ ἐς τὸν βάρβαρον τοῦτον τὴν ἀκμὴν τῆς μαχαίρας παρακονώμενον ἐς αὐτόν, ὁρᾷς γάρ που, ὡς αἱ μὲν χεῖρες 15
ἐς τὴν ἀκόνην αὐτῷ καὶ τὸν σίδηρον, ἀναβλέπει δὲ ἐς τὸν Μαρσύαν γλαυκιῶν τὼ ὀφθαλμὼ καὶ κόμην τινὰ διανιστὰς ἀγρίαν τε καὶ αὐχμῶσαν, τὸ δὲ ἐπὶ τῆς παρειᾶς ἔρευθος φονῶντος, οἶμαι,
114 καὶ ἡ ὀφρὺς δὲ ὑπέρκειται τοῦ ὄμματος ἐς αὐγὴν ξυνηγμένη καὶ διδοῦσά τι τῷ θυμῷ ἦθος, ἀλλὰ καὶ σέσηρεν ἄγριόν τι ὑπὸ τῶν μελλόντων αὐτῷ δρᾶσθαι καὶ οὐκ οἶδ', εἴτε χαίρων εἴτε καὶ ἀνοιδούσης ἐς τὴν σφαγὴν τῆς γνώμης. ὁ δὲ Ἀπόλλων γέγραπται διαναπαύων ἑαυτὸν ἐπὶ πέτρας τινός, ἡ 20
λύρα δὲ ἐν ἀριστερᾷ κειμένη ἔτι πλήττεται ὑπὸ τῆς χειρὸς τῆς λαιᾶς ἐμπιπτούσης ἠρεμαίως καὶ οἷον διαψαλλούσης. ὅρα δὲ καὶ ῥᾴθυμον τὸ τοῦ θεοῦ εἶδος καὶ μειδίαμα ἐπανθοῦν τῷ προσώπῳ, ἥ τε χεὶρ ἡ δεξιὰ ἐπίκειται τῷ κόλπῳ, πράως ξυνέχουσα τὸ πλῆκτρον, καταρρᾳθυμουμένη 866
ὑπὸ τοῦ ἐς τὴν νίκην χαίροντος. αὐτοῦ καὶ ὁ ποταμὸς τοῦ Μαρσύα τὴν ἐπωνυμίαν ἀμείψων. ὅρα μοι καὶ τὴν τῶν σατύρων ἀγέλην, οἷα θρηνοῦντες τὸν Μαρσύαν γεγράφαται, ὡς ἐπιφαίνοντες τὸ 25
ἀγέρωχον καὶ ἀνεσκιρτηκὸς ξὺν τῷ ἀνιᾶσθαι.

ΚΥΝΗΓΕΤΑΙ.

γ'. Τί δ' οὐκ ἂν εἴποις περὶ τούτων, οὓς ἄγει μὲν ἀπὸ θήρας ἡ γραφή, πηγὴν δ' αὐτοῖς ἀναδίδωσιν ἀκραιφνῆ ποτίμου τε καὶ διαυγοῦς νάματος; ὁρᾷς δέ που καὶ τὸ περὶ τὴν πηγὴν ἄλσος φύσεως ἔργον, οἶμαι, τῆς σοφῆς· ἱκανὴ γὰρ πάντα, ὅσα βούλεται, καὶ δεῖται τέχνης οὐδέν, ἥ γε καὶ τέχναις αὐταῖς ἀρχὴ καθέστηκε. τί γὰρ ἐνδεῖ πρὸς τὴν τῆς σκιᾶς παρασκευήν; αἰδὶ μὲν αἱ 30

1. ἐριμμένη. p. 3. ἀπομωτον. p. ἀπόμοτον. e. 4. δείκνυνται. f. 6. τέλλεται. e. ib. ἐς τὴν Σκύρον. f. ἐς Σκ. ς. ib. ἀνάξων ἐς Σκύρον. p. 7. ὑπεδείκνυ. f. ἀπεδείκνυ. ς. 8. Λυκομήδους. p, e. 9. ταῦτα ἡ τ. ς.
12. τῆς om. m, o. ib. θρασυνόμενος. ς. 13. ἀπανδῶν. ς. 14. ὑποβλέπει. f, J et conj. Salm. (ἀποβλέπει Gruter). ὑποκλέπτει. (m. mg. ὃ. ὑποκύπτει). E. 15. παρακονώμενον. conj. Böttiger Mus. Att. I, 357. J. παρακινώμενον. f, e. παρακινούμενον. m, o. 16. τὸ σίδηρον. l, m, o. 17. φωνῶντος. e. 18. ἐς ὀργὴν o ex conj. anonymi. ἐς αὐτὴν velit J. ib. συνηγμένη. ς. 19. ὑπὸ τῶν. f. ὑπὲρ τῶν. ς. 20. ἀπὸ πέτρας. e. 21. λαιαίων. e. 22. οἷον, νὴ Δί' ἀταλλούσης velit J. ib. ὁρᾷ. e. ib. τὸ om. m, o. ib. τῷ ἀσώπῳ. f, e, m. 24. Μαρσύα. f, J. Μαρσύου anonym. corr. in exempl. a Gotting. et o. Πορσίου. e, m. 26. σὺν. ς.
III. 27. αὐτῆς. e, m. corr. Huet. 28. ὅρα. ς. 29. ἦγε τέχναις. m, o. 30. αἱ om. f.

113, 114. p. 865, 866. III.

ἡμερίδες ἄγριαι ἀνερπύσασαι τῶν δένδρων ξυμβεβλήκασι τοὺς τῶν κλημάτων κορύμβους ἄλλον ἄλλῳ συνδέουσαι, σμίλαξ δὲ αὕτη καὶ κιττὸς ὁμοῦ τε καὶ καθ' ἓν διασχόντες πυκνόν τινα τοῦτον καὶ ἡδίω τέχνης ὄροφον ἡμῖν παρέχουσιν. ὁ δὲ τῶν ἀηδόνων χορὸς καὶ τὰ τῶν ἄλλων ὀρνέων μουσεῖα 115
σαφῶς ἡμῖν τὰ τοῦ μελιχροτάτου Σοφοκλέους ἐπὶ γλῶτταν ἄγει

πυκνόπτεροι δ'
εἴσω κατ' αὐτὸν εὐστομοῦσ' ἀηδόνες,

εἰπόντος. ἀλλ' ὅγε τῶν θηρευτῶν ὅμιλος ἡδεῖς μὲν καὶ στιφροὶ καὶ πνέοντες ἔτι τὸν ἐν τῇ θήρᾳ θυμόν, ἄλλος δὲ ἄλλο τι πράττοντες διαναπαύουσι σφᾶς αὐτούς. οἷον, ὦ θεοί, καὶ ὡς ἡδὺ τὸ σαφὲς τῆς τέχνης, καὶ ὡς ἔστιν ὁρᾶν τὴν ἑκάστου τύχην. στιβὰς μὲν αὐτοσχέδιος αὕτη δικτύων, οἶμαι, ξυγκειμένη δέχεται τοὺς ἄρχοντας, καλὸν εἰπεῖν, τῆς θήρας, καὶ πέντε μὲν οὗτοι, ὁρᾷς δὲ τὸν μεσαίτατον αὐτῶν, ὡς διεγείρας ἑαυτὸν ἔστραπται πρὸς τοὺς ὑπερκατακειμένους τὸν ἑαυτοῦ, 867
μοι δοκεῖν, ἆθλον ἀφηγούμενος καὶ τὸ καταβαλεῖν θάτερον τῶν θηρίων πρῶτος, ἃ δὴ τῶν ὀρυῶν ἐξήρτηται δικτύοις ἔλαφος, οἶμαι, καὶ σῦς ἐγκείμενα. ἦ γὰρ οὐκ ἐπῆρθαί σοι δοκεῖ καὶ χαίρειν τῷ ἔργῳ; οἱ δ' ἀτενὲς μὲν ὁρῶσιν ἐς αὐτὸν ἀφηγούμενον, ἄτερος δὲ σφῶν ἐναποκλίνας ἑαυτὸν τῇ στιβάδι διαναπαύει που καὶ αὐτὸς τάχα ἀναγράφων τι τῆς θήρας οἰκεῖον ἔργον. θάτερον δὲ τοῦ ξυσσιτίου κέρας ὁ μὲν πρὸς τῷ μεσαιτάτῳ κύλικος ἡμιδεοῦς ἐν θατέρᾳ ταῖν χεροῖν οὔσης τὴν δεξιὰν ὑπὲρ τῆς κεφαλῆς περιαγαγὼν τὴν Ἀγροτέραν ᾄδειν μοι δοκεῖ, ὁ δὲ ἐς τὸν διάκονον ὁρῶν σοβεῖν κελεύει τὴν κύλικα. σοφός τε ὁ ξωγράφος καὶ ἀκριβὴς τὴν χεῖρα. ἀνασκοποῦντι γὰρ πάντα παραλέλειπται οὐδὲ τῶν ὑπαύνων οὐδέν· ὅδε μὲν γὰρ τρύφος δένδρου κατειληφὼς κάθηται ἐν- 116
σκευασμένος, ὡς εἶχεν ἐν τῷ περὶ τὴν θήραν δρόμῳ, κἀκ πήρας ἐνημμένης αὐτῷ δειπνῶν, δυεῖν δὲ κυνῶν ὁ μὲν ἐκτείνας ἑαυτὸν πρὸ αὐτοῦ ἐσθίει, ὁ δὲ τοῖς ὀπισθίοις ἐνοκλάσας ἀνέχει τὴν δέρην ἐνδεχόμενος τὰ ἐς αὐτὸν ἀπορριπτούμενα, ὁ δὲ πῦρ ἀνάψας καὶ ἐνθεὶς τῶν σκευῶν, ὅσα πρὸς τοῦτο χρηστά, τὰ πρὸς τὴν δαῖτα ἄφθονα παρέχει σφίσι μάλα ἐπισπέρχων αὐτὸς ἑαυτόν, ἀσκός τε οὗτος εἰκῇ ἔρριπται ποτὸν ἀπαντλεῖν τῷ βουλομένῳ δυεῖν τε θεραπόντοιν ὁ μὲν δαιτρός, οἶμαι, μοίρας τέμνειν φησὶ τῆς ἰσαίας ἐπιμελούμενος ἐν τῷ ἀποτέμνειν, ὁ δ' ὑπέχει τὸ ὑποδεξόμενον τὰς μοίρας ἴσας που ἀπαιτῶν εἶναι. τὸ γὰρ ἐν θήρᾳ κατά γε τοῦτο διαλλάττον ἐς τύχην οὐδέν.

ΗΡΑΚΛΗΣ Η ΑΧΕΛΩΙΟΣ.

δ'. Ζητεῖς ἴσως, τίς ἡ κοινωνία δράκοντός τε, ὃς ἐνταῦθα πολὺς ἀνέστηκεν ἐγείρας τὸν πῆχυν κατὰ νῶτα δαφοινὸς καὶ γένεια καθιεὶς ὑπ' ὀρθῇ καὶ πριονωτῇ τῇ λοφιᾷ βλέπων τε 868
δεινῶς δεδορκὼς καὶ ἱκανὸν ἐς ἔκπληξιν ἀγαγεῖν, ταύρου τε, [ἵππου] ὃς ὑπὸ τοσαύτῃ κεραίᾳ γυ- 30
ρώσας τὸν αὐχένα καὶ διασκάπτων τὴν ἐν ποσὶ γῆν ὡς ἐς ἐμβολὴν ἴεται καὶ ἀνδρὸς τούτου ἡμίθηρος, βούπρῳρα μὲν γὰρ αὐτῷ πρόσωπα καὶ γενειὰς ἀμφιλαφὴς πηγαί τε ναμάτων ἐκπλημμυροῦσαι τοῦ γενείου, τό τε συνερρυηκὸς ὡς ἐς θέαν πλῆθος, καὶ ἡ ἐν μέσοις κόρη νύμφη τις, οἶμαι, τουτὶ γὰρ χρὴ νοεῖν τῷ ἀμφ' αὐτὴν κόσμῳ, καὶ γέρων οὗτος ἐν ἀθύμῳ τῷ εἴδει νεανίας τε

1. ἱμερίδες. e. ib. ἄλλων ἄλλο. m. ἄλλο ἄλλῳ. o. 2. μίλαξ. ς. ib. τινα τόπον. o, ignorans lectionem ὄροφον. Idem conj. Huet. 3. ὄροφον om. ς. 4. σοφῶς. ς. 5. πυκνότερον. f, e, m, J. πυκνόπτεροι. o. πυκνώτερον. Σ. v. ἱρός. 7. στριφνοὶ. f, e, m. στρυφνοὶ. corr. Huet. στιφροὶ. o, J. 8. ὡς om. m, o. 12. ἃ δὴ τὰ. f. 13. ἦ. J. ἢ. ς. 16. ὁ add. o, μὲν J, alibi desiderata. 18. σ. τε καὶ ζωγρ. ς. 19. ὁδί. J. ᾅδε. o. ἥδιον. f, e. ἴδιον. m, ubi mg. γρ. ἥδιον. ἴσ. ἰδοὺ. 20. κἀκ. J. καὶ. ς. ib. πείρας. e. ib. δυοῖν δὲ κυνοῖν. o. 21. ἐνοκλάσας. m, o. 22. ἅψας. ς. 23. ἑαυτὸς αὐτον. i2, m, o. 24. δυοῖν. ς. 26. ἀπαιτῶν εἶναι f et conj. S. unde habet J. ἀπαιτεῖν εἶναι e. ἀπαιτῶν οἶμαι. o ex anonymi corr. in mg. a.

IV. 27. αὐχένα. conj. J. 28. πριονώτῃ. J. 29. δεδορκὼς. J ex conj. Wyttenb. Ep. cr. 279. ib. ἱκανὸς. o. ib. ταύρου conj. Wakefield. γαύρου. ς. ib. ἵππου delendum. 30. βολὴν. ς. ib. ἴεται. J. 31. ἄσωπα. e. ib. ἐκπλημμυροῦσαι. i2, m, o. 32. συνερυηκός. i.

115, 116. p. 867, 868. IV.

ἐκδυόμενος λεοντῆς καὶ ῥόπαλον ἐν ταῖν χεροῖν ἔχων ἡρωίνη τέ τις αὖτη στιφρὰ καὶ πρὸς λόγου τῷ μύθῳ τῆς Ἀρκαδίας τροφῆς φηγῷ ἐστεμμένη Καλυδών, οἶμαι, ταῦτα. τίς δὲ ὁ τῆς γραφῆς λό-
117 γος; Ἀχελῷος ὁ ποταμός, ὦ παῖ, Δηιανείρας τῆς Οἰνέως ἐρῶν τὸν γάμον σπεύδει καὶ Πειθὼ μὲν ἄπεστι τῶν δρωμένων, ἄλλος δὲ ἄλλοτε δοκῶν ὑπὸ τοῖς ὁρωμένοις εἴδεσιν ἐκπλήξειν ἡγεῖται τὸν Οἰνέα. τοῦτον γὰρ εἶναι γίγνωσκε τὸν ἐν τῇ γραφῇ, κατηφῆ δὲ ἐπὶ τῇ παιδὶ Δηιανείρᾳ ἀθύμως τὸν μνηστῆρα ὁρώσῃ. γέγραπται γὰρ οὐκ αἰδοῖ τὴν παρειὰν ἐξανθοῦσα, ἀλλὰ περιδεὴς οἷα πείσεται τῷ παρὰ φύσιν τῆς συζυγίας. ἀλλ' ὁ μὲν γενναῖος Ἡρακλῆς ὁδοῦ πάρεργον φασὶν ἑκουσίως ὑφίσταται τὸν ἆθλον. καὶ τὰ μὲν ἐν ἀναβολαῖς ταῦτα, ἰδοὺ δὲ καὶ ὡς ξυνεστήκασιν ἤδη, 869
καὶ ὅσα μὲν ἐν ἀρχαῖς τῆς διαμάχης, θεοῦ τε καὶ ἀτρέπτου ἥρωος ὑπονοείσθω, τὸ δ' αὖ τέλος ὁ μὲν ἐς βούκερων ἀναμορφώσας ἑαυτὸν ὁ ποταμὸς ἐπὶ τὸν Ἡρακλέα ὥρμηκεν, ὁ δὲ τῇ λαιᾷ τοῦ
10 δεξιοῦ λαβόμενος κέρως θάτερον τῷ ῥοπάλῳ τῶν κροτάφων ἐκπρεμνίζει, κἀντεῦθεν ὁ μὲν αἵματος ἤδη μᾶλλον ἢ νάματος ἀφίησι κρουνοὺς ἀπαγορεύων, ὁ δὲ Ἡρακλῆς γανύμενος τῷ ἔργῳ ἐς τὴν Δηιάνειραν ὁρᾷ καὶ τὸ μὲν ῥόπαλον αὐτῷ ἐς γῆν ἔρριπται, προτείνει δὲ αὐτῇ τὸ τοῦ Ἀχελῴου κέρας οἷον ἕδνον τοῦ γάμου.

ΗΡΑΚΛΗΣ ΕΝ ΣΠΑΡΓΑΝΟΙΣ.

ε'. Ἀθύρεις, Ἡράκλεις, ἀθύρεις καὶ γελᾷς ἤδη τὸν ἆθλον ἐν σπαργάνοις ὢν καὶ ταῦτα, καὶ 15
τοὺς ἐξ Ἥρας δράκοντας ἑκάτερον ἑκατέρᾳ χειρὶ ἀπολαβὼν οὐδὲν ἐπιστρέφῃ τῆς μητρὸς ἔκφρονος παρεστώσης καὶ περιδεοῦς, ἀλλ' οἱ μὲν ἤδη παρεῖνται μηκύναντες ἐς γῆν τοὺς ὁλκοὺς καὶ τὰς κεφαλὰς ἐπικλίναντες ταῖς τοῦ νηπίου χερσὶν ὑποφαινούσας τι καὶ τῶν ὀδόντων· κάρχαροι δὲ οὗτοι
118 καὶ ἰώδεις λοφιαί τε αὐτοῖς ὑπὸ τοῦ θανάτου ἐς θάτερα ἐπικρεμεῖς καὶ τὰ ὄμματα οὐ δεδορκότα ἥ τε φολὶς οὐκ ἐξανθοῦσα χρυσῷ καὶ φοίνικι ἔτι, οὐδὲ πρὸς τὰς τῆς κινήσεως τροπὰς ὑπαυγάζουσα, 20
ἀλλ' ὕπωχρος καὶ ἐν τῷ δαφοινῷ πελιδνός. τὸ δὲ τῆς Ἀλκμήνης εἶδος ἀνασκοποῦντι ἀναφέρειν μὲν ἀπὸ τῆς πρώτης ἐκπλήξεως δοκεῖ, ἀπιστεῖ δὲ νῦν οἷς ἤδη ὁρᾷ, ἡ δ' ἔκπληξις αὐτὴν οὐδὲ λεχὼ κεῖσθαι ξυνεχώρησεν· ὁρᾷς γάρ που, ὡς ἄβλαυτος καὶ μονοχίτων ἀναπηδήσασα τῆς εὐνῆς ξὺν ἀτάκτῳ τῇ κόμῃ τὰς χεῖρας ἐκπετάσασα βοᾷ, θεράπαιναί τε, ὅσαι παρῆσαν τικτούσῃ, ἐκπλαγεῖσαι
ἄλλη ἄλλο τι προσδιαλέγονται τῇ πλησίον. οἱ δὲ ἐν ὅπλοις οὗτοι καὶ ὁ γυμνῷ τῷ ξίφει ἕτοιμος οἱ 25
μὲν Θηβαίων ἔκκριτοι βοηθοῦντες Ἀμφιτρύωνι, ὁ δ' ὑπὸ τὴν πρώτην ἀγγελίαν σπασάμενος τὸ ξίφος ἐς ἄμυναν ὁμοῦ ἐπέστη τοῖς δρωμένοις, καὶ οὐκ οἶδ', εἴτε ἐκπέπληγεν, εἴτε χαίρει λοιπόν· ἡ μὲν γὰρ χεὶρ ἔτ' ἐν τῷ ἑτοίμῳ, ἡ δὲ τῶν ὀφθαλμῶν ἔννοια χαλινὰ τῇ χειρὶ ἐφίστησιν, 870
οὐδὲ ἔχοντος, ὅ τι καὶ ἀμύναιτο, καὶ χρησμοῦ προμηθείας δεόμενα τὰ παρόντα ὁρῶντος. ταῦτά τοι καὶ ὠδὶ πλησίον ὁ Τειρεσίας θεσπίζων, οἶμαι, ὁπόσος ὁ νῦν ἐν σπαργάνοις ἔσται. γέγραπται 30
δὲ ἔνθεος καὶ μαντικὺν ἐπασθμαίνων. γέγραπται καὶ ἡ Νὺξ ἐν εἴδει, ἐν ᾗ ταῦτα, λαμπαδίῳ καταλάμπουσα ἑαυτήν, ὡς μὴ ἀμάρτυρος τοῦ παιδὸς ὁ ἆθλος γένηται.

1. στιφρὰ. f. J. στιφνὰ. e. στρύφνα. m, o. ib. πρὸς λόγου. f et o ex conj. Salm., J. πρὸ λόγου. e et m, ubi. πρὸς λόγον in mg. 2. Fo. Ἀρκάδων. ib. Καλυδὰ. e, m. 3. παῖ. ς. ib. Πειθὼ. J. πειθὼ. ς. 5. κατήφη δὲ. f. (sic.) κατηφῆ δὲ. EJ. κατηφῆ, κατηφεῖ δὲ conj. J. Malim δὲ tollere. 9. ὑπονοείσθω. f et conj. J. ὑπονοεῖσθαι. ς. 10. βούκερων. m, o. ib. ὥρμηκεν. conj. J. ὥρμησεν. ς. 11. κέρας. o. ib. ἐκπρυμνίζει. ς. 12. γανύμενος. J. γαννύμενος. ς. 13. δὲ om. e. 14. οἱ. ς.

V. 16. προλαβὼν. ς. 18. ὑποκλίναντες. ς. 19. ἐπικρεμμεῖς. f. 20. φωλὶς. e. ib. τὰς κινήσεως. ς. 21. ἀλλ' om.m, o. ὑπόχρος. e. ὑπόχρως. o. ib. καὶ τὸ. ς. 22. αὐτὸ τῆς. ς. 23. ἄβλαυτος conjecere T. Hemsterh. in Misc. Obs. V, 23. J in Exerc. p. 127. Piers. Verisim. 157. ἄκλαυτος. f. ἄκλαυστος. E. ib. μονοχιτὼν. f. ib. ἀναποδίσασα. ς. 24. τῇ om. ς. 26. Ἀμφιτρίονι. e. Ἀμφιτρίωνι. m.

ΟΡΦΕΥΣ.

ς'. Ὀρφέα τὸν τῆς Μούσης θέλξαι τῇ μουσικῇ καὶ τὰ μὴ μετέχοντα λόγου λογοποιοί φασι πάντες, λέγει δὲ καὶ ὁ ζωγράφος· λέων τε οὖν καὶ σῦς αὐτῷ πλησίον ἀκροαταὶ τοῦ Ὀρφέως καὶ ἔλαφος καὶ λαγωὸς οὐκ ἀποπηδῶντες τῆς ὁρμῆς τοῦ λέοντος καὶ ὅσοις ἐν θήρᾳ δεινὸς ὁ θήρ, ξυναγελάζονται αὐτῷ ῥᾳθύμῳ νῦν ῥᾳθυμοι. σὺ δὲ μηδὲ τοὺς ὄρνιθας ἀργῶς ἴδῃς, μὴ τοὺς μουσικοὺς μόνον, οἷς ἐνευστομεῖν τοῖς ἄλσεσιν ἔθος, ἀλλ' ὅρα μοι καὶ τὸν κραγέτην κολοιὸν καὶ τὴν λακέρυζαν αὐτὴν καὶ τὸν τοῦ Διὸς ἀετόν. ὁ μέν, ὁποῖος ἄμφω τὼ πτέρυγε ταλαντεύσας ἐξ ἑαυτοῦ ἀτενὲς ἐς τὸν Ὀρφέα βλέπει, οὐδ' ἐπιστρεφόμενος τοῦ πτωκὸς πλησίον ὄντος, οἱ δὲ ξυγκλείσαντες τὰς γένυς ὅλοι εἰσὶ τοῦ θέλγοντος, λύκοι τε οὗτοι καὶ ἄρνες ἀναμίξ, ᾗ τεθηπότες. νεανιεύεται δέ τι καὶ μεῖζον ὁ ζωγράφος· δένδρα γὰρ ἀνασπάσας τῶν ῥιζῶν ἀκροατὰς ἄγει ταῦτα τῷ Ὀρφεῖ καὶ περιίστησιν αὐτῷ. πεύκη τε οὖν καὶ κυπάριττος καὶ κλῆθρος καὶ αἴγειρος αὕτη καὶ ὅσα ἄλλα δένδρα ξυμβαλόντα τοὺς πτόρθους οἷον χεῖρας περὶ τὸν Ὀρφέα ἕστηκε καὶ τὸ θέατρον αὐτῷ ξυγκλείουσιν οὐ δεηθέντα τέχνης, ἵν' οἵ τε ὄρνιθες ἐπ' αὐτῶν καθέζοιντο καὶ ἐκεῖνος ὑπὸ σκιᾷ μουσουργοίη. ὁ δὲ κάθηται ἀρτίχνουν μὲν ἐκβάλλων ἴουλον ἐπιρρέοντα τῇ παρειᾷ, τιάραν δὲ χρυσαυγῆ ἐπὶ κεφαλῆς αἰωρῶν τό τε ὄμμα αὐτῷ ξὺν ἁβρότητι ἐνεργὸν καὶ ἔνθεον ἀεὶ τῆς γνώμης ἐς θεολογίαν τεινούσης. τάχα δέ τι καὶ νῦν ᾄδει καὶ ἡ ὀφρὺς οἷον ἀποσημαίνουσα τὸν νοῦν τῶν ᾀσμάτων ἐσθής τε αὐτῷ μετανθοῦσα πρὸς τὰς τῶν κινήσεων τροπάς, καὶ τοῖν ποδοῖν ὁ μὲν λαιὸς ἀπερείδων ἐς τὴν γῆν ἀνέχει τὴν κιθάραν ὑπὲρ μηροῦ κειμένην, ὁ δεξιὸς δὲ ἀναβάλλεται τὸν ῥυθμὸν ἐπικροτῶν τοὔδαφος τῷ πεδίλῳ, αἱ χεῖρες δὲ ἡ μὲν δεξιὰ ξυνέχουσα ἀπρὶξ τὸ πλῆκτρον ἐπιτέταται τοῖς φθόγγοις ἐκκειμένῳ τῷ ἀγκῶνι καὶ καρπῷ ἔσω νεύοντι, ἡ λαιὰ δὲ ὀρθοῖς πλήττει τοῖς δακτύλοις τοὺς μίτους. ἀλλ' ἔσται τις ἀλογία κατὰ σοῦ, ὦ Ὀρφεῦ, καὶ νῦν μὲν θηρία θέλγεις καὶ δένδρα, Θρᾴτταις δὲ γυναιξὶν ἐκμελὴς δόξεις καὶ διασπάσονται σῶμα, ᾧ καὶ τὰ θηρία φθεγγομένῳ εὐμενεῖς ἀκοὰς παρέσχεν.

ΜΗΔΕΙΑ ΕΝ ΚΟΛΧΟΙΣ.

ζ'. Τίς ἡ βλοσυρὸν μὲν ἐπισκύνιον ὑπὲρ ὀφθαλμῶν αἴρουσα, τὴν δὲ ὀφρὺν ἐννοίας μεστὴ καὶ ἱεροπρεπὴς τὴν κόμην τό τε ὄμμα οὐκ οἶδ' εἴτε ἐρωτικὸν ἤδη, εἴτε τι ἔνθεον ὑποφαίνουσα, αὐτήν τε ἄρρητον ἐκδεικνῦσα τοῦ προσώπου τὴν θέαν; τουτὶ δὴ τὸ τῶν Ἡλιάδων γνώρισμα· Μήδειαν, οἶμαι, χρὴ νοεῖν τὴν Αἰήτου. ἐνορμισάμενος γάρ τῷ Φάσιδι ὁ τοῦ Ἰάσονος στόλος, ὅτι τὸ χρυσοῦν μετῄει δέρας, καὶ ἐς τὴν τοῦ Αἰήτου παρελθὼν πόλιν ἐρᾷ ἡ κόρη τοῦ ξένου λογισμός τε ὕπεισιν αὐτὴν ἀήθης, καὶ ὅ τι μὲν πέπονθεν, οὐκ οἶδα, ἀτακτεῖ δὲ τὰς ἐννοίας καὶ τῇ ψυχῇ ἀλύει. ἔσταλται δὲ οὐκ ἐνεργὸς νῦν, οὐδὲ ἐν ξυνουσίᾳ τῶν κρειττόνων, ἀλλ' ὡς καὶ πολλοῖς ὁρᾶν. τὸ δὲ τοῦ Ἰάσονος εἶδος ἁβρὸν μέν, οὐ μὴν ἔξω τοῦ ἐρρῶσθαι ὄμμα τε αὐτῷ χαροπὸν μὲν ὑπόκειται τῷ τῆς ὀφρύος ἤθει φρονούσης τε καὶ παντὸς ὑπεραιρούσης τοῦ ἀντιξόου ἰούλῳ τε ἤδη βρύει καθέρποντι καὶ ἡ κόμη ξανθὴ ἐπισαλεύει τῷ μετώπῳ, τὰ δέ γε τῆς στολῆς λευκὸν χιτῶνα ἕζωσται λεοντῆν ἐξηρτημένος καὶ κρηπῖδα ἐνῆπται ἀκοντίῳ τε ἐπερείσας ἑαυτὸν ἕστηκε τό τε ἦθος

VI. 3. ἀποπηδῶν. ς. 5. τὴν κρ. o. 7. οὐδὲν conj. J. 8. ὃ ... εἰσὶ sic cum lac. f. ὅλοι εἰσὶ conj. m. J. ὃ εἰσι. e. ὃ ἐστι. o. ib. ᾗ τεθ. f, e, m. καὶ o ex anonym. ald. ᾗ conj. J. 11. θ. αὐτῷ. f. θ. οὖν αὐτῷ. ς. ib. συγκλ. ς. 14. ξυνὸν. f, e, m. ξυνιὸν. o. ξύννουν conj. Salm. ξὺν corr. J. ib. εἰς θ. f. ἦρται ante ἡ ὀφρὺς excidisse suspicatur J. 15. τὸν ᾀσμάτων. f, e. ᾀσμάτων. m, o, J. Sc. τῶν ᾀσμάτων. ib. εὐθὴς. f. ἐσθὴς. Wyttenb. conj. Ep. cr. 279, J. εὐθύς. E. ἐκκειμένῳ conj. J. ἐγκειμένῳ. C, E. 21. ἐμμελὴς. e. ib. καὶ θηρία. f. καὶ τὰ θηρία. ς.

VII. 23. ὀφρῦν. o. 25. ἄρρητον. Wyttenb. conj. l. c. ἄρρηκτον. ς. 33. λεοντῆν. e et m, ubi mg. ἴσ. παρδαλῆς ἢ λεοντῆς ἐξηρτημένης. ib. ἐξερτημένης. f, e, m. ἐξηρτημένος. o ex corr. V. D. in a, J.

119, 120, 121. p. 871, 872. VI, VII.

τοῦ προσώπου οἷον μήτε ὑπερφρονεῖν, αἰδεῖται γάρ, μήτε ὑποκεῖσθαι, θαρρεῖ γὰρ τὸν ἆθλον. Ἔρως δὲ ἑαυτοῦ ποιεῖται ταῦτα καὶ τῷ τόξῳ ἐπερείσας ἑαυτὸν ἐναλλὰξ τῷ πόδε ἵστησι τὸ λαμπάδιον ἐς τὴν γῆν τρέψας, ἐπειδὴ ἐν ἀναβολαῖς ἔτι τὰ τοῦ ἔρωτος.

ΑΘΥΡΟΝΤΕΣ.

η΄. Οἱ ἐν Διὸς αὐλῇ ἀθύροντες Ἔρως, οἶμαι, καὶ Γανυμήδης, εἴ τι χρὴ τὸν μὲν τῇ τιάρᾳ νοεῖν, τὸν δ' ἀπὸ τοῦ τόξου καὶ τῶν πτερῶν ἐς ἐπίγνωσιν ἄγειν. ἀθύρουσι μὲν οὖν ἀστραγάλοις οὗτοι, γεγράφαται δὲ ὁ μὲν ὑβριστικῶς ἐπιτωθάζων ὁ Ἔρως καὶ πλήρη τῆς νίκης τὸν κόλπον ἀνασείων, ὁ δὲ δυεῖν ἀστραγάλοιν ἔτι τὸν μὲν καὶ αὐτὸν ἀπολωλεκώς, τὸν δ' ἐφ' ὁμοίᾳ προπέμπων ἐλπίδι. κατηφὴς δὲ αὐτῷ ἡ παρειὰ καὶ ἡ τοῦ ὄμματος ἀκτὶς καίτοι ἀβροῦ ὄντος βεβυθισμένου τὸ τῆς ἀνίας ἐπισημαίνει. θεαί τε τρεῖς αὗται ἐφεστῶσαί σφισιν αἱ μὲν οὐδ' ἐφερμηνεύοντος δέονται, Ἀθηνᾶ τε γὰρ αὐτόθεν ἰδόντι δήλη τὴν ὁμόγνιον ποιηταί φασι πανοπλίαν ἀμπεχομένη καὶ γλαυκὸν ὑπὸ τῆς κόρυθος ὁρῶσα ξὺν ἀρρενωπῷ τε τῷ ἤθει τὴν παρειὰν ἐπιφοινίττουσα, ἡδὶ δὲ αὖ τὸ φιλομειδὲς ὑπὸ τῇ τοῦ κεστοῦ ἴυγγι κἀν τῷ γράμματι σημαίνει, Ἥραν δέ γε τὴν τρίτην εἶναι τὸ σεμνὸν καὶ βασιλικὸν τοῦ εἴδους φησί. τί δὴ βούλονται καὶ τίς ἡ τῆς ξυνουσίας αὐταῖς ἀνάγκη; ἄγουσα τοὺς πεντήκοντα ἡ Ἀργὼ ἐνώρμισται τῷ Φάσιδι· Βόσπορόν τε καὶ Ξυμπληγάδας διεξελ-
122 θοῦσα. ὁρᾷς δὲ καὶ τὸν ποταμὸν αὐτὸν ἐν βαθεῖ δόνακι κείμενον, ἐν βλοσυρῷ τῷ εἴδει, κόμη τε γὰρ ἀμφιλαφὴς αὐτῷ καὶ ἀνεστηκυῖα γενειάς τε ὑποφρίττουσα καὶ γλαυκιῶντες ὀφθαλμοί, τό τε ἀθρόον τοῦ ῥεύματος οὐκ ἀπὸ κάλπιδος ἐκχεόμενον, ἥπερ οὖν εἴωθεν, ἀλλ' ἀπὸ παντὸς ἐκπλημμύρον ἐννοεῖν δίδωσιν ἡμῖν, ὁπόσος ἐπιχεῖται τῷ Πόντῳ. τὸν δὲ τῆς ναυτιλίας ἆθλον ἀκούεις, οἶμαι, καὶ ποιητῶν τὸ χρυσοῦν δέρας λεγόντων πασιμέλουσάν τε τὴν Ἀργὼ καὶ Ὁμήρου ᾠδαὶ φράζουσιν. ἀλλ' οἱ μὲν τῆς Ἀργοῦς ναυβάται ἐν ἐπισκέψει τῶν κατειληφότων, αἱ θεαὶ δὲ ἐς ἱκεσίαν τοῦ Ἔρωτος ἥκουσιν αἰτοῦσαι ξυλλαβεῖν σφισιν ἐπὶ σωτηρίᾳ τῶν πλωτήρων τὴν Αἰήτου Μήδειαν μετελθόντα, μισθὸν δέ οἱ τῆς ὑπουργίας ἡ μήτηρ σφαῖραν προδείκνυσι Διὸς αὐτὴν ἄθυρμα γεγονέναι λέγουσα. ὁρᾷς καὶ τὴν τέχνην ἐν τῇ γραφῇ; χρυσοῦ μὲν αὕτη, ῥαφὴ δὲ αὐτῇ οἷα νοεῖσθαι μᾶλλον ἢ ὁρᾶσθαι, ἕλικάς τε κυανοῦ ἐφ' ἑαυτῆς ἑλίττουσα καὶ ἀναρριφεῖσα τάχα που τὸ ἀποχωροῦν σέλας μαρμαρυγαῖς ἀστέρων εἰκάζειν αὐτῇ δώσει. ὁ δὲ τοὺς μὲν ἀστραγάλους οὐδὲ ὁρᾷ ἔτι, ῥίψας δὲ αὐτοὺς χαμᾶζε ἐξήρτηται τοῦ τῆς μητρὸς πέπλου ἐπαληθεῦσαι τὴν ὑπόσχεσιν αὐτῷ, οὐ γὰρ ἐλλείψειν τὸν ἆθλον.

ΠΕΛΟΨ.

θ΄. Ὁ μὲν ὑπὲρ τετρώρων δι' ἠπείρου μέσης ἱππεύσειν μέλλων ὑπ' ὀρθῇ τιάρᾳ καὶ Λυδίᾳ στολῇ, Πέλοψ, οἶμαι, θρασὺς ἡνίοχος καλὸν εἰπεῖν. ἴθυνε γάρ ποτε καὶ διὰ θαλάσσης τουτὶ 874
23 τὸ ἅρμα, Ποσειδῶνος, οἶμαι, δόντος ἄκρᾳ τῇ τοῦ τροχοῦ ἀψῖδι, ὑπ' ἀδιάντῳ ἄξονι τὰ τῆς γαλή-
νης διαθέων νῶτα. ὄμμα δ' αὐτῷ γοργὸν καὶ αὐχὴν ἀνεστηκὼς τὸ τῆς γνώμης ἕτοιμον ἐλέγχει ἥ τε ὀφρὺς ὑπεραίρουσα δηλοῖ καταφρονεῖσθαι τὸν Οἰνόμαον ὑπὸ τοῦ μειρακίου. φρονεῖ γὰρ τοῖς

1. ἀσώπου. e. 3. ἔτι. f et conj. Ham. L. Phil. p. 10. J. ἤδη. ς.
VIII. 4. ἐν Διὸς αὐλῇ. f. ἐν τῇ Δ. ἀ. ς. 5. οὗσι. e, non f. 6. ὑαριστικῶς. e. ἴσ. φλυαριστικῶς. m. mg. 7. δυοῖν. ς. 8. ἡ om. f. 9. ἐφεστῶσι. C, E. Sc. ἐφεστῶσαι. ib. αἱ μὲν. f. αἳ μὲν. E. Fo: οἶμαι. 10. ὁμόγνιον. e, m. corr. Huet. 11. ἀρρενοπῷ. m, o. ib. ἤδιον δὲ. f. 14. διελθοῦσα. ς. 20. ᾠδὴν. e, m. ib. ναυβάται conj. J. ναυάται. ς. 21. σωτηρίαν. e, m, o. ib. τὴν om. ς. 23. χρυσοῦν. i, m. 24. ἑλίττουσαν. f, e, m. 25. εἰκάζειν ἀστέρων. ς. ib. αὐτὴν sive αὐγῇ velit J. 26. χαμάζε. o.
IX. 28. τέτρωρον. m, o. 30. ἐπ' ἀδιάντῳ. ς.

122, 123. p. 873, 874. VIII, IX.

ἵπποις, ἐπειδὴ ὑψαύχενές τε καὶ πολλοὶ τὸν μυκτῆρα καὶ κοῖλοι τὴν ὀπλὴν καὶ τὸ ὄμμα κυάνεοί τε καὶ ἕτοιμοι χαίτην τε ἀμφιλαφῆ κυανῶν ἀπαιωροῦντες αὐχένων, ὃς δὴ θαλασσίων τρόπος. πλησίον δὲ αὐτῶν Ἱπποδάμεια τὴν μὲν παρειὰν αἰδοῖ γράφουσα, νύμφης δὲ στολὴν ἀμπεχομένη βλέπουσά τε ὀφθαλμοῖς οἷοις αἱρεῖσθαι τὸ τοῦ ξένου μᾶλλον. ἐρᾷ τε γὰρ καὶ τὸν γεννήτορα μυσάττεται τοιούτοις ἀκροθινίοις φρονοῦντα, ἃ δὴ καὶ ὁρᾷς, κεφαλὰς ταύτας τῶν προπυλαίων ἀνημμένη ἑκάστη, καὶ σχῆμα δέδωκεν ὁ χρόνος ἴδιον, ὃν ἕκαστος ἀπώλετο σφῶν. τοὺς γὰρ δὴ μνηστῆρας τῆς θυγατρὸς ἥκοντας κτείνων ἀγάλλεται τοῖς γνωρίσμασι τοῦ φόνου. εἴδωλα δὲ ὑπεριπτάμενα σφῶν ὀλοφύρεται τὸν ἑαυτῶν ἀγῶνα τῇ τοῦ γάμου ξυμβάσει ἐφυμνοῦντα, ξυμβῆναι γὰρ δὴ ὁ Πέλοψ, ὡς ἐλευθέρα λοιπὸν ἡ παῖς εἴη τοῦ ἀλάστορος. καὶ ὁ Μυρτίλος δὲ ξυνίστωρ τῆς ξυμβάσεως αὐτοῖν ἐστιν. ὁ δ' οὐκ ἄποθεν ὁ Οἰνόμαος, ἀλλ' ἕτοιμον αὐτῷ τὸ ἅρμα καὶ τὸ δόρυ ὑπερτέταται τοῦ δίφρου καταλαβόντι τὸ μειράκιον κτεῖναι, ὁ δὲ τῷ πατρὶ θύων Ἄρει σπεύδει ἄγριος ἰδεῖν καὶ φονῶν τὸ ὄμμα καὶ τὸν Μυρτίλον ἐπισπέρχει. Ἔρως δὲ κατηφὴς τὸν ἄξονα τοῦ ἅρματος ἐντέμνει ἑκάτερον διδοὺς ἐννοεῖν, ὅτι τε ἐρῶσα ἡ κόρη τοῦ ἐρῶντος ἐπὶ τὸν πατέρα ξυμβαίνει καὶ τὰ μέλλοντα περὶ τὴν Πέλοπος οἰκίαν ἐκ Μοιρῶν γίγνεσθαι.

ΠΥΡΡΟΣ Η ΜΥΣΟΙ.

ι'. Τὰ Εὐρυπύλου καὶ Νεοπτολέμου ποιητῶν ὑμνεῖ χορὸς πατρῴζειν τε αὐτοὺς ἅμφω καὶ τὴν χεῖρα εὐδοκίμους κατ' ἰσχὺν εἶναι, φησὶ δὲ καὶ ἡ γραφὴ ταῦτα· ἡ τύχη γὰρ τὴν ἐξ ἁπάσης γῆς ἀρετὴν ἐς μίαν πόλιν συνενεγκοῦσα οἱ μὲν οὐκ ἀκλεεῖς οἴχονται, ἀλλ' οἷοι πρὸς πολλοὺς

δυστήνων δέ τε παῖδες, εἰπεῖν οἳ ἐμῷ μένει ἀντιόωσιν,

οἱ δὲ γενναῖοι γενναίων κρατοῦσι. τὰ μὲν δὴ περὶ τῶν ἐν τῷ νικᾶν ἕτερα, νυνὶ δὲ περὶ τοὺς ξυνεστῶτας ἡ θέα. πόλις μὲν αὕτη Ἴλιος ὀφρυόεσσα, καθ' Ὅμηρον, περιθεῖ δὲ αὐτὴν τεῖχος οἷον καὶ θεοὺς μὴ ἀπαξιῶσαι τῆς ἑαυτῶν χειρός, ναύσταθμόν τε ἐπὶ θάτερα, καὶ στενὸς Ἑλλησπόντου διάρρους Ἀσίαν Εὐρώπης διείργων. τοὺν μέσῳ δὲ πεδίον ποταμῷ διαιρεῖται Ξάνθῳ, γέγραπται δὲ οὐ μορμύρων ἀφρῷ, οὐδ' οἷος ἐπὶ τὸν τοῦ Πηλέως ἐπλήμμυρεν, ἀλλ' εὐνὴ μὲν αὐτῷ λωτὸς καὶ θρύον καὶ ἁπαλοῦ δόνακος κόμαι, κατάκειται δὲ μᾶλλον ἢ ἀνέστηκε καὶ τὸν πόδα ἐπέχει ταῖς πηγαῖς ὑπὲρ ξυμμετρίας νῦν, δινγραίνων αὐτὸν νάματος. [τὸ ῥεῦμα μέτρον] στρατιά τε ἑκατέρωθεν Μυσῶν τε ξὺν Τρωσὶ καὶ Ἑλλήνων ἐκ θατέρου οἱ μὲν κεκμηκότες ἤδη οἱ Τρῶες, οἱ δὲ ἀκμῆτες οἱ ξὺν Εὐρυπύλῳ. ὁρᾷς δὲ αὐτῶν, ὡς οἱ μὲν ἐν τοῖς ὅπλοις κάθηνται τάχα που τοῦτο Εὐρυπύλου αἰτήσαντος, καὶ χαίρουσι τῇ ἀνακωχῇ, οἱ δὲ ἔκθυμοί τε καὶ ἐξορμῶντες οἱ Μυσοὶ ἴενται τό τε τῶν Ἑλλήνων ἐν ὁμοίᾳ καταστάσει τοῖς Τρωσὶν ὄντων πλὴν Μυρμιδόνων, ἐνεργοὶ γὰρ καὶ περὶ τὸν Πύρρον ἕτοιμοι. τῷ νεανίᾳ δὲ κάλλους μὲν ἕνεκεν ἐφερμηνεύοι ἂν οὐδέν, ἐπειδὴ ἐν ὅπλοις τανῦν, μεγάλοι γε μὴν καὶ ὑπὲρ τοὺς ἄλλους ἡλικία τε ἀμφοῖν ἴση τάς τε τῶν ὀφθαλμῶν βολὰς ἐνεργοὶ καὶ οὐ μέλλοντες. γοργὸν γὰρ τὸ ὄμμα ὑπὸ τῆς κόρυθος ἑκάστῳ καὶ συναπονεύοντες ταῖς τῶν λόφων κινήσεσι καὶ ὁ θυμὸς ἐπιπρέπει σφίσι σιγῇ τε μενέα πνείουσιν ἐοίκασι, καὶ τὰ ὅπλα δὲ ἀμφοῖν πατρῷα, ἀλλ' ὁ μὲν Εὐρύπυλος ἀσήμοις ἔσταλται καὶ παραλλάττουσι τὴν αὐγὴν

1. ὁπλὴν τὸ. m, o. 3. νύμφης τε. i. 4. ἐρᾶ τε γὰρ. f. ἐρᾶται γὰρ. ς. 5. Fo: ἀνημμένην ἑκάστην. 8. διοφύρεται bis legitur in f. 9. Μυρτίλος. E, ut infra. 13. τοῦ ἔρωτος. f, e, m. τῷ ἐρῶντι. o ex conj. anonymi. τοῦ ἐρῶντος corr. J. 14. γίγνεσθαι. f et conj. J. γίνεται. ς.

X. 18. οἳ om. o. 19. περὶ τῶν ἐν τῷ νικᾶν. f. περὶ τῶν ἱκανῶν. ς. περιττῶν ἐν τῷ νικᾶν conj. J. 20. τριτόν. e. τείχος corr. a Bern. 23. μορμῦρον. e. 25. αὐτά. e. αὐτὸν et mg. γρ. αὐτά. ἴσ. αὐτάς. m. ib. μέτρον. f, r, e. Inclusi τὸ ῥεῦμα μετρον. 26. ξυνόν. C, E. ξὺν. J corr. ib. ἑκατέρου. C, E. ἐκ θατέρου. J corr. 28. ἴενται. J. 29. ὄντων om. o. 30. τῷ νεανίᾳ. e, m. ib. ἐφερμηνεύοιτ'. C, E. Sc. ἐφερμηνεύοι. 33. ἐπιτρέπει. e, m. 34. δὲ αὐτῶν. ς.

124, 125. p. 875, 876. X.

ὅπη τε καὶ ὅπως κινοῖτο, ὡς ἡ Ἶρις, τῷ Πύρρῳ δὲ τὰ ἐξ Ἡφαίστου πάρεστιν ἐκστάς ποτ' αὐτῶν Ὀδυσσεὺς καὶ ἀπευξάμενος τὴν ἑαυτοῦ νίκην. θεωρῶν δέ τις τὰ ὅπλα λεῖπον εὑρήσει τῶν Ὁμήρου ἐκτυπωμάτων οὐδέν, ἀλλ' ἀκριβῶς ἡ τέχνη δείκνυσι τἀκεῖθεν πάντα. τὸ μὲν γὰρ γῆς τε καὶ θαλάττης καὶ οὐρανοῦ σχῆμα οὐδὲ φράζοντος, οἶμαι, δεήσει τινός, ἡ μὲν γὰρ αὐτόθεν ἰδόντι δήλη τὴν ἑαυτῆς χρόαν ὑπὸ τοῦ δημιουργοῦ λαβοῦσα, τὴν δ' αἱ πόλεις καὶ τὰ ἐν αὐτῇ γῆν γράφουσι καὶ μικρόν γε ὕστερον πεύσῃ περὶ ἑκάστων, οὐρανὸς δὲ ὅδε. ὁρᾷς που τόν τε τοῦ ἡλίου κύκλον, ὡς ἀκάμας ἐν αὐτῷ καὶ τὸ τῆς πανσελήνου φαιδρόν. ἀλλά μοι δοκεῖς περὶ τῶν καθ' ἕκαστον ἄστρων ποθεῖν ἀκοῦσαι· τὸ γὰρ διαλλάττον αὐτῶν τὴν αἰτίαν σοι παρέχει τῆς πεύσεως· αἱδὶ μέν σοι Πληιάδες σπόρου τε καὶ ἀμητοῦ ξύμβολα δυόμεναι ἢ αὖ πάλιν ἐκφανῶς ἔχουσαι, ὡς ἂν καὶ τὰ τῆς ὥρας αὐτὰς ἄγῃ, Ὑάδες δ' ἐπὶ θάτερα. ὁρᾷς καὶ τὸν Ὠρίωνα, τὸν δὲ ἐπ' αὐτῷ μῦθον καὶ τὴν ἐν ἄστροις αἰτίαν ἐς ἕτερον ἀναβαλώμεθα, ὦ παῖ, καιρόν, ὡς ἂν μὴ ἀπάγοιμέν σε τῶν νῦν ἐν πόθῳ. οἱ δ' ἐπ' αὐτῷ ἀστέρες ἄρκτος ἢ εἰ ἅμαξαν καλεῖν βούλοιο. φασὶ δὲ αὐτὴν καὶ μόνην οὐ
126 λούεσθαι ἐν Ὠκεανῷ, ἀλλ' αὐτὴν περὶ αὑτὴν στρέφεσθαι οἷον φύλακα τοῦ Ὠρίωνος. ἴωμεν δὴ λοιπὸν διὰ γῆς ἀφέμενοι τῶν ἄνω, καὶ τῶν γε ἐν γῇ κάλλιστον θεώμεθα τὰς πόλεις. ὁρᾷς μὲν δή, ὡς διτταί τινες αὗται· ποτέραν οὖν προτέραν ἀφερμηνευθῆναι σοι βούλει; ἢ τὸ τῶν λαμπάδων φῶς καὶ τὸ τοῦ ὑμεναίου μέλος καὶ ὁ τῶν αὐλῶν ἦχος καὶ ἡ τῆς κιθάρας κροῦσις καὶ ὁ τῶν 877
ὀρχουμένων ῥυθμὸς ἐς αὐτά σε ἄγει; ὁρᾷς δὲ καὶ τὰ γύναια τῶν προθύρων ὡς διαφαίνονται θαυμάζοντα καὶ μόνον οὐκ ἐκβοῶντα ὑπὸ χαρμονῆς. γάμοι ταῦτα, ὦ παῖ, καὶ πρώτη ξύνοδος νυμφίων καὶ ἄγονται τὰς νύμφας οἱ γαμβροί. τὸ δὲ τῆς αἰδοῦς καὶ τοῦ ἱμέρου, ὡς ἐπιπρέπει ἑκάστῳ, παρίημι λέγειν, σοφώτερον αὐτὰ τοῦ δημιουργοῦ αἰνιξαμένου. ἀλλ' ἰδοὺ καὶ δικαστήριόν τι καὶ ξυνέδρα κοινὴ καὶ γέροντες σεμνοὶ σεμνῶς προκαθήμενοι τοῦ ὁμίλου. τὸ δὲ ἐν μέσῳ χρυσίον τάλαντα μὲν δύο ταῦτ' οὐκ οἶδ' ἐφ' ὅτῳ· ἦ, νὴ Δί', εἰκάσαι χρή, ὡς μισθὸς τῷ ὀρθῶς ἐκδικάσοντι, ὡς ἂν μὴ πρὸς δῶρά τις παρὰ τὴν εὐθεῖαν φέροι. τίς δ' ἡ δίκη; διττοὶ μὲν ἐν μέσῳ τινὲς οὗτοι, δοκεῖν ἐμοί, φονικὸν ἔγκλημα ὁ μὲν ἐπάγων θατέρῳ, τὸν δ' ὁρᾷς, ὡς ἔξαρνός ἐστιν. οὐ γὰρ αἰτίαν ἔχειν ὧνπερ αὐτῷ προφέρει ὁ κατήγορος, καταθεὶς δὲ τὰ ὑποφόνια καθαρὸς ἥκειν. ὁρᾷς καὶ τοὺς ἐπιβοηθοῦντας ἑκατέρῳ διχῇ καὶ νέμοντας τὴν βοήν, ὅτῳ φίλον· ἀλλ' ἥ γε τῶν κηρύκων παρουσία καθίστησιν αὐτοὺς καὶ ἐς τὸ ἡσυχαῖον ἄγει. ταυτὶ μὲν οὖν σοι μέση τις πολέμου καὶ εἰρήνης ἐν οὐ πολεμουμένῃ πόλει κατάστασις. ἑτέραν δὲ ὁρᾷς, ὡς τειχήρης, καὶ τό γε τεῖχος ὡς οἱ δι' ἡλικίαν ἀπόμαχοι φρουροῦσι διαλαβόντες, γύναιά τε γάρ ἐστιν οὗ τῶν ἐπάλξεων καὶ
127 γέροντες οὗτοι καὶ κομιδῇ παιδία. ποῖ δὴ τὸ μάχιμον αὐτοῖς; ἐνταῦθα εὕροις ἂν τούτους, οἳ δὴ Ἄρει τε καὶ Ἀθηνᾷ ἕπονται. τουτὶ γάρ, μοι δοκεῖν, ἡ τέχνη φησὶ τοὺς μὲν χρυσῷ τε καὶ μεγέθει δηλώσασα θεοὺς εἶναι, τοῖς δὲ τὸ ὑποδεέστερον δι' αὐτῆς δοῦσα. ἐξίασι δὲ τὴν τῶν ἐναντίων οὐ δεξάμενοι πρόκλησιν· νέμεσθαι γὰρ τὸν ἐν τῇ πόλει πλοῦτον ἢ μὴ νεμομένου ἐν τοῖς ὅπλοις εἶναι. λόχον δὴ διατάττουσιν ἐντεῦθεν. τουτὶ γάρ, μοι δοκεῖν, ἡ πρὸς ταῖς ὄχθαις αἰνίττεται λόχμη, οὗ 878
δὴ καθωπλισμένους αὐτοὺς ὁρᾷς. ἀλλ' οὐκ ἂν ἐγγένοιτ' αὐτοῖς χρήσασθαι τῷ λόχῳ· ὁ γάρ τοι ἔπηλυς στρατὸς σκοπούς τινας καθίσας λείαν ἐλάσασθαι περινοεῖ, καὶ δὴ οἱ μὲν ἄγουσι νομεῖς τὰ θρέμματα ὑπὸ συρίγγων. ἢ οὐ προσβάλλει σε τὸ λιτὸν καὶ αὐτοφυὲς τῆς μούσης καὶ ἀτεχνῶς ὄρειον;

1. κινοῖτο ἡ Ἶρις. e, m. x. ὡς ἡ Ἶρις. o. x. οἷα Ἶρ. conj. J. 5. γῆν malim abesse. 7. τὸ πανσ. ς. 10. αὐτοῖς. e, m. αὐταῖς. o ex conj. m. ἄστροις velit J. Sc. αὐτὰς ἄγῃ. 11. Fo: ἐν ἄστροις δίαιταν. ib. ἀναβαλλώμεθα. e, m. 13. οὐ δύεσθαι. f. ib. περὶ αὐτὴν. f, J. αὐτὴν περὶ μὲν τὴν. e et m, (ubi ἴσ. αὐτοῦ περιμένουσαν.) αὐτοῦ. o. 15. ἀφερμηνεύεσθαι. ς. 17. ἐς αὐτά. e, et m, ubi mg. ἴσ. ἐς αὐτάς. 21. προσκαθήμενοι e et m ubi mg. ἴσ. προκαθ. 22. δῦτο ταῦτ. e. 23. τὴν. ς. Sc. παρὰ τὴν. 24. τόδ'. o. 25. κατὰ ἔχει νῶν ὅπερ. f, unde J conj. κατέχειν ὥνπερ. ἔχει νῶν, ὅπερ. o. ἔχει νῦν, ὅπερ. m, o. Sc. αἰτίαν ἔχειν ὥνπερ. ib. προσφέρει. E. 26. ἑκατέρῳ διχῇ. f, unde ἑκ. διχῆ. J. ἑκατέρῳ. ς. ib. ἦ γε. conj. m. probante J. ἦ τε. ς. 28. τειχήρες. f. τειχήρεις. o. 32. αὐτῆς. ς. Sc. αὐτῆς. 33. νεμομένων. ς. Sc. νεμομένου. 34. διαλλάττουσιν. ς. Sc. διατάττουσιν. 35. τῷ om. ς. ib. λοχμῷ. f, o. 36. λείαν. f, ut conj. Wyttenb. Ep. cr. 279. et Heyne Op. V. 186. λίαν. ς.

126, 127. p. 877, 878.

ὕστατα δὲ χρησάμενοι τῇ μουσικῇ δι' ἄγνοιαν τοῦ ἐπ' αὐτοῖς δόλου τεθνᾶσιν, ὡς ὁρᾷς, τῶν πολεμίων ἐπελθόντων καὶ ἀπελαύνεταί τις λεία πρὸς αὐτῶν. φήμη δὴ τῶν πραχθέντων ἐς τοὺς λοχῶντας ἐλθοῦσα ἀνίστανται οὗτοι καὶ ἐφ' ἵππων ἐς τὸν πόλεμον χωροῦσι καὶ τάς τε ὄχθας ἔστιν ἰδεῖν πλήρεις τῶν μαχομένων καὶ βαλλόντων ἐς αὐτούς. τοὺς δὲ ἐν αὐτοῖς ἀναστρεφομένους καὶ τὴν πεφοινιγμένην λύθρῳ δαίμονα αὐτήν τε καὶ τὴν ἐσθῆτα τί ἐροῦμεν; Ἔρις καὶ Κυδοιμὸς ταῦτα καὶ Κήρ, ὑφ' ᾗ τὰ πολέμου πάντα. ὁρᾷς γάρ τοι, ὡς οὐ μίαν ὁδὸν χωρεῖ, ἀλλ' ὃν μὲν ἄρτιον ἐς τὰ ξίφη προβάλλει, ὃς δ' ὑφέλκεται ὑπ' αὐτῆς νεκρός, ὃν δὲ καὶ νεότρωτον ἐπισπέρχει. οἱ δ' ἄνδρες φοβεροὶ τῆς ὁρμῆς καὶ τοῦ βλέμματος ὡς οὐδὲν διαλλάττειν ἐμοὶ ζώντων ἐν ταῖς ὁρμαῖς δοκοῦσιν. ἀλλ' ἰδοὺ πάλιν εἰρήνης ἔργα· νειὸς γὰρ αὕτη διαφαίνεται τρίπολος, οἶμαι, τις. εἴ τι χρὴ τῷ τῶν ἀροτήρων ξυμβάλλεσθαι πλήθει — καὶ τά γε ζεύγη τῶν βοῶν θαμὰ ἀναστρέφει ἐν ταύτῃ κύλικός τινος ἐκδεχομένης τὸν ἀρότην ἐπὶ τῷ τῆς αὔλακος τέλει — μελαίνεσθαί τε δοκεῖ τὸν χρυσὸν περισχίζουσα. ἐξῆς ὁρᾷς τέμενος βασιλέως, οἶμαι, τινὸς τεκμήρασθαι, ὃς τὸ γεγηθὸς ἐλέγχεται τῆς ψυχῆς τῇ ἐν ὄψει φαιδρότητι. καὶ τήν γε αἰτίαν τῆς χαρᾶς οὐδὲ ζητεῖν χρή, τὸ γάρ τοι λήιον πολλῷ τῷ μέτρῳ τὴν σπορὰν ὑπερβαλεῖσθαι διελέγχουσι οἵ τε διὰ σπουδῆς ἀμῶντες καὶ οἱ ταῖς ἀμάλαις τὰ κειρόμενα τῶν δραγμάτων δέοντες, οἷς ἕτεροι προσάγουσι καὶ μάλα συντόνως. ἡ δὲ δρῦς οὐκ ἀκαίρως ἐνταῦθα, οὐδ' ἔξω λόγου· σκιά τε γὰρ ἀμφιλαφὴς ὑπ' αὐτῇ ψυχάσαι τοῖς ἐν τῷ ἔργῳ καμοῦσι, καὶ βοῦς οὐτοσὶ πίων καθιερωθεὶς ὑπὸ τῶν κηρύκων, οὓς ὁρᾷς, ὑπὸ τῇ δρυὶ δαὶς προτίθεται τοῖς περὶ τὴν συλλογὴν τοῦ πυροῦ κάμνουσι. τὰ δὲ γύναια τί φῄς; ἆρ' οὐκ ἐπτοῆσθαί σοι δοκεῖ καὶ διακελεύεσθαι ἀλλήλοις συχνὰ μάττειν τῶν ἀλφίτων δεῖπνον εἶναι τοῖς ἐρίθοις; εἰ δὲ καὶ ὀπώρας δεήσῃ, πάρεστί σοι ἀλωὴ χρυσῆ μὲν τῶν ἀμπέλων, μέλαινα δὲ τοῦ καρποῦ. τὸ δὲ τῆς καπέτου κυανὸν ἐτεχνήθη, οἶμαι, τῷ δημιουργῷ πρὸς δήλωσιν τοῦ ἐν αὐτῇ βάθους· ἀρκεῖ γάρ σοι τὸ περὶ ταῖς ἡμερίσιν ἕρκος ἐν τῷ καττιτέρῳ νοεῖν. ὁ δ' ἄργυρος ὁ ἐν τῷ ἀμπελῶνι, κάμακες ταῦτα, τοῦ μὴ χαμαὶ κλιθῆναι τὰ φυτὰ βρίσαντα τῷ καρπῷ. τί δ' ἂν εἴποις περὶ τῶν τρυγώντων; οἳ διὰ τῆς στενῆς ταύτης ἐσόδου ἐσφρήσαντες ἑαυτοὺς ταλάροις ἐναποτίθενται τὸν καρπὸν μάλα ἡδεῖς καὶ πρόσφοροι τὴν ἡλικίαν τῷ ἔργῳ. παρθένοι τε γὰρ καὶ ἠίθεοι εὔιον καὶ βακχικὸν ἐν ῥυθμῷ βαίνουσιν ἐνδιδύντος αὐτοῖς τὸν ῥυθμὸν ἑτέρου, ὅν, οἶμαι, ξυνίης ἀπό τε τῆς κιθάρας καὶ τοῦ λεπτὸν προσᾴδειν δοκεῖν τοῖς φθόγγοις. εἰ δὲ καὶ τὴν ἀγέλην ἐννοήσειας τῶν βοῶν, αἳ δὴ πρὸς τὴν νομὴν ἴενται ἑπομένων αὐταῖς τῶν νομέων, τῆς μὲν χρόας οὐκ ἂν θαυμάσειας, εἰ καὶ χρυσοῦ καὶ καττιτέρου πᾶσα, τὸ δὲ καὶ μυκωμένων ὥσπερ ἀκούειν ἐν τῇ γραφῇ καὶ τὸν ποταμὸν κελάδοντα εἶναι δοκεῖν, παρ' ὃν αἱ βόες, πῶς οὐκ ἐναργείας πρόσω; τοὺς δὲ λέοντας οὐδ' ἂν ἀφερμηνεῦσαί μοί τις ἐπαξίως δοκεῖ καὶ τὸν ὑπ' αὐτοῖς ταῦρον, ὁ μὲν γὰρ μεμυκέναι δοκῶν καὶ σπαίρειν σπαράττεται ἤδη πως ἐμπεφυκότων τοῖς ἐντοσθιδίοις τῶν λεόντων, οἱ δὲ κύνες, ἐννέα δ', οἶμαι, οὗτοι ἕπονται τῇ ἀγέλῃ καὶ παρὰ τῶν ἰθυνόντων αὐτοὺς νομέων ἐγγὺς μὲν ἴενται τῶν λεόντων ὑλακῇ πτοεῖν ἐθέλοντες αὐτούς, προσμιγνύναι δ' οὐ τολμῶσιν ἐπισπερχόντων αὐτοὺς καὶ ταῦτα τῶν νομέων. ὁρᾷς δὲ καὶ διασκιρτῶντα τοῦ ὄρους θρέμματα καὶ τοὺς στα-

5. ταῦτα κὴρ. e, m. 7. ὑπ' αὐτῆς. m conj. inde o, J. ὑπ' αὐτὸν. ς. (f). ib. ὃν δὲ. f et conj. Salm. δὲ. a. ὁ δὲ. i, m, o. τοῦτον δὲ corr. a Bern. 8. ἀποθανόντες φοβ. o. 10. ἀρωτήρων. o. 11. αὐτοὺς. o. αὐτὴν. ς. τὸν ἀρότην conj. J. ib. ἡ δὲ μελαίνεσθαι δοκεῖ conj. J. μελαίνεσθαί τε. C, e, m. μελαίνεται τε. o. 12. περισχοῦσα. ς. περισχίζουσα. conj. J. περισχισθεῖσα Heyne. l, c. ib. ἐξῆς. Heyne conj. l. c. ἐξ ἧς. ς. 13. τῇ ἐν ὄψει. J corr. ἐν τῇ ὄψει. ς. ib. οὐδὲ. J corr. οὐδὲν. ς. 14. ἀμοῦντες. ς. 16. ἄκαιρος. f. ἀκαίρων. e. ἀκαίρος et mg. ἄκαιρως (sic) m. οὐκ ἄκαιρος. o. οὐκ ἀκαίρως. corr. J. ib. ψυχήσαι. f. 17. βῶς. f. βᾶς. e. ib. πιὼν. ς. ib. ὑπό τε. E. 18. δαὶ. f. δαὶς om. E. ib. προτίθεται. f, J et m, mg. ἴσ. προτίθεται. προστίθεται. e, m. προὐτίθετο. o. 19. ἀπτοῆσθαι. i2, m. unde Salm. conj. καταπτοῆσθαι. 20. δεήσει f. ib. ἀλωὴ corr. J. αὕτη. ς. 21. τοῦ. f, E, corr. J. 22. ἕρκος. i2. ἔρκος. f. ib. καττιτέρῳ, f, J. καινοτέρῳ. e et m, ubi mg. ἴσ. κασσιτέρῳ, quod recepit o. 23. κατακλιθῆναι. ς. 24. ταλάρους. e. 25. τοὺς καρποὺς, sed term. sing. suprasc. f. 28. ἴενται. J. 32. ἐνστηθιδίοις. m, o. 33. Θ δ' οἶμαι. f. ἐννέα δ' οἶμαι. J. τε οἶμαι. ς.

128, 129. p. 879, 880.

θμοὺς καὶ τὰς σκηνὰς καὶ τοὺς σηκούς· οἶκον ποιμνίων νόει ταῦτα. λοιπούς, οἶμαι, χορός τις οὗτοσὶ προσόμοιος τῷ Δαιδάλου, φασὶ δ' αὐτὸν Ἀριάδνῃ τῇ Μίνω πρὸς αὐτοῦ δοθῆναι. τίς δ' ἡ τέχνη; παρθένοις ἡΐθεοι τὰς χεῖρας ἐπιπλέξαντες χορεύουσι. σὺ δ', ὡς ἔοικεν, οὐκ ἀρκεσθήσῃ τούτῳ, εἰ μή σοι καὶ τὰ τῆς ἐσθῆτος ἐξακριβώσομαι τῷ λόγῳ· οὐκοῦν αἱδὶ μὲν ὀθόναις ἧσθηνται στεφάνας ἐπὶ ταῖς κεφαλαῖς χρυσᾶς φέρουσαι, τοῖς δ' εὐήτριοι μὲν καὶ λεπτοὶ περίκεινται χιτῶνες, μαχαίρας δὲ τῶν μηρῶν ἐξήρτηνται χρυσᾶς ἀργυρῶν τελαμώνων ξυνεχόντων αὐτάς. ἀλλ' ἐν κύκλῳ μὲν ἰόντων, τοῦτ' ἐκεῖνο, τροχοῦ περιδίνησιν ὁρᾷς, νοήσει κεραμέως ἔργον τινός, εἴ πη δυσκολείους μὴ τοῦ περιθεῖν ἔχοι, πειρῶντος. στοιχηδὸν δὲ ἰόντων αὖθις πολύ τι χρῆμα ἐπιρρεῖ, ὅπως ἔχουσι τέρψεως, ἐπιδηλούντων· καὶ γάρ τινες ἐν μέσοις οὗτοι κυβιστῶντες καὶ ἄλλοτε ἄλλην ὄρχησιν ἐπιδεικνύμενοι ἄγειν μοι σαφῶς αὐτοὺς ἐς τὸ θαῦμα δοκοῦσιν. ἡ δὲ δὴ κύκλῳ τῆς ἄντυγος θαλάττης εἰκὼν οὐ θάλαττα, ὦ παῖ, Ὠκεανὸν δὲ νοεῖν χρὴ ὅρον εἶναι τεχνηθέντα τῆς ἐν τῷ σάκει γῆς. ἱκανῶς ἔχεις τῶν ἐκτυπωμάτων. ἄθρει δὴ καὶ τὰ περὶ τοὺς νεανίας, ξὺν ὁποτέρῳ αὐτῶν ἡ νίκη· ἰδοὺ γὰρ καὶ καθήρηται ὁ Εὐρύπυλος κατὰ τῆς μασχάλης ὥσαντος αὐτῷ καιρίαν τοῦ Πύρρου καὶ κρουνηδὸν ἐκχεῖται τὸ αἷμα, κεῖταί τε ἀνοιμωκτὶ πολὺς κατὰ τῆς γῆς ἐκχυθείς, μόνον οὐ φθάσας τὴν πληγὴν τῷ πτώματι διὰ τὸ ἐς καιρὸν τοῦ τραύματος. ἔτ' ἐν τῷ τῆς πληγῆς ὁ Πύρρος σχήματι ῥεύμενος τὴν χεῖρα τῷ λύθρῳ πολλῷ κατὰ τοῦ ξίφους ἐνεχθέντι, οἱ Μυσοί τε οὐκ ἀνασχετὰ ἡγούμενοι ταῦτα ἐπὶ τὸν νεανίαν χωροῦσιν. ὁ δ' ἐς αὐτοὺς βλοσυρὸν ὁρῶν μειδιᾷ καὶ ὑφίσταται τὸ στῖφος καὶ τάχα που κρύψει τὸν Εὐρυπύλου νεκρὸν σωρηδὸν ἐπ' αὐτῷ τοὺς νεκροὺς νήσας.

130 881 882

ΑΡΓΩ Η ΛΙΠΤΗΣ.

ια'. Ἡ διεκπαίουσα τοῦ ποταμοῦ ναῦς ὑπὸ πολλῷ τῷ ῥοθίῳ τῆς εἰρεσίας κόρη τέ τις αὕτη ἐπὶ τῆς πρύμνης ὁπλίτου πλησίον καὶ ὁ ἐμμελὴς προσᾴδων τοῖς τῆς κιθάρας κρούμασι ξὺν ὀρθῇ τιάρᾳ ὅ τε ὑπὲρ τῆς ἱερᾶς ἐκείνης φηγοῦ δράκων πολλῷ σπειράματι κεχυμένος καὶ τὴν κεφαλὴν ἐς τὴν γῆν νεύων ὕπνῳ βριθουσαν τὸν ποταμὸν μὲν Φᾶσιν γίγνωσκε, Μήδειαν δὲ ταύτην, ὁ δ' ἐπὶ τῆς πρύμνης ὁπλίτης Ἰάσων ἂν εἴη, κιθάραν δὲ καὶ τιάραν ὁρῶντας καὶ τὸν δι' ἀμφοῖν κοσμούμενον Ὀρφεὺς ὕπεισιν ἡμᾶς ὁ τῆς Καλλιόπης. μετὰ γὰρ τὸν ἐπὶ τοῖς ταύροις ἆθλον θέλξασα ἐς ὕπνον τὸν δράκοντα τοῦτον ἡ Μήδεια σεσύληται μὲν τὸ χρυσόμαλλον τοῦ κριοῦ νάκος, φυγῇ δὲ ἵενται λοιπὸν οἱ τῆς Ἀργοῦς πλωτῆρες, ἐπειδὴ ἀνάπυστα τοῖς Κόλχοις καὶ τῷ Αἰήτῃ τὰ τῆς κόρης. καὶ τὰ μὲν τῶν τῆς Ἀργοῦς ναυβατῶν τί ἄν σοι λέγοιμι; ὁρᾷς γὰρ βραχίονας μὲν ἐξῳδηκότας αὐτοῖς ὑπὸ τοῦ ἐς τὴν εἰρεσίαν ξυντόνου, τὰ δὲ πρόσωπα οἷα γένοιτ' ἂν ἑαυτοὺς σπερχόντων, τὸ δὲ τοῦ ποταμοῦ κλυδώνιον ὑπερκαχλάζον τοῦ τῆς νεὼς ἐμβόλου καταφερομένης σὺν πολλῇ τῇ ῥύμῃ τάχους δεῖγμα. ἡ κόρη δὲ ἀμήχανόν τινα νοῦν δείκνυσιν ἐκ τοῦ προσώπου, ὄμμα μὲν γὰρ αὐτῇ δεδακρυμένον ἐς γῆν ὁρᾷ, περίφοβος δέ ἐστιν ὑπ' ἐννοίας ὧν δέδρακε, καὶ λογισμοῦ τῶν μελλόντων πλήρης, αὐτή τε πρὸς ἑαυτὴν ἀνακυκλεῖν δοκεῖ μοι τὰς ἐννοίας διορῶσα τῇ ψυχῇ ἕκαστα καὶ

σαι

1. συκοὺς. i. 4. τὰς τῆς ἐσθ. f, e; corr. m. ib. ἐξακριβώσομαι. f. ib. τῶν λόγων. f, e; corr. m. 5. τὰς κεφαλὰς. ς. 6. χειρῶν. e, J. χερῶν. m, o. μηρῶν conj. J. ib. κατεχόντων. ς. 7. ὁρᾷς νοήσει. ς. (f.) ὁρῶν νοήσει. o. ὁρᾶν δοκήσεις conj. J. Fo: ὁρᾷς, ὡσεί. ib. χεραμέως. a2, i2. ib. ἔργον deleverim. ib. εἴπη. ς. εἰ μὴ conj. J. ib. δυσκολείους. e, m. δυσκόλου. o. δυσκόλως sive δυσκολίας τι. conj. J. 8. μὴ τοῦ περιθ. ς. τοῦ περιθ. conj. J. An δυσκόλως πη? ib. Malim ἔχει. ib. στιχηδὸν. o. 10. ἐν κύκλῳ velit J. 13. καθήρηνται. e. 14. ἀνοιμωκτὶ. e. ib. πολὺ. f. 17. ὁρᾷ. ς. 18. σωρηδὸν νήσας. ς.

XI. 20. ἡ διεκπαίουσα. f, J et Piers. Veris. p. 234. ἠδὶ ἐκπαίουσα. e, m, ubi mg. ἴσ. ἐκπταί. ib. τοῦ ποταμοῦ. f, J et Piers. l. c. etiam a Bern. τῷ ποτῷ. e, m. τῷ ποταμῷ o.. 23. ὕπνῳ. f, J et Piers. l. c. p. 235. οὕτω. ς. ib. Φάσιν. E. 24. δι' deleverim. 27. ἵενται. J. 33. στλήρους. f, e, m. corr. o. ib. αὐτή τε. f, J, et conj. Heyne Op. V, 187. αὕτη τε. ς. ib. πρὸς ἑαυτὸν. e.

130, 131. p. 881, 882 XI.

πεπηγυῖα τὰς τῶν ὀφθαλμῶν βολὰς ἐς τὰ τῆς ψυχῆς ἀπόρρητα. Ἰάσων δὲ αὐτῇ πλησίον ξὺν ὅπλοις ἕτοιμος ἐς ἄμυναν. ὁδὶ δὲ τὸ ἐνδύσιμον τοῖς ἐρέταις ᾄδει, ὕμνους, μοι δοκεῖν ἀνακρουόμενος θεοῖς τοὺς μὲν χαριστηρίους, ἐφ' οἷς κατωρθώκασι, τοὺς δὲ ἐς ἱκεσίαν τείνοντας, ἐφ' οἷς δεδοίκασιν. ὁρᾷς δὲ καὶ τὸν Αἰήτην ἐπὶ τετρώρου μέγαν τε καὶ ὑπεραίροντα ἀνθρώπους ὅπλα μὲν ἐνδεδυκότα ἀρήια γίγαντος, οἶμαι, τινος, τὸ γὰρ ὑπὲρ ἄνθρωπον τοῦθ' ἡγεῖσθαι δίδωσι, θυμοῦ δὲ τὸ πρόσωπον πλήρη καὶ μόνον οὐ πῦρ ἐξιέντα τῶν ὀφθαλμῶν λαμπάδιόν τε τῇ δεξιᾷ αἰωροῦντα, ἐμπρήσειν γὰρ αὐτοῖς πλωτῆρσι τὴν Ἀργώ, τὸ δόρυ δὲ αὐτῷ ὑπὲρ τὴν ἄντυγα τοῦ δίφρου πρόχειρον ἵσταται. τί δὴ ποθεῖς τῶν γεγραμμένων; ἢ τὸ τῶν ἵππων; μυκτῆρες μὲν ἀναπεπταμένοι τούτοις καὶ ἀνεστηκὼς αὐχὴν βολαί τε ὀφθαλμῶν ἕτοιμοι ἄλλως τε καὶ ἐνεργοὶ νῦν οὖσαι, δίδωσι γὰρ 132
τουτὶ θεωρεῖν ἡ γραφή, τὸ δὲ ἄσθμα ἐξαιματτομένων ἐς τὸν δρόμον τῇ μάστιγι ὑπὸ τοῦ Ἀψύρτου, παραβατεῖν γὰρ τοῦτόν φασι τῷ Αἰήτῃ, ὑπὸ παντὸς ἑλκόμενον τοῦ στέρνου καὶ ἡ τῶν τροχῶν δίνη μόνον οὐ προσβαλοῦσα τῷ ἁρματείῳ σύρματι τὰς ἀκοὰς τὸ τάχος δίδωσι γιγνώσκειν. ἡ γὰρ διανισταμένη κόνις καὶ ἴδρωσις ἐπανθοῦσα τοῖς ἵπποις ἀμυδρὰν τῆς χρόας ποιεῖ τὴν διάσκεψιν.

ΗΣΙΟΝΗ.

ιβ'. Ταυτὶ μὲν οὐδ' ἐπιτάττοντος, οἶμαι, τινος ὁ γενναῖος Ἡρακλῆς μοχθεῖ, οὐδ' ἔστιν εἰ-
883 πεῖν, ὡς Εὐρυσθεὺς δι' ὄχλου νῦν αὐτῷ, δεσπόζειν δὲ τὴν ἀρετὴν ἑαυτοῦ τάξας ἐθελουσίους ἄθλους ὑπομένει, ἢ τί μαθὼν φοβερὸν οὕτω κῆτος ὑφίσταται; ὁρᾷς γάρ, ὁπόσοι μὲν αὐτῷ οἱ ὀφθαλμοὶ κυκλοτερεῖς ταύτην τὴν ὄψιν ἀποτορνεύοντες καὶ δεινῶς ἐς πολὺ δεδορκότες ἐπισκύνιόν τε ὀφρύων ἀκανθῶδες καὶ ἄγριον ἐφ' ἑαυτοὺς ἕλκοντες, ὅπως δὲ ὀξεῖα ἡ τοῦ στόματος ἐκβολὴ καρχάρους καὶ τριστοίχους ὀδόντας ἐκφαίνουσα, ὧν οἱ μὲν ἀγκιστρώδεις καὶ ἀνεστραμμένοι κατέ-
χειν τὰ ληφθέντα, οἱ δὲ ὀξεῖς τὴν αἰχμὴν καὶ ἐς πολὺ ἀνεστῶτες, ὅση δὲ ἡ κεφαλὴ σκολιοῦ καὶ ὑγροῦ τοῦ αὐχένος ἐξιοῦσα. μέγεθος δὲ ἄπιστον μὲν εἰπεῖν ἐν μικρῷ, ἡ δὲ ὄψις νικᾷ τοὺς ἀπιστοῦντας. ἐκκυρτουμένου γὰρ οὐχ ἅπαξ, ἀλλὰ κατὰ πολλὰ μέρη τοῦ κήτους τὰ μὲν ὕφαλα διαφαίνεται τὸ ἀκριβὲς τῆς ὄψεως κλέπτοντα τῷ βάθει, τὰ δὲ ἀνίσχει νησῖδες ἂν τοῖς ἀπειροθαλάττοις δόξαντα. ἀτρεμοῦντι προσετύχομεν τῷ κήτει, κινούμενον δὲ νυνὶ σφοδροτάτῃ ῥύμῃ πολὺν 133
ἐγείρει ῥοθίου κτύπον ἐν γαλήνῃ καὶ ταῦτα. καὶ κλύδων οὗτος ὑπὸ τῆς ἐμβολῆς αὐτοῦ διανισταμένος ὁ μὲν περὶ τοῖς ἐκφαινομένοις μέρεσι κυμαίνει περικλύζων αὐτὰ καὶ διαλευκαίνων κάτωθεν, ὁ δὲ τὰς ἠόνας προσβέβληκεν ἥ τε τῶν οὐραίων ἀνάκλασις ἐπὶ πολὺ τὴν θάλατταν ἐς ὕψος ἀναριπτούντων ἱστία νεὼς ἂν ἀπεικασθείη ποικίλως προσαυγάζοντα. ἀλλ' οὐκ ἐκπλήττεται ταῦτα ὁ θεσπέσιος οὗτος, ἀλλ' ἡ μὲν λεοντῇ καὶ τὸ ῥόπαλον ἐν ποσὶν αὐτῷ ἕτοιμα πρὸς τὴν χρείαν, εἰ τούτων δεήσειεν, ἕστηκε δὲ γυμνὸς ἐν προβολῇ, τὸν μὲν ἀριστερὸν προτείνας πόδα ὄχημα εἶναι τῷ παντὶ σώματι μεθισταμένῳ πρὸς τὸ τῆς κινήσεως ὀξύρροπον, καὶ τῆς πλευρᾶς δὲ τῆς ἀριστερᾶς ἅμα τῇ χειρὶ προεκκειμένης πρὸς τὴν ἐπίτασιν τοῦ τόξου τὰ δεξιὰ ὑπέσταλται τῆς δεξιᾶς χειρὸς πρὸς τὸν μαστὸν τὴν νευρὰν ἑλκούσης. τὴν δ' αἰτίαν, ὦ παῖ, μὴ ζητῶμεν τούτων, ἡ γὰρ τῶν πετρῶν
884 ἀνημμένη κόρη πρόκειται τῷ κήτει βορά. Ἡσιόνην δ' αὐτὴν Λαομέδοντος παῖδα νομίζωμεν. ποῖ δὲ οὗτος; ἔσω, μοι δοκεῖν, τοῦ τῆς πόλεως τείχους ἐν περιωπῇ τῶν πραττομένων. ὁρᾷς γὰρ πό

1. ξυνὼν. ς. 6. δὲ. J. ib. ἐμπρήσει. i, m, o. 10. ἐξαίματτομένων. ς. corr. J. 11. καὶ ἡ — τάχος om. m. o. 13. ἰδρῶσιν. ς.

XII. 17. ταυρείην velit J. 20. ἐς πολὺν. e, m. corr. Salm. 22. ἐκκερτουμένου. e, m. ib. διαφαίνονται. ς. 25. ἐκίνει. ς. 26. ἐμφαινομένοις. ς. ib. κλύζων. ς. 28. ποικίλοις ς, quod corr. Heyne Op. V. 187, et Hamaker L. Ph. p. 35. 30. προσβολῇ. m, o. 32. περικειμένης. f, e, m. προκειμένης. Salm. o. προεκκειμένης. J. conj. 34. ποῖ δὲ corr. J. 35. περιοπῇ. m, o.

132, 133. p. 883, 884. XII.

λεως κύκλον καὶ τὰς ἐπάλξεις ἀνθρώπων μεστὰς καὶ ὡς ἀνατετάκασιν ἐς οὐρανὸν εὐχόμενοι τὰς χεῖρας τάχα που δεδοικότες ὑπ' ἐκπλήξεως περιττῆς, μὴ καὶ προσβάλλοι τῷ τείχει τὸ κῆτος, ἐπειδὴ ὡς χερσεῦσον ὥρμηκε. τὸ δὲ τῆς κόρης κάλλος ὁ καιρὸς ἐφερμηνεύειν ἐπ' ἀκριβὲς οὐκ ἐᾷ, τὸ γὰρ περὶ τῇ ψυχῇ δέος καὶ ὁ ἐπὶ τοῖς ὁρωμένοις ἀγὼν ἀπομαραίνει μὲν τὸ τῆς ὥρας ἄνθος, δίδωσι δ' ὅμως τοῖς ὁρῶσιν ἐκ τῶν παρόντων τὸ ἐντελὲς στοχάσασθαι.

ΣΟΦΟΚΛΗΣ.

134 ιγ'. Τί διαμέλλεις, ὦ θεῖε Σοφόκλεις, τὰ τῆς Μελπομένης δέχεσθαι δῶρα; τί δ' ἐς γῆν ὁρᾷς; ὡς ἔγωγ' οὐκ οἶδα, εἴτε ἀθροίζων ἐννοίας ἥδη, εἴθ' ὑπὸ τῆς πρὸς τὴν θεὸν ἐκπλήξεως. ἀλλὰ θάρσει, ὦ 'γαθέ, καὶ δέχου τὰ διδόμενα. ἀπόβλητα γὰρ οὐκ εἶναι τὰ θεῶν δῶρα οἶσθά που ἐξ ἑνὸς τῶν Καλλιόπης θιασωτῶν ἀκούσας. ὁρᾷς γὰρ καὶ τὰς μελίττας ὡς ὑπερπέτονταί σου καὶ βομβοῦσιν ἡδύ τι καὶ θεῖον ἐπιλείβουσαι σταγόνας ἀπορρήτους τῆς οἰκείας δρόσου· τοῦτο γὰρ καὶ τῆς σῆς ποιήσεως διαφύσεσθαι παντὸς μᾶλλον. ἦ πού τις καὶ ἀναφθέγξεται μικρὸν ὕστερον ἐπὶ σοὶ Μουσῶν εὐκόλων ἀνθρήνιον λέγων καὶ δεδοικέναι τῳ παρεγγυήσει, μή πη λάθῃ τις ἐκπτᾶσα τοῦ σοῦ στόματος μέλιττα καὶ τὸ κέντρον ἀφυλάκτως ἐγχρίσασα. ὁρᾷς δέ που καὶ τὴν θεὸν αὐτὴν τὸ μὲν ὑψήγορον καὶ ἐπηρμένον τῆς γνώμης ἀπόθετον ἔχουσαν ἐς σὲ νῦν καὶ μειδιάματι εὐμενεῖ τὸ δῶρον μετροῦσαν. Ἀσκληπιὸς δέ, οἶμαι, οὗτος ἐγγὺς παιᾶνα που παρεγγυῶν γράφειν καὶ κλυτομήτης οὐκ ἀπαξιῶν παρὰ σοῦ ἀκοῦσαι βλέμμα τε αὐτοῦ πρὸς σὲ φαιδρότητι μεμιγμένον 885
τὰς παρὰ μικρὸν ὕστερον ἐπιξενώσεις αἰνίττεται.

ΤΑΚΙΝΘΟΣ.

ιδ'. Πυθώμεθα τοῦ μειρακίου, ὦ παιδίον, τίς τε αὐτὸς εἴη καὶ τίς ἡ αἰτία τῆς Ἀπόλλωνος αὐτῷ παρουσίας, θαρσήσει γὰρ ἡμᾶς γοῦν προσβλέψαι. οὐκοῦν ὁ μὲν Ὑάκινθος εἶναί φησιν ὁ
135 Οἰβάλου, μαθόντας δὲ τοῦτο χρὴ λοιπὸν καὶ τὴν αἰτίαν τῆς τοῦ θεοῦ παρουσίας γιγνώσκειν· ἐρᾶν ὁ τῆς Λητοῦς τοῦ μειρακίου πάντα δώσειν αὐτῷ φησιν, ὅσα ἔχει, τὸ ξυνεῖναί οἱ προσεμένῳ, τοξείαν τε γὰρ καὶ μουσικὴν διδάξειν καὶ μαντικῆς ἐπαλεῖν καὶ λύρας μὴ ἀπῳδὸν εἶναι καὶ τοῖς ἀμφὶ παλαίστραν ἐπιστήσειν, δώσειν δὲ ὑπὲρ κύκνων αὐτὸν ὀχούμενον περιπολεῖν χωρία, ὅσα Ἀπόλλωνος φίλα. ταυτὶ μὲν ὁ θεός, γέγραπται δὲ ἀκειρεκόμης μέν, τὸ εἰωθός, φαιδρὰν δὲ ὀφρὺν ὑπὲρ ὀφθαλμῶν ἐγείρων, ὧν ἀκτῖνες οἷον ἐκλάμπουσι, καὶ μειδιάματι ἡδεῖ τὸν Ὑάκινθον θαρσύνων προτείνων μὲν τὴν δεξιὰν ἐπὶ τῇ αὐτῇ αἰτίᾳ. τὸ μειράκιον δὲ ἐς γῆν μὲν ἀτενὲς ὁρᾷ, πολλὴ δὲ ἡ τῶν ὀφθαλμῶν ἔννοια, γάνυταί τε γὰρ ἐφ' οἷς ἀκούει, καὶ τὸ θάρσος ἔτι μέλλον αἰδοῖ μίγνυσιν. ἕστηκε δὲ τὰ μὲν ἀριστερὰ τῷ σώματι ἁλιπορφύρῳ χλανίδι καλύπτων, ἃ δὴ καὶ ὑπέσταλται, ἀκοντίῳ δὲ τὴν δεξιὰν ἐπερείδει ἐκκειμένῳ τῷ γλουτῷ καὶ τῇ πλευρᾷ διορωμένῃ, βραχίων τε οὑτοσὶ γυμνὸς δίδωσιν ἡμῖν ἐς τὰ μὴ ὁρώμενα λέγειν. σφυρὸν μὲν αὐτῷ κοῦφον ἐπ' εὐθείᾳ τῇ κνήμῃ καὶ ἐπιγουνὶς αὕτη ἐλαφρὰ ὑπὲρ κνήμης μηροί τε ἀπέριττοι καὶ ἰσχίον ἀνέ-

2. προσβάλοι. f. 3. ἐπακριβὲς. f. 4. φύσεως ἄνθος. ς.

XIII. 6. διαμέλεις. v, i2. An τί δὴ μέλλεις? 7. εἴτι ἀθρ. i2. εἴ τινας. m, o. ib. εἶδ'. o. ib. τὸν θεὸν. f, e, m. corr. o. 8. εἶναι θεῶν. ς. 10. οἰκίας. i. 11. διαδύσεσθαι. m, (ubi mg. διαβλύσεσθαι (καὶ) διαφύσεσθαι.) o, 12. ἀνθηνίον. f, a, i2. ἀνθύνιον. i1, mg. m. ἀνθρήνιον corr. anonym. in a Gotting. ib. τῳ. a1. τῷ. a2, i, m. αὐτῷ. o ex Salm. conj. ib. ἐγχρίμψασα. m. γρ. o. 16. κλυτομῆτις. o. ib. περὶ σοῦ. f, e, m, corr. o. ib. ἀκούειν. ς.

XIV. 18. ποθώμεθα. f. πνθώμεθα o, J ex corr. Salm. ποθειώμεθα. e, m. ib. ἡ addit J. ib. Ἀπ. παρ. ς. 19. προβλέψαι. i. ib. οὐκ οὖν. f, v. 20, χρὴ καὶ. ς. 21. ξυνεῖναι πρ. ς. 23. δώσειν δὲ. f. δώσειν τε. ς. ib. ὑπὲρ κυκνὸν. E. ὑπὲρ κύκνων. f et conj. Salm. An: ἐπὶ κύκνων? 25. δὲ. f. τε. ς. ib. ἡδεῖν. f. 26. αὐτῇ καὶ. ς. ib. Post θαρσύνων excidisse videtur καὶ. 27. γάνυται δὲ ς. 28. Fo: τοῦ σώματος. 30. μὴ add. J ex conj. praeterea velit καὶ τὰ — ἐλέγχειν. 31. ὑπὲρ μνήμης. e.

χον τὸ λοιπὸν σῶμα πλευρά τε ἔμπνουν ἀποτορνεύουσα τὸ στέρνον καὶ βραχίων ξὺν ἁπαλότητι
886 σφριγῶν καὶ αὐχὴν ἀνεστηκὼς τὸ μέτριον ἡ κόμη τε οὐκ ἄγροικος, οὐδὲ ἐν αὐχμῷ ἀνεστηκυῖα, ἀλλ' ἐπικρεμαμένη τῷ μετώπῳ, ξυναπονεύουσα δὲ ταῖς τοῦ ἰούλου ἀρχαῖς. ὁ δ' ἐν ποσὶ δίσκος ἔχων καὶ σκόπει . . . τι περὶ ἑαυτὸν Ἔρως τε καὶ . . . ν φαιδρὸς ἅμα καὶ κατηφής, καὶ Ζέφυρος ἐκ πε-
5 ριωπῆς ἄγριον ὑποφαίνων τὸ ὄμμα αἰνίττεται ὁ ζωγράφος τὴν ἀπώλειαν τοῦ μειρακίου, δισκεύοντι 136
δὲ τῷ Ἀπόλλωνι πλάγιος ἐμπνεύσας ἐμβαλεῖ τῷ Ὑακίνθῳ τὸν δίσκον.

ΜΕΛΕΑΓΡΟΣ.

ιε'. Θαυμάζεις ὁρῶν ἐς τοσοῦτον ἀγῶνα κόρην ὁρμῶσαν ἀγρίου τε οὕτω συὸς καὶ τοσούτου ὁρμὴν ὑφισταμένην; ὁρᾷς γάρ, ὡς ὕφαιμον μὲν αὐτῷ τὸ ὄμμα λοφιά τε φρίττουσα καὶ πολὺς ὁ κατὰ τῶν ὀδόντων ἀφρὸς ἐς πολὺ ἀνεστηκότων καὶ τὴν αἰχμὴν ἀτρίπτων τό τε εὖρος, ὡς πρὸς
10 λόγου τῇ βάσει, ἣν δὴ καὶ τὰ ἴχνη ταυτὶ δείκνυσι ταύρων ἀποδέοντα οὐδέν· οὐδὲ γὰρ τούτων παρέλιπέ τι ὁ ζωγράφος ἐντυπώσας αὐτὰ τῇ γραφῇ. τὰ δὲ δρώμενα καὶ δεινὰ ἤδη· ἐμπεπτωκὼς γὰρ ὁ σὺς Ἀγκαίῳ τούτῳ κατὰ τὸν μηρὸν κεῖται ὁ νεανίας ἀθρόον ἐκρέων τὸ αἷμα καὶ ἐς πολὺ
887 ἀνερρωγὼς τοῦ μηροῦ, ὅθεν ἐν χερσὶν ἤδη τοῦ ἄθλου ὄντος ἡ μὲν Ἀταλάντη, ταύτην γὰρ εἶναι τὴν κόρην νοεῖν χρή, πρόχειρον ἐπιθεῖσα τῇ νευρᾷ τὸ βέλος ἀφήσειν μέλλει. ἕσταλται δὲ ἐσθῆτι
15 μὲν ὑπὲρ γόνυ, κρηπῖδα δὲ τοῖν ποδοῖν ἐνῆπται καὶ αἱ χεῖρες ἐς ὦμον γυμναὶ διὰ τὸ ἐνεργοὺς εἶναι τῆς ἐσθῆτος ἐκεῖ ἐς περόνας ξυνεχομένης, τὸ δὲ κάλλος ἀρρενωπὸν ἐκ φύσεως ὂν ἀνίστησιν ὁ καιρὸς ἐπὶ μᾶλλον οὐκ ἐφίμερον βλεπούσης, ἀλλὰ τὰς τῶν ὀφθαλμῶν βολὰς ἐς τὴν τῶν ὁρωμένων ἔννοιαν τεινούσης. οἱ νεανίαι δὲ οὗτοι Μελέαγρος καὶ Πηλεύς, τούτους γὰρ δὴ τοὺς καθελόντας τὸν σῦν φησὶν ἡ γραφή, ὁ μὲν ἐπερείσας ἐν προβολῇ τῷ λαιῷ ποδὶ ἑαυτὸν ὁ Μελέαγρος
20 καὶ τὴν βάσιν τηρήσας ἀσφαλῶς ἐκδέχεται τὴν ὁρμὴν τοῦ συὸς λόγχην ὑποστήσας. φέρε δὴ καὶ 137
τὰ περὶ αὐτὸν εἴπωμεν· στιφρὸς μὲν ὁ νεανίας καὶ πάντῃ σφριγῶν, κνῆμαι δ' αὐτῷ εὐπαγεῖς καὶ ὀρθαὶ φέρειν τε ἔν τε τοῖς δρόμοις ἱκαναὶ καὶ ὑφισταμένῳ τὸν ἐκ χειρὸς ἀγῶνα φύλακες ἀγαθαὶ μηρός τε ξὺν ἐπιγουνίδι ὁμολογῶν τοῖς κάτω καὶ ἰσχίον οἷον διδόναι θαρσεῖν, ὡς οὐκ ἀνατραπησομένου ὑπὸ τῆς τοῦ συὸς ἐμβολῆς τοῦ νεανίου πλευρά τε βαθεῖα καὶ γαστὴρ ἀπέριττος καὶ
25 στέρνα τὸ μέτριον προεκκείμενα καὶ βραχίων διηρθρωμένος καὶ ὦμοι πρὸς αὐχένα ἐρρωμένον ξυνάπτοντες καὶ βάσιν αὐτῷ διδόντες κόμη τε ἡλιῶσα καὶ ἀνεστηκυῖα νῦν ὑπὸ τοῦ τῆς ὁρμῆς ἐνεργοῦ καὶ χαροπὸν ἱκανῶς δεδορκὸς τὸ ὄμμα ἥ τε ὀφρὺς οὐκ ἀνειμένη, ἀλλ' ἐν τῷ θυμῷ πᾶσα καὶ ἡ τοῦ προσώπου κατάστασις οὐδὲ ξυγχωροῦσα περὶ κάλλους τι λέγειν διὰ τὸ ἐπιτετάσθαι. ἐσθὴς
888 δὲ λευκὴ ὑπὲρ γόνυ καὶ κρηπὶς ὑπὲρ σφυρὸν ἔρεισμα ἀσφαλὲς τῇ βάσει, χλαμύδα τε κοκκοβαφῆ
30 ὑπὲρ αὐχένος κολπώσας τὸ θηρίον ὑφίσταται. ταυτὶ μέν σοι τὰ τοῦ Οἰνέως, Πηλεὺς δὲ οὗτος προβέβληται φοινικοῦν φᾶρος, μάχαιρα δὲ αὐτῷ ἡ παρ' Ἡφαίστου ἐν χερσὶν ἐκδεξομένῳ τὴν τοῦ συὸς ὁρμήν, τὸ δὲ ὄμμα ἄτρεπτος καὶ ὀξὺ ὁρῶν καὶ οἷος μηδὲ ὑπερόριον ἆθλον τὸν ἐς Κόλχους σὺν Ἰάσονι δεῖσαι.

1. ἔμπνουν. ς. ib. ἀποτορεύουσα. e, m. ib. ξυνὼν. ς, corr. Boiss. ad Heroic. 427. ib. ἁπλότητι. f, e. m. corr. o. 2. σφριγῶν. f, J. φρυγῶν. e. σφυγμῶν. m, o. 3. ἴσ. δίσκον. m, mg. δίσκον. o. ib. ἔχων καὶ σκόπει τι f, e, m. ἔχων καὶ σκόπει τι. o. καιροσκοπεῖ τι velit J. Fo: ἔχων καὶ σκοτεινόν τι. ib. περὶ ἑαυτοῦ. f. 4. Ἔρως τε καὶ . . . ν φαιδρὸς. f (sic cum lac.) Inseruit πάρεστι J. Malim Ἔρως τε καθορῶν. Ἔρως τι φαιδρὸς. e, m. Ἔρως τι [ἐνταῦθα]. o. ib. περιοπῆς. e. 5. ἀπόλειαν. e. 6. ἐμβαλεῖ conj. Hamacker L. Ph. p. 82. ἐμβάλλει. ς.

XV. 11. δρώμενα conj. J. ὁρώμενα. ς. 14. νοεῖν χρή. f, J. χρὴ νοεῖν. e. χρὴ εἶναι νοεῖν. m, o. 15. ἀνῆπται. J ib. ἐνεργά. f. ἐνεργὰν. e. ἐνεργὸν. m, (ubi mg. γρ. ἐνεργὰν. ἴσ. ἐνεργὰς.) o. ἐνεργὰς. J. Sc. ἐνεργοὺς. 20. ἐνδέχεται. ς 21. στυφρὸς. m, ubi mg. γρ. στρυφνὸς. o. ib. φριγῶν. m. 22. Fo: ἐν τοῖς. ib. ὑφιστάμεναι. ς. 23. ξυνὼτ. ς 25. προσεκκείμενα. ς. 28. ἐπιτετάχθαι. e et m, ubi γρ. ἴσως ἐπιτετάσθαι. 29. κροκοβαφῆ. ς. 31. ἐκδεξομένῳ. e ἐκδεξομένου.

136, 137. p. 886, 887, 888. XV.

ΝΕΣΣΟΣ.

ις'. Μὴ δέδιθι, ὦ παῖ, τὸν Εὔηνον ποταμὸν πολλῷ κυμαίνοντα καὶ ὑπὲρ τὰς ὄχθας αἰρόμενον, γέγραπται γάρ, ἀλλὰ μᾶλλον τὰ ἐν αὐτῷ διασκεψώμεθα, ὅπη τε καὶ ὅπως ἔχει τὰ τῆς
138 τέχνης· ἦ γὰρ οὐκ ἐπιστρέφει σε πρὸς ἑαυτὸν ὁ θεῖος Ἡρακλῆς οὕτως ἐμβεβηκὼς μέσῳ τῷ ποταμῷ καὶ πῦρ ἐκλάμπων ἀπὸ τῶν ὀφθαλμῶν τὸν σκοπὸν μετρούντων τόξον τε ἔχων ἐν τῇ λαιᾷ προβεβλημένῃ, ἔτι καὶ τὴν δεξιὰν ἐν τῷ τῆς ἀφέσεως τοῦ βέλους ἔχων σχήματι; ἐς μαχὸν γὰρ αὖτη. τί δ' ἂν εἴποις περὶ τῆς νευρᾶς; ἆρ' οὖν οὐκ αἰσθάνεσθαι δοκεῖς ἐπηχούσης τῇ τοῦ οἰστοῦ ἀφέσει; ποῦ δὲ οὗτος; ὁρᾷς τὸν ὕστατον ἀνασκιρτῶντα κένταυρον; Νέσσος δέ, οἶμαι, οὗτος διαφυγὼν ἐκ τῆς Φολόης τὴν Ἡρακλείαν μόνος χεῖρα, ὅτ' ἐπιχειροῦντες ἀδίκως αὐτῷ διέφυγεν οὐδεὶς πλὴν οὗτος. οἴχεται δὲ καὶ οὗτος ἄδικος ἐς αὐτὸν φανείς· πορθμεύοντος γὰρ τοὺς δεομένους τούτου ἐπιστὰς ὁ Ἡρακλῆς ξὺν τῇ γυναικὶ Δηιανείρᾳ καὶ τῷ παιδὶ Ὕλλῳ, ἐπειδὴ ἄπορος ὁ ποταμὸς ἐφαίνετο, τὴν γυναῖκα πορθμεῦσαι παρεγγυᾷ, αὐτὸς δὲ ἐπιβὰς τοῦ δίφρου ξὺν τῷ παιδὶ ἐχώρει διὰ τοῦ ποταμοῦ, κἀνταῦθα ὁ μὲν κακῶς ἰδὼν τὴν γυναῖκα ἀτόποις ἐπετόλμα τῆς ὄχθης ἐπιβάς, ὁ δὲ βοῆς ἀκούσας ὁ Ἡρακλῆς τοξεύει κατὰ τοῦ Νέσσου. γεγράφαται δὲ ἡ μὲν Δηιάνειρα ἐν τῷ τοῦ κινδύνου σχήματι καὶ περιδεὴς ἐς τὸν Ἡρακλέα τὰς χεῖρας τείνουσα, ὁ δὲ Νέσσος ἅρτι τὸν οἰστὸν δεξάμενος καὶ περὶ ἑαυτῷ σφαδάζων οὔπω, δοκεῖν, τὸ ἑαυτοῦ φίλτρον ἀπόθετον ἐς Ἡρακλέα τῇ Δηιανείρᾳ δεδωκώς. τὸ δὲ 15 889
παιδίον ὁ Ὕλλος ἐφέστηκε μὲν τῷ πρώτῳ δίφρῳ κατὰ τῆς ἄντυγος δεθέντων, ὥστε ἀτρεμεῖν, τῶν ἵππων, κροτεῖ δὲ ὑφ' ἡδονῆς τὰς χεῖρας γέλωτι δοὺς ἃ μήπω ἔρρωται.

ΦΙΛΟΚΤΗΤΗΣ.

139 ιζ'. Ὁ μὲν ἐπὶ τῷ στρατηγεῖν ἔτι καὶ τοὺς ἐκ Μελιβοίας ἐπὶ Τροίαν ἀνάγων τιμωροὺς Μενελάῳ κατὰ τοῦ Φρυγὸς Φιλοκτήτης ὁ τοῦ Ποίαντος γενναῖός που κἀναφέρων ἐς τὴν ὑφ' Ἡρακλεῖ τροφήν, θεράπων δὴ γενέσθαι τῷ Ἡρακλεῖ ὁ Φιλοκτήτης ἐκ νηπίου, ὅτε καὶ φορεὺς εἶναι οἱ 20
τῶν τόξων, ἃ δὴ καὶ ὕστερον μισθὸν λαβεῖν παρ' αὐτοῦ τῆς ἐς τὴν πυρὰν ὑπουργίας — ὁ δὲ νῦν ἐνταῦθα ξυμπεπτωκότι διὰ τὴν νόσον τῷ προσώπῳ ξυννεφῆ ὀφρὺν ἐπὶ τὸ ὀφθαλμῷ ἐφέλκων κάτω που καὶ ἐν βάθει ὄντας καὶ ἀμενηνὸν ὁρῶντας, κόμην τε καὶ αὐχμοῦ πλήρη δεικνὺς καὶ τὴν γενειάδα ὑπανεστηκὼς καὶ φρίττων καὶ ῥάκια αὐτός τε ἀμπισχόμενος καὶ τὸν ταρσὸν καλύπτων τοιόνδε, ὦ παῖ, δίδωσι λόγον· ἀναπλέοντες ἐς Τροίαν οἱ Ἀχαιοὶ καὶ προσχόντες ταῖς νήσοις ἐμα- 25
στεύοντο τὸν τῆς Χρύσης βωμόν, ὃν Ἰάσων ποτὲ ἱδρύσατο, ὅτε ἐς Κόλχους ἔπλει, Φιλοκτήτης τε ἐκ τῆς ξὺν Ἡρακλεῖ μνήμης τὸν βωμὸν τοῖς ζητοῦσι δεικνὺς ἐγχρίψαντος αὐτῷ τοῦ ὕδρου τὸν ἰὸν ἐς θάτερον τοῖν ποδοῖν οἱ μὲν ἐπὶ Τροίαν οἱ Ἀχαιοὶ στέλλονται, ὁ δὲ ἐν Λήμνῳ ταύτῃ κεῖται, διαβόρῳ φησὶ Σοφοκλῆς καταστάζων ἰῷ τὸν πόδα. . . . .

XVI. 1. δέδιθι. a, i2. 3. ἦ. ς, corr. J. 4. καὶ πῦρ. conj. J. καὶ γὰρ. ς. 5. τοῦ βέλους om. ς. 7. ἐκ τοῦ. m, o. 8. Φιλόης. e, m. 13. γεγράφαται. a. 14. ἑαυτοῦ. ς. 26. δίφρον. f, e, m. φίλτρον. o. λύθρον conj. J. ib. τῷ δίφρῳ. ς.

XVII. 20. Fo: γὰρ δὴ. 21. μισθῷ. ς. 22. ξυμπεπτωκότι. f, J, conj. Wyttenb. Ep. cr. p. 279. ξυμπεπρακότι. ς. 27. Fo. τῆς τῶν ξ. 29. διαφόρῳ. v, e, corr. a Bern. ib. κατασταζων νόσῳ. o.

138, 139. p. 889. XVI, XVII.

ΚΑΛΛΙΣΤΡΑΤΟΥ

ΕΚΦΡΑΣΕΙΣ.

PROOEMIUM.

Callistratus, cujus aetatem et patriam ignoramus, adjectus est ab Aldo Philostratis aut propter quandam argumenti cognationem, aut quod in nonnullis codicibus hoc opusculum adhaeret Philostrateis libris; quin ipsa nomina confusa sunt in Vaticano 87, ubi primum caput inscribitur *Φιλοστράτου ἔκφρασις εἰς σάτυρον*, correctione tamen *Καλλιστράτου* in margine apposita.

Descriptionis ars in hoc sophista exigua est;[1] quae enim de celeberrimis Scopae, Praxitelis, Lysippi, aliorum statuis dicit, parum conferunt ad cognoscendam illarum formam, veritatem, praestantiam, ut interdum dubitatio nascatur, videritne eas, an exprimat jejuna sua et exili enarratione aliorum *ἐκφράσεις*: certe obruit inani declamationum strepitu argumentum, propter quod legitur, et affectato tortuosoque dicendi genere efficit, ut nonnisi cum summo fastidio legatur.

Eadem tamen atque illustrioribus sophistis tribuenda erat cura in illorum societatem recepto. Credas post Jacobsium ea supersederi potuisse, is enim, ubi de Oleario agit, qui in hoc libello recensendo criticis praesidiis destitutus ingenio sibi utendum fuisse ait, semetipsum ingenio diffisum libris uti maluisse scribit.[2] At multo plus ingeniosis emendationibus quam bonis codicum lectionibus aperiendis Callistrato profuit; quippe praeter Parisinos 1696 (p) et 3019 (ψ), quorum ille in septimo capite deficit, hic quatuor tantum habet, 3—6, eos solum codices adhibuit, qui non multum discrepant a vulgari eaque valde corrupta recensione, Parisinum 1038 (π),[3] Monacensem 536 (μ) et duorum primorum capitum fragmentum in Monacensi 494. (mon.) Melior familia continetur Vaticano 87 (ϱ) chartaceo saec. XVmi,[4] Laurentiano LIX, 44 (φ), bombycino saec. XIVmi,[5] Veneto, Cl. XI, 15 (v) chartaceo, saec. XVmi,[6] et Laurentiano LIX, 15 (F), membranaceo, saec. XIImi. Ex iis solus ϱ integer est, in φ desunt capita 12, 14,

[1]) cf. Praef. Welckeri in ed. Jac. LXXI, sq.

[2]) Praef. Imag. XXXVII.

[3]) Parisinus ceteris hujus familiae aliquanto melior est Saec. scriptus est XIVmo, Monacensis XVmo, uterque chartaceus.

[4]) Varietas ejus libri adjecta est a F. Mercuri versioni suae Philostratorum et Callistrati, Rom. 1828. Ordo capitum ibi invenitur hic: 1, 2, 12, 14, 3, 4, 5, 6, 7, 8, 9, 10, 11, 13.

[5]) Laurentianorum selectas lectiones mea causa inspexit V. Cl. F. de Furia; librum antiquissimum LIX, 15 totum cum ed. Ol. comparavit. In φ ordo est 3, 4, 5, 6, 7, 8, 9, 10, 11, 13, 1, 2.

[6]) Venetum novi de indicio et ex collatione viri humanissimi A. de Steinbüchel. Ordo ibi invenitur 3, 4, 5, 6, 7, 8, 9, 10, 11, 13.

in v capita 1, 2, 12, 14, in F omnia inde a sexto: itaque, si Parisinos illos addas, haec quasi syrinx existet: ρ, φ, v, p, F, ψ. Deterioris familiae praeter π et μ etiam Laurentianus est LVI, 20 (f), Monacensis, opinor, archetypum,[1] chartaceus, saec. XVmo exaratus.

Editiones, ut supra dixi, pessimos libros referentes nullius pretii sunt ante Jacobsianam, cujus copiis usus Italisque codicibus adhibitis nunc restauravi sophistae argutias. Jam ad umbilicum mihi haec opera pervenerat, quum comperi idem nuper factum esse a Giov. Petrettini in *Biblioteca Greca delle belle arti, tomo primo, Milano*, 1839; acceptoque libro, qui textum, versionem Italam, notas criticas et commentarium archaeologicum complectitur,[2] intellexi non sine fructu inde retractari posse, quae eram elucubratus.

Index codicum. (C.)

Melior familia. (1.)

ρ. Vaticanus 87. φ. Laurentianus LIX, 44. v. Venetus Cl. XI, 15. p. Parisinus 1696. F. Laurentianus LIX, 15. ψ. Parisinus 3019. l. Vossiana excerpta, cf. Prooem. Imag. VII.

Deterior familia. (2.)

π. Parisinus 1038. f. Laurentianus LVI, 20. μ. Monacensis 536. mon. Monacensis 494.

Index editionum. (E).

Eaedem sunt, quae in Imaginibus praeter P. Petrettini ed. 1839. Ubi Jacobsiana cum prioribus consentit, scripsi EJ. Lectionem vulgatam signavi ς.

[1]) Praeter summum lectionum consensum hi libri in eo quoque congruunt, quod utrobique praecedit Cornuti Θεωρία περὶ τῆς τῶν θεῶν φύσεως.

[2]) Nitidissimus liber etiam imaginibus veterum statuarum, quae Callistrateas quodammodo referunt, ornatus est.

ΚΑΛΛΙΣΤΡΑΤΟΥ ΕΚΦΡΑΣΕΙΣ.

ΕΙΣ ΣΑΤΥΡΟΝ.

145 J. α'. Ἄντρον ἦν περὶ Θήβας τὰς Αἰγυπτίας προσεικασμένον σύριγγι εἰς ἕλικας αὐτοφυῶς ἐν 890
κύκλῳ περὶ τοὺς τῆς γῆς ἑλιττόμενον πυθμένας. οὐ γὰρ ἐπ' εὐθείας ἀνοιγόμενον εἰς εὐθυπόρους
αὐλῶνας ἐσχίζετο, ἀλλὰ τὴν ὑπώρειον περιτρέχον καμπὴν ὑπογείους ἕλικας ἐξέτεινεν εἰς δυσεύρετον
πλάνην ἐκπίπτων. ἵδρυτο δὲ ἐν αὐτῷ σατύρου τι σχῆμα τεχνηθὲν ἐκ λίθου. εἱστήκει μὲν ἐπί τινος
κρηπῖδος εἰς χορείαν εὐτρεπίζων τὸ σχῆμα καὶ τῆς δεξιᾶς βάσεως τὸν ταρσὸν ὄπισθεν ἐξαίρων. 5
μετεχειρίζετο δὲ καὶ αὐλὸν καὶ πρὸς τὴν ἠχὴν πρῶτος ἐξανίστατο· τῇ μὲν γὰρ ἀκοῇ μέλος οὐ
προσῆπτεν αὐλοῦντος, οὐδὲ ἦν ὁ αὐλὸς ἔμφωνος, τὸ δὲ τῶν αὐλούντων πάθος διὰ τῆς τέχνης εἰς
τὴν πέτραν εἰσῆκτο. εἶδες ἂν ὑπανισταμένας καὶ φλέβας ὡς ἂν ἔκ τινος γεμιζομένας πνεύματος
καὶ εἰς τὴν ἐπήχησιν τοῦ αὐλοῦ τὴν πνοὴν ἐκ στέρνων τὸν σάτυρον ἀνασπῶντα καὶ ἐνεργεῖν ἐθέ-
λον τὸ εἴδωλον καὶ εἰς ἀγωνίαν τὸν λίθον πίπτοντα. εἶναι γὰρ ἔπειθε καὶ πνοῆς ἐξουσίαν ἐν 10
ἑαυτῷ ἔμφυτον καὶ ἄσθματος ἔνδειξιν ἐγειρομένην οἴκοθεν ἐκ τῶν ἀμηχάνων πόρου. οὐκ ἦν δὲ
146 ἀβρότητος μετέχον τὸ σῶμα, ἀλλ' ἡ τῶν μελῶν στερρότης τὴν ὥραν ἔκλεπτεν εἰς ἄρθρων συμμε-
τρίαν ἀνδρικῶν τὴν ἰδέαν τραχύνουσα. καλῆς μὲν γὰρ κόρης χρῶτες μαλθακοὶ καὶ πρόσφοροι καὶ
μέλη θρυπτόμενα, σατύρου δὲ αὐχμηρὸν τὸ εἶδος ὡς ἂν ὀρείου δαίμονος καὶ Διονύσῳ σκιρτῶντος.
κισσὸς δὲ αὐτὸν ἐστεφάνου οὐκ ἐκ λειμῶνος δρεψαμένης τὸν καρπὸν τῆς τέχνης, ἀλλ' ὁ λίθος ἀπο 15 891
στερρότητος εἰς κλῶνας χυθεὶς περιέθει τὴν κόμην εἰς συμβολὴν ἐπὶ τοὺς αὐχενίους τένοντας ἐκ
μετώπων προσέρπων. παρειστήκει δὲ ὁ Πὰν γανύμενος τῇ αὐλητικῇ καὶ ἐνηγκαλισμένος τὴν Ἠχώ,
ὥσπερ, οἶμαι, δεδιώς, μή τινα φθόγγον ἔμμουσον ὁ αὐλὸς κινήσας ἀντηχεῖν ἀναπείσῃ τῷ σατύρῳ
τὴν νύμφην. τοῦτο θεασάμενοι τὸ εἴδωλον καὶ τὸν Αἰθιόπων λίθον ἔμφωνον [Μέμνονος] ἐπιστεύο-
μεν γενέσθαι, ὃς προσιούσης μὲν τῆς Ἡμέρας ἐπὶ ταῖς παρουσίαις ἐφαιδρύνετο, ἀπιούσης δὲ ἀνία 20

Titulus in F: *Καλλιστράτου ἐκφράσεις.*

I. Lemma in ρ: *Φιλοστράτου ἔκφρασις εἰς σάτυρον.* In mg. corr. *Καλλιστράτου.* In F, p, φ adscr.: *εἰς σάτυρον, ὃς ἦν ἐν τῷ χωρίῳ, ἔνθα ἠσκεῖτο*, idem 2, E, ubi τῷ om. et legitur ἤσκητο. 1. ἦ. ρ. ib. ἦν τι. 2, E. J, P. ib. παρὰ Θήβας. ρ. 2. ἑλισσόμενον. p. ib. μυκτῆρας. F, φ. ib. ἐπευθείας. F. ἐπ' εὐδίας. ρ, φ. 3. ὑπόρειον. 1. ib. δυσήρετον. 1. 4. ἐκπίπτον. E, J, P. 5. κρηπίδος. E. ib. χορείαν. C, J, P. ut conj. J. Exerc. II, 6. χωρίον. E. ib. ἐκ τῆς. p. ἡ τῆς. F, φ. ib. ἐπὶ τὸν. F, p. 6. δὲ καὶ. 1. καὶ. ς. 7. προσεῖπεν. 1. ib. αὐχοῦντος ρ. ib. τὰ δὲ. mon. ib. διὰ δὲ τῆς τ. τὸ τ. αὐλ. πάθος. p. 8. εἶδεν. F. οἶδες. m, o. ib. ἐπανισταμένας p. 9. ἐπίχυσιν. 1. ib. τοῦ αὐλῶνος. F, ρ. ib. ἐθέλων. ρ. ἐθέλοντος, om. τὸ F, φ. 11. ἄσματος. p. ib. εὑρομένην velit J. Fo: ἐγείρων. ib. καὶ τῶν. F, φ. ib. πόρον. ρ et conj. J. πόρων. ς. ib. δὲ om. φ. ib. τὸ om. 1. 12. ἄλλα. mon. ib. στερρώτης. μ, mon. ib. ἄνθρων. f. 13. ἀγρίων τὴν ἰδέαν velit J. ἀνδρικῶς. p. ib. τραχύνον (sic.) F, ρ, φ. ib. καλὴ om. F, ρ. ib. ἡ δὲ κόρη (om. μὲν γὰρ.) 1. Sc. καλῆς — κόρης. Est καλὴ — κόρη in ς. ib. χρόες f. ib. μαλθακοὶ πρόσφοροι. 1. ib. πρόφοροι. mon. 14. σατύρῳ. p, J, P. σατύρου. ς. (F.) ib. ἂν om. F, φ. 15. λειμῶνος. F, φ. λειμώνων. ς. ib. ὑπὸ. 1. ε, m. 17. δὲ ὁ Π. 1. δὲ καὶ ὁ Π. 2, E, J, P. ib. γανύμενος. J. γαννύμενος. ς. ib. ἐνηγκαλισμένος. 1. ἐναγκαλισάμενος. ς. 19. θεασάμενος. ρ. ib. καὶ om. o. ib. τῶν Αἰθ. ρ, φ. ib. ἄμφωνον. 1. ib. *Μέμνωνος.* μ, mon. Nomen Jacobsio suspectum inclusi. 20. Ἡμέρας. J, P. ἡμέρας. ς.

βαλλόμενος πένθιμον ἐπέστενε καὶ μόνος ἐκ λίθων ἡδονῆς καὶ λύπης παρουσίᾳ διοικούμενος τῆς οἰκείας ἀπέστη κωφότητος εἰς ἐξουσίαν φωνῆς τὴν ἀναισθησίαν ἐκνικήσας.

ΕΙΣ ΤΟ ΒΑΚΧΗΣ ΑΓΑΛΜΑ.

β. Οὐ ποιητῶν καὶ λογοποιῶν μόνον ἐπιπνέονται τέχναι ἐπὶ τὰς γλώττας ἐκ θεῶν θειασμοῦ πεσόντος, ἀλλὰ καὶ τῶν δημιουργῶν αἱ χεῖρες θειοτέρων πνευμάτων ἐράνοις ληφθεῖσαι κάτοχα καὶ μεστὰ μανίας προφητεύουσι τὰ ποιήματα. ὁ γὰρ δὴ Σκόπας, ὥσπερ ἔκ τινος ἐπιπνοίας κινηθεὶς εἰς τὴν τοῦ ἀγάλματος δημιουργίαν τὴν θεοφορίαν ἐφῆκε. τί δὲ ὑμῖν οὐκ ἄνωθεν τὸν ἐνθουσιασμὸν τῆς τέχνης διηγοῦμαι; ἦν βάκχης ἄγαλμα ἐκ λίθου Παρίου πεποιημένον ἀλλαττόμενον πρὸς τὴν ὄντως βάκχην. ἐν γὰρ τῇ οἰκείᾳ τάξει μένων ὁ λίθος τὸν ἐν τοῖς λίθοις νόμον ἐκβαίνειν ἐδόκει, τὸ μὲν γὰρ φαινόμενον ὄντως ἦν εἴδωλον, ἡ τέχνη δ' εἰς τὸ ὄντως ὂν ἀπήγαγε τὴν μίμησιν. εἶδες ἄν, ὅτι καὶ στερεὸς ὢν εἰς τὴν τοῦ θήλεος εἰκασίαν ἐμαλάττετο, γοργότητος διορθουμένης τὸ θῆλυ, καὶ εἰς ἐξουσίαν ἀμοιρῶν κινήσεως ᾖδει βακχεύεσθαι, καὶ τῷ θεῷ εἰσιόντι τὰ ἔνδον ὑπῆκτει. πρόσωπόν γε μὴν ἰδόντες ὑπὸ ἀφασίας ἔστημεν, οὕτω δὴ καὶ αἰσθήσεως συνείπετο δήλωμα μὴ παρούσης αἰσθήσεως, καὶ βάκχης ἐκβακχεύων θειασμὸς ἐμηνύετο θειασμοῦ μὴ πλήττοντος, καὶ ὅσα φέρει μανίᾳ οἰστρῶσα ψυχή, τοσαῦτα πάθους διέλαμπε τὰ τεκμήρια ὑπὸ τῆς τέχνης ἀρρήτῳ λόγῳ κραθέντα. ἀνεῖτο δὲ ἡ κόμη ζεφύρῳ σοβεῖν καὶ εἰς τριχὸς ἄνθησιν ὑπεσχίζετο. ὃ δὴ καὶ μάλιστα τὸν λογισμὸν ὑπεξίστη, ὅτι καὶ τριχὸς λεπτότητι λίθος ὢν ἐπείθετο καὶ πλοκάμων ὑπήκουσε τοῖς μιμήμασι καὶ τῆς ζωτικῆς ἕξεως γεγυμνωμένος τὸ ζωτικὸν εἶχεν. ἔφης ἄν, ὅτι καὶ αὐξήσεως ἀφορμὰς ἡ τέχνη συνεισήγαγεν, οὕτω καὶ τὸ ὁρώμενον ἄπιστον καὶ τὸ μὴ πιστὸν ὁρώμενον· οὐ μὴν ἀλλὰ καὶ χεῖρας ἐνεργοὺς ἐπεδείκνυτο, οὐ γὰρ τὸν βακχικὸν ἐτίνασσε θύρσον, ἀλλά τι σφάγιον ἔφερεν ὥσπερ εὐάζουσα, πικροτέρας μανίας σύμβολον — τὸ δὲ ἦν χιμαίρας τι πλάσμα πελιδνὸν τὴν χρόαν, καὶ γὰρ τὸ τεθνηκὸς ὁ λίθος ὑπεδύετο — καὶ μίαν οὖσαν τὴν ὕλην εἰς θανάτου καὶ ζωῆς διῄρει τὴν μίμησιν, τὴν μὲν ἔμπνουν στήσασα καὶ οἷον ὀρεγομένην Κιθαιρῶνος, τὴν δὲ ἐκ τοῦ βακχικοῦ θανατωθεῖσαν οἴστρου καὶ τῶν αἰσθήσεων ἀπομαραίνουσαν τὴν ἀκμήν. ὁ μὲν οὖν Σκόπας καὶ τὰς ἀψύχους εἰδωλοποιῶν γενέσεις δημιουργὸς ἀληθείας ἦν, καὶ ἐν τοῖς σώμασι τῆς ψυχῆς ἀνετυποῦτο τὰ θαύματα, ὁ δὲ τὰ ἐν λόγοις διαπλάττων Δημοσθένης ἀγάλματα μικροῦ καὶ λόγων ἔδειξεν εἶδος αἰσθητὸν τοῖς νοῦ καὶ φρονήσεως γεννήμασι συγκεραννὺς τὰ τῆς τέχνης φάρμακα.

1. ἐπέστενεν. F. 2. οἰκίας. F, φ. ib. κουφότητος. 1. (φ et p ante corr.) κοφότητος, suprasc. υ. F. κωφότητος ο ex conj. Salm. et est in π, μ, mon. et p. ex corr.

II. Lemma est in C: εἰς τὸ Βάκχης ἄγαλμα. μεταφορικῶς δὲ (δὲ om. F, φ.) εἰς Δημοσθένους τέχνην διείλεκται. Idem in E. add. τὴν. 3. οὐ ποιητῶν — διηγοῦμαι om. p. ib. οὐ ποιητῶν. ρ, φ. οὐ ποιητῶν δὲ. ς. ib. ἐπιπνέονται. J conj. πνέονται. ς. ib. γλώσσας. ρ, φ. γλῶττας. o. 4. ἐρᾶν ληφθεῖσα. 1. 5. μεστὰ. F, et conj. J. μετὰ C, E (μετανοίας. φ.) 6. ἀφῆκε. φ, π. ἐφῆκεν. F. ἐφῆκε. ς. 7. ἄγαλμα τοῦ λίθου. F, φ. 8. τὸν δὲ ἐν λίθοις. ρ, φ. τὸν ἐν λίθῳ. F, p. 10. ἂν om. p. ib. καὶ om. p. ib. στερρὸς. F, ρ. 11. εἰς κινήσεως ἐξουσίαν velit J. ib. μοιρῶν. F, p, φ. ib. ᾖδη m, o. ib. τῶν θεῶν εἰσι . . . . τὰ. ρ cum lac. τῶν θεῶν . . . . . τὰ. F, φ. 12. ἀφασίαν. F. 14. μανίᾳ corr. m, probante J. μανίας. ς. Malim μανίαις. ib. τοσαῦτα πάθη. ρ, φ. τὸ πάθος. p. ib. δι' ἔλαμπε. μ, mon. ib. τεκμήρια. 1. τὰ τεκμ. 2, E, J, P. 15. τριχῶν. F. ib. ὑπεσχίζετο. 1. λίθος ὑπεσχίζετο. 2, E, J, P. ib. ὃ δὴ μάλιστα. ρ, μ, m. 16. ὑπερίστη. 1. ἐξίστη. p. ib. καὶ om. o. ib. ὑπήκουσε μιμήματα. F, ρ. ὑπήκουσε μιμήμασι. p, φ, ς. 17. τοῖς ζωτικῆς. μ. ib. προμνώμενος. 1. 18. συνήγαγεν. C (συνείγαγεν. μ, mon.) συνεισήγαγεν. E, J, P. ib. οὕτως. F. 19. τὸν βακχ. F, φ, p. τὸ βακχ. ρ. βακχ. ς. ib. ἐτινασε. f, a, i. ἐνετίνασε. μ, mon. 20. ἐβάξουσα. f. ib. πικρότερον. p. ib. χιμήρας. F. 21. Malis καὶ γὰρ καὶ τὸ. ib. τὸ τεχνικὸς. μ. 22. διῆρα. a, i. διῆρε. m. ubi γρ. διήρα ἢ διηρᾶτο. ib. τὴν om. p. ib. στήσασα. 1 (praeter F,) ut conj. J. στήσασαν. ς. 23. βακχικοῦ. 1. βακχείου. f, β. βακχίου. E, J. P. ib. οἴστρῳ. ρ, φ. 24. ἀληθής. p. ib. τοῖς ὕλης. μ. 25. ψυχῆς. conj. J. ὕλης. ς. Sc. etiam καὶ ἐν. ib. ἐν λόγοις. 1, J. ἐν λόγῳ. 2, E, P. ib. Δημοσθένους. 1. 26. ἔδοξεν. F. ib. φάρμακα — ὡς om. φ cum lac.

147, 148. p. 892, 893. II.

καὶ γνώσεσθε δὲ αὐτίκα, ὡς οὐδὲ τῆς οἴκοθεν κινήσεως ἐστέρηται τὸ εἰς θεωρίαν προκείμενον ἄγαλμα, ἀλλὰ καὶ ὁμοῦ δεσπόζει καὶ ἐν τῷ χαρακτῆρι σώζει τιν οἰκεῖον γεννήτορα.

ΕΙΣ ΤΟ ΤΟΥ ΕΡΩΤΟΣ ΑΓΑΛΜΑ.

γ'. Καὶ ἕτερα ἱερὰ τέχνης οἱ λόγοι προφητεῦσαι βούλονται. οὐ γάρ μοι θεμιτὸν μὴ καλεῖν ἱερὰ τὰ τέχνης γεννήματα· Ἔρως ἦν, Πραξιτέλους τέχνημα, ὁ Ἔρως αὐτός, παῖς ἀνθηρὸς καὶ νέος πτέρυγας ἔχων καὶ τόξα. χαλκὸς δὲ αὐτὸν ἐτύπου, καὶ ὡς ἂν Ἔρωτα τυπῶν τύραννον θεὸν καὶ μέγαν καὶ αὐτὸς ἐδυναστεύετο, οὐ γὰρ ἠνείχετο χαλκὸς εἶναι τὰ πάντα, ἀλλ' ὅσος ἦν, Ἔρως ἐγίνετο· εἶδες ἄν τὸν χαλκὸν θρυπτόμενον καὶ εἰς εὐσαρκίαν ἀμηχάνως χλιδῶντα καί, ὡς βραχέως εἰπεῖν, τὰ ἀναγκαῖα πληροῦν ἑαυτῇ τὴν τέχνην ἀρκοῦσαν. ὑγρὸς μὲν ἦν ἀμοιρῶν μαλακότητος, χαλκῷ δὲ ἔχων συνῳδὸν τὴν χρόαν εὐανθὴς ἑωρᾶτο, τῶν δὲ κινήσεως ἔργων ἐστερημένος ἕτοιμος 894
ἦν δεῖξαι κίνησιν, εἰς μὲν γὰρ ἕδραν στάσιμον ἵδρυτο, ἡπάτα δὲ ὡς καὶ τῆς μετεώρου κυριεύων
φορᾶς. ἐγαυροῦτο δὲ εἰς γέλωτα ἔμπυρόν τι καὶ μείλιχον ἐξ ὀμμάτων διαυγάζων, καὶ ἦν ἰδεῖν ὑπακούοντα τῷ πάθει τὸν χαλκὸν καὶ δεχόμενον εὐκόλως τὴν γέλωτος μίμησιν. ἵδρυτο δὲ εἰς μὲν τὴν κορυφὴν τὸν δεξιὸν ἐπικάμπτων καρπόν, τῇ δὲ ἑτέρᾳ μετεωρίζων τὸ τόξον καὶ τὴν τῆς βάσεως
ἰσορροπίαν ἐπικλίνων ἐπὶ τὰ λαιά, τὴν γὰρ τῆς ἀριστερᾶς λαγόνος ἔκστασιν ἀνίστη πρὸς τὴν εὐμαρότητα τοῦ χαλκοῦ τὸ στεγανὸν ἐκκλάσας. πλόκαμοι δὲ αὐτοῦ τὴν κεφαλὴν ἐσκίαζον ἀνθηροὶ
καὶ ἕνουλοι νεοτήσιον ὑπολάμποντες ἄνθος. καὶ ἦν θαυμαστὸς οἷος ὁ χαλκός· ἰδόντι μὲν γὰρ ἔρευθος ἀπέστιλβεν ἐξ ἄκρων βοστρύχων αἱρόμενον, ἁψαμένῳ δὲ ἡ θρὶξ ὑπεξανίστατο μαλθακιζομένη πρὸς τὴν αἴσθησιν. ἐμοὶ μὲν δὴ θεασαμένῳ τὴν τέχνην ἐπῄει πιστεύειν, ὅτι καὶ χορὸν ἤσκησε κινούμενον Δαίδαλος καὶ χρυσῷ παρεῖχεν αἰσθήσεις, ὅπου καὶ Πραξιτέλης εἰς τὴν εἰκόνα τοῦ Ἔρωτος ἐνέθηκε μικροῦ καὶ νοήματα καὶ πτέρυγι τὸν ἀέρα τέμνειν ἐμηχανήσατο.

ΕΙΣ ΙΝΔΟΥ ΑΓΑΛΜΑ.

δ'. Παρὰ κρήνην Ἰνδὸς εἵστηκει ἀνάθημα ταῖς νύμφαις ἱδρυθείς, ἦν δὲ ὁ Ἰνδὸς λίθος μελαινόμενος καὶ πρὸς τὴν ἐκ φύσεως τοῦ γένους αὐτομολῶν χρόαν, εἶχε δὲ εὐθαλῆ μὲν καὶ οὔλην τὴν χαίτην οὐκ ἀκράτῳ τῷ μέλανι λάμπουσαν, ἀλλ' ἐκ τῶν ἄκρων πρὸς κόχλου Τυρίας ἄνθος ἐρίζουσαν. οἷον γὰρ εὐπαθοῦσα καὶ νοτιζομένη ταῖς προσοίκοις νύμφαις ἡ θρὶξ ἐκ ῥιζῶν ἀνιοῦσα μελάντερος πρὸς τοῖς ἄκροις ἐπόρφυρεν. ὀφθαλμοί γε μὴν οὐ συνῇδον τῷ λίθῳ, κατὰ γὰρ τὰς 895
τῶν ὀμμάτων κόρας περιέθει λευκότης κατ' ἐκεῖνο τὸ μέρος τῆς πέτρας μεταπιπτούσης εἰς τὸ λευκό-

1. γνώσεσθαι. μ. 2. δεσπόζει – σώζει om. φ. cum lac. ib. οἰκεῖον om. 1.

III. (vulgo IV.) Lemma in F, ρ, φ, p: ἀπὸ τῆς βάκχης τὸν Ἔρωτα. in π, ε, m. ἀπὸ δὲ τῆς βάκχης τὸν Ἔρωτα. in o: ἀπὸ δὲ τῆς β. πρὸς τὸν Ἔρωτα. Omissa in v, f. 3. καὶ ἕτερα – γεννήματα om. p. ib. ἕτερα ἱερὰ conj. Salm. et Gruter. receptum in P, ἑτέρας ἱερᾶς. ς. ib. ὀλίγοι. F. 4. περά. F. ib. τὰ τῆς τέχνης. ρ. τὰ τέχνης. F. v, φ, π, J, P. τέχνης. E. ib. γενήματα. F. ib. εὕρεμα. p. 5. χαλκὸς – ἐτύπου om. 1. 6. χαλκοῦς. F, φ, π, μ, sed suprasc. χαλκός. E. ib. γενέσθαι. p. ib. ὅσος. 1, J, P. ὅσον. 2, E. 27. καὶ οὐκ ἐπιτροπεύειν αἴσθησιν ποιοῦσα θρύπτεσθαι εἰς εὐσαρκίαν F. 8. ἑαυτῇ, conj. m. rec. o. ἑαυτὴν. ς. ib. τὴν τέχνην. φ, P. τὴν ὕλην. ς. ib. ὑγρὸς μὲν ἦν om. F. ib. ὑγρὸν. μ. ib. μεγαλότητος. F, p. μαλακότητος conj. J. μεγαλειότητος. ς. 9. χροιάν. ρ. χροίαν. o. χρείαν. a, i et m, ubi mg. lo. χροίαν. ib. εὐαλθής. m. ib. κινήσεων. ρ, φ. ib. ἐνεργῶν. F. ib. ἕτοιμον. v. 10. κινήσεων. 1. 11. διαυγάζων ἐξ ὀμμάτων. 1, praeter F. 12. χαλινόν. p. 14. ἰσοροπίαν. F. ib. ἐπιταλαιά. F. ib. ἔκτασιν. φ, π. ib. τὴν deleverim. 15. ἐκηλάσας. v. 16. νεότησιν. f. 17. ἁλομένῳ. p. ib. μὲν δὴ. 1. δὴ. p, E. δὲ J. μέντοι ex conj. P. 18. καὶ χρόνον. F. 19. χρυσῷ. 1, P. χρυσοῦ. p. χρόα. 2, E, J. ib. ὅπον καὶ. 1, J, P. ὅπου. ς. ib. τοῦ om. E. 20. ἐμηχανᾶτο τέμνειν. F.

IV. (vulgo III.) Lemma in ρ: εἰς Ἰνδοῦ ἄγαλμα et εἰς τὸ τοῦ Ἰ. ἄ. E, J. 21. παρὰ – ἀνάθ. om. ρ, φ. ib. ἱδρυνθείς. φ, p. 22. χρείαν. F. Sc. χρόαν pro χροιάν. ς. ib. μὲν οὖλην. φ. ib. μὲν ὕλην. F. ib. εὐθαλῆ ᾶ καὶ. φ, ρ. 23. ἄκρῳ. F. ἀκράτως. μ. 24. τοῖς προσοίκοις. J. ib. λοῦσα. F, φ. 25. Malis μελαντέρα. ib. ὀφθαλμοὺς. p. ib. περιρρέει. p. ib. μεταπιπτούσας. F, ρ. ib. εἰς λευκότητα. 1, P. εἰς τὸ λευκότερον. p, J. εἰς λευκότερον. 2, E.

150. p. 894, 895. III, IV.

τερον, καθ' ὃ καὶ τῆς τοῦ Ἰνδοῦ φύσεως ἡ χρόα λευκαίνεται. μέθη δὲ αὐτὸν ἐξίστη καὶ τὸ μεμεθυσμένον οὐ κατεμήνυεν ἡ τοῦ λίθου χρόα, οὐ γὰρ ἦν αὐτῷ μηχάνημα τὰς παρειὰς φοινίξαι σκίποντος τοῦ μέλανος τὴν μέθην, ἐκ δὲ τοῦ σχήματος κατηγόρει τὸ πάθος. παράφορός τε γὰρ καὶ κωμάζων εἱστήκει οὐ δυνάμενος ἐρείδειν τῷ πόδε, ἀλλ' ὑπότρομός τε καὶ εἰς τὴν γῆν ὀκλάζων. ὁ δὲ λίθος ὑπὸ τοῦ πάθους ἐῴκει πληγέντι καὶ οἱονεὶ σπαίρειν τὸν ἀπὸ τῆς μέθης ἐμφανίζων σεισμόν. εἶχε δὲ ἄβρὸν οὐδὲν τοῦ Ἰνδοῦ τὸ εἴδωλον, οὐδ' εἰς τὴν κατὰ χρόαν ἐξήσκητο χάριν, ἀλλ' εἰς μόνην τῶν μελῶν συμβολὴν διήρθρωτο. ἀσκεπὴς δὲ ἦν καὶ γυμνὸς ὡς ἂν τῶν Ἰνδικῶν σωμάτων πρὸς τὸ τῆς ἀκμῆς φλογῶδες εἰωθότων ἀπανθρίζεσθαι.

ΕΙΣ ΤΟ ΤΟΥ ΝΑΡΚΙΣΣΟΥ ΑΓΑΛΜΑ

ε'. Ἄλσος ἦν καὶ ἐν αὐτῷ κρήνη πάγκαλος ἐκ μάλα καθαροῦ τε καὶ διαυγοῦς ὕδατος, εἰστήκει δὲ ἐπ' αὐτῇ Νάρκισσος ἐκ λίθου πεποιημένος. παῖς ἦν, μᾶλλον δὲ ἡλίκιώτης ἐρώτων, ἀστραπῆς οἷον ἀπ' αὐτοῦ τοῦ σώματος ἀπολάμπων κάλλος. ἦν δὲ τοιόνδε τὸ σχῆμα· κόμαις ἐπιχρύσοις ἤστραπτε κατὰ μὲν τὸ μέτωπον τῆς τριχὸς ἑλισσομένης εἰς κύκλον, κατὰ δὲ τὸν αὐχένα κεχυμένης εἰς νῶτα, ἔβλεπε δὲ οὐκ ἀκράτως γαῦρον, οὐδὲ ἱλαρὸν καθαρῶς, ἐπεφύκει γὰρ ἐν τοῖς ὄμμασιν ἐκ τῆς τέχνης καὶ λύπη, ἵνα μετὰ τοῦ Ναρκίσσου καὶ τὴν τύχην ἡ εἰκὼν μιμῆται. ἔσταλτο δὲ ὥσπερ οἱ Ἔρωτες, οἷς καὶ τῆς ὥρας τὴν ἀκμὴν προσείκαστο. σχῆμα δὲ ἦν τὸ κοσμοῦν τοιόνδε· πέπλος λευκανθὴς ὁμόχρους τῷ σώματι τοῦ λίθου περιθέων εἰς κύκλον, κατὰ δὲ τὸν δεξιὸν ὦμον περονηθεὶς ὑπὲρ γόνυ καταβαίνων ἐπαύετο, μόνην ἀπὸ τοῦ πορπήματος ἐλευθερῶν τὴν χεῖρα. οὕτω δὲ ἦν ἁπαλὸς καὶ πρὸς πέπλου γεγονὼς μίμησιν, ὡς καὶ τὴν τοῦ σώ-
896 ματος διαλάμπειν χρόαν τῆς ἐν τῇ περιβολῇ λευκότητος τὴν ἐν τοῖς μέλεσιν αὐγὴν ἐξιέναι συγχωρούσης. ἕστη δὲ καθάπερ κατόπτρῳ τῇ πηγῇ χρώμενος καὶ εἰς αὐτὴν περιχέων τοῦ προσώπου τὸ εἶδος. ἡ δὲ τοὺς ἀπ' αὐτοῦ δεχομένη χαρακτῆρας τὴν αὐτὴν εἰδωλοποιίαν ἤννεν, ὡς δοκεῖν ἀλλήλαις ἀντιφιλοτιμεῖσθαι τὰς φύσεις. ἡ μὲν γὰρ λίθος ὅλη πρὸς ἐκεῖνον μετηλλάττετο τὸν ὄντως παῖδα, ἡ δὲ πηγὴ πρὸς τὰ ἐν τῇ λίθῳ μηχανήματα τῆς τέχνης ἀντηγωνίζετο ἐν ἀσωμάτῳ σχήματι τὴν ἐκ σώματος ἀπεργαζομένη τοῦ παραδείγματος ὁμοιότητα καὶ τῷ ἐκ τῆς εἰκόνος κατερχομένῳ σκιάσματι οἷον τινὰ σάρκα τὴν τοῦ ὕδατος φύσιν περιθεῖσα. οὕτω δὲ ἦν ζωτικὸν καὶ ἔμπνουν τὸ καθ' ὑδάτων σχῆμα, ὡς αὐτὸν εἶναι δοξάσαι τὸν Νάρκισσον, ὃν ἐπὶ πηγὴν ἐλθόντα τῆς μορφῆς αὐτῷ καθ' ὑδάτων ὀφθείσης παρὰ νύμφαις τελευτῆσαι λέγουσιν ἐρασθέντα τῷ εἰδώλῳ

1. λευκαίνεται. 1 (p, ψ), conj. o, rec. J, P. μελαίνεται. 2, ε, m. 2. κατεμήνυεν. p. κατεμήνυσεν. ς. ib. φοινίξαι. E, J, P. ib. σκίπεται. p. 3. ἐδήλου κατηγορεῖν. p. ib. τὸ πάθος. 1, P. τοῦ πάθους. 2, E, J. ib. τε om. ρ. 4. εἰς τὴν γῆν. p, J. ὑπὸ τὴν γῆν. 1, 2, E. ὑπὸ γῆν μ. εἰς τὴν ἰγνὺν conj. J, rec. P. 5. σπαίρει o, J, in m. σπαίρειν et γρ. σπαίρων. ib. ἀφανίζων. F. 6. αὐρὸν. ρ. ib. οὐδὲν ἀβρὸν. p, J. οὐδὲ ἁβρόν. ψ. ἁβρὸν οὐδὲ. F. ib. ἑκάστην. 2. ib. κατὰ χρόνον. F, φ. ib. ἐξήσκητο. 1, (ψ,) J. (ἐξίσχετο. F.) ἐξήσκει. 2, E. 7. μόνων. 1. (μόνοι. F.) 8. πρὸς — εἰωθότων om. p.

V. Lemma: εἰς τὸ τοῦ Ναρκίσσου ἄγαλμα, ὃ ἦν ἐν τῷ ἀγρῷ, ἔνθα ἤσκητο. F, ρ et p, ubi οὗ ἠσκεῖτο. 9. τι om. J. 10. δὲ om. ρ. ib. ἐν αὐτῇ. F. ἐπ' αὐτῷ. p. ib. Νάρκισος. μ, E. ib. λίθου. 1, P. λίθου λευκοῦ. 2, E, J. ib. παῖς ἦν om. p. ib. δὲ om. μ, non f. 11. ἀστραπῆς. F, ρ, p. ἀστραπὴν. ς. ib. ἀπ' αὐτοῦ. 1, P. ἐξ αὐτοῦ 2, E, J. ib. κάλλος. 1, P. κάλλους. 2, E, J. 12. ἤστραπτεν. F. ἤστραπτο. ρ, φ. ib. κατὰ — καθαρῶς. l. 13. δὲ om. l. ib. κεχ. εἰς νῶτα τῆς κόμης. l. ib. ἔβλεπε om. ρ, cum lac. 14. ἐπεφύκει. 1, praeter F. ἐπιπεφύκει. F, 2 E, J. ἐνεπεφύκει. P. ib. ὄμμασι. J. ib. Ναρκίσου. μ, E. 15. δὲ om. φ, ρ. ib. οἱ ἐρῶντες. ν, p, μ, ε. 16. λευκανθὴς conj. J, rec. P. λευκανθεὶς. ς. ib. ὁμόχρους. ρ, φ, ν, P. ὁμόχρως. ς. 17. περονηθεὶς. F, et sic conj. J. περωνηθεὶς. φ. περονιθεὶς. ν. περινοηθεὶς. p. De ρ non constat. περονίδες. 2, E, J. ib. καταβαίνουσαι ἐπαύοντο π, μ, E. 19. διαλάμπει. F. ib. λεπτότητος velit J. ib. μὴ συγχ. F, ρ. 20. χρώμενος τῇ πηγῇ. p. 21. ἀλλήλας F, ρ. ἀλλήλως. p. ἀλλήλους. π, f. ἀλλήλοις. ς. Sc. ἀλλήλαις. 23. ἐν ἀσωμάτῳ — περιθεῖσα. l. ib. σχήματι τὴν ἐκ σχήματος. p. σχήματι πρὸς τὴν τοῦ π. F, φ. 24. παραδείγματος. 1 et π, ubi γρ. σχήματος. J, P. σχήματος. p. 2, E ib. κατερχομένῳ. l, o. κατεχομένῳ. ς. (F.) 25. παραθεῖσα. p. 26. χρῶμα. 1. χρώμενον. p. 27. παρὰ. p, π. ib. νύμφῃ. 2, E. ib. τελευτῆ. ρ, ν.

149, 151. p. 896, V

συμμῖξαι, καὶ νῦν ἐν λειμῶσι φαντάζεσθαι ἐν ἠρινα῀ις ὥραις ἀνθοῦντα. εἶδες δ' ἄν, ὡς εἰς ὢν ὁ λίθος τὴν χρόαν καὶ ὀμμάτων κατασκευὴν ἥρμοζε καὶ ἠθῶν ἱστορίαν ἔσωζε καὶ αἰσθήσεις ἐνεδείκνυτο καὶ πάθη ἐμήνυε καὶ πρὸς τριχώματος ἐξουσίαν ἠκολούθει εἰς τὴν τριχὸς καμπὴν λυόμενος. τὸ δὲ οὐ λόγῳ ῥητὸν λίθος εἰς ὑγρότητα κεχαλασμένος καὶ ἐναντίον σῶμα τῇ οὐσίᾳ παρεχόμενος· στερεωτέρας γὰρ τετυχηκὼς φύσεως τρυφερότητος ἀπέστελλεν αἴσθησιν εἰς ἀραιόν τινα σώματος ὄγκον διαχεόμενος. μετεχειρίζετο δὲ καὶ σύριγγα, ἧ῀ς νομίοις θεοῖς ἐκεῖνος ἀπήρχετο καὶ τὴν ἐρημίαν κατήχει τοῖς μέλεσιν, εἴποτε μουσικοῖς ψαλτηρίοις προσομιλῆσαι ποθήσειε. τοῦτον θαυμάσας,
152 ὦ νέοι, τὸν Νάρκισσον καὶ εἰς ὑμᾶς παρήγαγον εἰς Μουσῶν αὐλὴν ἀποτυπωσάμενος. ἔχει δὲ ὁ λόγος, ὡς καὶ ἡ εἰκὼν εἶχεν.

ΕΙΣ ΤΟ ΕΝ ΣΙΚΤΩΝΙ ΑΓΑΛΜΑ ΤΟΥ ΚΑΙΡΟΥ.

ς'. Ἐθέλω σοι καὶ τὸ Λυσίππου δημιούργημα τῷ λόγῳ παραστῆσαι, ὅπερ ἀγαλμάτων κάλλι- 897
στον ὁ δημιουργὸς τεχνησάμενος Σικυωνίοις εἰς θέαν προῦθηκε· Καιρὸς ἦν εἰς ἄγαλμα τετυπωμένος ἐκ χαλκοῦ πρὸς τὴν φύσιν ἀμιλλωμένης τῆς τέχνης. παῖς δὲ ἦν ὁ Καιρὸς ἡβῶν ἐκ κεφαλῆς ἐς πόδας ἐπανορθῶν τὸ τῆς ἥβης ἄνθος. ἦν δὲ τὴν μὲν ὄψιν ὡραῖος σείων ἴουλον καὶ ζεφύρῳ τινάσσειν, πρὸς ὃ βούλοιτο, καταλείπων τὴν κόμην ἄνετον, τὴν δὲ χρόαν εἶχεν ἀνθηρὰν τῇ λαμπηδόνι τοῦ σώματος τὰ ἄνθη δηλῶν. ἦν δὲ Διονύσῳ κατὰ τὸ πλεῖστον ἐμφερής· τὰ μὲν γὰρ μέ-
τωπα χάρισιν ἔστιλβεν, αἱ παρειαὶ δὲ αὐτῷ εἰς ἄνθος ἐρευθόμεναι νεοτήσιον ὡραΐζοντο ἐπιβάλλουσαι τοῖς ὄμμασιν ἁπαλὸν ἐρύθημα, εἱστήκει δὲ ἐπί τινος σφαίρας ἐπ' ἄκρων τῶν ταρσῶν βεβηκὼς ἐπτερωμένος τὼ πόδε. ἐπεφύκει δὲ οὐ νενομισμένως ἡ θρίξ, ἀλλ' ἡ μὲν κόμη κατὰ τῶν ὀφρύων ἐφέρπουσα ταῖς παρειαῖς ἐπέσειε τὸν βόστρυχον, τὰ δὲ ὄπισθεν ἦν τοῦ καιροῦ πλοκάμων ἐλεύθερα μόνην τὴν ἐκ γενέσεως βλάστην ἐπιφαίνοντα τῆς τριχός. ἡμεῖς μὲν οὖν ἀφασίᾳ πληγέντες
πρὸς τὴν θέαν εἱστήκειμεν τὸν χαλκὸν ὁρῶντες ἔργα φύσεως μηχανώμενον καὶ τῆς οἰκείας ἐκβαίνοντα τάξεως· χαλκὸς μὲν γὰρ ὢν ἠρυθραίνετο, σκληρὸς δὲ ὢν τὴν φύσιν διεχεῖτο μαλακῶς, εἴκων
153 τῇ τέχνῃ πρὸς ὃ βούλοιτο, σπανίζων δὲ αἰσθήσεως ζωτικῆς ἔνοικον ἔχειν ἐπιστοῦτο τὴν αἴσθησιν καὶ ὄντως ἐστήρικτο πάγιον τὸν ταρσὸν ἐρείσας, ἑστὼς δὲ ὁρμῆς ἐξουσίαν ἔχειν ἐδείκνυτο καί σοι τὸν ὀφθαλμὸν ἥπατα, ὡς καὶ τῆς εἰς τὸ πρόσω κυριεύων φορᾶς, καὶ παρὰ τοῦ δημιουργοῦ λαβὼν
καὶ τὴν ἀέριον λῆξιν τέμνειν, εἰ βούλοιτο, ταῖς πτέρυξι. καὶ τὸ μὲν ἡμῖν θαῦμα τοιοῦτον ἦν, εἷς δέ τις τῶν περὶ τὰς τέχνας σοφῶν καὶ εἰδότων σὺν αἰσθήσει τεχνικωτέρᾳ τὰ τῶν δημιουργῶν ἀνιχνεύειν θαύματα καὶ λογισμὸν ἐπῆγε τῷ τεχνήματι, τὴν τοῦ καιροῦ δύναμιν ἐν τῇ τέχνῃ σω- 898
ζομένην ἐξηγούμενος· τὸ μὲν γὰρ πτέρωμα τῶν ταρσῶν αἰνίττεσθαι τὴν ὠξύτητα, καὶ ὡς τὸν πολὺν ἀνελίττων αἰῶνα φέρεται ταῖς ὥραις ἐποχούμενος, τὴν δὲ ἐπανθοῦσαν ὥραν, ὅτι πᾶν εὔκαιρον

1. συμμῖξαι. E, J, P. ib. νῦν om. p. ib. λειμῶσι. 1. λειμῶνι. ς. ib. ἐνηριναῖς. F. ib. εἶδες δ' ἄν. 1, J, P. εἶδες ἂν. 2, E. ib. καὶ ὁ λίθος. p. 2. εἰς ὀμμάτων. φ. ib. ἔσωζεν. F. 3. ἐμήνυεν. F. ib. χρώματος. p. ib. οὐσίαν velit J. ib. τὴν om. ρ, ν. 4. οὐ λόγ. 1, p. οὐδὲ λόγ. ς. ib. λόγου. F. ib. ῥητὸν δὲ. p. ib. ὑγρότητας. F, ρ. ib. κεχαλασμένας. F, ν. ib. ἐναντίοις. ρ. 5. στερρεωτέρας. F. ib. τρυφερότης. ρ. τρυφερωτάτην. p. 6. διαδεχόμενος. ρ, φ, ν. δεχόμενος. F, p. ib. οἷς. p. 7. μουσικῆς. p. ib. ποθήσειεν. F. θελήσειε. p. 8. ἡμᾶς. i2, m, o. ib. ἀποτυπωσάμενος. 1, P. ὑποτυπ. ς. ib. ἔχει — εἶχεν om. F, p. ib. ἔχον. o.

VI. Lemma: εἰς τὸ ἐν Σικυῶνι (Συκεών. μ). ἄγαλμα. 10. ἐθέλω σοι. 1. ἐθέλω δέ σοι. ς. ib. χρυσίππου. 1, p. ψ et π ubi mg. γρ. Λυσίππου. 11. τεχνισάμενος. m, o. 12. ἀμιλλώμενος. f, π, μ, ε. 13. ἐπανορθῶν. 1. ἐπανθῶν. 2, E, J, P. ib. σπείρων velit J. ib. καὶ om. p. 14. τινάσειν. f, μ, ε. ib. Sc. καταλείπων, pro καταλιπών. ς. 15. Διονύσου. p. 16. αὐτοῦ. ρ, φ, p. νεωτήσιον. p, μ. ib. ἐπιβάλλουσι. p. 17. τοῖς σώμασιν. ρ, φ. 18. οὐ om. p. 19. ὑφέρπουσα. φ, ν, p, P. 22. τάξεως ἐκβαίνοντα. ρ, φ. ib. ἠρυθαίνετο. ρ, φ. ἐρυθραίνετο. J. ib. σκιρός. ρ. ib. μαλακῶς. 1, π, μ, P. μαλθακῶδες. p. μαλθακῶς. ς. 24. ὄντως. φ et π, ubi mg. οὕτως, et conj. J. Exerc. 40. rec. P. οὕτως. ς. ib. καίτοι. 1, P. καὶ om. p. καὶ (om. σοι), π. 25. ὡς τῆς. p. ib. παρὰ τῷ δημιουργῷ. p. 26. λῆξιν conj. Abresch. ad Aeschyl. III, 78. πλῆξιν. C, E. 27. τις om. p. ib. τεχνικώτερον. p. 28. λογισμοῦ. f, μ, E. ib. ἐπῆδε. 2, E. ἐπῆγε, quod 1, ψ habent conj. J. Exerc. 41. 29. αἰνίττουσα. ρ, ν, non φ. ib. ταχύτητα. p. ib. καὶ ὡ. ρ, μ, ε, m. ᾧ P. 30. ἀγῶνα. 1 et P, ubi ἀγῶνα ὡς φ. ib. ταῖς αὔραις velit J. τὰς ὥρας. p. ib. ὅτε. p.

152, 153. p. 897, 898. VI.

τὸ ὡραῖον καὶ μόνος κάλλους δημιουργὸς ὁ καιρός, τὸ δὲ ἀπηνθηκὸς ἅπαν ἔξω τῆς καιροῦ φύσεως, τὴν δὲ κατὰ τοῦ μετώπου κόμην, ὅτι προσιόντος μὲν αὐτοῦ λαβέσθαι ῥᾴδιον, παρελθόντος δὲ ἡ τῶν πραγμάτων ἀκμὴ συνεξέρχεται καὶ οὐκ ἔστιν ὀλιγωρηθέντα λαβεῖν τὸν καιρόν.

ΕΙΣ ΤΟ ΤΟΥ ΟΡΦΕΩΣ ΑΓΑΛΜΑ.

ζ. Ἐν τῷ Ἑλικῶνι, τέμενος δὲ τῶν Μουσῶν σκιερὸν ὁ χῶρος, παρὰ τοὺς Ὀλμειοῦ τοῦ ποταμοῦ ῥύακας καὶ τὴν ἰοειδέα Πηγάσου κρήνην Ὀρφέως ἄγαλμα τοῦ τῆς Καλλιόπης παρὰ τὰς Μούσας εἱστήκει ἰδεῖν μὲν κάλλιστον, ὁ γὰρ χαλκὸς τῇ τέχνῃ συναπέτικτε τὸ κάλλος τῇ τοῦ σώματος ἀγλαΐᾳ τὸ μουσικὸν ἐπισημαίνων τῆς ψυχῆς, ἐκόσμει δὲ αὐτὸν τιάρα Περσικὴ χρυσῷ κατάστικτος ἀπὸ κορυφῆς εἰς ὕψος ἀνέχουσα, χιτὼν δὲ ἐξ ὤμων ἀπαγόμενος εἰς πόδας τελαμῶνι χρυσέῳ κατὰ τῶν 151
στέρνων ἐσφίγγετο, κόμη δὲ οὕτως ἦν εὐανθὴς καὶ ζωτικὸν ἐπισημαίνουσα καὶ ἔμπνουν, ὡς ἀπατᾶν τὴν αἴσθησιν, ὅτι καὶ πρὸς τὰς ζεφύρου πνοὰς σειομένη δονεῖται. ἡ μὲν γὰρ ἐπαυχένιος κατὰ νώτου χυθεῖσα, ἡ δὲ ταῖς ὀφρύσιν ἄνωθεν δισχιδὴς ἐπιβαίνουσα καθαρὰς τῶν ὀμμάτων ἔφαινε τὰς βολάς, τὸ πέδιλον δὲ αὐτῷ ξανθοτάτῳ χρυσῷ κατήνθιστο καὶ πέπλος κατὰ νώτου ἄνετος εἰς σφυρὸν κατήει, μετεχειρίζετο δὲ τὴν λύραν, ἡ δὲ ἰσαρίθμους ταῖς Μούσαις ἐξῆπτο τοὺς φθόγγους· ὁ γὰρ χαλκὸς καὶ νευρὰς ὑπεκρίνετο καὶ πρὸς τὴν ἑκάστου μίμησιν ἀλλαττόμενος πειθηνίως ὑπήγετο μικροῦ καὶ πρὸς αὐτὴν τὴν ἠχὴν τῶν φθόγγων φωνήεις γινόμενος. ὑπὸ δὲ τῶν ποδῶν τὴν βάσιν οὐκ οὐρανὸς ἦν τυπωθείς, οὐδὲ Πλειάδες τὸν αἰθέρα τέμνουσαι, οὐδὲ Ἄρκτου
899 περιστροφαὶ τῶν Ὠκεανοῦ λουτρῶν ἄμοιροι, ἀλλ' ἦν πᾶν μὲν τὸ ὀρνίθων γένος πρὸς τὴν ᾠδὴν ἐξιστάμενον, πάντες δὲ οἱ ὄρειοι θῆρες, καὶ ὅσον ἐν θαλάττης μυχοῖς νέμεται, καὶ ἵππος ἐθέλγετο ἀντὶ χαλινοῦ τῷ μέλει κρατούμενος καὶ βοῦς ἀφεὶς τὰς νομὰς τῆς λυρῳδίας ἤκουε καὶ λεόντων ἄτεγκτος φύσις πρὸς τὴν ἁρμονίαν κατηυνάζετο. εἶδες ἂν καὶ ποταμοὺς τυποῦντα τὸν χαλκὸν ἐκ πηγῶν ἐπὶ τὰ μέλη ῥέοντας καὶ κῦμα θαλάσσης ἔρωτι τῆς ᾠδῆς ὑψούμενον καὶ πέτρας αἰσθήσει πληττομένας μουσικῆς καὶ πᾶσαν βλάστην ὥριον ἐξ ἠθῶν ἐπὶ τὴν μοῦσαν τὴν Ὀρφικὴν σπεύδουσαν, καὶ οὐδὲν μὲν ἦν τὸ ἠχοῦν, οὐδὲ τὴν ἁρμονίαν τὴν λυρῳδὸν ἐγεῖρον, ἡ τέχνη δὲ ἐν τοῖς ζῴοις τοῦ περὶ τὴν μουσικὴν ἔρωτος τὰ πάθη κατεμήνυε καὶ ἐν τῷ χαλκῷ τὰς ἡδονὰς ἐποίει φαίνεσθαι καὶ τὰ ἐπανθοῦντα τῇ αἰσθήσει τῶν ζῴων θελκτήρια ἀρρήτως ἐξέφαινεν.

ΕΙΣ ΤΟ ΤΟΥ ΔΙΟΝΥΣΟΥ ΑΓΑΛΜΑ.

η'. Δαιδάλῳ μὲν ἐξῆν, εἰ δεῖ τῷ περὶ Κρήτην πιστεύειν θαύματι, κινούμενα μηχανᾶσθαι ποιήματα καὶ πρὸς ἀνθρωπίνην αἴσθησιν ἐκβιάζεσθαι τὸν χρυσόν, αἱ δὲ δὴ Πραξιτέλειοι χεῖρες ζωτικὰ 155

1. ἀπηνθικός. p. 2. κατὰ τὴν μετώπου. f, ε. ib. κώμην. ρ. 3. τῇ τῶν πρ. ἀκμῇ. p. ἡ τῶν πρ. ἀ. v.

VII. Lemma εἰς τὸ Ὀρφέως (τὸ τοῦ Ὀρφ. E). ἄγαλμα. ρ. 4. περὶ τοὺς. p. ib. Ὀμειοῦ. ρ, v. 5. Πηγάσου καλὸν καὶ Ὀρφ. p. ib. τοῦ om. ρ, v, π, μ et ε, m. habet in mg. p. suprasc. ib. περὶ τὰς. p, ε. 6. χαλκὸς γὰρ τῷ τεχνήματι ἀπέτικτε. p. ib. τῇ δὲ. C, E, P. ib. δὲ delevi J. auctore. 7. ἐπισημαίνων. p, J, P. ἐπισημαίνον. ς ib. αὐτὸν om. ρ, φ. ib. χρυσῇ. p. 8. ἀνίσχουσα. p, J. ib. χιτὼν — αἴσθησιν. l. ib. ἐξ ὤμου. l. ib. τελαμῶνι — ἐσφίγγετο om. l. 9. στέρνον. ρ, v, P. στέρνων. p. τὸ στέρνον. π. τῶν στέρνων. 2, E, J. ib. ζωτικὴν. p. ib. ἐπισήνουσα. l. 10. ὑπανχένιος. ρ. 11. χυθεῖσα. 1, P. χεθεῖσα. 2, E, J. ib. ταῖς ὀφρύσιν. C, J, P ὀφρὺ excidit in ρ. ὀφρύσιν. E. ib. δισχιδὴς. 1, J, P. δισχιδὸν. 2, E. ib. ἐπιβαίνουσα. J ex conj. et P. ἐπιφαίνουσα. ς. 12. ἔφαιν. φ. ου v et φ ex corr. ib. κατὰ νῶτον. 1, P. κατὰ τὰ νῶτα. π. sic corr. 13. ἄνετος. 1, P. ἄφετος. p, 2, E, J. ib. εἰς σφυρὸν. 1, P. εἰς σφυρὰ. 2, EJ. ib. ἰσαρίθμαις. 2, ε, m. 14. ἐπεκρίνετο. 1, m. ib. πειθήκως. ρ. πειθηνίως. φ, v. πιθηνίως. ς. 15. ἠπείγετο. 1, P. ib. φωνὴ. ρ, φ. φωνήσεις. v. ib. γινόμενος. 1. γενόμενος. ς. 16. οὐδὲ πλασάρου αἰθέρα. p. 17. μὲν πᾶν. ρ, v. ib. τὸ ὀρνίθων. 1, J, P. ὀρνίθων. 2, E. 18. δὲ οἱ. p, J, P. δὲ. ς. ib. θαλάττους ε 20. ἄτεκτος. f, μ. Malim ἡ ἄτεγκτος. 21. θαλάττης. ρ. ib. ἔρωτι καὶ ᾠδῆς. ρ. ἐρωτικαῖς. φ, P. ib. αἰσθήσει om. 2, E. 22. μουσικῆς. 1, J. μουσικῇ. 2, E et P, cui operae non parcuerunt. ib. ὄρειον. ρ, φ, v. 23. λυρῴδη. φ.

VIII. Lemma: εἰς τὸ τοῦ Διονύσου ἄγαλμα ρ (τὸ τοῦ om. E). 26. Δαιδάλου. m. mg. et o. ib. εἰ δεῖ. φ, v. J, P, ac nescio, an ρ, p. εἰδεῖν. μ. ἰδεῖν. f, E. ib. τοῦ. m. mg. et o. ib. θαύματα. m. mg. et o. ib. μηχανᾶσθαι. 1, J, P. μηχαναῖς τὰ ς. Totum locum sic ex ingenio emendavit J in Wolfii Analect. litt. II, p. 37. 27. ἐκβιάσεσθαι. φ. ἐκβιάζεται. π. ἐκβιαζόμενα. m. mg. ib. τὸ ξύλον velit J. l. c. τὸν χαλκὸν. o.

151, 155. p. 899. VII, VIII.

διόλου κατεσκεύαξον τὰ τεχνήματα. ἄλσος ἦν καὶ Διόνυσος εἱστήκει ἡθέου σχῆμα μιμούμενος οὕ- 900
τω μὲν ἁπαλός, ὡς πρὸς σάρκα μεταρρυθμίζεσθαι τὸν χαλκόν, οὕτω δὲ ὑγρὸν καὶ κεχαλασμένον
ἔχων τὸ σῶμα, ὡς ἐξ ἑτέρας ὕλης, ἀλλὰ μὴ χαλκοῦ πεφυκώς, ὃς χαλκὸς μὲν ὢν ἠρυθραίνετο,
ζωῆς δὲ μετουσίαν οὐκ ἔχων ἐβούλετο τὴν ἰδέαν δεικνύναι, ἁψαμένῳ δέ σοι πρὸς τὴν ἀκμὴν ὑπεξ-
ίστατο, καὶ ὄντως μὲν ἦν ὁ χαλκὸς στεγανός, ὑπὸ δὲ τῆς τέχνης μαλαττόμενος εἰς σάρκα ἀπεδί- 5
δρασκε τῆς χειρὸς τὴν αἴσθησιν. ἦν δὲ ἀνθηρὸς ἁβρότητος γέμων ἱμέρῳ ῥεόμενος, οἷον αὐτὸν
Εὐριπίδης ἐν Βάκχαις εἰδοποιήσας ἐξέφηνε, κισσὸς δ' αὐτὸν ἔστεφε περιθέων ἐν κύκλῳ. ὡς κισσὸς
ἦν ὁ χαλκὸς εἰς κλῶνας καμπτόμενος καὶ τῶν βοστρύχων τοὺς ἑλικτῆρας ἐκ μετώπου κεχυμένους
ἀναστέλλων, γέλωτος δὲ ἔμπλεως, ὃ δὴ καὶ παντὸς ἦν ἐπέκεινα θαύματος, ἡδονῆς ἀφιέναι τὴν
ὕλην τεκμήρια καὶ τὴν παθῶν δήλωσιν ὑποκρίνεσθαι τὸν χαλκόν. νεβρὶς δὲ αὐτὸν ἔσκεπεν οὐχ 10
οἵαν εἴωθεν ὁ Διόνυσος ἐξάπτεσθαι, ἀλλ' εἰς τὴν τῆς δορᾶς μίμησιν ὁ χαλκὸς μετεβάλλετο, εἱστή-
κει δὲ τὴν λαιὰν ἐπερείδων τῷ θύρσῳ, ὁ δὲ θύρσος ἠπάτα τὴν αἴσθησιν καὶ ἐκ χαλκοῦ πεποιημένος
χλοερόν τι καὶ τεθηλὸς ἀποστίλβειν ἐδοξάζετο πρὸς αὐτὴν ἀμειβόμενος τὴν ὕλην. ὄμμα δὲ ἦν
156 πυρὶ διαυγές, μανικὸν ἰδεῖν, καὶ γὰρ τὸ βακχεύσιμον ὁ χαλκὸς ἐνεδείκνυτο καὶ ἐπιθειάζειν ἐδόκει,
ὥσπερ, οἶμαι, τοῦ Πραξιτέλους καὶ τὸν βακχεῖον οἶστρον ἐγκαταμῖξαι δυνηθέντος. 15

ΕΙΣ ΤΟ ΤΟΥ ΜΕΜΝΟΝΟΣ ΑΓΑΛΜΑ.

θ'. Ἐθέλω σοι καὶ τὸ Μέμνονος ἀφηγήσασθαι θαῦμα, καὶ γὰρ ὄντως παράδοξος ἡ τέχνη καὶ
κρείττων ἀνθρωπίνης χειρός. τοῦ Τιθωνοῦ Μέμνονος εἰκὼν ἦν ἐν Αἰθιοπίᾳ ἐκ λίθου πεποιημένη, οὐ
μὴν ἐν τοῖς οἰκείοις ὅροις ἔμενε λίθος ὤν, οὐδὲ τὸ τῆς φύσεως σιγηλὸν ἠνείχετο, ἀλλὰ καὶ λίθος 901
ὢν εἶχεν ἐξουσίαν φωνῆς· νῦν μὲν γὰρ ἀνίσχουσαν τὴν Ἡμέραν προσεφθέγγετο ἐπισημαίνων τῇ
φωνῇ τὴν χαρὰν καὶ ἐπὶ ταῖς τῆς μητρὸς παρουσίαις φαιδρυνόμενος, νῦν δὲ ἀποκλινομένης εἰς 20
νύκτα ἐλεεινόν τι καὶ ἀλγεινὸν ἔστενε πρὸς τὴν ἀπουσίαν ἀνιώμενος. ἠπόρει δὲ οὐδὲ δακρύων
ὁ λίθος, ἀλλ' εἶχεν ὑπηρετούμενα τῇ βουλήσει καὶ ταῦτα καὶ ἦν Μεμνόνειος ἡ εἰκὼν μόνῳ μὲν
τῷ ἀνθρωπίνῳ διαλλάττειν μοι δοκοῦσα σώματι, ὑπὸ δὲ ψυχῆς τινὸς καὶ ὁμοίας προαιρέσεως ἀγο-
μένη κατηυθύνετο. εἶχε γοῦν ἐγκεκραμένα καὶ τὰ λυποῦντα καὶ πάλιν ἡδονῆς αἴσθησις αὐτὸν κα-
τελάμβανεν ὑπ' ἀμφοτέρων τῶν παθῶν πληττόμενον, καὶ ἡ μὲν φύσις τὴν λίθων γένεσιν ἄφθογ- 25
γον προήγαγε καὶ κωφὴν καὶ μήτε ὑπὸ λύπης ἐθέλουσαν διοικεῖσθαι μήτε εἰδυῖαν ἡσθῆναι, ἀλλὰ
καὶ πάσαις τύχαις ἄτρωτον, ἐκείνῳ δὲ τῷ Μέμνονος λίθῳ καὶ ἡδονὴν παρέδωκεν ἡ τέχνη καὶ πέ-
τραν ἀνέμιξεν ἄλγει καὶ μόνην ταύτην ἐπιστάμεθα τὴν τέχνην νοήματα τῷ λίθῳ καὶ φωνὴν ἐνθεῖσαν.
157 ὁ μὲν γὰρ Δαίδαλος μέχρι μὲν κινήσεως ἐνεανιεύετο καὶ δύναμιν εἶχεν ἡ ἐκείνου τέχνη ἐξιστάναι
τὰς ὕλας καὶ εἰς χορείαν κινεῖν, ἀμήχανον δὲ ἦν καὶ παντελῶς ἄπορον καὶ φωνῆς μέτοχα πραγμα- 30

1. τὰ om. v. 2. ἁπαλός. v, π, J, P. ἁπλὸς. a, i. ib. μεταρυθμίζεσθαι. ρ, φ, π, μ. 3. πεφυκώς. v. πεφυκὸς. ς. ib. ἠρυθαίνετο. ρ, φ. 4. πρὸς τὴν ἀφὴν conj. Heyne Op. V, 212. ib. ὑπεξανίστατο conj. J. 5. ἦν ὁ χαλκὸς. 1. ὁ χαλκὸς ἦν. ς. 6. αὐτὸν 1. αὐτὸς. ρ. 9. γέλωτος — χαλκὸν. l. ib. ὃ δὴ. l. ib. ἦν om. l. ib. θαύματα. μ. θαύματος. f. 10. τεκμήριον. l. ib. καὶ τὸν χαλκὸν δήλωσιν τῶν π. ὑποκρ. l. ib. ἐσκέπτετο. 1. 12. τὴν λαιὰν corr. J. rec. P. τὴν λύραν. ς. ib. καὶ ἐκ χ. 1, P. ἐκ χ. 2, E, J. ib. πεποιημένοι. f, μ. 13. χλ. τί τε. μ. 14. ἐδείκνυτο. 1. 15. τὸ. m, o. ib. βάκχειον. o. ib. οἶστρον om. m, o. ib. δυνηθ. ἐγκ. π.

IX. Lemma: εἰς τὸ τοῦ Μέμνονος ἄγαλμα. ρ, ν. εἰς τὸ ἀγ. Μέμνωνος. μ. εἰς τὸ Μέμνονος ἄγαλμα. o. (Μέμνωνος. ε). 16. σοι. 1. δέ σοι. 2, E, J, P. ib. καὶ τὸ τοῦ. ρ. 17. Τιθώνου. m, o. 18. ἠνείχετο. v, J in Exerc. 49. P. ἐνείχετο. ς. 21. οὐ δακρύων. ρ. 22. Μεμνόνειος. 1. Μέμνωνος, ε. Μέμνονος. 2, J, P. ib. μὲν om. m, o. 23 ἀνθρωπίνῳ. 1, π, P. ἀνίῳ. μ. ἀνθρωπείῳ. E, J. ib. δοκεῖ. 1. ib. ψυχῆς. 1 et conj. J rec. P. τύχης. 2, E. ib. καὶ ὁμοίας. 1, P. ὁμοίας καὶ. 2, E, J. 24. κατευθύνετο. ρ, φ. ib. εἶχε γοῦν. 1, P. εἶχεν οὖν. 2, E, J. 26. τῶν λίθων. ρ, ν. 26. προήγαγε. 1, P. παρήγαγε. 2, E, J. ib. διοικεῖσθαι. 1, P et conj. o. διοικῆσαι. 2, E, J. 27. ἡ τέχνη conj. J, rec. P. ἡ φύσις. ς. 28. ἀλγεῖ. ρ. ἀλγεῖν. φ, ν. ἀλγεινῷ. ς. Sc. ἄλγει. ib. τῷ λίθῳ. 1, P. λίθῳ. 2, E, J. 29. ἐξίστασθαι. 1. ἐξιστάμεναι. 2. ἐξιστάναι. E.

156, 157. p. 900, 901. IX.

τεύεσθαι τὰ ποιήματα, αἱ δὲ Αἰθιόπων χεῖρες πόρους τῶν ἀμηχάνων ἐξεῦρον καὶ τὴν ἀφθογγίαν ἐξενίκησαν τοῦ λίθου. ἐκείνῳ τῷ Μέμνονι καὶ τὴν Ἠχὼ λόγος ἀντηχεῖν, ὁπότε φθέγγοιτο, καὶ γοερὸν μὲν στενάζοντι γοερὸν ἀντιπέμπειν μέλος, εὐπαθοῦντι δὲ ἀνταποδιδόναι τὴν ἠχὴν ἀντίμιμον. ἐκεῖνο τὸ δημιούργημα καὶ τῇ Ἡμέρᾳ τὰς ἀνίας ἐκοίμιζε καὶ οὐκ εἴα μαστεύειν τὸν παῖδα, ὡς ἂν ἀντιτιθείσης αὐτῇ τῆς Αἰθιόπων τέχνης τὸν ἐκ τῆς εἱμαρμένης ἀφανισθέντα Μέμνονα.

ΕΙΣ ΤΟ ΑΣΚΛΗΠΙΟΥ ΑΓΑΛΜΑ.

ι'. Εἶτα τὸ μὲν Ἀργῷον σκάφος ἔμφωνον γενέσθαι πειθόμεθα τὸ ὑπὸ τῶν τῆς Ἀθηνᾶς τεχνη-
902 θὲν χειρῶν, ὃ καὶ τὴν ἐν ἄστροις ἐκληρούχησε τύχην, ἄγαλμα δὲ οὐ πιστεύσομεν, εἰς ὃ τὰς δυνάμεις Ἀσκληπιὸς ἀνίησι τὸν προνοητικὸν ἐπεισάγων νοῦν, ἐπὶ τὴν ἑαυτοῦ κοινωνίαν τοῦ ἐνοικοῦντος τὴν δύναμιν τρέπειν, ἀλλ' εἰς μὲν ἀνθρώπινα σώματα κατάγεσθαι τὸ θεῖον δώσομεν, ἔνθα καὶ μιανθῆναι παθήμασιν, οὐ πιστεύσομεν δέ, εἰ, ᾧ μηδὲν ἔγγονον κακίας, παραπέφυκεν; ἐμοὶ μὲν οὖν οὐ τύπος εἶναι δοκεῖ τὸ ὁρώμενον, ἀλλὰ τῆς ἀληθείας πλάσμα. ἰδοὺ γάρ, ὡς οὐκ ἀνηθοποίητος ἡ τέχνη, ἀλλ' ἐνεικονισμένη τὸν θεὸν εἰς αὐτὸν ἐξίσταται. ὕλη μὲν οὖσα θεοειδὲς ἀναπέμπει νόημα, δημιούργημα δὲ χειρὸς τυγχάνουσα, ἃ μὴ δημιουργίας ἔξεστι, πράττει τεκμήρια ψυχῆς ἀρρή- 158
των ἀποτίκτουσα. πρόσωπον δέ σοι θεασαμένῳ δουλοῦται τὴν αἴσθησιν, οὐ γὰρ εἰς κάλλος ἐπίθετον ἐσχημάτισται, ἀλλὰ πάναγνον καὶ ἵλεων ἀνακινῶν ὄμμα βάθος ἄφατον ὑπαστράπτει σεμνότητος αἰδοῖ μιγείσης. πλοκάμων δὲ ἕλικες ῥεόμενοι χάρισιν οἱ μὲν εἰς νῶτα τεθηλότες ἄφετοι κίχνηται, οἱ δὲ ὑπὲρ μετώπου πρὸς τὰς ὀφρῦς ἐπιβαίνοντες τοῖς ὄμμασιν εἱλοῦνται. οἷον δὲ ἐκ ζωτικῆς αἰτίας καὶ αὐτοὶ καταρδόμενοι εἰς τὴν τῶν βοστρύχων καμπὴν συνελίττονται τῷ νόμῳ τῆς
903 **τέχνης μὴ πειθομένης τῆς ὕλης, ἀλλὰ νοούσης, ὅτι σχηματίζει θεὸν καὶ δεῖ δυναστεύειν.** τῶν δὲ γινομένων εἰωθότων φθείρεσθαι ἡ τοῦ ἀγάλματος ἰδέα ἅτε δὴ τῆς ὑγείας τὴν οὐσίαν ἐν ἑαυτῇ φέρουσα ἀκμὴν ἀνώλεθρον ἐπικτωμένη θάλλει. ἡμεῖς μὲν δή σοι καὶ λόγων, ὦ Παιάν, νεαρῶν καὶ μνήμης ἐγγόνων ἀπηρξάμεθα· κελεύεις γάρ, οἶμαι· πρόθυμος δέ σοι καὶ τὸν νόμον ᾄδειν, εἰ νέμοις ὑγείαν.

ΕΙΣ ΤΟΝ ΗΙΘΕΟΝ ΑΓΑΛΜΑ.

ια'. Τεθέασαι τὸν ἠίθεον ἐπ' ἀκροπόλει, ὃν Πραξιτέλης ἵδρυσεν, ἢ δεῖ σοι τῆς τέχνης παρα-
στῆσαι τὸ πρᾶγμα; παῖς ἦν ἁπαλός τις καὶ νέος πρὸς τὸ μαλθακόν τε καὶ νεοτήσιον τῆς τέχνης τὸν χαλκὸν μαλαττούσης, χλιδῆς δὲ ἦν καὶ ἱμέρου μεστὸς καὶ τὸ τῆς ἥβης ἔφαινεν ἄνθος, πάντα δὲ ἦν

1. ἀφθογγίαν. 1, P. ἀφωνίαν. 2, E, J. 2. ἐξενίκησαν. m. mg. ib. τοῦ λίθου. 1, P. τῆς λίθου. 2, E, J. 3. ἀποδιδόναι. 1. 4. τῆς ἀνίας. ρ, ν. 5. ἀντιθείσης. μ. ἀντιπθείσης. ο. ib. αὐτῇ conj. J. αὐτῷ. ς. ib. τῆς Αἰθ. ρ, ν, P. τῶν Αἰθ. ς. ib. Μέμνονα. μ, ε.

X, Lemma: εἰς τὸ ἄγαλμα τοῦ Πανίου ἔκφρασις ὅτε ἐθεραπεύθη (ἐθεράπ. ρ, ν.) ρ, υ, φ. 6. εἶτα — πιστεύσομεν. l. ib. τῶν τῆς. 1, l, P. τῶν. ς. 7. ᾧ. 1, E, J. ib. ἐκληρούχει. 1. ib. τέχνην. l. ib. πιστεύομεν. i, m, o. 8. τοῦ οἰκοῦντος. φ, ν, P. τοῦ συνακοῦντος. ρ. τοῦ σε νικοῦντος. ε, m. 9. πρέπειν. μ, ε, m. corr. Salm. ib. σώματα. om. l. 10. Fo: μιανθῆναι δεῖ. ib. δὲ ᾗ μηδὲν. 1. δὲ εἰ μὴ εὖ. π. δὲ εἰ μὴ εὖ. μ, ε. δὲ εἰ μὴ. o. δὲ, οἷς sive ᾧ μηδὲν. J conj. ib. ἔγγονον. 1. ib. παραπέφηνεν. 1. 11. ἀνηθόποιήτος. φ, P. ἂν ἠθοποιότητος. μ. ἂν ἠθοποίητος. ς. 12. ἐπεικονισμένη. 1. ἐνεικονισαμένη. 2, E, J, P. 13. ἀρρήτως. 1, P. ἀρρήτων. 2, E, J. 14. ἀποκτίνουσα. f, μ. ib. οὐ om. φ, ρ. ib. ἐς γὰρ κάλλος. ρ. 15. πάναγνον. 1, P, et mg. πάναν. π. παιάν. 2, E. παιώνιον velit J. ib. ἀνακιτὼν οὖν. 1. ἀνακι οῦν. 2, E, J. ἀνακινῶν. P. ib. ἄφατον. 1. ἄφραστον. ς. ib. ὑπαστράπτειν. μ, non f. 17. ἐπιβαίνοντες. 1, P et conj. J in Exerc. 53. ἐπιμαίνοντες. π, μ, ε. ἐπιμένοντες m, o. ib. δὲ om. 1, P. ib. ἐκ ζωταῖς 1, P. ἐκ τῆς ζ. 2, E, J. 18. τῷ νόμῳ — δυναστεύειν. l. 19. πειθομένω. l. 20. γενομένων. 1. γινομένων. ς. ib. ἐν om. m, o. 21. ὦ παῖ. C, E, J. ὦ Παιὰν conj. J Exerc. 53, et Jac. Morelli rec. P. 22. ἐκγόνων. 1. ib. Fo: πρόθυμοι. ib. δὲ σὺ. o. 23. ὑγιείας. ν.

XI. Lemma: εἰς τὸ τοῦ ἠιθέου ἄγαλμα. 1. εἰς τὸν Πραξιτέλους ἔρωτα. 2, E, J. 24. τὸν ἠίθεον. 1. τὸν θεὸν ς. ib. εἰ δεῖ. C, E. ᾗ δεῖ corr. J, rec. P. ib. παραστῆσαι corr. J, rec. P. παραστῆναι. ς. 25. ἁπαλός τις. 1. ἁπαλός τε. ς. 26. μαλλατ. μ. ib. ἱμέρους ἑστώς. μ, non f. ib. ὕφαινεν. 1.

ἰδεῖν πρὸς τὴν τῆς τέχνης βούλησιν ἀμειβόμενα. καὶ γὰρ ἁπαλὸς ἦν μαχομένην τῇ ἁπαλότητι τὴν οὐσίαν ἔχων καὶ πρὸς τὸ ὑγρὸν ἧγετο ἐστερημένος ὑγρότητος καὶ ὅλος ἐξέβαινε τῆς αὐτοῦ φύσεως
159 ὁ χαλκὸς τοὺς ὅρους εἰς τὸν ἀληθῆ τύπον μεθιστάμενος. ἄμοιρος δὲ ὢν πνεύματος καὶ τὸ ἔμπνουν ὑπεδύετο, ἃ γὰρ μὴ παρέλαβεν ὕλη, μηδὲ εἶχεν ἔμφυτα, τούτων ἡ τέχνη τὴν ἐξουσίαν ἐπορίζετο. ἐκοινοῦτο δὲ τὰς παρειὰς ἐρυθήματι, ὃ δὴ καὶ παράδοξον ἦν, χαλκὸν τικτόμενον ἔρευθος, καὶ παιδικῆς ἦν ἡλικίας ἄνθος ἐκλάμπων, κόμης δὲ εἶχεν ἕλικας ταῖς ὀφρύσιν ἐπιβαίνοντας. ὁ δὲ τῷ τελαμῶνι καταστέφων τὴν κόμην καὶ ἐκ τῶν ὀφρύων ἀπωθούμενος τῷ διαδήματι τὰς τρίχας, 904
γυμνὸν πλοκάμων ἐτήρει τὸ μέτωπον. ὡς δὲ καὶ κατὰ μέρος ἐξητάζομεν τὴν τέχνην καὶ τὰ ἐν αὐτῇ δαιδάλματα, ἀφασίᾳ πληγέντες εἱστήκειμεν, ὅ τε γὰρ χαλκὸς εὐτραφὴ καὶ λιπῶσαν ἐπεδείκνυτο τὴν σάρκα καὶ πρὸς τὴν τῆς τριχὸς μίμησιν μεθηρμόζετο, ὁτὲ μὲν βοστρύχων οὔλων πλοκαῖς
συνεξελιττόμενος, ὁτὲ δ' ἐθελούσῃ τῇ τριχὶ ἐκτάδην κατὰ νώτου χυθῆναι συναπλούμενος, καὶ ὅτε μὲν ἐθέλοι τὸ πλάσμα καμφθῆναι, καὶ πρὸς τὴν καμπὴν ἀνιέμενος, ὁτὲ δὲ ἐπιτεῖναι τὰ μέλη πρὸς τὸ σύντονον μεθιστάμενος. ὅμμα δὲ ἱμερῶδες ἦν αἰδοῖ συμμιγὲς ἀφροδισίου [ἐρωτικοῦ] γέμον χάριτος, καὶ γὰρ ᾔδει ζηλοῦν ὁ χαλκὸς τὸ ἐράσμιον καὶ ὑπήκουεν ἐθέλοντι τῷ εἰδώλῳ γαυροῦσθαι. ἀκίνητος δὲ ὢν οὗτος ὁ ἔφηβος ἔδοξεν ἄν σοι κινήσεως μετέχειν καὶ εἰς χορείαν εὐτρεπίζεσθαι.

ΕΙΣ ΤΟ ΚΕΝΤΑΥΡΟΥ ΑΓΑΛΜΑ.

ιβ'. Εἰς ἱερὸν εἰσιὼν σεμνόν τι καὶ μέγα, ὃ τὴν καλλίστην εἰκασίαν εἰς ἑαυτὸ μεθίστη, ἐν τοῖς προπυλαίοις τοῦ νεὼ ἱδρυμένον θεῶμαι κένταυρον οὐκ ἀνδρὶ κατὰ τὴν Ὁμήρειον εἰκόνα, ἀλλὰ ῥίῳ παραπλήσιον ὑλήεντι. ἄνθρωπος ἦν ἄχρι λαγόνος κατιὼν ὁ κένταυρος ἐς ἵππου βάσιν
160 τετρασκελῆ λήγων, τὸν γὰρ ἵππον καὶ τὸν ἄνθρωπον ἡ φύσις ἐξ ἡμισείας τεμοῦσα εἰς ἓν σῶμα συνήρμοσε τὰ μὲν ἀποκρίνασα τῶν μερῶν, τὰ δὲ ἀλλήλοις τεχνησαμένη σύμφωνα· τῆς μὲν γὰρ ἀνθρωπίνης ὅσον ἀπ' ἰξύος εἰς ἄκραν ὑποφέρεται τὴν βάσιν, ἀφεῖλε, τοῦ δὲ ἵππου σώματος, ὅσον εἰς ὀμφαλὸν καταβαίνει, τεμοῦσα τῷ ἀνθρωπείῳ συνῆγε τύπῳ, ὡς τὸν μὲν ἵππον τὴν κεφαλὴν ποθεῖν καὶ τοὺς αὐχενίους τένοντας, καὶ ὅσον εἰς τὸ νῶτον καταβαῖνον εὑρύνεται, τὸν δὲ ἄνθρωπον τὸν ἀπὸ ὀμφαλοῦ μέχρι τῆς βάσεως στηριγμὸν ζητεῖν. τοιούτου δὲ ὄντος τοῦ σώματος εἴδες ἂν καὶ θυμὸν ἐπιπολεύοντα τῷ τεχνήματι καὶ ἠγριωμένον τὸ σῶμα καὶ τῷ προσώπῳ τὸ θηριῶδες ἐπαν- 905
θοῦν καὶ τὸ τῆς τριχὸς κάλλιστα ὑποκρινομένην τὴν πέτραν καὶ πάντα πρὸς τὸν ἀληθῆ τύπον σπεύδοντα.

1. μηχανωμένην. f. μὴ μαχομένην. ε, m. Videtur deesse μὴ in π, delevit o sequentibus J, P. 3. τοῦ ὄρους. ρ. ib. πράγματος. ρ, φ. 4. εἶχεν ἔμφυτα conj. J. Exerc. 54, rec. P. τὸν φῦντα. ς. 5. ἐκινοῦτο. m. ib. χαλκοῦν. ν, φ. 6. ἐκλάμπον. ρ. ib. ὀφρύσιν om. ρ rel. spatio. 7. τῷ om. m, o. ib. κόμην. ρ, ν (et φ?). κεφαλὴν κόμην. π, μ, ε. κεφαλῆς κόμην. m, o, P et J, qui alterutrum horum vocabulorum inducendum arbitratur. 9. δαιδάλματα. conj. J in Spec. crit. 55. rec. P. δὲ ἅλματα. ς. 10. κίνησιν. φ, ν. ib. ὅτε. m, o, et sic infra. ib. οὔλην. ρ, ν. 11. ἐκτάδην. f, P. ἐκταδὸν. 2, E, J. ib. χυθῆναι. f, P. χεθῆναι. ς. ib. ὁτὲ. P. ib. καὶ ὅτε — ἀνιέμενος. om. 2, E, J. 12. ἐθέλοι. φ, ν, P. ἐθέλει nescio an ρ. δ' ἐθελούσῃ. ν. δὲ θελούσῃ. ς. 13. σύντονον. ρ. ib. ἦν om. 2, E, J. ib. αφροδισίου ἐρωτικοῦ. C, E et J, qui alterum vocab. delendum esse vidit, del. P. 14. ὑπήκουεν. ρ, φ. ὑπήκουσεν. ν, J, P. ὑπήκουσας. f, μ, ε et m, ubi mg. γρ. ὑπηκοῦσαι. ib. γαυροῦσθαι. f, P. γαυροῦσα. f, μ, ε, m, ubi mg. γαυρῶσαι, quod est in o, J. 15. ἀ. δὲ ὢν. f, P. ὢν om. 2, E, J. ib. ὄντως velit J. ib. ἔφηβος. f et conj. J rec. P. εὔφημος. 2, E, J.

XII. Lemma: εἰς τοῦ Κενταύρου ἄγαλμα. ρ. 16. ὃ καὶ. ρ. ib. μεθίστησι. J, nescio unde. 18. θηρίῳ. C, E, J, P. ῥίῳ conj. J. Exerc. 59. ib. ὑλήεντι — κατιὼν om ρ, lac. breviore. ib. εἰς. π, μ. ἐς. ς. 19. τὸν γὰρ ἵππον καὶ τὸν ἄνθρωπον conj. m, rec. o. τῶν γὰρ ἵππων καὶ τῶν ἀνθρώπων. ς. ἐκ τῶν γὰρ ἵππων καὶ ἡμισείας. med. om. ρ. ib. δοκοῦσα. ρ. 20. τὸ μὲν. ς. Sc. τὰ μὲν. ib. ἀλλήλοις γεννησαμένη. ρ. ib. σύμφωνα om. ρ. 21. ὅσον ἦν. ρ. ib. ἱππίου conj. J. ἵππου. ς. Malim ἱππείου. ib. ἀποφέρεται. ρ. 22. ἐπ' ὀμφαλὸν. J, nescio unde. ib. καταμαίνει. f, π, ε. ib. ἀνθρωπίνῳ. f. ἀνθρωπείῳ. ς. ib. προσῆγε. ρ. ib. ὡς τοῦ ἵππου — ζητεῖν. f. ib. μὲν om. f. 23. τὸν νῶτον. ρ, π, f, P, J. τὸν νότον. μ. τὸ νῶτον. ς. 24. τὸν ἀπὸ. π, f, J, P. τὸν om. ς. ib. βάσεως om. ρ. ib. τῷ σώματι. m, o. ib. καὶ θυμὸν. ρ. θυμὸν. ς. 25. ἐπιπεύοντα. ρ et o ex conj. ἐπιπλέοντα. π, μ, ε, m, P, unde ἐπιπολεύοντα conj. J. ib. τὸ om. f, m, o. ib. ἐπαινοῦν. ρ. 25. ὑπερκρινομένην. φ.

ΕΙΣ ΤΟ ΤΗΣ ΜΗΔΕΙΑΣ ΑΓΑΛΜΑ.

ιγ'. Εἶδον καὶ τὴν πολυθρύλλητον ἐν ὅροις Μακεδόνων Μήδειαν. λίθος ἦν μηνύων τὸ τῆς ψυχῆς εἶδος ἀπομαξαμένης εἰς αὐτὴν τῆς τέχνης τὰ συμπληροῦντα τὴν ψυχήν, καὶ γὰρ λογισμοῦ κατηγόρει τὸ δήλωμα καὶ θυμὸς ὑπανίστατο καὶ πρὸς λύπης διάθεσιν μετέβαινεν ἡ εἰκὼν καὶ ὡς βραχέως εἰπεῖν, ἐξήγησις τοῦ περὶ αὐτὴν δράματος ἦν τὸ ὁρώμενον· ὁ μὲν γὰρ λογισμὸς ὑπὲρ τὴν πρᾶξιν ἐδήλου τῆς γυναικὸς τὰ βουλεύματα, ὁ δὲ θυμὸς τῇ ῥύμῃ τῆς ὀργῆς περιγραφόμενος τὴν φύσιν πρὸς τὸ ἔργον ἤγειρε τὴν ἐπὶ τὸν ψόγον ὁρμὴν εἰσηγούμενος, ἡ λύπη δὲ τὸν ἐπὶ τοῖς παισὶν ἐπεσήμαινεν οἶκτον εἰς τὴν μητρῴαν σύνεσιν ἀρρώστως ἐκ τοῦ θυμοῦ τὴν λίθον ἕλκουσα. οὐ γὰρ ἄτεγκτος, οὐδὲ θηριώδης ἡ εἰκών, ἀλλ' εἰς θυμοῦ καὶ ἀνίας ἔνδειξιν διηρεῖτο ὑπηρετουμένη 161
τοῖς τῆς γυναικὸς φύσεως βουλεύμασιν. εἰκὸς γὰρ ἦν μετὰ τὸν χόλον καθαρεύουσαν τοῦ θυμοῦ ἐπιστρέφεσθαι πρὸς οἶκτον καὶ εἰς ἔννοιαν ἐρχομένην τοῦ κακοῦ τὴν ψυχὴν οἰκτίζεσθαι. ταῦτα μετὰ τοῦ σώματος τὰ πάθη ἡ εἰκὼν ἐμιμεῖτοκαὶ ἦν ἰδεῖν τὴν λίθον ὁτὲ μὲν φέρουσαν τὸν θυμὸν ἐν ὄμμασιν, ὁτὲ δὲ σκυθρωπὸν ὁρῶσαν καὶ μαλαττομένην εἰς στυγνότητα, ὥσπερ ἄντικρυς τοῦ τεχνησαμένου τὴν ὁρμὴν εἰς τῆς Εὐριπίδου δραματοποιίας πλήσαντος τὴν μίμησιν, ἐν ᾗ καὶ βουλεύεται συνανακινοῦσα καὶ σύνεσιν ἔμφρονα καὶ εἰς θυμὸν ἀγριαίνει τὸ ἦθος τοὺς πεπηγότας τῇ φύσει
906 πρὸς τὰ ἔκγονα τῆς φιλογονίας ὅρους ἐκβάλλουσα καὶ παιδικῶν λόγων μετὰ τὴν ἄνομον σφαγὴν ἅπτεται. ἦν δὲ αὐτῇ καὶ ξιφηφόρος ἡ χεὶρ διακονεῖν ἑτοίμη τῷ θυμῷ ἐπὶ τὸ μίασμα σπευδούσῃ καὶ ἠμελημένη θρὶξ τὸ αὐχμηρὸν ἐπισημαίνουσα καὶ στολή τις πένθιμος ἀκόλουθος τῇ ψυχῇ.

ΕΙΣ ΤΗΝ ΤΟΥ ΑΘΑΜΑΝΤΟΣ ΕΙΚΟΝΑ.

ιδ'. Εἰκὼν ἦν ἐπὶ ταῖς Σκυθικαῖς ἠιόσιν οὐκ εἰς ἐπίδειξιν, ἀλλὰ καὶ ἀγωνίαν τῶν τῆς γραφῆς καλῶν οὐκ ἀμούσως ἐξησκημένη. ἐκτετύπωτο δὲ κατ' αὐτὴν Ἀθάμας μανίαις οἰστρούμενος. ἦν δ' ἰδεῖν γυμνὸς αἵματι φοινίσσων τὴν κόμην ἠνεμωμένος τὴν τρίχα παράφορος τὸ ὄμμα ἐκπληξίας γέμων καὶ ὥπλιστο δὲ οὐ μανίαις μόνον εἰς τόλμαν, οὐδὲ τοῖς ἐξ Ἐρινύων δείμασι δημοφθόροις ἠγρίωτο, ἀλλὰ καὶ σίδηρος τῆς χειρὸς προεβέβλητο ἐκθέοντι παραπλήσιος. ἡ μὲν γὰρ εἰκὼν ὄντως ἦν ἀκίνητος, ἐδόκει δὲ οὐ τηρεῖν τὸ στάσιμον, ἀλλὰ δόξῃ τῆς κινήσεως τοὺς θεατὰς ἐξίστη ὑπὸ τοῦ φόβου χλωρόν τι καὶ τεθνηκὸς ὁρῶσα, παρῆν δὲ ἡ Ἰνὼ περιδεὴς ὑπότρομος, ἐνηγκάλιστο δὲ καὶ παῖδα νήπιον καὶ τὴν θηλὴν τοῖς χείλεσιν αὐτοῦ προσῆγε τὰς τροφίμους ἐπιστάζουσα πηγὰς τοῖς τροφίμοις. ἠπείγετο δὲ ἡ εἰ-

XIII. Lemma in 1: *εἰς τὸ τῆς Μηδείας ἄγαλμα. τῆς* om. E, J. 1. *εἶδες. φ.* 2. *ἀπομαξαμένης εἰς Μήδειαν τῆς τέχνης — εἰκών.* l. 3. *κατηγόρει τὸ.* l, φ, ν, J, P et conj. Heyne, Op. V, 218. *κατηγορεῖ τὸ. μ. κατηγορεῖτο.* E. 4. *ἐξηγ. τοῦ π. ἀ. δρ. ἦν τὸ ὁρώμενον.* φ, uescio an ρ, ν. *τοῦ π. ἀ. δρ. ἐξηγ. ἦν τὸ ὁρ. ς.* 5. *περὶ πρᾶξιν* velit J. ib. *τῆς* deleverim. ib. *περιγραφόμενος.* 1, P. *παραγρ.* 2, E, J. 6. *ἤγειρας. π. ψόγον. μ*, J, P. *ψόφον.* 1, *π.* f. *ε*, m. *φόνον.* o ex conj. ib. *ὀργήν.* ν, φ, P. ib. *εἰσηγούμενος.* 1, J. *εἰσαγόμενος.* 2, E, P. 7. *ἀρρήτως.* m. ib. *ἕλκουσαν. π*, f, *μ*, *ε*. 8. *μανίας.* C, E, J. *ἀνίας* conj. Huschke apud Heyn. Op. V, 218 rec. P. 11. *μετὰ τοῦ σώματος.* 1. *μὲν τοῦ σ. ς.* ib. *ὁτὲ.* J, P. *ὅτε. ς.* 12. *στυγνότητα.* 1, P ut conj. Heyne l. c. *στενότητα.* 2, E, J. 13. *πλάσαντος.* o. ib. *ἐκ τῆς.* 1, P. ib. *κίνησιν.* ν. ib. *ἐν ᾗ καὶ.* 1, P. *καὶ.* 2, E, J. 14. Fo: *συνανακ. σύνεσιν.* ib. *ἔμφρονα.* m, o. ib. *πεπηγότας.* conj. m. mg. *πεπεικότας.* C, *ε*, m. 15. *ἔκγονα τῆς φιλολογίας ὅρη.* 1. ib. *ἐγγονα. ς.* 16. *καὶ* om. 1, P.

XIV. Lemma: *εἰς τὴν τοῦ Ἀθάμαντος εἰκόνα. ρ.* 18. Ante *ἀλλὰ* excidisse videtur *μόνον.* ib. *κατ' ἀγ.* velit Heyne l. c. ib. *τῆς γραφῆς. ρ. γραφῆς. ς.* 19. *οὐ κάλλους ὡς.* C, *ε*, m, J, P. *ὡς.* o. *οὐκ ἀμούσως* conj. J. ib. Sc. *ἐκτετύπωτο* pro *ἐκτετύπωται. ς.* ib. *μανίαις* ρ, P et conj. J. *μανίας. ς.* 20. *ἦν δὲ — ὄμμα.* l. ib. *τὸ ὄμμα παράφορος.* l. 21. *θυμοφθόροις* velit J. 22. *προεβέβλητο. ρ. προεκβέβλητο. ς.* ib. *ἐκθέοντι.* P ex conj. ib. *εἰκὼν. ρ. χεὶρ. ς.* ib. *οὕτως. ρ.* 23. *οὐ τηρεῖν* conj. J. *οὐ τί ἦν. ς.* ib. *τῆς κινήσεως. ρ. κινήσεως. ς.* ib. *τοὺς θεατὰς ἐξίστη* ρ, P. in 2, E, J desunt; J scribebat: *ἦν δὲ καὶ Ἰνὼ*, o addidit *Ἰνὼ δὲ* uncis inclusa. 24. *ἡ Ἰνὼ χλωρόν τι.* P. ib. *παρῆν δὲ ἡ Ἰνὼ περιδεὴς ὑπότρομος. ρ.* Desunt haec in *ς*. 25. *προσῆγε.* ρ et *π* ante corr. conj. J. rec. P. *προῆγε. ς.* ib. *ἐπήγετο. ρ*, o. Sc. *ἠπείγετο.* ib. *ἐξ οἴκων* velit J.

161, 162. p. 906. XIII, XIV.

κὼν ἐπὶ τὴν ἄκραν τοῦ Σκείρωνος καὶ τὴν θάλασσαν τὴν ὑπόρειον, τὸ δὲ ῥόθιον πρὸς ὑποδοχὴν ἐκολποῦτο κυμαίνειν εἰωθός, καὶ Ζεφύρου τι κατεῖχε τὸ σῶμα λιγυρῷ πνεύματι τὴν θάλασσαν κατευνάζοντος, ὁ γὰρ δὴ κηρὸς ἐφάνταζε τὴν αἴσθησιν, ὡς καὶ πνοὴν δημιουργεῖν ἐπιστάμενος καὶ ἀνακοντίζειν θαλασσίους αὔρας καὶ εἰς ἔργα φύσεως ἐπάγειν τὴν μίμησιν. παρεσκίρτων δὲ καὶ εἰνάλιοι δελφῖνες τὸ ῥόθιον ἐν τῇ γραφῇ τέμνοντες καὶ ὁ κηρὸς ἐδόκει διαπνέεσθαι καὶ πρὸς τὸ 5 907
τῆς θαλάσσης νομίζεσθαι μίμημα πρὸς αὐτῆς τὴν ἐξουσίαν ἐξαλλαττόμενος. ἓν γε μὴν τοῖς τοῦ πίνακος τέρμασιν Ἀμφιτρίτη τις ἐκ βυθῶν ἀνέβη ἄγριόν τι καὶ φρικῶδες ὁρῶσα καὶ γλαυκόν τι σέλας ἐκ τῶν ὀμμάτων μαρμαίρουσα, Νηρηίδες δὲ περὶ αὐτὴν εἱστήκεσαν, ἁπαλαὶ δὲ ἦσαν αὗται καὶ ἀνθηραὶ προσιδεῖν καὶ ἀφροδίσιον ἵμερον ἐξ ὀμμάτων ἱτάζουσαι, ὑπὲρ δὲ ἄκρων τῶν θαλασσίων κυμάτων ἐλίσσουσαι τὴν χορείαν ἔπληττον. περὶ δὲ αὐτὰς Ὠκεανὸς βα . . . . . μικροῦ 10
τῆς τοῦ ποταμοῦ κινήσεως καὶ κυμαίνειν διδαχθείσης.

1. ἐπὶ τὴν. P ex conj. καὶ τὴν. ς. ib. τῆς Σκ. o. ib. Σκείρωνος. ρ, P. Σκίρρωνος. π, f, ε. Σκαίρρωνος μ et m. mg. Σκίρωνος, ut o. Σκιρῶνος. J. ib. ὑπόρειον. ρ. ὑπώρειον. ς. 2. κατέχει. ς. Sc. κατεῖχε. 3. Fo: διαπνεῖσθαι. 6. νομίζεσθαι. ς. Fo. νοτίζεσθαι. J. conj. κυματίζεσθαι. ib. πρὸς αὐτὴν. ρ. ib. οὐσίαν velit J. ib. ἓν γε μὴν. ρ et conj. J. εἴ γέμων. f, μ, ε. ἦ γε μὴν. m, o. ἦ γε μὲν. P. 7. Ἀμφιτρίτη τις. ρ. Ἀμφιτρίτη. ς. ib. ἐκ θηβῶν ἀνέβη. ρ. Sc. ἐκ βυθῶν ἀνέβη. In ς: ἐκβυθιζομένη. ib. γλαυκόν τι. ρ. ἡλιακόν τι. ς. 10. χορείαν conj. J, rec. P. πορείαν. ς. ib. Ὠκεανὸς βα . . . . . ᾤχετο γε. ρ. Ὠκ. φεῦ ᾤχετο γε. ς. J velit Ὠκ. ῥεῦμα ᾤχετο μέγα. An: Ὠκ. βαθυδίνης ἐκέχυτο? 11. διχθείσης. ρ.

NOTAE

IN

PHILOSTRATI JUNIORIS IMAGINES

ET

CALLISTRATI DESCRIPTIONES.

NOTAE

IN

PHILOSTRATI JUNIORIS IMAGINES

ET

CALLISTRATI DESCRIPTIONES.

NOTAE

IN

PHILOSTRATI JUNIORIS IMAGINES.

5, 6. Respicit ad 435, 10. — 8. »Descriptioni tabularum propriam quandam et rei congruentem praeceptorum materiem, ad quae judicium de tabulis dirigendum est, praemittendam censet.» J. — 15. ἀπάτη. Secundum dictum Gorgiae apud Plut. Mor. 15, d. — 19. ἔξω μέτρου. »Accipio de corporis habitu male composito, absurdo et harmoniae experte, in quo exprimi et repraesentari non potest animi sani et recte constituti motus.» J. — 23. cf. H. Od. μ, 450.

6, 3. cf. praeter laudata Welckero et Müllero Arch. 347. Inghir. Gal. Om. III, 125. R. Roch. in Annali dell' Inst. IV, 321 sqq. Panofka in Bullettino 1832, p. 71. »Plinio teste XXX, 40, 29. Athenion Maronites pinxerat Achillem virginis habitu occultatum Ulysse deprehendente. Praeivit Polygnotus apud Paus. I, 22, 6.» W. Hac imagine aliqua ex parte Sophoclis Scyriae redduntur, cf. Welcker Trag. 102 sqq. — 8. cf. H. H. ι, 400. — 15. vide Heroic. 307, 24. — 19. cf. Heroic. 312, 29. — 21. V. Ap. 33, 12. — ib. τῶν ἀδήλων θηρατὴς ex Soph. Aj. 2 ductum videtur, ubi cf. not. Lobeckii. — 26. Argumentum imaginis vide illustratum a Welckero Trag. 140. Sophoclis Dolopes ante oculos fuere Philostrato.

7, 4. ἀπαυχενίζων — ταύρους. cf. Heroic. 315, 28. Gymn. 4, 12. ibique notata. — 8. ἔκπνους. de hoc loco egit Welcker. Trag. 141. — 11. Similes imagines vide apud Bouill. III. basr. 2. Pict. Erc. II, tab. 19. cf. et Welcker Acad. Kunstm. 19. Fabulam pluribus tractavit Böttiger in Att. Mus. I, 316 sqq. — 18. cf. V. A. 144, 4. — 24. Marsyas fl. conspicitur in sarcophago apud Bouillon l. c. praeterea Apollo eodem fere, atque hic, statu, nec desunt satyri Marsyam miserantes; cf. Ovid. Met. VI, 392.

8, 2. Respicit fortasse ad V. A. 26, 20. — 5. Soph. Oed. C. 16. Versus causa retinui πυκνόπτερον, quamvis et Suidas v. ἱρὸς agnoscat Philostrateam lectionem πυκνότερον. — 8. Forma locutionis, ut Im. 392, 27. — 10. Ita Aristides quoque loquitur, I, 278. — 27. Vide Müller Arch. 636, et, quem laudat, Millin Vases II, 10. Dontac opus commemorat Paus. V, 17, 1. VI, 19, 9. 28. H. H. β, 308. — 29. ἵππον post Jacobsium recte etiam Lindau in vers. germ. removit; sophista enim presse sequitur Soph. Trach. 10. — 30 ἐς ἐμβολήν. cf. Eur. Herc. fur. 865.

9, 3. »Hanc deam hic non, ut in nuptiis assolet, appictam esse animadvertit scriptor, quippe quia violentius Achelous Deianiram petiverat, patrem ejus variis speciebus terrens, non ἔδνοις πιθών (Aesch. Prom. 560)α. W. — 15. cf. Theocr. XXIV, 55. — 23. In descriptione hac rhetor colores duxit ex Pind. Nem. I. Imagines h. argumenti vide apud Müller Arch. 634. — 26. cf. Pict. Herc. I, 37. — 28. »Non ἡ ἔννοια τῶν ὀφθαλμῶν manum cohibet, sed Amphitryon, idque ex oculorum obtutu intelligitur.α J. — 30. vide Pind. N. I. 60 (90).

10, 5. Soph. Oed. C. 16. — ib. Ducta haec ex Pind. N. III, 82 (142) et Hes. Ἔργ. 745. — ib. ταλαντεύσας respicit Pind. P. I, 9 (15). — 10. Ex H. Od. ε, 63. — 15. Exprimit Imag. 397, 9. — 25. γνώρισμα. cf. Schol. Ap. Rhod. IV, 727 — 33. Adhibe Pind. P. IV, 81 (144) sqq. — ib. respicitur oraculum de μονοκρήπιδι.

11, 4. De hac imagine Levezowius in Boettigeri

Amalthea I, 175 iniquius judicat. — 6. cf. Ap. Rhod. III, 119. — 17. Simile Philippi carmen in Anth. Pal. IX, 709. — 22. Ex Ap. Rhod. III, 132, ad 25 cf. ibid. 140. — 25. »Haec picta esse rhetor non diserte affirmat; et potest haec clausula de eo, quod mox futurum sit, quasi coronidis loco, apposita esse, plane ut tab. XIV, (18, 6) ubi in pictura discus humi jacet fati insecuturi indicium.» W. — 28. Vide laudata ad 393, 25. 394, 13. — 29. cf. H. Il. ϑ, 126.

12, 1. *τὸν μυκτῆρα.* vide Xenoph. Equ. I, 10 — 8. Frustra haec *ξυμβῆναι — Πέλοψ* emendare conatur Jac. scribendum existimans *ξυμβαίνει γὰρ δὴ ὁ Π.* aut *ξυμβῆναι γὰρ δοκεῖ ὁ Π.*, pendet enim infinitivus a praecedente *ἐφυμνοῦντα.* — 15. Habes a Suida, tanquam peculiare opus, laudatam *παράφρασιν τῆς Ὁμήρου ἀσπίδος.* »De eo dubitari jure poterit, utrum pictor Homericam descriptionem ad amussin reddiderit, an rhetor imitationem ejus imperfectam prehenderit ansam ad paraphrasin Homeri integram elaborandam.» W. — 18. H. Il. ζ, 127. — 20. H. Il. χ, 411. — 21. Obiter moneo, *ναύσταθμον* restituendum videri loco Dionis Chr. a multis tentato LV, 18 (646 ed. Emp. 562 M), ubi vulgo legitur *θάλατταν.* — 23. H. Il. σ, 404. — ib. H. Il. φ, 331. — 33. H. Il. γ, 8.

13, 6. H. Il. σ, 239, 483. — 8. Hes. *Ἔργ.* 383. — 12. H. Il. σ, 487 et Od. ε, 273. — 17. H. Il. σ, 495. 21. ib. 503. — 22. ib. 498. — 23. *φέροι.* h. e. *τὴν ψῆφον.* — 25. *ὑποφόνια.* cf. Harpocr. s. v. — 26. *διχῆ*, Jacobsii egregiam correctionem firmat Homericum *ἀμφίς*, Il. σ, 502. — 27. ib. 503. — 31. ib. 517. 36. ib. 523.

14, 5. Videntur haec spectare ad 431, 27. — 6. H. Il. σ, 536. — 9. ib. 541. — ib. »Ager *τρίπολος* est procul dubio is, qui ter post certa quaedam intervalla temporum aratur, de qua re consule Vossium ad Virgil. Georg. I, 47. quare non apparet, cur rhetor ex numero aratorum colligat, agrum esse *τρίπολον.*« J. — Ad ceteros locos conferantur hi versus Homerici: 11 = 548. 13 = 556. 16 = 558. 20 = 561. 25 = 567. 27 = 573. 35 = 587.

15, 2. cf. H. Il. σ. 590. — 10 = 607. — 20. cf. Müller Arch. 645. — 23. Congruit Ap. Rhod. IV, 159. Imaginem similem vide apud Combe Terrac. 52. — 26. Verba sunt ex Pind. P. IV, 68 (121.) — 27. *ἀνάπυστα* duxit ex Od. λ, 274. — 31. *ἀμήχανον.* consilii inopia laborantem mentem.

16, 4. Hic quoque scriptor expressit Ap. Rhod. IV, 222. — 14. Apud Winkelm. M. I. 66 Hesiona servatur a Telamone. cf. et Pitt. Erc. IV, 62. Müll. Arch. 439. ib. cf. Pind. N. III, 24. (41), ubi adhuc persisto in vetere lectione *ἰδίᾳ τ' ἐρεύνασε*, h. e. non Eurysthei jussu. — 18. „supercilia spinosa belluarum marinarum et Tritonum etiam in anaglyphis saepe conspiciuntur. vide Winkelm. T. IV, p. 104.“ J.

17, 4. *ὥρας ἄνθος.* Respicit ad Xen. Symp. VIII. 14. — 6. cf. Mus. Worslei. I, 2, 1. Müll. Arch. 672. 7. Fortasse memineral ista Heliod. I, 21, p. 35: *λόγον τινὰ καὶ ἐννοίας ἀθροίζειν ἐῴκει.* — 8. H. Il. γ, 64. 9. »Melpomene tenet alveare, unde evolant apes mox nectareum cibum in os poetae tanquam in favum illaturae, quas quum adhuc in eo sit, ut unam post alteram emittat, admetiri eas dici potest commode.« W. 10. *δρόσου.* Ut est Heroic. 330, 16. — 12. »In his neminem semel monitum vel colorem comicum, vel rhythmum iambicum non aguiturum esse confidimus.« W. Idem sequentia *καὶ δεδοικέναι — ἐγχρίσασα* in trimetros redegit, dissentiente tamen Meinekio Fragm. Com. IV, 655. — 15. cf. V. A. 50, 27. — 17. cf. Et. Mag. 256, 6 et Plutarch. Num. c. 4. — 28. »Haec omnia suspiceris derivata ex poeta, qui historiam de Hyacintho enarraverat.“ J.

18, 6. Argumentum exhibetur etiam in Bullet. dell' Inst. 1830, p. 4. Annal. III, 154. Millin. G. Myth. 411. 13. Mus. Cap. IV, 50. Woburn. Marb. 8, 10. Inghir. Mon. Etr. II, 61. Vide maxime v. cl. Feuerbach, in Annal. dell' Inst. XV, 237 sqq. — 31. De *μαχαίρᾳ* Pelei cf. Schol. Pind. N. IV, 95.

19, 1. Vide Müll. Arch. 636. Mus. Borb. VI, 36. et Peinture d'un vase de Ténée, publié a Athenes etc. 7. Adhibeatur Dio Chrys. LX, 3. p. 667 ed. Emp. et Gerhard Auserl. Vas. II, 121. — 15. *τὸν ἑαυτοῦ λέθρον* proposuit Jac. respiciens ad Soph. Trach. 568. — 18. cf. Müll. Arch. 657. Zoeg. Basr. 54. Mill. Gal. Myth. 604. R. Rochette Mon. ined. 54, 55. Ad intelligenda prima hujus cap. verba juvabit inspexisse Her. 306. l. 29. Soph. Philoct. 7.

NOTAE
IN
CALLISTRATI DESCRIPTIONES.

25, 1. Satyrum ei, qui hic describitur, similem ex gemma, quam Patavii possidet medicus illustris Montesanto exprimendum curavit Petrettini. Antra autem Aegyptia complures scriptores tractant laudati Jacobsio Ael. H. A. XVI, 15. Phrynich. apud Bekk. Anecd. I. 64. Heliod. I, 6, 18. II, 27. 146. etc. — 17. Egit de h. l. Wieseler in diss. »die Nymphe Echo« p. 6. — 19. cf. infra 31, 19.

26, 3. vide Mus. Borgh. I, 14. Otto Jahn. Pentheus und die Maenaden, p. 11. Müller Arch. 114.

27, 3. Heyne confert Mus. Flor. III, 42. adde Müll. Arch. 119. Mus. Capit. 24. Pioclem. I, 20. Worslej. I, 3, 13. — 21. Aethiopem, sed nonebrium vide in Mus. Piocl. III, 35. cf. et Müll. Arch. 669.

28, 9. Narcissi imagines citavimus quasdam ad 398, 9. — 12. ἐπιχρύσοις. „De capillis inauratis cogita, quorum usus apud veteres statuarios haud infrequens.“ W. Laudat Jac. Siebelis in Amalth. II, 263. 19. Apte admonet W. loci Philostratei 413, 26.

29, 10. Καιροῦ signum nondum editum antea Petr. ex Museo Vindobonensi protulit. De opere cf. Himerium Ecl. XIV, 1. cum not. Wernsdorfii, Tzetz. Chil. VIII, 200. X, 322. Cedren. Annal. p. 265 (322).

30, 4. Orphei statuam in Helicone commemorat Paus. IX, 30. Imagines huic satis similes duas, unam Orphei solius, alteram ejusdem bestiis cincti habes apud Petr. prior est ex Millin Descr. des Tomb. de Canosa, altera ex Cayli Rec. t. IV, pl. XLVIII, 1. — 26. Haec descriptio convenit in universum imagini apud Bouillon I, 29. — ib. vid. Feuerb. Vat. Ap. 36.

31, 7. Εὐριπίδης. cf. Bacch. 234. — 12. τὴν λύραν veram lectionem habere videtur E. Gerhard A. B. 240, qui laudat Lippert Suppl. I, 182. Malim cum Jacobsio facere, cujus haec sunt verba: „non verisimile est, Callistratum hoc tam insolitum attributum, tamquam rem notam, articulo etiam addito sine peculiari animadversione transmisisse. Sed fac, Bacchum lyram tenere; quomodo eam thyrso fulcit? Si nobiscum legas τὴν λαιάν, hae difficultates ad unam omnes evanescent.“ — 16. Cf. Letronne, la statue vocale de Memnon. Par. 1833.

32, 7. vid. Eratosthenis catasterism. 35. c. not. Schaubach. Loquitur de hoc Aesculapio Müller Arch. 597. — 24. Male inscribitur hoc caput εἰς τὸν Πραξιτέλους Ἔρωτα in edd. Homo juvenis enim (ἔφηβος) est, nec usquam in hac ἐκφράσει deus appellatur. Deleatur igitur Callistratea hujus Amoris commemoratio apud Müller Arch. 119. Heyne Opp. V, 215, alios.

33, 18. ῥίῳ. Recte sic emendavit Jacobs ex H. Od. ι, 191. — ib. βάσιν τετρασκελῆ. Respicere videtur Jacobsio ad Eur. Hec. 1058.

34, 1. Medeam talem Petrettini repraesentavit ex Pitt. Ercol. I, 13. Vid. etiam Millin. G. Myth. 427. Müller Arch. 646. Libanium ecphr. IV, p. 1090. — ib. Malis μηνύουσα cf. infra 7, 11. — 9. Fuitne τῆς γυναικείας φύσεως.? — 15. παιδικῶν λόγων. Videtur respicere Eur. Med. 1247: ἀλλὰ τήνδε γε λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν, κἄπειτα θρήνει, θρήνους enim dicit. — 18. Athamas a Petrett. exhibetur adhibita G. Myth. II, 400 (tab. 110). — ib. Vide an scripserit Call. τῶν τῆς γραφικῆς καλῶν. — 19. cf. Eur. Bacch. 32.

ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΤΥΑΝΕΩΣ

ΕΠΙΣΤΟΛΑΙ.

ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΤΥΑΝΕΩΣ ΕΠΙΣΤΟΛΑΙ.

α'. Εὐφράτῃ. Ἐμοὶ πρὸς φιλοσόφους ἐστὶ φιλία, πρὸς μέντοι σοφιστὰς ἢ γραμματιστὰς 385
ἤ τι τοιοῦτο γένος ἕτερον ἀνθρώπων κακοδαιμόνων οὔτε νῦν ἐστι φιλία, μήτε ὕστερόν ποτε γένοιτο. τάδε μὲν οὖν οὐ πρὸς σέ, πλὴν εἰ μὴ καὶ σὺ τούτων εἷς, ἐκεῖνα δὲ καὶ πάνυ πρὸς σέ· θεράπευέ σου τὰ πάθη καὶ πειρῶ φιλόσοφος εἶναι καὶ μὴ φθονεῖν τοῖς ὄντως φιλοσοφοῦσιν, ἐπεί σοι καὶ γῆρας ἤδη πλησίον καὶ θάνατος. 5

β'. τῷ αὐτῷ. Ἡ ἀρετὴ φύσει [μαθήσει] κτήσει χρήσει, δι' ἣν ἕκαστον ἂν εἴη τῶν προειρημένων ἀποδοχῆς ἄξιον. σκεπτέον, εἴ τί σοι τούτων ἐστὶν ἢ σοφιστείας παυστέον λοιπὸν ἢ προϊκά γε χρηστέον αὐτῇ πρὸς τοὺς ἐντυγχάνοντας, ἐπείπερ ἤδη σοι καὶ τὰ Μεγαβύζου.

γ'. τῷ αὐτῷ. Ἐπῆλθες ἔθνη τὰ μεταξὺ τῆς Ἰταλίας ἀπὸ Συρίας ἀρξάμενος, ἐπιδεικνὺς σεαυτὸν ἐν ταῖς τοῦ βασιλέως λεγομέναις. διπλῆ δέ σοι τότε καὶ πώγων λευκὸς καὶ μέγας, πλέον 10 386
δὲ οὐδέν. εἶτα πῶς διὰ θαλάττης νῦν ὑποστρέφεις ἄγων φορτίδα μεστὴν ἀργυρίου χρυσίου σκευῶν πανταδαπῶν ἐσθήτων ποικίλων κόσμου τοῦ λοιποῦ, τύφου καὶ ἀλαζονείας καὶ κακοδαιμονίας; τίς ὁ φόρτος καὶ ὁ τρόπος τῆς καινῆς ἐμπορίας; Ζήνων τραγημάτων ἦν ἔμπορος.

δ'. τῷ αὐτῷ. Ὀλίγων δεῖ σοῦ τοῖς παισίν, εἰ φιλοσόφου παῖδες εἴησαν. ἔδει μὲν οὖν μηδὲ φροντίσαι πλείω σοι γενέσθαι τῶν ἱκανῶν ἄλλως τε καὶ μετὰ ἀδοξίας τινός. ἐπεὶ δὲ ἅπαξ ἐγένετο, 15
δεύτερον ἂν εἴη μεγάλῃ σπουδῇ νεῖμαί σε τισὶ ἔνια τῶν ὄντων· ἔχεις δὲ καὶ πατρίδα καὶ φίλους.

ε'. τῷ αὐτῷ. Τῶν Ἐπικούρου λόγων ὁ περὶ ἡδονῆς οὐδενὸς ἔτι συνηγόρου δεῖται τῶν ἐκ τοῦ κήπου καὶ τῆς ἐκείνου διατριβῆς, πέφηνε γὰρ ὢν καὶ κατὰ τὴν στοὰν ἀληθέστατος. εἰ δὲ ἀν-

De Apollonii epistolis vide, quae dixi in Prooemio ad Vit. Ap. p. V. Codicibus usus sum his: μ, Mazarinaeo 87, cujus variam lectionem debeo viro summo J. Fr. Boissonado; λ, Lugdunensi 73, de quo conf. Prooem. cit. XI, sq. quocum consentit plerumque p, Par. 1428 aliquot locis inspectus ab E. Millero; π Par. 3047 est, cujus nonnullas lectiones excerpsit Boissonadus. Dorvilliani lectiones signavi d. Editionum siglae eaedem sunt atque in Philostrati Epistolis.

Inscriptio in μ non habet τοῦ Τυανέως. 2. τι om. o. ib. τοιοῦτον ἕτερον γένος. π. ib. πολλάκις. λ. 3. τάδε μὲν οὖν σοι. λ, p. ib. πρὸς σὲ usque ad θεράπευε om. λ, p. ib. προσθεράπευε δέ σου. λ. 4. καὶ μὴ — φιλοσοφοῦσιν om. λ. 6. ἡ ἀρετὴ φιλομαθής· εἰ κτήσῃ, χρήσῃ. λ. κτήσει om. o, ipse inclusi μαθήσει, quod est alterius vocabuli glossema. 7. εὐχῆς ἄξιον. λ. ib. σοφιστείας. λ. σοφιστίας. ς. ib. χάριν παυστέον. λ. 8. τὰ om. λ. 10. ἐ. γε αὐτὸν. λ. ib. διπλῆ δέ σοι τότε καὶ πώγων λευκὸς. λ. διπλοῦς δή σοι τότε καὶ πάγων· λευκὸς. p. διπλαῖς. τρίβων δ' ἦν σοι τότε καὶ πώγων λευκὸς. ς (σοί ποτε. o). 11. φροντίδα. λ. ib. ἀργύρου. λ, p. 12. τίς ὁ τρόπος om. ὁ φόρτος. λ. 13. κενῆς. λ. ib. τοῦ ζῆν ὡς τραγημάτων ἔμπορος. λ. 15. γενέσθαι om. μ. 18. εἰ δ' ἄν τι καὶ λέγων. λ.

τιλέγων προκομιεῖς τὰς Χρυσίππου σχολὰς καὶ δόγματα, γέγραπταί τι καὶ ἐν τοῖς βασιλικοῖς γράμμασιν· Εὐφράτης ἔλαβε καὶ πάλιν ἔλαβεν· Ἐπίκουρος δὲ οὐκ ἂν ἔλαβεν.

ς'. τῷ αὐτῷ. Ἠρόμην πλουσίους τινάς, εἰ πικραίνονται. τί δ' οὐ μέλλομεν; ἔφασαν. ἠρόμην οὖν καὶ τὴν αἰτίαν τῆς ἀνάγκης. καὶ ἠτιῶντο τὸν πλοῦτον. σὺ δ', ὦ τάλαν, νεόπλουτος. 387

ζ'. τῷ αὐτῷ. Ἐὰν ὅτι τάχος εἰς Αἰγὰς ἀφίκῃ καὶ κενώσῃς ἐκεῖ τὴν ναῦν, ἰτέον ἐστί σοι πάλιν ὅτι τάχος εἰς τὴν Ἰταλίαν καὶ κολακευτέον ὁμοίως νοσοῦντας γέροντας γραῦς ὀρφανοὺς πλουσίους θρυπτομένους Μίδας Γέτας. πάντα φασὶ δεῖν τὸν ἔμπορον κάλων σείειν. ἐμοὶ δὲ εἴη τὴν ἁλιὰν τρυπᾶν ἐν Θέμιδος οἴκῳ.

η'. τῷ αὐτῷ. Ἆρά τι καὶ σὺ γράψαις ἄν; εἰ γὰρ οὕτω γένοιο γενναῖος. καὶ ἔχοις δ' ἂν εἰπεῖν τὰ συνήθη ταῦτα καὶ πρόχειρα· „λουτρὸν ἅπαν Ἀπολλώνιος παραιτεῖται.“ καὶ τῆς οἰκίας οὐδέποτε πρόεισι καὶ σωζομένους ἔχει τοὺς πόδας. „οὐδὲν ὁρᾶται τῶν τοῦ σώματος κινῶν.“ δι' ὅλου γὰρ τὴν ψυχὴν κινεῖ. „κομᾷ τὴν κεφαλήν.“ καὶ γὰρ ὁ Ἕλλην, ὅτι Ἕλλην καὶ οὐ βάρβαρος. „ἐσθῆτα φορεῖ λινῆν“. καὶ τῶν ἱερέων τὰ καθαρώτατα. „μαντικῇ χρῆται.“ πλείω γὰρ τὰ ἄδηλα, καὶ ἄλλως ἀμήχανον προαισθέσθαι τι τῶν ἐσομένων. „ἀλλ' οὐ πρέπον φιλοσόφῳ τὸ τοιοῦτον·“ ὃ πρέπει καὶ θεῷ; „καὶ σωμάτων δὲ ὀδύνας ἀφαιρεῖ καὶ πάθη παύει·“ τοῦτό που καὶ πρὸς τὸν 388 Ἀσκληπιὸν κοινὸν τὸ ἔγκλημα. „σιτεῖται μόνος.“ οἱ δὲ λοιποὶ ἐσθίουσι. „βραχέα λέγει καὶ ἐπὶ βραχύ.“ σιγῆσαι γάρ ἐστιν ἀδύνατος. „σαρκῶν ἀπέχεται πασῶν καὶ θηρίων πάντων.“ διὰ τοῦτο ἄνθρωπός ἐστι. εἰ ταῦτα ἐρεῖς, Εὐφρᾶτα, γεγράφθαι, ἴσως ἐκεῖνο προσθήσεις „εἴ τι ἦν, ἔλαβεν ἂν ἀργύριον, ὡς ἐγώ, δωρεὰς πολιτείας.“ εἴ τι ἦν, οὐκ ἂν ἔλαβεν. „ἀλλὰ τῇ πατρίδι μὲν ἔλαβεν ἄν.“ οὐ πατρὶς δέ, ἣ μὴ οἶδεν, ὃ ἔχει.

θ'. Δίωνι. Αὐλοῖς καὶ λύρᾳ κρεῖττόν ἐστι τέρπειν ἢ λόγῳ, τὰ μὲν γὰρ ἡδονῆς ὄργανα καὶ μουσικὴ τοὔνομα τῇ τέχνῃ, λόγος δὲ τἀληθὲς εὑρίσκει. τοῦτό σοι πρακτέον, τοῦτό σοι ῥητέον, ἢν καὶ περὶ τούτου φιλοσοφῇς.

ι'. τῷ αὐτῷ. Ζητοῦσί τινες τὴν αἰτίαν, δι' ἣν πέπαυμαι διαλεγόμενος ἐν πολλοῖς· εἰδέτωσαν οὖν, οἷς ἂν εἰδέναι μέλῃ τὸ τοιοῦτον· ἀδύνατος ὠφελῆσαι λόγος ἅπας, ὃς ἂν εἷς ὢν μὴ καὶ πρὸς ἕνα λέγηται. ὁ τοίνυν ἄλλως διαλεγόμενος δόξῃς ἧττων ὢν διαλέγοιτ' ἄν.

ια'. Καισαρέων προβούλοις. Πρῶτον εἰς πάντα θεῶν ἄνθρωποι δέονται καὶ περὶ παντός, ἔπειτα πόλεων, τιμητέον γὰρ δεύτερον πόλεις μετὰ θεοὺς καὶ τὰ πόλεως προκριτέον παντὶ 389 νοῦν ἔχοντι· εἰ δὲ μὴ πόλις μόνον εἴη, ἀλλὰ καὶ μεγίστη τῆς Παλαιστίνης ἀρίστη τε τῶν αὐτόθι μεγέθει καὶ νόμοις καὶ ἐπιτηδεύμασι καὶ προγόνων κατὰ πόλεμον ἀρεταῖς ἔτι τε ἤθεσι κατ' εἰρήνην, καθάπερ ἡ ὑμετέρα πόλις, μάλιστα πασῶν τῶν ἄλλων ἐμοί τε θαυμαστέα τιμητέα τε καὶ ἄλλῳ δὲ ὁμοίως παντὶ νοῦν ἔχοντι· τοῦτο μὲν οὖν ἐκ λόγου κοινοῦ τὸ προκριτικὸν ἂν εἴη τὸ κατὰ σύγκρισιν τῶν πολλῶν. ὅταν δὲ καὶ ἄρχῃ πόλις ποτὲ τῆς πρὸς ἕνα τιμῆς ἄνδρα πόλις οὖσα καὶ τοῦτον ἑαυτῆς ξένον καὶ ἄποθεν, τί ἢ τούτου τοῦ ἀνδρὸς πρὸς ἀμοιβὴν ἢ ὑμῖν ἀλλήλοις τισὶν

2. καὶ παρέλαβεν. λ, p. ib. οὐκ ἂν ἔλαβεν. λ, μ. οὐκ ἔλαβεν. ς. 3. εἰ περαίνονται. C, a, g. εἴπερ ἀνιῶνται. o. Sc. εἰ πικραίνονται. 4. τῆς ἀ. τὴν αἰτ. λ. ib. καὶ ἠτιῶντο. λ. ἠτιῶντο. ς (ἠτιοῦντο. o). ib. τὸν om. o. 5. ἐστί σὺ (sic). o. 7. καλῶν. o. 8. ἀλίαν. μ, a, g. 13. λινῆν. E. ib. ἱερῶν. C, E. Sc. ἱερέων. 15. παίει. μ. 17. ἐστιν ἀδύνατος. C, a, g. οὐκ ἐστιν δυνατός. o. Malim ἐστιν οὐκ ἀδ. 18. Εὐφράτα. E. 20. εἶχε. o. 21. ἦν τέρπειν. λ. ib. γὰρ om. λ. 22. μουσικῇ. λ. ib. τοὔνομα. λ. ὄνομα. ς. ib. τοῦτό σοι ῥητέον. λ, p. τοῦτο γραπτέον σοι ῥητέον. ς. 23. ἦν καὶ. λ. ib. φιλόσοφος. λ. 24. ἰδέτωσαν οἷς. λ. 25. μὴ καὶ. λ. μηδὲ. ς. 26. λέγοιτο. λ. 31. ἐμοίγε. o. ἔμοιγε. ς. ἐμοί τε corr. Spengel. 33. Correxi ς: προκριτικόν, ἂν ᾖ. 34. ἄποθεν. π. ib. ἢ ὑμῖν. π, μ, a, g. ἡμῖν. o. Requiritur talis sententia: ἢ ὑμῶν πρὸς ἀντίληψιν ἂν ἄξιον εἴη;

p. 387—389 6—11.

ἄξιον εἴη; τοῦτο μόνον ἴσως, εἰ θεοφιλής τις ὢν τύχοι διά τινα φύσεως ἐπιτηδειότητα, τὸ εὔχεσθαι τῇ πόλει τὰ ἀγαθὰ τυγχάνειν τε τῆς εὐχῆς, ὅπερ ἂν διατελέσαιμι κἀγὼ πράττων ὑπὲρ ὑμῶν, ἐπείπερ ἤσθην ἤθεσιν Ἑλληνικοῖς φαίνουσι τὸ ἴδιον ἀγαθὸν καὶ διὰ γραμμάτων κοινῶν. Ἀπολλωνίδην δὲ τὸν Ἀφροδισίου νεανίαν ἐρρωμενεστάτης φύσεως ἀξίας τε τοῦ ὑμετέρου ὀνόματος πειράσομαι χρήσιμον ὑμῖν παρασκευάζειν εἰς ἕκαστα μετὰ καὶ τύχης τινὸς ἀγαθῆς.

ιβ'. Σελευκέων τοῖς προβούλοις. Πόλις, ἥτις ἂν οὕτω πρός τε θεοὺς ἔχῃ καὶ ἀνθρώπων πρὸς τοὺς ἀξίους ἀποδοχῆς, αὐτή τε εὐδαίμων καὶ εἰς ἀρετὴν ὠφέλησε τοὺς μαρτυρηθέντας. ἄρξασθαι μὲν οὖν χάριτος οὐ δυσχερές, ἀλλὰ καὶ τῶν ἐν ἀνθρώποις τὸ κάλλιστον, ἀμοιβὴν δ' οὐ μόνον οὐ ῥᾴδιον, ἀλλὰ καὶ παντελῶς ὁμοίαν εὑρεῖν ἀδύνατον, τὸ γάρ που τῇ τάξει δεύτερον οὐδέποτε τῇ φύσει πρῶτον. ὥστε θεὸν ἀνάγκη παρακαλεῖν ὑπὲρ ὑμῶν ἀμείψασθαι τοὺς οὐ τῇ δυνάμει μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις κρείττους γενομένους. ἀνθρώπων γὰρ οὐδεὶς τά γε τηλικαῦτα δυνατός. καὶ τὸ ἐθελῆσαι δ' ἂν με παρ' ὑμῖν γενέσθαι τῆς ὑμῶν ἂν εἴη χάριτος καὶ αὐτὸ εἰς ἡμᾶς, ὡς ἔγωγ' ἂν εὐξαίμην παρ' ὑμῖν καὶ γεγεννῆσθαι. οἱ πρέσβεις ὑμῶν τιμιώτεροι, διότι καὶ φίλοι. Ἱερώνυμος καὶ Ζήνων.

ιγ'. τοῖς αὐτοῖς. Στράτων μὲν ἐξ ἀνθρώπων οἴχεται πᾶν ὅσον ἦν αὐτῷ θνητὸν ἐπὶ γῆς καταλιπών. χρὴ δὲ τοὺς ἔτι κολαζομένους ἡμᾶς ἐνθάδε ζῆν ἄλλως λεγομένους ἔχειν τινὰ τῶν ἐκείνου πραγμάτων ἐπιμέλειαν. ἄλλοις μὲν οὖν ἄλλο τι ἔργον δικαίως γένοιτο νῦν ἢ καὶ ὕστερον, οἷς μὲν ὡς οἰκείοις, οἷς δ' ὡς αὐτὸ μόνον ἀνδράσι φίλοις οὐκ ἐν ἑτέρῳ γνωσθησομένοις χρόνῳ, τούτων εἴπερ ἦν τῶν ὀνομάτων ἀληθές τι καὶ πρόσθεν. ἐγὼ μέντοι καὶ ταύτῃ βουλόμενος ἐξαιρέτως ὑμέτερος εἶναι, τὸν ἐκ Σελευκίδος υἱὸν αὐτῷ γενόμενον Ἀλέξανδρον αὐτὸς ἀναθρέψω καὶ μεταδώσω παιδείας τῆς ἐμῆς. πάντως δ' ἂν μετέδωκα καὶ χρημάτων ὁ τὰ μείζονα δούς, εἴπερ ἔχειν ἦν ἄξιον. 390

ιδ'. Εὐφράτῃ. Πυνθάνονταί μου πολλοὶ πολλάκις, τίνος ἕνεκεν οὐ μετεπέμφθην εἰς Ἰταλίαν, ἢ οὐ μεταπεμφθεὶς ἀφικόμην, ὥσπερ σὺ καὶ εἴ τις ἕτερος. ἐγὼ δὲ περὶ τοῦ προτέρου μὲν οὐκ ἀποκρινοῦμαι, μὴ καὶ δόξω τισὶν εἰδέναι τὴν αἰτίαν, οὐδ' εἰδέναι μοι μέλον, περὶ δὲ τοῦ δευτέρου τί ἂν καὶ δεοίμην ἕτερον λέγειν, ἢ ὅτι μᾶλλον ἂν μετεπέμφθην ἢ ἀφικόμην; ἔρρωσο.

ιε'. τῷ αὐτῷ. Τὴν ἀρετὴν ἀδέσποτον εἶναι Πλάτων ἔφησεν. εἰ δὲ μὴ τιμᾷ τοῦτό τις καὶ γέγηθεν ἐπ' αὐτῷ, ἀλλὰ καὶ ὤνιος γίνεται χρημάτων, πολλοὺς δεσπότας ἑαυτοῦ ποιεῖ.

ις'. τῷ αὐτῷ. Μάγους οἴει δεῖν ὀνομάζειν τοὺς ἀπὸ Πυθαγόρου φιλοσόφους, ὧδέ που καὶ τοὺς ἀπὸ Ὀρφέως. ἐγὼ δὲ καὶ τοὺς ἀπὸ τοῦ δεῖνος οἶμαι δεῖν ὀνομάζεσθαι μάγους, εἰ μέλλουσιν εἶναι θεῖοί τε καὶ δίκαιοι.

ιζ'. τῷ αὐτῷ. Μάγους ὀνομάζουσι τοὺς θεοὺς οἱ Πέρσαι. μάγος οὖν ὁ θεραπευτὴς τῶν θεῶν ἢ ὁ τὴν φύσιν θεῖος, σὺ δ' οὐ μάγος, ἀλλ' ἄθεος. 391

ιη'. τῷ αὐτῷ. Ἡράκλειτος ὁ φυσικὸς ἄλογον εἶναι κατὰ φύσιν ἔφησε τὸν ἄνθρωπον. εἰ δὲ τοῦτο ἀληθές, ὥσπερ ἐστὶν ἀληθές, ἐγκαλυπτέος ἕκαστος ὁ ματαίως ἐν δόξῃ γενόμενος.

4. ἡμετέρου. π. 5. μετὰ τῆς τύχης. o. 6. ἔχει. o. 8. οὐ om. C, a, g, m; add. o. 12. αὐτὸς. g. 13. γεννῆσθαι. μ. γεγεννῆσθαι. ς. Sc. γεγεννῆσθαι. 18. δὲ ὡς. E. 20. Ἀλέξανδρον αὐτὸς ἀναθρέψω. μ, d. Ἀλέξανδρον. ς. 23. μεταπεμφθεὶς οὐκ ἀφικόμην velit Hamacker Lect. Philostr. 95. 24. δευτέρου. o. 25. οὐδ' εἶναι. λ. ib. μέλλον. λ, μ. 26. προτέρου. o. ib. μᾶλλον ἂν. λ. ἂν μᾶλλον. ς. ib. ἔρρωσο addit μ. om. ς. 29. οἷον. λ. 30. τοῦ Διὸς. μ. Διὸς. ς. δεῖνος. conj. Spengel. 31. θεοί τε. λ. 35. ἐστὶν om. λ. ib. ἐγκαλύπτου. λ. ib. μάτην. λ.

147, 148. p. 390, 391. 12—18.

ιθ'. Σκοπελιανῷ σοφιστῇ. Πέντε εἰσὶ σύμπαντες οἱ τοῦ λόγου χαρακτῆρες, ὁ φιλόσοφος ὁ ἱστορικὸς ὁ δικανικὸς ὁ ἐπιστολικὸς ὁ ὑπομνηματικός. ἐγκειμένων δὴ τῶν γενικῶν χαρακτήρων τῇ τάξει πάλιν γίνεται πρῶτος μὲν ὁ κατὰ τὴν ἑκάστου δύναμιν ἢ φύσιν ἴδιος ὤν, δεύτερος δὲ ὁ ἐν μιμήσει τοῦ ἀρίστου, τῶν ἐκ φύσεως εἴ τις ἐνδεὴς εἴη. τὸ δὲ ἄριστον δυσεύρετόν τε καὶ δυσεπίκριτον, ὥστε οἰκειότερος ἑκάστῳ χαρακτὴρ ὁ ἴδιος, ἐπείπερ καὶ βεβαιότερος.

κ'. Δομετιανῷ. Εἴ σοι δύναμίς ἐστιν, ὥσπερ ἐστίν, καὶ φρόνησιν ἂν εἴη σοι κτητέον. καὶ γὰρ εἰ φρόνησις ἦν, δύναμις δὲ ἀπῆν, ὁμοίως ἔδει σοι δυνάμεως. δεῖται γὰρ ἀεὶ τὸ ἕτερον τοῦ ἑτέρου, ὥσπερ ὄψις φωτὸς καὶ φῶς ὄψεως.

κα'. τῷ αὐτῷ. Βαρβάρων ἀφεκτέον καὶ οὐκ ἀρκτέον αὐτῶν. οὐ γὰρ θέμις αὐτοὺς βαρβάρους ὄντας εὖ πάσχειν.

κβ'. Λεσβώνακτι. Δεῖ πένεσθαι μὲν ὡς ἄνδρα, πλουτεῖν δὲ ὡς ἄνθρωπον.

κγ'. Κρίτωνι. Τὸ θειότατον Πυθαγόρας ἰατρικὴν ἔφασκεν. εἰ δὲ ἰατρικὴ τὸ θειότατον, καὶ ψυχῆς ἐπιμελητέον μετὰ σώματος, ἢ τὸ ζῷον οὐκ ἂν ὑγιαίνοι τῷ κρείττονι νοσοῦν.

392 κδ'. Ἑλλανοδίκαις καὶ Ἠλείοις. Ἀξιοῦτέ με τῷ ἀγῶνι τῶν Ὀλυμπίων παραγενέσθαι καὶ διὰ τοῦτο ἐπέμψατε πρέσβεις. ἐγὼ δὲ παρεγενόμην ἂν ἐπὶ σωμάτων θέαν καὶ ἅμιλλαν, εἰ μὴ τὸν μείζονα τῆς ἀρετῆς ἀγῶνα καταλείψειν ἔμελλον.

κε'. Πελοποννησίοις. Ὀλύμπια τὸ δεύτερον, καὶ τὸ μὲν πρῶτον ἐγένεσθε πολέμιοι, τὸ δεύτερον δὲ οὐ φίλοι.

κ'. τοῖς ἐν Ὀλυμπίᾳ θεηκόροις. Θεοὶ θυσιῶν οὐ δέονται. τί οὖν ἄν τις πράττων χαρίζοιτο αὐτοῖς; φρόνησιν, ὡς ἐμοὶ δοκεῖ, κτώμενος ἀνθρώπων τε τοὺς ἀξίους εἰς δύναμιν εὖ ποιῶν. ταῦτα φίλα θεοῖς, ἐκεῖνα δὲ ἀθέων.

κξ'. τοῖς ἐν Δελφοῖς ἱερεῦσιν. Αἵματι βωμοὺς μιαίνουσιν ἱερεῖς, εἶτα θαυμάζουσί τινες, πόθεν αἱ πόλεις ἀτυχοῦσιν, ὅταν μεγάλα δυστυχήσωσιν. ὦ τῆς ἀμαθίας. Ἡράκλειτος ἦν σοφός, ἀλλ' οὐδὲ ἐκεῖνος Ἐφεσίους ἔπεισε μὴ πηλῷ πηλὸν καθαίρεσθαι.

κη'. βασιλεῖ Σκυθῶν. Ζάμολξις ἀνὴρ ἀγαθὸς ἦν καὶ φιλόσοφος, εἴ γε μαθητὴς Πυθαγόρου ἐγένετο. καὶ εἰ κατ' ἐκεῖνον τὸν χρόνον τοιοῦτος ἦν ὁ Ῥωμαῖος, ἑκὼν ἂν ἐγένετο φίλος. εἰ δὲ ὑπὲρ ἐλευθερίας οἴει δεῖν ἀγῶνα καὶ πόνον ἔχειν, ἄκουε φιλόσοφος, τουτέστιν ἐλεύθερος.

393 κθ'. νομοθέτῃ. Αἱ ἑορταὶ νόσων αἰτίαι. τοὺς μὲν γὰρ πόνους ἀνιῶσι, τὸ ἐμπίπλασθαι δὲ αὔξουσιν.

λ'. ταμίαις Ῥωμαίων. Ἀρχὴν ἄρχετε πρώτην. εἰ μὲν οὖν ἄρχειν ἐπίστασθε, διὰ τί τὸ παρ' ὑμᾶς χεῖρον ἑαυτῶν αἱ πόλεις ἔχουσιν; εἰ δὲ οὐκ ἐπίστασθε, μαθεῖν ἔδει πρῶτον, εἶτα ἄρχειν.

λά. διοικηταῖς Ἀσίας. Τί ὄφελος ἀγρίων δένδρων φυομένων ἐπὶ βλάβῃ τοὺς κλάδους κόπτειν, ἐὰν δὲ τὰς ῥίζας;

2. ὁ ἐπιστολικὸς — ὑπομνηματικὸς om. λ. ἐπιστολικὸς. μ. ἐπισταλτικὸς. ς. 4. εἴ τις. μ. ἦν τις. ς. 6. Δομετιανῷ. C. τῷ αὐτῷ. ς. 9. ἀφικτέον. μ. 10. ὄντας om. ο. 14. τῷ ἀξώνι. λ. 15. οὐ παρεγενόμην. ο. 16. λείψειν. λ 17. Τιβέριος Πελοποννησίοις. λ. 19. Νεωκόροις. λ. Malim θεηκόλοις. ib. οὐκ ἐπινέονται. λ. 23. ὦ. μ, a, g. ὢ. ο. ib. Ἡράκλειτος ὁ Ἐφέσιος ἦν σοφὸς. λ, p. 24. μὴ om. ο. 26. εἰ κατὰ τὸν χρόνον. ο. 29. αὔξουσιν. μ. αὐξουσι. ς. 31. ἴχουσι. ο. 32. Huic epistolae praeficitur in λ. 54ta ep. deinde sequitur sine novo titulo τί ὄφελος κτε.

p. 392, 393. 19—31.

λβ'. Ἐφεσίων γραμματεῦσιν. Λίθων ἐν πόλει καὶ γραφῶν ποικίλων καὶ περιπάτων καὶ θεάτρων οὐδὲν ὄφελος, εἰ μὴ νοῦς ἐνείη καὶ νόμος. νοῦς δὲ καὶ νόμος περὶ τούτων ἐστίν, οὐ ταῦτα.

λγ'. Μιλησίοις. Οἱ παῖδες ὑμῶν πατέρων δέονται, οἱ νέοι γερόντων, αἱ γυναῖκες ἀνδρῶν, οἱ ἄνδρες ἀρχόντων, οἱ ἄρχοντες νόμων, οἱ νόμοι φιλοσόφων, οἱ φιλόσοφοι θεῶν, οἱ θεοὶ πίστεως. προγόνων ἀγαθῶν ἐστε, τὰ παρόντα μισεῖτε.

λδ'. τοῖς ἐν Μουσείῳ σοφοῖς. Ἐγενόμην ἐν Ἄργει καὶ Φωκίδι καὶ Λοκρίδι καὶ ἐν Σικυῶνι καὶ ἐν Μεγάροις καὶ διαλεγόμενος τοῖς ἔμπροσθεν χρόνοις ἐπαυσάμην ἐκεῖ. τί οὖν, εἴ τις ἔροιτο, τὸ αἴτιον, ἐγὼ φράσαιμ' ἂν ὑμῖν τε καὶ Μούσαις· ἐβαρβαρώθην οὐ χρόνιος ὢν ἀφ' Ἑλλάδος, ἀλλὰ χρόνιος ὢν ἐν Ἑλλάδι.

λε'. Ἑστιαίῳ. Ἀρετὴ καὶ χρήματα παρ' ἡμῖν ἀλλήλοις ἐναντιώτατα, μειούμενον γὰρ τὸ ἕτερον αὔξει τὸ ἕτερον, αὐξανόμενον δὲ μειοῖ. πῶς οὖν δυνατὸν ἀμφότερα περὶ τὸν αὐτὸν γενέσθαι; πλὴν εἰ μὴ τῷ τῶν ἀνοήτων λόγῳ, παρ' οἷς καὶ ὁ πλοῦτος ἀρετή. μὴ δὴ τοσοῦτον ἡμῶν ἀναισθητεῖν ἐπίτρεπε τοῖς αὐτόθι, μηδὲ ἓα πλουσίους ἡμᾶς ὑπολαμβάνειν μᾶλλον ἢ φιλοσόφους. καὶ γὰρ αἴσχιστον ἀποδημεῖν ἡμᾶς διὰ χρήματα δοκεῖν, ἐνίων, ἵνα μνήμην ἑαυτῶν καταλείπωσι, μηδὲ ἀρετὴν ἀσπασαμένων. 394

λ'. Κορινθίῳ Βάσσῳ. Ἦν Πραξιτέλης Χαλκιδεὺς μαινόμενος ἄνθρωπος. οὗτος ἦλθέ ποτε ξιφήρης ἐπὶ θύρας τὰς ἐμὰς ὑπὸ σοῦ σταλεὶς τοῦ φιλοσόφου καὶ ἀγωνοθέτου τῶν Ἰσθμίων. τοῦ φόνου δ' ἦν μισθὸς δεδομένος ἡ τῆς γυναικός σου κοινωνία, καί, μιαρὲ Βάσσε, πολλάκις εὐεργέτης ἐγενόμην σου.

λ'. τῷ αὐτῷ. Εἰ πυνθάνοιτο Κορινθίων τις, πῶς ὁ Βάσσου πατὴρ ἀπέθανεν, ἐροῦσιν ἅπαντες οἱ ἀστικοὶ καὶ οἱ μέτοικοι· φαρμάκῳ. τίνος δόντος; ἐροῦσι καὶ οἱ ὅμοροι· τοῦ φιλοσόφου. καὶ ὁ μιαρὸς τῷ πτώματι τοῦ πατρὸς ἑπόμενος ἔκλαιεν.

λη'. τοῖς ἐν Σάρδεσιν. Ἀρετῆς μὲν ὑμῖν πρωτεῖον οὐκ ἔστι, ποίας γὰρ ἀρετῆς; εἰ δὲ κακίας φέρεσθε τὰ πρῶτα, πάντες ὑφ' ἓν φέρεσθε. τίνες τοῦτο φήσουσι περὶ τῶν ἐν Σάρδεσιν; οἱ ἐν Σάρδεσιν. οὐδεὶς γὰρ οὐδενὶ τῶν αὐτόθι φίλος, ὥστ' ἀρνεῖσθαί τι τῶν ἀτόπων δι' εὔνοιαν.

λθ'. τοῖς αὐτοῖς. Αἰσχρὰ καὶ τὰ ὀνόματα τῶν ταγμάτων ὑμῶν· Κόδδαροι, Ξυρισίταυροι. ταῦτα τοῖς τέκνοις τίθεσθε τὰ πρῶτα, καὶ εὐτυχεῖτε γίνεσθαι τούτων ἄξιοι.

μ'. τοῖς αὐτοῖς. Κόδδαροι, καὶ Ξυρισίταυροι. Τὰς δὲ θυγατέρας ὑμῶν καὶ τὰς γυναῖκας πῶς ἂν προσαγορεύοιτε; τῶν γὰρ αὐτῶν ταγμάτων εἰσὶ καὶ αὗται καὶ θρασύτεραι. 395

μά'. τοῖς αὐτοῖς. Οὐδὲ τοὺς οἰκέτας ὑμῖν εὐνοεῖν εἰκός, πρῶτον μὲν ὅτι οἰκέται, εἶθ', ὅτι τῶν ἐναντίων ταγμάτων οἱ πλεῖστοι. κἀκεῖνοι γὰρ ὁμοίως ὑμῖν ἀπὸ γένους.

1. Ἐφεσίων γραμματεῦσιν. μ. Ἐ. γραμματεῦσι. ς. τῷ αὐτῷ post 66tam ep. Ἐφεσίοις. λ. ib. λίθων ἐν πόλει ποικίλων καὶ γραφῶν. λ. 2. ἐνείη δὲ νόμος. λ. ib. περὶ τούτων. C. παρὰ τούτων. B. ib. ἐστὶν om. λ. ib. οὐ τ..αῦτα. λ. 3. Est sola in Palatino 350. 6. τοῖς ἐν Μούσαις. λ. ib. ἐν Λοκρίδι. λ. 7. ἔμπροσθε. μ. ib. τί γοῦν. λ. 8. Ex Eur. Or. 485. 9. ὢν om. λ. 10. ἀρετῆς χρ. g. ib. καὶ om. λ. ib. παρ' ὑμῖν. λ. 11. ἀμφότερον. o. ib. παρὰ. E. 12. ἀνοήτω λόγων. λ. ib. in πλοῦτος explicit epistola. λ. ib. μὴ δὴ. μ. 13. μὴ δὲ. E. 14. ὀλιγωρούντων αὐτά. add. o. ex conj. post δοκεῖν. ib. καταλείπωσι. μ. καταλίπωσι. ς. ib. ἀσπασάμενοι. o. 15. Κορινθίῳ om. λ. 16. ὑπό σου. o. 17. δ' ἦν. μ. δὲ ἦν. ς. ib. δευόμενος λ et μ. mg. δεδεμένος. μ. ib. μου. λ. ib. καὶ μιαρὲ καὶ Βάσσε. λ. 19. ἐροῦσι πανταχόθεν καὶ οἱ μέτοικοι. λ. ἐροῦσιν ἅπαντες ἀστικοὶ καὶ οἱ μέτοικοι. ς. 21. ἑπόμενος τῷ πτ. τ. πατρός. λ 22. πρῶτον. λ. 23. τίνες om. o. 24. τίνες; οὐδείς. o. 26. πείθεσθε. λ. ib. γίνεσθε. λ. 28. καὶ αὗται. μ. καὶ αὗται. ς. 30. οἱ πλεῖστοι ταγμάτων. λ. ib. ὑμῖν ὁμοίως. λ.

μβ'. *Πλατωνικοῖς.* Ἐάν τις Ἀπολλωνίῳ χρήματα διδῷ, καὶ ὁ διδοὺς ἄξιος νομίζηται, λήψεται δεόμενος. φιλοσοφίας δὲ μισθὸν οὐ λήψεται, κἂν δέηται.

μγ'. *τοῖς οἰησισόφοις.* Εἰ λέγει τις εἶναι γνώριμος ἐμός, λεγέτω καὶ μένειν ἔνδον, ἀπέχεσθαι λουτροῦ παντός, ξῷα μὴ κτείνειν, μηδὲ ἔδειν σάρκας, ἀπαθὴς εἶναι φθόνου κακοηθείας μίσους διαβολῆς ἔχθρας, τοῦ τῶν ἐλευθέρων ὀνομάζεσθαι γένους, ἢ φυλακτέος πλάσματα φέρων τρόπου τε καὶ ἤθους καὶ λόγων ψευδῶν ἀλλοτρίου βίου πίστιν. ἔρρωσθε.

μδ'. *Ἑστιαίῳ τῷ ἀδελφῷ.* Τί θαυμαστόν, εἴ με τῶν ἄλλων ἀνθρώπων ἰσόθεον ἡγουμένων, τινῶν δὲ καὶ θεόν, μόνη μέχρι νῦν ἡ πατρὶς ἀγνοεῖ, δι' ἣν ἐξαιρέτως ἐσπούδασα λαμπρὸς εἶναι; τουτὶ γὰρ οὐδ' ὑμῖν τοῖς ἀδελφοῖς, ὡς ὁρῶ, γέγονε φανερόν, ὡς εἴην ἀμείνων πολλῶν λόγους τε καὶ ἦθος. ἐπεὶ πῶς ἄν μου κατεγινώσκετε χαλεπὴν κατάγνωσιν ὑπομνήσεως τὴν ἀρχὴν δεομένων, περὶ ὧν μόνων οὐδὲ τῶν ἀμαθεστάτων ἄν τις περιμείνειε διδαχθῆναι; λέγω δὲ πατρίδος τε καὶ ἀδελφῶν. καίτοι οὐ λέληθεν ὑμᾶς, ὡς καλῶς ἔχον ἐστὶ πᾶσάν τε γῆν πατρίδα νομίζειν καὶ πάντας ἀνθρώπους ἀδελφοὺς καὶ φίλους, ὡς ἂν γένος μὲν ὄντας θεοῦ, μιᾶς δὲ φύσεως, κοινωνίας δ' οὔσης λόγῳ τε παντὶ καὶ πᾶσι παθῶν τῆς αὐτῆς, ὅπη γε καὶ ὅπως ἄν τις τύχῃ γενόμενος, εἴτε βάρβαρος, εἴτε καὶ Ἕλλην ἄλλως τε καὶ ἄνθρωπος. ἀλλ' ἔστι γάρ πως τὸ
396 συγγενὲς ἀκατασόφιστον καὶ πᾶν ἀνακλητικὸν αὑτοῦ τὸ οἰκεῖον. οὕτως ὁ Ὁμηρικὸς Ὀδυσσεύς, ὡς φασιν, οὐδὲ ἀθανασίαν ὑπὸ θεᾶς διδομένην Ἰθάκης προὐτίμησεν. ὁρῶ δ' ἔγωγε τὸν νόμον τόνδε καὶ διὰ τῶν ἀλόγων ζῴων πεφοιτηκότα. οὐ γὰρ ὁπόσον πτηνόν, καλιῶν ἀπόκοιτον ἰδίων, πᾶν τε βύθιον παρασύρεται μὲν ὑπὸ τοῦ φέροντος, ἐπάνεισι δὲ μὴ νικηθέν. θηρία μὲν γὰρ οὔτε λιμὸς οὔτε κόρος ἔπεισεν ἔξω φωλεῶν μεῖναι. ἕνα τούτων ἡ φύσις ἤνεγκεν ἄνθρωπον καὶ ταῦτα σοφὸν λεγόμενον. ᾧ κἂν πάντα τὰ λοιπὰ γῆ πᾶσα παρέχῃ, μνήματα οὐκ ἔχει δεῖξαι τὰ πατέρων.

με'. *τῷ αὐτῷ.* Εἰ τῶν ὄντων τὸ τιμιώτατον φιλοσοφία, πεπιστεύμεθα δ' ἡμεῖς φιλοσοφεῖν, οὐκ ἂν ὀρθῶς ὑπολαμβανοίμεθα μισάδελφοι, καὶ ταῦτα δι' αἰτίαν ἀγεννῆ τε ἅμα καὶ ἀνελεύθερον. χρημάτων γὰρ δήπου χάριν ἡ ὑποψία, τούτων δὲ καὶ πρὶν ἢ φιλοσοφεῖν ἐπειρώμεθα καταφρονεῖν, ὥστε τοῦ μὴ γράφειν εὐλογώτερον ἂν εἴη πρόφασιν ἑτέραν ὑπονοεῖν. ἐφυλαττόμην γὰρ ἀληθῆ μὲν γράφων ἀλαζὼν δοκεῖν, ψευδῆ δὲ ταπεινός, ὧν ἑκάτερον ἐπίσης ἀνιαρὸν ἀδελφοῖς τε καὶ φίλῳ παντί. νυνὶ μέντοι καὶ τοῦτο δηλῶ. συγχωροίη γὰρ ἂν ἴσως τὸ δαιμόνιον, ὅτι συμβαλὼν τοῖς ἐν Ῥόδῳ φίλοις μετ' ὀλίγον ἐκεῖθεν ἐπάνειμι πρὸς ὑμᾶς λήγοντος ἔαρος.

μς'. *Γορδίῳ.* Ἠδικῆσθαί φασιν Ἑστιαῖον ὑπὸ σοῦ καὶ ταῦτα φίλου γεγονότος, εἴ γε σύ τινος φίλος. ὅρα δή, Γόρδιε, μὴ πεῖραν λάβῃς ἀνδρὸς οὐ δοκοῦντος, ἀλλὰ ὄντος. ἄσπασαι τὸν υἱὸν Ἀριστοκλείδην, ὃν εὔχομαι μὴ παραπλησίον σοι γενέσθαι. καὶ σὺ δ' ἦσθα νέος ἄμεμπτος.

μζ'. *Τυανέων τῇ βουλῇ καὶ τῷ δήμῳ.* Προστάττουσιν ὑμῖν ἐπανιέναι πείθομαι. τοῦτο γὰρ δὴ πρὸς ἕνα πόλει πρεπωδέστερον εἴη, εἰ ἕνεκα τιμῆς μεταπέμποιτο πολίτην ἑαυτῆς. καὶ ὃν ἀπεδήμησα δὲ χρόνον, ἀπεδήμησα περιποιῶν ὑμῖν, εἰ καὶ ἐπαχθὲς εἰπεῖν, εὔκλειάν τε καὶ ὄνομα καὶ εὔνοιαν καὶ φιλίαν πόλεων ἐπιφανῶν, ὁμοίως δὲ καὶ ἀνδρῶν. εἰ δὲ καὶ μείζονος ἔτι καὶ κρείτ-

1. τοῖς *Πλάτωνος νόμοις.* λ. 3. τοῖς οἰησόφοις. ς. Sc. τοῖς οἰησισόφοις. ib. *μένων.* ο. 6. ἔρρωσθε add. μ. 9. ὡς εἴην. ς. Fo: ὡς εἰμί. ib. *ἀμείνων πολλῶν.* μ. πολλῶν ἀμείνων. ς. 10. Fo: ὡς ὑπ. τ. ἀ. δεομένου. 12. ὑμᾶς. μ. ἡμᾶς. ς. 13. κ. δ' οὔσης. μ. 14. Fo: λόγου τε — καὶ παθῶν. ib. τύχοι. π. 15. εἴτε — εἴτε. ο. 17. οὔτε. ο. ib. ἐγὼ γε. ο. ib. νόμον τοῦτον. π. 18. καλλιῶν. μ. 19. οὔτε λιμὸς om. E. 20. μεῖναί τινα τούτων. ἡ φύσις. ς, quod correxi. 21. μὲν omisi ante οὐκ. 22. Ἀπολλώνιος ἀδελφῷ. μ, a, g. Ἀπολλώνιος τοῖς ἀδελφοῖς. π. ib. τὸ om. ο. ib. ἡμᾶς. g. ib. φιλοσοφεῖν — mis excideruntin λ. 25. εὐκολώτερον. λ. 26. φίλοις ἂν εἴη νῦν. εἰ μέντοι. λ. 28. εἴτε ἐπάνειμι. λ. 29. εἰδὲ. λ. 30. λάβοις. λ. 31. ἦσθα. λ. ἦς. ς. 32. Τυανέοις. λ. ib. προστάττουσιν om. λ. ib. πύθομαι. λ. 33. τῇ πόλει. λ. ib. εἴη om. λ. Aut dele hoc, aut adde ἄν. ib. ὅταν ἕνεκα. λ. 34. ἀπεδήμησε. λ. ib. δι om. λ. ib. ἀπεδήμησα. λ. ἀποδεδήμηκα. ς. ib. καὶ ὄνομα om. λ. 35. καὶ εὔνοιαν καὶ φιλίαν. λ. καὶ φιλίαν. ς.

p 396. 42 – 47.

τονος ὑμεῖς ὑπολήψεως ἄξιοι, τό γε ἐμὸν καὶ τὸ παρὰ τῆς ἐμῆς φύσεως ἐπὶ τοσοῦτον ἐξήρκει μόνον δυνάμεώς τε καὶ σπουδῆς. ἔρρωσθε. 397

μή'. Διοτίμῳ. Ἐπλανήθης οἰηθεὶς δεῖσθαί μέ τινος ἢ παρ' αὐτοῦ σοῦ, πρὸς ὃν οὐδὲν ἦν μοί ποτε κοινόν τι γεγονός, ἢ παρ' ἄλλου τινὸς ὁμοίου τε καὶ ὁμοίως. ἦν δὲ οὐδὲ τὸ ἀναλωθὲν εἴς τι τῶν σοι σωτηρίων πολύ τι. χαριῇ δή μοι παθὼν εὖ δίχ' ἀναλώματος. τηρήσω γάρ μου τὸ ἔθος μόνως οὕτως. ὅτι δὲ τοῦτον ἔχω τὸν τρόπον καὶ ταύτην τὴν διάθεσιν πρὸς ἅπαντάς μου τοὺς πολίτας, ἐῶ γὰρ λέγειν ὡς καὶ πρὸς πάντας ἀνθρώπους, ἔξεστι μαθεῖν παρὰ τῶν ἄλλων πολιτῶν εὖ παθόντων μέν, ὁσάκις ἐδεήθησάν τινος, ἀμοιβὴν δὲ αἰτηθέντων μηδεμίαν. μὴ δὴ δυσχεράνῃς, εἰ δεόντως ἐπιτιμηθεὶς ὁ ἐμὸς ὑπὲρ τοῦ προσέσθαι τι τὴν ἀρχὴν ἀπέδωκεν εὐθὺς ὃ ἔλαβε Λυσίᾳ τῷ φίλῳ σου, φίλῳ δὲ καὶ ἐμοῦ, ἐπεὶ μηδένα ἠπίστατο τῶν καταλελειμμένων σου παίδων. εἰ δὲ δύο λόγοι περὶ ἐμοῦ λέγονται, λεχθήσονται δὲ καὶ ἐσύστερον, τί θαυμαστόν; ἀνάγκη γὰρ περὶ παντὸς ἄκρου δοκοῦντος καθ' ὁτιοῦν ἐναντίους λέγεσθαι λόγους. οὕτως περὶ Πυθαγόρου περὶ Ὀρφέως περὶ Πλάτωνος περὶ Σωκράτους οὐκ ἐλέχθη μόνον, ἀλλὰ καὶ ἐγράφη τὰ ἐναντία, ὅπου γε μὴ τὰ ὅμοια καὶ περὶ αὐτοῦ τοῦ θεοῦ. ἀλλ' οἱ μὲν ἀγαθοὶ δέχονται τὸν ἀληθῆ λόγον, ὡς ἂν ἔχοντές τι συγγενές, οἱ δὲ φαῦλοι τὸν ἐναντίον, καὶ ἔστι τοῦ τοιούτου γένους καταγελᾶν, λέγω δὲ τοῦ χείρονος. τοσοῦτο μόνον δίκαιον ὑπομνῆσαι περὶ ἐμαυτοῦ τὸ νῦν, ὅτι περὶ ἐμοῦ καὶ θεοῖς εἴρηται ὡς περὶ θείου ἀνδρὸς οὐ μόνον ἰδίᾳ τισὶ πολλάκις, ἀλλὰ καὶ δημοσίᾳ. ἐπαχθὲς λέγειν τι περὶ αὐτοῦ πλεῖον ἢ μεῖζον. ὑγιαίνειν εὔχομαι.

μθ'. Φερουκιανῷ. Πάνυ τοῖς πεμφθεῖσιν ὑπὸ σοῦ γράμμασιν ἥσθην, πολλὴν γὰρ οἰκειότητα καὶ γένους ἀνάμνησιν εἶχε, καὶ πέπεισμαι δι' ἐπιθυμίας εἶναί σοι θεάσασθαί με καὶ ὑπ' ἐμοῦ θεαθῆναι. αὐτὸς οὖν ἀφίξομαι πρὸς ὑμᾶς ὅτι τάχιστα. ὅθεν ἔχου τῶν αὐτόθι. συμμίξεις δέ μοι πλησίον γενομένῳ πρὸ τῶν ἄλλων οἰκείων τε καὶ φίλων, ἐπεὶ καὶ προσήκει σοι τοῦτο. 398

ν'. Εὐφράτῃ. Ἐν γένει δαιμόνων καὶ ὁ σοφώτατος Πυθαγόρας ἦν. σὺ δ' ἔτι μοι δοκεῖς πορρωτάτω φιλοσοφίας εἶναι καὶ ἀληθινῆς ἐπιστήμης, ἣ οὐκ ἂν οὔτε κἀκεῖνον κακῶς ἔλεγες, οὔτε τινὰς τῶν ζηλούντων αὐτὸν διετέλεις μισῶν. ἄλλο τί σοι νῦν πρακτέον ἂν εἴη· φιλοσοφίας γὰρ ἥμβροτες, οὐδ' ἔτυχες μᾶλλον ἢ Μενελάου Πάνδαρος ἐν τῇ τῶν ὅρκων συγχύσει.

να'. τῷ αὐτῷ. Ἐπιτιμῶσί σοί τινες, ὡς εἰληφότι χρήματα παρὰ τοῦ βασιλέως, ὅπερ οὐκ ἄτοπον, εἰ μὴ φαίνοιο φιλοσοφίας εἰληφέναι μισθὸν καὶ τοσαυτάκις καὶ ἐπὶ τοσοῦτον καὶ παρὰ τοσούτων καὶ περὶ σοῦ πεπιστευκότων εἶναί σε φιλόσοφον.

νβ'. τῷ αὐτῷ. Ἐάν τις ἀνδρὶ Πυθαγορείῳ συγγένηται, τίνα παρ' αὐτοῦ λήψεται καὶ ὁπόσα, φαίην ἂν ἔγωγε· νομοθετικὴν γεωμετρίαν ἀστρονομίαν ἀριθμητικὴν ἁρμονικὴν μουσικὴν ἰατρικὴν πᾶσαν θείαν μαντικήν, τὰ δὲ καλλίω μεγαλοφροσύνην μεγαλοψυχίαν μεγαλοπρέπειαν εὐστάθειαν εὐφημίαν γνῶσιν θεῶν, οὐ δόξαν, εἴδησιν δαιμόνων, οὐχὶ πίστιν, φιλίαν ἑκατέρων, αὐτάρκειαν ἐκτένειαν λιτότητα βραχύτητα τῶν ἀναγκαίων εὐαισθησίαν εὐκινησίαν εὔπνοιαν εὔχροιαν ὑγείαν εὐψυχίαν ἀθανασίαν. παρὰ σοῦ δέ, Εὐφρᾶτα, τί λαβόντες ἔχουσιν οἱ ἰδόντες; ἢ δηλονότι τὴν ἀρετήν, ἣν ἔχεις;

2. ἔρρωσθε add. μ. 3. οὐδέ. ο. 5. πολύ τι χάριν δήμοι παθὼν οὐ δίχ' ἀναλώματος. C, a, g. Inde fecit o: πολύν τε χάριν εἰμὶ ποιῶν καὶ δίχ' ἀναλώματος. Sc: πολύ τι. χαριῇ δή μοι παθὼν εὖ. ib. τηρήσει. C, a, g. τηρήσω. ο. 10. ἐμοῦ. μ. ἐμῷ. ς. 13. μὴ add. Hamacker, Lect. Philostr. p. 96. 19. ἥσθην καὶ πάνυ. λ. ib. ὑπό σου. ο. 21. εἶχον. μ. 22. σοι τοῦτο. μ. σοι τὸ τοιοῦτον. ς. 23. καὶ ὁ σοφ. λ. ὁ σοφ. ς. ib. σὺ δ' ἔτι. μ, π. σὺ δὲ ἔτι. ε. 24. κἀκεῖνον. μ. ἐκεῖνον. ς. 25. διετέλεις μισῶν. λ. μισῶν διετέλεις. ς. 26. οὐ μᾶλλον. λ. 27. σοι om. μ. 28. παρὰ τοσούτων καὶ περὶ σοῦ πεπ. π. παρὰ τοῦ πεπ. ς. 29. πεπιστευκότες. π. πεπιστευκότος. ς. Sc. πεπιστευκότων. 30. ἀνδρεία. λ. ib. αὐτῆς. λ. 32. δὲ om. λ. 33. οὐ om. π. ib. φιλίαν ἑκατέρων om. π. 34. εὐκινησίαν — ἀθανασίαν om. λ. 34. παρ' σου. ο. ib. Εὐφράτα, τί. λ. τί. ς. ib. οἱ om. λ. ib. Fo: οἱ δόντες.

p. 397, 398. 48—52.

νγ'. Κλαύδιος Τυανέων τῇ βουλῇ. Ἀπολλώνιον τὸν ὑμέτερον πολίτην Πυθαγόρειον φιλόσοφον καλῶς ἐπιδημήσαντα τῇ Ἑλλάδι καὶ τοὺς νέους ἡμῶν ὠφελήσαντα τιμήσαντες ἀξίαις τιμαῖς, αἷς πρέπει τοὺς ἀγαθοὺς ἄνδρας καὶ ἀληθῶς προισταμένους φιλοσοφίας, τὴν εὔνοιαν ἡμῶν ἠθελήσαμεν ὑμῖν δι' ἐπιστολῆς φανερὰν γενέσθαι. ἔρρωσθε.

νδ'. Ἀπολλώνιος δικαιωταῖς Ῥωμαίων. Λιμένων καὶ οἰκοδομημάτων καὶ περιβόλων καὶ περιπάτων ἐνίοις ὑμῶν πρόνοια, παίδων δὲ τῶν ἐν ταῖς πόλεσιν ἢ νέων ἢ γυναικῶν οὔθ' ὑμῖν οὔτε τοῖς νόμοις φροντίς. ἢ καλὸν ἂν εἴη τὸ ἄρχεσθαι;

νε'. τῷ ἀδελφῷ Ἀπολλώνιος. Φύσιν ἔχει τῶν τελειωθέντων ἕκαστον ἀπιέναι καὶ τοῦτο παντὶ γῆρας ἐστι, μεθ' ὃ μηκέτι μένει. μὴ δή σε λυπείτω τῆς γυναικὸς ἡ ἐν ἀκμῇ τῆς ἡλικίας ἀποβολή, μηδέ, ἐπεὶ θάνατός τι λέγεται, κρεῖττον αὐτοῦ τὸ ζῆν ὑπολάμβανε χεῖρον ὂν τῷ παντὶ τοῖς νοῦν ἔχουσι. γενοῦ δὴ ἀδελφὸς τὸ μὲν κοινότατον φιλοσόφου, τὸ δ' ἐξαίρετον Πυθαγορείου καὶ Ἀπολλωνίου, καί σου τὴν οἰκίαν τὴν αὐτὴν ποίησον. εἰ μὲν γὰρ ἐνεκαλοῦμέν τι τῇ προτέρᾳ, κἂν εἰκότως ἐδοκοῦμεν ἀποδειλιᾶν, εἰ δ' ἡμῖν σεμνή τε διετέλεσεν οὖσα καὶ φίλανδρος καὶ διὰ τοῦτο ἐπιζητήσεως ἀξία, τί καὶ διανοηθέντες οὐκ ἂν ὅμοια καὶ περὶ τῆς μελλούσης προσδοκοίημεν; ἣν εἰκὸς ἂν ἐθελῆσαι καὶ ἀμείνονα γενέσθαι μηδαμοῦ τῆς προτέρας ἀμελείᾳ κακωθείσης. δυσωπείτω δέ σε καὶ τὰ τῶν ἀδελφῶν οὕτω μέχρι νῦν ἔχοντα· τῷ πρεσβυτάτῳ μὲν γὰρ οὐδὲ γάμος οὐδέπω, τῷ νεωτάτῳ δὲ ἐλπὶς μὲν ἔτι παιδοποιίας, ἐν προκοπῇ δέ γε τοῦ χρόνου, καὶ ἡμεῖς μὲν ἑνὶ τρεῖς γεγόναμεν, τρισὶ δ' ἡμῖν οὐδὲ εἷς. ἴσος δὲ καὶ ὁ κίνδυνος τῇ πατρίδι καὶ τῷ βίῳ τῷ μεθ' ἡμᾶς. εἰ γὰρ ἡμεῖς ἀμείνους τοῦ πατρός — ἄλλως δέ, καθ' ὃ πατήρ, χείρους — πῶς οὐκ ἂν βελτίους ἐξ ἡμῶν εἰκὸς ἂν ὑπάρξαι; γενέσθωσαν οὖν τινες, οἷς παραθησόμεθα γοῦν ὀνόματα, ὡς ἡμῶν οἱ πρόγονοι ὄντ' ὑφηναν. ὑπὸ δακρύων οὐχ οἷός τε ἐγενόμην πλείονα γράψαι, καὶ οὐδὲ εἶχν ἀναγκαιότερα τούτων.

νς'. Σαρδιανοῖς. Κροῖσος ἀπέβαλε τὴν Λυδῶν ἀρχὴν Ἅλυν διαβάς, ἐλήφθη ζῶν, ἐδέθη πέδαις, ἐπὶ πυρὰν ἀνεβιβάσθη, τὸ πῦρ εἶδεν ἡμμένον αἰρόμενον εἰς ὕψος· ἔζησεν, ἐδόκει γὰρ τῷ θεῷ τετιμημένος. τί οὖν ὕστερον; οὗτος ὁ πρόγονος ὑμῶν ἅμα καὶ βασιλεὺς ὁ τοσαῦτα παθὼν παρὰ τὴν ἀξίαν τραπέζης ἐκοινώνησε τῷ πολεμίῳ, σύμβουλος ἦν εὔνους, πιστὸς φίλος. ὑμῖν δὲ ἄσπονδα καὶ ἀκήρυκτα καὶ ἀμείλικτα ἔτι τε ἀνίερα καὶ ἄθεα τὰ πρὸς γονεῖς πρὸς τέκνα, τὰ πρὸς φίλους συγγενεῖς φυλέτας. ἐχθροὶ γεγόνατε μήτε τὸν Ἅλυν διαβάντες, μήτε δεξάμενοί τινα ἄνθρωπον ἔξωθεν, καὶ ἡ γῆ φέρει καρπὸν ὑμῖν. ἄδικος ἡ γῆ.

νζ'. Συγγραφεῦσι λογίοις. Φῶς παρουσία πυρός, ἢ οὐκ ἂν ἄλλως γένοιτο. πῦρ μὲν οὖν αὐτὸ τὸ πάθος, καὶ ᾧ γίνεται, καίεται γοῦν, φῶς δὲ ταῖς ὄψεσι μόνον αὐγὴν ἑαυτοῦ παρέχεται μὴ βιαζόμενον αὐτάς, ἀλλὰ πεῖθον. τοίνυν καὶ λόγος ὁ μὲν ὥσπερ πῦρ καὶ πάθος, ὁ δὲ ὥσπερ αὐγὴ καὶ φῶς ἐστιν· ὃ κρεῖττον ὖν, εἰ μὴ μεῖζον εὐχῆς τὸ ῥηθησόμενον, εἴη μοι.

νη'. Ουαλερίῳ. Θάνατος οὐδεὶς οὐδενὸς ἢ μόνον ἐμφάσει, καθάπερ οὐδὲ γένεσις οὐδενὸς ἢ μόνον ἐμφάσει. τὸ μὲν γὰρ ἐξ οὐσίας τραπὲν εἰς φύσιν ἔδοξε γένεσις, τὸ δὲ ἐκ φύσεως εἰς οὐσίαν κατὰ ταὐτὰ θάνατος οὔτε γιγνομένου κατ' ἀλήθειάν τινος, οὔτε φθειρομένου ποτέ, μόνον δὲ ἐμφανοῦς ὄντος ἀοράτου τε ὕστερον τοῦ μὲν διὰ παχύτητα τῆς ὕλης, τοῦ δὲ διὰ λεπτότητα τῆς οὐσίας οὔσης μὲν αἰεὶ τῆς αὐτῆς, κινήσει δὲ διαφερούσης καὶ στάσει. τοῦτο γάρ που τὸ ἴδιον

3. εὔνοιαν ἡμῶν. μ, a, g. εὔνοιαν. o. 4. ἔρρωσθε add. μ. 5. Ἀπολλώνιος δικαιωταῖς Ῥωμαίων. μ, a, g. Ἀπολλώνιος om. o. 7. εἴη. μ. ἦν. ς. 8. Ἀπολλωνίῳ. λ, a, g. Ἀπολλώνιος. o. ib. ἀπεῖναι. ς. Sc: ἀπιέναι. 13. Fo: εἰ δ' ἡ μὲν 16. τὰ om. o. 17. τρεῖς om. o. 22. ἀπέβαλλε. λ. 23. πυρὰν. λ. πῦρ. ς. ib. ἐφκει. λ. 24. ταῦτα. o. 26. ἄθεα πρὸς. λ ib. Fo: τὰ πρὸς τέκνα. 27. τὸν om. λ. 28. καὶ — ἄδικος ἡ γῆ. om. λ. 29. Συγγραφεῦσι om. λ ib. γένηται. λ. 30. περέχεται. om. λ. 31. καὶ πεῖθον. λ. ib. καὶ τοίνυν καὶ λόγος. λ. ib. ἀλλὰ ὁ μὲν. λ. 35. ταῦτα. o. 36. τὸ μὲν — τὸ δὲ. o.

p. 400, 401. 53 — 58.

ἀνάγκῃ τῆς μεταβολῆς οὐκ ἔξωθεν γινομένης ποθέν, ἀλλὰ τοῦ μὲν ὅλου μεταβάλλοντος εἰς τὰ μέρη, τῶν μερῶν δὲ εἰς τὸ ὅλον τρεπομένων ἑνότητι τοῦ παντός. εἰ δὲ ἐρήσεταί τις· τί τοῦτό ἐστι τὸ ποτὲ μὲν ὁρατόν, ποτὲ δὲ ἀόρατον, ἢ τοῖς αὐτοῖς γινόμενον ἢ ἄλλοις; φαίη τις ἄν, ὡς ἔθος ἑκάστου ἐστὶ τῶν ἐνθάδε γενῶν, ὃ πληρωθὲν μὲν ἐφάνη διὰ τὴν τῆς παχύτητος ἀντιτυπίαν, ἀόρατον δέ ἐστιν, εἰ κενωθείη διὰ λεπτότητα τῆς ὕλης βίᾳ περιχυθείσης ἐκρυείσης τε τοῦ περιέχοντος αὐτὴν αἰωνίου μέτρου, γεννητοῦ δ' οὐδαμῶς, οὐδὲ φθαρτοῦ. τί δὲ καὶ τὸ τῆς πλάνης ἐπὶ τοσοῦτον ἀνέλεγκτον; οἴονται γάρ τινες, ὃ πεπόνθασιν αὐτοὶ τοῦτο πεποιηκέναι, μὴ εἰδότες, ὡς ὁ γεννηθεὶς διὰ γονέων γεγέννηται, οὐχ ὑπὸ γονέων, καθάπερ τὸ διὰ γῆς φυὲν οὐκ ἐκ γῆς φύεται, 402
πάθος τε οὐδὲν τῶν φαινομένων περὶ ἕκαστον, ἀλλὰ μᾶλλον περὶ ἓν ἑκάστου. τοῦτο δὲ τί ἂν ἄλλο τις εἰπὼν ἢ τὴν πρώτην οὐσίαν ὀρθῶς ἂν ὀνομάσειεν; ἣ δὴ μόνη ποιεῖ τε καὶ πάσχει πᾶσι γινομένη πάντα διὰ πάντων θεὸς ἀίδιος, ὀνόμασι καὶ προσώποις ἀφαιρουμένη τὸ ἴδιον ἀδικουμένη τε. καὶ τοῦτο μὲν ἔλαττον. τότε δὲ κλαίεταί τις, ὅταν θεὸς ἐξ ἀνθρώπου γένηται τόπου μεταβάσει καὶ οὐχὶ φύσεως. ὡς δὲ ἔχει τὸ ἀληθές, οὐ πενθητέον σοι θάνατον, ἀλλὰ τιμητέον καὶ σεβαστέον. τιμὴ δὲ ἡ ἀρίστη τε καὶ πρέπουσα, εἰ ἀφεὶς θεῷ τὸν ἐκεῖ γενόμενον ἀνθρώπων τῶν πεπιστευμένων τὰ νῦν ἄρχοις, ἧ πρότερον ἦρχες. αἰσχρόν, εἰ χρόνῳ μὴ λογισμῷ γένοιο βελτίων, εἰ χρόνος καὶ τοὺς κακοὺς λύπης ἔπαυσε. μέγιστον ἀρχὴ ἱκανή, καὶ μεγίστων ἄρχων ἄριστος, ὃς ἂν αὑτοῦ πρότερον ἄρχῃ. ποῦ δὲ καὶ ὅσιον ἀπεύχεσθαι τὸ βουλήσει θεοῦ γενόμενον; εἰ τάξις ἐστὶ τῶν ὄντων, ἔστι δέ, καὶ θεὸς ἐπιστατεῖ ταύτης, ὁ δίκαιος οὐ βουλήσεται τὰ ἀγαθά, πλεονεκτικὸν γὰρ καὶ παρὰ τάξιν τὸ τοιοῦτον, ἡγήσεται δὲ τὰ γινόμενα συμφέρειν. πρόελθε καὶ θεράπευσαι, δίκασον καὶ παρηγόρησον τοὺς αἰτίους, τῶν δὲ δακρύων οὕτως ἀποτρέψεις. οὐ τὰ ἴδια τῶν κοινῶν, ἀλλὰ τὰ κοινὰ τῶν ἰδίων προτιμητέον. οἷον δέ σοι καὶ τὸ τῆς παραμυθίας εἶδος· σὺν ὅλῳ τὸν υἱὸν ἔθνει πεπένθηκας. ἄμειψαι τοὺς μετὰ σοῦ λελυπημένους, ἀμείψῃ δέ, ἐὰν λυπούμενος παύσῃ, τάχιον ἢ ἐὰν μὴ 403
προέλθῃς. φίλους οὐκ ἔχεις; υἱὸν δὲ ἔχεις. καὶ νῦν τὸν τεθνηκότα; φήσει τις τῶν νοῦν ἐχόντων. τὸ γὰρ ὂν οὐκ ἀπόλλυται, διὰ τοῦτο ὄν, ὅτι ἔσται διὰ παντός, ἢ καὶ τὸ μὴ ὂν γίνεται, πῶς δ' ἂν γένοιτο μὴ ἀπολλυμένου τοῦ ὄντος; εἶπεν ἂν ἕτερός τις, ὡς ἀσεβεῖς τε καὶ ἀδικεῖς. ἀσεβεῖς μὲν τὸν θεόν, ἀδικεῖς δὲ τὸν υἱόν, μᾶλλον δὲ κἀκεῖνον ἀσεβεῖς· βούλει δὲ μαθεῖν οἷόν ἐστι θάνατος; ἄνελέ με πέμψας μετὰ ταύτην τὴν φωνήν, ἣν ἐὰν μὴ μεταμφιέσῃ, παραχρῆμα κρείττονά με σεαυτοῦ πεποίηκας. ἔχεις χρόνον, ἔχεις γυναῖκα ἔμφρονα φίλανδρον, ὁλόκληρος εἶ, παρὰ σεαυτοῦ λαβὲ τὸ λεῖπον. Ῥωμαῖός τις τῶν πάλαι γεγονότων, ἵνα σώσῃ τὸν τῆς ἀρχῆς νόμον τε καὶ κόσμον, υἱὸν ἴδιον ἀπέκτεινε καὶ στεφανώσας ἀπέκτεινε. πόλεων ἄρχεις πεντακοσίων Ῥωμαίων ὁ εὐγενέστατος. ταῦτα σαυτὸν διατίθης, ἐξ ὧν οὐδ' οἰκίας τις εὐσταθῶς ἄρξει, μήτι γε πόλεών τε καὶ ἐθνῶν. Ἀπολλώνιος εἰ παρῆν, Φαβοῦλλαν ἂν μὴ πενθεῖν ἔπεισεν.

νθ'. Βασιλεὺς Βαβυλωνίων Γάρμος Νεογύνδῃ Ἰνδῶν βασιλεῖ. Εἰ μὴ περίεργος ἦς, οὐκ ἂν ἦς ἐν τοῖς ἀλλοτρίοις πράγμασι δίκαιος, οὐδὲ ἂν ἄρχων ἐν Ἰνδοῖς ἐδίκαζες Βαβυλωνίοις. πόθεν γάρ σοι γνώριμος ἦν ὁ ἡμέτερος δῆμος; νῦν δὲ ἐπείρασας ἀρχὴν τὴν ἐμὴν ὑποκορίζομενος ἐπιστολαῖς καὶ τοιαύτας ἀρχὰς καθιεὶς καὶ πρόσχημα ποιούμενος τῆς πλεονεξίας τὴν φιλανθρωπίαν. περανεῖς δὲ οὐδέν, οὔτε γὰρ λαθεῖν δύναιο.

ξ'. Εὐφράτῃ. Ἦν Πραξιτέλης Χαλκιδεὺς μαινόμενος ἄνθρωπος. οὗτος ὤφθη παρὰ ταῖς θύραις ταῖς ἐμαῖς ξίφος ἔχων ἐν Κορίνθῳ μετὰ σοῦ γνωρίμου. τίς οὖν ἡ τῆς ἐπιβουλῆς αἰτία; οὐ γὰρ πώποτε σὰς βοῦς ἤλασα,

1. ἀνάγκη. E. 5. εἰ κενωθείη. μ. εἰ κενωθέν. a, g. κενωθὲν. o. ib. τε om. o. 9. περὶ ἑνὸς. ς. περὶ ἓν. o. 10. ποιεῖ τε. d. ποιεῖται. ς. 11. διὰ πάντων om. o. ib. ὀνόμασι δὲ καὶ. o. 12. Fo: τὸ δὲ μεῖζον. κλαίεται τις. ib. τρόπου. o. 16. καὶ μεγίστων. μ. καὶ περὶ μεγίστων. E. ib. ἂν. μ. ἐὰν. E. 19. Θεράπευσαι δίκας. p. 3050. 20. Fo: ἀθλίους. 22. τάχιον ἢ conj. Spengel. τάχιον. ς. 30. ὁ om. o. 35. δήμιος. o. 37. οὐ. o. ib. οὔτε γὰρ ἂν postulatur 39. ταῖς ἐμαῖς om. λ. ib. μετά σου. o.

p. 402, 403. 59, 60.

ἐπειὴ μάλα πολλὰ μεταξὺ
οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα

τῆς τε ἐμῆς φιλοσοφίας καὶ τῆς σῆς.

ξά. *Λεσβώνακτι.* Ἀνάχαρσις ὁ Σκύθης ἦν σοφός, εἰ δὲ Σκύθης, ὅτι καὶ Σκύθης.

ξβ'. *Λακεδαιμόνιοι Ἀπολλωνίῳ.* Τὰν δεδομέναν τιμάν σοι ἀπεστάλκαμεν τόδε ἀντίγραφον σαμανάμενοι τᾷ δαμοσίᾳ σφραγῖδι, ἵνα ἴδῃς·

Ψήφισμα Λακεδαιμονίων, καθὼς οἱ γέροντες ἐπέκριναν Τυνδάρεω εἰσηγησαμένω· ταῖν ἀρχαῖν ἔδοξε τέλεσί τε καὶ τῷ δήμῳ Ἀπολλώνιον Πυθαγόρειον ἦμεν πολίταν ἔχειν τε καὶ γάνος καὶ οἶκων ἔκτασιν. ἠστάκαμεν δὲ καὶ ἐπίσαμον εἰκόνα γραπτὰν καὶ χαλκᾶν ἀρετῆς χάριν. ὧδε γὰρ οἱ πατέρες ἁμῶν ἐτίμων ἄνδρας ἀγαθούς. ἐνόμιξον γὰρ ἦμεν Λυκούργω παῖδας, ὅσοι σύμφωνον θεοῖς τὸν βίον αἱρέοντο.

ξγ'. *Ἀπολλώνιος ἐφόροις καὶ Λακεδαιμονίοις.* Ἄνδρας ὑμῶν ἐθεασάμην ὑπήνην μὴ ἔχοντας, τοὺς μηροὺς καὶ τὰ σκέλη λείους τε καὶ λευκούς, μαλακὰς χλανίδας ἠμφιεσμένους λεπτάς, δακτυλίους πολλοὺς καὶ καλοὺς περικειμένους, ὑποδεδεμένους ὑπόδημα τὸ Ἰωνικόν. οὐκ ἐπέγνων οὖν τοὺς λεγομένους πρέσβεις, ἡ δὲ ἐπιστολὴ Λακεδαιμονίους ἔφασκεν.

ξδ'. *τοῖς αὐτοῖς.* Καλεῖτέ με πολλάκις βοηθὸν ὑμῖν τῶν νόμων καὶ τῶν νέων ἐσόμενον. ἡ Σόλωνος δὲ πόλις οὐ καλεῖ με. Λυκοῦργον αἰδεῖσθε.

405 ξέ. *Ἐφεσίων τοῖς ἐν Ἀρτέμιδι.* Ἔθος ὑμῖν ἅπαν ἁγιστείας, ἔθος δὲ βασιλικῆς τιμῆς. ἀλλ' ὑμεῖς ἑστιάτορες μὲν καὶ δαιτυμόνες οὐ μεμπτοί, μεμπτοὶ δὲ σύνοικοι τῇ θεῷ νύκτας τε καὶ ἡμέρας, ἣ οὐκ ἂν ὁ κλέπτης τε καὶ λῃστὴς καὶ ἀνδραποδιστὴς καὶ πᾶς, εἴ τις ἄδικος ἢ ἱερόσυλος, ἦν ὁρμώμενος αὐτόθεν· τὸ γὰρ τῶν ἀποστερούντων τύχης ἐστίν.

ξς'. *τοῖς αὐτοῖς.* Ἦλθεν ἐκ τῆς Ἑλλάδος ἀνὴρ Ἕλλην τὴν φύσιν, οὐκ Ἀθηναῖος, οὐδὲ Μεγαρεύς, γελοῖον ὄνομα παροικήσων ὑμῶν τῇ θεῷ. δότε μοι τόπον, ἔνθα μὴ καθαρσίων δεήσει μοι καίπερ ἔνδον ἀεὶ μένοντι.

ξζ'. *τοῖς αὐτοῖς.* Ἀνεῖται θύουσι τὸ ἱερὸν εὐχομένοις ὑμνοῦσιν ἱκέταις Ἕλλησι βαρβάροις ἐλευθέροις δούλοις. ὑπερφυῶς θεῖος ὁ νόμος. ἐπιγινώσκω τὰ σύμβολα τὰ Διός τε καὶ Λητοῦς, ἐὰν ᾖ μόνα ταῦτα.

ξή. *Μιλησίοις.* Σεισμὸς ὑμῶν τὴν γῆν ἔσεισεν, καὶ γὰρ ἄλλων πολλῶν πολλάκις. ἀλλ' ἔπασχον μὲν ἃ ἠτύχουν ἐξ ἀνάγκης, ἐλεοῦντες δέ, οὐ μισοῦντες ἀλλήλους ἐφαίνοντο. μόνοι δὲ ὑμεῖς καὶ θεοῖς ὅπλα καὶ πῦρ ἐπηνέγκατε καὶ θεοῖς τοιούτοις, ὧν καὶ οἱ ἑτέρωθεν δέονται καὶ μετὰ κινδύνους καὶ πρὸ κινδύνων. ἀλλὰ καὶ φιλόσοφον ἄνδρα προ.... ἡμεῖς Ἑλλήνων δύο δημοσίᾳ τὸ πάθημα φήναντα πολλάκις καὶ προαγορεύσαντα γενομένους τοὺς σεισμούς, αὐτόν, ὅτε ἔσεισεν ὁ θεός, 406 ποιεῖν ἐλέγετε καθ' ἑκάστην ἡμέραν. ὧ τῆς δημοσίας ἀμαθίας. καὶ πατὴρ ὑμῶν λέγεται Θαλῆς.

ξθ'. *Τραλλιανοῖς.* Πολλοὶ πολλαχόθεν ἄλλοι κατ' ἄλλας αἰτίας νεώτεροί τε καὶ πρεσβύτεροι

1. ἐπεὶ. λ. ἐπειδὴ. ο. 3. τῆς om. ο. 4. τῷ αὐτῷ. λ, ubi legitur post 22. 6. σαμανάμενοι τᾷ. μ. σημηνάμενοι τῇ. ς. ib. σφραγίδι. ς. 7. Psephisma desideratur vulgo. Psephismati haec nota adjecta est in μ: ταῦτα ἀταγνοὺς ὁ Ἀπολλώνιος οὐκ ἐχαυνώθη ταῖς τιμαῖς καὶ τοῖς ἐπαίνοις, ὥστε ἀποκρίνεσθαι τὰ κεχαρισμένα καὶ μὴ τὰ ἀληθῆ ἰδὼν δὲ τοὺς πρέσβεις οὐ πάνυ Λακωνικούς, οὐχ ἡσθεὶς αὐτοῖς ἀντετιτίθησι τήνδε τὴν ἐπιστολήν (h. e. ep. 63.). 9. Fo. ἔγκτασιν. 12. Λακεδαιμόνιοις καὶ ἐφόροις. μ. Λακεδαίμονος ἐφόροις. λ. 13. βαπτὰς. λ. Fo: καὶ λεπτάς. 15. δὲ om. λ. 17. οὐ om. λ. ib. αἰδεῖσθαι. λ. 18. Ἐφεσίων τοῖς ἐν Ἀρτέμιδος. ο. In λ deest inscriptio. ib. τιμῆς om. λ. 19. μὲν om. λ. 20. καὶ om. μ. ib. ἱερὸς. λ. 21. ὁρώμενος. λ. ib. τεῖχός ἐστιν. ο. 23. γελοῖον ὄνομα. C, a, g. Ἀπολλωνίου ὄνομα. ο. ib. παροικίσων conj. Spengel. 26. Fo: τῆς Διός. ib. ἐὰν ᾖ. μ. ἐὰν. ς. 28. ἔσεισεν. μ. ἔσεισε. ς. 29. δὲ. μ. δ'. ς. 31. ἄνδρα προ ..... ἡμεῖς Ἑλλήνων δύο. μ. et (om. προ) a, g. ἄνδρα ὑμεῖς Ἑλληνωφίλον. ο 32. τοὺς om. ο. 33. ὦ. ο. ib. Θαλῆς. μ. 34. Θραλλιανοῖς. ο.

φοιτῶσι παρ' ἐμέ. τὰς φύσεις οὖν ἑνὸς ἑκάστου σκέπτομαι καὶ τοὺς τρόπους, ὡς ἔνι μάλιστα συνετώτατα, τό τε πρὸς τὴν ἑαυτοῦ πόλιν ἑκάστου δίκαιον ἦθος ἢ τοὐναντίον. εἰς τήνδε τὴν ἡμέραν οὐκ ἂν ἔχοιμι προκρῖναι Τραλλιανῶν ὑμῶν οὐ Λυδούς, οὐκ Ἀχαιούς, οὐκ Ἴωνας, ἀλλ' οὐδὲ τοὺς τῆς ἀρχαίας Ἑλλάδος Θουρίους Κροτωνιατας Ταραντίνους, ἢ τινὰς ἄλλους τῶν ἐκεῖ λεγομένων εὐδαιμόνων Ἰταλιωτῶν ἢ ἑτέρων τινῶν. τίς οὖν ἡ αἰτία, δι' ἣν ἀποδέχομαι μὲν ὑμᾶς, οὐ γίνομαι δὲ τοιούτοις ἀνδράσι σύνοικος, καίπερ ὢν γένος ὑμέτερον; ἄλλοτέ ποτ' ἂν εἴποιμι. νῦν δὲ μόνον ὑμᾶς ἐπαινεῖν καιρὸς ἄνδρας τε τοὺς ἡγουμένους ὑμῶν, ὡς πολὺ κρείττους τῶν παρ' ἑτέροις ἀρετῇ καὶ λόγῳ, καὶ μᾶλλον παρ' οἷς γεγένηνται.

ο'. Σαίταις. Ἀθηναίων ἀπόγονοί ἐστε, καθάπερ ἐν Τιμαίῳ Πλάτων φησίν, οἱ δὲ τὴν κοινὴν ὑμῶν θεὸν ἐξορίζουσι τῆς Ἀττικῆς Νηΐθ μὲν τὴν ὑφ' ὑμῶν, Ἀθηνᾶν δὲ τὴν ὑπ' αὐτῶν ὀνομαζομένην οὐ μένοντες Ἕλληνες. ὅπως δ' οὐ μένοντες, ἐγὼ φράσω· γέρων σοφὸς οὐδεὶς Ἀθηναῖος, οὐ γὰρ ἔφυ γένυς πᾶσα παντός, ὅτι μηδεμία μηδενός. ὁ κόλαξ παρὰ ταῖς πύλαις, ὁ συκοφάντης πρὸ 407
τῶν πυλῶν, ὁ μαστροπὸς καὶ πρὸ τῶν μακρῶν τειχῶν, ὁ παράσιτος πρὸ τῆς Μουνυχίας καὶ πρὸ τοῦ Πειραιῶς, ἡ θεὸς δὲ οὐδὲ Σούνιον ἔχει.

οα'. Ἴωσιν. Ἕλληνες οἴεσθε δεῖν ὀνομάζεσθαι διὰ τὰ γένη καὶ τὴν ἔμπροσθεν ἀποικίαν, Ἕλλησι δ' ὥσπερ ἔθη καὶ νόμοι καὶ γλῶττα καὶ βίος ἴδιος, οὕτω καὶ σχῆμα καὶ εἶδος ἀνθρώπων. ἀλλ' ὑμῶν γε οὐδὲ τὰ ὀνόματα μένει τοῖς πολλοῖς, ἀλλ' ὑπὸ τῆς νέας ταύτης εὐδαιμονίας ἀπολωλέκατε τὰ τῶν προγόνων σύμβολα. καλῶς οὐδὲ τοῖς τάφοις ἐκεῖνοι δέχοιντ' ἂν ἅτε ἀγνῶτας αὐτοῖς γενομένους, εἴ γε πρότερον ἡρώων ἦν ὀνόματα καὶ ναυμάχων καὶ νομοθετῶν, νυνὶ δὲ Λουκούλλων τε καὶ Φαυρικίων καὶ Λευκανίων τῶν μακαρίων. ἐμοὶ μὲν εἴη μᾶλλον ὄνομα Μίμνερμος.

οβ'. Ἑστιαίῳ. Ὁ πατὴρ ἡμῶν Ἀπολλώνιος ἦν τρὶς τοῦ Μηνοδότου, σὺ δὲ ἅπαξ ἐθέλεις ὀνομάζεσθαι Λουκρίτιος ἢ Λουπερκός. τίνος σὺ τούτων ἀπόγονος; αἰσχρόν, εἰ ὄνομα μὲν ἔχοις τινός, τὸ δὲ εἶδος αὐτοῦ μὴ ἔχοις.

ογ'. τῷ αὐτῷ. Πατρίδος ἐσμὲν πορρωτέρω σὺν δαίμονι, ἤδη δὲ τὰ τῆς πόλεως πράγματα ἐν νῷ ἐβαλόμαν. ὁδεύει μοῖρα πρὸς τέλος ἀνδρῶν, οἱ τὰν πρώταν λελόγχασι τιμάν. ἄρξει δὲ τὸ λοιπὸν παιδάρια καὶ μικρὸν ἐπάνω τούτων μείρακες. ἐνταῦθά που δέος, μὴ σφαλῇ τὰ ὑπὸ νέων κυβερνώμενα. σοὶ δ' οὐ δέος, ἐπεὶ βεβιώκαμεν.

οδ'. τοῖς Στωϊκοῖς. Ὥρα καὶ λιμὸς ἦν Βάσσῳ καίπερ ὄντων τῷ πατρὶ συχνῶν χρημάτων. 408
πρῶτον μὲν οὖν ἔφυγε Μεγαράδε σὺν ἑνὶ τῶν λεγομένων ἑραστῶν, ἅμα δὲ καὶ μαστροπῶν. τροφῆς γὰρ ἀμφοτέροις ἔδει καὶ ἐφοδίων. ἔπειτα ἐκεῖθεν εἰς Συρίαν. ὑπεδέχετο δὲ τὸν ὡραῖον Εὐφράτης, καὶ εἴ τις ὁμοίως ἐδεῖτο τοῦ τότε καλοῦ, ὥστε ἂν αἱρεῖσθαί τι τῶν ἀτόπων δι' εὔνοιαν.

οε'. τοῖς ἐν Σάρδεσιν. Ὁ παῖς Ἀλυάττεω σῶσαι τὴν ἑαυτοῦ πόλιν ἀδύνατος ἐγένετο καὶ ἀμήχανος καίπερ ὢν βασιλεύς τε καὶ Κροῖσος, ὑμεῖς δὲ ποίῳ πεποιθότες ἄρα λέοντι πόλεμον ἄσπονδον ἠρασθε παῖδες νέοι πάντες ἄνδρες γέροντες, ἀλλὰ καὶ παρθένοι καὶ γυναῖκες; Ἐρινύων νομίσαι ἄν τις τὴν πόλιν εἶναι, καὶ οὐχὶ Δήμητρος. ἡ δὲ θεὰ φιλάνθρωπος· ὑμῖν δὲ τίς οὗτος ὁ χόλος;

ος'. τοῖς αὐτοῖς. Εἰκὸς εἰς πόλιν ἀρχαίαν τε καὶ μεγάλην ἐθελῆσαι φιλόσοφον ἀρχαῖον

2. Fo. εἰς δὲ. ib. ἡμέραν. o. ἡμετέραν. ς. 3. Κρότωνας. ς. Sc. Κροτωνιάτας. 10. ὑμῖν. o. ib. νῆιν. λ. ib. ἐφ' ὑμῶν. o. ἀφ' ὑμᾶν. λ, p. 12. ἔφυ γένυς. o. ἔφη γυνὴ. ς. 13. Μουνυχίης. o. ib. Πειραιοῦ. o. 16. ἀνθρώποις. λ. 18. ἐκείνοις ἀποδέχοιτ' ἄν. λ. ib. αὐτοὺς. λ. 19. Λουκούλων τε. λ. 20. Βαφρικίων. λ. ib. καὶ Λευκίων. o. ib. Μινέρβιος. λ. 21. τοῖς. λ, p. 22. ὠνομάσθαι. λ. ib. Λουτρίκιος. λ. ib. Λούπερκος. E. ib. αἰσχρὸν γὰρ. λ. ib. ἔχεις. o. 25. ἐβαλόμαν. μ. ἐβαλόμην. ς. 29. Μέγαρα. λ. 31. ὥστε ἂν αἱρεῖσθαι. μ. ὥστ' ἀναιρεῖσθαι. λ. ὥστε αἱρεῖσθαι. E. 32. τοῖς αὐτοῖς. λ. ib. ὁ Ἀλ. λ. ib. Ἀλυάτεω. E. 33. δὲ om. μ. 35. καὶ om. λ. 36. ἀρχαῖον om. λ.

p. 407, 408. 70 — 76.

παραγενέσθαι, καὶ παρεγενόμην ἂν αὐτὸς ἑκὼν κληθῆναι μὴ περιμείνας, ὡς ὑφ' ἑτέρων πολλῶν, εἰ ποιήσειν μίαν ὑμῶν τὴν πόλιν ἔμελλον ἤθει καὶ φύσει καὶ νόμῳ καὶ θεῷ. καὶ τὸ ὅσον ἐπ' ἐμοὶ πάντως ἂν ἐποίησα, στάσις δέ, ὡς ἔφη τις, πολέμου χαλεπώτερον.

οξ'. *Φοιτηταῖς.* Διὰ φιλοσοφίαν εἴρηται τῶν εἰρημένων ἕκαστον, οὐ δι' Εὐφράτην. μὴ τὸ Πραξιτέλους ξίφος ἢ τὸ Λυσίου φάρμακον πεφοβῆσθαί μέ τις δόξῃ. καὶ τοῦτο γάρ ἐστιν Εὐφράτου.

οη'. *Ἰάρχᾳ καὶ τοῖς περὶ αὐτὸν σοφοῖς.* -οὐ μὰ τὸ Ταντάλιον ὕδωρ, οὗ με ἐμνήσατε.

409 οθ'. *Εὐφράτῃ.* Οὐκ ἐπιλογιζομένη ἡ ψυχὴ τὸ τοῦ σώματος αὐταρκες οὐ δύναται ἑαυτὴν αὐτάρκη ποιῆσαι. (X, 64.)

π'. *τῷ αὐτῷ.* Οἱ κράτιστοι τῶν ἀνθρώπων βραχυλογώτατοι. οἱ οὖν ἀδολέσχαι εἰ ἠνιῶντο, ὡς ἀνιῶσι, οὐκ ἂν ἐμακρηγόρουν. (XXXVI, 29.)

πά'. *τοῖς γνωρίμοις.* Σιμωνίδης ἔλεγε μηδέποτε αὐτῷ μεταμελῆσαι σιγήσαντι, φθεγξαμένῳ δὲ πολλάκις. (XXXIII, 12.)

πβ'. *τοῖς αὐτοῖς.* Πολυλογία πολλὰ σφάλματα ἔχει, τὸ δὲ σιγᾶν ἀσφαλές. (XXXVI, 28.

πγ'. *Δηλίῳ.* Ψεύδεσθαι ἀνελεύθερον, ἀλήθεια γενναῖον. (XI, 20.)

πδ'. *τοῖς γνωρίμοις.* Μηδέν με δόξητε ῥᾳδίως ἄλλοις παραινεῖν, αὐτὸς γὰρ ἐπὶ τῆς μάξης καὶ τῆς ἄλλης τῆς ἀκολούθου ταύτῃ διαίτης ὢν τοιαῦτα ὑμῖν παρεγγυῶ. (XVII, 15.)

πέ'. *Εἰδομένῃ.* Ἐζηλώσαμεν τὴν αὐταρκειαν, οὐχ ὅπως τοῖς εὐτελέσι καὶ λιτοῖς πάντως χρώμεθα, ἀλλ' ὅπως θαρρῶμεν πρὸς αὐτά. (XVII, 14.)

πς'. *Μακέδονι.* Τῆς ὀξυθυμίας τὸ ἄνθος μανία. (XX, 49.)

πζ'. *Ἀριστοκλεῖ.* Τὸ τῆς ὀργῆς πάθος μὴ καθομιλούμενον, μηδὲ θεραπευόμενον φυσικὴ νόσος γίνεται. (XX, 50.)

πή'. *Σατύρῳ.* Οἱ πολλοὶ τῶν ἀνθρώπων τῶν μὲν ἰδίων ἁμαρτημάτων συνήγοροι γίνονται, τῶν δὲ ἀλλοτρίων κατήγοροι. (XXIII, 15.)

410 πθ'. *Δαναῷ.* Οὐ κάμνει τὰ πράγματα πρασσόμενα. (XXIX, 83.)

ς'. *Δίωνι.* Τὸ μὴ γενέσθαι οὐδέν, τὸ δὲ γενέσθαι πόνος. (XXIX, 82.)

ςά'. *τοῖς ἀδελφοῖς.* Οὐδενὶ φθονητέον· ἀγαθοὶ μὲν γὰρ ἄξιοι, κακοὶ δ' ἂν εὐτυχῶσι, κακῶς ζῶσι. (XXXVIII, 58.)

ςβ'. *Διονυσίῳ.* Καλόν, πρὶν παθεῖν, διδαχθῆναι, πηλίκον ἐστὶν ἡσυχία. (LVIII, 12.)

ςγ'. *Νουμηνίῳ.* Οὐ θρηνητέον οἵων φίλων ἐστερήθημεν, ἀλλὰ μνημονευτέον, ὅτι μετὰ τῶν φίλων τὴν καλλίστην βιοτὴν ἐβιοτεύσαμεν. (CXXIV, 35.)

ςδ'. *Θεαιτήτῳ.* Τὸ λυπούμενον ἀλλοτρίοις κακοῖς παραμυθοῦ. (CXXIV, 37.)

ςε'. *Κορνηλιανῷ.* Βραχὺς ὁ βίος ἀνθρώπῳ εὖ πράττοντι, δυστυχοῦντι δὲ μακρός. (CXXI, 34.

ςς'. *Δημοκράτει.* Ὁ ὑπὲρ μικρῶν ἁμαρτημάτων ἀνυπερβλήτως ὀργιζόμενος οὐκ ἐᾷ διαγνῶναι τὸν ἁμαρτάνοντα, πότε ἔλαττον καὶ πότε μεῖζον ἠδίκησεν. (XX, 51.)

ςζ'. *Λύκῳ.* Οὐ τὸ πένεσθαι κατὰ φύσιν αἰσχρόν, ἀλλὰ τὸ δι' αἰσχρὰν αἰτίαν πένεσθαι ὄνειδος. (XCV, 9.)

1. κριθῆναι. λ. ib. παραμεῖναι. λ. 2. τὴν πόλιν ἡμῶν. λ. 3. χαλεπότερον. ο. 6. με om. λ.
79 invenitur apud Porphyrium de Styge sub finem, sequentes sententiae apud Stobaeum locis indicatis.

---

p. 402, 410. 77—97.

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ

ΠΡΟΣ ΤΑ

ΥΠΟ ΦΙΛΟΣΤΡΑΤΟΥ ΕΙΣ ΑΠΟΛΛΩΝΙΟΝ ΤΟΝ ΤΥΑΝΕΑ

ΔΙΑ ΤΗΝ ΙΕΡΟΚΛΕΙ ΠΑΡΑΛΗΦΘΕΙΣΑΝ ΑΥΤΟΥ ΤΕ ΚΑΙ ΧΡΙΣΤΟΥ ΣΥΓΚΡΙΣΙΝ.

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ

ΠΡΟΣ ΤΑ

ΥΠΟ ΦΙΛΟΣΤΡΑΤΟΥ ΕΙΣ ΑΠΟΛΛΩΝΙΟΝ ΤΟΝ ΤΥΑΝΕΑ

ΔΙΑ ΤΗΝ ΙΕΡΟΚΛΕΙ ΠΑΡΑΛΗΦΘΕΙΣΑΝ ΑΥΤΟΥ ΤΕ ΚΑΙ ΤΟΥ ΧΡΙΣΤΟΥ ΣΥΓΚΡΙΣΙΝ.

---

1 Ἆρ' οὖν, ὦ φιλότης, κἀκεῖνά σε τοῦ συγγραφέως ἄξιον ἀποθαυμάζειν, ἃ τῷ ἡμετέρῳ σωτῆρί 428
τε καὶ διδασκάλῳ τὸν Τυανέα συγκρίνων παρεδοξολόγει: πρὸς μὲν γὰρ τὰ λοιπὰ τῶν ἐν τῷ Φιλαλήθει, οὕτω γὰρ εὖ ἔχειν αὐτῷ τὸν καθ' ἡμῶν ἐπιγράφειν ἐδόκει λόγον, οὐδὲν ἂν εἴη σπουδαῖον ἐπὶ τοῦ παρόντος ἱστασθαι μὴ αὐτοῦ ἴδια τυγχάνοντα, σφόδρα δὲ ἀναιδῶς ἐξ ἑτέρων οὐκ αὐτοῖς μονονουχὶ νοήμασιν, ἀλλὰ καὶ ῥήμασι καὶ συλλαβαῖς ἀποσεσυλημένα. τύχοι μὲν ἂν καὶ αὐτὰ τῆς προσηκούσης κατὰ καιρὸν ἀπελέγξεως, δυνάμει δ' ἤδη καὶ πρὸ τῆς ἰδίας κατ' αὐτῶν γραφῆς ἀνατέτραπται καὶ προαπελήλεγκται ἐν ὅλοις ὀκτὼ συγγράμμασι τοῖς Ὠριγένει γραφεῖσι πρὸς τὸν ἀλαζονικώτερον τοῦ Φιλαλήθους ἐπιγεγραμμένον Κέλσου Ἀληθῆ λόγον, ᾧ τὰς εὐθύνας ἀπαραλείπτως, 429
ἐν ὅσοις εἰρήκαμεν, ὁ δεδηλωμένος παραγαγὼν συλλήβδην ὅσα εἰς τὴν αὐτὴν ὑπόθεσιν παντί τῳ εἴρηταί τε καὶ εἰρήσεται, προλαβὼν διελύσατο, ἐφ' ἃ τοὺς ἐπ' ἀκριβὲς τὰ καθ' ἡμᾶς διαγνῶναι ἔχοντας φιλαλήθως ἀναπέμψαντες φέρε μόνην ἐπὶ τοῦ παρόντος τὴν κατὰ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τοῦ Φιλαλήθους τουτουὶ λόγου παράθεσιν ἐπισκεψώμεθα μηδέν τι σπουδαῖον ἡγούμενοι πρὸς τὰ λοιπὰ τῶν ἑτέρωθεν ὑποσεσυλημένων αὐτῷ διαμάχεσθαι. μόνα δὲ εἰκότως νυνὶ τὰ περὶ τὸν Ἀπολλώνιον ἐποψόμεθα, ἐπεὶ καὶ μόνῳ παρὰ τοὺς πώποτε καθ' ἡμῶν γεγραφότας ἐξαίρετος νῦν τούτῳ γέγονεν ἡ τοῦδε πρὸς τὸν ἡμέτερον σωτῆρα παράθεσίς τε καὶ σύγκρισις.

2 Θαυμάζει γοῦν καὶ ἀποδέχεται θεία τινὶ καὶ ἀῤῥήτῳ σοφίᾳ, οὐχὶ δὲ γοητείας σοφίσμασι τεθαυματουργηκέναι φάσκων αὐτὸν καὶ ταῦτα ἀληθῶς οὕτως ἔχειν ὡς ἔτυχε, πιστεύων καὶ ἀναποδείκτως ἀπισχυριζόμενος. ἄκουε δ' οὖν, ἃ φησιν αὐταῖς συλλαβαῖς· „ἄνω δὲ καὶ κάτω θρυλοῦσι σεμνύνοντες τὸν Ἰησοῦν ὡς τυφλοῖς ἀναβλέψαι παρασχόντα καί τινα τοιαῦτα δράσαντα θαυμάσια.“ εἰτά

Eusebii libellum in Proocmio ad V. Ap. p. VI, VII tractavi. Quos autem libros Parisinos illic A et B signavi, (174 et 451), hic sunt p et π. Illum totum contulit Sybsomus, hunc passim E. Miller; in locis Philostrateis uterque jam ad V. Ap. ab eodem est inspectus. Optimi sunt ac passim sententiam scriptoris, quae antea latebat, restituunt. Editiones adhibui a, Aldinam 1503. m, Morellianam, o, Olearianam. Ubi edd. lectiones indico, verae lectiones in textum receptae sunt ex codicibus. Locos ex V. Ap. citatos in margine apposui.

Inscriptio est in C eadem atque in E, praeter omissa verba τὸν Τυανέα. 1. συγγραφέως. C. ξυγγρ. E. 2. συγκρίνων. C. ξυγκρ. E. 4. ἱστασθαι om. a, m, ubi mg. γρ. ἵστασιν (sic). ib. ἴδια. C. ἰδία. E. ib. οὐχ αὐτοῖς. m. οὐχ αὐτοῖς. o. 5. τύχοιμεν. m. 7. συγγράμασι. p (sic). 9. συλλήβδην. C. ξυλλήβδην. E. ib. εἰς. C. ἐς. E. ib. παντὶ τῷ. m, o. 10. ἐπακριβές. p. 14. παρὰ. C et conj. o. περὶ. E. 15. σύγκρισις. C. ξυγκρ. E. Hanc varietatem non amplius enotabo. 16. γοῦν. p. οὖν. E. ib. γοητείαν. a, m. 17. ὡς ἔτυχε om. E. 18. δὲ om. E, praeter Holst. (b.) ib. θρυλλοῦσι. E. 19. ἀναβλέψαι. π. ἀναβλέψαι τε. ς.

τινα μεταξὺ εἰπὼν ἐπιλέγει· „ἐπισκεψώμεθά γε μήν, ὅσῳ βελτίον καὶ συνετώτερον ἡμεῖς ἐκδεχόμεθα τὰ τοιαῦτα καὶ ἣν περὶ τῶν ἐναρέτων ἀνδρῶν ἔχομεν γνώμην.“ καὶ ἐπὶ τούτοις τὸν Προκονήσιον Ἀριστέαν καὶ Πυθαγόραν ὡς ἂν ἀρχαιοτέρους παρελθὼν ἐπιφέρει λέγων· ἀλλ' ἐπὶ τῶν προγόνων ἡμῶν κατὰ τὴν Νέρωνος βασιλείαν Ἀπολλώνιος ἤκμασεν ὁ Τυανεύς, ὃς ἐκ παιδὸς κομιδῇ
430 νέου καὶ ἀφ' οὗπερ ἐν Αἰγαῖς τῆς Κιλικίας ἱεράσατο τῷ φιλανθρώπῳ Ἀσκληπιῷ, πολλὰ καὶ θαυμαστὰ διεπράξατο, ὧν τὰ πλείω παρὲις ὀλίγων ποιήσομαι μνήμην.“ εἶτα καταλέγει ἀπὸ πρώτου ἀρξάμενος τὰ παράδοξα, μεθ' ἃ καὶ ἐπιλέγει ταῦτα κατὰ λέξιν. „τίνος οὖν ἕνεκα τούτων ἐμνήσθην; ἵν' ἐξῇ συγκρῖναι τὴν ἡμετέραν ἀκριβῆ καὶ βεβαίαν ἐφ' ἑκάστῳ κρίσιν καὶ τὴν τῶν Χριστιανῶν κουφότητα, εἴπερ ἡμεῖς μὲν τὸν τὰ τοιαῦτα πεποιηκότα οὐ θεόν, ἀλλὰ θεοῖς κεχαρισμένον ἄνδρα
10 ἡγούμεθα, οἱ δὲ δι' ὀλίγας τερατείας τινὰς τὸν Ἰησοῦν θεὸν ἀναγορεύουσι.“ τούτοις ἐπιφέρει μεθ' ἕτερα φάσκων· „κἀκεῖνο λογίσασθαι ἄξιον, ὅτι τὰ μὲν τοῦ Ἰησοῦ Πέτρος καὶ Παῦλος καί τινες τούτων παραπλήσιοι κεκομπάκασιν ἄνθρωποι ψεῦσται καὶ ἀπαίδευτοι καὶ γόητες, τὰ δὲ Ἀπολλωνίου Μάξιμος ὁ Αἰγιεὺς καὶ Δάμις ὁ φιλόσοφος ὁ συνδιατρίψας αὐτῷ καὶ Φιλόστρατος ὁ Ἀθηναῖος παιδεύσεως μὲν ἐπὶ πλεῖστον ἥκοντες, τὸ δ' ἀληθὲς τιμῶντες διὰ φιλανθρωπίαν ἀνδρὸς γενναίου
15 καὶ θεοῖς φίλου πράξεις μὴ βουλόμενοι λαθεῖν.“ ταῦτα ῥήμασιν αὐτοῖς Ἱεροκλεῖ τῷ τὸν καθ' ἡμῶν ἐπιγεγραφότι Φιλαλήθη λόγον εἴρηται.

Δάμις μὲν οὖν ὁ τὰ πολλὰ ξυνδιατρίψας τῷ Ἀπολλωνίῳ ἀπὸ τῆς Ἀσσυρίων γῆς ὁρμώμενος 1
αὐτόθι τε πρῶτον ἐπὶ τῆς ἰδίας χώρας αὐτῷ συμμίξας τὴν ἐξ ἐκείνου μετὰ τοῦ ἀνδρὸς αὐτῷ γενομένην συνουσίαν ἱστόρησεν, ὁ δὲ Μάξιμος κομιδῇ βραχέα τῶν κατὰ μέρος αὐτῷ πεπραγμένων
20 ἀνεγράψατο, ὅ γε μὴν Ἀθηναῖος Φιλόστρατος τὰ φερόμενα πάντα ὁμοῦ ἀπό τε τῶν Μαξίμου καὶ αὐτοῦ Δάμιδος καὶ ἄλλων συναγαγεῖν ἑαυτὸν φήσας πάντων μάλιστα ἐντελῆ τὴν ἀπὸ γενέσεως καὶ μέχρι τελευτῆς ἱστορίαν τοῦ κατὰ τὸν ἄνδρα βίου πεποίηται.

Εἰ δὴ οὖν ἐξὸν τὴν ἐπικατηγορουμένην ἡμῶν εὐχέρειάν τε καὶ κουφότητα καὶ τὴν τοῦ Φιλα- 4
431 λήθους ἀκριβῆ καὶ βεβαίαν ἐφ' ἑκάστῳ παραθεῖναι κρίσιν, φέρε διαπυθώμεθα, οὐχ ὅστις θειότερος
25 γεγόνει, οὐδ' ὁποῖος θαυμασιώτερά τε καὶ πλείω διεπράξατο παράδοξα, οὐδ' ὡς μόνος παρὰ τοῖς ἀνέκαθεν πρὸ μυρίων ὅσων γενομένοις Ἑβραίων σοφοῖς ὁ σωτὴρ ἡμῶν καὶ κύριος Ἰησοῦς Χριστὸς ἥξειν εἰς ἀνθρώπους κατὰ θείαν ἐπίπνοιαν προπεφήτευτο, οὐδ' ὡς πλείους ἐπὶ τὸν τῆς θείας διδασκαλίας αὐτοῦ λόγον προὐτρέψατο, οὐδ' ὡς γνησίους καὶ ὄντως ἀληθεῖς ἐκτήσατο φοιτητὰς μονονουχὶ καὶ ὑπεραποθνήσκειν ἑτοίμως τῶν λόγων αὐτοῦ παρεσκευασμένους, οὐδ' ὡς μόνος σώφρο-
30 νος βίου διδασκαλεῖον καὶ ἐς τὸν μετέπειτα χρόνον συνεστήσατο, οὐδ' ὡς τῇ ἰδίᾳ θεότητί τε καὶ ἀρετῇ πᾶσαν ἔσωσε τὴν οἰκουμένην καὶ εἰσέτι καὶ νῦν μυρία πλήθη πανταχόθεν ἐπὶ τὴν θείαν ἑαυτοῦ διδασκαλίαν ἐπαγόμενος, οὐδ' ὡς τῶν πώποτε μόνος πρὸς ἁπάντων σχεδὸν εἰπεῖν ἀνθρώπων ἀρχόντων τε καὶ ἀρχομένων πλείστοις ἔτεσιν ἤδη πολεμούμενος κρειττων καὶ πολὺ δυνατώτερος τῶν πικρῶς ἐλαυνόντων ἀπίστων ἀποδέδεικται θείᾳ καὶ ἀῤῥήτῳ δυνάμει τοὺς μὲν κατὰ καιρὸν
35 ἐπανισταμένους αὐτοῦ τῇ θείᾳ διδασκαλίᾳ ῥᾳδίως μετιών, τὸν δὲ παγέντα πρὸς αὐτοῦ καὶ παραδοθέντα θεῖον λόγον εἰς ἄπειρον αἰῶνα καθ' ὅλης κρατύνων τῆς οἰκουμένης, οὐδ' ὡς εἰσέτι καὶ νῦν τῆς ἐνθέου δυνάμεως τὴν ἀρετὴν ἐπιδείκνυται μοχθηρούς τινας καὶ φαύλους δαίμονας ψυχαῖς ἀν-

1. ἐπισκεψώμεθα. π. σκεψώμεθα. ς. ib. γε μὴ. p, E. Hinc usque ad 15 καὶ θεοῖς omnia desunt in a, m. 2. ἀνδρῶν ἔχομεν γνώμην. π. ἔχομεν γνώμην ἀνδρῶν. ς. ib. καὶ ἐπὶ. C. ἐπὶ καί. E. 3. ὡς ἂν. p. καὶ αὖ. ς. 5. Αἰγέταις. π. ib. φιλανθρώπῳ τῷ Ἀσκλ. p. 6. ὀλίγων. C. ἡμῖν. E. 8. ἵν' ἐξῇ. C. ἵνα ἐξῇ. E. ib. συγκρίναι. π. συγκρίνειν. ς. 9. τὰ om. p, E. 10. τούτοις. C. τούτῳ. E. 12. κεκόμπασιν. o. 13. Αἰγιώτης. π. 15. μὴ om. m. 16. Φιλαλήθη om. E. 25. γεγόνοι. C, E. Sc. γεγόνει. 26. γενομένων. C, E. Sc. γενομένοις. Post ὅσων excidisse videtur ἐτῶν. 27. εἰς. p. ἐς. E. 30. διδασκάλιον. p. 33. ἔτεσιν. p. ἔθεσιν. E. 34. ἀπίστων. C. h, o et m. γρ. ἁπάντων. a. m. 35. ῥᾳδίως μετιών. p. μετιὼν ῥᾳδίως. ς. ib. πρὸς αὐτὸν et mg. γρ. αὐτοῦ. p. πρὸς αὐτόν. E ante o 36. τῆς om. E.

. 130, 431, 3, 1.

θρώπων καὶ σώμασιν ἐφεδρεύοντας ἀπελαύνων διὰ μόνης τῆς ἀρρήτου προσηγορίας αὐτοῦ, ὡς αὐτῇ πείρᾳ κατειλήφαμεν, ταῦτα γὰρ περὶ τὸν Ἀπολλώνιον ζητεῖν μὴ καὶ τὸ ἐρωτᾶν ἀνόητον· μόνην δὲ ἐπισκεψώμεθα τὴν τοῦ Φιλοστράτου γραφήν, δι' ἧς εὐθυνοῦμεν, ὡς οὐχ ὅτι γε ἐν φιλοσόφοις, ἀλλ' οὐδὲ ἐν ἐπιεικέσι καὶ μετρίοις ἀνδράσιν ἄξιον ἐγκρίνειν, οὐχ ὅπως τῷ σωτῆρι ἡμῶν Χριστῷ παρατιθέναι τὸν Ἀπολλώνιον ὅσον ἐπὶ τῇ γραφῇ τοῦ παρὰ τῷ Φιλαλήθει παιδεύσεως μὲν ἐπὶ πλεῖστον ἥκοντος, τὸ δ' ἀληθὲς μὴ τιμῶντος συγγραφέως. τοιοῦτος γὰρ ἦν αὐτῷ μετὰ τῶν ἄλλων καὶ ὁ Ἀθηναῖος Φιλόστρατος, ἐξ οὗ ῥᾳδίως ἂν καταμάθοιμεν καὶ τῶν λοιπῶν τῶν κατ' αὐτὸν παιδεύσεως μὲν ἐπὶ πλεῖστον ἡκόντων, αὐτὸ δὲ τὸ ἐξητασμένως μὴ ἀπηκριβωμένων τῆς κατὰ τὸν Ἀπολλώνιον ἱστορίας. τούτων γὰρ ἡμῖν διευκρινηθέντων ὁμοῦ τοῦ τε Φιλαλήθους τὰ ἀνωτάτω τε καὶ καθ' ὅλων δικαστήρια διειληφότος ἡ κατὰ Χριστιανῶν βεβαία καί, ὡς αὐτὸς ἑαυτῷ δοκεῖ, ἀκριβὴς ἐφ' ἑκάστῳ κρίσις φανερὰ καταστήσεται ἡμῶν τε αὖ, οἳ μωροὶ καὶ βεβουκολημένοι νενομίσμεθα παρ' αὐτοῖς, ἡ πρὸς αὐτῶν ἐπικαλουμένη εὐχέρειά τε καὶ κουφότης. 432

Ἄλλος μὲν οὖν ὁμόσε χωρῶν αὐτόθεν διέβαλλεν ἂν βλασφημῶν ὡς ἐχθρὸν αὐτῷ καὶ πολέμιον τὸν καθ' οὗ τὸν λόγον ἐποιεῖτο, ἐγὼ δέ, ἑταῖρε, σοφόν τινα τὰ ἀνθρώπινα τὸν Τυανέα γεγονέναι ἡγούμην καὶ ἔτι γε αὐτῆς ἔχεσθαι διανοίας ἐκὼν εἶναι βουλοίμην καί σοι τὴν αὐτὸς ἐμαυτοῦ περὶ αὐτοῦ δόξαν ἐκθείην ἂν ἐρωτῶντι· φιλοσόφων μὲν ὅτῳ τις βούλοιτο καταλέγειν τὸν ἄνδρα πέρα μηδὲν διενοχλῶν ταῖς περὶ αὐτοῦ μυθολογίαις, μὴ φθονεῖν, εἰ δ' ὑπερπηδᾶν τους ὅρους καὶ φιλοσοφίας ὑπέρτερα φρονεῖν εἴτε τις Δάμις Ἀσσύριος, εἴτε Φιλόστρατος, εἴτε τις συγγραφεὺς ἢ λογογράφος θρασύνοιτο λόγῳ μὲν ἐκτρεπόμενος γοητείαν, ἔργοις δὲ πλέον ἢ ῥήμασιν ἐπιφορτίζων τὸν ἄνδρα προσωπείου δίκην τὴν Πυθαγόρειον ἐπιμορφαζόμενος ἀγωγήν, οἰχήσεται μὲν ἡμῖν ὁ φιλόσοφος, ὄνος δ' ἀντὶ τοῦ λέοντος ἐπικρυπτόμενος δέρρει σοφιστής τις ὡς ἀληθῶς ἀγείρων κατὰ τὰς πόλεις αὐτό τε τοῦτο γόης ἀτεχνῶς ἀντὶ φιλοσόφου φωραθήσεται. πῶς δὲ τοῦτό φημι καὶ πόθεν ὁρμώμενος, ἐρωτᾷς; μάνθανε· ὅροι φύσεως ἀρχὰς καὶ μέσα καὶ τέλη τῆς τῶν ὅλων οὐσίας περιειληφότες μέτρα καὶ θεσμοὺς ἅπασι, δι' ὧν τόδε τὸ πᾶν μηχάνημά τε καὶ ἀρχιτεκτόνημα τοῦ παντὸς κόσμου τελεσιουργεῖται, διατέθεινται νόμοις ἀλύτοις καὶ δεσμοῖς ἀρρήκτοις τῆς τὰ πάντα οἰκονομούσης προνοίας τὸ πάνσοφον βούλημα διαφυλάττοντες. οὔκουν κινήσειέ τι καὶ μεταθείη τῆς τάξεως τῶν ἅπαξ διατεθειμένων. κεκράτηται δ' οὖν θεσμῷ φύσεως τὸν θεῖον ὑπεραναβαίνειν νόμον πᾶς, ὅτῳ τις θρασύτερος τῶν ἐπέκεινα [βαίνειν] ἔνεστι πόθος. οὔτ' οὖν παρὰ φύσιν ὁ ἔννυδρος ἐπὶ τὴν χέρσον μεταβὰς βιῶναι δυνήσεται ἰχθύς, οὔτε τὸ ἐν χέρσῳ τραφὲν τοῖς ὕδασι καταδύσεται τὴν ἐκεῖσε διηνεκῆ μονὴν ἀσπαζόμενον, οὔτε μέγα πηδήσας μετέωρός τις τῶν ἐπὶ γῆς ἀρθήσεται πρὸς ἀέρα συμπεριπολεῖν ἀετοῖς ἐπιθυμῶν· καὶ μὴν ἐκεῖνοί γε κἂν ἐπὶ γῆς ἔλθοιεν βρίσαντες ἐπὶ τὸ κάτω τὴν δύναμιν καὶ τοῦ πτεροῦ χαλάσαντες καὶ ἀνέντες τὴν φύσιν. ἐπεὶ καὶ τοῦτο θείοις ὥρισται νόμοις, τοῦ ὕψους τὸ μετέωρον ὑποκαταβαίνειν δύνασθαι, οὐ μὴν καὶ ἔμπαλιν τὸ ταπεινὸν καὶ γεῶδες ἐπὶ τὸ μετέωρον αἴρεσθαι. ταύτῃ δὴ καὶ τὸ θνητὸν ἀνθρώπων γένος ψυχῆς μετέχον καὶ σώματος ὅροις περιγέγραπται θείοις. οὔτ' οὖν τῷ σώματι δι' ἀέρος ἔλθοι ποτὲ τῶν ἐπὶ γῆς τις καταφρονήσας διατριβῶν μὴ οὐχὶ τουπιτίμιον αὐτίκα τῆς ἀνοίας παραστχών. οὔτε τὴν ψυχὴν ἀρθεὶς φρονήματι καθίξεται τῶν ἀνεφίκτων, ἢ μελαγχολίας νοσήματι ἂν περιπέσοι. σωφρονοῖ δ' ἂν ἀρτίοις μὲν τὸ σῶμα ποσὶν ἐπὶ γῆς φερόμενος, τὴν δὲ ψυχὴν παιδείᾳ καὶ φιλοσοφίᾳ σκιρίπτων, εὔξαιτο δὲ καί τινα συνεργὸν ἄνωθεν ποθεν ἐκ τῶν κατ' οὐρανὸν δια- 433

2. περὶ τοῦ Ἀπολλωνίου. E. in m: γρ. τὸν Ἀπολλώνιον. 4. οὐδὲ. p. οὐδ'. ς. 6. ἦν αὐτῷ. p et m. γρ. ἦ. E. 7. καταμάθωμεν. E. 9. καὶ om. E. conj. o. 14. οἳ ἑταῖρε. E. 15. Fo: τῆς αὐτῆς. ib. σοι μὲν. o. 16. Fo. συγκαταλέγειν. 17. παρὰ μηδὲν διενοχλοῦντα τ. π. α. μ. ἔστω. εἰ δ'. E. διενοχλοῦντα. p. 21. οὐ φιλόσοφος. o. ib. ὄνος δὲ τῇ τοῦ λ. E. ib. ὡς om. E. 24. Fo: θεσμοί. 25. διατεθεῖναί τε. E. 26. Fo: οὔκουν ἂν κινηθείη τι καὶ μεταθείη. 28. τοῦ ἐπέκεινα. o. ib. inclusi βαίνειν. 29. οὐ — οὐ ante corr. in p, E. ib. Fo: ἐν τοῖς. 31. κεῖνοί γε. C., E. Sc. ἐκεῖνοί γε. 36. τις om. E. ib. τουπίτιμον. E. Sc. τουπιτίμιον. 37. οὐ. C., E. Sc. οὔτε. ib. νοσήματα. E.

τριβῶν ἐλθεῖν καὶ τῆς ἐκεῖσε διδάσκαλον αὐτῷ φανῆναι σωτηρίας. ἐρρωμένῳ γάρ τοι παραδείγματι
434 νοσοῦντι μὲν τὸν ἰατρὸν ἐπιφοιτᾶν θέμις, καὶ τὸν διδάσκαλον εἰσαγομένῳ τοῖς μαθήμασι συμφέρεσθαι καὶ τὸν ἄνω που καὶ ἐν ὕψει συγκατιέναι τοῖς ταπεινοῖς, οὐ μὴν καὶ ἀνάπαλιν. ὅθεν δὴ θείαν μὲν φύσιν εὐεργέτιν οὖσαν καὶ σώτειραν καὶ προνοητικὴν τῶν ὄντων ἀνθρώποις ποτὲ εἰς
5 ὁμιλίαν ἐλθεῖν οὐδεὶς ἂν ἀπείργοι λόγος ὅρῳ θείας προνοίας καὶ τούτου συγκεχωρημένου, ἀγαθὸς γὰρ ἦν κατὰ τὸν Πλάτωνα, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς ἐγγίνεται φθόνος. οὔκουν σωμάτων μόνων ἀγαθὸς ὢν ὁ τόδε τὸ πᾶν διακυβερνῶν ἐπιμελήσεται, πολὺ πλέον δὲ ψυχῶν, αἷς τὸ ἀθάνατόν τε καὶ αὐτοκρατορικὸν κεχάρισται γέρας. ταύταις δῆτα οἷα τῆς οἰκονομίας ἁπάσης κύριος
10 τοῦ παρ' ἑαυτοῦ φωτὸς δωρήσεται ἀφθόνως τῶν ἀμφ' αὐτόν, ἔστιν ὅτε τοὺς μάλιστα προσεχεῖς εἰς τὴν τῶν ἐπὶ τὰ τῇδε σωτηρίαν τε καὶ ἀντίληψιν ἐκπέμπων, ὧν εἴ τῳ εὐτυχῆσαι γένοιτο, τὴν διάνοιαν οὗτος ἀποκαθαρθεὶς καὶ τὴν τῆς θνητότητος ἀποσκεδάσας ἀχλὺν θεῖος ἀληθῶς ἀμαγραφήσεται μέγαν τινὰ θεὸν ἀγαλματοφορῶν τῇ ψυχῇ. κινήσειε δῆτα οἷα τηλικοῦτος τὸ πάντων ἀν-
15 θρώπων γένος καὶ μᾶλλον ἡλίου τὴν οἰκουμένην καταλάμψειε τοὔργον τῆς αἰδίου θεότητος καὶ εἰς τὸν ἐπιόντα συνορᾶσθαι καταλείπων χρόνον οὐ μεῖον τῶν ἐξ ἀψύχου ὕλης δημιουργημάτων τὸ τῆς ἐνθέου παράδειγμα φύσεως παρεσχημένος. καὶ ταύτῃ μὲν ἀνθρωπεία φύσις τῆς ὑπὲρ ἄνθρωπον
435 κοινωνήσαι ἄν, ἄλλως δ' οὐ θέμις τοὺς ὅρους ὑπερβαίνειν, οὐδ' ἄπτερον ἔχοντα τὸ σῶμα τὰ τῶν πτηνῶν ἐπιτηδεύειν, οὐδ' ἄνθρωπον ὄντα τὰ τῶν δαιμόνων πολυπραγμονεῖν.

Τί δῆτα ἡμῖν ἐπὶ τούτοις τὸν Ἀπολλώνιον εἰσάγεις, ὦ συγγραφεῦ; εἰ μὲν δὴ θεῖον καὶ φιλο- 7
20 σόφου κρείττονα τήν τε φύσιν ἁπλῶς εἰπεῖν ὑπὲρ ἄνθρωπον, τήρει μοι δι' ὅλης τῆς ἱστορίας τὴν ὑπόθεσιν καὶ τοὔργον εἰσέτι νῦν ἐπιδείκνυθι τῆς θειότητος. ἦ γὰρ οὐκ ἀτοπώτατον τεκτόνων μὲν καὶ οἰκοδόμων καὶ μετὰ τὴν τῶν δημιουργῶν τελευτὴν ἐπὶ μήκιστον τοὔργον διαρκεῖν ἀθάνατόν που σχεδὸν τῶν συστησαμένων τὴν μνήμην στηλιτεῦον, θείαν δὲ ἄρα φύσιν ἀνθρώποις ἐπιλάμψασαν
25 σκότιόν που καὶ μινυνθάδιον ἀποτελεῖν, οὐχὶ δὲ εἰς αἰῶνα τὴν ἀρετὴν ἐπιδείκνυσθαι, μὴ εἰς ἕνα τινὰ Δάμιν ἢ καὶ ἄλλους βραχεῖς πτωχεύουσαν τῶν ἀνθρώπων, ἀλλ' εἰς μυρίων ὅσων ὠφελείας οὐ τῶν καθ' ὃν ἐγνωρίζετο μόνων, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα γενησομένων τὴν πάροδον ποιουμένην; ταύτῃ τοι καὶ τοὺς πάλαι σοφοὺς ζηλωτάς τε καὶ διαδόχους ποιήσασθαι τῆς ἀρετῆς ἀθάνατον ὡς ἀλη- 8
30 θῶς ἀνθρώποις παρεσχημένους τὸ κατόρθωμα. εἰ δὲ θνητὴν ὑπογράφεις τἀνδρὸς τὴν φύσιν, ὅρα μὴ πλέον, ἢ προσῆκε, ταύτῃ χαριζόμενος δίκην ἀποίσεις παραλογίας. ἀλλὰ μὴν εἰσῆκται αὐτῷ θεῖος ἄνθρωπος καὶ θαλαττίου δαίμονος σχῆμά τε καὶ προσωπεῖον ἀπὸ γενέσεως ἀναλαμβάνων. „κυούσῃ γάρ", ὥς φησι, τῇ αὐτοῦ μητρὶ φάσμά ἦλθε θαλαττίου δαίμονος, Πρωτεὺς ὁ παρὰ τῷ
436 Ὁμήρῳ ἐξαλλάττων. ἡ δὲ οὐδὲν δείσασα ἤρετο αὐτόν, τί ἀποκυήσοι, ὁ δὲ „ἐμὲ" εἶπε· „σὺ δὲ τίς" εἰπούσης „Πρωτεὺς" ἔφη „ὁ Αἰγύπτιος". εἶτα δὲ λειμῶνά τινα, καὶ κύκνους τὴν γυναῖκα μαιεύεσθαι γράφει, ὁπόθεν αὐτὸ τοῦτ' εἴη ληφθέν, μὴ εἰπών. οὐ γὰρ δὴ καὶ τούτου ὑφηγητὴν
35 Δάμιν τὸν Ἀσσύριον ὑπογράψεται. ἀλλὰ καὶ οὐκ ἐς μακρὸν τῆς αὐτῆς ἱστορίας αὐτῷ Δάμιδι οἷα δὴ θείας ὄντα φύσεως τὸν Ἀπολλώνιον εἰσάγει, αὐτὰ δὴ ταῦτα λέγοντα· „ἐγώ, ὦ ἑταῖρε, πασῶν τῶν φωνῶν ξυνίημι μαθὼν οὐδεμίαν"· καὶ „μὴ θαυμάσῃς, οἶδα γὰρ καὶ ἃ σιωπῶσιν οἱ ἄνθρωποι". καὶ πάλιν ἐν Ἀσκληπιοῦ τιμώμενον πρὸς τοῦ δαίμονος καὶ πρύγνωσιν φυσικήν τινα καὶ ἀδίδακτον ἔχειν ἐκ παιδὸς κρείττονά τε ἀτεχνῶς ἀνθρώπου φῦναι αὐτὸν ἐξ αὐτῆς γενέσεως καὶ δι'

4. ὄντων sec. m. add. in p. 6. γίνεται corr. mg. cod. m. p. 7. μόνον. E. 9. εὐεργετοῖ. C, E. Sc. εὐεργητ. 10. ἔστ' ὅτε. E. 11. σωτηρίον. m. 13. Fo: ἐν τῇ ψ. ib. Fo: δῆτ' ἄν. 14. Ἡλίου. E. 16. τῇ E. Sc. τῆς. ib. ἀνθρώπων. E. 17. τὰ πτηνῶν. p. 18. Malim οὔτ' ἄνθρωπον. 19. Fo: τίνα. 21. θεότητος. E. 24. Fo: διατιλῶν. 25. θείαν. E. 26. καθ' ὧν E. Fo: καθ' ὃν χρόνον s. καθ' οὓς. ib. μόνον. E. ib. ποιουμένη. E. 27. τοίνυν. E. ib. ποιήσασθαι pendet a verbo om. e. g. παρειλήφαμεν. 28. θνητήν θ'. E. 31. αὐτὸν μητρί. h. 34. εἴη ληφθέν. p. εἰληφθέν. a, m. εἰλήφθη. h, o. 37. οὐδὲ μίαν. p. 38. φυσικὴν om. E.

31. cf. V. A. 3, 14. 36. cf. 11, 10. 38. cf. 5, 13.

434, 435, 436, 7, 8.

ὅλης ἡμῖν τῆς ἱστορίας ὑπογράφει. λύσαντος γοῦν ἑαυτόν ποτε ἀπὸ δεσμῶν ἐπιφέρει λέγων· „τότε πρῶτον ὁ Δάμις φησὶν ἀκριβῶς ξυνεῖναι τῆς Ἀπολλωνίου φύσεως, ὅτι θεία τε εἴη καὶ κρείττων ἀνθρώπου. μὴ γὰρ θύσαντά τι, πῶς γὰρ ἐν δεσμωτηρίῳ; μηδὲ εὐξάμενον, μηδὲ εἰπόντα τι καταγελάσαι τοῦ δεσμοῦ". ἐπὶ τελευτῇ δὲ τάφον μὲν αὐτοῦ μηδόλως ποι γῆς εὑρίσκεσθαι, χωρῆσαι δὲ εἰς οὐρανὸν αὐτῷ σώματι μεθ' ὕμνων καὶ χορείας λέγει. εἰκότως δὴ οὖν οἷα τὸν τοσοῦτον „θειότερον ἢ Πυθαγόρας Ἐμπεδοκλῆς τε καὶ Πλάτων φιλοσοφίᾳ τὸν ἄνδρα προσεληλυθέναι φησίν. 9 οὐκοῦν ἐν θεοῖς ἡμῖν διὰ τούτων ἀναγεγράφθω ὁ ἄνθρωπος καὶ ὁ φθόνος ἀπέστω τῆς τῶν φωνῶν ἁπασῶν αὐτοφυοῦς καὶ αὐτοδιδάκτου συνέσεως. τί δῆτα οὖν ἐς διδασκάλου ἄγει αὐτὸν καὶ τὸν μηδεμίαν φωνὴν μεμαθηκότα διαβάλλει ὡς ἂν ἐξ ἀσκήσεως καὶ μελέτης, ἀλλ' οὐκ ἐκ φύσεως Ἀττικὸν γενόμενον τὴν γλῶτταν; φησὶ γάρ τοι, ὡς προιὼν ἐς ἡλικίαν γράμματά τε καὶ μνήμης 10 437
ἰσχὺν ἐδήλου καὶ μελέτης κράτος καὶ ἡ γλῶττα αὐτῷ ἀττικῶς εἶχε". καὶ „γεγονότα δὲ αὐτὸν ἔτη τεσσαρεσκαίδεκα ἄγει ἐς Ταρσοὺς ὁ πατὴρ παρ' Εὐθύδημον τὸν ἐκ Φοινίκης, ὃς ῥήτωρ τε ἀγαθὸς ἦν καὶ ἐπαίδευε τοῦτον, ὁ δὲ τοῦ διδασκάλου εἶχετο". εἶτα „ξυνεφιλοσόφουν αὐτῷ Πλατώνειοί τε καὶ Χρυσίππειοι καὶ οἱ ἀπὸ τοῦ περιπάτου. διήκουε δὲ καὶ τῶν Ἐπικούρου λόγων, οὐδὲ γὰρ τούτους ἀπεσπούδαζε, τοὺς δὲ Πυθαγορείους ἀρρήτῳ τινὶ σοφίᾳ ξυνελάμβανε". τοσαῦτα ὁ μηδεμίαν 15
10 μαθὼν φωνὴν θεία τε δυνάμει „ἃ καὶ σιωπῶσιν ἄνθρωποι" προλαβὼν ἐξεπαιδεύετο. ὁ δὲ διαλιπὼν αὖθις αὐτὸν θαυμάζει, ἐς ὅσον συνέσεως τῆς τῶν ζῴων φωνῆς ἦλθε καὶ ἐπιφέρει λέγων „καὶ ἐς ξύνεσιν δὲ τῆς τῶν ζῴων φωνῆς ἦλθε, καὶ ἔμαθε δὲ τοῦτο διὰ τῶν Ἀραβίων πορευόμενος ἄριστα γιγνωσκόντων τε καὶ πραττόντων αὐτό. ἔστι γὰρ τῶν Ἀραβίων κύκνων ἤδη καὶ ὀρνίθων μαντευομένων ἀκούειν, ὁπόσα οἱ χρησμοί. ξυμβάλλονται δὲ τῶν ἀλόγων σιτούμενοι τῶν δρακόντων οἱ 20
μὲν καρδίαν φασίν, οἱ δὲ ἧπαρ." ἐνταῦθα πάντως που δρακόντων καρδίας δήπου καὶ ἥπατος τὸν Πυθαγόρειον ἐμψύχων τε τροφῆς ἀπεχόμενον καὶ μηδὲ θύειν δαίμοσιν ἐπιτολμῶντα εἰκὸς ἦν ἀπογεύσασθαι, ὡς ἂν καὶ τῆς παρὰ τούτοις κοινωνήσοι σοφίας. πρὸς γὰρ τοιῶνδε διδασκομένῳ πῶς ἂν ἄλλως μὴ οὐχὶ τὰ ὅμοια τοῖς διδασκάλοις ζηλώσαντι κατωρθοῦτο τὸ ἐπιτήδευμα; ἔχομεν δὴ οὖν πρὸς τοῖς καταλελεγμένοις καὶ τοὺς Ἀραβίων σοφοὺς διδασκάλους τῆς κατὰ τὴν οἰωνιστικὴν τἀνδρὸς 25
ἐπιστήμης, ἀφ' ἧς εἰκότως ὁρμώμενος ὕστερόν ποτε τὸν στρουθόν, ὅ τι καὶ βούλοιτο συγκαλῶν τοὺς ἑτέρους ἐπὶ τροφήν, προειπὼν θαῦμα μέγιστον παρέχειν ἔδοξε τοῖς παροῦσι. ταύτῃ δὴ καὶ 438
τὴν ἀπεσφαγμένην ὅσον οὔπω λέαιναν ὅμα τοῖς ὀκτὼ σκύμνοις κατὰ τὴν εἰς Ἀσσυρίους ὁδὸν θεασάμενος αὐτίκα τῷ μαθήματι συμβαλὼν τῆς ἐσομένης αὐτῷ παρὰ Πέρσαις διατριβῆς τὸν χρόνον
11 ἐμαντεύσατο. ἀκόλουθα δὲ τῇ παρὰ τοῖς Ἀραβίοις φοιτήσει ἐγχειρεῖν αὐτὸν καὶ παρὰ Πέρσαις ὁ 30
αὐτὸς συγγραφεὺς ἱστορεῖ· τῷ γάρ τοι Δάμιδι, ὃς μόνος φοιτητὴς ἦν αὐτῷ καὶ ἑταῖρος, ἀπαγορεύσας παρὰ τοὺς μάγους ἰέναι μόνος αὐτός, ὡς ἂν μὴ μετ' ἀγνώμονος δηλαδὴ τὰ τῆς μαγείας μανθάνοι, μεσημβρίας τε καὶ ἀμφὶ μέσας νύκτας τὰς μετ' αὐτῶν ἐποιεῖτο σχολάς. ἔτι δὲ Οὐαρδάνῃ Βαβυλωνίῳ εἰς λόγους ἐλθόντα βασιλεῖ ὧδέ πως λέγειν αὐτὸν παρατίθεται· „σοφία δέ μοι Πυθαγόρου Σαμίου ἀνδρός, ὃς θεούς τε θεραπεύειν ὧδέ με ἐδιδάξατο καὶ ξυνιέναι σφῶν ὁρωμένων τε 35
καὶ οὐχ ὁρωμένων φοιτᾶν τε ἐς διαλέξεις θεῶν." τίς δ' αὐτῷ ταῦτα συγχωρήσειεν, ὅτε Πυθαγόρᾳ μὲν οὐδεμία τις τοιαύτη καταλέλειπται γραφή, οὐδ' ἀπόρρητά τινα συγγράμματα, ὡς κἂν ὑπονοῆσαι αὐτὸν ἐξ ἐκείνων ὁρμᾶσθαι, ὁ δέ γε διδάσκαλος αὐτῷ τῆς κατὰ Πυθαγόραν φιλοσοφίας οὐδέν τι διαφέρειν τῶν Ἐπικουρείων πρὸς αὐτοῦ μεμαρτύρηται τοῦ Φιλοστράτου ὧδέ πως εἰρηκότος „διδάσκαλος μὲν ἦν αὐτῷ τῶν Πυθαγόρου λόγων οὐ πάνυ σπουδαῖος, οὐδ' ἐνεργῷ τῇ φιλοσοφίᾳ 40

1. ἀπὸ τῶν δεσμῶν. E. 6. προσελυληθέναι. m, o. 7. διὰ τούτων om. E. 10. τοι om. E. ib. γράμμα τε. p. γράμματά τε. E. 14. τῶν add. p. 18. καὶ om. E. 23. Fo. κοινωνήσαι. ib. διδασκομένων. E. 27. ἑταίρους. E. Sc. ἑτέρους. 28. κατὰ τὴν Ἀσσυρίων ὁδὸν. E. 31. ἀπαγορεύσαν τι. p. 33. μεσ. τε ὡς ἀμφὶ μ. E. 35. θεοὺς θεραπ. E. ib. ὧδε ἐμὲ. p. ib. ὡς ξυνιέναι. E.

1. cf. 148, 16. 5. cf. 2, 4. 10. cf. 4, 5 et 16. 17. cf. 12, 9. 26. cf. 66, 5. 27. cf. 16, 18. 33. cf. 18, 14. 40. cf. 4, 17. 437, 439, 9—11.

χρώμενος, γαστρός τε ἥττων καὶ ἀφροδισίων καὶ κατὰ τὸν Ἐπίκουρον ἐσχημάτιστο. ἦν δὲ οὗτος Εὔξενος ὁ ἐξ Ἡρακλείας τοῦ Πόντου. τὰς δὲ Πυθαγόρου γνώμας ἐγίγνωσκεν, ὥσπερ οἱ ὄρνιθες ἃ μανθάνουσι παρὰ τῶν ἀνθρώπων." φεῦ τῆς ἀτοπίας, εἰ παρὰ τούτου λέγοι τις τῆς πρὸς τοὺς θεοὺς διαλέξεως τὴν σύνεσιν αὐτὸν εἰληφέναι. ἀλλὰ δὴ συγκεχωρήσθω καὶ ἑτέρων ὑφηγητῶν αὐτὸν ἀκηκοέναι καίτοι γε τοῦ συγγραφέως τοῦτο μηδαμῶς ἐπισημηναμένου· τίς δὴ οὖν τούτων σύνεσίν τε καὶ φοίτησιν θεῶν ὁρωμένων καὶ οὐχ ὁρωμένων αὐτός τε ὡς ὑπὸ Πυθαγόρου εἰδέναι διδάσκεσθαί τε ἑτέρους ἐπηγγέλλετο; καὶ μὴν οὐδ' ὁ περιβόητος Πλάτων πάντων γε μᾶλλον τῆς Πυθαγόρου κεκοινωνηκὼς φιλοσοφίας, οὔτ' Ἀρχύτας, οὔτ' αὐτὸς ἐκεῖνος ὁ τὰς Πυθαγόρου γραφῇ παραδοὺς ὁμιλίας Φιλόλαος, οὐδ' εἴ τινες ἄλλοι γνώριμοι τἀνδρὸς γεγονότες, οἳ δόξας τε αὐτοῦ καὶ γνώμας γραφῇ τοῖς μετ' αὐτὸν παραδεδώκασιν, ἐπὶ τοιαύτῃ τινὶ ἐσεμνύναντο σοφίᾳ. οὐκοῦν ἐπῃρωθεν, ἀλλ' οὐκ ἀπὸ Πυθαγόρου τὰ τοιαδὶ μαθὼν προσχήματι σεμνολογῶν ἐπιγράφεται τὴν τοῦ φιλοσόφου πρόσρησιν. ἵνα δὲ καὶ παραλογώτατα τὸ ψεῦδος ὡς ἀληθές τις γεγονέναι συγχωρήσειεν, οὐκ οἶδ', ὅπως ἐξ αὐτοῦ λέγων ἐκείνου τοῦ Σαμίου πρὸ μυρίων ὅσων ἐτῶν ἐξ ἀνθρώπων γενομένου τὰ περὶ τούτων αὐτὸν μεμαθηκέναι. οὐκοῦν πρὸς τοῖς Ἀραβίοις καὶ τοῦτον διδάσκαλον αὐτοῦ τῆς δὴ νομιζομένης ἀπορρήτου περὶ θεῶν ἐπιστήμης ἐπιγραπτέον. εἰ δὴ οὖν θείας ἦν φύσεως, κατέψευσται αὐτοῦ τοὺς διδασκάλους ὁ λόγος, εἰ δ' ἀληθὴς ἦν οὗτος, ψευδὴς ἦν ὁ μῦθος καὶ οὐκ ἀληθὴς ἡ περὶ τοῦ θεῖον γεγονέναι αὐτὸν γραφή. οὕπω μοι τοῦ Πρωτέως τὸ φάσμα πολυπραγμονεῖν ἔπεισι καὶ τὴν περὶ τούτου πίστιν αἰτεῖν, οὐδὲ τῶν παρ' αὐτῷ κύκνων τὰς ἀποδείξεις, οὓς γελοίως τὴν μητέρα τίκτουσαν αὐτὸν μαιοῦσθαι ἱστορεῖ, ἀλλ' οὐδὲ τῆς περὶ τοὺς σκηπτοὺς μυθολογίας τὸν μάρτυρα παρέχειν ἀξιῶ. οὐ γὰρ δὴ καὶ τούτων, ὡς ἔφην, Δάμις ἡμῖν συνίστωρ ἀφίξεται, μακρῷ ὕστερον ἐν Νίνῳ τῆς Ἀσσυρίας τἀνδρὶ συνάψας. ἐγὼ μὲν οὖν εὖ μάλα προθύμως τοῖς εἰκόσι τε καὶ ἀληθείας ἐχομένοις πειθόμενος, εἰ καὶ μείζονά τινα καθ' ὑπερβολὴν ἐς ἔπαινον ἀνδρὸς ἀγαθοῦ λέγοιτ' ἄν, πιστὰ καὶ παραδεκτέα εἶναί μοι δοκῶ, ὅτι μὴ μόνα τὰ τερατώδη καὶ λήρου πλέα. οὔκουν φθονοίην, εἴ φησιν ὁ συγγραφεὺς γένος τε ἀρχαῖον καὶ τῶν οἰκιστῶν ἀνημμένον τῷ ἀνδρὶ γεγονέναι καὶ πλουτῶν εἰ οὕτως ἔτυχεν ὑπὲρ τοὺς ἐγχωρίους ἅπαντας διδασκάλων τε νέον ὄντα οὐ μόνον τῶν δεδηλωμένων τυχεῖν, ἀλλ', εἰ δοκεῖ, καὶ τούτων αὐτὸν διδάσκαλον καὶ καθηγητὴν γεγονέναι. ἔστω δ' ἐπὶ τούτοις ἐντρεχὴς καὶ τὰ κοινά, ὡς τὸν εἰς Ἀσκληπιοῦ θεραπείας χάριν ἀφιγμένον διὰ γνώμης ἀρίστης ἀπαλλάξαι τῆς ἀρρωστίας, νοσοῦντι γὰρ δὴ ὑδέρου πάθει κατάλληλον ἐγκρατείας ὑποθέσθαι δίαιταν τῷ κάμνοντι καὶ ταύτῃ αὐτὸν ὑγιᾶ καταστῆσαι καὶ τούτῳ γε τῆς φρονήσεως ἀποδεκτὸν τὸ μειράκιον, καὶ ὡς τὸν πολυτελῶς θύειν παρεσκευασμένον εἶρξεν οἷα εἰκὸς ἐπὶ κακίᾳ διαβεβοημένον, καὶ γὰρ δὴ τῶν ἐγχωρίων ἁπάντων πλουσιώτατόν τε καὶ περιφανέστατον αὐτὸν ὑποτίθεται. καὶ ἐν σώφροσι δ' αὐτὸν φθόνος οὐδεὶς ἐγγράφειν, ὅτι τε πρὸς τὸν ἐραστὴν πειρώμενον αὐτοῦ τῆς ὥρας διελοιδορήσατο καὶ γυναικείας ὅτι καθαρὸν ἑαυτὸν μίξεως διὰ τέλους, ὡς ὁ λόγος φησίν, ἤγαγε. πιστὰ δ' ἔστω καὶ τὰ τῆς πενταετοῦς κατὰ Πυθαγόραν σιωπῆς αὐτοῦ, καὶ τά, ὅπως ταύτην διήνυσεν, ἐπαίνου ἄξια. ταῦτα δὴ καὶ ὅσα τοιαῦτα ἀνθρώπινα καὶ ὡς ἀληθῶς φιλοσοφίας καὶ ἀληθείας οὐ πόρρω δεχοίμην ἂν περὶ πολλοῦ τὸ εὔγνωμόν τε καὶ φιλάληθες τιμώμενος. τὸ γέ τοι κρεῖττον ἀν-

2. ἐγίνωσκεν. p. 7. τε add. sec. m. in p. 10. μετ' αὐτὸν. p ex corr. sec. m. μετ' αὐτοῦ. p. pr. m. et E 11. Πυθαγόρα. p. ib. τοιάδε. E. 13. Fo: λέγει. 14. μαθηκέναι (sic). p. 19. τίκτουσαν αὐτὸν τὴν μητέρα. E ib. καὶ περιστῆσαι καὶ μαιοῦσθαι. o. καὶ μαιοῦσθαι. a, m. ib. οὐ δὲ περὶ τοὺς κήπους. a, m. οὐδὲ περὶ τοῦ σκηπτοῦ. h, o. 20. ἔφη. E. 21. ξὺν Ἴστρῳ. a, m. 24. φθονείην. E. 27. τούτων. E. 32. δὴ καὶ τῶν. E. 33. ἀναγεγράφειν. et suprasc. ἀναγράφειν, in mg. autem ἐγγράφειν. p. ἀναγράφειν. E. 37. δέχοιμ' ἄν. C, E. Sc. δεχοίμην ἄν.

20. cf. 3, 27. 24. cf. 3, 13. 29. cf. 5. 17. 31. cf. 5, 28. 33. cf. 7, 30. 35. cf. 8, 11.

439, 440, 12.

θρώπου τὴν φύσιν ὑποτίθεσθαι καὶ παρὰ πόδας ἐναντιολογεῖν τῆς τε δοθείσης ἀμνημονεῖν ὑποθέσεως, ἔχειν ψόγον ἂν καὶ διαβολὴν αὐτῷ τε τῷ γράφοντι καὶ πολὺ πρότερον τῷ γραφομένῳ περιάψειν ἡγοῦμαι.

13 Καὶ ταῦτα μὲν ἀπὸ τοῦ πρώτου συγγράμματος. ἐπίωμεν δὲ καὶ τὰ ἐκ τοῦ δευτέρου. τὴν ἀπο Περσίδος ἐπ' Ἰνδοὺς πορείαν ἄγει παραλαβὼν αὐτὸν ὁ λόγος. εἶτά τι πεπονθὼς ἀπειρόκαλον, ὥσπερ 5 441
τι παράδοξον, δαιμόνιόν τι, ὃ καὶ ἔμπουσαν ὀνομάζει, κατὰ τὴν ὁδὸν ἰδόντα λοιδορίαις ἅμα τοῖς ἀμφ' αὐτὸν ἀπελάσαι φησί, καὶ ζῴων δὲ εἰς τροφὴν αὐτοῖς προσαχθέντων εἰρηκέναι αὐτὸν τῷ Δάμιδι, ὡς ἄρα συγχωροίη αὐτῷ τε καὶ τοῖς ἑταίροις σιτεῖσθαι τῶν κρεῶν, τὸ γὰρ ἀπέχεσθαι αὐτῶν αὐτοῖς μὲν εἰς οὐδὲν ὁρᾶν προβαῖνον, ἑαυτῷ δὲ εἰς ἃ ὡμολόγηται πρὸς φιλοσοφίαν ἐκ παιδός. καίτοι τίς οὐκ ἂν ἀπορήσειεν, ὅτι μηδ' αὐτόν, ὃν μόνον ἐδόκει τοῦ βίου ζηλωτὴν κεκτῆσθαι 10
καὶ προὔτρεπεν ἐπὶ φιλοσοφίαν, εἶργε οἷα φίλτατον τῆς τῶν ἐμψύχων, ὡς ἂν οὐχ ὑσίας κατὰ Πυθαγόραν τροφῆς, ὁ δ' οὐκ οἶδ' ὁποίῳ λόγῳ λέγων μὲν οὐ συνοίσειν ἑαυτῷ, κείνοις δ' οὐδὲν
14 ὁρᾶν ἀπὸ τῆς ἀποχῆς προβαῖνον ὡμολόγει; ἐπὶ τούτοις ὁ Φιλόστρατος ὁ τἀληθὲς τιμᾶν πρὸς τοῦ Φιλαλήθους μεμαρτυρημένος, ὅρα τῆς ἀληθείας ὁποῖα δείγματα παρίστησι· γενόμενον παρ' Ἰνδοῖς τὸν Ἀπολλώνιον παραστήσασθαί φησιν ἑρμηνέα καὶ δι' αὐτοῦ προσδιαλέγεσθαι Φραώτῃ, τοῦτο δ' 15
εἶναι τῷ βασιλεῖ τῶν Ἰνδῶν ὄνομα, καὶ ὁ μικρῷ πρόσθεν κατ' αὐτὸν πασῶν γλωσσῶν συνεὶς νῦν αὖ κατὰ τὸν αὐτὸν ἑρμηνέως δεῖται. καὶ πάλιν ὁ διάνοιαν ἀνθρώπων εἰδὼς καὶ μόνον οὐχὶ κατὰ τὸν παρ' αὐτοῖς θεὸν

κωφοῦ τε ξυνιεὶς καὶ οὐ λαλέοντος ἀκούων

δι' ἑρμηνέως ἀνερωτᾷ, ὁποία τις εἴη τῷ βασιλεῖ δίαιτα, ἡγεμόνα τε ἀξιοῖ τῆς ἐς Βραχμᾶνας 20
πορείας γενέσθαι τινὰ αὐτῷ. καὶ μεταξὺ ὁ μὲν τῶν Ἰνδῶν βασιλεὺς καὶ ταῦτα βάρβαρος ὢν
τὴν φύσιν τὸν ἑρμηνέα ἐκποδὼν μεταστησάμενος Ἕλλάδι χρῆται πρὸς αὐτὸν τῇ ὁμιλίᾳ παιδείαν 442
καὶ πολυμάθειαν ἐνδεικνύμενος, ὁ δὲ οὐδ' ὡς, ὅτι δὴ καὶ αὐτὸς τῆς παρ' αὐτοῖς οὐκ ἀμαθῶς
15 ἔχοι φωνῆς δέον ἐπεφιλοτιμήσατο, ἀλλὰ καὶ λαλοῦντος Ἑλλάδι γλώσσῃ τοῦ Ἰνδοῦ ἐκπλήττεται, 25
ᾗ φησιν ὁ Φιλόστρατος ἀκόλουθα, ὡς ἔοικεν, ἑαυτῷ γράφων. πῶς γὰρ ἂν ἐξεπλάγη μὴ οὐχὶ
βάρβαρον οἰηθείς; καὶ τὸν τοιοῦτον θαυμάσας οὔποτ' ἂν ἑλληνίσαι προσεδόκησεν· εἶθ', ὥσπερ τι παραδόντι παράδοξον καταπλαγείς καὶ τὸ τούτου ἔτ' ἀγνοῶν αἴτιον „εἰπέ μοι" ἔφη ὁ Ἀπολλώνιος „ὦ βασιλεῦ, πόθεν οὕτως ἔχεις φωνῆς Ἑλλάδος; φιλοσοφία τε ἡ περὶ σὲ πόθεν ἐνταῦθα; οὐδὲ γὰρ ἐς διδασκάλους γε, οἶμαι, ἀναφέρεις, ἐπεὶ μηδὲ εἶναι Ἰνδοῖς διδασκάλους τούτου". αὗται αἱ παράδοξοι τοῦ πάντα προγνώσει διειληφότος φωναί, ἃς ὁ βασιλεὺς ἀμειβό- 30
μενος, ὅτι τε σχολὴ διδασκάλους καὶ οἵτινες οὗτοι ἕκαστά τε πατρόθεν τῶν περὶ αὐτὸν συμβεβη-
16 κότων φράζει. εἶτα καί τισι τοῦ Ἰνδοῦ δικάζοντος περὶ θησαυροῦ φωραθέντος ἐν ἀγρῷ, πότερα τῷ πριαμένῳ ἢ τῷ τὸ χωρίον ἀποδομένῳ δέοι νεῖμαι τοῦτον, ὁ πάντα φιλόσοφος καὶ θεοῖς κεχαρισμένος ἐρωτηθεὶς ἐπικρίνει τῷ πριαμένῳ, λογισμὸν δὴ αὐτοῖς ῥήμασιν ἐπειπὼν „ὡς οὐκ ἂν

τί
1. ὑποθέσθαι. sic. p. ib. παραδόσας. m. 4. ἐπ. δὲ τὰ. E. 5. πεπονθότ'. E. ib. ὅπερ. E. 6. αὐτοῖς ἐς τρο-
λέγων
φὴν. E. 8. ἑτέροις. E ante o. 11. εἶργέ τε. C, E. Delevi τε. ib. οἷά τε. p. Fo: οἷα δὴ. 12. λόγῳ λογῳ. p sic corr. λόγῳ, λόγῳ. a, m, h. λόγῳ λέγει. o. ib. ξυνοίσειεν. a, m. 16. γλωττῶν. E. 17. ὁ κατὰ διάνοιαν. p, a, m. ὁ τὰ κατὰ διανοίας. h, o. Sc. ὁ διάνοιαν, possit etiam ὁ καὶ διάνοιαν. 19. λαλοῦντος. E, et p, ubi mg. γρ. λα-
ἂν
λέοντος. 20. ὁποία τις εἴη τῷ βασιλεῖ δι' ἑρμηνέως ἑρωτᾷ δίαιτα. E. ib. ἐρῶτα. (sic) p. 21. τίν' αὐτῷ. E. 22. ἐκ-
ἐ
ποδῶν. p. 24. ἀπεφιλοτιμήσατο. p. ἀπιφιλοτιμήσατο. a, m, h. ἀντεφ. o. ib. γλώττῃ. E. 26. καὶ θαυμάσας; καὶ ὅτι δὴ τὸν τοιοῦτον οὔποτ' ἂν ἑ. πρ. E. 27. ἔτ' ἀγνοῶν. p. εἶτ' ἀγν. a, m, h. ἔτι ἀγν. o. 28. περί σε. o. 29. οἶμαί γε. E. ib. μὴ εἶναι. E. ib. εἰκὸς διδασκ. o. 31. οὗτοι p in mg. ib. αὐτῶν. p. 33. δέον οἶμαι. E. δέον δοῦναι o conj. ib. πάντως. E.

5. cf. 24, 12. 7. cf. 26, 8. 15. cf. 35, 27. 20. cf. 36, 8 – 16. 26. cf. 37, 13. 32. cf. 42, 11.

οἱ θεοὶ τὸν μὲν ἀφεῖλον καὶ τὴν γῆν, εἰ μὴ φαῦλος ἦν, τῷ δ' αὖ καὶ τὰ ὑπὸ γῆν δοῦναι, εἰ μὴ βελτίων ἦν τοῦ ἀποδομένου". ὡς κατ' αὐτὸν δὴ συνάγεσθαι, τοὺς μὲν εὐπόρους καὶ πλούτῳ διαφέροντας, κἂν αἰσχρότατοι καὶ πανωλέστατοι τυγχάνοιεν, τρισευδαίμονας καὶ θεοφιλεῖς ἡγεῖσθαι. μόνους δ' ἄρα κακοδαίμονάς τε καὶ ἀθλίους τοὺς πενεστάτους, κἂν Σωκράτης, κἂν Διογένης, κἂν αὐτὸς ἐκεῖνος Πυθαγόρας τυγχάνῃ, κἂν ἄλλος, οἱ πάντων ἀνδρῶν σωφρονέστατοι τε καὶ ἐπι-
443 εικέστατοι. εἶποι γὰρ ἄν τις ἑπόμενος τῷ λόγῳ μὴ ἂν κατ' αὐτὸν τοὺς θεοὺς τοὺς μὲν πένητας, τούτους δὴ αὐτούς, οἳ κατὰ φιλοσοφίαν διήνεγκαν, ἀφελέσθαι καὶ τὰ πρὸς τὴν ἀναγκαίαν τροφὴν μὴ οὐχὶ πάντως φαύλους ὄντας τὸν τρόπον, τοῖς δὲ τὸ ἦθος ἀκολαστοτέροις ἄφθονα καὶ τὰ μὴ ἀναγκαῖα παρασχεῖν, εἰ μὴ βελτίους ἐτύγχανον τῶν προτέρων. ἐξ ὧν παντί τῳ καταφανὴς ἡ τοῦ συμπεράσματος ἀτοπία.

Ταῦτα καὶ ἀπὸ τοῦ δευτέρου παραθέμενοι ἴωμεν ἐπὶ τὸ τρίτον τὰ κατὰ τοὺς βεβοημένους 17
ἐποψόμενοι Βραχμᾶνας· ἔνθα δὴ τὰ ὑπὲρ Θούλην ἄπιστα καὶ εἴ τί περ ἄλλο τερατῶδές ποτε μυθολόγοις τισὶν ἀναπέπλασται, εὖ μάλα πιστὰ καὶ ἀληθέστατα, ὡς ἐν παραθέσει τούτων, ἀναφανήσεται. οἷς καὶ τὸν νοῦν ἐπιστῆσαι ἄξιον τῆς τοῦ Φιλαλήθους ἕνεκεν αὐθαδείας ἡμῖν μὲν εὐχέρειαν καὶ κουφότητα τρόπου περιάπτοντος, αὐτῷ δὲ καὶ τοῖς αὐτῷ παραπλησίοις τὴν ἀκριβῆ καὶ βεβαίαν μετὰ συνέσεως κρίσιν. ὅρα γοῦν, ἐφ' οἷς σεμνύνεται παραδόξοις τῶν ἡμετέρων θείων εὐαγγελιστῶν προκρίνων τὸν Φιλόστρατον, ὡς μὴ μόνον παιδείας ἐπὶ πλεῖστον ἥκοντα, ἀλλὰ καὶ ἀληθείας ἐπιμεμελημένον. πρῶτα μὲν οὖν ἐν τῇ πρὸς τοὺς Βραχμᾶνας πορείᾳ τοῦ Ἀπολλωνίου γυνή τις αὐτῷ 18
τὴν χροιὰν εἰσάγεται ἀπὸ τῆς κεφαλῆς ἐς ὀσφὺν λευκοτάτη, τὸ δὲ ἕτερον μέρος τοῦ σώματος μέλαινα, τὰ δὲ προιόντων τῆς ἐπὶ τοὺς Βραχμᾶνας ὁδοῦ ὄρη καταπεφυτευμένα τὸ πέπερι καὶ τούτου πίθηκοι γεωργοὶ καὶ παράδοξοί τινες τὸ μέγεθος δράκοντες, ὧν ἀπὸ κεφαλῆς λαμπάδες ἀπορριπτοῦνται πυρός, οὓς εἴ τις ἀνέλοι, εὕροι ἄν, φησι, παραδόξους λίθους ἐπὶ τῆς κεφαλῆς τῷ τοῦ Γύγου τοῦ παρὰ τῷ Πλάτωνι παραπλησίους. καὶ ταῦτα μὲν τὰ πρὸ τοῦ τῶν Βραχμάνων λόφου. ὡς δὲ καὶ εἰς αὐτὸν ἀφίκοντο, σανδαράκινον ἐνταῦθα φρέαρ ὕδατος ἰδεῖν παραδόξου καὶ κρατῆρα πλησίον πυρός, οὗ φλόγα ἀναπέμπεσθαι μολιβδώδη, δύο τε πίθους λίθου μέλανος τὸν μὲν ὄμβρων, τὸν δὲ ἀνέμων, ἀφ' ὧν τοὺς Βραχμᾶνας, οἷς ἂν εἶεν τῆς χώρας ἴλεῳ, χορηγεῖν. ἀλλά
444 γε καὶ ἀγάλματα παρ' αὐτοῖς Ἀθηνᾶς Πολιάδος καὶ Ἀπόλλωνος Πυθίου καὶ Διονύσου Δηλίου, καὶ ἄλλων τινῶν Ἑλληνικῶν θεῶν, Ἰάρχαν δὲ τὸν ἐπὶ πάντων διδάσκαλον καλεῖσθαι, ὃν καὶ ἰδεῖν καθεζόμενον πολλοῦ γε δεῖ φιλοσοφικῶς, σατραπικῷ δ' ἂν μᾶλλον σχήματι ἐφ' ὑψηλοτάτου δίφρου. χαλκοῦ δὲ μέλανος οὗτος ἦν καὶ πεποίκιλτο χρυσείοις ἀγάλμασιν, οἷα δὴ εἰκὼς τεχνουργῶν βαναύσων τρόπον πυρὶ καὶ σιδήρῳ μοχθοῦντας τοὺς φιλοσόφους τεχνουργεῖν, ἢ καὶ θαυματοποιῶν δίκην αὐτόματον ἀποτελεῖν τὸ δημιούργημα, οἱ δὲ τῶν ἄλλων τῶν μετ' αὐτὸν διδασκάλων δίφροι χαλκοῖ μέν, φησιν, ἄσημοι δ' ἦσαν καὶ ἧττον ὑψηλοί. ἔδει γάρ που πάντως τυράννου σχήματι προνομίας τῆς ἐν ἀγάλμασι καὶ χρυσῷ τὸν τῆς θείας φιλοσοφίας ἀξιοῦσθαι διδάσκαλον. πρῶτον δὲ τὸν Ἰάρ- 19
χαν ἰδόντα φησὶ τὸν Ἀπολλώνιον ἐξ ὀνόματός τε προσειπεῖν Ἑλλάδι τῇ φωνῇ καὶ ἣν αὐτῷ παρὰ Φραώτου κομίζοι ἐπιστολήν, αἰτῆσαι κατὰ πρόγνωσιν ἤδη τοῦτο προειληφότα ἐνδείξασθαί τε τὸ ἔνθεον τῆς προγνώσεως προειρηκότα, ὡς ἄρα ἐνὶ γράμματι τῷ δέλτα λείποι ἡ ἐπιστολὴ ἄρξασθαί τε ἀπειροκάλως εὐθὺς ἀπὸ πρώτης ὁμιλίας ἀπειροπλούτου δίκην ἐνεπιδείκνυσθαι τὸ τῆς προγνώσεως πλεονέκτημα πατέρα καὶ μητέρα καταλέγοντα τοῦ Ἀπολλωνίου γένος τε καὶ τροφὴν καὶ παι-

1. καὶ κατὰ τὴν γῆν. E. ib. τῷ δ' ἂν. a, m, h. 5. τυγχάνοι. p. 9. παντί γε. E. 13. ἀφανισθήσεται. p. 19. χροίαν. o. 21. ἀποριπτοῦνται. p. 22. Fo: ἐν ταῖς κεφαλαῖς. 24. σανδαρίκινον. E. 25. μολυβδώδη. E. 26. ἴλεω τῆς χώρας. E. 27. Διονύσου Δηλίου. p, a, m, h. Διονύσου. o. Fo: Διον. Λιμναίου 29. σατραπικῶς. a, m, h. 30. χρυσέοις. E. 32. τὸν — διδάσκαλον. p. τῶν — διδάσκαλον. o. 33. τυράννου πάντως. E. ib. προνομίας. p. 34. διδάσκαλον ἀξιοῦσθαι. E.

18. cf. 45, 1. 20. cf. 45, 9. 21. cf. 46, 27. 24. cf. 48, 18 – 23. 26. cf. 48, 28. 28. cf. 49, 30 – 50, 1. 443, 444, 17 – 19.

δείαν καὶ τὰς κατὰ χρόνους ἀποδημίας καὶ τὴν εἰς αὐτὸν πορείαν καὶ τὰ κατ' αὐτὴν πεπραγμένα τε αὐτῷ καὶ ὡμιλημένα. εἶτα δέ φησιν αὐτὸς οὗτος ὁ θαυμάσιος συγγραφεὺς τοὺς Βραχμᾶνας ἅμα τῷ Ἀπολλωνίῳ χρισαμένους ἠλεκτρίνῳ φαρμάκῳ λούσασθαι καὶ περιστάντας ὡς ἐν χορῷ τὴν γῆν τύψαι ταῖς ῥάβδοις, τὴν δὲ κυρτωθεῖσαν ἀναπέμψαι αὐτοὺς εἰς δίπηχυ τοῦ ἀέρος, ἑστάναι τε αὐτοὺς μετεώρους ἐν αὐτῷ ἀέρι ἐπί τι χρόνου διάστημα, ἕλκειν δὲ καὶ πῦρ ἀπὸ τοῦ ἡλίου, ὅτε βούλοιντο, αὐτομάτως. τούτοις δ' ἐπιφέρει παράδοξον ὁ θαυματολόγος, ὡς ἄρα τρίποδες Πυθικοὶ τέτταρες ἐξεκυκλήθησαν αὐτόματοι φοιτῶντες, καὶ εἰκάζει δὴ οὖν αὐτοὺς τοῖς Ὁμηρείοις οἰνοχόους τε ἐπὶ τούτοις ἐκ χαλκοῦ διακόνους τὴν ὕλην ἴστησι τέτταρας, ἐπιλέγει δέ, ὡς ἄρα καὶ ἡ γῆ αὐτομάτως ὑπεστόρνυτο αὐτοῖς πόας. τῶν δὲ τριπόδων οἱ μὲν δύο, φησίν, οἶνου ἀπέρρεον, οἱ δὲ ἕτεροι δύο ὁ μὲν ὕδατος θερμοῦ κρᾶσιν παρεῖχεν, ὁ δ' αὖ ψυχροῦ. τοὺς δὲ οἰνοχόους τοὺς χαλκοῦς ἀρύεσθαι εὐμέτρως τοῦ τε οἴνου καὶ τοῦ ὕδατος, περιελαύνειν γε κύκλῳ τὰς κύλικας, ὥσπερ ἐν τοῖς πότοις. ταῦτα Ἱεροκλεῖ τὰ ἀνωτάτω καὶ καθόλου δικαστήρια πεπιστευμένῳ μετὰ πολλῆς ἀνετάσεως ἀληθῆ καὶ πιστὰ εἶναι δοκεῖ καὶ ἡμῶν μὲν εὐχέρεια καὶ κουφότης πλείστη ὅση κατέγνωσται παρ' αὐτῷ, αὐτὸς δὲ τοιαῦτα Φιλοστράτῳ πιστεύων αὐτοῖς δὴ ῥήμασι σεμνύνεται λέγων „ἐπισκεψώμεθά γε μήν, ὅσῳ βέλτιον καὶ συνετώτερον ἡμεῖς ἐκδεχόμεθα τὰ τοιαῦτα, καὶ ἢν περὶ τῶν ἐναρέτων ἀνδρῶν ἔχομεν γνώμην." ἐπὶ τοιούτῳ δὴ τῷ συμποσίῳ κατὰ τὸν αὐτὸν Φιλόστρατον βασιλεὺς ἐγχωριάζων Ἰνδοῖς εἰσάγεται συμπίνων τοῖς φιλοσόφοις, τοῦτον δὲ ἐνυβρίζειν καὶ ἐμπαροινεῖν φιλοσοφίᾳ μεθύσκεσθαί τε παρ' αὐτοῖς καὶ ἀντιπαρεξάγειν τῷ Ἡλίῳ καὶ ἀλαζονεύεσθαι ἱστορεῖ, καὶ πάλιν τὸν Ἀπολλώνιον δι' ἑρμηνέως τὰ παρὰ τούτου μανθάνειν καὶ αὖ πάλιν πρὸς αὐτὸν διαλέγεσθαι ὑφερμηνεύοντος τοῦ Ἰάρχα· καὶ πῶς οὐ θαυμάζειν ἄξιον, ὅπως τὸν οὕτως ὑβριστὴν καὶ ἀτοπώτατον παροινεῖν καὶ μεθύσκεσθαι παρὰ τηλικούτοις εἰκὸς ἦν, ὃν οὐδὲ παρεῖναι ἄξιον ἐν φιλοσόφων μή τί γε καὶ ἰσοθέων ἑστίᾳ; τί δέ μοι ἰσοθέους τούτους καλεῖν καὶ τῆς ἀξίας ἐνυβρίζειν τοὺς ἄνδρας; ὁπότε πυθομένου τοῦ Ἀπολλωνίου, τίνας ἑαυτοὺς ἡγοῦνται, θεοὺς ἔφη ὁ Ἰάρχας, ὃς καὶ τοῖς συμπόταις, οἷα δὴ θεὸς φιλοσόφου μὲν ἥκιστα τρόπῳ, πολλοῦ γε δεῖ, μή τί γε μᾶλλον, οὐ ἔφησε, θεοῦ ἀξίως, τὴν φιάλην ἐπικύπτων ἐξῆρχεν. ἡ δέ, φησιν ὁ συγγραφεύς, ὡς ἄρα ἐπότιζεν ἱκανῶς πάντας, ἐπεδίδου, καθάπερ αἱ ἀπύρρητοι πηγαὶ τοῖς ἀνιμωμένοις. μετὰ ταῦτα κοιναὶ λόγων ὁμιλίαι καὶ σπουδαιολογίαι τῶν φιλοσόφων τοῦ μὲν Ἰάρχα διδάσκοντος, ὡς ἄρα ποτὲ αὐτῷ ἡ ψυχὴ ἐν ἑτέρῳ ἀνθρώπου βασιλέως γένοιτο σώματι καὶ τοιαδί τινα αὐτῷ πεπραγμένα εἴη, τοῦ δὲ Ἀπολλωνίου, ὡς νηὸς Αἰγυπτίας ποτὲ γένοιτο κυβερνήτης, καὶ τὰ τοσαῦτα διαπράξαιτο πεύσεις τε καὶ ἀποκρίσεις ἑκάστου, ὧν καὶ τῆς σοφίας ἄξιον μηδαμῶς παρεκθέσθαι τὴν μνήμην. ἐρέσθαι δέ φησι τὸν Ἀπολλώνιον, εἰ ἔστι παρ' αὐτοῖς χρύσεον ὕδωρ — ὃ τοῦ σοφοῦ καὶ παραδόξου πύσματος — καὶ περὶ ἀνθρώπων δὲ ὑπὸ γῆν οἰκούντων καὶ Πυγμαίων ἄλλων καὶ Σκιαπόδων ἀνερωτᾶν, καὶ εἰ γίγνοιτο παρ' αὐτοῖς ζῷον τετράπουν, ὃ λέγεται μαρτιχόρα, ὃ τὴν κεφαλὴν ἀνθρώπῳ εἰκάσθαι, λέοντι δὲ ὡμοιῶσθαι τὸ μέγεθος, τὴν δὲ οὐρὰν ἐκφέρειν πηχυαίας καὶ ἀκανθώδεις τὰς τρίχας, ἃς βάλλειν ὥσπερ τοξεύματα ἐς τοὺς θηρῶντας, καὶ τοιαῦτα μὲν τὸν Ἀπολλώνιον ἀνερωτᾶν, τὸν δὲ Ἰάρχαν διδάσκειν αὐτὸν περὶ μὲν τῶν Πυγμαίων, ὡς ἄρα εἶεν οἰκοῦντες μὲν ὑπόγειοι, διατρίβοντες δὲ ὑπὲρ τὸν Γάγγην ποταμὸν ζῶντες, περὶ δὲ τῶν ἄλλων, ὡς ἀνύπαρκτα εἴη. ἔριον ἐπὶ τούτοις φυόμενον αὐτοῖς ἀπὸ γῆς ἐς ἐσθῆτος ὕλην ὁ Φιλόστρατος ἀναγράφει, πάντως δήπου τῶν φιλοσόφων ἱστὸν ἐποιχομένων καὶ ταλασιουργίαις ἐς ἐσθῆτος κατεργα-

2. τε om. E. ib. αὐτὸς om. E. 9. ὑπεστρώννυτο E. 10. χαλκοῦς. E. 12. ποταμοῖς p, a, m, h. 14. ἐπισκεψώμεθα scr. ex 60, l. σκεψώμεθα. ς. 18. τῷ om. p. 21. παρεῖναι. p ex corr. παριέναι. ς. 22. Ad ἀξίας requiritur participium, ut φθονοῦντα. 25. ἐπικτυπῶν. p, a, m, h. 26. ἐπέντιζε. m, ubi mg. γρ. ἐπότιζε. ib. Fo: καὶ ἐπεδ. 28. τοιάδε. E. 29. τοῦ Ἀπ δὲ. E. ib. τὰ om. o. Fo. τὰ τοιαῦτα. 30. διαπράξαιτο. C, E. Sc. διαπράξαιτο. 33. ἀνερωτᾶ. E. ib. ζώων. m. ib. μαντιχόρα. E. ib. ᾧ. p. 34. ὁμοιῶσθαι. E. ib. πηχυαίας ἀκανθώδεις. a, m. 37. ὑπὸ. C, E. Sc. ὑπὲρ.

2. cf. 50, 21. 5. cf. 49, 10. 6. cf. 55, 2. 16. cf. 54, 16. 17. cf. 55, 18. 20. cf. 55, 21. 25. cf. 57, 24. 27. cf. 51, 15. 29. cf. 52, 30. 31. cf. 62, 30. 33. cf. 61, 29. 36. cf. 62, 19. 38. cf. 49, 24.

445. 446. 20—23

σίαν ἐκπονουμένων — οὐδὲ γὰρ εἰσῆκται παρ' αὐτοῖς γυναικεῖον φῦλον — εἰ μὴ καὶ τοῦτο φήσειεν
447 αὐτόματον αὐτοῖς παραδόξως δι' ἐρέας ἐς ἐσθῆτα μεταφύεσθαι. φέρειν δ' ἕκαστον αὐτῶν ῥάβδον καὶ δακτύλιον ἀπόρρητον ἔχοντα ἰσχύν. εἶτα παραδοξοποιίαι τοῦ Βραχμᾶνος, ὡς δαιμονῶντα δι' ἐπιστολῆς ἀνακαλέσαιτο, ὡς χωλεύοντα καταψήσας τὸν γλουτὸν θεραπεύσειεν, ὡς τυφλῷ τὸ βλέπειν καὶ ἀδρανεῖ τινι τὴν χεῖρα σῴαν χαρίζοιτο. πολλὰ κἀγαθὰ γένοιτο πραγμάτων ἡμᾶς ἀπολύσαντι τῷ συγγραφεῖ. δῆλα γάρ, ὡς ἀληθῆ καὶ ταῦτα, ὅτε βροντὰς καὶ ἀνέμους ἐν πίθοις τρίποδάς τε ἐκ λίθου φοιτῶντας αὐτομάτως καὶ οἰνοχόους ἀπὸ χαλκοῦ περιελαύνειν ἐν κύκλῳ τὰς κύλικας προιστορήσας διὰ τῆς περὶ τούτων ὡς ἀληθῶν ἀφηγήσεως καὶ τῶν λοιπῶν ἁπάντων ἐξέφηνέ τε καὶ διήλεγξε τὴν μυθολογίαν. εἰρηκέναι δέ φησιν ὁ Φιλόστρατος τὸν Δάμιν δίχα τῆς αὐτοῦ παρουσίας καὶ τῷ Ἰάρχᾳ συμφιλοσοφῆσαι τὸν Ἀπολλώνιον εἰληφέναι τε παρ' αὐτοῦ δακτυλίους ἐπτὰ ἐπωνύμους ἀστέρων, οὓς καὶ φορεῖν αὐτὸν καθ' ἕνα πρὸς τὰ ὀνόματα τῶν ἡμερῶν. ταῦτα δὲ νῦν εἰπὼν ὁ ταλήθὴς τιμᾶν παρὰ τῷ Φιλαλήθει νενομισμένος μεθ' ἕτερα τῆς γραφῆς, ὡς ἂν δὴ γοητείαν τῶν Βραχμάνων καταγνοὺς καὶ ταύτης ἐλεύθερον καταστῆσαι τὸν Ἀπολλώνιον φροντίσας ἐπιφέρει φάσκων κατὰ λέξιν· „ἰδὼν δὲ παρὰ τοῖς Ἰνδοῖς τοὺς τρίποδας καὶ τοὺς οἰνοχόους καὶ ὅσα
448 αὐτόματα ἐσφοιτᾶν εἶπον, οὔθ', ὅπως σοφίζοιντο αὐτά, ἤρετο, οὔτε ἐδεήθη μαθεῖν, ἀλλ' ἐπῆνει μέν, ζηλοῦν δὲ οὐκ ἠξίου." καὶ πῶς, ὦ οὗτος, οὐκ ἠξίου; ὁ δίχα τοῦ Δάμιδος σπουδὴν ποιούμενος συμφιλοσοφεῖν αὐτοῖς καὶ τὸν μόνον ἑταῖρον, ὅ τι καὶ πράττοι, λανθάνειν δέον ἡγούμενος; πῶς δὲ οὐκ ἠξίου ζηλοῦν ὁ τοὺς τῶν ἀστέρων ἐπωνύμους καταδεχόμενος δακτυλίους καὶ τούτους ἀναγκαῖον τιθέμενος διὰ παντὸς τοῦ βίου φέρειν πρὸς τὰ ὀνόματα τῶν ἡμερῶν καίτοι γε ἀπόρρητον, ὡς φῂς αὐτός, ἔχοντας ἰσχύν; εἰ δὲ καὶ δοθείη τὸ μὴ ζηλοῦν ἠξιωκέναι αὐτὸν ὡς μὴ εὖ πράττοντας, οὐκ ἐζήλου δηλονότι. πῶς οὖν ἐπῄνει, ἐφ' οἷς μὴ ἠξίου ζηλοῦν; εἰ δ' ὡς θείως ἐνεργοῦντας ἐπῄνει, πῶς οὐκ ἐζήλου τὰ ἐπαίνων ἄξια; ἀλλὰ γὰρ μετὰ τὴν παρὰ τούτοις διατριβὴν παλινοστοῦντα αὐτὸν ἅμα τοῖς ἑταίροις ἐληλυθέναι φησὶν ἐς τὴν τῶν Ὠρειτῶν χώραν, ἔνθα χαλκαῖ μὲν αὐτοῖς αἱ πέτραι, χαλκῆ δὲ ἡ ψάμμος, χαλκοῦ δὲ ψῆγμα οἱ ποταμοὶ ἄγουσι.

Καὶ τοσαῦτα μὲν τὰ κατὰ τὸ τρίτον σύγγραμμα, ἐπίωμεν δ' ἤδη καὶ τὰ ἑξῆς. ἐπανελθόντα φησὶν ἀπὸ τῆς Ἰνδῶν χώρας ἐπὶ τὴν Ἑλλάδα κοινωνὸν τῶν θεῶν πρὸς αὐτῶν τῶν θεῶν ἀνακεκηρῦχθαι, οἳ καὶ τοὺς κάμνοντας ὡς αὐτὸν ἐφ' ὑγείᾳ παρέπεμπον, καὶ δῆτα ὡς ἐξ Ἀράβων καὶ μάγων καὶ Ἰνδῶν παράδοξόν τινα καὶ θεῖον ἡμῖν αὐτὸν ἀγαγὼν παραδόξων ἐντεῦθεν ἀφηγημάτων κατάρχεται. καίτοι ἄν τις εἴποι εὐλόγως, ὅτι δὴ εἰ θειοτέρας ἢ κατ' ἄνθρωπον φύσεως ἦν, πάλαι, ἀλλ' οὐ νῦν ἔδει, πρὸ τῆς δὲ ἑτέρων μεταλήψεως τῶν θαυμασίων κατάρχεσθαι. περιττὴ δ' ἂν καὶ ἡ ἐξ Ἀράβων αὐτῷ μάγων τε καὶ Ἰνδῶν διὰ σπουδῆς ἐπεχειρεῖτο πολυμάθεια, εἰ δή τις κατὰ τὴν δοθεῖσαν ὑπῆρξεν ὑπόθεσιν. ἀλλ' οὗτός γε κατὰ τὸν φιλαλήθη συγγραφέα νῦν δὴ παρέστι μετὰ τοσούτους διδασκάλους τὴν σοφίαν ἐνεπιδεικνύμενος, καὶ πρῶτα μὲν οἷα ἐξ Ἀράβων καὶ τῆς παρ' αὐτοῖς οἰωνιστικῆς ὁρμώμενος τὸν στρουθόν, ὅ τι καὶ βούλοιτο τοὺς ἑτέρους ἐπὶ τροφὴν παρακαλῶν, ἐφερμηνεύει τοῖς παροῦσιν. εἶτα δὲ λοιμοῦ προαισθόμενος προμαντεύεται τοῖς πολίταις. τὴν δ' αἰτίαν καὶ τούτου ἐν τῇ πρὸς Δομετιανὸν ἀπολογίᾳ αὐτὸς παρατίθεται. ἐρομένου γάρ τοι αὐτόν, ὑπόθεν ὁρμώμενος τοῦτο προείποι, „λεπτοτέρᾳ" ἔφη „χρώμενος, ὦ βασιλεῦ, διαίτῃ πρῶτος τοῦ
449 δεινοῦ ᾐσθόμην". καὶ τρίτον δ' αὐτῷ θαῦμα γεγονὸς ἱστορεῖ, ὡς δὴ ἀλεξήσαντος τὸν λοιμόν, ὅπερ

2. δι' ἱερίας. E. 4. ἀνακαλέσοιτο. C, E. Sc. ἀνακαλέσαιτο. 6. βροντάς τε. E. 16. οὐκ ἠξίου ζηλοῦν. E. 17. μόνον ὅ τι καὶ πράττοι λανθάνειν δέον ἑταῖρον ἡγούμενος. E. 22. ἐνεργοῦντά σε. p. pr. m. corr. sec. 23. Ὠριτῶν. h. e. 25. ἤδη τὰ. E. 26. αὐτὸν τῆς. E. 27. οἱ. E. 28. αὐτὸν ἡμῖν. E. 29. καὶ τὸ. o. ib. ἀνθρώπων ante corr. p.

ξ

30. τῆς ἑτέρων. p. 31. πολυμαθία. p. 32. ὑπῆρχεν. p. ὑπῆρεν. E. ib. γε om. E. ib. ἀληθῆ. E. ἀληθῆ et φιλαλήθη suprasc. p. 33. ἐπιδεικνύμενος et sec. m. ἐνεπιδεικνύμενος. p. ἐνδεικνύμενος. E. 34. ὅ τι βούλοιτο. E. 35. ὑφερμηνεύει. p. ib. Fo: τοῖς Ἐφεσίων πολίταις. 36. Δομητιανόν. p. 38. τὸν λογισμόν. a, m.

2. cf. 49, 27. 3. cf. 59, 15 — 60, 4. 9. cf. 60, 17. 14. cf. 90, 8. 23. cf. 64, 7. 26. cf. 65, 17. 34. cf. 66, 5. 35. cf. 66, 21. 36. cf. 152, 5. 38. cf. 68, 6.

447—449, 21—27.

εἰ καὶ τὰ μάλιστα ἐν ταῖς ἐπὶ τέλει κατ' αὐτοῦ κατηγορίαις οὐ τέθεικεν ὁ συγγραφεύς, ὅτι μὴ παρῆν, ὡς εἰκός, αὐτῷ δι' ἀπολογίας ἀπολύσασθαι τὸ ἔγκλημα, φέρε δ' οὖν ὅμως αὐτοὶ τὴν ἱστορίαν ἐς φανερὸν ὑποθώμεθα, οὕτω δὴ καὶ ταύτην εὐθύνοντες. εἴ τινι γὰρ οὐκ ἂν εἴη σαφές, ὅτι δὴ πολὺ τὸ πλάσμα καὶ ἀπατηλὸν γοητείας τε ὡς ἀληθῶς ἔμπλεων, αὐτὸς ὁ τρόπος ἀπελέγχει τῆς ἱστορίας. τὸν γάρ τοι λοιμὸν ὑποτίθεται ἐν εἴδει πτωχεύοντος καὶ ῥάκεσιν ἡμφιεσμένου πρεσβύτου ἀνδρὸς ἑωρᾶσθαι, ὃν καταλεύειν ἐπικελευσαμένου τοῦ Ἀπολλωνίου πρότερον μὲν πῦρ βάλλειν τῶν ὀφθαλμῶν, εἶθ' ὕστερον βληθέντα λίθοις κύνα συντετριμμένον καὶ παραπτύοντα ἀφρόν, ὡς οἱ λυττῶντες, φανῆναι, εἰρηκέναι δ' αὐτὸν περὶ τούτου καὶ ἐν τῇ πρὸς τὸν αὐτοκράτορα Δομετιανὸν ἀπολογίᾳ ταῦτα γράφει· „τὸ γὰρ τοῦ λοιμοῦ εἶδος, πτωχῷ δὲ γέροντι εἴκαστο, καὶ εἶδον καὶ ἰδὼν εἶλον οὐ παύσας νόσον, ἀλλ' ἐξελών". τίς δὴ οὖν ἐπὶ τούτοις οὐ μέγα τὴν τοῦ θαυματοποιοῦ γελάσεται παραδοξοποιίαν ζῷον ὀφθαλμοῖς καὶ λίθων ὑποπῖπτον βολαῖς συντριβόμενόν τε πρὸς ἀνθρώπων καὶ ἀφρὸν παραπτῦον τὴν τοῦ λοιμοῦ φύσιν ἀκούων, ὃς οὐδ' ἄλλ' ὁτιοῦν τυγχάνει ἢ φθορὰ καὶ κάκωσις ἀέρος ἐπὶ τὸ νοσῶδες τρεπομένου τοῦ περιέχοντος ἐκ πονηρῶν τε καὶ φαύλων ἀναθυμιάσεων, ᾗ λόγος ἰατρικὸς παραδίδωσι, συνισταμένου; καὶ ἄλλως δ' ἂν τὸ φάσμα διευθυνθείη, ἐπείπερ μόνῃ τῇ τῶν Ἐφεσίων πόλει, ἀλλ' οὐχὶ καὶ τοῖς ὁμόροις τὸν λοιμὸν ἐπισκῆψαί φησιν ὁ λόγος, ὅπερ οὐκ ἂν γεγόνει κάκωσιν τοῦ περιέχοντος πεπονθότος· οὐ γὰρ δὴ κατακλεισθὲν
28 μόνῳ ἂν ἐφήδρευσε τῷ περὶ τὴν Ἔφεσον ἀέρι τὸ νόσημα. τέταρτον αὐτῷ παράδοξον Ἀχιλλέως ἦν ψυχὴ πρότερον μὲν ἐν χλαμύδι πεντάπηχυς, εἶτα δωδεκάπηχυς τὸ μέγεθος παρὰ τῷ ἰδίῳ αὐτοῦ 450
μνήματι φαινομένη Θετταλούς τε καταιτιωμένη, ὅτι δὴ τὰ ἐναγίσματα αὐτῷ, ὡς ἔθος ἦν, οὐκ ἐπετέλουν, μηνιῶσά τε εἰσέτι Τρωσὶ τῶν ἐς αὐτὸν πεπλημμεληκότων καὶ προστάττουσα τῷ Ἀπολλωνίῳ πέντε λόγους, οὓς ἂν αὐτός τε βούλοιτο καὶ αἱ Μοῖραι συγχωροῖεν, ἀνερέσθαι. εἶθ' ὁ πάντα εἰδὼς καὶ τῶν μελλόντων πρόγνωσιν αὐχῶν ἔτι ἀγνοεῖ, εἰ τάφου τύχοι Ἀχιλλεὺς καὶ εἰ Μουσῶν θρῆνοι καὶ Νηρηίδων ἐπ' αὐτῷ γεγόνασι, καὶ περὶ τούτων αὐτὸν ἀνερωτᾷ καὶ διαπυνθάνεται, εἰ Πολυξένη ἐπισφαγείη αὐτῷ καὶ εἰ Ἑλένη ἐς Τροίαν ἐληλύθοι, ὡς σεμνά γε καὶ κατεπείγοντα εἰς τὸν φιλόσοφον βίον τοῦ ἥρωος τὰ σπουδῆς ἄξια ἐρωτήματα. θαυμάζει δ' ἐπὶ τούτοις, εἰ τοσοῦτοι ἥρωες παρὰ τοῖς Ἕλλησιν ἐνὶ χρόνῳ γεγόνασι καὶ εἰ ἀφίκοιτο ἐς Τροίαν Παλαμήδης. τὸν δὴ θεῶν ὁρωμένων τε καὶ οὐχ ὁρωμένων ὁμιλητὴν τοιαῦτα ἀγνοεῖν, καὶ περὶ τοιούτων ἀνερωτᾶν, ποίας οὐχὶ γένοιτ' ἂν αἰσχύνης; εἰ μὴ ἄρα, ἐπειδὴ νεκροῖς ὁμιλῶν εἰσῆκται, ἐπὶ τὸ ψυχρότερον μεταποιεῖ τὰς πεύσεις ὁ συγγραφεύς, ὡς ἂν ὑπεκλύσειε τὴν ὑπόνοιαν τοῦ πέρα τῶν προσηκόντων αὐτὸν περιειργάσθαι δοκεῖν. καὶ γὰρ δὴ καὶ ἀπολογούμενον αὐτὸν ὑπογράφει, ὅτι μὴ κατὰ νεκρομαντείαν ὁ τρόπος αὐτῷ τῆς φανείσης ὄψεως γένοιτο, „οὔτε γὰρ βόθρον" εἶπεν „Ὀδυσσέως ὀρυξάμενος, οὐδ' ἀρνῶν αἵμασι ψυχαγωγήσας, ἐς διάλεξιν τοῦ Ἀχιλλέως ἦλθον, ἀλλ' εὐξάμενος ὁπόσα τοῖς ἥρωσιν Ἰνδοὶ φασι δεῖν εὔξασθαι." καὶ ταῦτα νῦν πρὸς τὸν ἑταῖρον ἀποσεμνύνεται ὁ μηδὲν μαθεῖν παρ' Ἰνδῶν, μηδὲ ζηλῶσαι τὴν παρ' αὐτοῖς σοφίαν πρὸς τοῦ συγγραφέως μεμαρτυρημένος.
29 τί δῆτα οὖν, ὦ οὗτος, εἰ μή τις ἦν κακοήθης περιεργία, μηδὲ τὸν ἕνα σοι καὶ γνήσιον καὶ μόνον ἑταῖρον Δάμιν κοινωνὸν ἐποιοῦ τῆς θαυμαστῆς ταύτης ὄψεώς τε καὶ ὁμιλίας; τί δ' οὐχὶ καὶ δι' 451

εἴ ὅτι τε

2. φέρε δὴ οὖν. E. 3. τινι. p ex corr. ib. δὴ. p ex corr. 4. γοητείας . p ex corr. ib. ἔμπλεον. E. 8. πρὸς αὐτοκρ. E. ib. Δομητιανὸν, ut ubique, p. 9. τοῦ λοιμοῦ. π. λοιμοῦ. ς. ib. πτωχῷ ὧδε ἀγείροντι. C, E. πτωχῷ ὧδε γέροντι. conj. Holst. Sc. πτωχῷ δὲ γέροντι. cf. V, A. 68, 11. 11. ζωῖον. p. ζώων. E. ib. ὑποπίπτοντα. E. 12. παραπτύοντα. E, nescio an non p. ib. ὡς. E. 16. γεγόνοι. C, E. Sc. γεγόνει. 20. τάττουσα. p. 21. ξυγχωρεῖεν. o. ib. ἀνέρεσθαι. E. 23. Νηρείδων. p. 24. ἐπισφάγη. C, E. Sc. ἐπισφαγείη. ib. ἐληλύθει. E. 25. ἥρωος. p. Διὸς. a, m, h. δίου. o. 26. Malim ἀφίκετο. 27. τούτων. E et p pr. m. τοιούτων. π. p ex corr. 28. ἄρα. p. 29. ὑπεκλύσοι. C, E. Sc. ὑπεκλύσειε. 32. εἰς. π. ib. ἔλθοι. C, a, m, h. ἦλθον. o. 33. εὔξασθαι δεῖν. E. 35. δῆτα. p. 36. κοινὸν. E.

9. cf. 159, 11. 17. cf. 70, 24. 18. cf. 70, 32. 20. cf. 71, 2 – 23. 26. cf. 18, 15. 31. cf. 70, 18.

450. 451. 28, 29.

ἡμέρας τοῦτο ποιεῖν ἐξῆν, ἀλλὰ τῶν νυκτῶν ἀωρὶ καὶ μόνον; τί δὲ καὶ ἤλαυνον τὴν τοῦ ἥρωος ψυχὴν ἀλεκτρυόνων βοαί; „ἀπῆλθε γὰρ" φησι „ξὺν ἀστραπῇ μετρίᾳ, καὶ γὰρ δὴ καὶ ἀλεκτρυόνες ἤδη ᾠδῆς ἥπτοντο." δαίμοσι μὲν οὖν πονηροῖς γένοιτ' ἂν ἴσως ὁ τῆς ὥρας ἐπιτήδειος εἰς περιέργους ὁμιλίας καιρός, ἀλλ' οὐχὶ ἡρωίδι ψυχῇ, ἣν τῆς παχείας τοῦ σώματος ἐλευθερωθεῖσαν ὕλης ἀγαθὴν καὶ πανάρετον εἶναι χρεών. ὅ γε μὴν εἰσηγμένος ἐνταῦθα δαίμων βάσκανος καὶ φθονερὸς τὸν τρόπον ὀργίλος τε καὶ ταπεινὸς τὴν διάθεσιν ὑποτετύπωται. ἢ οὐχὶ τοιοῦτος ὁ τὸν Ἀντισθένην μειράκιόν τι σπουδαῖον ὡς ἂν δὴ φιλοσόφῳ συνέπεσθαι τῷ Ἀπολλωνίῳ πειρώμενον ἀπείργων; προστάττει γὰρ τὸ μὴ ποιεῖσθαι αὐτὸν συνέμπορον τῆς ἑαυτοῦ φιλοσοφίας ἐπιλέγων τὴν αἰτίαν· „Πριαμίδης τε γὰρ „φησιν" ἱκανῶς ἐστι καὶ τὸν Ἕκτορα ὑμνῶν οὐ παύεται". πῶς δὲ οὐκ ὀργίλος καὶ ταπεινὸς ὁ Θετταλοῖς, ὅτι μὴ θύοιεν αὐτῷ, θυμούμενος καὶ Τρωσίν, ὅτι δὴ πρὸ μυρίων ὅσων ἐτῶν εἰς αὐτὸν διημαρτήκασι, μὴ καταλλασσόμενος καὶ ταῦτα θύουσι καὶ συνεχῶς σπενδομένοις, ἀλλὰ καὶ τὸν Παλαμήδους τάφον αὐτῷ ἀγάλματι φαύλως ἐρριμμένῳ ἀναλαβεῖν ἐγκελευόμενος; τὸ μέντοι πέμπτον καὶ ἕκτον θαῦμα οὐ πολλῆς δέοιτο τοῦ λόγου διατριβῆς εἰς ἔνδειξιν τῆς τοῦ γράφοντος εὐχερείας· δαίμονας γὰρ ἀπελαύνει ἄλλῳ ἄλλον, ἤ φασι, δαίμονι, τὸν μὲν γὰρ ἐξ ἀκολάστου μειρακίου, τὸν δὲ ἐπιπλάστως εἰς γυναικείαν μορφὴν σχηματιζόμενον, τουτονὶ δὲ τὸν δαίμονα ἔμπουσαν καὶ λάμιαν αὐτοῖς ὀνόμασιν ὁ σοφώτατος ἀποκαλεῖ. τό γε μὴν ἐπὶ τῆς Ῥωμαίων πόλεως μετὰ ταῦτα κόριον, ὅ τι δὴ μετὰ θάνατον ἐπὶ δευτέραν ζωὴν ἤγαγεν, ἀπιστότατον καὶ αὐτῷ δόξαν τῷ Φιλοστράτῳ παραιτητέον. ἐν δισταγμῷ μέντοι ἀμφιβάλλει, μὴ ἄρα σπινθήρ τις ψυχῆς ἐνυπάρχων τῇ παιδὶ τοὺς θεραπεύοντας ἐλελήθει. λέγεσθαι γάρ φησιν, „ὡς ψακάζοι μὲν ὁ Ζεύς, ἡ δὲ ἀτμίζοι ἀπὸ τοῦ προσώπου." καὶ γὰρ δὴ εἰ ἀληθῶς αὐτῷ τοιόνδε ἐπ' αὐτῆς Ῥώμης ἐπέπρακτο, οὐκ ἂν ἐλελήθει βασιλέα τε πρῶτον καὶ τοὺς μετ' αὐτὸν ὑπάρχους ἅπαντας, μάλιστα δὲ τὸν φιλόσοφον Εὐφράτην ἐγχωριάζοντα κατ' ἐκεῖνο καιροῦ καὶ ἐπὶ τῆς Ῥώμης διατρίβοντα, ὃς δὴ εἰς ὕστερον τὴν κατ' αὐτοῦ κατηγορίαν, ὡς δὴ κατὰ γόητος, ὑποβάλλειν ἱστόρηται. πάντως γὰρ ἂν καὶ τοῦτο, εἰ δὴ τοῦτο γεγονὸς ἦν, ταῖς ἄλλαις κατ' αὐτοῦ διαβολαῖς πρὸς τοῦ κατηγόρου συγκατείλεκτο. καὶ τὰ μὲν ἐν μέρει καὶ κατ' εἶδος αὐτῷ πεπραγμένα τοσαῦτα, μυρία δὲ καὶ ἄλλα κατὰ πρόγνωσιν αὐτὸν λέγειν προμαντεύσασθαί τε καὶ προειρηκέναι γράφει, καὶ ὡς Ἀθήνησι βουληθέντα μυηθῆναι τὰ Ἐλευσίνια ὁ τῇδε εἶρξεν ἱερεὺς μὴ ἂν ποτε φήσας μυήσεσθαι γόητα, μηδὲ τὰ Ἐλευσίνια ἀνοῖξαι ἀνθρώπῳ μὴ καθαρῷ τὰ δαιμόνια. ἀλλὰ καὶ τῷ ἀσελγῶς ἀγείροντι κατὰ τὴν Ῥώμην καὶ τὰς Νέρωνος μετὰ κιθάρας ἐπὶ μισθῷ διεξιόντι ᾠδὰς μισθὸν ἐπιδοῦναι τοῖς ἑταίροις τῆς σοφῆς ταύτης ἐπιτηδεύσεως ὁ φιλοσοφώτατος διὰ τὸν Νέρωνος φόβον προστάττει.

Ἐν τούτοις καὶ τοῦ τετάρτου περιγραφέντος ἐν τῷ πέμπτῳ τῆς περὶ αὐτοῦ γραφῆς εἰπών τινα περὶ προγνώσεως αὐτοῦ καὶ ἀποθαυμάσας ὁ συγγραφεὺς ἐπιλέγει ταῦτα κατὰ λέξιν „ὅτι μὲν δὴ τὰ τοιαῦτα δαιμονία κινήσει προέλεγε καὶ ὅτι τοῖς γόητα ἡγουμένοις τὸν ἄνδρα οὐχ ὑγιαίνει ὁ λόγος, δηλοῖ μὲν καὶ τὰ εἰρημένα, σκεψώμεθα δὲ κἀκεῖνα· οἱ γόητες, ἡγοῦμαι δὲ αὐτοὺς ἐγὼ κακοδαιμονεστάτους ἀνθρώπων, οἱ μὲν ἐς βασάνους εἰδώλων χωροῦντες, οἱ δ' ἐς θυσίας βαρβάρους, οἱ δὲ ἐς τὸ ἐπᾷσαί τι ἢ ἀλεῖψαι μεταποιεῖν φασι τὰ εἱμαρμένα, ὁ δὲ εἵπετο μὲν τοῖς ἐκ Μοιρῶν καὶ προέλεγεν, ὡς ἀνάγκη ἔσεσθαι αὐτά, προέλεγε δὲ οὐ γοητεύων, ἀλλ' ἐξ ὧν οἱ θεοὶ ἔφαινον, ἰδὼν δὲ παρὰ τοῖς Ἰνδοῖς τοὺς τρίποδας καὶ τοὺς οἰνοχόους καὶ ὅσα αὐτόματα ἐσφοιτᾶν εἶπον.

ἦν

1. ἐξῆν ποιεῖν. E. ib. ἀωρεὶ. p. ib. τί δαὶ. p. 4. τῆς. p ex corr. 5. ἀγαθὴν et mg. γρ. ἀρετῶσαν. p. 6. τὸν Ἀντισθένη. p. 7. ἀπείργοι. p. 9. πῶς δαὶ. p. 11. διήμαρτον et διημαρτήκασι in mg. p. 12. ἐρριμμένον. o. 13. Fo: οὐ πολλῆς ἂν. ib. δέοι . p ex corr. 14. γραφέντος. o. 15. δὲ. p. ib. γυναικείαν. E. 16. ἔμπουσαν. p. ib. λαμίαν. E. 19. τῆς ψυχῆς. E. 20. ψεκάζοι. E. ib. αὐτὸ. C, E. Sc. αὐτῷ. ib. τὸ τοιόνδε. p ex corr. 21. αὐτῶν. p. ib. ἅπαντας ὑπάρχους. E. 26. καὶ κατὰ. E. 27. εἶρξεν ὁ ἱερεύς. E. ib. Fo: μυῆσαι. 32. γνώσεως. E. 34. δὲ. p. 36. τὰ εἰρημένα. p, a, m, h, non π, o. 38. ἰδών τε. E.

2. cf. 71, 30. 6. cf. 69, 14. 10. cf. 70, 32 — 71, 2. 12. cf. 71, 28. 14. cf. 73, 2. 15. cf. 75, 13. 16. cf. 75, 32. 17. cf. 85, 1. 27. cf. 72, 17. 28. cf. 82, 7. 31. cf. 90, 3.

452, 453, 30, 31.

οὔθ' ὅπως σοφίζοιντο αὐτὰ ἤρετο, οὔτε ἐδεήθη μαθεῖν, ἀλλ' ἐπῆνει μέν, ζηλοῦν δὲ οὐκ ἠξίου." ταῦτα δὲ λέγων δῆλός ἐστι τοὺς περιβοήτους Ἰνδῶν φιλοσόφους γόητας ἀποφαίνων. περὶ γάρ τοι γοήτων ποιούμενος τὸν λόγον μνημονεύει καὶ τούτων σοφίζεσθαι τὰ δὴ παράδοξα λέγων αὐτοὺς καὶ τόν, περὶ οὗ ὁ λόγος, τῆς τοιασδὶ αὐτῶν σοφιστείας ὡς ἂν μὴ ἀστείας ἀλλότριον ὑποτιθέμενος. οὐκοῦν εἰ φαίνοιτο τούτους θεοὺς ἀποκαλῶν καὶ διδασκάλους ἐπιγραφόμενος αὐτοὺς ὁ Ἀπολλώνιος, ὥρα ταῖς κατὰ τῶν διδασκάλων καὶ αὐτὸν ὑπάγειν διαβολαῖς. εἰσῆκται δὴ οὖν παρ' οἷς φησι γυμνοῖς Αἰγυπτίων, ῥήμασιν αὐτοῖς ταῦτα φάσκων· „οὐκ ἀπεικός τι παθεῖν μοι δοκῶ φιλοσοφίας ἡττηθεὶς εὖ κεκοσμημένης, ἣν ἐς τὸ πρόσφορον Ἰνδοὶ στείλαντες ἐφ' ὑψηλῆς τε καὶ θείας μηχανῆς ἐκκυκλοῦσιν. ὡς δὴ ἐν δίκῃ μὲν ἡγάσθην, ἐν δίκῃ δὲ ἡγοῦμαι σοφούς τε καὶ μακαρίους, ὥρα μανθάνειν." καὶ μετὰ βραχέα φησίν· „οὗτοι μὲν γὰρ θεοί τέ εἰσι καὶ κεκόσμηνται κατὰ τὴν Πυθίαν." καὶ Δομετιανῷ δὲ εἰσῆκται λέγων „καὶ τίς πρὸς Ἴαρχαν σοι πόλεμος ἢ πρὸς Φραώτην τοὺς Ἰνδούς; οὓς ἐγὼ μόνους ἀνθρώπων θεούς τε ἡγοῦμαι καὶ ἀξίους τῆς ἐπωνυμίας ταύτης;" καὶ ἐν ἄλλοις δὲ ὁμοίως θεούς τε καὶ διδασκάλους τἀνδρὸς ἐπιγράψας ὁ λόγος τοὺς δεδηλωμένους δακτυλίους τε παρ' αὐτῶν εἰληφέναι ὁμολογήσας αὐτὸν ἐπιλέλησται νῦν καὶ συνδιαβάλλων τοῖς διδασκάλοις τὸν μαθητὴν οὐκ ἐπαίει. ὑποβὰς δ' ἐν τῇ γραφῇ αὐλητὴν ὑποτίθεται καὶ τὸν Ἀπολλώνιον ὥσπερ τινὸς οὔσης μεγίστης καὶ σοφωτάτης ἐπιστήμης τρόπους αὐλήσεως μάλα σπουδαίως μακροῖς τοῖς διηγήμασιν εἴροντα διεξέρχεται, καὶ αὐτοκράτορα Οὐεσπασιανὸν οἷα δὴ θεῷ προσεύξασθαι αὐτῷ ἱστορεῖ, καὶ τὸν μὲν ὡς εὐχῇ εἰρηκέναι τὸν Οὐεσπασιανόν· „ποίησόν με βασιλέα," τὸν δὲ ἀποκρίνασθαι· „ἐποίησα." καὶ τίς οὐκ ἂν μισήσειεν εὐλόγως τῆς ἀλαζονείας τὴν φωνὴν μανίας τὸ μηθὲν ἀποδέουσαν, ὅτε γε ἤδη αὐτὸς θεὸς καὶ βασιλέων ποιητὴς εἶναι φρυάττεται ὁ τῆς Αἰγυπτίας κυβερνήτης νεώς; τοῦτο γὰρ αὐτὸς ἑαυτὸν ὁ Ἀπολλώνιος γεγονέναι τὴν ψυχὴν ἐν ταῖς πρὸς τὸν Ἰνδὸν ὁμιλίαις μικρῷ πρόσθεν ἡμῖν δεδήλωκε. τῷ δ' αὐτῷ βασιλεῖ, οὓς ἂν αὐτὸς δοκιμάζοι τῶν φιλοσόφων συμβούλους τῶν πρακτέων, γνωρίσαι αὐτῷ ἀξιοῦντι κατὰ λέξιν φησίν· „ἀγαθοὶ δὲ τούτων σύμβουλοι καὶ οἵδε οἱ ἄνδρες, τὸν Δίωνα δείξας καὶ τὸν Εὐφράτην μήπω αὐτῷ ἐς διαφορὰν ἥκοντα." καὶ αὖθις, „ὦ βασιλεῦ, εἶπεν, Εὐφράτης καὶ Δίων πάλαι σοι γνώριμοι ὄντες πρὸς θύραις εἰσὶν οὐκ ἀφρόντιδες τῶν σῶν. κάλει δὴ κἀκείνους ἐς κοινὸν λόγον, σοφῷ γὰρ τῷ ἄνδρε." πρὸς ἃ Οὐεσπασιανὸς „ἀκλείτους" ἔφη „θύρας παρέχω σοφοῖς ἀνδράσιν". εὖγε τῆς προγνώσεως τοῦ ἥρωος· Εὐφράτης νῦν ἀγαθός τε καὶ σοφός, ἐπεὶ μὴ ἐς διαφοράν πω αὐτῷ ἐληλύθει, εἰ δ' ἔλθοι — ὅσον οὔπω δὲ τοῦτ' ἔσται — ὅρα οἷα περὶ αὐτοῦ ὁ αὐτὸς πρὸς Δομετιανὸν γράφει· „καὶ μὴν ὁπόσα γίγνεται φιλοσόφῳ ἀνδρὶ κολακεύοντι τοὺς δυνατοὺς δηλοῖ τὰ Εὐφράτου· τούτῳ γὰρ ἐντεῦθεν, τί λέγω χρήματα; πηγαὶ μὲν οὖν εἰσι πλούτου, κἀπὶ τῶν τραπεζῶν ἤδη διαλέγεται κάπηλος ὑποκάπηλος τελώνης ὀβολοστάτης πάντα γιγνόμενος τὰ πωλούμενά τε καὶ πωλοῦντα, ἐντετύπωται δὲ ἀεὶ ταῖς τῶν δυνατῶν θύραις καὶ προσέστηκεν αὐταῖς πλείω καιρὸν ἢ οἱ θυρωροί, ἀπελήφθη δὲ καὶ ὑπὸ τῶν θυρωρῶν πολλάκις, ὥσπερ τῶν κυνῶν οἱ λίχνοι, δραχμὴν δὲ οὐδὲ φιλοσόφῳ ἀνδρί ποτε προέμενος ἐπιτειχίζει νῦν τὸν ἑαυτοῦ πλοῦτον ἑτέροις τὸν Αἰγύπτιον τουτονὶ βόσκων χρήμασι καὶ ὀξύνων ἐπ' ἐμὲ γλῶτταν ἀξίαν ἐκτετμῆσθαι. Εὐφράτην μὲν δὴ καταλείπω

454

455

3. Fo: δὴ τὰ. 4. καὶ τῶν. p. ib. τοιᾶς δ'. E. ib. σοφιστίας. p. 8. εἰς. C. 9. οὓς δὴ. p, π. 10. καὶ μετὰ. sic corr. p. καὶ ᾱ μετὰ. π. 11. πόλεμος καὶ Φρ. E. ib. Φοραώτην. p, π. 14. αὐτὸν. p in mg. 17. Οὐεσπεσιανὸν. p. 18. τὸν Οὐεσπασιανόν om. E. ib. ποιήσωμεν et corr. ποίησόν με. p. 19. ἀποκρίνεσθαι. p. ib. ἀλαζονίας. p. 24. αὐτὸν. p, m. 27. ἀκλειστοὺς. E. 28. ἐληλήθει. E. 30. γίγνεται. p, π. 31. ἅπληστα χρήματα a, h, et m, ubi γρ. τί λέγω χρ. ib. καὶ περὶ. C, a, m, h. 32. πάντα τι γινόμενος. p. 33. ἐν ταῖς. E. ib. προίστηκεν. a, m, h. 34. ἀπελείφθη. p, π. ἀπειλήφθη. a, m. ib. δραγμὴν. p, π. 35. νῦν om. o. ib. ἑτέροις. p. 36. γλῶτταν. p, π. γλῶσσαν. K.

7. cf. 113, 16. 10. cf. 114, 27. 15. cf. 93, 23. 18. cf. 96, 19. 21. cf. 52, 30. 23. cf. 96, 26. 25. cf. 97, 30. 30. cf. 160, 32.

454, 455, 32, 33.

σοί, σὺ γάρ, ἢν μὴ κόλακας ἐπαινῇς, εὑρήσεις τὸν ἄνθρωπον κακίω ἢ ἑρμηνεύω." ὁ δὴ πρὸς τὸν πατέρα τὸν Οὐεσπασιανὸν σοφὸν καὶ ἀγαθὸν τὸν Εὐφράτην μαρτυρόμενος, πρὸς δὲ τὸν υἱὸν ταῦτα περὶ αὐτοῦ διεξιὼν δῆλος ἂν εἴη τὸν αὐτὸν ἐπαινῶν τε καὶ ψέγων. ἆρ' οὖν ὁ τὴν τῶν μελλόντων προειληφὼς γνῶσιν ἠγνόει, ὅς ἦν τε καὶ ἔσται τὸν τρόπον ὁ Εὐφράτης; καὶ γὰρ οὐ νῦν πρῶτον, ἀλλὰ καὶ ἐπ' αὐτοῦ Οὐεσπασιανοῦ διαβάλλειν αὐτὸν ὡς δὴ τὸ ἦθος μοχθηρότατον βούλεται. πῶς δὴ οὖν τὸν τοιόνδε συνίστη βασιλεῖ, ὡς καὶ ἀκλείτους αὐτῷ διὰ τὰς παρ' αὐτοῦ συστάσεις τῶν βασιλείων ἀναπεπετάσθαι τὰς πύλας; ἀλλὰ γὰρ καὶ τυφλῷ, φασί, δῆλον, ὡς ἄρα πρόγνωσιν μὲν συκοφαντεῖται πρὸς τοῦ συγγραφέως ὁ ἄνθρωπος, εἴη δ' ἂν ἄλλως γενναῖος, πάλαι μὲν πρὸ πείρας ἀφθόνως ἑταίροις, ἀτὰρ καὶ τῷ Εὐφράτῃ τῆς εἰς τὰ βασίλεια παρόδου κοινωνῶν, ὕστερον δὲ τῆς διαφορᾶς ἕνεκα τοιαῦτα περὶ αὐτοῦ λέγων. οὕπω μοι διαβάλλειν ὁ λόγος βούλεται τὸν ἄνδρα, ὡς ἂν τὸν Εὐφράτην συκοφαντοῦντα φιλοσόφων γενόμενον τῶν καθ' ἑαυτὸν ἐπιδοξότατον, ὡς καὶ ἐς δεῦρ', οἷς μέτεστι φιλοσοφίας, ᾄδεσθαι, ὃ καὶ μέγιστον λάβοι ἄν τις, εἰ βούλοιτο, παράδειγμα τῆς κατὰ τοῦ Ἀπολλωνίου διαβολῆς. εἰ γὰρ ὁ Εὐφράτης παρὰ τοῖς πᾶσι φιλοσοφίᾳ διαπρέψαι ὁμο-
456 λογηθείη, ὥρα μισοπονηρίαν μὲν ἐκείνου κατηγορεῖν ἐπεξιόντος τοῖς ἀτόπως ὑπὸ τοῦδε δρωμένοις, τουτονὶ δὲ πρὸς ἐκείνου κατηγορούμενον φαύλην περιβάλλεσθαι δόξαν, ὅτι δὴ μὴ τὸν ἀρέσκοντα τῷ φιλοσόφῳ μετῄει βίον.

Πάλιν ἐν τῷ ἕκτῳ παραδοξολογῶν ὁ μυθολόγος ἄγει μὲν αὐτὸν ἅμα τοῖς ἑταίροις καμήλῳ 31
ὀχούμενον ἐφ' οὗς φησιν Αἰγυπτίων γυμνοὺς φιλοσόφους, ἔνθα δὴ προστάξαντος τοῦ Γυμνοῦ πτελέα, φησί, τὸ δένδρον προσαγορεύει τὸν Ἀπολλώνιον ἐνάρθρῳ καὶ θήλει τῇ φωνῇ, καὶ τού-
τοις γε ἡμᾶς ὁ Φιλαλήθης πιστεύειν ἀξιοῖ. εἶτα Πυγμαίους ἄνδρας ὑπὲρ τὴν τούτων ἱστορεῖ χώραν καὶ Ἀνθρωποφάγους καὶ Σκιάποδας σάτυρόν τε πρὸς τοῦ Ἀπολλωνίου μεθυσκόμενον. ἐξ ἐκείνων δ' αὖθις ἐπάνεισιν ἐπὶ τὴν Ἑλλάδα, ὁμιλίαι τε πάλιν αὐτῷ καὶ προγνώσεις ἀνακοινοῦνται πρὸς Τίτον, καὶ δηχθέντα ἔφηβον ὑπὸ λυττῶντος κυνός, ὃν δὴ καὶ ἐμαντεύσατο, ὅς τις εἴη τὴν ψυχήν, ὅτι ὁ τῆς Αἰγύπτου ποτὲ βασιλεὺς Ἄμασις, τῆς συμφορᾶς ἀπαλλάττει, μέχρι καὶ τοῦ κυνὸς
ἐπιτείνας τὸ φιλάνθρωπον. ταυτὶ μὲν οὖν τὰ πρὸ τῆς κατηγορίας αὐτῷ πεπραγμένα, ἐπιστῆσαι δ' 35
ἄξιον δι' ὅλης τῆς πραγματείας, ὡς ὅτι κἂν ἀληθεύειν δοθῇ τῷ συγγραφεῖ τὰ παράδοξα, συνεργίᾳ δαίμονος ἕκαστον αὐτῷ διαπεπρᾶχθαι τούτων σαφῶς δείκνυται. τό τε γὰρ τοῦ λοιμοῦ προαισθέσθαι ἴσως μὲν οὐκ ἀπερίεργον δόξειεν, εἰ [καθὼς αὐτός] ἀπὸ λεπτοτάτης καὶ καθαρᾶς διαίτης κατείληπτο, ὡς αὐτὸς ἔφησεν, ἴσως δὲ καὶ αὐτὸ ἐξ ὁμιλίας δαίμονος αὐτῷ προμεμήνυτο. καὶ γὰρ
δὴ καὶ τὰ λοιπά, ὅσα κατὰ πρόγνωσιν διειλημμένως τε καὶ προειρημένως εἰσῆκται, εἰ καὶ μυρίοις ἐλέγχοις ἐξ αὐτῆς πάρεστι τῆς τοῦ Φιλοστράτου γραφῆς εὐθύνειν, ὅμως ἵνα συγχωρηθείη καὶ τοῦτ' εἶναι ἀληθές, κατὰ περίεργον μηχανὴν εἴποιμ' ἂν πρὸς δαίμονος αὐτῷ παρέδρου τινὰ τῶν μελλόντων, οὐδὲ γὰρ πάντα, κατειλῆφθαι. τοῦτο δὲ παρίστησι σαφὲς τὸ μὴ δι' ὅλου καὶ περὶ πάντων
457 τὴν πρόγνωσιν αὐτὸν ἀποσώζειν, ἀπορεῖν δὲ ἐν πλείστοις καὶ πυνθάνεσθαι δι' ἄγνοιαν, ὅπερ οὐκ ἄν, εἰ θείας ἀρετῆς μετῆν αὐτῷ, πεπόνθει. καὶ αὐτὸ δὲ τὸ παῦσαι τὸν λοιμόν, ὁποῖον εἴληχε τὸ δρᾶμα, ὅτι φάσμα καὶ οὐδέν τι πλέον ἦν, προδεδήλωται. ἀλλὰ καὶ ἡ ψυχὴ Ἀχιλλέως παρὰ τῷ αὐτοῦ μνήματι τί ἂν διατρίβοι τὰς ἐν μακάρων νήσοις, ὡς ἂν φήσειέ τις, ἀπολείπουσα διαγωγάς, εἰ μὴ καὶ τοῦτο δαίμονος ἦν ἐπιφανείας παρουσία. καὶ τοῦ ἀσελγοῦς δὲ μειρακίου σαφῶς ἔνοικον

1. ἢ ἑρμηνεύων. π. 3. ἆρ' οὖν. E. 4. τὸν τρόπον om. E. 6. τὸν om. E. ib. ἀκλείστους. E. 8. πολὺ μὲν. o. ib. προπείρας. p, o. πρὸ πείρας. a, m. 9. ἀφθόνως ἑταίροις. p. ἑταίροις. E. ib. τῆς om. E. 11. γενομένων. a, m. Deest participium in o. 13. εἰ γὰρ οὖν. p. ib. Fo: παρ' αὐτοῖς πάσῃ. 14. μὲν τοῖς. p. 19. Θηλείᾳ. E. 22. καὶ προγνώσεις et mg. γρ. κατὰ πρόγνωσιν. p. ib. ἀνακινοῦνται. p. 26. συνεργίᾳ. p. 28. οὐκ ἀπερίεργον δόξειεν C, E. Fo: οὐδὲ περίεργον δόξειεν ἄν. ib. καθὼς αὐτὸς ex inferioribus huc irrepsisse ratus inclusi. 30. πρόγνωσιν δ' εἰλημμένως. E. 35. πεπόνθοι. C, E. Sc. πεπόνθει. 36. ἀλλὰ καὶ ψυχὴ et ὅτι ἡ in mg. p. 37. καὶ fuit in p ante τὸν. ib. ἀπολειποῦσα. E.

5. cf. 103, 10. 15. cf. 110, 7. 20. cf. 123, 5. 21. cf. 123, 30. 22. cf. 124, 24. 23. cf. 129, 16. 28. cf. 152, 5.

456, 457, 31, 35.

δαίμονα, καὶ πάλιν, ἣν ἔφησεν ἐμπουσάν τε καὶ λάμιαν ἐμπεπαρῳνηκέναι τῷ Μενίππῳ, μείζονι τάχ' ἴσως ἐξελήλακε δαίμονι, ὁμοίως τε αὖ καὶ τὸν τὰς φρένας παρατραπέντα νεανίαν ὑπὸ τοῦ λυττῶντος κυνὸς αὐτόν τε τὸν δαιμονῶντα κύνα τῇ αὐτῇ μετήλλαξε μεθόδῳ. ὅρα δὴ οὖν, ὡς ἔφην, τὴν πᾶσαν αὐτῷ παραδοξοποιίαν, ὡς διὰ δαιμονικῆς ἀπετελεῖτο ὑπουργίας. τὸ γὰρ τῆς ἀναβιωσάσης κόρης, εἴτ' ἔμπνους ὑπῆρχε σπινθῆρα ψυχῆς κατὰ τὸν συγγραφέα καὶ ἰκμάδα ἐπὶ τοῦ προσώ- 5
που φέρουσα, περιαιρετέον τῆς θαυματοποιίας, οὐ γὰρ ἄν, ὡς καὶ πρόσθεν ἔφην, σιωπῇ τὸ τη-
36 λικοῦτο παρεδύθη ἐπ' αὐτῆς Ῥώμης βασιλέως ἐπιπαρόντος γεγενημένον. μυρία μὲν οὖν καὶ ἄλλα πάρεστιν ἐκ τῶν αὐτῶν ἀναλέξασθαι συγγραμμάτων τό τε ἐν αὐτοῖς εὐέλεγκτον καὶ ἀσύστατον μυθώδές τε καὶ τερατώδες ἀπευθύνειν. ὅμως, ἐπεί γε οὐδὲ πολλῆς τὰ κατὰ τὸν ἄνδρα δεῖται σπουδαιολογίας, οὐχ ὅτι γε ἐν θείοις καὶ παραδόξοις καὶ θαυμασίοις, ἀλλ' οὐδ' ἐν φιλοσόφοις παρά 10
τισι τῶν νῦν μνήμης ὑπαρχούσης αὐτοῦ τοῖς εἰρημένοις ἀρκεσθέντες μετίωμεν καὶ ἐπὶ τὸ ἕβδομον περὶ αὐτοῦ σύγγραμμα.

37 Κατηγορεῖται δῆτα γοητείαν ὁ ἀνήρ. εἶτα Δημητρίῳ φιλοσόφῳ ἀποτρέποντι αὐτὸν τῆς ἐπὶ τὴν Ῥώμην παρόδου μὴ πειθόμενος ἐπαχθῆ τινα καὶ φορτικὰ περὶ ἑαυτοῦ ὧδέ πως λέγει· „ἐγὼ δὲ γι- 458
γνώσκω μὲν πλεῖστα ἀνθρώπων, ἅτε εἰδὼς πάντα, οἶδα δὲ ὧν οἶδα τὰ μὲν σπουδαίοις, τὰ δὲ σο- 15
φοῖς, τὰ δὲ ἐμαυτῷ, τὰ δὲ θεοῖς." καὶ δὴ ὁ ἐν τούτοις πάντ' εἰδέναι μεγαλαυχούμενος προιὼν ἄγνοιάν τινων πρὸς τοῦ λόγου κατηγορεῖται. εἶτα Δάμις αὐτῷ μεταπλάττεται διὰ θανάτου φόβον τὸν φιλόσοφον ἐπικρυπτόμενος. ἄκουε δ' οὖν τοῦ συγγραφέως, ἃ περὶ αὐτοῦ φησιν ἀπολογούμενος· „αἰτία μὲν ἦδε τοῦ μεταβαλεῖν τὸν Δάμιν τὸ τῶν Πυθαγορείων σχῆμα, οὐ γὰρ κακίᾳ γε αὐτὸ μεθεῖναί φησιν, οὐδὲ μεταγνούς, τέχνην δὲ ἐπαινέσας, ἣν ὑπῆλθεν ἐς τὸ συμφέρον τοῦ 20
38 καιροῦ." ἐπὶ τούτοις ὁ Φιλόστρατος τέσσαρας αἰτίας τὰς δὴ εὐχερεῖς αὐτῷ πρὸς ἀπολογίαν νομισθείσας ἐκτίθησιν ἀπὸ πλείστων καὶ ἄλλων αὐτὰς ὁμολογῶν ἀνειλέχθαι, ὧν ἡ μέν τις ἦν, τί δῆτα μαθὼν οὐ τὴν αὐτὴν ἅπασιν ἔχοι στολήν, ἡ δέ, τοῦ χάριν οἱ ἄνθρωποι θεὸν αὐτὸν νενομίκασι, τρίτην, πόθεν προείποι Ἐφεσίοις τὸν λοιμόν, ἐπὶ ταύταις, τίνι βαδίσας εἰς ἀγρὸν ἀνατέμοι τὸν παῖδα τὸν Ἀρκάδα. πρὸς ταύτας δέ φησι καὶ τὴν ἀπολογίαν αὐτὸν γεγραφέναι. πρότερον δ' 25
ἱστορεῖ δεσμοῖς αὐτὸν παραδοθῆναι καί τι θαυμαστὸν ἐνταῦθα κατεργάσασθαι· τῷ γάρ τοι Δάμιδι μάλα λυπηρῶς, ὡς ἂν ἐπὶ συμφορᾷ τοῦ διδασκάλου, διακειμένῳ αὐτόματον ἐπιδεῖξαι λελυμένον τοῦ δεσμοῦ τὸ σκέλος, εἶτα πάλιν ἀναλαβόντ' αὐτὸν τῆς λύπης ἐνθεῖναι εἰς τὸ πρότερον σχῆμα τὸν πόδα. μετὰ τοῦτο κρινόμενον αὐτὸν ἐπὶ βασιλέως Δομετιανοῦ γράφει [εἶτα δὴ] τῶν ἐγκλημάτων ἀπολυθῆναι καὶ μετὰ τὴν τῶν ἐγκλημάτων λύσιν οὐκ οἶδ' ὅπως ἀκαίρως, μοι δοκεῖν, ἐν τῷ δικα- 30
στηρίῳ αὐτὰ δὴ ταῦτα ἀναφωνῆσαι „δός, εἰ βούλει, κἀμοὶ τόπον, εἰ δὲ μή, πέμπε τὸν ληψόμενόν μου τὸ σῶμα, τὴν γὰρ ψυχὴν ἀδύνατον, μᾶλλον δὲ οὐδ' ἂν τὸ σῶμα τοὐμὸν λάβοις,

οὐ γάρ με κτενέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι",

καὶ δὴ ἐπὶ τούτῳ τῷ περιβοήτῳ ῥήματι ἀφανισθῆναι τοῦ δικαστηρίου φησὶν αὐτόν, καὶ ἐν τούτοις 459
τὸ περὶ αὐτοῦ καταστρέφει δρᾶμα. 35

39 Ὁ μὲν οὖν συγγραφεὺς ἐπὶ τοῦ κατὰ τὸ δεσμωτήριον θαύματος κατὰ φαντασίαν, ὡς ἔοικεν, ὑπὸ τοῦ παρέδρου δαίμονος τῷ Δάμιδι ἑωραμένου ἐπιφέρει λέγων „τότε πρῶτον ὁ Δάμις φησὶν ἀκριβῶς ξυνεῖναι τῆς Ἀπολλωνίου φύσεως, ὅτι θεία τε εἴη καὶ κρειττων ἀνθρώπου, μὴ γὰρ θύ-

4. ὑπουργείας. E. 5. Fo: εἴ γ'. 6. τηλικοῦτον. E. 7. ἐπὶ παρόντος. E. 8. πάρεστιν εἰ γρ. περίεστιν. p. 10. θεοῖς. C, E. Sc. θείοις. ib. καὶ παραδόξοις om. p, habet mg. 15. ἅτε δὴ εἰδώς. E. 16. πάντ' εἰδέναι. p, π. πάντα εἰδ. E. 19. μὲν ἦδη. p, π, a, m, h. μὲν ἦδε o. ib. τὸν om. E. ib. Πυθαγορίων. π. ib. οὐ γὰρ κακίᾳ. p ante corr., π. οὐ γὰρ κακίας. p ex corr., a, m, h. οὐ γὰρ ὡς κακίω. o. 20. αὐτὸ. p. ib. μετεῖναι. m, o. ib. μεταγνούς. p, π. μεταγνοὺς αὐτό. E. 22. νομισθεὶς. p pr. m. corr. sec. ib. ὁμολογῶν καὶ ἄλλων αὐτὰς. E. 23. παθών. p, π. 24. ἀνατέμνει. E. 29. Inclusi εἶτα δὴ. 32. δὲ. p. 33. κτεινέεις. p.

1. cf. 75, 33. 2. cf. 129, 16. 3. cf. 85, 1. 14. cf. 135, 29. 19. cf. 138, 8. 21. cf. 151, 37. 25. cf. 148, 13. 31. cf. 152, 21. 37. cf. 148, 16.

σαντά τι, πῶς γὰρ ἂν ἐν δεσμωτηρίῳ; μηδὲ εὐξάμενον, μηδὲ εἰπόντα τι καταγελάσαι τοῦ δεσμοῦ καὶ ἐναρμόσαντα αὐτῷ τὸ σκέλος τὰ τοῦ δεδεμένου πράττειν." ἐγὼ δὲ οὔποτ' ἂν καταγνοίην βραδυτῆτα τοῦ φοιτητοῦ, εἰ τὸν πάντα βίον συνὼν αὐτῷ καὶ διά τινων περιέργων ὁρῶν αὐτὸν ἀποτελοῦντα τὰ παράδοξα οὐδέν τι διαφέρειν αὐτὸν ἡγεῖτο τῆς θνητῆς φύσεως, ἀλλ' ἔτι καὶ νῦν μετὰ τοσαύτην θαυματουργίαν τὰ κατ' αὐτὸν ἀγνοεῖ, εἰκότως δ' ἀγωνιᾷ καὶ δέδιε ὡς ὑπὲρ ἀνθρώπου, μή τι πάθοι παρὰ προαίρεσιν. εἰ δὲ δὴ πρῶτον ἄρτι μετὰ τὴν τοσαύτην διατριβήν, ὅτι δὴ θεῖος εἴη καὶ κρείττονος ἀνθρώπου φύσεως, συνίησι, τὴν τούτου συνιδεῖν ἄξιον αἰτίαν, ἣν αὐτὸς ὁ συγγραφεὺς δηλοῖ λέγων „μὴ γὰρ θύσαντά τι, μηδὲ ἐπευξάμενον, μηδέ τι τῶν ἀπορρήτων εἰρηκότα" τὸ παράδοξον ἰδεῖν αὐτὸν πεποιηκότα. οὐκοῦν τὰ πρότερον διὰ περιέργου μηχανῆς ἐτελεῖτο τῷ ἀνδρί, διὸ μηδὲ καταπλήττεσθαι αὐτά, μηδὲ θαυμάζειν τὸν Δάμιν, εἰκότως δὲ νῦν τοῦτο πρῶτον πέπονθεν, ὡς ξένου τινὸς ὑπ' αὐτοῦ παρὰ τὰ συνήθη διαπεπραγμένου. πρὸς τὸ δειχθὲν δὲ τοῦ δεσμοῦ φάσμα καὶ τὴν ἀπὸ τοῦ δικαστηρίου ἀναχώρησιν τὰς πρὸς Δομετιανὸν αὐτοῦ τοῦ Ἀπολλωνίου φωνὰς παραθείμην ἄν· δεσμοῖς γάρ τοι αὐτὸν παραδοθῆναι προστάξαντος βασιλέως πάνυ γε ἀκολούθως ὁ Ἀπολλώνιος συνελογίσατο ὧδί πως" „εἰ μὲν γόητά με ἦγῃ, πῶς δήσεις; εἰ δὲ δήσεις, πῶς γόητα εἶναι φήσεις;" ἀντικρούσει γοῦν αὐτῷ τις ὧδί πως ἐκ τούτων ὁρμώμενος· εἰ μὲν οὐ γόης, πῶς λέλυταί σου τὸ σκέλος; εἰ δὲ λέλυται, πῶς οὐ γόης; καὶ εἰ τῷ ὑπομεῖναι τὸν δεσμὸν
460 οὐ γόης, τῷ μὴ ὑπομεῖναι καὶ κατ' αὐτὸν ὡμολόγηται γόης. καὶ αὖ πάλιν, εἰ ὑπομείνας τὸ δικαστήριον οὐ γόης, τῷ δὲ διαδρᾶναι τοῦτο καὶ τοὺς ἀμφ' αὐτὸν βασιλέα, λέγω καὶ τοὺς ἐν κύκλῳ δορυφόρους, σαφῶς ἀναπέφανται γόης. ὅθεν, μοι δοκῶ, συνῃσθημένος ὁ λόγος θεραπευει τὸ γεγονὸς ὡς δὴ ἄνευ θυσιῶν καὶ ἐπῳδῶν ἀρρήτῳ τινὶ καὶ ὑπὲρ ἄνθρωπον δυνάμει τοῦ παραδόξου πεφηνότος. ἀλλὰ γὰρ οὐκ ἐς μακρὰν αὖθις ὁ τῆς φύσεως παραστήσεται ἔλεγχος· αὐτίκα γάρ τινος ἐπιστάντος αὐτῷ καὶ φήσαντος „ἀφίησί σε, ὦ Ἀπολλώνιε, τουτωνὶ τῶν δεσμῶν ὁ βασιλεὺς καὶ ἐλεύθερον δεσμωτήριον συγχωρεῖ οἰκεῖν" ὁ κρείττων ἢ ἄνθρωπος καὶ τῶν μελλόντων προγνώστης

κωφοῦ τε ξυνιεὶς καὶ οὐ λαλέοντος ἀκούων

ὑπὸ τῆς ἄγαν, ὡς εἰκός, περιχαρείας ἀποπεσὼν τῆς προγνώσεως πυνθάνεται λέγων „τίς οὖν ὁ μετασκευάσων με ἐντεῦθεν;" ὁ δὲ „ἐγώ," ἔφη „καὶ ἔπου". εἶτα καὶ λόγον ἀπολογίας ὁ θειότατος μάλα γε πεφροντισμένως συντάττει, ἀγνοῶν, ὅτι δῆτα εἰς μάτην αὐτῷ σπουδασθήσεται ἡ γραφή· οἴεται μὲν γὰρ ἀκούσεσθαι αὐτοῦ ἀπολογουμένου βασιλέα, καὶ ὡς ἀκουσομένου γε σφόδρα πιθανῶς παρασκευάζεται τὴν ἀπολογίαν, ὁ δὲ ταύτην μὴ ἀναμείνας εἰς οὐ δέον αὐτοῦ τὴν σπουδὴν
461 κατεστήσατο. ἄκουε δὴ οὖν καὶ περὶ τούτων, οἷά φησιν ὁ ἔλεγχος· „ἐπεὶ δὲ καὶ λόγος αὐτῷ συνεγράφη τις ὡς πρὸς ὕδωρ τὴν ἀπολογίαν ἀφήσοντι, ξυνεῖλε δὲ αὐτὸν ὁ τύραννος ἐς ἃς εἴρηκα ἐρωτήσεις, ἀναγεγράφθω καὶ ὁ λόγος." ὅρα δή, πῶς τοῦ μέλλοντος πορρωτάτω τυγχάνων ὁ πάντα θειότατος μετὰ πλείστης ὅσης φροντίδος ὡς πρὸς ὕδωρ τὴν ἀπολογίαν ποιησόμενος ἐσπούδαζεν.

Ἀλλὰ γὰρ διεξιτητέον καὶ τὴν εἰς μάτην αὐτῷ πεποιημένην ἀπολογίαν, ἅ, ὡς πολλὰ καὶ ἄλλα ἐν ταύτῃ, Δομετιανῷ προσφωνῶν ἀπανθαδίζεται λέγων, ὡς ἄρα Οὐεσπασιανὸς „σε μὲν βασιλέα ἐποίησεν, ὑπ' ἐμοῦ δὲ ἐγένετο." βαβαὶ τῆς ἀλαζονείας, ἣν οὔτι γε ὁ τυχών, ἀλλ' οὐδὲ εἰ φιλόσοφός τις ἀληθῶς καὶ τὴν ἀνθρωπείαν ὑπεραίρων ἐγεγόνει φύσιν, ἐτερατεύσατο ἂν μὴ οὐχὶ δίκην ἀνοίας παρὰ τοῖς ἔμφροσιν ὑποσχών. εἶτα δὲ τῆς κατ' αὐτὸν ὑποψίας ἑαυτὸν ἀπολυόμενος ταῦτα

1. ἂν om. E, habent p, π. 2. βραδυτῆτος. p. βραδύτητα. E. Sc. βραδυτῆτα. 5. δὲ. E. ib. δέδειεν. p. 10. Excidit verbum, e. g. φησὶ. 14. ξυνελογίσατο. p. 17. καὶ κατ' αὐτὸν. p. κατ' αὐτὸν. E. 19. ἐναπέφηνεν ὁ γόης. E. ἀναπέφηνεν ὡς γόης. p, ubi mg. ἀναπέφανται. ib. Fo: ὦ δή, μοι δοκεῖν. 21. παραθήσεται. E. 23. προγνωστής. E. 26. με. p. μ'. E. 27. συντάττει πιφρ. E. 28. ἀκουσθήσεσθαι. C, E. Sc. ἀκούσεσθαι. ib. βασιλέως. E. 29. ἐς οὐδὲν. E. 30. φησιν μαρτυρῶν, et adscr. ὁ ἔλεγχος. p. ib. ἐπειδὴ δὲ. E. ib. ξυνέγρ. π. 31. ὥσπερ ὕδωρ. a, m. 33. ποιησάμενος p, π. 36. βαβαὶ et mg. γρ. παπαί. p. 37. καὶ κατὰ ἀνθρωπείαν. E. 38. Fo: παρασχών.

3. cf. 148, 18. 14. cf. 146, 22. 22. cf. 149, 5. 30. cf. 152, 31. 35. cf. 154, 9.

460, 461, 10—42.

περὶ γοήτων φησίν· „ἀλλὰ τοὺς γόητας ψευδυσόφους φημί, τὰ γὰρ οὐκ ὄντα εἶναι παρ' αὐτοῖς, καὶ τὰ ὄντα ἄπιστα εἶναι." καταμάθοι δ' οὖν τις ἔκ τε τῆς ὅλης πραγματείας καὶ τῶν ἐν μέρει δεδηλωμένων, πότερα ἐν θείοις καὶ φιλοσόφοις ἢ ἐν γόησιν αὐτὸν κατατακτέον, ἐπιστήσας οἷς τε αὐτὸς περὶ γοήτων καὶ ψευδοσόφων εἴρηκε καὶ οἷς δεδήλωκεν ἡ κατ' αὐτὸν ἱστορία· δρύες τε γὰρ καὶ πτελέαι ἐνάρθρῳ καὶ θήλει φωνῇ λαλοῦσαι καὶ τρίποδες αὐτόματοι φοιτῶντες καὶ χάλκεοι θεράποντες διακονούμενοι πίθοι τε ὄμβρων καὶ ἀνέμων καὶ σανδαράκινον ὕδωρ καὶ ὅσα ἄλλα τοιαῦτα εἰσῆκται, παρ' οἷς ἡγεῖτο θεοῖς, οὓς καὶ οὐκ ὤκνει διδασκάλους ἐπιγράφεσθαι, τίνος ἂν εἶεν παραστατικὰ ἢ τῶν „τὰ οὐκ ὄντα εἶναι καὶ τὰ ὄντα ἄπιστα εἶναι" παραδεικνύντων; οὓς αὐτὸς γόητας ὀνομάζων ψευδοσόφους ὑπάρχειν ἀποφαίνεται. ἤτοι οὖν ἐπὶ τούτοις ὁ θεῖος καὶ ἐνάρετος καὶ θεοῖς κεχαρισμένος τὸ σοφίας ἀναδησάμενος βραβεῖον αὐτοῦ Πυθαγόρου καὶ τῶν, ὅσοι μετ' ἐκεῖνον, θειότερος ἀληθῶς καὶ μακρῷ εὐδαιμονέστερος ἂν κριθείη, ἢ ἔμπαλιν ψευδοσοφίας ἁλοὺς κακοδαιμόνων ἀποίσεται τὰ πρωτεῖα.

43 Πάλιν δ' ἐν τῇ γραφῇ περὶ Μοιρῶν ἰσχύος φιλοσοφῆσαι αὐτὸν ἐν Ἰωνίᾳ φησὶ διδάσκοντα οὕτως ἄτρεπτα εἶναι, ἃ κλώθουσιν, ὡς εἰ καὶ βασιλείαν τῳ ψηφίσαιντο ἑτέρῳ ἤδη ὑπάρχουσαν, οὐδ' ἂν ἀποκτείνειέ τις τοῦτον, ὡς μὴ ἀφαιρεθείη ποτὲ ὑπ' αὐτοῦ τὸ ἄρχειν, καὶ ἂν ἀναβιῶναι ἀποθανὼν ὑπὲρ τῶν δοξάντων ταῖς Μοίραις. καὶ τούτοις ἐπιλέγει αὐταῖς συλλαβαῖς „ὅτῳ πέπρωται γενέσθαι τεκτονικῷ, οὗτος, κἂν ἀποκοπῇ τὼ χεῖρε, τεκτονικὸς ἔσται, καὶ ὅτῳ νίκην ἐν Ὀλυμπίᾳ 462
